UNIVERSITY OF TORONTO DUPL
3 1761 00495565 4

PA
3902
A25
1882
v. 14
pars. 1-3
c. 1
ROBA

Digitized by the Internet Archive
in 2008 with funding from
Microsoft Corporation

https://archive.org/details/commentariaina14pt13akaduoft

Aristotle

PA
3902
A25
1882
v. 14
pars. 1-3

# COMMENTARIA IN ARISTOTELEM GRAECA

EDITA CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

VOLUMINIS XIV

PARS I PHILOPONI IN LIBRUM PRIMUM METEOROLOGICORUM

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MCMI

# IOANNIS PHILOPONI
# IN ARISTOTELIS
# METEOROLOGICORUM
## LIBRUM PRIMUM
## COMMENTARIUM

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

199901
15/1/26

EDIDIT

MICHAEL HAYDUCK

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MCMI

# PRAEFATIO

Ioannis Philoponi quae supersunt in primum librum Meteorologicorum scholia edidit Aldus Venetiis anno MDLI ex codice Laurentiano 85,1[1]) (de quo cf. Supplementum). cum eo codice reliqua, quae novimus, eiusdem commentarii exempla ita concinunt, ut in nova editione instituenda duos omnino libros cum Aldina totos conferre satis visum sit; qui sunt

I Coislinianus 166 (V) bombycinus forma quadrata, saec. XV, folio- V
rum 492 [cf. Omont *Invent. somm.* III 147], ex lacunoso exemplari perite et diligenter descriptus [Heiberg vol. VII p. vi]. continet Aristotelis Physica cum scholiis [Vitelli vol. XVI p. x] et libros de caelo [Heiberg l. l.], deinde Philoponi in libros de gen. et corr. comm. [Vitelli vol. XIV,ii p. viii], tum a fol. 303r eiusdem comm. in Meteora, fol. 349r sqq. Olympiodori et Alexandri in Meteora.

II Parisinus 1892 (M) chartaceus forma maxima, saec. XVI; fol. M
222r sqq. Philoponi comm. in Meteora continet.

Utrumque librum contulit Carolus Kalbfleisch, professor Rostochiensis. Ad hos codices accedit, ut supra dixi, editio Aldina (a) cuius titulus est a
hic: *Olympiodori philosophi Alexandrini in Meteora Aristotelis commentarii. Ioannis Grammatici Philoponi scholia in primum Meteorum Aristotelis . . .* Venetiis MDLI. praemissa est epistula Federici Turrisani ad Herculem Gonzagam cardinalem.

Eodem anno Aldus Camotii interpretationem Latinam edidit post

---

[1]) Laurentianum 85,1 Aldinae fontem esse Guilelmus Stüve cum ex summo lectionis consensu tum maxime ex eo colligit, quod quinquies in hac aliquot verba desiderantur, quae in codice plenum versum efficiunt: huius enim rei nullam aliam videlicet causam esse, quam quod editor hoc ipso codice usus in eo describendo singulos versus per errorem transiluerit.

Olympiodori versionem f. 93v sqq., quarum utraque dedicata est Philippo Chisilerio, equiti senatorique Bononiensi.

Quamquam codices quos novimus omnes ex uno eodemque vetusto exemplo pendent, id quod ex communibus eorum mendis facile apparet, ceteris tamen longe praestat Coislinianus V, qui multis locis rectam lectionem unus servavit.

Scripturae menda, ubi de verbis ipsis interpretis nulla dubitatio erat, in textu correxi; ubi incerta res erat, in adnotatione subieci, quae sententia postulare videretur.

Scr. Thorunio
mense Decembri MCM

M. Hayduck.

# SUPPLEMENTUM PRAEFATIONIS

## CONSPECTUS CODICUM AD RECENSIONEM NON ADHIBITORUM

LAURENTIANUS 85,1 qui Oceanus appellatur [Bandini, catal. bibl. Laur. III 236—247] bombycinus forma maxima, saec. XIV ineuntis, foliorum 762, Philoponi commentarium continet a fol. 510r—526r. specimen dedit Guilelmus Stüve. H

p. 3,10 ὁ ἄνεμος, ut NV || 4,37 τῆς om. || 13,29 εἰ om. || 14,11 καὶ εἰ πλειόνων om. || 18,20 ταύτης τῆς παιδικῆς coll. || 32 ὑπὸ τοῖς ποσὶν || 36 ἀμφίπρηστος || 19,11 ὁ ἀπλανὴς || 13 τὸν ζῃ || 21 καιρῷ ἐξορῶμεν || 25. 26 οὐ γὰρ εἶχε || 20,25 μέρους || 30 post μὲν add. οὖν || 36 μόνον οὖν] καὶ μονονοὺ || 53,28 λέγω || 31 πάντα γὰρ ταῦτα coll. || 33 προεδίδαξε || 37 μέλλοι 54,23 ἔνεστιν || 28 ἔλαχεν (sic etiam MV) || 32 δὲ τούτων ἐστὶ καὶ τῶν ἄλλων || 33. 34 ἀναγκαίως || 34 καὶ τὴν μὲν || 55,6 ὕλης || 12 στοιχείων om. || 25 ἡ δὲ — θερμή om. || 26 καλεῖ δὲ] λεῖ δὲ in lac. om. || 56,17 μέλλοντα || 24 ἐξαφθῇ || 36 λαβὸν || 57,14 ὡρῶν

PARISINUS Suppl. Gr. 556, chartaceus forma maxima, saec. XVI, f. 194r sqq. Philoponum continet. specimina dedit Carolus Kalbfleisch. N

p. 2,4 ὅτι τὰ μὲν || 22 συμβαίνουσι ex σημαίνουσι corr. || καὶ τὸ ὕδωρ in marg. add. || 37. 38 προέρχεται παθημάτων coll. || 3,10 ὁ ἄνεμος || 12 τόπω || 15 ante τῇ add. ἐν || 36 συντιθέντων || 4,11 καὶ φθορᾶς ἐστι coll. || 15 καὶ om. || 20 post ὡς add. καὶ || post τοιαύτη add. ἐστὶ || 27 ἰδικώτερα || 28 τούτων

p. 53,37 μέλλοι || 54,1 τῶν ἀριθμῶν || 14 οὔτε κάτω || 55,10 post κοινὴν add. τῶν εἰρημένων || 26 καλεῖ δὲ τὴν] κατ' αὐτὴν || 39 λέγοντες || 56,1 τὸ ἐν || 9 ἐδείξαμεν || 13 μεταβολή || 15 post ἐξώτατον add. ἀνάγκη sed rursus del. || 17 μέλλοντα || 24 ἐξαφθῇ || 101,24 μυθόδεις || 25 τὸ ex τὴν corr. || 29 ἐπιβάλων || 36 ἢ] εις (ut HMV] || 102,2 ἀώ || 3 μεταβάλλοι || 10 δι' αὐτοὺς || 12 ἐν αὐτῷ in marg. add. || 19 φέρεται ex φέρονται corr. || 20 μετέβαλλεν || 22 εἰρεῖσθαι || 24 θεωρεία || 29 ἰσοτάχος || 30 τῆς om. || 103,4 τούτων] τὸ || 19 γενόμενον || 27 αὐτὸ ex αὐτῷ corr. || 32 οὐδὲν || 34 ὄντα om. || 104,15 αὐτοὺς ex αὐτὰς corr. || 22 ὅτε || 32 ὁ δὲ] οὐδὲ || 105,1 σκιᾶς om. || 7 ἄλλοις || 12 αὐτὸν ex αὐτῶν corr. || 13 εὐπειθεῖς

p. 109,2 συστάσει || 14 ὑποθέμεθα || 15 ὅλων || 18. 19 τῆς ἄλλω ποιοῦσιν || 26 τοιαύτη || 27 τῆς ὄψεως || 39 διέστειλε (ἀντι in marg. add.) || 110,7 τοῦτο] τοῦ

p. 128,3 ᾗ om. || ἢ om. || 4 ἢ κάτω || 8 ἐκεῖνον || 11 πόσον] πῶς || 15 πήγνυται semel || 24 φθάνῃ || 24. 25 ἀπορήσει || 27 ἔξω ὁ coll. || παγὲν in marg. add. || 129,4 φθάνῃ || 13 συνελαθείσης ex συνελθούσης corr. || 15 τὸ om. || 130,3 φαινομένας || ὁμιλοῦσαι || 13 ἀέρι || ὑγραίνων ||

27 τὸ θερμῷ || 28 ἦν] ἐστὶν || 131,1 συμβάλλονται (sic etiam M) || 7 πέφυκε] φαίνεται || ἐστὶ τὴν εἰς

Marcianus 211, chartaceus, forma minore, saec. circiter XII [Zanetti, Gr. S. Marci bibl. p. 114] continet Arist. de caelo, de generatione et corr., Meteorologica, Categorias cum Porphyrii Isagoge, de interpretatione, Metaphysica Aristotelis et Theophrasti, Themistii in Post. Anal. — extat fol. 87ᵛ Ἀριστοτέλους μετεωρολογικῶν ᾱ. Ἰωάννου φιλοπόνου προοίμιον τῆς εἰς τὰ μετέωρα ἐξηγήσεως (= p. 1—3,20 h. ed.) — lectionis diversitatem notavit Guilelmus Stüve.

p. 1,4 εἰς τὰ δύο || 14. 15 coll. τῆς ἀληθείας διακρίνοντος || 15 ὡς om. || 16. 17 τοῦ ξύλου || 17 post λογικὴ add. πᾶσα || 21 post ἄλλων add. πάντων || ὁ om. || μεταχειρίζεται 23 ἐξεθέμεθα || 24 πρῶτον || 27 τε om. || 2,1 ἀναθυμιατικῶν || 2 περὶ χαλάζης || 5 ὥσπερ || 9 συναριθμεῖ || 10 διδάσκει || 13 πρᾶξιν || 14 διδάσκων] λέγων || 18 δὲ om. || 19 καὶ μετὰ ταύτην || 20 φράσομεν || δὲ om. || 23 μὲν om. || 24 δεύτερον δὲ ὅτι || 26 ἀναζέουσα || 36 ante ταῦτα add. καὶ || 40 φαίνεται om. || 3,3 ὑετῶν καὶ δρόσου || 4 ὑετοῦ || 5 τῆς om. || 7. 8 καὶ δὲ ἐν || 11 καὶ βροντῶν καὶ || 13 τῆς post καὶ om. || 15 ἀπὸ || γίνεται om.

Escorialensis Φ — 1 — q, chartaceus forma maxima, saec. XVI, ex Aldina, ut videtur, descriptus [cf. Stüve vol. XII,II p. XIV]; cuius libri mentionem fecisse satis habeo.

# IOANNIS PHILOPONI

# IN METEOROLOGICORUM

## LIBRUM PRIMUM

# COMMENTARIUM

# ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΤΩΝ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΩΝ ΜΕΤΕΩΡΟΛΟΓΙΚΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΕΞΗΓΗΤΙΚΩΝ ΤΩΝ ΕΙΣ ΤΑ ΤΡΙΑ ΤΟ ΠΡΩΤΟΝ.

Εἴρηται μὲν ἤδη καὶ πρότερον ἡμῖν ὡς εἰκότως τὴν εἰς δύο τομὴν ἡ φιλοσοφία δέχεται, εἴς τε τὸ πρακτικὸν καὶ εἰς τὸ θεωρητικόν, διότι καὶ αἱ τῆς ἡμετέρας ψυχῆς δυνάμεις ὑπάρχουσι δύο, ζωτική τε καὶ θεωρητική, ἃς ἡ φιλοσοφία κοσμεῖν ἐθέλει καὶ τελειοῦν, τὴν μὲν δι' ἀρετῆς, τὴν δὲ διὰ τῆς τῶν ὄντων γνώσεως· τελειοῦται γὰρ ἕκαστον τὸ ἑαυτοῦ τέλος ἀπολαμβάνον δι' ὃ γέγονεν. ὅθεν καὶ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἡ φιλοσοφία εἶναι λέγεται· καὶ γὰρ τῶν θείων ἐνεργειῶν αἱ μὲν ἁπάντων εἰσὶ γνωστικαὶ τῶν ὄντων, αἱ δὲ δημιουργικαὶ τούτων καὶ προνοητικαί. τῶν δ' ἐνεργειῶν ἡμῶν ἑκατέραν, θεωρίαν φημὶ καὶ πρᾶξιν, ὑποδύεταί τις φαυλότης, τὴν μὲν θεωρίαν τὸ ψεῦδος, τὴν δὲ πρᾶξιν ἡ κακία. ἐδέησεν οὖν ὀργάνου τινὸς διαιρετικοῦ τῇ φιλοσοφίᾳ, ἐν μὲν τῇ θεωρίᾳ τοῦ τὸ ψεῦδος διακρίνοντος τῆς ἀληθείας, ἐν δὲ τῇ πράξει τὴν κακίαν τῆς ἀρετῆς, ὡς ἀμέλει καὶ τῷ τέκτονι στάθμη τε καὶ κανὼν ἐπινενόηται, δι' οὗ τὸ εὐθὺ τῶν ξύλων διακρίνει καὶ τὸ καμπύλον. τοῦτο δ' ἐστὶν ἡ καλουμένη λογικὴ πραγματεία, ἣν Ἀριστοτέλης ἐν πλείοσιν ἡμᾶς βιβλίοις ἐδίδαξεν, ἐξ ἧς τὴν ἀποδεικτικὴν ἐπιστήμην ἐπαιδεύθημεν. εἰς τρία δὲ τοῦ θεωρητικοῦ μέρους τῆς φιλοσοφίας διαιρουμένου, εἴς τε τὸ φυσιολογικόν, τὸ μαθηματικὸν καὶ τὸ θεολογικόν, τῶν ἄλλων μᾶλλον τὸ φυσιολογικὸν ὁ φιλόσοφος μετεχειρίσατο ὡς σύστοιχον ἡμῖν καὶ συγγενέστερον, οὗ τὴν διαίρεσιν ἐν ἄλλοις ἀκριβῶς ἐξεθέμην, ὑφ' ὃ καὶ ἡ προκειμένη τελεῖ πραγματεία. ἣν διεξιέναι μέλλοντες ἀναγκαίως αὐτῆς τὸν σκοπὸν διηγούμεθα πρότερον. βούλεται γὰρ ἡμᾶς ὁ φιλόσοφος ἐν αὐτῇ διδάξαι πάντα τὰ μεταξὺ γῆς τε καὶ οὐρανοῦ συμβαίνοντα πάθη, ἐν ἀέρι φημὶ καὶ τῷ ὑπεκκαύματι, ἐκ τῶν δύο καλουμένων ἀναθυμιάσεων συνιστάμενα, τῆς τε ἀτμιδώδους καὶ τῆς ξηρᾶς, ὧν ἡ μὲν

1—3 ΙΩΑΝΝΟΥ—ΠΡΩΤΟΝ inscr. MVa: Ἰωάννου Φιλοπόνου προοίμιον τῆς εἰς τὰ μετέωρα ἐξηγήσεως O (de quo cf. suppl. Praef.) 9 δι' om. a 16 δι' οὗ] διὸ Ma 17 post λογικὴ add. πᾶσα Ma 27 καὶ τῆς O: τε καὶ MVa

ἐκ τῶν ὑγρῶν, ἡ δὲ ἐκ τῶν ξηρῶν ἀναθυμιᾶται σωμάτων, οἷον περὶ ὑετῶν, 75v
χαλάζης, χιόνος, βροντῶν, ἀστραπῶν, ἀνέμων, διαττόντων, κεραυνῶν, καὶ
ὅσα τούτοις ἐστὶ συγγενῆ, ὧν τὰ μὲν ἐκ θατέρας καὶ μόνης, τὰ δ' ἐξ
ἀμφοῖν ἔχει τὴν γένεσιν· καὶ ὅτι τινὰ μὲν τῶν τοιούτων ὕπαρξιν ἔχει καὶ
5 ἔστιν ἀληθῶς οἷά περ φαίνεται, ὡς τὰ προειρημένα, τὰ δὲ μόνην ἔμφασιν 30
ἔχει καὶ ὄψεων ἀπάτην οὐκ ὄντα καθ' ὕπαρξιν οἷα φαίνεται, ὡς ἶρις καὶ
ἅλως καὶ ῥάβδοι καὶ τὰ παρήλια καὶ εἴ τι τοιοῦτον. ἐπειδὴ δὲ ἐκ τῶν
εἰρημένων δύο ἀναθυμιάσεων καὶ ὑπὸ γῆν τινα γίνονται, οἷον σεισμοὶ καὶ
μέταλλα καὶ ὑδάτων διαφοραί, τοῖς μετεώροις αὐτὰ συναριθμῶν καὶ περὶ
10 τούτων διδάξει. τὸ δὲ χρήσιμον τῆς πραγματείας παντὶ δῆλον, εἴπερ ἡ
γνῶσις τῶν ὄντων χρήσιμος τῇ ψυχῇ κοσμοῦσα ταύτην καὶ εἰς τελείωσιν 35
ἄγουσα τὴν κατὰ φύσιν. ἀλλ' οὐδὲ τὸ γνήσιον διημφισβήτηται. τὸ προ-
οίμιον γὰρ αὐτὸ τοῦτο διδάξει· τὴν γὰρ συνέχειαν αὐτοῦ καὶ τὴν τάξιν
πρὸς τἆλλα ἑαυτοῦ συγγράμματα διδάσκων τὰς φυσικὰς ἑαυτοῦ πραγματείας
15 ἀνακεφαλαιοῦται καὶ δείκνυσιν ὡς ἀκόλουθός ἐστιν ἐκείναις αὐτὴ καὶ ὡς
συνεχὴς ταῖς μετ' αὐτήν· ἐξ ὧν καὶ τὸ γνήσιον καὶ ἡ τάξις ἐστὶ πρόδηλα.
πρώτην μὲν γὰρ εἴληχε τάξιν πασῶν τῶν φυσικῶν αὐτοῦ πραγματειῶν ἡ
ἰδικώτερον Φυσικὴ καλουμένη ἀκρόασις, δευτέραν δὲ μετ' αὐτὴν ἡ Περὶ 40
οὐρανοῦ καὶ τρίτην ἡ Περὶ γενέσεως καὶ φθορᾶς καὶ μετ' αὐτὴν ἡ προκει-
20 μένη· ὧν τὰς αἰτίας τὴν λέξιν ἐξηγούμενοι λέξομεν. ἐπιγέγραπται δὲ
Μετεωρολογικά, ἐπειδήπερ τὰ περὶ ὧν ἐν τούτοις ποιεῖται τὴν θεωρίαν ἐν
τῷ μεταξὺ γῆς καὶ οὐρανοῦ τόπῳ συμβαίνουσι. κἂν γὰρ περί τινων περὶ
γῆν ἢ ὑπὸ γῆν συνισταμένων ἐν τούτοις διδάσκῃ, ἀλλὰ πρῶτον μὲν ἐκ τοῦ
πλείονος τὴν προσηγορίαν τῇ προκειμένῃ τίθησι πραγματείᾳ, δεύτερον ὅτι
25 καὶ τούτοις ἡ αὐτὴ ὑπόκειται ὕλη, φημὶ δὴ τὴν ἀτμιδώδη καὶ τὴν κα- 45
πνώδη ἀναθυμίασιν, ἥτις ἀναθέουσα μέν, διὸ | καὶ ἀναθυμίασις ὠνομάσθη, 76r
τὰ ἐν τῷ μετεώρῳ πάθη γεννᾷ, ἐναποκλειομένη δὲ κάτω τὰ ὑπὸ γῆν.
διεῖλε δὲ τὴν προκειμένην ὑπόθεσιν εἰς τμήματα τέσσαρα. ὧν ἐν μὲν τῷ
πρώτῳ διδάξας περὶ τῶν μεταξὺ γῆς καὶ οὐρανοῦ σωμάτων ὅτι τὰ μετὰ
30 τὴν γῆν καὶ τὸ ὕδωρ ὁ ἀήρ ἐστι καὶ τὸ ὑπέκκαυμα, ἐν οἷς πάντα
τὰ ἐν τῷ μετεώρῳ συμβαίνουσι, ζητήσας δὲ καὶ εἰ μὴ τῆς τοῦ πυ-
ρὸς οὐσίας ἐστὶν ὁ ἥλιος, πόθεν ἡ ἐξ αὐτοῦ τοῖς τῇδε γινομένη θερ- 5
μότης, καὶ ὡς ἐξ ὕδατος καὶ γῆς διακρινομένων τῇ ἐξ ἡλίου θερμότητι
δύο γεννῶνταί τινες ἀναθυμιάσεις, ἐκ μὲν τῶν ὑδάτων ἡ ἀτμιδώδης, ἐκ δὲ
35 τῆς γῆς ξηρά τε καὶ καπνώδης, ἐξ ὧν πάντα τὰ ἐν τοῖς μετεώροις
γινόμενα πάθη συμβαίνουσι. ταῦτα προειρηκὼς ὡς συντελοῦντα τοῖς ἑξῆς
ἐπ' αὐτὴν ἤδη τὴν διδασκαλίαν τῶν ἄνω συνισταμένων παθημάτων προ-
έρχεται. καὶ πρῶτον περὶ τῶν ἐκ τῆς ξηρᾶς γινομένων ἀναθυμιάσεως
διδάσκει, καὶ ἐπειδὴ τούτων τὰ μέν ἐστιν ὀλιγοχρόνια, τὰ δὲ πλείονα χρόνον 10
40 ὑπομένοντα φαίνεται, πρῶτον περὶ τῶν ὀλιγοχρονίων ποιεῖται τὸν λόγον.
ταῦτα δέ ἐστιν αἱ καλούμεναι φλόγες καὶ οἱ διαθέοντες ἀστέρες αἴγές τε
καὶ δαλοὶ χάσματά τε καὶ βόθυνοι. μετὰ δὲ ταῦτα περὶ τῶν πολυχρονίων.

5 μόνον M 19 τρίτον a 31 μὴ O: μέρος MVa

κομητῶν τε καὶ τοῦ καλουμένου γάλακτος, εἶτα μέτεισιν ἐντεῦθεν περὶ τῶν 76r
ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως γινομένων, νεφῶν λέγω καὶ ὁμίχλης ψεκάδων
τε καὶ ὑετοῦ, δρόσου καὶ πάχνης χαλάζης τε καὶ χιόνος καὶ κρυστάλλου, 15
καὶ τέλος περὶ ποταμῶν διδάξας (καὶ αὐτοὶ γὰρ ἐξ ὑετῶν τὴν γένεσιν ἔχουσι)
5 τὸν πρῶτον καταπαύει λόγον. ἐν δὲ τῷ δευτέρῳ περὶ τῆς θαλάσσης
εἰπὼν μέτεισι πάλιν ἐπὶ τὰ λοιπὰ πάθη τῶν ἐκ τῆς ξηρᾶς γινομένων ἀνα-
θυμιάσεως, τουτέστιν ἀνέμων καὶ σεισμῶν βροντῶν τε καὶ ἀστραπῶν, καὶ
ἐν τούτῳ τὸ δεύτερον περαιοῦται βιβλίον. ἐν δὲ τῷ τρίτῳ περί τε τῶν
λοιπῶν παθῶν τῶν συμβαινόντων τοῖς πνεύμασι, τίς τε ὁ ἐκνεφίας ἐστὶν
10 ἄνεμος καὶ οἱ τυφῶνες καὶ οἱ πρηστῆρες, καὶ πῶς τούτων ἕκαστος γίνεται, 20
περί τε κεραυνῶν βροντῶν τε καὶ ἀστραπῶν, εἶτα περὶ ἅλω καὶ ἴριδος καὶ
παρηλίων καὶ ῥάβδων. τοσαῦτα μὲν οὖν ἐν τοῖς τόποις τοῖς ὑπὲρ τὴν γῆν
ἐκ τῶν δύο συμβαίνουσιν ἀναθυμιάσεων, τῆς ἀτμιδώδους τε καὶ τῆς
καπνώδους, περὶ ὧν ἐν τοῖς τρισὶ διδάσκει λόγοις. ἐν δὲ τῷ τετάρτῳ
15 ὅσα ὑπὸ τῶν αὐτῶν πάλιν ἐγκαταλειομένων γίνεται τῇ γῇ, ὧν τὰ μέν
ἐστιν ὀρυκτὰ τὰ δὲ μεταλλικά, διδάσκει. ὡς τὸ σύμπαν τῆς μετεωρο-
λογικῆς πραγματείας εἶναι συγγενὲς περὶ τῶν συμβαινόντων ὑπὸ τῶν δύο 25
ἀναθυμιάσεων εἴτε ἐναποκλειομένων τῇ γῇ εἴτε ὑπὲρ αὐτὴν ἀναθεουσῶν·
ἐξ οὗ καὶ μετεωρολογικὴν τὴν πραγματείαν ὠνόμασε. τούτων ἱκανῶς
20 εἰρημένων ἡμῖν ἐπ' αὐτὴν δὴ τῆς πραγματείας χωρήσωμεν τὴν ἐξέτασιν.

p. 338a 20 Περὶ μὲν οὖν τῶν πρώτων αἰτίων τῆς φύσεως καὶ περὶ πάσης κινήσεως φυσικῆς, ἔτι δὲ περὶ τῶν κατὰ τὴν ἄνω φορὰν διακεκοσμημένων ἄστρων καὶ περὶ τῶν στοιχείων τῶν σωματικῶν, πόσα τε καὶ ποῖα, καὶ τῆς εἰς ἄλληλα μεταβολῆς, καὶ περὶ 30
25 γενέσεως καὶ φθορᾶς τῆς κοινῆς εἴρηται πρότερον.

Εὐθὺς ἐν ἀρχῇ τὰς φυσικὰς ἑαυτοῦ πραγματείας ἀπαριθμεῖται, ὅσαι τῶν μετεωρολογικῶν ἐν τάξει φυσικῇ προηγήσαντο, πρώτην μὲν εἶναι λέγων τὴν Φυσικὴν καλουμένην ἀκρόασιν τὸ κοινὸν ὄνομα τῶν φυσικῶν ὡς ἴδιον ἀποκληρωθεῖσαν διὰ τὸ περὶ τῶν κοινῶν ἀρχῶν τῶν φυσικῶν ἁπάντων δι-
30 δάσκειν, ὅθεν καὶ πασῶν προηγεῖται, δευτέραν τὴν Περὶ οὐρανοῦ. οὐρανὸν δὲ τοῖς παλαιοῖς καὶ τὸν ὅλον κόσμον ὀνομάζειν ἔθος, ὡς καὶ Πλάτων "ὃν 35
δὴ οὐρανὸν ἢ κόσμον ἐπωνομάκαμεν" ἐν Τιμαίῳ φησί. δευτέραν δὲ τάξιν εἰκότως εἴληφεν· ἐκείνης γὰρ καὶ περὶ τῶν ἀρχῶν τῶν πρώτων διαλαβούσης ὕλης καὶ εἴδους ἡ Περὶ οὐρανοῦ περὶ τῶν προσεχῶς ἐκ τούτων
35 συντεθέντων διαλαμβάνει σωμάτων, ἐκ τούτων μὲν ὡς ἐκ πρωτίστων στοιχείων συντεθέντων, ἁπλῶν δὲ ὄντων ὡς ἐν σώματι. καὶ τὰ οὐράνια γὰρ ἐξ ὕλης εἰσὶ κατ' αὐτὸν τοῦ πέμπτου σώματος κοινῶς τοῖς οὐρανίοις ὑπο-

---

3 ὑετῶν a κρυστάλου M 8 τε om. V 9 post ἐστὶν add. ὁ V
17 post περὶ add. δὲ V ὑπὸ τῶν om. a 20 ἡμῖν om. M 25 post πρότερον add. ἡμῖν V 32 ἐν Τιμαίῳ] cf. p. 28 B, sed magis congruunt, quae leguntur Polit. p. 269 D 34 προσεχῶς] ποσαχῶς a

κειμένου πᾶσι καὶ τοῦ ἐπιτεθέντος εἴδους αὐτοῖς, ἐξ ὧν γέγονεν ἥλιος, 76r
σελήνη, τῶν ἀστέρων ἕκαστος καὶ τοῦ χρώματος αὐτοῦ τῶν σφαιρῶν ἡ οὐσία. 10
διδάσκει δὲ καὶ περὶ τῶν τεσσάρων στοιχείων· ἁπλᾶ γὰρ ὡς ἐν σώματι
καὶ ταῦτα προσεχῶς ἐξ ὕλης καὶ εἴδους συγκείμενα, τὰ δὲ ἐκ τούτων συν-
5 τεθέντα λοιπὸν ζῷα καὶ φυτὰ καὶ μέταλλα ὑστερογενῆ τὴν φύσιν καὶ μερικω-
τέραν κεκλήρωται. καὶ ἄλλως ἐπειδὴ καὶ τὰ γινόμενα καὶ φθειρόμενα τῇ
εἰς ἄλληλα μεταβολῇ τῶν μὴ οὕτως ἐχόντων δεύτερά τέ ἐστι καὶ ἀτι-
μότερα, δικαίως οὖν τῶν ἄλλων ἁπάντων τὴν Περὶ οὐρανοῦ προτέταχε 45
πραγματείαν, ἐν ᾗ περὶ τῶν κυκλοφορουμένων σωμάτων ἐδίδαξεν, ἐν οἷς
10 οὐδὲ φθορά τις οὐδὲ γένεσις οὐδὲ μεταβολὴ τούτων εἰς ἄλληλα φαίνεται.
τρίτη μετὰ ταύτην ἡ Περὶ γενέσεώς ἐστι καὶ φθορᾶς, μερικωτέρα μὲν ἢ
κατὰ τὰς προειρημένας, καθολικωτέρα δὲ τῶν ἑξῆς ἁπασῶν· ἐν ταύτῃ γὰρ
περὶ πάσης ἁπλῶς γενέσεως διδάσκει καὶ φθορᾶς, τίς τέ ἐστι καὶ τί τῶν
ἄλλων μεταβολῶν διενήνοχε, καὶ ὅσα τούτοις ἐστὶν ἀκόλουθα. τετάρτην 50
15 ἐπὶ ταύταις τὴν τῶν Μετεώρων τέταχεν· ἐπειδὴ γὰρ καὶ ταῦτα τῶν γινο-
μένων ἐστὶ καὶ φθειρομένων, εἰκότως ὑστέρα μὲν τῆς περὶ γενέσεως
ἁπάσης καὶ φθορᾶς διδασκούσης τετάξεται. προηγήσεται δὲ τῶν λοιπῶν
ἁπασῶν, τῆς περὶ ζῴων λέγω καὶ φυτῶν καὶ μετάλλων. εἰ γὰρ ἡ περὶ
τῶν οὐρανίων διδάσκουσα σωμάτων προτέτακται δικαίως, ἀκόλουθον ἦν τοῖς
20 περὶ ζῴων καὶ φυτῶν τὰ μετεωρολογικὰ προηγεῖσθαι ὡς ὑπερανεστηκότα
μὲν τῶν ἐπὶ γῆς, τοῖς | οὐρανίοις δὲ τῷ τόπῳ πλησιάζοντα. ἡ μὲν οὖν 76v
τῶν εἰρημένων φυσικῶν πραγματειῶν συνέχειά τε καὶ τάξις συντόμως εἰπεῖν
τοιαύτη καὶ οὕτως ἔχουσα· ἴδωμεν δὲ καὶ τῆς λέξεως τὴν ἀκρίβειαν.
τῶν πρώτων μὲν οὖν αἰτίων φησὶ τῆς φύσεως, ἐπειδὴ πρώτιστα τῶν
25 φυσικῶν αἴτια πάντων ὕλη καὶ εἶδος. ἔστι γὰρ καὶ ἄλλα προσεχέστερα
τῶν φυσικῶν αἴτια, κοινὰ μὲν τῶν συνθέτων ἁπάντων ⟨τὰ⟩ τέσσαρα στοιχεῖα, 5
προσεχέστερα δὲ καὶ εἰδικώτερά τινων τὸ σπέρμα μὲν ἐν τοῖς ἐκ σπέρ-
ματος τὴν γένεσιν ἔχουσι, τὸ δὲ τούτῳ πάντως ἀνάλογον ἐν τοῖς λοιποῖς.
καὶ τὰ συναίτια δέ, χρόνον καὶ τόπον καὶ κίνησιν, ἐν τῇ αὐτῇ παρέδωκε
30 πραγματείᾳ. καὶ περὶ πάσης δὲ κινήσεως φυσικῆς ἐν τοῖς ὑστέροις
αὐτῆς τέσσαρσι λόγοις διείλεκται, τῆς τε ἐπ' εὐθείας λέγω καὶ τῆς κύκλῳ.
φυσικῆς δέ φησι διὰ τὰς ψυχικὰς καὶ προαιρετικὰς κινήσεις, οἷαί πέρ εἰσιν
αἱ τῶν ζῴων, τάς τε ὑπὸ τέχνης ἢ βίας τινὸς γινομένας. 10

p. 338a25 Λοιπὸν δέ ἐστι μέρος τῆς μεθόδου ταύτης ἔτι θεω-
35 ρητέον, ὃ πάντες οἱ πρότεροι μετεωρολογίαν ἐκάλουν· ταῦτα
δέ ἐστιν, ὅσα συμβαίνει κατὰ φύσιν μέν, ἀτακτοτέραν μέντοι
τῆς τοῦ πρώτου στοιχείου τῶν σωμάτων κινήσεως, περὶ τὸν
γειτνιῶντα μάλιστα τόπον τῇ φορᾷ τῇ τῶν ἄστρων, περί τε
γάλακτος καὶ κομητῶν καὶ τῶν ἐκπυρουμένων καὶ κινουμένων

1 ante ἥλιος add. ὁ sed rursus exp. M 15 post τὴν add. περὶ Ma 18 ἡ om. a
21 ἡ] ὁ M 26 τὰ addidi 37 τῆς om. Ma κινήσεως V Arist. HN: om. Ma Arist.
vulg. 38 τῇ τῶν libri ut Arist. E: τῇ om. Arist. vulg. post ἄστρων add. οἷον Arist.

φασμάτων, ὅσα τε θείημεν ἂν ἀέρος εἶναι κοινὰ πάθη καὶ 76v
ὕδατος. 15

Τῆς φυσικῆς μεθόδου λοιπὸν εἶναι μέρος φησὶ τὸ μετεωρολογικόν, ὡς πρὸς τὴν ἀκολουθίαν τῶν ἤδη προειρημένων ὕστερον μὲν ἐκείνων τῇ τάξει, 5 οὐ μέντοι πάντων ἔσχατον ὑπάρχον· καὶ γὰρ μετὰ τοῦτο λείπεται τῇ φυσικῇ μεθόδῳ ἡ περὶ ζῴων καὶ φυτῶν καὶ μετάλλων πραγματεία. τίνα δέ ἐστι τὰ ἐν τῷ μετεώρῳ συμβαίνοντα, προστίθησι γενικώτερον· ὅσα συμβαίνει, φησί, κατὰ φύσιν μέν, ἀτακτοτέραν δὲ τῆς τοῦ πρώτου 20 στοιχείου τῶν σωμάτων κινήσεως. πρῶτον δὲ στοιχεῖον τῶν σωμά- 10 των φησὶ τὸ πέμπτον, ἐξ οὗ τὰ κατ' οὐρανὸν ἅπαντα συνεστάναι βούλεται· στοιχεῖον γὰρ οὐ τῶν συνθέτων αὐτό φησι σωμάτων, ἀλλὰ τοῦ κόσμου παντὸς ὡς ὅλου. πάντα γὰρ εἶναι λέγεται τοῦ κόσμου παντὸς τὰ στοιχεῖα τέσσαρα μὲν τῶν ὑπὸ σελήνην, τὸ δὲ πέμπτον τῶν οὐρανίων. τὸ δὲ ἑξῆς οὕτως ἀναγνωστέον 'ὅσα συμβαίνει περὶ τὸν γειτνιῶντα μάλιστα τόπον τῇ 15 φορᾷ τῶν ἄστρων, ἅπερ συμβαίνει [μὲν] κατὰ φύσιν μέν, ἀτακτοτέραν δὲ 25 τῆς τοῦ πρώτου στοιχείου τῶν σωμάτων κινήσεως'. τὸ δὲ ἀτακτοτέραν οὐ συγκριτικῶς νοητέον, ἀλλὰ μόνως ἄτακτον· οὐδὲν γὰρ ἐν τοῖς οὐρανοῖς ἐστιν ἄτακτον, ἵνα τούτων ἀτακτότερον τὰ ἐν τοῖς μετεώροις γίνεσθαι λέγωμεν. ἡ γὰρ ἐν τοῖς οὐρανοῖς τάξις ἀπαράβατός ἐστι καὶ ἀεὶ ὡσαύτως 20 ἔχουσα, καὶ τοσοῦτον ὡς προλέγειν τοὺς ἀστρονόμους τὰ μετὰ πολλοὺς ἐνιαυτοὺς ἐν ἐκείνοις ἐσόμενα, ἡλίου φημὶ καὶ σελήνης συνόδους ἐκλείψεις τε τούτων ἑκατέρου, φάσεις τε τῶν πλανωμένων καὶ στηριγμούς, προποδι- 30 σμούς τε καὶ ὑποποδισμοὺς καὶ εἰς ταὐτὸ συνεμπτώσεις αὐτῶν, καὶ ὅσα πρὸς ἀλλήλους ποιοῦνται σχήματα, καὶ τοὺς χρόνους ἑκάστου τούτων ἀκρι- 25 βῶς προαποφαίνονται καὶ τὰς ὥρας μέχρι καὶ τοῦ λεπτοτάτου σχεδὸν καὶ ἀμεροῦς, ἐν ᾧ τῶν εἰρημένων ἕκαστον γίνεται. δυνατὸν δὲ τὸ ἀτακτοτέραν μὴ ἐξακούειν πρὸς τὰ οὐράνια συγκριτικῶς, ἀλλ' αὐτὰ πρὸς αὐτὰ τὰ ἐν τοῖς μετεώροις συμβαίνοντα. ἔχει μὲν γὰρ καὶ ταῦτα τάξιν ὁλικω- 35 τέραν τινά, οἷον πότε γίνεται χειμὼν ἔαρ τε καὶ θέρος καὶ μετόπωρον, 30 καὶ πόθεν ἄρχεται καὶ ποῖ τελευτᾷ τούτων ἕκαστον, καὶ ὡς ἐν μὲν χειμῶνι ὑετὸς γίνεται καὶ χάλαζα καὶ χιών, ἐν θέρει δὲ καύσων, καὶ ἐν τῷδε μὲν τῷ καιρῷ νότια πνεύματα, ἐν ἄλλῳ δὲ βόρεια, καὶ περὶ τῶν ἄλλων ὁμοίως· ἀλλ' οὐκ ἀπαράβατος ἡ τούτων τάξις, ἀλλ' ἀτακτότερον καὶ ταῦτα συμβαίνουσι. δυνατὸν γὰρ ἐν χειμῶνι μὲν καῦμα γίνεσθαι καὶ αὐχμόν, ἐν 35 θέρει δὲ ψῦχος καὶ ὑετὸν καὶ τοὺς καιροὺς ἐναλλάσσειν τὰ πνεύματα. καλῶς 40 δὲ προσέθηκε περὶ τὸν γειτνιῶντα τόπον τῇ φορᾷ τῶν ἄστρων, τουτέστι τὸν πλησιάζοντα τοῖς οὐρανοῖς μᾶλλον τῆς γῆς καὶ τοῦ ὕδατος· τὴν μεγίστην γὰρ ἐξ οὐρανοῦ διέστηκε τὰ βαρέα τῶν σωμάτων. καὶ τοῦτο δικαίως ἐπισημειοῦται· πολλοῖς γὰρ τῶν ἰδιωτικωτέρων ἐν οὐρανῷ δοκεῖ ταῦτα τὰ πάθη 40 γίνεσθαι. ὅτι δὲ πλεῖστον διέστηκε ταῦτα τοῦ οὐρανοῦ καὶ μᾶλλον ἡμῖν

5 λοίπεται M 8 φησί om. M a 15 μὲν post συμβαίνει delevi μέν om. a
17 ἄτακτον ex εὔτακτον corr. V 27 πρὸς αὐτὰ libri 30 ποῖ] πῇ V
34. 35 ἐν δὲ θέρει M

ἢ ἐκείνῳ πλησιάζουσιν, ἡ τούτων δηλώσει κίνησις· ταχύτερα γὰρ δοκοῦσι 76ᵛ
τῶν οὐρανίων, ἡλίου λέγω καὶ σελήνης καὶ αὐτῆς τῆς ἀπλανοῦς, ὡς πρὸς 45
τὴν ἡμετέραν αἴσθησίν τε καὶ φαντασίαν. δύο γάρ τινων ἰσοταχῶς κινου-
μένων τὸ ἐγγυτέρω θᾶττον δοκεῖ τοῦ λοιποῦ κινεῖσθαι, διὰ τὸ καὶ θᾶττον
5 τὰς ἡμετέρας ὄψεις παραλλάττειν, κἂν βραδύτερον δὲ τὸ ἐγγυτέρω κινῆται,
τὸ αὐτὸ γίνεται. τίνα δέ ἐστι τὰ ἐν τῷ μετεώρῳ γινόμενα, ὡς ἐν ὑπο-
δείγματι τούτων τινὰ τίθησι. περὶ τοῦ γάλακτός φησι, τουτέστι περὶ τοῦ
γαλαξίου. ὅς ἐστι τῷ χρώματι λευκός, διὸ καὶ οὕτως ὠνόμασται, ὡς καὶ
Ἄρατος αὐτὸν ὀνομάζει· "κεῖνο περιγληνὲς τροχαλόν· γάλα μιν καλέουσι". 50
10 τῶν τοιούτων εἰσὶ καὶ οἱ κομῆται. ἐκπυρουμένων δέ φησι καὶ κινου-
μένων φασμάτων τοὺς ἐν ταῖς νυξὶ φαινομένους διάττοντας. ἐκπύρωσις
γὰρ ὕλης ὑπάρχουσί τινος· ταύτην δὲ τίς ἐστι, μαθησόμεθα. πῶς δὲ
φάσματα εἶναί φησι τοὺς διάττοντας; καίτοι γε οὐσιώδη τὴν ὕπαρξιν ἔχουσι
καὶ οὐ μέχρι δοκήσεώς εἰσι καὶ μόνης. μήποτε οὖν ἐπειδὴ δοκοῦσι τοῖς
15 πολλοῖς ἀστέρες εἶναι, τὴν ἐκείνων ὑπόνοιαν ἐξηγούμενος φάσματα | αὐτοὺς 77ʳ
ὠνόμασεν. ἢ πρὸς τὸ κινουμένων φάσματα εἶναί φησιν· οὐ γὰρ κινοῦν-
ταί τινες αὐτῶν κατὰ ἀλήθειαν, ὅλης δέ τινος ἄλλοτε ἄλλης κατὰ μέρος
ἐκπυρουμένης συνεχῶς γίνονται καὶ φαντασίαν παρέχουσι κινήσεως. ἀέρος
δὲ κοινὰ πάθη φησὶ καὶ ὕδατος, ὅσα μόνον ἔχει φαντασίαν χωρὶς ὑπάρ-
20 ξεως, οἷόν ἐστιν ἅλως, ἶρις, ῥάβδοι, παρήλια. πῶς δέ ἐστι κοινὰ ὕδατός
τε καὶ ἀέρος, εἰσόμεθα· χωρὶς γὰρ διύγρων νεφῶν φαντασία τούτων οὐ γί- 5
νεται. ἅπερ κατά τι μὲν ἀέρος ἐστὶ διὰ τὴν ἀτμίδα, κατά τι δὲ ὕδατος,
ὅταν παχέα ἤδη καὶ ἐγγὺς ὕδατος.

p. 338ᵇ25 Ἔτι τε γῆς ὅσα μέρη καὶ εἴδη καὶ πάθη τῶν μερῶν,
25 ἐξ ὧν περί τε πνευμάτων καὶ σεισμῶν θεωρήσαιμεν ἂν τὰς
αἰτίας.

Μέρη γῆς ἴσως λέγει, φησὶν ὁ Ἀλέξανδρος, τὰ πρὸς ἕω καὶ δύσιν ἄρκτον
τε καὶ μεσημβρίαν (διαιρεῖν γὰρ κατὰ ταῦτα τὰ κέντρα τὴν γῆν εἰώθασιν)· 10
εἴδη δὲ τὸ ταύτης τὴν μὲν εἶναι ὕφαντρον καὶ χαύνην, τὴν δὲ στερεάν τε
30 καὶ πεπιλημένην. καὶ οἵ τινες ἄλλοι τοιαῦταί εἰσι παραπλήσιοι διαφοραί.
πάθη δὲ λέγει ἄν, φησί, τὰς ἀναθυμιάσεις τὰς γινομένας ἀπ' αὐτῆς καὶ
τὰς ἐναπολήψεις ὕδατός τε καὶ πνεύματος. ὧν αἱ μὲν ἀναθυμιάσεις νεφῶν
τε καὶ ὑετῶν εἰσιν ἀρχαί. ἔτι δὲ χαλάζης τε καὶ δρόσου βροντῶν τε καὶ
ἀστραπῶν ἀνέμων τε καὶ τῆς τῶν πνευμάτων διαφορᾶς· κατὰ γὰρ τὰς τῶν 15
35 μερῶν τῆς γῆς διαφορὰς καὶ αἱ τῶν ἀνέμων γίνονται διαφοραί· αἱ δ' ἐν-
απολήψεις αἱ μὲν τοῦ ὕδατος ἐπηγῶν αἴτιαι, αἱ δὲ τοῦ πνεύματος σεισμῶν· 20
ταῦτα κατὰ λέξιν ὁ Ἀλέξανδρος. οἶμαι δὲ μὴ καλῶς εἴδη λέγειν τῆς γῆς

1 γὰρ] δὲ Ma 3. 4 κινουμένων τὴν ἐγγυτέρω Ma 9 Ἄρατος] Phaen. 476
ἐκεῖνο libri 16 κινούμενον a 19 φησὶ κοινὰ πάθη coll. a μόνην M
24 ἔτι τε V: ἔτι δὲ Ma Arist. codd. μέρη καὶ εἴδη MVa Arist. FHN: εἴδη καὶ μέρη
Arist. E 27 Ἀλέξανδρος] libere exc. p. 2.31 30 ταύταις Alex. παραπλήσιαι M¹

τὴν ὕπαντρον τήν τε χαύνην καὶ τὴν στερέμνιον· πάθη γὰρ ἂν εἶεν αὐτῆς, 77r
οὐκ εἴδη ταῦτα. παθοῦσα γάρ τι καὶ πυκνουμένη πιλεῖται, καὶ τἀναντία
ὑπομένει πάθη μανουμένη καὶ διακρινομένη· μάνωσις δὲ καὶ πύκνωσις ποι-
ότητές εἰσι καὶ πάθη, καθ' ἃς καὶ αἱ τῶν στοιχείων γίνονται μεταβολαί. 20
5 πάθη δὲ αὐτῆς καὶ τὸ νιτρῶδες, θειῶδες καὶ ἀσφαλτῶδες καὶ ὅσα τοιαῦτα
ἄλλα. καὶ αἱ ἀναθυμιάσεις ὅμοιαι ταῖς διαφοραῖς εἰσι τῶν ἡμετέρων σω-
μάτων, αἱ δὲ τῶν ὑδάτων καὶ τῶν πνευμάτων ἐναπολήψεις ταῖς ἐμφράξεσιν
ἡμῶν ταῖς ἐκ τῶν παρὰ φύσιν γινομέναις χυμῶν. ἐξ ὧν πηγὰς γίνεσθαί
φησι καὶ σεισμούς· σεισμοὶ δὲ πάθη τῆς γῆς εἰσι βρασσομένης τε καὶ
10 ῥηγνυμένης, αἱ δὲ ἐκ τῶν ὑδάτων γινόμεναι πηγαὶ καὶ τὰ ἐκ τῶν ἀναθυ-
μιάσεων ἐν τῷ ἀέρι συμβαίνοντα οὐδὲν ἐργάζεται περὶ αὐτὴν πάθος. εἰ 25
δὲ τὰ ἀντρώδη τῆς γῆς λιθώδη τὴν φύσιν εἰσὶ καὶ πετρώδη, δῆλον ὡς
οὐδὲ καθαρᾶς εἰσι ταῦτα γῆς, ἀλλ' εἰς ἑτέραν φύσιν μεταλλοιωθείσης.
ζητητέον οὖν, τίνα λέγει τῆς γῆς εἴδη, καὶ εἰ κυρίως εἴδη φησὶν αὐτὰ ἢ
15 καταχρώμενος. καὶ περὶ πάντων τῶν γινομένων κατὰ τὰς κινήσεις
τούτων. τὰς τούτων κινήσεις ἀκουστέον ἢ πρὸς τὸ προσεχὲς πνευμάτων
καὶ σεισμῶν ἢ τῶν μερῶν καὶ τῶν εἰδῶν καὶ τῶν παθῶν. τοῦτο μὲν
οὖν ἀδύνατον· ποίαν γὰρ ἔχει τὰ μέρη κίνησιν ὡς μέρη, τὸ ἀνατολικὸν 30
λέγω καὶ τὸ δυτικὸν καὶ τὰ λοιπά, ποίαν δὲ τὰ εἴδη, τὸ ἀντρῶδες καὶ τὸ
20 μανὸν καὶ τὸ στερέμνιον καὶ πεπιλημένον καὶ ᾗ τι τοιοῦτόν ἐστιν ἕκαστον,
οὐδὲ πλάσαι ῥᾴδιον. ὁμοίως καὶ περὶ τῶν παθῶν ἐροῦμεν. λείπεται οὖν
τὰς ἐκ τῶν πνευμάτων κινήσεις ἀκούειν καὶ τῶν σεισμῶν, οἷον ἐπὶ μὲν
τῶν σεισμῶν τοὺς βρασμοὺς τῆς γῆς, τοὺς τρόμους, τὰς διαστάσεις, τὸ
τὴν βιαίαν διέξοδον τοῦ πνεύματος πλήττειν τὸν ἀέρα καὶ κτύπους καὶ
25 οἱονεὶ μυκηθμοὺς ἀποτελεῖν καὶ συναναρριπτεῖν τὴν ἐν τῷ βάθει ψάμμον καὶ 35
λίθους πολλάκις καὶ σύστασιν βορβορώδη τινά, τὸ πηγὰς τὰς πάλαι κρυ-
πτομένας ῥηγνυμένης τῆς γῆς ἀναδείκνυσθαι. καὶ κατὰ τὰς κινήσεις δὲ
τῶν πνευμάτων παράδοξά τινα γίνονται· λίθους γὰρ ἀνασπῶντες πολλάκις
πάλιν αὐτοὺς ἀφιᾶσι. καὶ τὸν καικίαν ἄνεμον οὕτω καλούμενον τἀναντία
30 τοῖς ἄλλοις ἀνέμοις ποιεῖν· τῶν γὰρ ἄλλων εἰς τὸ ἀντικείμενον τῷ ἐξ οὗ
φαίνονται διωθουμένων τὰ νέφη, τοὔμπαλιν οὗτος εἰς ἑαυτὸν ἕλκει ταῦτα, 40
ὃ καὶ εἰς παροιμίαν ἐξῆλθεν "ἕλκων εἰς ἑαυτὸν ὥστε καικίας νέφος".

p. 339a2 Ἐν οἷς τὰ μὲν ἀποροῦμεν, τῶν δὲ ἐφαπτόμεθά τινα τρόπον.

35 Φιλόσοφον τοῦ Ἀριστοτέλους τὸ ἦθος καὶ φιλάληθες· οὐ γὰρ ἀπαυθαδιάζεται τούτων ἑκάστου τὰς αἰτίας ἀποδείξειν ἐπαγγελλόμενος, ἀλλὰ περί

---

3 μανουμένη] πυκνουμένη M: κινουμένη a 7 ἐναπολείψεις M post ἐναπολήψεις iterat ὅμοιαι—σωμάτων sed rursus del. V 13 μεταλλοιωθείσης scripsi: μεταλλευθείσης Va: μεταλλευσθείσης M 19 δυσικὸν M 20 καὶ ᾗ τι scripsi: om. Ma: καὶ εἴ τι supra versum post σεισμῶν (22) V 21 λοίπεται M 23 et 26 τὸ scripsi: τῷ libri 27 ῥηγμένης M 32 ἕλκων—νέφος] cf. Arist. Meteor. B 6 p. 364b13 Probl. XXVI 29 p. 943a33 Nauck fr. trag. ad. 50 ἐφ' αὑτὸν Arist. utroque l. ὥσπερ Arist. Probl. l. l. 35. 36 ἀπαυθαδίζεται Ma

τινων μὲν ἀπορήσομεν, φησί, καὶ μόνον, λέγειν σὺν ἀποδείξει τὰς αἰτίας 77r
οὐκ ἔχοντες· εἰ γὰρ καὶ ἐπιστῆσαι ταύταις οὐκ ἔχομεν, ἀλλ' οὐκ ἄχρηστον
περὶ αὐτῶν ἀπορεῖν. ὁδὸς γὰρ εἰς εὐπορίαν τῶν ζητουμένων ἡ περὶ αὐτῶν 15
ἀπορία· αὐτὸ γὰρ τὸ τοῖς ἀμφισβητουμένοις ἐφιστάνειν ἤτοι ἀρχὴν τῆς
5 εὑρέσεως δίδωσιν ἢ αὐτό γε τοῦτο τὸ γινώσκειν ὡς οὐκ ἴσμεν τὸ προκεί-
μενον ἐξεπαίδευσε καὶ τὴν διπλῆν νοσεῖν οὐ συνεχώρησεν ἄγνοιαν. μέχρι
γὰρ νῦν πολλῶν ἐν τοῖς μετεώροις συμβαινόντων τὰς αἰτίας εὑρεῖν ἀκριβῶς
οὐκ ἔστιν, οἷον πῶς ἶρις γίνεται, πόθεν ἡ ἐπὶ τὰ πλάγια τῶν ἀνέμων
κίνησις, πόθεν τὸ τοῦ γαλαξίου χρῶμα· καὶ ταῦτα δείξομεν ἐκεῖσε γινόμενοι. 50
10 τῶν δέ, φησίν, ἐφαπτόμεθά τινα τρόπον, τουτέστι τὸν περὶ αὐτῶν
εὐθίκτως λόγον ἀποδίδομεν, οἱονεὶ τῆς οὐσίας αὐτῶν θιγγάνοντες, ὅσα ἐστὶ
τὰ περὶ τῆς τῶν νεφῶν συστάσεως, περὶ ὑετῶν καὶ βροντῶν καὶ ἀστραπῶν
καὶ χαλάζης καὶ τῶν τοιούτων. ἐγὼ δ' οἶμαι καὶ τοῦτο μετριάζων εἴρηκεν
ἐφαπτόμεθά τινα τρόπον λέγων, τουτέστιν οὐ διὰ βάθους χωροῦμεν,
15 ἀλλ' οἷον ἐπιπολῆς αὐτῶν ἁπτόμεθα. καὶ γὰρ εἰ μὴ τὸ ἀκριβὲς περὶ τού-
των λέγειν ἐνδέχεται, ἀλλ' οὐκ ἀνεννόητοι παν|τελῶς αὐτῶν ἐσόμεθα τῆς 77v
γενέσεως ἐπιπολῆς αὐτῶν ἁπτόμενοι.

p. 339a3 Ἔτι δὲ περὶ κεραυνῶν πτώσεως καὶ τυφώνων καὶ πρη-
στήρων καὶ τῶν ἄλλων τῶν ἐγκυκλίων, ὅσα διὰ πῆξιν συμβαίνει
20 πάθη τῶν αὐτῶν σωμάτων τούτων.

Ζητήσει γάρ, τί τούτων ἐστὶν ἕκαστον καὶ τὰς διαφορὰς αὐτῶν καὶ
τῆς γενέσεως τὰς αἰτίας. πτώσεως δὲ κεραυνῶν φησιν, ἐπειδὴ βίαιος 5
αὐτῶν ἡ κάτω φορὰ καὶ οἱονεὶ τῆς κατὰ φύσιν ὀλισθανόντων ἕδρας. καὶ
τῶν ἄλλων, φησί, τῶν ἐγκυκλίων, τουτέστι τῶν κατὰ κύκλον ἐτήσιον
25 γινομένων, ἃ διὰ πῆξιν γίνεται, φησί, τῶν αὐτῶν τούτων σωμάτων,
περὶ ὧν δηλονότι προσεχῶς εἶπεν, ὕδατος καὶ ἀέρος. οὐ τοὺς κεραυνοὺς
δέ φησι καὶ τυφῶνας καὶ πρηστῆρας πῆξει γενέσθαι, ἀλλὰ τῶν ἄλλων
ἐγκυκλίων, ὅσα διὰ πῆξιν γίνεται· διασταλτέον γὰρ ἐκείνων ταῦτα. τινὰ
γὰρ τῶν ἐγκυκλίων διὰ πῆξιν γίνεται, ἀέρος μὲν χιὼν πάχνη, ὕδατος 10
30 δὲ χάλαζα κρύσταλλος. εἰ μὲν γὰρ ἐν τῷ μετεώρῳ παγείη τὸ ὕδωρ,
χάλαζα γίνεται, εἰ δὲ κάτω, κρύσταλλος· πάλιν ὁ ἀὴρ ἄνω μὲν πηγνύμενος
χιὼν γίνεται, κάτω δὲ πάχνη.

p. 339a5 Διελθόντες δὲ περὶ τούτων θεωρήσομεν εἴ τι δυνάμεθα
κατὰ τὸν ὑφηγημένον τρόπον ἀποδοῦναι περὶ ζῴων καὶ φυτῶν,
35 καθόλου τε καὶ χωρίς· σχεδὸν γὰρ τούτων ῥηθέντων τέλος
ἂν εἴη γεγονὸς τῆς ἐξ ἀρχῆς ἡμῖν προαιρέσεως ἁπάσης.

Μετὰ γὰρ τὰ μετεωρολογικὰ ἡ περὶ ζῴων καὶ φυτῶν λείπεται θεωρία·

---

1 συναποδείξει M: συναποδείξειν a 2 ἄχριστον M 3 post ζητουμένων add. ἐστὶν Ma 4 αὐτὴ γὰρ MV τὸ om. M 13 post εἴρηκεν add. ὁ φιλόσοφος M 17 αὐτῶν om. a 19 συμβαίνη M 22 τῆς αἰτίας M 33 θεωρήσωμεν Arist. 34 ἀποδοῦναι supra versum V: om. Ma 35 post χωρίς

περὶ γὰρ μετάλλων ἐν τῷ τετάρτῳ τῶν προκειμένων ἐδίδαξε· καὶ οὕτω 77v
λοιπὸν ὁ προτεθεὶς ἡμῖν περὶ τῆς τῶν φυσικῶν θεωρίας σκοπὸς τέλος 16
εἴληφε. διδάξομεν δὲ καὶ περὶ τούτων, φησί, κατὰ τὸν ὑφηγημένον
τρόπον. ὁ μὲν οὖν Ἀλέξανδρος ὑφηγημένον φησὶ τρόπον, ὅτι μὴ ἱστορίαν
5 τινὰ παρέδωκεν ἐν τοῖς πρὸ τούτου ψιλήν, ἀλλὰ μετὰ τοῦ τὰς οἰκείας
αἰτίας ἑκάστου τῶν λεγομένων πιστοῦσθαι καὶ μετὰ ἀποδείξεως τὴν περὶ
αὐτῶν ποιεῖσθαι θεωρίαν. οὕτως οὖν ἀξιοῖ, φησὶν ὁ Ἀλέξανδρος, καὶ τὸν
περὶ τῶν ῥηθησομένων γίνεσθαι λόγον. ἐγὼ δὲ νομίζω κατὰ τὸν ὑφηγη- 20
μένον λέγειν τρόπον, ὃν ἀρτίως ὑφηγήσατο, τὸν ἐπιεικῆ καὶ φιλόσοφον, "ἐν
10 οἷς τὰ μὲν ἀποροῦμεν, τῶν δὲ ἐφαπτόμεθά τινα τρόπον". τῷ γὰρ περὶ
τούτων θεωρήσομεν προστεθὲν τὸ εἴ τι δυνάμεθα τοῦτο μᾶλλον
ἐμφαίνει. περὶ ζῴων καὶ φυτῶν καθόλου τε καὶ χωρὶς ἐπαγγέλ-
λεται διδάσκειν· κοινὴν μὲν γὰρ ἔχει περὶ ζῴων θεωρίαν ἡ Περὶ ζῴων
ἱστορίας αὐτοῦ πραγματεία, ἡ Περὶ ζῴων γενέσεως, ἡ Περὶ ζῴων μορίων
15 πορείας τε τούτων καὶ κινήσεως, ἡ Περὶ ψυχῆς, ἡ Περὶ αἰσθήσεως καὶ
αἰσθητῶν, ἡ Περὶ ὕπνου καὶ ἐγρηγόρσεως, ἰδία δὲ καὶ κεχωρισμένη ἡ Περὶ 25
μνήμης καὶ ἀναμνήσεως καὶ τῆς καθ' ὕπνον μαντικῆς· ταῦτα γὰρ ἀνθρώποις
ἁρμόζει καὶ μόνοις.

p. 339 a 9 Ὧδε οὖν ἀρξάμενοι λέγωμεν περὶ αὐτῶν πρῶτον. ἐπειδὴ
20 γὰρ διώρισται πρότερον ἡμῖν μία μὲν ἀρχὴ τῶν σωμάτων, ἐξ ὧν
συνέστηκεν ἡ τῶν ἐγκυκλίως φερομένων σωμάτων φύσις, ἄλλα
δὲ τέτταρα σώματα διὰ τὰς τέτταρας ἀρχάς, καὶ τὰ ἑξῆς.

Ἀφορισάμενος τὸν σκοπὸν τῆς παρούσης πραγματείας, πρὶν εἰς τὴν 30
περὶ αὐτῶν τῶν ζητουμένων ἐμβάλῃ θεωρίαν, ὑπομιμνήσκει πρότερον ἡμᾶς
25 τῶν ἐν τῇ Περὶ οὐρανοῦ καὶ ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς εἰρημένων
[ἃ] καὶ ἀρχὰς ἐκεῖνα ποιεῖται τῶν λεχθῆναι μελλόντων. εὑρήσει γὰρ δι'
αὐτῶν τήν τε ὕλην τῶν ἐν τοῖς μετεώροις παθῶν καὶ τὸ ποιητικὸν αἴτιον·
τούτων γὰρ ἐν τῇ προκειμένῃ θεωρίᾳ χρήζει καὶ μόνων. τίνα οὖν ἐστι
τὰ ἐν ἐκείνοις προειλημμένα; ὅτι πέντε εἰσὶ τοῦ κόσμου παντὸς τὰ στοιχεῖα,
30 τέσσαρα μὲν τῶν ὑπὸ σελήνην, πῦρ, ἀήρ, ὕδωρ καὶ γῆ, ἕτερον δὲ παρὰ 35
ταῦτα τὸ πέμπτον τῶν οὐρανίων. ἁπλᾶ γὰρ ἐκεῖνα πάντα τὴν φύσιν εἶναι
βούλεται τὴν σύνθεσιν ἐξ ἀσωμάτων ὕλης καὶ εἴδους ἔχοντα, † εἰ καὶ μηδὲ
τὰ τοιαῦτα· ὑπόκειται μὲν γὰρ αὐτοῖς τὸ πέμπτον στοιχεῖον, εἴδη δὲ τούτῳ

in inf. marg. add. ὁ μὲν ὀλυμπιόδωρος τὸ σχεδὸν εἴρηκε διὰ τὸ περὶ ψυχῆς. ἀλλ' οὐκ ἔστι τοῦτο. συμπεριέχεται μὲν γὰρ καὶ τοῦτο τοῖς περὶ ζώων. οἶμαι δὲ ὅτι διὰ τὸ περὶ μετάλλων εἴρηκε τοῦτο· οὔτε γὰρ τοῖς περὶ ζώων οὔτε τοῖς περὶ φυτῶν περιέχεται ταῦτα V
4 et 7 Ἀλέξανδρος] p. 4,7 sqq. 9 λέγει a τρόπον λέγειν coll. M 10 τῶν] τὰ V τῷ scripsi: τὸ libri 11 προστεθὲν τὸ V: προστεθέντες M: προστιθέντες a 12 post ζῴων add. τε V 14 ἡ post πραγματεία om. Ma 17 ἀναμνήσεως] ἐγρηγόρσεως V 21 ἐγκυκλίως V Arist. vulg.: ἐν κύκλῳ Ma: ἐγκύκλῳ Arist. E 22 καὶ τὰ ἑξῆς om. et lemma usque ad ληπτέον (p. 339 a 21) producit V 24 ἐμβάλλει V 26 ἃ delevi 30 μὲν τὰ ὑπὸ Ma 31 τὸ om. Ma 32. 33 εἰ καὶ — τοιαῦτα depravata sunt: εἰ καὶ μὴ δι' ἑαυτὰ τὰ τοιαῦτα coni. Diels

συνιόντα διάφορα κατ' ἄλλο καὶ ἄλλο μέρος αὐτοῦ τὴν τῶν ἐγκυκλίων 77v
σωμάτων διαφορὰν ἀπειργάσατο, σελήνης, ἡλίου καὶ τῶν λοιπῶν. περὶ δὲ
τῶν στοιχείων τῶν ἐν γενέσει καὶ φθορᾷ σωμάτων ὅτι τέσσαρα μόνα ἐστὶ
καὶ οὔτε πλείονα τούτων οὔτε ἐλάττονα, ἐκ τῶν τεσσάρων ἀρχῶν θερμοῦ 10
5 τε καὶ ψυχροῦ, ξηροῦ τε καὶ ὑγροῦ (αὗται γὰρ τῶν στοιχείων αἱ ἀρχαί)
ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς συνελογίσατο, ὅτι ἡ τούτων τῶν τεσσά-
ρων ἀρχῶν συμπλοκὴ τέσσαρα καὶ μόνα γεγέννηκεν. ὅτι δὲ τῶν τεσσάρων
διπλῆ ἡ κίνησις, ἥ τε ἀπὸ τοῦ μέσου καὶ ἡ ἐπὶ τὸ μέσον, καὶ τοῦτο λαμ-
βάνει νῦν ὁμολογούμενον, ὡς ἐν τοῖς Περὶ οὐρανοῦ δεδειγμένον· καὶ ὅτι
10 πᾶσι μὲν ἐπιπολάζει τὸ πάντων κουφότατον, ὑφίσταται δὲ πᾶσιν ἡ γῆ τὸ
πάντων βαρύτατον, μέσα δὲ τούτων τὰ λοιπὰ δύο, ὕδωρ μὲν τῇ γῇ πλη- 45
σιάζον ὡς ἧττον αὐτῆς βαρύ, ἀὴρ δὲ τῷ πυρὶ ὡς ἧττον αὐτοῦ κοῦφος.
καὶ ἐπειδὴ δέδεικται μηδὲν εἶναι κενόν, δῆλον ὡς ἅπτεται τοῦ κυκλοφορου-
μένου σώματος ἡ τοῦ πυρὸς οὐσία, τοῦ δὲ πυρὸς ὁ ἀὴρ καὶ τούτου τὸ
15 ὕδωρ καὶ τοῦ ὕδατος ἡ γῆ, κενοῦ μηδενὸς ἀπολειφθέντος ἐν μέσῳ. τὰ οὖν
ἐν τούτῳ τῷ ὑπὸ σελήνην κόσμῳ γινόμενα πάθη πόθεν συμβαίνουσι, τὸ
προκείμενον ζητεῖ βιβλίον, τήν τε ὕλην αὐτῶν καὶ τὸ ποιητικὸν αἴτιον.

p. 339a21 Ἔστι δὲ ἐξ ἀνάγκης συνεχής πως οὗτος ταῖς ἄνωθεν 50
φοραῖς, ὥστε πᾶσαν αὐτοῦ τὴν δύναμιν κυβερνᾶσθαι ἐκεῖθεν·
20 ὅθεν γὰρ ἡ τῆς κινήσεως ἀρχὴ πᾶσιν, ἐκείνην νομιστέον αἰτίαν
πρώτην.

Ὅτι μὲν οὖν οὐδὲν διαλαμβάνει κενὸν μεταξὺ τὰ πέντε σώματα,
ἐξ ὧν ἀπεδείχθη καθόλου μηδὲν εἶναι κενὸν ὡμολόγηται. εἰπὼν δὲ συν-
εχὴς ἀναγκαίως προσέθηκε τὸ πῶς ἀόριστον, συνεχής πως, καὶ τά γε
25 ἀκριβέστερα τῶν ἀντιγράφων οὕτως ἔχει, διότι συνεχῆ μὲν οὐκ ἔστι κυρίως
τὰ ὑπὸ τὴν σελήνην τοῖς οὐρανίοις, ἅπτεται δὲ μόνον αὐτῶν. συνεχῆ 78r
γάρ ἐστιν ὧν τὰ πέρατα ἕν, ὥσπερ τὰ μέρη τῆς ἀτμήτου εὐθείας καὶ
παντὸς ἄλλου μὴ διῃρημένου σώματος· δυνάμει γάρ ἐστι μόνον νοούμενα
τὰ μέρη τούτων. ἁπτόμενα δέ ἐστιν, ὧν τὰ πέρατα διάφορα κατ' ἐνέργειαν,
30 εἰ καὶ ἐφαρμόζει πως ἀλλήλοις τῇ ἁφῇ καὶ ἵν' οὕτως εἴπω δυνάμει γίνεται
συνεχῆ. δείξας δ' ὅτι συνεχής ἐστιν ὁ ὑπὸ σελήνην κόσμος τοῖς οὐρανίοις, 5
τούτου τὴν αἰτίαν ἀποδίδωσιν. ὥστε, φησί, πᾶσαν τοῦ ὑπὸ σελήνην
κόσμου τὴν δύναμιν κυβερνᾶσθαι ἐκεῖθεν. ἡ γὰρ τῶν ἀστέρων καὶ
καθόλου τῶν οὐρανίων περιφορὰ τῆς τῶν ἔνδον ἁπάντων σωμάτων διοικη-
35 σεώς ἐστιν αἰτία· ἡ γὰρ ποιὰ κίνησις αὐτῶν τροπὰς ποιεῖ τοῖς τῇδε καὶ
μεταβολάς, ἐξ ὧν χειμὼν καὶ θέρος καὶ ἡ τῶν ἄλλων καιρῶν ὕπαρξις, ἐξ
ὧν γένεσις καρπῶν καὶ φυτῶν, ἀφ' ὧν τρέφεται τὰ ζῷα καὶ γίνεται τὴν

6 ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς] B 2. 3 8 ἡ post καὶ om. Va 9 ἐν τοῖς Περὶ οὐρανοῦ] A 2 18 πως om. V 20 ἡ τῆς κινήσεως ἀρχὴ V (αι αι) 22 οὖν om. Ma 31 δ' om. M 33 ἄστρων Ma 34 οὐρίων M

ὅλην ἐξ αὐτῶν χορηγούμενα. εἰ οὖν ἐκεῖθεν κυβερνᾶται τὰ ὑπὸ σελήνην, 78r
σώματα δὲ ποιεῖν εἰς ἕτερα σώματα χωρὶς ἁφῆς ἐστιν ἀδύνατον, ἀνάγκη 11
ἄρα συνεχῆ τὸν κάτω κόσμον εἶναι τοῖς οὐρανίοις, ἵνα διὰ τῆς ἁφῆς τὰ
μὲν ποιῇ, τὰ δὲ πάσχῃ. ὅτι δὲ κυβερνᾶται ἐκεῖθεν κατασκευάζων ἐπήγαγεν
5 ὅθεν γὰρ ἡ τῆς κινήσεως ἀρχὴ πᾶσιν, ἐκείνην νομιστέον αἰτίαν
πρώτην. εἰ γὰρ τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως τὸ ποιητικόν ἐστιν αἴτιον,
δέδεικται δὲ ὅτι τοῖς ἐντὸς ἡ ἀρχὴ τῆς κινήσεως ἐκεῖθέν ἐστι, τοῦτο ἂν
εἴη τὸ ποιητικὸν αὐτῶν ὡς ἐν σώματι πρῶτον αἴτιον· δῆλον γὰρ ὅτι τὸ 15
ἐξῃρημένον αἴτιον κυρίως ἐστὶ πρῶτον αἴτιον, τὸ καὶ τοῖς κύκλῳ τοῦ κινεῖ-
10 σθαι οὕτως ὑπάρχον αἴτιον. πρῶτον οὖν ἐστι τὸ συντεταγμένον αἴτιον ὁ
οὐρανός· καὶ γὰρ ὁ ὑετὸς αἴτιος τῶν καρπῶν καὶ ὁ γεωργὸς καὶ ἡ τῶν
ἀέρων εὐκρασία, καὶ τῶν ζῴων τὸ σπέρμα καὶ ὁ σπείρας αὐτὸ καὶ ἄλλα
πλεῖστα, ἀλλὰ τούτων ἁπάντων πρῶτον αἴτιον ἡ τῶν οὐρανίων περιφορά.
εἰ οὖν ἁπάντων τῶν γινομένων τοῦτό ἐστι πρῶτον αἴτιον, οὐκοῦν καὶ τῶν
15 ἐν τῷ μετεώρῳ συνισταμένων ἔσται αἴτιον πρῶτον, περὶ ὧν ἡμῖν ἡ ζήτησις. 20

p. 339a 24 Πρὸς δὲ τούτοις ἡ μὲν ἀίδιος καὶ τέλος οὐκ ἔχουσα τῷ τόπῳ τῆς κινήσεως, ἀλλ' ἀεὶ ἐν τέλει· ταῦτα δὲ τὰ σώματα πάντα πεπερασμένους διέστηκε τόπους ἀπ' ἀλλήλων.

Καὶ τοῦτο πρὸς ἀπόδειξιν τοῦ πρῶτον αἴτιον εἶναι τῆς τῶν ἐντὸς μετα-
20 βολῆς καὶ κινήσεως τὰ κύκλῳ κινούμενα. τοῦ γὰρ γινομένου καὶ φθειρομένου
τὸ μήτε γινόμενον μήτε φθειρόμενον αἴτιόν ἐστι καὶ τὸ τέλειον τοῦ ἀτελοῦς 25
καὶ τὸ [τε] ἀεὶ ὡσαύτως ἔχον τοῦ μὴ τοιούτου. τέλειος δὲ ἡ κύκλῳ καὶ
ἀεὶ ὡσαύτως ἔχουσα. ἡ δὲ ἐπ' εὐθείας κίνησις ἀρχὴν ἔχει καὶ τέλος καὶ
ἠρεμίᾳ διαλαμβάνεται. τῆς γὰρ τῶν ὄντων φύσεως ἐν τάξει προϊούσης
25 μεταξὺ τῶν ἀσωμάτων καὶ νοητῶν καὶ παντάπασιν ἀμεταβλήτων καὶ τῶν
ἀεὶ γινομένων καὶ φθειρομένων μέσα πως τὰ οὐράνια τέτακται σώματα·
τῷ μὲν ⟨γὰρ⟩ σώματα εἶναι καὶ τῷ μὴ παντελῶς ἀκίνητα καὶ ἀμετάβλητα
(μεταβάλλει γὰρ κατὰ τόπον) καὶ ὑφεῖται τῶν πρώτων καὶ ἠλάττωται· 30
τῶν δὲ κατὰ πάντα μεταβαλλόντων, οὐσίᾳ τε καὶ ποιότητι καὶ τόπῳ, οἷά
30 ἐστι τὰ ὑπὸ σελήνην, προσεχῶς ὑπερανέστηκε τὰ κατὰ τόπον κινούμενα
καὶ μόνον. ἀλλὰ καὶ τῷ συνεχεῖ καὶ ἀδιακόπῳ τῆς κινήσεως ἕστηκε τῷ
ἀεὶ κινεῖσθαι καὶ ἵν' οὕτως εἴπω ἐν κινήσει ἐστὶν ἀκίνητα καὶ τῷ τὴν
ὁλότητα τοῦ οὐρανοῦ τὸν αὐτὸν ἀεὶ τόπον ἐπέχειν καὶ μὴ μεταβαίνειν ἐξ
ἑτέρου εἰς ἕτερον. μεσότης οὖν τῶν τε πρώτων ἐστὶ καὶ τῶν ἐσχάτων ὁ
35 οὐρανός, οὔθ' ὡς ἐκεῖνα τὸ ἀμετάβλητον ἔχων οὔθ' ὡς ταῦτα τὸ πάντῃ 35
μεταβάλλειν, καὶ ὡς ἐξ ἐκείνων ἔχει τὸ ἀμετάβλητον ἐν κινήσει, οὕτω τοῖς
μετ' αὐτὸν τὸ ἀεὶ μεταβάλλεσθαι διὰ τῆς ἀεικινησίας τῆς ἑαυτοῦ δίδωσι.
τέλος γὰρ οὐκ ἔχει, φησί, τῷ τόπῳ τῆς κινήσεως, τουτέστι τῆς κατὰ
τόπον κινήσεως· οὐ γάρ ἐστι τόπος, ἐφ' ᾧ ἐλθὼν ὁ οὐρανὸς στήσεται,

9 ἐξῃρημένον scripsi: ἐξηρτημένον libri 10 post πρῶτον add. μὲν Ma 18 τόπους ἀλλήλων Arist.: τόπους ὑπ' ἀλλήλων M 22 τε delevi 27 γὰρ addidi 28 ἠλάττωνται a

ὥσπερ τὰ ἐπ' εὐθείας κινούμενα τὰ κοῦφα μὲν ἀρχὴν ἀπὸ τοῦ μέσου ποι- 78ʳ
ούμενα τῆς κινήσεως, εἰς δὲ τὸ ἄνω τῆς εὐθείας ἐλθόντα πέρας ἵσταται,
τὴν κοίλην ἐπιφάνειαν λέγω τῆς σεληνιακῆς σφαίρας, καὶ τὰ βαρέα τοὔμ- 10
παλιν ἐκεῖθεν ἀρξάμενα φέρεσθαι κάτω τὸ μέσον τοῦ παντὸς ἵσταται κατ-
5 ειληφότα. εἰπὼν δὲ τέλος οὐκ ἔχουσα τῷ τόπῳ τῆς κινήσεως, ἵνα
μήτις διὰ τούτου νομίσειεν αὐτὸν ἀτελῆ εἶναι τὴν κύκλῳ λέγειν, ἐπήγαγεν
ἀλλ' ἀεὶ ἐν τέλει ἐστί, τουτέστι τὸ τέλειον ἔχει τῆς κινήσεως ἀεί· οὐ γὰρ
ὥσπερ ἡ ἐπ' εὐθείας ἄρχεται μὲν ἀπό τινος σημείου, λήγει δὲ εἰς ἕτερον,
οὕτω καὶ ἡ κύκλῳ, οἷον ἄρχεται μὲν τυχὸν ἀπὸ κριοῦ, λήγει δὲ εἰς ἰχθύας, 15
10 ἀλλ' ἕκαστον σημεῖον καὶ ἀρχὴν καὶ πέρας ἔχει καὶ μεσότητα, πρὸς μὲν
τὸν ἤδη διηνυσμένον αὐτῇ κύκλον τέλος, πρὸς δὲ τὸν διανυσθησόμενον αὖθις
κατὰ συνέχειαν στάσεως καὶ ἠρεμίας χωρὶς ἀρχήν, καὶ πρὸς ἄλλο τι
σημεῖον μεσότητα, ἐν ᾧ τοῦ τεθέντος κατ' ἐπίνοιαν κύκλου τὸ ἥμισυ διή-
νυσεν ἀκριβῶς. ἀλλ' οὐδ' ἔστιν εἰπεῖν ὡς ἀνατολὴ μὲν ἀρχὴ τῆς τοιαύτης
15 ἐστὶ κινήσεως ἢ δύσις ἢ τὸ μεσουράνημα, ἢ τέλος τούτων τι ἢ πάλιν 50
μεσότης· ἡ γὰρ ἡμῖν ἀνατολὴ παρ' ἑτέροις ἐστὶ μεσουράνημα καὶ δύσις
παρ' ἄλλοις· καὶ ἐπὶ ἑκάστου τῶν κύκλῳ σημείων τὸ αὐτό. ὥστε εἰ ἐν
οἱῳδήποτε σημείῳ τὸ κινούμενον λάβοις, ἐκεῖ πάντως τὸ τέλειον ἔχει καὶ
ἀρχὴν καὶ τέλος ἅμα καὶ μεσότητα συνειλημμένα, οἷς τὸ τέλειόν τινες
20 ὁρίζουσι. κἀκεῖνο δὲ προστίθεμεν ὡς οὐδέν ἐστιν ἐνεργείᾳ σημεῖον ἐν τῷ
οὐρανῷ, ἀλλὰ μόνῃ δυνάμει· συνεχὴς γὰρ ὅλος ἐστὶ δι' ὅλου. εἰ οὖν
μήτε σημεῖόν ἐστιν ἐκεῖ ἐνεργείᾳ μήτε στάσις τῶν κινουμένων, ἀλλὰ συν-
εχὴς καὶ ἀδιάκοπός ἐστιν αὐ|τῶν ἡ κίνησις, ἀδύνατον ἄρα ἢ ἀρχὴν κινήσεως 78ᵛ
ἐν αὐτοῖς ἢ πέρας εὑρεῖν. διὰ τί δὲ κύκλῳ κινεῖται; φησὶν ὁ Πλωτῖνος·
25 ὅτι νοῦν μιμεῖται. ὡς γὰρ ὁ θεῖος νοῦς καὶ δημιουργικὸς εἰς ἑαυτὸν ἐπι-
στρεφόμενος θεωρεῖ πάντα καὶ ἑαυτὸν ἐν ἐκείνοις, οὕτω κατὰ τὸ δυνατόν,
φησί, μιμούμενα τοῦτον τὰ κατ' οὐρανὸν εἰς ἑαυτὰ τὴν ἐπιστροφὴν ποιεῖται·
καὶ ὡς ἐκεῖνος οὐδαμοῦ μέν ἐστι τῇ οὐσίᾳ, πανταχοῦ δὲ ταῖς ἐνεργείαις, 5
οὕτω καὶ οὐρανὸς ἅμα πανταχοῦ εἶναι σῶμά γε ὢν μὴ δυνάμενος κατὰ
30 μέρη πανταχοῦ γίνεται· καὶ ὅτι τῇ οὐσίᾳ τῶν ἐντὸς ἐξῃρημένος κυβερνᾷ
πάντα ταῖς ἑαυτοῦ ἐνεργείαις. τοιαύτη μὲν οὖν ἡ κύκλῳ, τῶν ἄλλων δὲ
κινήσεων οὐδεμία. ἐπειδὴ γὰρ ἄπειρος, εὐθεῖα οὐκ ἔστι· δέδεικται γὰρ
⟨ὅτι⟩ ἐπειδὰν τὰ εὐθυπορικὰ ἐπὶ τὸ πέρας ἀφίκηται τῆς εὐθείας ἐφ' ἧς
κινοῦνται, ἵσταται πάντως κατειληφότα τὸ οἰκεῖον τέλος, εἰς ὃ γενέσθαι
35 κατὰ φύσιν διὰ τῆς κινήσεως ἠπείγοντο· ὥστε ἀδύνατον τελείαν ἢ ἀΐδιον 10
εἶναι τὴν ἐπ' εὐθείας κίνησιν, ἀλλ' ἀτελῆ καὶ ἀρχὴν ἔχουσαν πάντως καὶ
πέρας.

p. 339ᵃ27 Ὥστε τῶν συμβαινόντων περὶ αὐτὸν πῦρ μὲν καὶ γῆν
καὶ τὰ συγγενῆ τούτοις ὡς ἐν ὅλης εἴδει τῶν γινομένων αἴτια

1 μέσου] σ in lit. M¹ 6 λέγων Ma 24 ὁ Πλωτῖνος] Enn. II 2 init.
29 ο οὐρανὸς a 33 ὅτι addidi ἐπειδὴ M 38 μὲν om. a

χρὴ νομίζειν (τὸ γὰρ ὑποκείμενον καὶ πάσχον τοῦτον προσαγο- 78v
ρεύομεν τὸν τρόπον), τὸ δ' οὕτως αἴτιον, ὅθεν ἡ τῆς κινήσεως
ἀρχή, τὴν τῶν ἀεὶ κινουμένων αἰτιατέον δύναμιν.

Τίνος ἕνεκεν ἐμνήσθη τῶν πρότερον εἰρημένων ἐν τοῖς Περὶ οὐρανοῦ καὶ ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς, διδάσκει νῦν· ἵνα δείξῃ, τίς μὲν ἡ τῶν γινομένων καὶ φθειρομένων ἁπάντων ὕλη, ὅτι τὰ τέσσαρα στοιχεῖα, τί δὲ τὸ πρώτως ποιητικὸν αἴτιον αὐτῶν, ὅτι τὰ κύκλῳ κινούμενα. τὸ γὰρ ὅθεν ἡ ἀρχὴ τῆς τινων κινήσεως τὸ ποιητικὸν αὐτῶν ἐστιν αἴτιον· δῆλον οὖν ὅτι τὰ αὐτὰ ταῦτα καὶ τῶν ἐν τῷ μετεώρῳ συμβαινόντων παθῶν ἐστιν αἴτια. συγγενῆ δὲ τῷ πυρὶ καὶ τῇ γῇ τὸν ἀέρα φησὶ καὶ τὸ ὕδωρ. περὶ αὐτὸν δὲ λέγει τὸν περὶ τὴν γῆν δηλονότι κόσμον, τουτέστι τὸν ὑπὸ σελήνην, ἐν ᾧ πᾶσα γένεσίς ἐστι καὶ φθορά. εἰπὼν δὲ ὡς ἐν ὕλης εἴδει σαφηνίζει τὸ εἰρημένον, ὡς μὴ λίαν ἔτι γνωρίμου τοῦ τῆς ὕλης ὄντος ὀνόματος· ὅτι γὰρ ἄν, φησίν, ὑπόκειταί τινι εἰς τὸ καταδέξασθαι παθεῖν ἅπερ ἂν ἐκεῖνο ποιῇ, ὕλην τοῦτο προσαγορεύομεν, ὡς τὸν χαλκὸν ὕλην ὑποκεῖσθαι τῷ ἀνδριαντοποιῷ φαμεν εἰς τὸ ποιῆσαι καὶ ἐνθεῖναι τούτῳ τὸ τοῦ ἀνδριάντος εἶδος· αὐτὸ δὲ τὸ ποιοῦν καλοῦμεν τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τὸν ἀνδριαντοποιόν. τῶν δὲ φυσικῶν τὸ πρῶτον αἴτιόν ἐστιν ὡς ἐν σώμασι τὰ κύκλῳ κινούμενα καὶ ἡ ἀπ' αὐτῶν ἐγγινομένη δύναμις εἰς τὰ γειτνιάζοντα σώματα καὶ τούτων ἁπτόμενα. ταύτην δὲ τὴν δύναμιν, φησὶν ὁ Ἀλέξανδρος, εὐλόγως ἄν τις ὀνομάζοι φύσιν, αἰτίαν οὖσαν πάντων τῶν φύσει καὶ κατὰ φύσιν γίνεσθαι πιστευομένων. τὸ δὲ ὡς ἐν ὕλης εἴδει φησίν, ὅτι ἡ κυρίως ὕλη ἐστὶ τὸ εἰς ὃ ἔσχατον ἀναλύεται τὰ σώματα, ὃ καὶ ἀμετάβλητόν ἐστι, τὰ δὲ στοιχεῖα μεταβάλλει εἰς ἄλληλα. μετὰ δὲ ταῦτα πάλιν ἀναλαμβάνει τὰ πρότερον εἰρημένα περὶ τῶν τεσσάρων στοιχείων, ὡς ἐξ ἀλλήλων ἔχει τὴν γένεσιν καὶ ἐν ἑκάστῳ δυνάμει ἐστὶ τὰ λοιπὰ τρία, μιᾶς αὐτοῖς ὑποκειμένης ὕλης· οὐ γὰρ ἂν εἰς ἄλληλα μετέβαλλον μὴ οὕτως ἔχοντα. καὶ γὰρ ἐπὶ τῶν ἄλλων ἴσα ποιεῖται τὴν εἰς ἄλληλα μεταβολήν, οἷον χαλκοῦς ἵππος εἰ εἰς ἀνδρείκελον μεταβάλοι σχῆμα, μίαν καὶ τὴν αὐτὴν ὕλην τὸν χαλκὸν ἔχουσιν ὑποκείμενον. ὁμοίως καὶ ἐπὶ τῶν ἐκ χρυσοῦ συνεστώτων καὶ κηροῦ καὶ τῶν τοιούτων· τὸ γὰρ χρυσοῦν πινάκιον γένοιτ' ἂν ξέστης χρυσοῦς καὶ οὗτος εἰς κρατῆρα μεταβάλοι, καὶ ὁ κήρινος κύβος γένοιτ' ἂν κηρίνη σφαῖρα. τὸ δὲ εἰς ὃ ἀναλύεται ἔσχατόν φησι, διότι τὸ ζῷον φέρε πρῶτον ἀναλύεται εἰς τὰ ὁμοιομερῆ, καὶ ταῦτα πάλιν εἰς τοὺς τέσσαρας χυμούς, τὰ δὲ στοιχεῖα εἰς ἔσχατον τὴν ὕλην καὶ τὸ εἶδος. τούτων δὲ ἡμᾶς ὑπέμνησεν, ἵνα τὴν μνήμην αὐτῶν ἔναυλον ἔχοντες τοῖς λεχθησομένοις ῥᾷον δυναίμεθα παρακολουθεῖν.

---

2 οὕτως] ὄντως a: ὄντος M  αἴτιον ὡς ὅθεν Arist. E  16 ἀνδριαντοποιῷ] ῶ in lit. M  21 Ἀλέξανδρος] 7,12  27 αὐτοῖς] αὐτῆς M  28 ἴσα] fort. ὅσα  29 εἰ om. Ma  μεταβάλλοι a  30 αὐτὴν om. a  χαλκοῦν Ma  32. 33 μεταβάλλει Ma  34 διότι] διὸ a

p. 339b2 Πρῶτον μὲν οὖν ἀπορήσειεν ἄν τις περὶ τὸν καλού- 78v
μενον ἀέρα, τίνα τε χρὴ λαβεῖν αὐτοῦ τὴν φύσιν ἐν τῷ περι- 40
έχοντι κόσμῳ τὴν γῆν, καὶ πῶς ἔχει τῇ τάξει πρὸς τὰ ἄλλα τὰ
λεγόμενα στοιχεῖα τῶν σωμάτων.

Διδάξας καθόλου περὶ τῶν τοῦ κόσμου στοιχείων ὅτι πέντε τὸν ἀρι-
θμόν εἰσιν, ἓν μὲν τὸ τῶν κυκλοφορουμένων, τὰ δὲ λοιπὰ τέσσαρα τῶν ὑπὸ
σελήνην, ἐν οἷς πᾶσα γένεσις θεωρεῖται καὶ φθορά (ταῦτα γὰρ εἶπε τὰς ἐξ 45
ἀρχῆς θέσεις, ἃς δεῖ προχείρους ἔχειν πρὶν εἰσβαλεῖν εἰς τὸ προκείμενον),
ἀπορίαν τινὰ χρησιμεύουσαν εἰς τὰ λεχθησόμενα προαπορεῖ τε καὶ ἐπι-
λύεται, ποίων σωμάτων ὁ ἀπὸ γῆς τόπος μέχρι τῆς ἐσχάτης ἐπιφανείας
τῆς ἀπλανοῦς πεπλήρωται, πότερον ἑνὸς ἢ πλειόνων, καὶ εἰ πλειόνων,
πόσων τε καὶ τίνων καὶ ποίαν ἐχόντων τάξιν πρὸς ἄλληλα. περιεχομένης
γὰρ τῆς γῆς ὑπὸ τῶν οὐρανίων καὶ τῆς τοῦ πυρὸς οὐσίας καὶ τοῦ ἀέρος,
τῆς δὲ αἰσθήσεως ἡμῶν ἀέρος ἀντιλαμβανομένης καὶ μόνου, ζητήσειεν ἄν 50
τις εἰκότως, τίς ἡ τούτου τοῦ ἀέρος περὶ τἆλλα φύσις καὶ τίς ἡ πρὸς τὰ
λοιπὰ τούτου τάξις καὶ μέχρι τίνος διήκει. καλῶς δὲ εἶπε τὰ λεγόμενα
στοιχεῖα· οὐ γάρ ἐστι ταῦτα στοιχεῖα κυρίως, ἀλλ' ἡ ὕλη καὶ τὸ εἶδος,
ἐξ ὧν ἁπλῶν ὄντων συνετέθη ταῦτα. τὸ δὲ τίνα χρὴ λαβεῖν αὐτοῦ
τὴν φύσιν οἶμαι μὴ περὶ τῆς οὐσίας αὐτοῦ τίς ποτέ ἐστι, λέγειν (οὐδὲ
γὰρ φαίνεται τοῦτο νῦν ζητῶν ἐν τῷ Περὶ γενέσεως ἤδη καὶ φθορᾶς εἰρη- 20
μένον) ἀλλὰ περὶ τοῦ ποσοῦ τοῦ μεγέθους αὐτοῦ, καὶ μέχρι τίνος ἀφι-
κνεῖται, ὡς τὸ συνεχὲς τῆς διδασ|καλίας συμβαίνει. αὐτὸς γὰρ ἤδη τὰ δο- 79r
κοῦντα περὶ τούτων ἐδίδαξεν, ὡς πέντε μέν εἰσι τοῦ παντὸς κόσμου τὰ
στοιχεῖα, καὶ τίς ἡ φύσις αὐτῶν καὶ ὅπως ἔχουσι πρὸς ἄλληλα τάξεως·
ἐπειδὴ δὲ ἄλλως περὶ αὐτῶν τινες δοξάζουσιν, εὔλογον ἡγεῖται τὰς ἐκείνων
πρότερον ὑπονοίας ἐλέγξαι. ἐκ διαιρέσεως δὲ πρόεισιν ὁ λόγος αὐτῷ. ὁ
μὲν γὰρ τῆς γῆς ὄγκος, φησί, δῆλος ὑπάρχει καὶ τὸ ἐν τοῖς κοιλώμασιν αὐτῆς 5
συρρεῦσαν ὕδωρ, ἐξ ὧν ἁπτομένων εἰς ὄγκος γίνεται ἐξ ἀμφοῖν σφαιρο-
ειδὴς τὸ τοῦ παντὸς ἐπέχων μέσον. τὸ δὲ μετὰ τοῦτο λοιπὸν ἕως τοῦ
ἐσχάτου οὐρανοῦ ἢ πῦρ εἶναι καὶ μόνον ἀνάγκη ἢ ἀέρα μόνον ἢ ἀμφότερα
ἀέρα καὶ πῦρ, ἢ τὸ λειπόμενον καὶ αὐτῷ δοκοῦν ἐξ ἀέρος τε καὶ πυρὸς
καὶ τρίτου τινὸς ἑτέρου, τοῦ πέμπτου σώματος. ταύτης οὖν οὕτως ἐχούσης
τῆς διαιρέσεως δείξει προϊὼν ὡς οὔτε ἐκ μόνου πυρὸς ἀπὸ τῆς γῆς συν-
έστηκεν οὔτε ἐξ ἀέρος μόνου οὔτε ἐκ μόνων τῶν δύο πυρὸς καὶ ἀέρος,
ἀλλὰ τὸν μὲν ἀέρα καὶ τὴν τοῦ πυρὸς ἐφεξῆς οὐσίαν, πῦρ δὲ τὸ στοιχει- 10
ῶδές φημι, μέχρι σελήνης διήκειν, τὸ δὲ λοιπὸν διάστημα τὸ μέχρι τῶν
ἄστρων, ἐκ τοῦ πέμπτου συνεστηκέναι σώματος. τὰ δὲ καθ' ἕκαστα τῶν
ἀποδείξεων τὴν λέξιν ἐπιόντες εἰσόμεθα.

3 ἔχει τάξει Arist. E 6 τὸ om. M 9 λεχθησόμενα] προκείμενα V 11 καὶ εἰ πλειόνων om. Ma 12 πόσον M τε om. a 20 Περὶ γενέσεως — καὶ φθορᾶς] B 3 28. 29 σφαιροειδὴς om. a

p. 339ᵇ6 Ὁ μὲν γὰρ δὴ τῆς γῆς ὄγκος πηλίκος ἄν τις εἴη πρὸς τὰ 79r
περιέχοντα μεγέθη, οὐκ ἄδηλον· ἤδη γὰρ ὦπται διὰ τῶν ἀστρο-
λογικῶν θεωρημάτων ἡμῖν ὅτι πολὺ καὶ τῶν ἄστρων ἐνίων
ἐλάσσων ἐστί.

Πρὸς μὲν τὸν πάντα οὐρανὸν σημείου καὶ κέντρου λόγον ἔχουσα δέδει- 15
κται. καὶ τὴν περίμετρον αὐτῆς εὗρον· δύο γὰρ ἀστέρας μετριάζον ἀπ-
έχοντας ἀλλήλων διάστημα λαβόντες καὶ τὴν ὑποτείνουσαν τούτους γραμ-
μὴν ἐν τῇ γῇ μετρήσαντες πεντακοσίων σταδίων ἔχουσαν ταύτην εὗρον
διάστημα· τοῦ μεγίστου δὲ κύκλου εἰς τριακοσίας ἑξήκοντα μοίρας διαιρουμένου
ταύτας ἐπὶ τοὺς πεντακοσίους σταδίους πολυπλασιάσαντες δέκα ὀκτὼ μυρι- 20
άδων σταδίων τὴν πᾶσαν αὐτῆς περίμετρον εὗρον ὑπάρχουσαν, δηλονότι
συναπειλημμένου καὶ τοῦ παντὸς ὕδατος συνερρυηκότος ἐν τοῖς αὐτῆς κοι-
λώμασιν. Ἀρριανὸς δὲ ἐν τῷ Περὶ μετεώρων φησὶν ὡς Ἐρατοσθένης ὁ
Κυρηναῖος ἰσχυρίζεται εἴκοσι καὶ πέντε μυριάδας σταδίων ἔχειν τὴν περί-
μετρον τοῦ μεγίστου τῆς γῆς κύκλου. εὑρεθείσης δὲ τῆς περιμέτρου καὶ
ἡ διάμετρος αὐτῆς ἐστιν δήλη· κύκλου γὰρ παντὸς ἡ περίμετρος τρι-
πλασιεφέβδομός ἐστι τῆς διαμέτρου. ἐξ ὧν καὶ τὸ στερεὸν αὐτῆς ἅπαν
κατείληπται. ἀλλ' ὅμως τηλικαύτη οὖσα μόνου τοῦ ἡλίου πολλῷ λίαν ἐλάτ- 25
των ὑπάρχουσα δέδεικται καί τινων ἀστέρων τοῦ κυνός, φασί, καὶ τοῦ
Κανώβου καὶ εἴ τινες εἶεν ἕτεροι τοῦ μεγέθους αὐτοῦ, οὐ μὴν ἁπάντων
ἐλάττων. τῆς γοῦν σελήνης μείζων φαίνεται· εἰς τὸ σκίασμα γὰρ τῆς γῆς
ἐμπίπτει πᾶσα καὶ χρόνον ἐν ταῖς ἐκλείψεσιν ἐν αὐτῷ τινα ποιεῖται, μέχρις
ἂν αὐτὸ παραλλάξῃ. εἶπον δὲ ἤδη ὅτι συμπεριείληφε τοῖς κοιλώμασιν
ἑαυτῆς τὴν οὐσίαν ὅλην τοῦ ὕδατος· ἀφωρισμένον γὰρ ὕδωρ καὶ καθ'
ἑαυτὸ συνεστὸς ἔξω τοῦ κέντρου οὔτε ἔστιν οὔτε εἶναι τῶν ἐνδεχομένων 30
ἐστί· δεῖται γὰρ στερεμνίου τοῦ συνέχοντος, οὐδὲν δὲ τοιοῦτόν ἐστιν ἕτερον
παρὰ τὴν γῆν. ὡς ἓν οὖν τι σῶμα καὶ ὄγκος εἰς τὸ συναμφότερον
ἐμετρήθη.

p. 339ᵇ13 Τὸ δὲ δὴ μεταξὺ τῆς γῆς καὶ τῶν ἐσχάτων ἄστρων
πότερον ἕν τι νομιστέον εἶναι σῶμα τὴν φύσιν ἢ πλείω, καὶ εἰ
πλείω, πόσα, καὶ μέχρι ποῦ διώρισται τοῖς τόποις;

Δήλου φανέντος, φησί, τοῦ ὄγκου τῆς γῆς μετὰ τοῦ συναπειλημμένου
ὕδατος, τὸ ἐντεῦθεν μέχρι τῶν ἐσχάτων ἄστρων διάστημα ζητοῦμεν, τίνων 35
πεπλήρωται σωμάτων. ἐσχάτων δὲ ἄστρων ὁ μὲν Ἀλέξανδρος ἀκούει
τῶν πρὸς ἡμᾶς ἐσχάτων, τουτέστι τῆς σεληνιακῆς σφαίρας. τοῦτο δὲ οὐκ

1 δὴ om. Arist. E 6. 7 ἀλλήλων ἀπέχοντας coll. a 7 λαβόντες ex λαβόντας corr. M¹ 13 Ἀρριανὸς] cf. F. Susemihl, Griech. Litt. d. Alex. I 775 20 μεγέθους scripsi: μεγέθος libri 24 ἑαυτοῖς a: ex ἑαυτῆς corr. M¹ 27 post εἰς add. εἰς Ma 29 Τό γε δὴ M: Τό τε δὴ a 30 κἂν εἰ Arist. 4 Ἀλ.] 8,13

ἔστιν ἀληθές· καὶ περὶ αὐτῶν γὰρ τῶν οὐρανίων ἐζήτησεν, εἴτε ὅλα συν- 79r
έστηκεν ἐκ πυρὸς εἴτε τὰ ἄστρα μόνα. ἐσχάτων οὖν ἄστρων ἀκουστέον
τὸ μέχρι τῆς κυρτῆς ἐπιφανείας τῆς ἀπλανοῦς. τὸ δὲ καὶ μέχρι ποῦ
διώρισται τοῖς τόποις φησίν, ὡς εἰ πλείω εἴη, ζητητέον μέχρι τίνος
5 ἕκαστον αὐτῶν τοῖς τόποις διώρισται.

p. 339b21 Ὁ γὰρ λεγόμενος αἰθὴρ παλαιὰν εἴληφε τὴν προσ- 40
ηγορίαν, ὃν Ἀναξαγόρας μὲν τῷ πυρὶ ταὐτὸν ἡγήσασθαί μοι
δοκεῖ σημαίνειν· τά τε γὰρ ἄνω πλήρη πυρὸς εἶναι· κἀκεῖνος
τὴν ἐκεῖ δύναμιν αἰθέρα καλεῖν ἐνόμισε, τοῦτο μὲν ὀρθῶς
10 νομίσας· τὸ γὰρ ἀεὶ σῶμα θέον ἅμα καὶ θεῖόν τι τὴν φύσιν ἐοί-
κασιν ὑπολαβεῖν, καὶ διώρισαν ὀνομάζειν αἰθέρα τὸ τοιοῦτον
ὡς ὂν οὐδενὶ τῶν παρ' ἡμῖν τὸ αὐτό.

Εἰπὼν ὡσαύτως πάντα τὸν περὶ τὴν ἄνω φορὰν κόσμον τῶν παρ'
ἡμῖν μὲν εἶναι τὸν αὐτὸν οὐδενί, ἑτέρας δέ τινος οὐσίας τῆς κυκλοφορου- 45
15 μένης, καὶ ὅτι ἡ ὑπόληψις αὕτη καὶ τῶν προτέρων γέγονεν ἀνθρώπων,
αὐτό γε τοῦτο διὰ τῶν προκειμένων κατασκευάζειν ἐπιχειρεῖ διὰ τῆς
ἑτερότητος τοῦ ὀνόματος αὐτοῦ πρὸς τὰ λοιπά. ἀποδέχεται δὲ καὶ Ἀνα-
ξαγόραν οὕτως αὐτὸν ὀνομάζοντα, μέμφεται δὲ ὅτι παρὰ τὸ αἴθειν, τουτ-
έστι καίειν, αἰθέρα καλεῖσθαι νενόμικε· τὰ γὰρ ἄνω, τουτέστι τὰ οὐράνια,
20 πλήρη πυρὸς εἶναι λέγει. καίτοι γε οὐ μόνος αὐτός, ἀλλὰ καὶ Πλάτων
ταύτης ἐστὶ τῆς ὑπολήψεως ἐκ πυρὸς μὲν εἶναι τὰ ἄστρα λέγων, τὸν δὲ 50
ὅλον οὐρανὸν ἐκ πλείστου μὲν πυρός, ὀλίγων δὲ τῶν ἄλλων. καὶ Ἡρά-
κλειτος δὲ τῆς τοιαύτης ὑπολήψεως ἦν· οὐδεὶς δὲ τῶν πρὸ Ἀριστοτέλους
ἑτέρας οὐσίας εἶναι σώματος τὸν οὐρανὸν εἰρηκὼς φαίνεται. τὴν αὐτῷ
25 οὖν καινοτομηθεῖσαν δόξαν τοῖς πρὸ αὐτοῦ περιτίθησι μάτην. ἔστι δὲ μὴ
παρὰ τὸ αἴθειν· καίτοι γε τὰ τῆς ἐτυμολογίας ἐγγίζει μᾶλλον ἐκείνῳ.
τοῦτο δέ πως ἕτερον αὐτὸν δείκνυσι τῶν παρ' ἡμῖν· οὐ γὰρ ἀπὸ τῆς
οὐσίας ἡ τοῦ ὀνόματος θέσις, ἀλλ' ἀπὸ τοῦ ἀεὶ κινεῖσθαι γέγονεν. οὐκ
ἀναγκαίως | οὖν ἐκ τοῦ ὀνόματος ἕτερον εἶναι τὸν οὐρανὸν τῶν παρ' ἡμῖν 79v
30 ὑπονοεῖν αὐτοὺς κατεσκεύασε. τὰς δὲ ἀπὸ τῆς κυκλοφορίας ἐν τῷ πρώτῳ
τῶν Περὶ οὐρανοῦ διεσκευασμένας ἐπιχειρήσεις αὐτῷ τοῦ πέμπτης εἶναι
σωμάτων οὐσίας τὸν οὐρανὸν ἐν ἑτέροις διελευσόμεθα.

p. 339b27 Οὐ γὰρ δὴ φήσομεν ἅπαξ οὐδὲ δὶς οὐδ' ὀλιγάκις τὰς
αὐτὰς δόξας ἀνακυκλεῖν γινομένας ἐν τοῖς ἀνθρώποις, ἀλλ' 5
35 ἀπειράκις.

Συμφώνως μὲν τοῦτο τῇ αὐτοῦ δόξῃ γέγραφεν ἄναρχον εἶναι τὸ πᾶν

6 παλαιὰν εἴληφε] πάλαι ἂν ἔλαβε Ma 7 ὃν] ἣν Arist. EF: ἣν καὶ Arist. HN
9 ἐκεῖ] ἐκείνου Ma post μὲν add. οὖν Ma 10 τι om. Ma 11 ὑπο-
λαμβάνειν Ma διώρησαν M 12 ὂν om. Ma 17 post λοιπὰ add. ὡς γὰρ μηδενὶ
τῶν ἄλλων τῶν παρ' ἡμῖν οὐδὲ ἓν V 18 αὐτὴν M 20 Πλάτων] cf. Tim. p. 63 B
25 πρὸ om. a 27 ἀπὸ] ἐκ Ma 30. 31 ἐν τῷ πρώτῳ τῶν Περὶ οὐρανοῦ] A 2. 3

καὶ ἀγένητον ὑποτιθέμενος, οὐκ ᾔσθετο δὲ τοῖς ἑαυτοῦ περιπίπτων 79v
δικτύοις. εἰ γὰρ ἀπειράκις διὰ τὸ ἀρχὴν τοῦ εἶναι μὴ ἔχειν τὸν κόσμον
αἱ αὐταὶ γίνονται δόξαι, καὶ οὐκ ἀπειράκις μόνον, ἀλλὰ καὶ τοῦ ἀπείρου
πολλαπλασιόνως τὰς αὐτὰς ἀνακυκλεῖσθαι δόξας ἀνάγκη. οὐ γὰρ μέχρις
5 Ἀριστοτέλους ἀπειράκις αἱ αὐταὶ δόξαι ἀνεκυκλήθησαν, ἀλλὰ καὶ πρὸ 10
αὐτοῦ λίαν χρόνον πολὺν ἀπειράκις ἦσαν ἀνακυκληθεῖσαι· εἰ γὰρ μὴ
ἀπειράκις, ἀρχὴν ἔσχε τὸ πᾶν. εἰ δὲ ἔσχεν ἀρχήν, ὁποῖον ἂν χρόνου
μόριον τοῦ παρεληλυθότος λάβοις ἀναποδίζων, ἐπ' ἄπειρον τὰς αὐτὰς
ἀνάγκη πάντως ἀπειράκις ἀνακυκληθῆναι μέχρις ἐκείνου δόξας, οὐ μόνον
10 ὅτι ἄναρχος, ἀλλ' ὅτι καὶ ἀρχὴν ἔσχεν ὁ κόσμος· καὶ οὕτως ὁ ἑκάτερον
δοξάζων ὁμοίως ἐκ τοῦ χρόνου τὸ ἀξιόπιστον ἕξει. δεύτερον, εἰ ἄπειρον
τὸ παρῳχημένον, προστιθεμένων τῶν ἐφεξῆς αὔξεσθαι τὸ ἄπειρον ἀνάγκη 15
καὶ μηδέποτε λήγειν αὐξόμενον τοῦ χρόνου προϊόντος ἐπ' ἄπειρον. εἰ οὖν
καὶ αὐτὸ μόνον τὸ γεγονέναι τὸ ἄπειρον ἀδύνατον, ὡς αὐτὸς ἔδειξε, πολλῷ
15 μᾶλλον ἀδυνατώτερον τοῦ ἀπείρου μεῖζόν τι γίνεσθαι καὶ ἀπειρότερον. εἰ
οὖν ἀδύνατον ἀπειράκις τὰς αὐτὰς ἀνακυκλεῖσθαι δόξας, οὐδεὶς δὲ τῶν πρὸ
αὐτοῦ τὴν δόξαν φαίνεται ταύτην προϋποθέμενος, πρῶτος ἄρα ταύτης
Ἀριστοτέλης κατήρξατο. ὅτι μὲν οὖν ἑαυτῷ περιπέπτωκεν ἐναργῶς ἐδείχθη·
διὰ τούτων δ' ὅμως ὡς ἀρχαιοτέρα ἐστὶ δόξα τὸ ἑτέρας οὐσίας εἶναι τῶν 20
20 ὑπὸ σελήνην τὸν οὐρανὸν καὶ ὥς ἐστιν ἀίδιος συλλογίσασθαι βούλεται.
τοῦτο γὰρ περὶ αὐτοῦ φησιν· οἱ πρὸ ἡμῶν ὑπολαμβάνοντες αἰθέρα τοῦτο
τὸ σῶμα προσαγορεύουσιν ἐκ τοῦ ἀεὶ θέειν καὶ παῦλαν τῆς κινήσεως μὴ
ἔχειν καὶ θεῖον εἶναι οὕτως αὐτὸν ὀνομάσαντες, ὅπερ οὐδενὶ τῶν ὑπὸ
σελήνην ἁρμόζει, τὸ ἀεὶ καὶ ἀπαύστως κινεῖσθαι. ταύτης δὲ χρόνῳ, φησί,
25 τῆς δόξης ἀφανισθείσης τὸ ὄνομα μεμένηκεν ἐπ' ἄλλην σημασίαν, τὸ αἴθειν,
ὑπὸ τῶν ὕστερον γενομένων μετενεχθέν, ὡς πῦρ ὄντα τὴν οὐσίαν. οὐ γὰρ 25
μόνον πόλεις τε καὶ ἔθνη, φησίν, ἀρχὰς καὶ τέλη λαμβάνουσιν, ὡς εἰς
παντελῆ λήθην ἐκπεσεῖν, ἀλλὰ καὶ δόξαι καὶ τέχναι καὶ ἐπιστῆμαι τοῦτο
πάσχουσιν, ἃς συμβαίνει πάλιν ἀνακυκλεῖσθαι τῷ μακρῷ χρόνῳ. καὶ γὰρ
30 ἡ μουσικὴ καὶ ἡ ἀνδριαντοπλαστικὴ καὶ ἕτεραί τινες εὕρηνται μὲν ὑπὸ
τῶν πρὸ ἡμῶν, ἠμβλύνθησαν δὲ νῦν καὶ τῷ χρόνῳ πάλιν ἴσως ἀκμά-
σουσιν· εἰκὸς οὖν καὶ τὰς περὶ τῶν πραγμάτων δόξας τὸ αὐτὸ πάσχειν.
λέγουσι δὲ καὶ Ἀλέξανδρον ἐξ Ἰνδῶν Ἀριστοτέλει γράψαι, ὡς ἕτεροί φασιν. 30
ἐκ Βαβυλῶνος ὡς καὶ οἱ ἐνταῦθα σοφοὶ σώματος ἑτέρου φασὶν εἶναι τὸν
35 οὐρανόν. τοῦτο μὲν οὖν ὅπως ἀληθείας ἔχει, λέγειν οὐκ ἔχω· παρ'
Ἕλλησι δὲ τοῦτο φρονῶν φαίνεται τῶν πρὸ Ἀριστοτέλους οὐδείς. ὁ Πλάτων
ἐν τῷ Κρατύλῳ περὶ ὀρθότητος ὀνομάτων διαλεγόμενος τὸν αἰθέρα παρὰ
τὸ ἀεὶ θεῖν ἠτυμολόγηκε. τοὺς γὰρ μετὰ τὸν κατακλυσμὸν φησιν ὑπο-
λειφθέντας ἐν τοῖς ὑψηλοτάτοις διάγειν ὄρεσι καὶ τέως βοσκηματώδη βίον

1 ἀγέννητον a 4 πολλαπλασιόνως scripsi: πολλαπλάσιον ὡς libri 7 post δὲ add. μὴ V χρόνου scripsi: χρόνον libri 13 αὐξόμενον om. M 24 τε λήγης a 29 πόλιν M 30 καὶ post μουσικὴ om. M ἡ post καὶ om. V ἡ ἀνδριαντοπλαστικὴ in marg. add. M ηὕρηνται M 37 ἐν τῷ Κρατύλῳ] p. 410 B 38 φησιν] cf. Cratyl. p. 397 C

ζῆν καὶ περὶ τὴν συλλογὴν ἐνασχολεῖσθαι καὶ μόνον τῶν τροφῶν καὶ τῶν 79ᵛ
ἄλλων τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, ἀνανήψαντας δὲ τῷ χρόνῳ μικρὸν ἐκ 36
τῆς τοῦ κατακλυσμοῦ ταραχῆς εἰς ἔννοιαν ἐλθεῖν τοῦ εἶναί τι τῶν φαινο-
μένων αἴτιον· κατανοήσαντες δὲ τὰ οὐράνια καὶ ἀεὶ ταῦτα κινούμενα βλέ-
5 ποντες αἰθέρα καὶ θεὸν αὐτὰ ὠνόμασαν, τὸ μὲν παρὰ τὸ αἴθειν, τὸ δὲ
παρὰ τὸ ἀεὶ θέειν. καὶ ἐπειδὴ τοῦτον μὲν ἑώρων μήτε γινόμενον μήτε
φθειρόμενον, τῇ κινήσει δὲ αὐτοῦ τὰ ἐντὸς μεταβάλλοντα, αἴτιον εἶναι τού- 40
των καὶ δημιουργὸν ὑπετόπασαν. εἶτα τοῦ λόγου κατὰ μέρος προϊόντος
ἐπὶ τὸ λεπτότερόν τε καὶ ζητητικώτερον καὶ αὐτοῦ λοιπὸν τοῦ οὐρανοῦ τὸ
10 αἴτιον τῆς τοιᾶσδε κινήσεώς τε καὶ διαμονῆς περιεργαζόμενοι ἐπὶ τὴν
ἀφανῆ καὶ ἀσώματον μετῆλθον αἰτίαν· μηδὲ γὰρ ἂν διαρκεῖν ἐς ἀεὶ σῶμα
ὄντα πεπερασμένον μένειν τε καὶ κινεῖσθαι μὴ ὑπὸ δυνάμεως ἀπείρου συν-
εχόμενον ἀσωμάτου πάντως, οὐχ ὁρωμένης μέν, ἐκ δὲ τῶν ἔργων αὐτῆς
νοουμένης· μὴ γὰρ εἶναι δύναμιν ἐν σώμασιν ἄπειρον· καὶ οὕτως ἀν- 45
15 έδραμον ἐπὶ τὴν μίαν τῶν πάντων ἀρχὴν κἀκείνην τῷ ὀνόματι τοῦ τῶν
φαινομένων κρείττονος θεῖον ὠνόμασαν.

p. 339ᵇ30 Ὅσοι δὲ πῦρ καθαρὸν εἶναί φασι τὸ περιέχον καὶ μὴ
μόνον τὰ φερόμενα σώματα, τὸν δὲ μεταξὺ γῆς καὶ τῶν ἄστρων
ἀέρα, θεωρήσαντες ἂν τὰ νῦν δεικνύμενα διὰ τῶν μαθημάτων
20 ἱκανῶς ἴσως ἂν ἐπαύσαντο τῆς παιδικῆς ταύτης δόξης· λίαν γὰρ
ἁπλοῦν τὸ νομίζειν μικρὸν τοῖς μεγέθεσιν εἶναι τῶν φερομένων 50
ἕκαστον, ὅτι φαίνεται θεωροῦσιν ἡμῖν ἐντεῦθεν οὕτως.

Ὅτι μὴ ἐκ πυρὸς μόνου συνέστηκε τὸ ἀπὸ τῆς γῆς μέχρι τῆς ἀπλα-
νοῦς, διὰ τῶν ἐν ἀστρονομίᾳ δειχθέντων παρίστησιν. εἰ γάρ τις ἐννοήσειε,
25 φησί, τὴν ὑπερβολὴν τῶν περιεχόντων τὴν γῆν σωμάτων, ῥᾳδίως ἂν συλ-
λογίσαιτο μὴ δύνασθαι πυρὸς ἅπαν εἶναι τὸ περιέχον αὐτήν, ἀσυμμέτρου
πρὸς αὐτὴν οὔσης τῆς ὑπερβολῆς τοῦ μεγέθους τῶν περιεχόντων αὐτήν.
ὅτι γὰρ βραχυτάτη ἐστὶ καὶ τὸ μηδὲν σχεδὸν πρὸς τὸν ἔσχατον οὐρανόν,
δείκνυται μὲν διὰ τῶν ἀστρονομικῶν ἐναργῶς μεθόδων, οὐχ ἥκιστα δὲ καὶ
30 ἐκ τοῦ μικρὰ τῆς γῆς διαστήματα μεγάλας ἡμῖν πρὸς | τὰ φαινόμενα τὰς 80ʳ
διαφορὰς ποιεῖν. οἱ γὰρ ἐν Βυζαντίῳ φέρε τῶν ἀστέρων ἀφανεῖς ἐν
Ἀλεξανδρείᾳ φαίνονται, ὡς ὁ καλούμενος Κάνωβος ὑπὸ ποσὶν Ὠρίωνος ὤν,
πρὸς αὐτῷ κείμενος τῷ νοτίῳ ὁρίζοντι. λαμπρότατος δ' ἐστὶ καὶ τοῦ
κυνὸς μείζων τε καὶ φανότερος, καὶ ταῦτα περὶ αὐτὸν ὢν τὸν ὁρίζοντα καὶ
35 δι' ὁμιχλώδους ἀέρος φαινόμενος, ἀλλ' ὅμως τῇ ὑπερβολῇ τῆς λαμπρό-
τητος ἀμφήριστός ἐστι τῷ κυνί. ἐξ οὗ δῆλον ὡς ἐν Ἑλλάδι ὢν ἠγνόησε 5

2 ἀνανήψαντας scripsi: ἀνανήψαντες libri 6 τοῦτον] τοῦτο V 8 ὑπετώπασαν M
9 ζητικώτερον M 16 κρείττονι a θεῖν Ma 18 τὸν δὲ Ma: τὸ δὲ V et Arist. codd., sed cf. p. 21,40 et 22,12 20 τῆς παιδικῆς ταύτης V Arist. F: ταύτης τῆς παιδικῆς Ma Arist. H: ταύτης om. Arist. EN 22 οὕτως] ἴσως Ma 26 ἅπαν om. a τὸ περιέχον —σχεδὸν πρὸς (28) om. a 30 πρὸς τὰ φαινόμενα scripsi: προσαποφαινόμενα libri 32 ὑπὸ τοῖς ποσὶ Ma 34 φανώτερος a 36 ἀμφήριστος scripsi: ἀμφίπρηστος MV: ἀμφίπριστος a

τοῦτον ὁ ποιητὴς περὶ τοῦ κυνὸς εἰπὼν "ὅν τε κύν' Ὠρίωνος ἐπίκλησιν 80r
καλέουσι· λαμπρότατος μὲν ὅ γ' ἐστί." πάλιν ἡ ἄρκτος ἐν Βυζαντίῳ
φαινομένη μετέωρος λίαν, ὡς δοκεῖν σχεδὸν μεσουρανεῖν, ἐν Ἀλεξανδρείᾳ
μὲν παραξέει τὸν ὁρίζοντα, ἐν δὲ τῇ Διοσπόλει πολλοὶ ταύτης ἀστέρες
5 δύνουσιν· ὅπερ οὐκ ἂν συνέβαινεν, εἰ μὴ μικρόν τι τὸ τῆς γῆς μέγεθος
ἦν. καὶ τί λέγω μέγεθος, ὅτε πρὸς τὴν ὑπερβολὴν τοῦ μεγέθους τῆς 10
ἐξωτάτω σφαίρας σημείου καὶ κέντρου λόγον ἔχουσα δείκνυται πρὸς αὐτήν;
ἔστω γὰρ κύκλος ὁ ΑΒΓ, κέντρον δὲ αὐτοῦ τὸ Δ καὶ διάμετρος ἡ ΑΕ.
αὕτη πάντως εἰς δύο τὸν κύκλον ἴσα τέμνει ἡμικύκλια. καὶ ἄλλος δὲ
10 κύκλος περὶ τὸ αὐτὸ κέντρον γραφέσθω ἐλάσσων τοῦ ἐκτὸς δηλονότι. ἔστω
δὲ ὁ μὲν ἐκτὸς ἡ ἀπλανής, ὁ δὲ ἐντὸς ἡ γῆ † τῇ ἐπιφανείᾳ τῆς γῆς οὔσης.
εἰ ἐξ αὐτῆς εὐθεῖαν ἐξαγάγῃς ἐπί τε τὸν ἀνατολικὸν ὁρίζοντα καὶ ἐπὶ τὸν
δυτικὸν τὴν ΖΗ, διαιρήσει [καὶ γὰρ] τὴν ἀπλανῆ εἰς δύο τμήματα ἄνισα, ἔλατ- 15
τον μὲν ἡμικυκλίου τὸ ὑπὲρ γῆν, εἰ τύχοι, ζῳδίων πέντε, μεῖζον δὲ τὸ ὑπὸ
15 γῆν οἷον ἑπτά, ἢ ὅπως ἂν τύχοιεν, τὸ μὲν ὑπὲρ γῆν τὸ ΖΒΗ, τὸ δὲ ὑπὸ
γῆν τὸ ΖΓΗ. ἡ μὲν οὖν διὰ τοῦ κέντρου, ἐπειδὴ μηδένα λόγον ἔχει τὸ
ἀμερὲς πρὸς τὸ μέγεθος, εἰς δύο ἴσα διεῖλε τὸν ἔξωθεν κύκλον, ἡ δὲ διὰ
τῆς ἐπιφανείας τοῦ ἐντὸς ἀχθεῖσα κύκλου εἰς ἄνισα. οὐκοῦν εἰ ἐν λόγῳ
τινὶ τὸ μέγεθος ὑπῆρχε τῆς γῆς πρὸς τὴν ἀπλανῆ, πᾶσα ἦν ἀνάγκη ἔλαττον
20 εἶναι ἡμικυκλίου τὸ ὑπὲρ γῆν τοῦ οὐρανοῦ καὶ ὑφ' ἡμῶν ὁρώμενον. εἰ 20
δὲ ἐν παντὶ καιρῷ ἓξ ὁρῶμεν ἀκριβῶς ζῴδια ὑπὲρ γῆν, δῆλόν ἐστιν ὅτι
ὥσπερ οὐδένα λόγον ἔχει τὸ κέντρον πρὸς τὴν ἀπλανῆ, οὕτως οὐδὲ ἡ γῆ
πρὸς αὐτὴν ἔχει, καίτοι μεγίστη οὖσα καὶ διὰ τὸ μέγεθος ἤπειρος οἱονεὶ
ἄπειρος ὀνομαζομένη, οἷόν ἐστι τὸ "ἤπειρον εἰς ἄπειρον εἰσεπλεύσαμεν".
25 ὅθεν οὐδὲν ἀποκρύπτει τῆς ἀπλανοῦς, ὡς οὐδὲ τὸ ἀμερὲς σημεῖον· εἰ γὰρ
εἶχε λόγον τινὰ τὸ μέγεθος πρὸς τὴν ἀπλανῆ, ἔλαττον τὸ ὑπὲρ γῆν ἡμι-
κυκλίου ὁρᾶν ἐμέλλομεν, τοῦ λοιποῦ μορίου τοῦ τὸ ἄνω πληροῦντος ἡμι- 25
κύκλιον ὑπὸ τοῦ μεγέθους τῆς γῆς καλυπτομένου, οἷόν ἐστιν ἐπὶ τῶν κατα-
γραφέντων κύκλων ἐν μὲν τῷ ἀνατολικῷ ὁρίζοντι τὸ ἀπὸ τοῦ Α ἕως τοῦ
30 Ζ, ἐν δὲ τῷ δυτικῷ τὸ ἀπὸ τοῦ Ε ἕως τοῦ Η. εἰ οὖν τὸ μηδὲν ἡ γῆ
πρὸς τὸν ἔξωθέν ἐστιν οὐρανόν, οὐκ εὔλογον τὸ ζητεῖν, εἴ τινων ἀστέρων
ἐστὶν ἐλάττων, ἀλλ' εἴ τινων ὅλως ἐστὶ μείζων. ὁ γοῦν ἥλιος ἑκατονταε-
βδομηκονταπλασίων αὐτῆς εἶναι δείκνυται παρὰ τοῖς μαθηματικοῖς. καὶ
τὸν κύνα δέ φασιν αὐτῆς ὑπάρχειν μείζονα, διὰ δὲ τὴν ὑπερβολὴν τοῦ 30
35 ἀποστήματος μικρὸν οὕτω φαίνεσθαι, ὡς καὶ ἡ τοῦ ἡλίου διάμετρος ποδιαία
τις εἶναι σχεδὸν τοῖς ὁρῶσι δοκεῖ, καὶ ταῦτα τῆς ἡλιακῆς σφαίρας πολλῷ
κατωτέρω τῆς ἀπλανοῦς ὑπαρχούσης. δείκνυται γάρ, φασί, διὰ τῶν μαθη-
μάτων τοῦ διαστήματος τοῦ ἀπὸ τοῦ κέντρου τῆς γῆς μέχρι τῆς κυρτῆς

1. 2 ὅν τε — ὅ γ' ἐστί] Il. X 29. 30 4 διὸς πόλει M 7 καὶ om. M 11 ὁ ἀπλανής Ma τῇ ἐπιφανείᾳ — οὔσης depravata sunt 13 τὸν ζη Ma διαιρήσει om. a καὶ γὰρ delevi 17 ἔξωθεν scripsi: ἔσωθεν libri 19 post ἀνάγκη add. ἢ a 21 καιρῷ ἑξορῶμεν Ma 24 ἤπειρον—εἰσεπλεύσαμεν] cf. Nauck. Trag. Gr. fragm. p. 682 (Eurip. fr. 110 εἰσεπλεύσαμεν] ἐξεπλεύσαμεν Anecd. Paris. vol. 4 p. 183,11: ἐκβάλλων πόδα Suidas s. v. ἤπειρος 25. 26 οὐ γὰρ εἶχε M: οὐ γὰρ εἰ εἶχε a 28 καλυπτόμενον V 31 ἄλογον a

ἐπιφανείας τῆς σελληνιακῆς σφαίρας τὸ ἀπὸ ταύτης μέχρι τοῦ ἡλίου διατεῖνον 80r
ἔλαττον μὲν εἶναι ἢ εἰκοσαπλάσιον, μεῖζον δὲ ἢ ἐννεακαιδεκαπλάσιον. ὥστε
τὸ ὅλον στερεὸν τὸ ἀπὸ τῆς σελήνης μέχρι τοῦ ἡλίου τοῦτον ἔχει 35
τὸν λόγον πρὸς τὸ ἀπὸ τῆς σελήνης μέχρι τῆς γῆς, ὃν ἔχει τὰ ὀκτακισ-
5 χίλια πρὸς τὸ ἕν. μετρεῖται γὰρ πᾶν στερεὸν τοῦ μήκους ἐπὶ τὸ πλάτος
πολυπλασιασθέντος καὶ τοῦ γενομένου ἀριθμοῦ ἐπὶ τὸ βάθος πάλιν πολυ-
πλασιαζομένου. οἷον ὡς ἐπὶ κύβου, εἰ δύο πήχεων ἡ πλευρὰ εἴη τούτου,
δύο ἐπὶ δύο πολυπλασιάζων ποιεῖς τέσσαρα, καὶ τὰ τέσσαρα πάλιν ἐπὶ τὸ
βάθος καὶ αὐτὸ δύο πήχεων ὑπάρχον, καὶ γίνεται ὁ κύβος ὅλος ὀκτὼ
10 πήχεων στερεῶν. ἐπεὶ οὖν ἑνός τινός ἐστι τὸ ἀπὸ τῆς γῆς μέχρι 40
τῆς σελήνης, καὶ τὸ ὅλον αὐτοῦ στερεὸν ἑνὸς ἔσται· ἅπαξ γὰρ ἓν πάλιν
γίνεται ἕν, καὶ τοῦτο ἐπὶ τὸ βάθος ἑνὸς ὂν πάλιν ὁμοίως γίνεται ἓν τῷ
βάθει. τὸ δὲ ἀπὸ σελήνης μέχρις ἡλίου ἐπειδὴ τοσούτων ἐστὶν εἴκοσιν,
εἰκοσάκις τὰ εἴκοσι τετρακόσια γίνεται, καὶ ταῦτα ἐπὶ τὰ εἴκοσι τοῦ βάθους
15 πολυπλασιαζόμενα ποιεῖ τὰ ὀκτακισχίλια. οὐκοῦν ὃν λόγον ἔχει τὰ ὀκτακισ-
χίλια πρὸς τὸ ἕν, τοῦτον ἔχει τὸν λόγον πρὸς τὸ ἀπὸ τοῦ κέντρου τῆς
γῆς μέχρι τῆς σελήνης τὸ ἀπὸ τῆς σελήνης μέχρι τοῦ ἡλίου. τούτων οὕ- 45
τως ἐχόντων τὸ ἀπὸ τοῦ ἡλίου μέχρι τῆς ἀπλανοῦς εἰς ἄπειρον ἀνάγκη
σχεδὸν ἐκτείνεσθαι μέγεθος, ὅπερ διὰ τὴν ὑπερβολὴν οὐδὲ μετρηθῆναι ὑπὸ
20 τῶν ἀστρονομικῶν δεδύνηται μεθόδων. ὅτι δὲ πολλῷ μείζων τῆς γῆς ἐστιν
ὁ ἥλιος, ὡς ἂν εἴη δυνατὸν δίχα τῶν μαθηματικῶν μεθόδων, δεικνύειν
πειράσομαι. προδεικνύσθω δὲ συντόμως ἡμῖν ὅτι σφαιροειδὲς ἡ γῆ τὸ
σχῆμα ἔχει τὸν τρόπον τοῦτον· ἡ νὺξ οὐδὲν ἄλλο ἐστὶν ἢ σκίασμα γῆς·
ἐν ᾧ γὰρ ἂν μέρει τῆς γῆς τὰς ἀκτῖνας ὁ ἥλιος προσβάλῃ, κατὰ τὸ ἀντι- 50
25 κείμενον τοῦ φωτίζοντος μέρος ἡ σκιὰ γίνεται. καὶ τοῦτο καὶ ἐκ τοῦ λυ-
χνιαίου φωτὸς καὶ ἐκ τῆς σκιᾶς τῶν σωμάτων ὁρᾶν πάρεστιν ἐναργῶς.
οὐδὲν δὲ σῶμα φωτιζόμενον κυκλοτερῆ πανταχόθεν ποιεῖ τὴν σκιάν, εἰ μὴ
τὸ σφαιροειδὲς καὶ μόνον. προσπίπτουσαι γὰρ αἱ ἀκτῖνες τοῦ φωτίζοντος ταῖς
τοῦ φωτιζομένου πλευραῖς ὁμοιόσχημον αὐτῷ τὴν σκιὰν ἀποτελοῦσιν. διὸ
30 καὶ κυλίνδρου τὸ φωτιζόμενον, εἰ μὲν ἐκ τῆς βάσεως προσείη τὸ φῶς,
κυκλοτερῆ σκιὰν ἀποτελεῖ διὰ τὸ κυκλοτερὲς εἶναι τῶν περάτων ἑκάτερον·
εἰ δὲ ἐκ τῶν πλαγίων ἐπὶ τὸ μῆκος προσίοι τὸ φῶς τοῦ κυλίνδρου, παρ-
αλληλόγραμμον ποιεῖ τὴν σκιὰν ὑπὸ παραλλήλων εὐθειῶν περιγραφομένην· 80v
κατὰ μίαν γὰρ εὐθεῖαν τοῦ κυλίνδρου προσπιπτουσῶν τῶν ἀκτίνων ἁπασῶν,
35 ἀνάγκη καὶ τὴν ἀντικειμένην τῷ φωτιζομένῳ σκιὰν ὑπ' εὐθειῶν περιέχε-
σθαι. μόνον οὖν, ὡς εἴρηται, τὸ σφαιρικὸν σχῆμα κατὰ πᾶν μέρος αὐτοῦ
κυκλοτερῆ τὴν σκιὰν ἀποτελεῖ. τοιαύτη δ' ἐστὶν ἡ ἀπὸ τῆς γῆς ἀποτελουμένη
σκιά, διόπερ ἐν ταῖς ἐκλείψεσιν αὐτῆς ἡ σελήνη, ἀφ' οἱουδήποτε μέρους 5

7 ἡ πλευρά—δύο πήχεων (9) om. M 9 κύβος scripsi: κύκλος libri 13 τοσούτων scripsi: τοιοῦτον libri εἴκοσιν om. a 19 ἐκτίνεσθαι M 23 post τοῦτον add. ὅτι Ma 24 ἂν supra vers. M 25 μέρους M 27 πανταχόθεν om. V 29 διὸ—ἑκάτερον (31) om. a 30 κυλίνδρου scripsi: κυλινδρεῦσι MV post μὲν add. οὖν MV, sed del. V 32 προσίῃ a 36 μόνον οὖν] καὶ μονονοὺ Ma

ἐκλείπειν ἄρξεται, εἴτε ἐκ τοῦ ἀνατολικοῦ εἴτε ἐκ τοῦ δυτικοῦ εἴτε ἐξ ὁτου- 80v
οῦν ἄλλου, κατὰ κυκλοτερῆ γραμμὴν ἐκλιμπάνουσα φαίνεται, ὡς ὅτε μηνο-
ειδὴς γίνεται, καὶ οὐδαμοῦ κατ' εὐθεῖαν, οἷα ἐστὶν ἐν τῇ διχοτόμῳ, ὡς
πανταχόθεν τῆς σκιᾶς οὔσης κυκλοτεροῦς. οὐδέποτε γάρ, ὡς εἶπον, τὸ γι-
5 νόμενον αὐτῆς μέρος ἀφώτιστον ἐκ τῆς ἐμπτώσεως τῆς εἰς τὸ σκίασμα
τῆς γῆς κατ' εὐθεῖαν γραμμὴν ἐκ τοῦ πεφωτισμένου τεμνόμενον φαίνεται.
δῆλον οὖν ὡς ἡ τὸ σκίασμα ποιοῦσα γῆ σφαιροειδὲς ἔχει τὸ σχῆμα. τού- 10
του δεδειγμένου προειλήφθω κἀκεῖνο ὡς ὅταν σφαῖρα ὑπὸ σφαίρας φωτί-
ζηται, εἰ μὲν ἴση εἴη ἡ φωτιζομένη τῇ φωτιζούσῃ, κυλινδροειδὴς ἡ σκιὰ
10 γίνεται, τῶν ἀκτίνων κατ' εὐθείας ἀπαρεγκλίτους προσπιπτουσῶν τῷ φωτι-
ζομένῳ, ὡς μήτε συννεύειν προϊούσας μήτε τοὔμπαλιν ὑπτιάζεσθαι· διόπερ
κύλινδρος ἡ σκιά. εἰ δὲ ἔλαττον εἴη τοῦ φωτιζομένου τὸ φωτίζον, τῶν
ἀκτίνων ἐξωθουμένων ὑπὸ τοῦ φωτιζομένου καὶ κλωμένων ὑπτίων ἐφ'
ἑκάτερα καὶ οὕτως ἐπὶ τὸ πρόσω φερομένων καὶ διὰ τὴν κλάσιν πρόσω 15
15 προϊοῦσαν εὐρυνομένων, καὶ εἰς μείζονα τὴν μεταξὺ διάστασιν ἀεὶ χωρούσης
αὐτῶν τῆς σχίσεως μέχρι τῆς αὐτῶν συνεμπτώσεως, συμβαίνει καλαθο-
ειδὲς τῆς σκιᾶς γίνεσθαι τὸ σχῆμα ἐκ μικροτέρου πυθμένος εὐρυνομένης
μέχρι τῆς τῶν ἀκτίνων συμπτώσεως. εἰ δὲ τοὔμπαλιν τὸ φωτίζον μεῖζον
εἴη τοῦ φωτιζομένου, τῶν ἀκτίνων ῥεουσῶν ὑπὲρ τὸ φωτιζόμενον καὶ κατὰ
20 μικρόν, ὅσον προβαίνουσι, συμβαινουσῶν εἰς ἀλλήλας, ἕως ἂν τελείως συμ- 20
πέσωσι, κῶνος ἡ σκιὰ γίνεται. ὁ δὲ κῶνος κυκλοτερῆ μὲν ἔχει τὴν βάσιν,
ἐκ ταύτης δὲ πρόεισιν εἰς ὕψος κατὰ μικρὸν δι' ἀναλογίας ἐν τῇ προόδῳ
στενούμενος, ἄχρις ἂν εἰς σημεῖον τὴν ἑαυτοῦ κορυφὴν ἀποτελευτήσῃ. ὅτι
δὲ κωνοειδές ἐστι τὸ σκίασμα τῆς γῆς, πάλιν αἱ τῆς σελήνης δεικνύουσιν
25 ἐκλείψεις. εἰ μὲν γὰρ περιγειοτέρα οὖσα τελείως ἐκλίποι, πλείονα χρόνον
τελείως ἀφώτιστος μένει, ὡς εὐρυτέρῳ μέρει τοῦ κώνου προσπίπτουσα, εἰ
δὲ ἀπόγειος, ἐλάττονα· ὡς γὰρ στενωτέρᾳ προσβαλοῦσα τῇ σκιᾷ θᾶττον 25
αὐτὴν παραλλάττει. ἔχει γὰρ ὁ τῆς σκιᾶς δηλονότι κῶνος τὴν μὲν βάσιν
πρὸς αὐτῇ τῇ γῇ, ὑπερεκπίπτων δὲ τὴν σεληνιακὴν σφαῖραν τὴν κορυφὴν
30 αὐτοῦ τῇ Ἑρμαϊκῇ προσβάλλουσαν ἔχει· εἰ μὴ γὰρ ὑπερέπιπτε τὴν σελη-
νιακήν, οὐκ ἔμελλεν εἰς αὐτὸν ἐμπίπτειν ἡ σελήνη πᾶσα καὶ χρόνον δια-
τρίβειν ἀφώτιστος, διὰ τὸ τῆς σκιᾶς πλάτος τοῦ λεπτοτάτου μέρους τοῦ
κώνου περαιτέρω ταύτης κεχωρηκότος. εἰ οὖν κῶνός ἐστιν ἡ σκιὰ τῆς
γῆς, πολλῷ ἄρα ἐστὶ τοῦ ἡλίου ἐλάττων ἡ γῆ. τίς οὖν ἂν εἴη τῷ ἔξωθεν 30
35 οὐρανῷ παραβαλλομένη, εἰ μὴ τῷ ὄντι σημείῳ; διὰ μὲν οὖν τούτων ἡ
τοῦ μεγέθους τῶν περιεχόντων σωμάτων ὑπερβολὴ πρὸς τὴν ἀπὸ τῆς γῆς
καὶ τοῦ ὕδατος ἀποτελουμένην σφαῖραν ἐδείχθη. τί δέ ἐστι τὸ ἐκ τούτου τῷ
φιλοσόφῳ συγκατασκευαζόμενον, ἴδωμεν τὴν λέξιν αὐτοῦ πάλιν ὑπομνήσαντες·
ὅσοι δὲ πῦρ καθαρὸν εἶναί φασι τὸ περιέχον καὶ μὴ μόνον τὰ
40 φερόμενα σώματα, τὸν δὲ μεταξὺ γῆς καὶ τῶν ἄστρων ἀέρα, 35
θεωρήσαντες ἂν τὰ νῦν δεικνύμενα διὰ τῶν μαθημάτων ἱκανῶς

11 συνεύειν Ma 18 μεῖζον om. M 25 ἐκλείποι Ma 27 προβαλοῦσα a
40 ἄστρων] ἅ ineunte v. om. M 41 ἂν τὰ] αὐτὰ V

ἴσως ἂν ἐπαύσαντο ταύτης τῆς παιδικῆς δόξης· λίαν γὰρ ἁπλοῦν 80v
τὸ νομίζειν μικρὸν τοῖς μεγέθεσι τῶν φερομένων εἶναι ἕκαστον,
ὅτι φαίνεται θεωροῦσιν ἐντεῦθεν ἡμῖν οὕτως. ὁ μὲν Ἀλέξανδρος
ζητεῖν ἐνταῦθά φησι τὸν φιλόσοφον, εἰ τὰ οὐράνια πάντα πυρός εἰσι κα-
5 θαροῦ καὶ μὴ τὰ ἄστρα μόνον (τὰ γὰρ φερόμενα σώματα λέγειν τὰ ἄστρα),
ἀλλὰ καὶ τὰ μεταξὺ τῶν ἄστρων διαστήματα· τοῖς γὰρ τοῦτο λέγουσιν ἕπε- 10
σθαι τὸ πάντα τὰ μετὰ τὴν γῆν καὶ τὸ ὕδωρ μέχρι τῆς σφαίρας τῆς σελη-
νιακῆς ἀέρα λέγειν. ἐμοὶ δὲ οὐ δοκεῖ τοῦτο δηλοῦν ἡ λέξις, ἀλλὰ τὸ μετὰ
τὴν γῆν ὅλον συνειλημμένου δηλονότι τοῦ ὕδατος μέχρι τοῦ ἐσχάτου
10 οὐρανοῦ. τί γάρ φησι; καὶ μὴ μόνον τὰ φερόμενα σώματα, τουτέστι
πάντα τὰ κυκλοφορούμενα (κυκλοφορεῖται δὲ καὶ τὰ ἄστρα καὶ ὁ πᾶς
οὐρανός), ἀλλὰ καὶ τὸν μεταξὺ τῆς γῆς καὶ τῶν ἄστρων ἀέρα,
ὡς τοῦ ἀέρος δηλονότι τοῦ μεταξὺ μὴ κυκλοφορουμένου. ψυχρὰ δὲ λίαν 15
ἡ ὑπόθεσις τὸ νομίζειν ἐν μέσῳ διαιτᾶσθαι πυρὸς τὰ χερσαῖα ζῷα καὶ τὰ
15 φυτά. οἱ τοῦτο οὖν ὑποθέμενοι, φησίν, εἴπερ τὰ δεδειγμένα διὰ τῶν μαθη-
μάτων ἐθεώρησαν. ἐπαύσαντο ἂν ἴσως τῆς παιδικῆς ταύτης ὑπονοίας, τοῦ
νομίζειν μικρὸν εἶναι τῷ μεγέθει τῶν φερομένων ἕκαστον, ὡς ἐκείνων ἴσως
οἰομένων ὅτι κἂν ἐκ πυρὸς εἴη τὰ ἄστρα, οὐ λυμαίνεσθαι τὰ τῇδε διὰ τὴν
τοῦ μεγέθους μικρότητα. τί οὖν ἂν εἴποιεν περὶ αὐτῶν τῶν σφαιρῶν, καὶ
20 εἰ μικρὰ ἦν ἐκεῖνα, καὶ ἔτι τοῦ μεταξὺ τῆς γῆς ἀέρος καὶ τῆς σελήνης; 50
ἡ λύσις οὖν τῆς ἀπορίας ἀπὸ μόνων γέγονε τῶν ἄστρων, καὶ ἴσως ἐντεῦθεν
ὁ Ἀλέξανδρος οὐ περὶ πάντων τῶν μεταξὺ σωμάτων τὴν ἀπορίαν γινομένην
ἐξεῖληφε. τὸ δὲ ἱκανῶς πρὸς τὸ δεδειγμένα φησίν, ἱκανῶς δεδειγμένα, ἢ
πρὸς τὸ θεωρήσαντες, ἱκανῶς θεωρήσαντες, καὶ μὴ παρέργως δηλονότι καὶ
25 ἀτημελῶς. πάλαι γὰρ ἂν κατεφλέχθη, φησί, τὰ μεταξὺ καὶ οὐδ' ὑπο-
στῆναι τὴν ἀρχὴν ἠδύναντο. καὶ ἡ αἴσθησις δὲ λίαν αὐτοὺς ἐντρέ- | 81r
πειν ὤφειλε· πυρὸς γὰρ οὐδὲ τὴν τυχοῦσαν φέρομεν προσβολήν. ταῦτα
δέ φησι καὶ ἐν τοῖς περὶ τὸν ἄνω τόπον θεωρήμασιν εἰρῆσθαι,
τουτέστιν ἐν τῇ Περὶ οὐρανοῦ πραγματείᾳ.

30 p. 340a3 Ἀλλὰ μὴν οὐδ' ἀέρος γε μόνου πλήρη· πολὺ γὰρ ἂν
ὑπερβάλλοι τὴν ἰσότητα τῆς κοινῆς ἀναλογίας πρὸς τὰ σύστοιχα
σώματα. κἂν εἰ δύο στοιχείων πλήρης ὁ μεταξὺ γῆς τε καὶ
οὐρανοῦ τόπος ἐστίν· οὐδὲν γὰρ ὡς εἰπεῖν μόριον ὁ τῆς γῆς 5
ἐστιν ὄγκος, ἐν ᾧ συνείληπται πᾶν καὶ τὸ τοῦ ὕδατος πλῆθος.
35 πρὸς τὸ περιέχον μέγεθος.

Ἀνελὼν ὅτι μὴ πυρός ἐστι περιέχοντα τὴν γῆν καὶ τὸ ὕδωρ σώματα,
μέτεισιν ἐπὶ τὸ δεῖξαι ὅτι μηδὲ μόνου ἀέρος ἅπαντα δυνατὸν εἶναι· πρῶτον

2 φαινομένων V 3 Ἀλέξανδρος] p. 8,25 5 φερόμενα ex φαινόμενα corr. M
6 τὰ om. a 17 ἴσως om. M 18 εἰρομένων a 23 ἐξείληφε] ἐξέλιπε a
28 τὸν ἄνω τόπον ex corr. V: τῶν ἄνω τόπων Ma 28 εἰρεῖσθαι M 29 ἐν
τῇ Περὶ οὐρανοῦ πραγματείᾳ] cf. B 7 31 πρὸς τὸ a 32 τε om. Ma Arist. E
36 Ἀνελὼν] Διεξελθὼν a

μὲν οὖν, ὅτι χωλεύσει τὸ πᾶν μὴ ἔχον τὸ κάλλιστον καὶ ζωογονικώτατον 81r
τῶν στοιχείων, λέγω τὸ πῦρ. τὸ γὰρ θερμὸν τῆς ζωῆς ἁπάντων ζῴων
τε καὶ φυτῶν αἴτιον φαίνεται· πόθεν οὖν ἡ τοιαύτη φύσις ἐν ἡμῖν, εἰ μὴ
τοῦ παντὸς ἦν καὶ τοῦτο στοιχεῖον, ὡς καὶ τῆς τῶν λοιπῶν μετειλήφαμεν
ἰδιότητος; οὐ γὰρ ἐν τοῖς ἀτόμοις μὲν τὸ στοιχειῶδες εἶναί τις λέξειε πῦρ,
ἐν τῷ παντὶ δὲ μηκέτι. εἰ γὰρ γῆς ὕδατός τε καὶ ἀέρος ὑπάρχουσιν
ὁλότητες, πῶς οὐκ ἀνάγκη καὶ τοῦ στοιχειώδους εἶναι πυρὸς ὁλότητα;
ποῦ γὰρ αἱ ξηραὶ καὶ καπνώδεις χωρήσουσιν ἀναθυμιάσεις; εἰ γὰρ τῶν
ἄλλων ἕκαστον στοιχείων ἐκ τῶν ἀτόμων διακρινόμενον εἰς τὴν ὁλότητα
χωρεῖ τὴν αὐτοῦ, ἡ μὲν γεώδης ὡς ἡ τέφρα εἰς γῆν καὶ ἡ ἀτμὶς εἰς τὸ
ὕδωρ, δῆλον ὅτι καὶ αἱ ξηραὶ καὶ καπνώδεις ἀναθυμιάσεις, οἷαί εἰσιν αἱ ἐκ
θυμιωμένων ἀναδιδόμεναι καὶ τῶν κατομένων ξύλων καὶ λίθων εἰς ὁλότητά
τινα χωροῦσι πυρός. εἰ οὖν περὶ γῆν ὁλότης πυρὸς οὐ φαίνεται, λείπεται
πάντως μετὰ τὴν τοῦ ἀέρος αὐτὴν συνεστάναι. τὸ γὰρ παρ' ἡμῖν πῦρ
οὐ στοιχειῶδες, ἀλλ' ὡς ὁ κρύσταλλός ἐστιν ὑπερβολὴ ψυχροῦ καὶ ἡ τέφρα
ξηροῦ πάλιν ἐστὶν ὑπερβολή, οὕτω τὸ διακονικὸν πῦρ, τὴν φλόγα λέγω
τὴν παρ' ἡμῖν, ὑπερβολὴ τοῦ στοιχειώδους ἐστὶ θερμοῦ. δεῖ οὖν πάντως
ὁλότητα τοῦ στοιχείου εἶναι τούτου, ἥτις ἐστὶ τὸ ὑπέκκαυμα, καὶ ὥσπερ
δύο βαρέων ὄντων, ὕδατός τε καὶ γῆς, τὸ βαρύτερον ὑπεχώρησε τῷ ἧττον
τοιούτῳ, οὕτω καὶ δύο κούφων ὄντων, ἀέρος τε καὶ πυρός, τὸ κουφότερον
τῷ ἧττον ἐπεπόλασε τοιούτῳ. πᾶσα οὖν ἀνάγκη μετὰ τὸν ἀέρα τὴν τοῦ
στοιχειώδους πυρὸς ὑπάρχειν ὁλότητα. οὕτω μὲν οὖν ἡμεῖς· ὁ δ' Ἀρι-
στοτέλης ἐκ τοῦ μηδεμίαν εἶναι συμμετρίαν πρὸς τὰ λοιπὰ τοῦ ἀέρος, εἰ
οὕτως ἔχει, ποιεῖται τὸν ἔλεγχον. οὐδεμίαν γὰρ ἰσότητα σχήσει πρὸς αὐτά,
φησίν, εἴπερ ἡ πᾶσα γῆ μετὰ τοῦ συνειλημμένου ὕδατος σημείου καὶ
κέντρου λόγον ἔχουσα δέδεικται πρὸς τὸ πᾶν· ὥστε ὑπερβάλλει τὴν συμ-
μετρίαν τῶν ἄλλων ὁ ἀήρ, ὅπερ ἄτοπον· τὸ πᾶν γὰρ οὕτως ἀπολεῖται,
μᾶλλον δὲ οὐδὲ συστήσεται τὴν ἀρχήν. ἡ γὰρ τῶν στοιχείων συμμετρία
καὶ τοῦ γενέσθαι καὶ τοῦ τὰ γενόμενα σώζεσθαι ὡς ὅλη αἰτία ἐστίν, ὡς
καὶ τὰ ἐξ αὐτῶν συνεστῶτα δηλοῖ σώματα· εἰ γὰρ ὑπερβάλοι τούτων ὁτιοῦν
ἐν ἡμῖν, λύσις εὐθὺς τοῦ συνεστῶτος γίνεται· νόσοι γὰρ ἐντεῦθεν ἡμῖν
παρακολουθοῦσι καὶ θάνατοι. τὸ αὐτὸ δ' ἂν ἄτοπον συμβαίνοι, φησί, καὶ
εἰ ἐκ δύο στοιχείων ἀέρος καὶ πυρὸς εἴη τὸ διάστημα τὸ μετὰ τὴν γῆν
ἄχρι τοῦ ἐσχάτου οὐρανοῦ. οὐδὲν γὰρ ἧττον ἡ ἀσυμμετρία τούτῳ πρὸς
τὰ λοιπὰ δύο γῆν καὶ ὕδωρ δειχθήσεται· μεταβαλεῖ γὰρ ἅπαν τὸ ὑπερ-
έχον πρὸς ἑαυτὸ τὰ λοιπά, καὶ οὕτως ὁ κόσμος φροῦδος ἔσται. μεταξὺ
δὲ γῆς καὶ οὐρανοῦ τόπον εἶπε, φησὶν ὁ Ἀλέξανδρος λέγων καλῶς, τὸν
μεταξὺ τῆς γῆς καὶ τῆς ἐξωτάτω περιφορᾶς· οὐρανὸν γὰρ τὴν ἀπλανῆ

5 οὐ om. a 9 στοιχείων ex στοιχεῖον corr. V 10 post γεώδης fort. addendum οὐσία εἰς τὸ] ὡς τὸ Ma 12 θυμιωμένων] τῶν ἀναθυμιάσεων Ma 14 συνιστάναι M 19 τὸ ἧττον M 30 ὑπερβάλλοι a 32 δ' ἂν] δὲ a συμβαίνοι scripsi: συμβαίνῃ MV: συμβαίνει a 36 λοιπά om. sed in marg. add. τὸ λοιπά M¹ οὕτως] οὗτος Ma 37 Ἀλέξανδρος] p. 9,25

σφαῖραν ὠνόμασεν. οὐκοῦν καὶ ὅτε ἐζήτει, εἰ πῦρ καθαρὸν εἴη τὸ μεταξὺ 81r
τῆς γῆς καὶ τῶν ἄστρων, οὐ τὸν μέχρι τῆς σελήνης ἔλεγεν, ἀλλὰ τὸν
ἀπὸ γῆς μέχρι τῆς ἀπλανοῦς. δῆλον δέ φησιν ὁ Ἀλέξανδρος ὅτι ἀέρος
καὶ πυρὸς ὑποτιθέμενος εἶναι τοῦτο τὸ διάστημα τὴν ἀπλανῆ σφαῖραν
προσνέμοι ἂν τῷ πυρί· οὕτω δ' ἂν καὶ τὰ λοιπὰ τῷ ἀέρι προσάψειεν.
ἀλλ' οὐδ' εἰ αἱ σφαῖραι μὲν ἐξ ἀέρος ἦσαν μόνου καὶ τὸ λοιπὸν τὸ μέχρι
τῆς γῆς, μόνα δὲ τὰ ἄστρα ἐκ πυρός, ἐνεδέχετο ἂν τὴν πρὸς τὰ λοιπὰ
σώζεσθαι συμμετρίαν· ἀπειροπλασίων γὰρ ὕδατος καὶ γῆς ὁ τοῦ πυρὸς
ὑπῆρχεν ὄγκος, εἴ γε μόνος ὁ ἥλιος ἑκατονταεβδομηκονταπλασίων ἐστὶ τῆς
γῆς. τί ἂν οὖν ἔδρασε μετὰ τῶν λοιπῶν ἄστρων, εἰ πύριος ἦν;

p. 340ᵃ8 Ὁρῶμεν δὲ οὐκ ἐν τοσούτῳ μεγέθει γινομένην τὴν
ὑπεροχὴν τῶν ὄγκων, ὅταν ἐξ ὕδατος ἀὴρ γίνηται διακριθέντος
ἢ πῦρ ἐξ ἀέρος. ἀνάγκη δὲ τὸν αὐτὸν ἔχειν λόγον ὃν ἔχει τὸ
τοσόνδε καὶ μικρὸν ὕδωρ πρὸς τὸν ἐξ αὐτοῦ γινόμενον ἀέρα, καὶ
τὸν πάντα πρὸς τὸ πᾶν ὕδωρ.

Εἰπὼν ὡς οὐκ ἐνδέχεταί τι τῶν στοιχείων τὴν πρὸς τὰ λοιπὰ συμ-
μετρίαν ὑπερβαλεῖν, εἰ δέοι σωθῆναι δηλονότι τὸ πᾶν καὶ μένειν ὡς ἔχει
φύσεως, αὐτό γε τοῦτο ἐπ' αὐτῶν δείκνυσι τῶν στοιχείων διὰ τῆς κατὰ
μόρια τούτων εἰς ἄλληλα μεταβολῆς. εὔλογον γάρ, φησίν, οἶμαι δὲ καὶ
ἀναγκαῖον, ὃν ἔχει λόγον κατὰ τὸν ὄγκον ὁ ἐξ ὕδατός τινος ἐν τῇ μετα-
βολῇ γενόμενος ἀήρ, τὸν αὐτὸν ἔχειν καὶ τὸν ὅλον ἀέρα πρὸς τὸ ὕδωρ
ἅπαν. οἷον εἰ κυαθιαῖον ὕδωρ εἰς δεκαπλασίονα τυχὸν ἀέρος ὄγκον μετα-
βάλοι, καὶ τὸν ὅλον ἀέρα δεκαπλασίονα τοῦ παντὸς εἶναι ὕδατος. τὸ αὐτὸ
δὲ καὶ ἐπὶ ἀέρος καὶ πυρός· εἰ γὰρ ὁ ξεστιαῖος ἀὴρ μεταβαλὼν εἰς πῦρ
εἰκοσαπλασίονα φέρει πυρὸς ὄγκον ποιήσει, καὶ τὸ πῦρ ὅλον ἀνάγκη τοῦ
ἀέρος εἰκοσαπλάσιον εἶναι. καὶ ἐπὶ πάσης αὐτῶν τῆς εἰς ἄλληλα μετα-
βολῆς ὁμοίως· τὰ παχύτερα γὰρ ἐν τῇ διακρίσει καὶ μανώσει αὐτῶν εἰς
λεπτότερα ποιούμενα τὴν μεταβολὴν πάντως μὲν ὄγκον ἀποτελεῖ μείζονα,
λόγον δέ τινα καὶ συμμετρίαν πρὸς τὸν ἐξ οὗ μετέβαλεν ἔχοντα, | ὡς 81v
αὐτὴ τούτων ἡ πρὸς ἄλληλα μεταβολὴ δέδειχεν. εἰ γὰρ τὸ κυαθιαῖον
ὕδωρ δεκαπλασίονα πεποίηκεν ἀέρα, δῆλον ὡς εἰ καὶ τὸ ὅλον ὕδωρ οἷόν
τε ἦν εἰς ἀέρα μεταβαλεῖν, ἐν τῷ δεκαπλασίονι πάντως ἂν ὄγκῳ μετέβαλεν.
οὐκοῦν καὶ ἡ πρώτη γένεσις αὐτῶν ἐν ὄγκῳ τοσούτῳ τὴν ὑπεροχὴν ἔσχε
πρὸς ἄλληλα. ἀλλὰ μὴν ὁ τῆς γῆς ἅμα καὶ τοῦ ὕδατος ὄγκος ἐν οὐδενὶ
λόγῳ σχεδὸν πρὸς τὸ περιέχον ἐστίν. οὐδενὸς ἄρα στοιχείου τὸ μετὰ
τὴν γῆν ἅπαν διάστημα οὐδὲ δύο καὶ μόνων εἶναι πλῆρες δυνατόν· ὡς ἐν-
τεῦθεν λοιπὸν συνάγειν ἀέρος μὲν καὶ πυρὸς πλῆρες εἶναι μέχρι σελήνης,
τρίτου δέ τινος τὸ μετὰ τοῦτο. περὶ δὲ τούτων ἁπάντων ἑτέρωθι τὰ δο-

2 τῆς ante γῆς om. Ma 3 Ἀλέξανδρος] p. 9,27 8 πυρὸς scripsi: ἀέρος libri
10 πύριος a 12 γένηται Ma Arist. EFH 17 καὶ μένειν in lit. M 18 post τοῦτο
add. οὕτως ἔχον Ma αὐτῶν ex αὐτὸν corr. M 23. 24 τὸ δ' αὐτὸ a 33 τὴν om. M
35 οὐδ' ἑνὸς M: οὐθ' ἑνὸς a 36 μόνον M 38 τὸ scripsi: τοῦ libri μετὰ τούτου M

κοῦντα ἡμῖν εἴρηται, καὶ γνῶναι πρόκειται τοῖς ἐθέλουσιν, ἵνα μὴ πολλὰς 81v
τὰς παρεκβάσεις νῦν ποιώμεθα.

p. 340ᵃ13 Διαφέρει δ' οὐδὲν οὐδ' εἴ τις φήσει μὲν μὴ γίγνεσθαι
ταῦτα ἐξ ἀλλήλων, ἴσα μέντοι τὴν δύναμιν εἶναι· καὶ τοῦτον γὰρ 10
5 τὸν τρόπον ἀνάγκη τὴν ἰσότητα τῆς δυνάμεως ὑπάρχειν τοῖς
μεγέθεσιν αὐτῶν, ὥσπερ κἂν εἰ γενόμενα ἐξ ἀλλήλων ὑπῆρχε.

Πρὸς Ἐμπεδοκλέα νένευκεν αὐτῷ τὰ λεγόμενα· ἐκεῖνος γὰρ ἀμετάβλητα μὲν εἰς ἄλληλα τὰ στοιχεῖα μένειν ἔλεγεν, ὡς ἐν τῷ δευτέρῳ τοῦ Περὶ γενέσεως ἐλέγχων αὐτοῦ τὴν δόξαν ὁ φιλόσοφος ἔγραψεν, ἴσα μέντοι
10 εἶναι κατὰ τὰς δυνάμεις ἀλλήλοις ἅπαντα. ἐπεὶ οὖν αὐτὸς ἐκ τῆς εἰς ἄλληλα τούτων μεταβολῆς τὴν προκειμένην ὑπόθεσιν ἤλεγξεν, Ἐμπεδοκλῆς 15
δὲ οὐ μεταβάλλειν εἰς ἄλληλα ταῦτα βούλεται, οὐδὲν διαφέρειν τοῦτό φησι πρὸς τὸν ἔλεγχον τῶν ὑποθέσεων, ἐν ὅσῳ τὰ τῆς δυνάμεως αὐτῶν ἴσα φησὶν εἶναι, δηλονότι καὶ τῶν ὄγκων αὐτῶν ἀναλογίαν ἐχόντων πρὸς ἀλλή-
15 λους. εἰ οὖν κατὰ τὴν ὑπόθεσιν ἑνὸς ἢ δύο στοιχείων τὸ μετὰ τὴν γῆν εἴη μέχρι τῆς ἀπλανοῦς, οὐχ ἕξει συμμετρίαν πρὸς τὴν γῆν ὁ τοῦ ἑνὸς ἢ τῶν δύο στοιχείων ὄγκος, ὡς τῶν δυνάμεων τοῖς ὄγκοις δηλονότι συναυξο- 20
μένων. ὅπερ οὐκ ἔστιν ἀληθές· οὐ γὰρ εἰ κέραμον ὕδατος ἐκ τῆς Μαιώτιδος λίμνης ἀρύσαις, ἀνάγκη τοῦ ἀρυσθέντος ὕδατος τοσοῦτον ταῖς δυνά-
20 μεσιν ὑπερέχειν, τῇ ὑγρᾷ λέγω καὶ τῇ ψυχρᾷ, τὸ τῆς λίμνης ἅπαν ὕδωρ, ὅσον καὶ τῷ ὄγκῳ τοῦ μεγέθους ὑπερβέβηκεν· οὐδὲ εἰ ἅλὸν ἕνα πυρκαϊᾶς ἀφέλῃς μεγίστης, δεῖ τοσοῦτον αὐτοῦ θερμοτέραν εἶναι τὴν ὅλην πυρκαϊάν, ὅσον ἐστὶ τῷ μεγέθει μεῖζον τοῦ ἀφαιρεθέντος. ὁμοίως καὶ ἐπὶ ὄξους φέρε καὶ οἴνου λευκοῦ τε σώματος ἢ μέλανος καὶ τῶν παραπλησίων ἁπάν- 25
25 των· ἐν οὐδενὶ γὰρ τούτων τοῦ ἀφαιρεθέντος ἐξ αὐτῶν μορίου ἀνάγκη μεῖζον εἶναι τὸ ὅλον ταῖς δυνάμεσι τοσοῦτον, ὅσον καὶ τῷ ὄγκῳ μεῖζόν ἐστι τὸ ὅλον τοῦ μέρους.

p. 340ᵃ17 Ὅτι μὲν οὖν οὔτε ἀὴρ οὔτε πῦρ συμπεπλήρωκε μόνον τὸν μεταξὺ τόπον, φανερόν ἐστι· λοιπὸν δὲ διαπορήσαντας εἰ-
30 πεῖν, πῶς τέτακται τὰ δύο πρὸς τὴν τοῦ πρώτου σώματος θέσιν, λέγω δ' ἀέρα τε καὶ πῦρ, καὶ διὰ τίν' αἰτίαν ἡ θερμότης ἀπὸ τῶν ἄνωθεν ἄστρων γίνεται τοῖς περὶ τὴν γῆν τόποις. περὶ ἀέρος οὖν εἰπόντες πρότερον, ὥσπερ ὑπεθέμεθα, λέγωμεν οὕτω 30
καὶ περὶ τούτων πάλιν.

35 Δύο τινὰ προθεὶς ἐν τοῖς ἔμπροσθεν εἰς ἐξέτασιν, πρῶτον μὲν ἐκ ποίων καὶ ἐκ πόσων σωμάτων ὁ τόπος ὁ μεταξὺ τῆς γῆς καὶ τῆς κυρτῆς ἐπι-

6 γιγνόμενα Arist. 8. 9 ἐν τῷ δευτέρῳ τοῦ Περὶ γενέσεως] c. 6 21 ὅσω V
22 εἶναι om. M 24 παραπλησίον M 25 ἐν om. Ma 31 τε om. a
33 πρότερον] πρῶτον Arist. 35 προσθεὶς Ma 35. 36 ποίων τε καὶ M

φανείας τῆς ἁπλανοῦς συμπεπλήρωται, πότερον ἐκ μόνου πυρὸς ἢ ἀέρος 81v
μόνου ἢ ἐξ ἀμφοῖν ἢ μετὰ τούτων καὶ ἐκ τρίτου τινὸς ἑτέρου, δεύτερον
δὲ ποίαν ἔχουσι τάξιν πρὸς ἄλληλα τὰ μεταξὺ σώματα ταῦτα (τὴν γὰρ τῆς
γῆς καὶ τοῦ ὕδατος οὐσίαν καὶ τὸν ἐξ ἀμφοῖν ἕνα συντελούμενον ὄγκον ἐξ 35
5 αὐτῆς ὁμολογούμενον ἔχομεν τῆς αἰσθήσεως), καὶ ὅτι οὔτε ἐκ μόνου πυρὸς
οὔτε ἐκ μόνου ἀέρος οὔτε ἐκ τῶν δύο μόνων, ἀλλ' ἐκ τούτων τῶν δύο καὶ
τρίτου μετὰ ταῦτα, καὶ περὶ τοῦ πέμπτου σώματος συμπεριλαβὼν τοῖς
ἐλέγχοις, καὶ ὡς οὐχὶ τὰ μὲν ἄστρα ἐκ μόνου πυρός, αὐτὰ δὲ τὰ χύματα
τῶν σφαιρῶν ἐξ ἀέρος, ἐπὶ τὸ δεύτερον νυνὶ πρόβλημα μέτεισιν. ἐπειδὴ
10 γὰρ ἔδειξεν ὅτι τὸ οὐράνιον ἅπαν οὔτε πῦρ ἐστιν οὔτε ἀήρ, εἰκότως ζητεῖ, 40
πῶς ἔχουσι πρὸς τοῦτο τάξεως τὰ λοιπὰ δύο πῦρ καὶ ἀήρ, καὶ εἰ μὴ
πύριά ἐστι τὰ οὐράνια σώματα, πόθεν ἡ ἐξ αὐτῶν εἰς τὰ τῇδε γενομένη
θερμασία. πρῶτον δὲ τὸν περὶ τοῦ δευτέρου ποιεῖται λόγον ἐντεῦθεν
ἀρχόμενος.

15 p. 340a24 Εἰ δὴ γίνεται ὕδωρ ἐξ ἀέρος καὶ ἀὴρ ἐξ ὕδατος, διὰ
τίνα ποτὲ αἰτίαν οὐ συνίσταται νέφη κατὰ τὸν ἄνω τόπον; προσ-
ῆκε γὰρ μᾶλλον ὅσῳ πορρώτερος ὁ τόπος τῆς γῆς καὶ ψυχρότερος διὰ τὸ μήθ' οὕτω πλησίον εἶναι τῶν ἄστρων θερμῶν 45
ὄντων μήτε τῶν ἀπὸ τῆς γῆς ἀνακλωμένων ἀκτίνων, αἳ κωλύ-
20 ουσι πλησίον τῆς γῆς συνίστασθαι νέφη διακρίνουσαι τῇ θερμότητι τὰς συστάσεις.

Πρὶν διδάξαι ποίαν ἔχουσι τάξιν ὁ ἀήρ τε καὶ τὸ πῦρ, τὴν προκειμένην ἐκίνησεν ἀπορίαν ὡς εἰς τὸ ζητούμενον αὐτῷ χρησιμεύουσαν· ἅμα γὰρ τῇ λύσει ταύτης καὶ ἡ τάξις εὐθὺς τῶν εἰρημένων δύο στοιχείων
25 συναναφαίνεται. ἔστι δ' ἡ ἀπορία τοιαύτη· εἰ δέδεικται, φησίν, ὡς εἰς ἄλληλα τὰ τέσσαρα μεταβάλλει στοιχεῖα (δέδεικται γὰρ ἐν τοῖς Περὶ γενέ- 50
σεως καὶ φθορᾶς), καὶ διὰ τοῦτο καὶ τὸ ὕδωρ μανούμενον ἀὴρ γίνεται καὶ τοὔμπαλιν πυκνούμενος ὁ ἀὴρ γίνεται ὕδωρ, καὶ οὐχὶ τινὰ μὲν αὐτῶν μόρια τοῦτο πάσχει τινὰ δὲ οὔ, ἀλλ' ὁτιοῦν ἂν αὐτῶν ληφθείη μέρος
30 πέφυκε μεταβάλλειν εἰς θάτερον, διὰ τί μὴ συνίσταται νέφη ἐν τῷ πολὺ τῆς γῆς ὑπερανεστηκότι τόπῳ; ὅτι γὰρ οὐ συνίσταται, ἐκ τῆς μακρᾶς ἱστορίας | ἐστὶ δῆλον. τὰ γὰρ ὑψηλότατα τῶν ὀρῶν ὑπερνεφῆ τέ ἐστι καὶ 82r
ὑπερήνεμα. τέφραν γὰρ ἔν τισι τούτων ἀποθέμενοί τινες ἢ καὶ ἐκ θυσιῶν τῶν ἐν ἐκείνοις γινομένων ἀπολελοιπότες, μετὰ πλείστους ἐνιαυτοὺς περι-
35 εργασάμενοι κειμένην εὗρον αὐτὴν οὕτως ὡς ἔθεσαν. καὶ ἐν Κυλλήνῃ δέ, φασίν (Ἀρκαδίας δ' ὄρος ἐστὶ τοῦτο λίαν ὑψηλόν) θύσαντές τινες ἐν τῷ ἐπιόντι θέρει πάλιν θῦσαι ἀνελθόντες ἔτι τὴν τέφραν τῶν ἱερείων οὕτω

---

12 πύρειά Ma 17 πορρώτερω V: πορρώτερον Arist. EN (ος) 22 διδάξαι M¹ (ει)
23 αὐτῷ] αὐτὸ V 26. 27 ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς] B 4 28 μὲν om. V 29 ὁτιοῦν M ἂν om. Ma 35 κυλήνῃ VM 35. 36 δ' ἔφασαν V 36 ἐστὶ—p. 27,1 ὄμβρων om. a

κειμένην εὗρον μήτε ὑπ' ὄμβρων κατακλυσθεῖσαν μήτε ὑπὸ πνευμάτων 82r
διεσκεδασμένην. ἱστορεῖ δὲ Πλούταρχος καὶ γράμματα μεῖναι εἰς ἑτέραν 5
τῶν ἱερείων ἀνάβασιν ἐκ τῆς προτέρας ἐν τῷ Ὀλύμπῳ τῷ Μακεδονικῷ.
ἀλλὰ καὶ οἱ τὰ τοιαῦτα τῶν ὀρῶν διοδεύοντες, ὡς καὶ ἐμοί τις τὸν Ὄλυμπον
5 διοδεύσας ἔλεγε, κατωτέρω τῆς πορείας αὐτῶν τὰς τῶν νεφῶν γινομένας
συστάσεις καὶ ὑετὸν συνιστάμενον ἀστραπῶν τε ἐλλάμψεις καὶ κτύπου βρον-
τῶν ἤκουον φερομένου κάτωθεν, καὶ ἁπλῶς ὅσα συμβαίνουσιν ἐκ τῆς τῶν
νεφῶν συγκρίσεως καὶ ἡμῖν ἄνω γινόμενα φαίνεται, ἐκείνων κατωτέρω συν-
ίστανται. καίτοι γε οὐδὲ πολύ τι τῆς γῆς τὰ ὑψηλότατα τῶν ὀρῶν ὑπερ- 10
10 ῆρται· οἱ γὰρ τῆς μηχανικῆς ἐπιστήμονες τέχνης διὰ τῶν ὀργάνων, δι' ὧν
τὰ ὄρη μετρεῖν εἰώθασιν, εὑρόντες τούτων τὰ ὕψη τὰ μέγιστά φασι τῶν
ὀρῶν δέκα καὶ δύο σταδίων ἔχειν τὴν κάθετον. τίς οὖν ἀποκλήρωσις τινὰ
μὲν τοῦ ἀέρος μόρια μεταβάλλειν εἰς ὕδωρ, τινὰ δὲ μή; εἰ γὰρ πᾶν μόριον
ὕδατος εἰς ἀέρα μεταβάλλειν ἐξατμιζόμενον δύναται, καὶ πᾶν ἄρα μόριον
15 ἀέρος πυκνούμενον γενήσεται ὕδωρ. ἴσα γὰρ ἀνάγκη ταῖς δυνάμεσιν εἶναι 15
τὰ στοιχεῖα· ὑπερβάλλοντος γὰρ τῶν ἐναντίων θατέρου τὸ λοιπὸν ἅπαν
εἰς αὐτὸ μεταβαλεῖ τῷ χρόνῳ, καὶ τὸ πᾶν οἰχήσεται, ἑνὸς τῶν ἐξ ὧν ἔχει
τὸ εἶναι λυομένου. καίτοι, φησί, προσῆκον ἦν μᾶλλον ἐν τῷ τόπῳ τούτῳ
τὴν τῶν νεφῶν γίνεσθαι σύστασιν ὡς ψυχροτέρῳ τοῦ τε ὑπερκειμένου αὐ-
20 τῶν ἀέρος τοῦ πλησιάζοντος τοῖς ἄστροις καὶ τοῦ περὶ τὴν γῆν αὐτήν,
οὔτε τῶν ἄστρων ἐγγὺς ὄντων θερμῶν ὄντων, ὥς τισιν ἔδοξε, καὶ τῇ θερ-
μότητι διαλυόντων τὴν σύστασιν οὔτε πλησίον τῶν ἀπὸ τῆς γῆς ἀνακλω- 20
μένων ἀκτίνων, αἵτινες κωλύουσι περὶ τὴν γῆν νέφη συνίστασθαι. ὡς
γὰρ ἐν κέντρῳ τινὶ συνελθοῦσαι τῇ γῇ πλείονες ἀκτῖνες, εἶτα πάλιν ἀνα-
25 κλώμεναι μᾶλλον ἀλλήλαις πλησιάζουσι καὶ τὸν ἐναπειλημμένον καθ' ἑκάστην
κλάσιν ἀέρα τῇ κινήσει θερμαίνουσι καὶ συστῆναι κωλύουσιν εἰς νέφη·
εἴ τι γὰρ καὶ συμπιληθείη τούτου, ῥᾳδίως αὐτὸ διακρίνουσι τῇ παρατρίψει
θερμαίνουσαι. ὅτι γὰρ ἡ κίνησις θερμαίνει, προφανὲς ἅπασι. διὸ καὶ τῶν
βελῶν τῶν μετὰ πολλῆς ῥύμης ἐκπεμπομένων ὁ μόλιβδος ὁ τὰς ἀκίδας 25
30 συνέχων τακεὶς ἢ ἁπλῶς ἡ κόλλα διαπίπτειν αὐτὰς ποιεῖ, εἰ μὴ νεύροις
εἶεν συνδεδεμέναι. ἐκεῖ γὰρ τὰ νέφη συνίστανται, φησίν, ἐν ᾧ προϊούσης
τῆς ἀνακλάσεως εἰς ἀχανὲς αἱ ἀκτῖνες ἀλλήλων διίστανται πλεῖστον
ἀέρα μεταξὺ διαλαμβάνουσαι καὶ διὰ τοῦτο δυσπαθῆ τῷ θερμῷ. εἰκὸς
οὖν ἐκεῖ τὰ νέφη συνίστασθαι· δέδεικται γὰρ ἐν τοῖς ὀπτικοῖς ὅτι αἱ τῶν
35 ἀκτίνων κλάσεις κατ' ἴσας τὰς ἑκατέρωθεν γίνονται γωνίας, διόπερ ἐξαπλοῦ-
σθαι συμβαίνει προϊούσας τὰς ἀνακλωμένας. ἀλλὰ καὶ ἐν τοῖς κατόπτροις 30
αἱ προσπίπτουσαι τῶν ὄψεων ἀκτῖνες καὶ διὰ τὸ λεῖον ἐξ αὐτῶν ἀνακλώ-
μεναι παλινδρομοῦσιν ὅθεν ἐξεληλύθασι· διόπερ ἑαυτοὺς ὁρῶντες ἄλλο τι
ὁρᾶν ἐν τοῖς κατόπτροις νομίζομεν, τῆς κρίσεως τῶν ὁρατῶν κατ' αὐτὴν

---

1 κατακλυσθεῖσαν] βληθεῖσαν a 5 post κατωτέρω fort. addendum ἑώρων λ

11 ὕψη] εὕψη V 17 μεταβαλεῖ scripsi: μεταβα V: μεταβάλη M: μεταβάλλη a
25 τὴν ἐναπειλημμένην M 26 κλάσιν iterat V 39 κατ' αὐτῆς M

γινομένης τὴν ἐκ τῆς κλάσεως ἐν τῷ ἐσόπτρῳ συνισταμένην γωνίαν, καὶ 82r
διὰ τοῦτο τὸ ἔξω φανὲν εἴδωλον ἔνδον ἐν τῷ κατόπτρῳ εἶναι δοκεῖ. καὶ
ἐπειδὴ κατ' ἴσας τὰς ἑκατέρωθεν γωνίας ἡ κλάσις γίνεται, εἰ μὲν τὰ ὑπὲρ 35
κεφαλῆς ἡμῶν ἰδεῖν ἐθέλοιμεν, πρὸ ποδῶν τὸ κάτοπτρον ὕπτιον θέντες καὶ
5 ἀποβλέψαντες εἰς αὐτὸ τὴν ὀροφὴν ὁρῶμεν, τῶν ἀκτίνων τῆς ὄψεως κατ'
ἀμβλείας τὰς ἑκατέρωθεν κλωμένων γωνίας, ὀξεῖαν δὲ τὴν μεταξὺ ποιου-
σῶν καὶ οὕτως εἰς ὕψος ἀναφερομένων διὰ τὸ τὴν κλάσιν μὴ χωρεῖν ἐφ'
ἑκατέρα πλατυνομένην· εἰ δὲ τὰ κοῖλα καὶ κάτω βουληθείημεν ἰδεῖν, εἰς
ὕψος τὸ κάτοπτρον ἀνατείναντες ἀποβλέπομεν εἰς αὐτό· κλώμεναι δὲ πάλιν
10 αἱ ὄψεις ὁμοίως ταῖς πρώταις ἐπὶ τὸ κάτω χωροῦσιν, ὡς καὶ τὰ ἐν βάθει κατ- 40
οπτεύειν ἡμᾶς ἐν τῷ ἐνόπτρῳ δοκοῦντα φαίνεσθαι. εἰ δὲ ὕπτιον ὡς ἀπὸ
τῆς ὄψεως νεῦον ἐπὶ τὸ ὕδαρος τὸν νῶτον σχηματισθείη τὸ κάτοπτρον,
ἀνακλωμένων τῶν ὄψεων καὶ ὀξείας τὰς ἑκατέρωθε ποιουσῶν, εἰς ἀμβλεῖαν
δὲ τὴν μέσην εὐρυνομένων ἐν τῇ προόδῳ τῶν ἀκτίνων ἑκατέρωθεν, τὰ
15 κατωτέρω μὲν ὀλίγον ἡμῶν, ἐφ' ἑκάτερα δὲ καὶ ἔμπροσθεν κείμενα βλέ- 45
πομεν. τούτων τὰς αἰτίας ἐγνωκότες οἱ τῶν τοιούτων ἐπιστήμονες πολλὰς
ἰδέας κατόπτρων ἐπινενοήκασι, δεξιοφανῆ τε καὶ ἐξωφανῆ καὶ τήν † τε συν-
αντίστροφον δεικνύντα τῇ κεφαλῇ, καὶ ἕτερα πλεῖστα· πρὸς γὰρ τὰς ποι-
κίλας τῶν ὄψεων ἀνακλάσεις τὰ κάτοπτρα τῇ διαπλάσει σχηματίσαντες τὰ
20 τοιαῦτα δοκοῦσι θαυματουργεῖν. ἀλλὰ περὶ μὲν τούτων λεγόντων οἱ περὶ
τὰ τοιαῦτα· πρὸς δὲ τὴν παροῦσαν χρείαν αὐτάρκως εἴρηται τὴν αἰτίαν
δείξασι δι' ἣν οὔτε ἐν τοῖς περιγειοτέροις οὔτε ἐν τοῖς πολὺ διεστῶσι τῆς
γῆς νέφη συνίσταται. 50

p. 340a32 Ἢ οὖν οὐκ ἐξ ἅπαντος τοῦ ἀέρος πέφυκεν ὕδωρ γίνε-
25 σθαι, ἢ εἰ ὁμοίως ἐξ ἅπαντος, ὁ περὶ τὴν γῆν οὐ μόνον ἀήρ
ἐστιν ἀλλ' οἷον ἀτμίς, διὸ πάλιν συνίσταται εἰς ὕδωρ.

Ὡς ἐν ἀπορίᾳ δείξας ὅτι μὴ ἐκ παντὸς ἀέρος αἱ τῶν νεφῶν γίνονται
συστάσεις, ὅπερ ἄν τις εἴπε προχείρως ὑπαντῶν πρὸς τὰ εἰρημένα, τοῦτο
τίθησι καὶ διελέγχει. εἴποι γὰρ ἄν τις, ὡς εἰ μὴ παν|ταχῇ συνίστανται 82v
30 τὰ νέφη, οὐ πᾶς ὁ ἀὴρ πέφυκε μεταβάλλειν εἰς ὕδωρ. τοῦτο δὲ ἀποκλη-
ρωτικόν τε καὶ ἄλογον καὶ ἐν τοῖς ἔμπροσθεν ἐληλεγμένον θήσει· ὁμοίως
γὰρ ἐκ παντὸς ὕδωρ γενέσθαι δυνατὸν διὰ τὸ μίαν εἶναι τοῦ παντὸς ἀέρος
τὴν φύσιν, ἣ οὐκ ἔστι καθαρὸς ὁ περὶ τῆν γῆν ἀήρ, ἐν ᾧ τὰ νέφη συν-
ίσταται, οὐδὲ τοιοῦτος οἷος ὁ ἀνωτάτω, ἐν ᾧ μὴ γίνεται νέφη, ἀλλ' οἷον
35 ἀτμίς, ἐξ ἧς τὰ νέφη συνίσταται, καὶ τὸ ὅλον τοῦτο ὑδατώδης ἀήρ. 5
μέση γάρ ἐστιν ἀέρος καὶ ὕδατος ἡ ἀτμίς, ὁδὸς οὖσα καὶ οἷον γένεσις ἐκ
θατέρου εἰς θάτερον, ἐξ ἀέρος μὲν εἰς ὕδωρ παχυνομένου (τοῦτο δ' ἔστιν
ἡ ἀτμίς, παχὺς ἀήρ) ἐξ ὕδατος δὲ πάλιν εἰς ἀέρα λεπτυνομένου· ἡ γὰρ

1 κατόπτρῳ a 2 τὸ om. M 5 ὀρωφὴν M 7 οὕτως—κλάσιν μὴ om. V
12 ἔδαφον V νότον M 17. 18 τε συναντίστροφον—τῇ κεφαλῇ] verba depravata:
fort. legendum θέσιν ἀντίστροφον τῆς κεφαλῆς τήν τε τὴν ἀντίστροφον a 24 τοῦ
om. a ὕδωρ πέφυκε coll. a Arist. E 29 εἴπῃ VM 33. 34 συνίσταται a

ἀτμὶς ὕδατος μέν ἐστι λεπτοτέρα, ἀέρος δὲ παχυτέρα. διὰ τί δὲ ὁ τῆς 82v
γῆς αὐτῆς κατὰ συνέχειαν ἁπτόμενος οὐκ ἐκνεφοῦται, καίτοι γε καὶ αὐτὸς
ἀτμιδώδης ὤν, ἔφθασε τὴν αἰτίαν ἀποδοὺς τὴν ἐκεῖ γινομένην τῶν ἀκτίνων
ἀνάκλασίν τε καὶ πύκνωσιν ἐκθερμαίνουσαν αὐτὸν καὶ διαλύουσαν. ταύτην 10
5 δὲ τὴν ἐπίλυσιν πάλιν ἐλέγχων οὕτω γέγραφεν.

p. 340a35 Ἀλλὰ μὴν εἰ τοσοῦτος ὢν ὁ ἀὴρ ἅπας ἀτμίς ἐστι, δόξειεν ἂν πολὺ ὑπερβάλλειν ἡ τοῦ ἀέρος φύσις καὶ ἡ τοῦ ὕδατος. εἴπερ τά τε διαστήματα τῶν ἄνω πλήρη ἐστὶ σώματός τινος, καὶ πυρὸς μὲν ἀδύνατον διὰ τὸ κατεξηράνθαι ἂν τἆλλα πάντα, λεί-
10 πεται δ' ἀέρος καὶ τοῦ περὶ τὴν γῆν ἅπασαν ὕδατος· ἡ γὰρ ἀτμὶς ὕδατος διάκρισίς ἐστι. 15

Καλῶς ἐνταῦθά φησιν ὁ Ἀλέξανδρος ἐνδεῖν τῷ ἅπας ὁ ἀὴρ τὸ ὁ περὶ τὴν γῆν, ἵν' ᾖ ἅπας ὁ περὶ τὴν γῆν ἀήρ· περὶ τούτου γὰρ εἶπεν. ὁ περὶ τὴν γῆν οὐ μόνον ἀήρ ἐστιν, ἀλλ' οἷον ἀτμίς· ἐντεῦθεν γὰρ καὶ ἡ ἀπορία
15 προῆλθε, διά τί μὴ ἐν ἑκάστῳ μέρει τοῦ ἀέρος νέφη συνίστανται, ἀλλ' ἐν μόνῳ τῷ περὶ τὴν γῆν. εἰ οὖν ὁ μὲν περὶ τὴν γῆν ἅπας ἀτμίς ἐστι, ταὐτὸν δὲ εἰπεῖν ὕδωρ λεπτομερὲς καὶ οὐ διακεκριμένον, ὁ δὲ ὑπὲρ τοῦτον 20 καθαρὸς ἀήρ, πρὸς τούτῳ δὲ καὶ τὸ μεταξὺ τῶν ἄστρων σῶμα, ταὐτὸν δὲ εἰπεῖν τὸ τῶν ὀκτὼ σφαιρῶν ἅπαν διάστημα πάλιν ἐστὶν ἀήρ (πῦρ γὰρ
20 εἶναι τοῦτο τῶν ἀδυνάτων ἐδείχθη· κατεφλέχθη γὰρ ἂν ἤδη πάντα τῇ τοῦ μεγέθους ἀσυμμετρίᾳ) τούτων οὕτως ἐχόντων ὑπερβάλλει τὴν πρὸς τὰ λοιπὰ τρία συμμετρίαν ὁ ἀήρ τε καὶ τὸ ὕδωρ. ἀὴρ μὲν γὰρ τό τε ὑπὲρ τὰ νέφη πᾶν ἐστι καὶ τὸ τῶν σφαιρῶν σῶμα πᾶν· τὸ δὲ ὕδωρ οὐχ ἅπαντα ὑπερβάλλει, ἀλλὰ μόνην τὴν γῆν, ἐπεὶ καὶ τὸ ἀπὸ τῶν νεφῶν μέχρι τῆς 25
25 γῆς ὕδωρ ἐστὶ λεπτομερές (τοιοῦτον γὰρ ἡ ἀτμίς) καὶ τὸ ἐν τοῖς κοιλώμασιν αὐτῆς ἐναπειλημμένον. τοσοῦτον ὑπάρχον ὕδωρ ὑπερβάλλει τῇ δυνάμει τε καὶ τῷ ὄγκῳ τὴν γῆν· τὸ γὰρ πῦρ οὐχ ὑπερέξει, εἴπερ ἅπαντα εἴη τὰ ἄστρα πυρός. οὐκοῦν ὁ μὲν ἀὴρ ὑπερβάλλει πάντα, τὸ δὲ ὕδωρ μόνην τὴν γῆν, τὸ δὲ πῦρ οὐ πρὸς μόνην ἀσύμμετρον ἔσται τὴν γῆν, εἴπερ
30 καὶ μόνος ὁ ἥλιος αὐτῆς ἐστιν ἑκατονταεβδομηκονταπλασίων, ἀλλὰ καὶ πρὸς τὸ ὕδωρ ἀσύμμετρον ἔσται· τί γὰρ ἂν εἴη τὸ μέχρι τῆς τῶν νεφῶν συστάσεως ὕδωρ μετὰ τοῦ ἐναπειλημμένου τῇ γῇ πρὸς τὰ τηλικαῦτα καὶ τοσαῦτα μεγέθη τῶν ἄστρων, εἴπερ καὶ τῶν ἄλλων τινὰ τῆς γῆς ἅμα καὶ τοῦ συναπειλημμένου ὕδατος ἐδείχθη μείζονα; καὶ τοῦτο οὖν διολυσάμενος ἐπὶ τὰ
35 δοκοῦντα αὐτῷ μέτεισιν ἐντεῦθεν. ἡ δὲ λύσις τῆς προκειμένης ἀπορίας οὐ μόνον αὐτὸ τοῦτο διαρθρώσει τὸ πρόβλημα, ἀλλὰ καὶ πρὸς τὰ μέλλοντα λέγεσθαι φανεῖται χρήσιμος.

---

5 πάλιν om. V 6 ἅπας om. Ma 7 ὑπερβάλλον M ἡ post καὶ om. Ma
9 διὰ bis scr. M 10 τοῦ Arist. FHN: τὸ MVa Arist. E ἀρὰ περὶ V 12 Ἀλέξανδρος] p. 12,9 ὁ Ἀλέξανδρος φησὶ coll. V, sed corr. V¹ 14 ἐντεῦθε M
16 ἅπασαν Ma 21 τὴν πρὸς—ὑπερβάλλει (24) iterat M 29 τὸ δὲ πῦρ—γῆν om. V

p. 340b4 Περὶ μὲν οὖν τούτων ἠπορήσθω τοῦτον τὸν τρόπον· 82v
ἡμεῖς δὲ λέγωμεν ἅμα πρός τε τὰ λεχθησόμενα διορίζοντες καὶ 35
πρὸς τὰ νῦν εἰρημένα. τὸ μὲν γὰρ ἄνω καὶ μέχρι σελήνης ἕτερον
εἶναι σῶμά φαμεν πυρός τε καὶ ἀέρος, οὐ μὴν ἀλλ' ἐν αὐτῷ γε
5 τὸ μὲν καθαρώτερον εἶναι τὸ δ' ἧττον εἰλικρινές, καὶ διαφορὰς
ἔχειν. καὶ μάλιστα ᾗ καταλήγει πρὸς τὸν ἀέρα καὶ πρὸς τὸν περὶ
τὴν γῆν κόσμον.

Πάλιν τῶν ἤδη λεχθέντων ἡμᾶς ὑπομιμνήσκει, λέγω δὴ τίς τῶν
οὐρανίων ἐστὶν ἡ οὐσία· τοῦτο γὰρ λαβὼν ἐξ αὐτοῦ συνάγει καὶ τὰ περὶ 40
10 τῆς τάξεως τοῦ πυρός τε καὶ τοῦ ἀέρος, ἅπερ ἐδείχθη μετὰ τὸ κυκλοφο-
ρούμενον ἐφεξῆς ὄντα. ἡμεῖς γάρ, φησί, τὸ ἀπὸ τῆς ἀπλανοῦς μέχρι τῆς
σελήνης (ἐσχάτη γὰρ αὕτη τῶν κυκλοφορουμένων, ὅθεν ἐπιπροσθεῖ τοῖς
ἄλλοις ἅπασιν ὑποτρέχουσα τούτων ἕκαστον, τὸν τῆς Ἀφροδίτης, τὸν τοῦ
Ἑρμοῦ, τὸν ἥλιον αὐτὸν καὶ τοὺς λοιπούς) τοῦτο οὖν ἅπαν τὸ κυκλοφο-
15 ρούμενον σῶμα οὔτε πύριον εἶναί φαμεν οὔτε ἀέριον, ἀλλ' ἑτέρας παρὰ
ταῦτα κυκλοφορικῆς σώματος οὐσίας, ὡς δέδεικται μὲν ἤδη, ὑπομιμνήσκομεν 45
δὲ καὶ νῦν. ἀλλ' ἐν αὐτῷ γε τούτῳ, φησί, διαφορὰς πλείους εὑρίσκομεν.
καὶ γὰρ τὰ ὑπὸ σελήνην μιᾶς μέν εἰσι τῆς ἰθυφορικῆς οὐσίας, διαφοραὶ δὲ
τούτοις ἐπιγενόμεναι τὰ μὲν ἀνώφορα τὰ δὲ κατώφορα πεποιήκασι, καὶ ἐν
20 αὐτοῖς τούτοις τὰ μὲν θᾶττον τὴν αὐτὴν τὰ δὲ βραδύτερον κινεῖται· ἄνω
μὲν πῦρ ἀέρος ἐστὶ ταχύτερον, κάτω δὲ τοῦ ὕδατος ἡ γῆ, καὶ ταῦτα οὐκ
ἄνευ φυσικῆς γέγονε διαφορᾶς. οὕτως οὖν καὶ ἐπὶ τῶν οὐρανίων, εἰ καὶ 50
πᾶσι τὸ κυκλοφορούμενον ὑπόκειται σῶμα, ἀλλὰ πάλιν διαφοραί τινες οὐσι-
ώδεις ἄλλοις ἄλλαι προσελθοῦσαι ἐποίησαν τὰ μὲν τὴν ἐπὶ τὰ ἡγούμενα
25 κινεῖσθαι, τὰ δὲ τὴν ἐπὶ τὰ ἑπόμενα, καὶ ταύτην τὰ μὲν θᾶττον τὰ δὲ
βραδύτερον· πάλιν τὰ μὲν αὐτῶν λαμπρότερά τέ ἐστι καὶ εἰλικρινέστερα.
τὰ δὲ ἧττόν ἐστι τοιαῦτα. μάλιστα δέ, φησίν, ἡ μείωσις τούτων γίνεται
ἐν τοῖς καταλήγουσιν εἰς τὸν ἀέρα καὶ τὸν περὶ γῆν κόσμον, ἀέρα καλῶν
κατὰ τὴν τῶν πολλῶν | ὑπόνοιαν πᾶν τὸ ἀπὸ τῆς γῆς σῶμα μέχρι τῆς 83r
30 σελήνης, ὅτι μὴ διακρίνειν τῇ ὄψει τούτου δυνάμεθα τὰς διαφοράς, καὶ ὅτι
μήπω δέδειχε νῦν ἣν ἔχουσι πρὸς ἄλληλα τάξιν καὶ πρὸς τὸ ἄνω σῶμα
τὸ πῦρ τε καὶ ὁ ἀήρ. καὶ τοῦτο λίαν ἀκολούθως τοῖς οὐρανίοις ὑπάρχειν
εὔλογον· ὡς γὰρ τῆς γῆς ἐσχάτης οὔσης τὸ μετ' αὐτὴν ὕδωρ εὐειδέστερόν
ἐστιν αὐτῆς καὶ καθαρώτερον, καὶ τούτου πάλιν ὁ ἀήρ, καὶ τοῦ ἀέρος τὸ 5
35 ὑπέκκαυμα, εὔλογον ἐκ τούτων ἀνιόντας καὶ ἐπὶ τῶν οὐρανίων τὴν αὐτὴν
νομίζειν γίνεσθαι πρόοδον ἐπὶ τὸ εἰλικρινέστερον τῶν ἄνω χωρούντων ἀεὶ
καὶ θειότερον. καὶ τοῦτο καὶ ἐκ τῆς σελήνης τεκμαίρεσθαι μάλιστα δεῖ,
ἥτις οὐδὲ τὸ φῶς ἴδιον ἔχει, ἀλλ' ἐξ ἡλίου πᾶν ἄλλοτε κατ' ἄλλο τι μέρος
αὐτῆς ἐρανιζόμενον· τὸ γὰρ οἰκεῖον αὐτῆς καὶ οὐσιῶδες φῶς ἐν ταῖς ἐκ-
40 λείψεσιν ὁρᾶται λίαν ἀμυδρόν τι καὶ ἀνθρακῶδες καὶ τῶν ἄστρων πάντων

2 λέγομεν Ma Arist. EH 3 ἕτερον bis scr. V 4 γε om. Ma 7 κόσμον] τόπον supr. scr. V¹ 15 πύρινον a 30 τῇ ὄψει ex τὴν ὄψιν corr. M 36 ἀνωτέρω Ma

ἔλαττον, ὡς ἐν αὐτῇ τῶν οὐρανίων ἀποπερατουμένων. ὅτι δὲ καὶ τῶν 83r
ἀστέρων ἄλλος διενήνοχεν ἄλλου μεγέθει τε καὶ φωτὶ καὶ τόποις, φανερόν. 11
εἰ οὖν μὴ κατὰ συμβεβηκὸς γέγονε ταῦτα, δῆλον ὡς ἐκ τῆς οὐσιώδους
αὐτῶν ὑπῆρξε διαφορᾶς. Πλατωνικὸς μὲν οὖν ἴσως τις ἀνὴρ ἐκ τῶν τεσ-
5 σάρων συγκεῖσθαι νομίζων καὶ τὰ οὐράνια τὴν διάφορον τῶν τοιούτων
αἰτιάσεται κρᾶσιν καὶ τὸ ἑκάστῃ τῶν κράσεων φυσικῶς ἐπιγενόμενον εἶδος·
ὁ δὲ Ἀλέξανδρος Ἀριστοτελικὸς ὑπάρχων τὸ ἧττον εἰλικρινές φησι καὶ τὰς
ἐν αὐτοῖς διαφορὰς οὐ τῷ μεμῖχθαί τι καὶ θνητῆς οὐσίας ἐκείνοις γίνεσθαι, 15
ἀλλὰ διαφορὰς εἶναι ταύτας τοῦ ἁπλοῦ σώματος. καὶ γὰρ ἐπὶ τῶν τεσ-
10 σάρων στοιχείων μᾶλλον τὸ ψυχρὸν ἐν ὕδατί ἐστιν ἤπερ ἐν γῇ, καὶ μᾶλλον
μὲν τοῦ πυρὸς ξηρά ἐστιν ἡ γῆ, ἀλλ' οὐχ ὑγρότητος μίξει τὸ πῦρ ἧττόν
ἐστι ξηρόν· καὶ μᾶλλον μὲν τοῦ ἀέρος θερμόν ἐστι τὸ πῦρ, ἀλλ' οὐ μίξει
ψυχροῦ ἧττόν ἐστι θερμὸς ὁ ἀήρ· καὶ μᾶλλον μὲν ὑγρὸς ὁ ἀὴρ τοῦ ὕδατος,
ἀλλ' οὐ ξηροῦ μίξει τὸ ὕδωρ ἧττόν ἐστιν ὑγρὸν τοῦ ἀέρος. ἁπλᾶ γάρ ἐστι
15 ταῦτα σώματα μὴ ἐξ ἄλλων συγκείμενα σωμάτων, συνιόντα δὲ πρὸς ἄλλων 20
αὐτὰ γένεσιν ὡς στοιχεῖα.

p. 340b 10 Φερομένου δὲ τοῦ πρώτου στοιχείου κύκλῳ καὶ τῶν ἐν αὐτῷ σωμάτων, τὸ προσεχὲς ἀεὶ τοῦ κάτω κόσμου καὶ σώματος τῇ κινήσει διακρινόμενον ἐκπυροῦται καὶ ποιεῖ τὴν θερ-
20 μότητα.

Ἐντεῦθεν λοιπὸν αὐτὸς οἴκοθεν τὸ ἠπορημένον λύει, ὅτι μὴ συνίσταται νέφη ἐν τοῖς ὑπὲρ τὴν γῆν καὶ πρὸς τὴν σελήνην τόποις. διὰ τί γὰρ κάτω πρὸς αὐτὴν οὐ συνίσταται, δέδειχεν ἤδη διά τε τὸ τὰς ἀκτῖνας 25
ἁπάσας ἐν μικρῷ τόπῳ συννευούσας (κέντρον γὰρ ἡ γῆ τοῦ παντός) θερ-
25 μαίνειν τὸν ἀέρα, καὶ διὰ τὰς ἐξ αὐτῆς τῶν ἀκτίνων ἀνακλάσεις μᾶλλον τῶν ἀκλάστων θερμαινούσας τὸν ἀπειλημμένον μεταξὺ αὐτῶν ἀέρα καὶ ἀεὶ τὴν συνισταμένην ἀτμίδα διακρινούσας. τοῦ δὲ μὴ ἄνω γίνεσθαι τὰ νέφη νῦν ἀποδίδωσι τὴν αἰτίαν. τοῦ γὰρ πρώτου στοιχείου, φησί, τουτέστι τοῦ πέμπτου κάτωθεν, ἄνωθεν δὲ πρώτου, καὶ τῶν ἐν αὐτῷ ἄστρων κυκλο-
30 φορουμένων συνεχῶς ἁπάντων, τὸ προσεχὲς τῷ αἰθέρι τοῦ κάτω κόσμου σῶμα, καὶ ὅσον τῆς ἐσχάτης αὐτῶν ἐπιφανείας ἅπτεται, τῇ συνεχείᾳ τῆς 30
ἐκείνου κινήσεως συγκινούμενον αὐτῷ καὶ συγκυκλιζόμενον καὶ ταύτῃ διακριθὲν λεπτύνεται· μηδεμιᾶς οὖν ἐν αὐτῷ μενούσης παχύτητος θερμαίνεται ταύτῃ καὶ ἐκπυροῦται. πῶς οὖν ἐν τῷ τοιούτῳ τόπῳ σύστασιν νέφους
35 γίνεσθαι ἦν ἐνδεχόμενον; εἰ οὖν ἐκπυροῦται πάσης ἐν αὐτῷ δαπανωμένης ἰκμάδος, οὐ μόνον θερμὸν ἔσται, ἀλλὰ καὶ ξηρόν· τοιαύτη δὲ ἡ τοῦ πυρὸς οὐσία. συνανεφάνη ἄρα καὶ τὰ τῆς τάξεως καὶ αὕτη τοῦ πυρὸς ἡ οὐσία 35
προσεχὴς οὖσα τοῖς ἄνω σώμασι. μετ' αὐτὴν ἄρα τὸ ἀέριον ἔσται σῶμα,

3 γέγονε] γίνεται M 4 ὑπῆρξαι M 5 τῶν τοιούτων] τούτων Ma
7 Ἀλέξανδρος] p. 12,33 ὑπάρχον a 10 ἤπερ ἡ γῆ M: ἐν ex ἡ corr. V
post γῇ fort. addendum ἀλλ' οὐ θερμοῦ μίξει ἧττόν ἐστι ψυχρὰ ἡ γῆ 15 ἐξ ἀλλήλων a 21. 22 συνίστανται M 29 ante πρώτου add. τοῦ Ma

μετρίως μὲν θερμὸν ὡς πλησιάζον τῷ πυρί, οὐκέτι δὲ καὶ ξηρὸν ὡς προσ- 83r
εχὲς κάτωθεν ὑπάρχον τῷ ὕδατι. τὸν δὲ λόγον τοῦτον ἐφεξῆς ἀναλαμ-
βάνει σαφέστερον λέγων οὕτως.

p. 340b 14 Δεῖ δὲ νοεῖν οὕτω καὶ ἐντεῦθεν ἀρξαμένους. τὸ γὰρ
ὑπὸ τὴν ἄνω περιφορὰν σῶμα οἷον ὕλη τις οὖσα καὶ δυνάμει
θερμὴ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρὰ καὶ ὅσα ἄλλα τούτοις
ἀκολουθεῖ πάθη, γίνεται τοιαύτη καὶ ἔστιν ὑπὸ κινήσεώς τε καὶ
ἀκινησίας, ἧς τὴν αἰτίαν καὶ τὴν ἀρχὴν εἰρήκαμεν πρότερον.

Ὑπὸ μὲν οὖν τὴν ἄνω φησὶ περιφορὰν τὸ ὑπὸ σελήνην ἅπαν,
τουτέστι τὰ τέσσαρα στοιχεῖα. τοῦτο οὖν ἅπαν τὸ σῶμα παθητὸν ὄν (γίνεται
γὰρ καὶ φθείρεται) οἷον ὕλη τις ἐκείνοις πρὸς γένεσίν ἐστιν ὑποκείμενον
τοῖς ἐξ αὐτῶν γινομένοις, καὶ τούτων ἕκαστον τοῖς λοιποῖς, ὡς τὰ ξύλα
τῷ τέκτονι καὶ τὰ ἔρια τῷ ὑφάντῃ. διδάσκων δὲ πῶς ἐστιν οἷον ὕλη
φησὶ καὶ δυνάμει ψυχρὰ καὶ θερμὴ καὶ ξηρὰ καὶ ὑγρά· τὸ γὰρ ταῖς
ποιότησιν ὑποκείμενον καὶ πάντων ἔχον τὴν δύναμιν, τοῦτό ἐστιν ὕλη. τοι-
οῦτον δὲ τὸ ὑπὸ σελήνην ἅπαν εἰς ἑκάστην τῶν ἐναντίων ποιοτήτων μετα-
βάλλον καὶ ὅσα ταύταις ἀκολουθεῖν ἐδείχθη πάθη ἐν τῷ δευτέρῳ τῶν
Περὶ γενέσεως καὶ φθορᾶς, ἅπερ ἐστὶ μανότης πυκνότης, σκληρότης μαλα-
κότης, λειότης τραχύτης, καὶ ἁπλῶς ὅσα ἐν ἐκείνοις κατηρίθμηται. τὸ
γὰρ ἕν τι τῶν ἐναντίων ἔχον ἐνεργείᾳ οἷον ψῦξιν δυνάμει θερμόν ἐστι,
καὶ τὸ ξηρὸν ἐνεργείᾳ δυνάμει ἐστὶν ὑγρόν, καὶ ἐπὶ πάντων ὁμοίως. πῶς
οὖν γίνεται κατ' ἐνέργειαν ὅπερ ἐστὶ δυνάμει; ὑπὸ κινήσεως, φησί, καὶ
ἀκινησίας· γινόμενα μὲν γὰρ καὶ μεταβάλλοντα κινεῖται, γενόμενα δ' ἤδη
καὶ τὸ τέλειον εἰληφότα εἶδος ἠρεμεῖ λοιπὸν ἐν αὐτῷ· ὥστε ἡ μὲν εἰς τὸ
γενέσθαι, ἡ δὲ εἰς τὸ εἶναι τοῦτο ὃ γέγονε συντελεῖ. τῆς δὲ κινήσεως
αὐτῶν καὶ μεταβολῆς ἡ περιφορὰ τῶν οὐρανίων ἐστὶν αἰτία ποιητική, αὐτὰ 83v
δὲ ταῦτα ὡς ὕλη, τέλος δὲ ἡ τοῦ παντὸς τελειότης. ὥστε μὴ μόνον τὰ
ἀεὶ μένοντα καὶ ἀμετάβλητα εἶναι, ἀλλὰ καὶ τὰ γινόμενα καὶ φθειρόμενα. τὸ
γὰρ πᾶν, ᾗ φησι Πλάτων, ἀτελὲς τούτων μὴ ὄντων, καὶ οὐδὲ πᾶν οὐδ'
ὅλον ἐστὶ μὴ συμπεπληρωμένον ἐκ τούτων, οἷς οὐκ ἦν τὸ εἶναι ἀδύνατον.
τούτων οὕτως ἐχόντων ἀπορήσειεν ἄν τις, εἰ διὰ τὴν θερμότητα τοῦ ἀνω-
τάτω ἀέρος οὐ συνίσταται ἐκεῖ νέφη, τί δήποτε ἐν τοῖς ὑψηλοτάτοις ὄρεσι
χιὼν καταφέρεται πολλὴ καὶ ἐπὶ πλεῖστον διαρκεῖ χρόνον ἤπερ ἐν τῇ πεδιάδι
καὶ μέχρι τοῦ θέρους αὐτοῦ παρατείνει. τοῦτο δ' ἔφθημεν ἤδη προεπιλυ-
σάμενοι, ὡς ὁ μεταξὺ τόπος τοῦ περὶ τὴν γῆν καὶ τοῦ ἀνωτάτω ἀέρος
κατέψυκται μᾶλλον διὰ τὸ καὶ τοῦ ὑπεκκαύματος ἄνωθεν ἀφεστηκέναι καὶ
τῆς κάτω γινομένης τῶν ἀκτίνων πυκνώσεως καὶ ἀνακλάσεως εἰς ἀχανὲς

1 ὡς post ξηρὸν scripsi: ὥσπερ libri 3 λέγον M 9 μὲν οὖν om. Ma 17. 18 ἐν τῷ δευτέρῳ τῶν Περὶ γενέσεως καὶ φθορᾶς] c. 2 18 post μανότης add. καὶ a 19 τραχύτης] παχύτης Ma κατηρίθμηται] κατ in lit. M 23 γινόμενα δ' ἤδη a 29 Πλάτων] cf. Tim. 41 B 33 πλεῖστον] sic libri

ἐκεῖ ληγουσῶν καὶ μὴ δυναμένων ἔτι ὁρᾶν ἐπὶ τὸν μεταξὺ αὐτῶν ἀέρα ἐν- 83v
απειλημμένον, πολὺν ὄντα. ἐν οἷς οὖν ἡ χιὼν συνίσταται ψυχροῖς οὖσι, 11
συσταίη ἂν καὶ νέφη μάλιστα. κἀκεῖνο δ' ἂν ζητήσειέ τις, εἰ ὁ ὑπὲρ τὰς
κορυφὰς τῶν ὑψηλοτάτων ὁρῶν ἀήρ, ὃν ὑπερνεφῆ τε καὶ ὑπερήνεμον εἶναί
5 φαμεν, τοῖς κυκλοφορουμένοις συμπεριάγεται σώμασι, πῶς ἐλέγομεν τὴν
ἐκεῖσε κειμένην τέφραν ἐπὶ πολὺν μεῖναι χρόνον, ὡς εἶχεν ἐξ ἀρχῆς
θέσεως. πῶς γὰρ ὁ ἀὴρ περιφερόμενος οὐ διασκεδαννύειν ἔμελλε ταύτην;
πρὸς ὃ ῥητέον ὡς οὐκ ἔστιν ἐκείνη ῥαγδαία τοῦ ἀέρος ἡ κίνησις οὐδ' 15
ἄτακτος, ἀλλ' ὁμαλὴ καὶ λεία, καὶ λεπτομερὴς ὁ ἀήρ, εἰς δὲ τὸ κινεῖσθαι
10 τὴν κειμένην τέφραν καὶ μάλιστα πεπιλημένην ὡς εἰκὸς ἐκ τῆς τῶν θυσιῶν
ἰκμάδος τραχυτέρας δεήσει καὶ ἀτάκτου κινήσεως καὶ παχυτέρου τοῦ κινου-
μένου σώματος, οἷα τῶν ἀνέμων ἐστὶν ἥ τε κίνησις καὶ αὐτὸ τὸ κινού-
μενον σῶμα, ὡς ἐκμοχλεύειν καὶ μεθιστάνειν τὰ ὑποκείμενα δύνασθαι.
καὶ τὴν θάλασσαν γοῦν κορυφοῖ καὶ δένδρα καταβάλλει τὰ τῶν ἀνέμων
15 πνεύματα καὶ τὴν ὅλην ἐν τοῖς σεισμοῖς ἀναρρήγνυσι γῆν. λεπτομερὴς δ' 20
ὁ ἀὴρ ἐκεῖνος· διὸ καὶ κατέψυκται μὲν λίαν ὡς εὐπαθής, οὐ συγκρίνεται
δὲ εἰς ὕδωρ διὰ τὴν λεπτομέρειαν, καὶ ἡ κίνησις αὐτοῦ λεία καὶ ὁμαλή,
ὡς εἰρήκαμεν.

p. 340b19 Ἐπὶ μὲν οὖν τοῦ μέσου καὶ περὶ τὸ μέσον τὸ βαρύτα-
20 τόν ἐστι καὶ ψυχρότατον ἀποκεκριμένον, γῆ καὶ ὕδωρ· περὶ δὲ
ταῦτα καὶ ἐχόμενα τούτων ἀήρ τε καὶ ὃ διὰ συνήθειαν καλοῦμεν
πῦρ, οὐκ ἔστι δὲ πῦρ· ὑπερβολὴ γὰρ θερμοῦ καὶ οἷον ζέσις ἐστὶ
τὸ πῦρ.

Ἐντεῦθεν λοιπὸν περὶ τῆς θέσεώς τε καὶ τάξεως διδάσκει τῶν δύο 25
25 στοιχείων καὶ συνάγει πάλιν ἐκ ταύτης ὅτι μὴ δυνατὸν ἐν τῷ ὑπὲρ τὴν γῆν
τόπῳ νέφη συνίστασθαι, ὡς δι' ἑκατέρου συναποδείκνυσθαι θάτερον, διὰ
μὲν τοῦ μὴ συνίστασθαι νέφη κατὰ τὸν τόπον ἐκεῖνον ὡς θερμόν, ὅτι τὸ
πύριον σῶμα τοῦ ἀέρος ὑπερανέστηκεν, ὡς ἤδη πρότερον καὶ ἡμεῖς ἐμνη-
μονεύσαμεν, διὰ δὲ τῆς τάξεως αὐτῶν ἣν παραδίδωσιν νῦν, ὅτι μὴ συνί-
30 σταται νέφη καὶ ὕδωρ ἐκεῖ. τίνα οὖν ἔχει τὰ προκείμενα τὴν διάνοιαν; 30
τῶν τεσσάρων, φησί, στοιχείων ὅτι μὲν ἂν εἴη βαρύτατον καὶ ψυχρότατον,
τοιοῦτον δὲ γῆ καὶ ὕδωρ, τῶν ἄλλων ἀποκριθέντα κούφων ὄντων τὸν μέσον
τοῦ παντὸς κατειλήφασι τόπον. τὸ δὲ ταύτας διαπεφευγὸς τὰς ποιότητας,
ὁ ἀὴρ δὲ τοιοῦτόν ἐστι καὶ τὸ πῦρ, ἐξ ἀνάγκης τούτων ὑπερανέστηκε. τὰ
35 γὰρ ἐναντία ταῖς δυνάμεσι τοὺς ἐναντίους κατειληφέναι τόπους ἀκόλουθον·
ἐναντίον δὲ καθάπερ τῷ βαρεῖ τὸ κοῦφον καὶ τῷ ψυχρῷ τὸ θερμόν, οὕτω
καὶ τῷ κάτω τὸ ἄνω· κάτω δὲ τὸ μέσον, ἄνω δὲ τὸ πέριξ. ἀλλ' ὥσπερ 35
βαρυτέρα τοῦ ὕδατος οὖσα ἡ γῆ ὑποχωρεῖ τούτῳ καὶ ὑφιζάνει, οὕτω καὶ

5 πῶς ἐλέγομεν om. M 16 ἀπαθής Ma 21 καὶ post ταῦτα om. V Arist. H
ante ἐχόμενα add. τὰ Arist. EH 22 ἐστὶ] οἷον supr. ser. V 26 τόπον a
37 τὸ κάτω MV, sed corr. V τῷ ἄνω M 38 οὖσα om. a

τὸ πῦρ κουφότερον τοῦ ἀέρος ὂν ἐπιπολάζει αὐτῷ καὶ τὴν ἐσχάτην τῶν 83v
τεσσάρων ἐπὶ τὸ ἄνω χώραν εἴληφε. συνεχὲς οὖν τῇ γῇ μὲν τὸ ὕδωρ,
τούτῳ δὲ πάλιν ἐφεξῆς ὁ ἀήρ, ᾗ μὲν ὑγρός ἐστι, τῷ ὕδατι γειτνιάζων, ᾗ
δὲ θερμός, τῷ μετ' αὐτὸν πυρὶ συναπτόμενος, ὅπερ, φησίν, ἡ συνήθεια
5 μὲν πῦρ ὀνομάζει. οὐκ ἔστι δὲ κατ' ἀλήθειαν πῦρ. ἡ γὰρ φλὸξ ἡ παρ' 40
ἡμῖν πῦρ ἐστι κυρίως. ἥτις ὑπερβολὴ τοῦ κατὰ φύσιν ἐστὶ θερμοῦ. ὡς
καὶ ἡ χιὼν καὶ ὁ κρύσταλλος οὐκ ἔστι τὸ στοιχειῶδες ψυχρόν, ἀλλ' ὑπερ-
βολὴ τούτου· τὸ μὲν γὰρ στοιχειῶδες ψυχρὸν καὶ θερμὸν σωστικὰ τῶν ἐξ
αὐτῶν συγκειμένων ὑπάρχουσι. τὰ δὲ εἰρημένα φθοροποιὰ τοὐναντίον ἐστίν,
10 ὅθεν οὐδὲ συνίσταταί τι τῶν συνθέτων ἐκ τούτων. τί οὖν ἐστι τὸ στοι-
χειῶδες θερμόν, ὃ μετὰ τὸν ἀέρα τὴν θέσιν εἴληφε; διδάσκει δὲ τοῦτο
κατὰ συνέχειαν προϊών· ἡμεῖς δὲ τὰ εἰρημένα τέως σκοπήσωμεν. ὅτι οὖν
τὰ βαρέα τὴν ἐπὶ τὸ μέσον τοῦ παντός, τὸ κέντρον φημί, ῥοπὴν κεκλήρω- 45
ται, δείκνυται μὲν ἐν τῷ τὰ πανταχόθεν τοῦ κόσμου ἀπὸ τοῦ πέριξ ἐπὶ
15 τὴν γῆν καταφερόμενα βάρη καὶ τὸ τῶν ὑετῶν ὕδωρ ἴσας τὰς ἑκατέρωθεν
γωνίας ἀποτελεῖν· τοῦτο δὲ οὐκ ἂν συνέβαινεν, εἰ μὴ πρὸς τὸ κέντρον
αὐτὸ τοῦ παντὸς τὴν ῥοπὴν ἔσχον καὶ τέλος αὐτοῖς τοῦτο τῆς κινήσεως
ἦν. νοήσεις δὲ τὸ λεγόμενον ἐντεῦθεν· σφαιρικοῦ γὰρ ὄντος τοῦ οὐρανίου
σώματος, καὶ τῆς γῆς ἐντὸς οὔσης καὶ ἀποδεδειγμένης σφαιροειδοῦς, ἐὰν
20 δύο κύκλους γράψῃς, τὸν μὲν ἔξωθεν καὶ περιέχοντα τὸν δ' ἐντὸς καὶ περι- 50
εχόμενον ὑπ' αὐτοῦ, ἐκ δὲ τοῦ μείζονός τε καὶ ἔξωθεν ἐπὶ τὸν ἐντὸς παντα-
χόθεν ἐκβάλῃς εὐθείας, ὅσαι μὲν αὐτῶν ἐπὶ τὸ κέντρον φέρονται, ἴσας τὰς
ἑκατέρωθεν ποιοῦσι γωνίας, ὅσαι δὲ τοῦ κέντρου διαπίπτουσιν, ἀνίσους, τὴν
μὲν ὀξεῖαν τὴν δὲ τοὐναντίον ἀμβλεῖαν. μόναι οὖν αἱ ἐπὶ τὸ κέντρον
25 φερόμεναι πρὸς ἴσας τὰς ἑκατέρωθεν γωνίας ἤχθησαν, καὶ αἱ πρὸς ἴσας
φερόμεναι πρὸς αὐτὸ νεύουσιν. εἰ γὰρ παρακλιθεῖσαί τινες ἔξω τοῦ | κέντρου 84r
πέσοιεν, τὴν ἐπὶ τὸ πέριξ τῶν κούφων φέρονται κίνησιν, καὶ οὐ τὴν ἰδίαν
τὴν τῶν βαρέων, ἅπερ ἀνάγκη πάντα μίαν τὴν ἐπὶ τὸ κέντρον φέρεσθαι
κάθετον οὖσαν. τούτων οὕτως ἐν τοῖς μαθήμασι δεδειγμένων, ὑποκείσθω
30 τῶν κύκλων ὁ μὲν ἔξωθεν ὁ τὴν γῆν περιέχων ἀήρ, ὁ δ' ἐντὸς ἡ γῆ. εἰ
οὖν τὰ πανταχόθεν ἐπὶ τὴν γῆν φερόμενα βάρη πρὸς ἴσας ἐπ' αὐτὴν
ἅπαντα γωνίας φέρεται, * * μόνα τὰ πρὸς αὐτὸ τὸ κέντρον τὴν ῥοπὴν ἔχοντα, 5
δῆλον ὡς καὶ ἡ γῆ τὸ μέσον τοῦ παντός, τουτέστι τὸ κέντρον περιείληφεν.
εἰ γὰρ ἔξω τοῦ κέντρου τὴν θέσιν εἶχεν ἡ γῆ, οὐδὲν τῶν ἐκ τοῦ πέριξ
35 εἰς αὐτὴν φερομένων βαρῶν ἴσας ἑκατέρωθεν ἐποίει γωνίας, ἀλλὰ τὴν μὲν
αὐτῶν ἀμβλεῖαν, θατέραν δὲ πάντως ὀξεῖαν, ὅπερ οὐδαμοῦ φαίνεται γινό-
μενον. εἰ οὖν φυσικὴ τῶν βαρέων ἡ ἐπὶ τὸ κέντρον ῥοπή, πάντα δὲ τὰ
κατ' εὐθεῖαν κινούμενα τὸ πέρας κατειληφότα τὸ ἑαυτῶν ἵσταται λοιπὸν 10
ἐν τούτῳ καὶ ἠρεμεῖ, ὡς ἄνω μὲν τὸ πῦρ, κάτω δὲ τὰ βαρέα, ὡς καὶ ἐπὶ
40 τῶν κατὰ ποιότητα καὶ ποσότητα κινήσεων γίνεται (τὸ γὰρ κινηθὲν ἐπὶ
λευκότητα ἢ θερμότητα καὶ τὰ αὐξόμενα πάντα τὸ τέλος κατειληφότα τῆς

11 τὸν] τῶν a 17 τῆς] τοῖς a 21 τὸ ἐντὸς M 22 ἐκβάλοις MV
25 ἀνήχθησαν M 32 lacunam indicavi; addenda πρὸς ἴσας δ' ἐπὶ τὴν γῆν γωνίας φέρεται 41. p. 35,1 τῆς—κινήσεως om. V

ἑαυτῶν κινήσεως ἵσταται λοιπὸν ἐκεῖ, ὡς τὸ τὶ γενόμενον, φέρε λευκόν, 84ʳ
ἐν τῇ λευκότητι καὶ τὸ θερμὸν ἐν τῇ θερμότητι, καὶ τὸ κατειληφὸς τὸ
τέλειον μέγεθος οὐκέτι αὔξεται), εἰκότως ἄρα καὶ τὰ κινούμενα κατὰ τόπον
κατειληφότα τὸ τέλος ἐφ' ὃ φυσικῶς ἔσπευδεν, ἵσταται κατὰ φύσιν ἐν τούτῳ. 15
5 οὐκοῦν καὶ ἡ γῆ περὶ τὸ κέντρον ἱδρυμένη τοῦ παντὸς οὐ δεῖται βίας,
ἵνα μένῃ μετέωρος ἐν αὐτῷ· τοὐναντίον δὲ μᾶλλον, ἵνα ἐκστῇ τούτου καὶ
ὁτιοῦν αὐτῆς μέρος, βίας δεήσεται. καὶ τὰ ἐπικείμενα δὲ τῇ γῇ βάρη εἰ
χώραν εὕροιεν καὶ τὸ ἀνέχον ἀφαιρεθείη, φέροιντο ἂν εὐθὺ ἐπ' αὐτὸ τὸ
κέντρον, καὶ ἐκεῖ γενόμενα στήσονται. τούτων εἰρημένων τὴν λέξιν σκοπή-
10 σωμεν. εἰπὼν γὰρ ἐπὶ τοῦ μέσου ἀναγκαίως καὶ περὶ τὸ μέσον προσ-
έθηκεν, ἵνα μή τις τὸν κάτω τόπον, ὅπου τὰ βαρέα κινεῖται, μέσον εἰρῆσθαι
νομίσειε· τὸ γὰρ ἀκριβῶς μέσον, τὸ κέντρον φημί, τόπος οὐκ ἔστιν· ἀμερὲς
γάρ ἐστι καὶ ἀδιάστατον, ὁ δὲ τόπος τῶν σωμάτων διάστημά ἐστι. τόπος 20
οὖν ἐστι τῶν βαρέων ὁ περὶ τὸ κέντρον· τοῦτο γάρ ἐστι τὸ μέσον. τού-
15 του οὖν ἀληθοῦς ὄντος οὐκ ἄρα ὁ τόπος τὸ πέρας ἐστὶ τοῦ περιέχοντος
σώματος, καθὸ περιέχει τὸ περιεχόμενον· οὔτε γὰρ τὸ σῶμά ἐστι τὸ περι-
έχον κέντρον ὁ τῶν βαρέων τόπος οὔτε σώματος ἐπιφάνεια, διάστημα δὲ
τριχῇ διεστὸς ἀσώματον. περὶ δὲ τούτου ἐν τοῖς εἰς τὸ τέταρτον τῆς
Φυσικῆς ἀκροάσεως σχολικοῖς ἡμῶν συγγράμμασιν αὐτάρκως εἴρηται· νῦν
20 δὲ μόνον ἐπεσημειωσάμην τὸ εἰρημένον Ἀριστοτέλει, τῆς φύσεως αὐτὸν
τῶν πραγμάτων εἰς τοῦτο περιαγούσης. δυνατὸν δὲ ἐν μὲν τῷ μέσῳ τὴν 25
γῆν ἀκούειν, περὶ δὲ τὸ μέσον τὸ ὕδωρ. ἐπειδὴ δὲ εἶπε μὴ εἶναι τὸ σῶμα
τὸ μετὰ τὸν ἀέρα πῦρ, τί οὖν τοῦτο τὴν φύσιν ἐστί, διδάσκων ἐπήγαγεν
ἀλλὰ δεῖ νοῆσαι τοῦ λεγομένου καὶ καλουμένου ὑφ' ἡμῶν ἀέρος τὸ
25 μὲν περὶ τὴν γῆν οἷον ὑγρὸν καὶ θερμὸν εἶναι διὰ τὸ ἀτμίζειν
καὶ ἀναθυμίασιν ἔχειν γῆς, τὸ δ' ὑπὲρ τοῦτο θερμὸν ἤδη καὶ
ξηρόν. ἐπειδήπερ οἱ πολλοὶ τὸ ἀπὸ τῆς γῆς σῶμα μέχρι τῆς σελήνης
ἀέρα καλοῦσι, τῆς αἰσθήσεως μόνης λόγου χωρὶς τὰ τούτου μέρη δια- 30
κρίνειν οὐ δυναμένης, διὰ τοῦτο εἶπε τοῦ λεγομένου ὑφ' ἡμῶν ἀέρος.
30 τούτου γάρ, φησί, τὸ μὲν περὶ τὴν γῆν ὑγρόν ἐστι καὶ θερμόν, ὅπερ ἐστὶν
ὁ κυρίως ἀήρ. ὑγρὸν μὲν οὖν ἐστιν ὡς ἀτμίζον· ὁρῶνται γὰρ οἱ ἀτμοὶ
φερόμενοι ἐξ αὐτοῦ, ἡ δὲ ἀτμὶς ἀπὸ τῶν ὑγρῶν φέρεται σωμάτων, ὡς
δηλοῖ τὸ ὑποκαιόμενον ἐν λέβησιν ὕδωρ· θερμὸν δὲ πρὸς τούτῳ, φησίν,
ἐστί, διότι καὶ ἀναθυμίασιν ἔχει τινά· μέμικται γὰρ ἐν αὐτῷ ἀμφότερα.
35 τί δὲ διαφέρουσιν ἀλλήλων ἡ ἀναθυμίασις καὶ ἡ ἀτμίς, λέξει. τὸ δὲ ὑπὲρ 35
τοῦτο τὸ μέρος τοῦ καλουμένου ἀέρος θερμόν ἐστι καὶ ξηρόν. ὅσῳ γὰρ
τῶν ψυχρῶν καὶ ὑγρῶν σωμάτων ὑπερανέστηκε, τοσοῦτον ἐπιτείνει τὸ θερμόν
(καὶ γὰρ ὁ ἀὴρ θερμὸς ἦν μετὰ τὸ ψυχρὸν τεταγμένος), τὸ δὲ ὑγρὸν ἀπο-

---

1 γινόμενον V 2 καὶ post λευκότητι om. Ma θερμὸν—καὶ τὸ om. V
7. 8 εἰ χώραν—ἐπὶ τοῦ μέσου (10) om. a 8 ἀφαιρεθείη scripsi: ἀφαιρεθῇ MV
9 γενόμενα scripsi: γινόμενα MV 16 τὸ ante σῶμα om. Ma 18. 19 ἐν τοῖς—συγγράμμασιν] Comm. in Phys. p. 563 sqq. 20 αὐτὸν] αὐτῶν Ma 21 περὶ ἀγούσης M 24 δεῖ] δὴ M καὶ καλουμένου iterat M 29 διὰ τούτου M

τίθεται πᾶν καὶ λοιπὸν γίνεται ξηρόν· ἡ γὰρ θατέρου τῶν ἐναντίων στέ- 84r
ρησις γένεσίς ἐστι τοῦ λοιποῦ. τῆς γὰρ ἐνούσης ἀναθυμιάσεως τῷ ἀέρι τῇ
ἐπὶ τὸ ἄνω προόδῳ ἀπὸ τῆς ἀτμίδος χωριζομένης, ἥτις ἐστὶν ὑγρόν, τὸ λει-
πόμενον ξηρόν ἐστι καὶ θερμὸν μετ' ἀνάγκης, ὅπερ καλεῖ μὲν ἡ συνήθεια
πῦρ οὐ κυρίως, ὁ δὲ Ἀριστοτέλης ὑπέκκαυμα τοῦτο προσηκόντως ὠνόμασεν,
ὡς ἕτοιμον εἰς ἕξαψιν ἤδη καὶ ἐκφλόγωσιν ἐπιτεινομένων τοῦ ξηροῦ τε καὶ
τοῦ θερμοῦ.

p. 340ᵇ27 Ἔστι γὰρ ἀτμίδος μὲν φύσις ὑγρὸν καὶ θερμόν, ἀνα-
θυμιάσεως δὲ ξηρὸν καὶ θερμόν· καὶ ἔστιν ἀτμὶς δυνάμει οἷον
ὕδωρ, ἀναθυμίασις δὲ δυνάμει οἷον πῦρ.

Νῦν μὲν τὴν καπνώδη φύσιν ἐξαιρέτως ἀναθυμίασιν ἐκάλεσε, προελθὼν
δὲ κοινῶς ἀμφότερα ἀναθυμιάσεις καλεῖ. ἀλλὰ καὶ ἔφθη περὶ τῆς ἀτμίδος
εἰπὼν τὸ μὲν περὶ τὴν γῆν οἷον ὑγρὸν καὶ θερμὸν εἶναι διὰ τὸ ἀτμίζειν
τε καὶ ἀναθυμίασιν ἔχειν γῆς. τὴν μὲν οὖν ἀτμίδα ὕδωρ εἶναί φησι δυ-
νάμει· παχυνομένη γὰρ αὕτη τὸ μὲν θερμὸν ἀποτίθεται καὶ τὸ κοῦφον,
προσλαμβάνει δὲ τἀναντία τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν καὶ γίνεται ὕδωρ· τὴν
δὲ καπνώδη δυνάμει πῦρ, τὴν φλόγα δή φημι· ἐπιτεινομένης γὰρ ἑκατέρας
τῶν ἐν αὐτῇ ποιοτήτων γίνεται φλόξ. πῶς οὖν οἷόν τε ἦν ἐν τούτῳ τῷ
τόπῳ ἢ καὶ τῷ λίαν αὐτῷ πλησιάζοντι συστῆναι ὕδωρ ἢ νέφος ἁπλῶς; οὐ
γάρ ἐστι, φησίν, ἀὴρ μόνον τὸ ἐνταῦθα σῶμα, ἀλλὰ καὶ μᾶλλον οἷον πῦρ·
ξηρὸν γάρ ἐστι καὶ θερμόν, οἷα ἐστὶ τοῦ πυρὸς ἡ φύσις, ἀλλὰ ἀνειμένας
ἔχει ταύτας καὶ οὐκ ἐπιτεταμένας, ὡς τὸ πῦρ.

p. 340ᵇ32 Οὐδὲν δὲ κωλύει καὶ διὰ τὴν κύκλῳ φορὰν κωλύεσθαι
συνίστασθαι νέφη ἐν τῷ ἀνωτέρῳ τόπῳ· ῥεῖν | γὰρ ἀναγκαῖον 84v
ἅπαντα τὸν κύκλῳ ἀέρα, ὅσος μὴ ἐντὸς τῆς περιφερείας λαμβάνε-
ται τῆς ἀπαρτιζούσης ὥστε τὴν γῆν σφαιροειδῆ εἶναι πᾶσαν.

Οὐ μόνον, φησίν, ὡς ξηρὸς καὶ θερμὸς ὁ ἐκεῖσε ἀὴρ οὐ συγκρίνεται
εἰς νέφη, ἀλλ' ὅτι καὶ κύκλῳ τοῖς οὐρανίοις συμπεριάγεται οἱονεὶ περιρρέων.
ἡ συνεχὴς οὖν κίνησις συγκρίνεσθαι αὐτὸν οὐκ ἐᾷ, ἀλλ' εἰ καὶ ἀτμιδῶδές
τι συμβαίνει τυχεῖν ἐν αὐτῷ, διαλύει τοῦτο εὐθὺς ἡ κίνησις. δύο γὰρ
περιφερεῖς ἐπιφάνειαι νοοῦνται τῆς γῆς, ἡ μὲν ἐκβαλλομένη διὰ τῆς πεδι-
άδος, ἧς ὑπεραναστήκασι τὰ ὄρη, ἡ δὲ διὰ τῆς κορυφῆς τῶν ὀρῶν, ἧς αἱ
πεδιάδες κατωτέρω εἰσὶ καὶ κοιλότεραι. φησὶν οὖν τὸν μὲν ἐντὸς ἀέρα
τῆς ἔξωθεν περιφερείας τῆς ἀπὸ τῶν ὀρῶν ἐκβαλλομένης μεταξὺ τούτων
ἐναπειλημμένον καὶ οἱονεὶ λιμνάζοντα μὴ τοῖς οὐρανίοις συμπεριάγεσθαι,
ἀλλ' οἱονεί τινα λίμνην μεταξὺ τούτων οὖσαν ἀκίνητον (τοιαῦτα γὰρ τὰ

17 ἐπιτινομένης a 19 καὶ τὸ λίαν a 22 ἐπιτεταγμένας M 24 τῷ ἄνω τόπῳ Arist. E 25 ὅσος] ὃς Ma 33 κυλότεραι M 34 τῆς post ἀέρα om. V

λιμναῖα τῶν ὑδάτων), τὸν δὲ ὑπὲρ τὰς κορυφὰς τῶν ὑψηλοτάτων ὀρῶν 84v
ἀέρα καὶ τὸ ὑπὲρ τοῦτον ὑπέκκαυμα τῇ τοῦ κυκλοφορικοῦ σώματος κινήσει
συνεφέλκεσθαι. τοῖς μὲν γὰρ οὐρανίοις προσεχές ἐστι τὸ ὑπέκκαυμα, τούτῳ
δὲ πάλιν ὁ ὑπ' αὐτὸ ἀήρ· ὥστε τὸ μὲν τοῖς οὐρανίοις, τὸν δὲ τῷ ὑπεκ-
5 καύματι συνεφέλκεσθαι καὶ διὰ τοῦτο μὴ συγκρίνεσθαι τοῦτον εἰς νέφη.
ῥεῖν γὰρ ἀναγκαῖον ἅπαντα τὸν κύκλῳ ἀέρα, ὅσος μὴ ἐντὸς
τῆς περιφερείας λαμβάνεται τῆς ἀπαρτιζούσης ὥστε τὴν γῆν 15
σφαιροειδῆ εἶναι πᾶσαν. καὶ οὐκ ἔστιν ἀκριβῶς ἡ γῆ σφαῖρα· καὶ
κοιλότητας γὰρ ἔχει βαθείας, εἰς ἃς τὸ ὕδωρ συνερρύη καὶ ἀνεπλήρωσε
10 ταύτας, καὶ ὀρῶν ἀνατάσεις καὶ φάραγγας. πάλιν οὖν ὁ μεταξὺ τούτων
ἐναπειλημμένος ἀὴρ ἀναπληρῶν αὐτὰς μίαν ἀποτελεῖ τῆς γῆς σφαῖραν ἐκ-
βαλλομένης διὰ τῶν κορυφῶν τῶν ὀρῶν περιφερείας τινὸς ἐσχάτης. ὥστε
εἶναι πᾶσαν σφαιροειδῆ μετὰ τοῦ ἐναπειλημμένου ὕδατος καὶ τοῦ μεταξὺ
τῶν ὀρῶν καὶ τῶν φαράγγων ἀέρος. οὕτως οὖν ὁ ὑπὲρ τὴν περιφέρειαν 20
15 ταύτην ἀὴρ ἐξ ἀνάγκης ἔξωθεν περιρρεῖ τῇ περιφορᾷ τῶν οὐρανίων συν-
εφελκόμενος ἅμα τῷ ὑπεκκαύματι, οὐ φυσικὴν ἔχων κατ' Ἀριστοτέλην
ταύτην τὴν κίνησιν, ἀλλ' ἐκ τῆς ἔξωθεν τοῦ κυκλοφορικοῦ σώματος ἀνάγκης.
ἰστέον δ' ὅτι τοῖς Πλατωνικοῖς οὐ συνεφέλκεσθαι δοκεῖ τῷ οὐρανῷ τό τε
ὑπέκκαυμα καὶ ὁ προσεχὴς ἀήρ, ἀλλὰ φυσικὴν ἔχειν τὴν τοιαύτην κίνησιν·
20 τῶν γὰρ ὁλοτήτων αἱ μέν εἰσιν ἀκίνητοι, φασίν, ὡς ἡ τῆς γῆς καὶ τοῦ
ὕδατος, αἱ δὲ κύκλῳ κινοῦνται, ὡς ἡ τοῦ ἀέρος καὶ ἡ τοῦ ὑπεκκαύματος· 25
ἐπ' εὐθείας γὰρ οὐδεμία τῶν ὁλοτήτων κινεῖται. περὶ δὲ τούτων οὐ τοῦ
παρόντος γυμνάζειν καιροῦ· διηγώνισται γὰρ ἡμῖν ἐντελῶς ἐν ἑτέροις.

p. 340b36 Φαίνεται γὰρ καὶ νῦν οὖσα ἡ τῶν ἀνέμων γένεσις ἐν
25 τοῖς λιμνάζουσι τόποις τῆς γῆς, καὶ οὐχ ὑπερβάλλειν τὰ πνεύ-
ματα τῶν ὑψηλοτάτων ὀρῶν.

Ὅτι αἱ τῶν νεφῶν συστάσεις ἐν τῷ λιμνάζοντι ἀέρι μεταξὺ τῶν ὀρῶν
γίνονται, καὶ διὰ τῆς τῶν ἀνέμων κατασκευάζει γενέσεως· καὶ οὗτοι γὰρ ἐν 30
τοῖς αὐτοῖς συνίστανται τόποις, οὐκ ἐν τῷ συνεφελκομένῳ ἀέρι τοῖς πέριξ.
30 εἰ γὰρ ἐκεῖ συνίσταντο, μίαν καὶ τὴν αὐτὴν ἐκείνῳ πάντες ἐκινοῦντο· νῦν
δὲ ἀπὸ παντὸς τόπου καὶ τῶν ἐναντίων ῥέουσι, δύσεως ἀνατολῆς, ἄρκτου
μεσημβρίας, καὶ τῶν μεταξὺ τούτων, ὥστε πολλάκις καὶ ἀντιπνέειν ἀλλή-
λοις τῆς ὅλης αὐτῶν ἐκ τῶν ἐναντίων κινουμένης τόπων. καὶ ἄλλως ἐδεί-
ξαμεν ὡς ἐστιν ὑπερνεφῆ τὰ ὄρη καὶ ὑπερήνεμα.

35 p. 341a2 Τὸ μὲν γὰρ πῦρ τῷ ἄνω στοιχείῳ, τῷ δὲ πυρὶ ὁ ἀὴρ 35
συνεχής ἐστι.

Τῇ συνηθείᾳ πάλιν ἑπόμενος πῦρ ἐκάλεσε τὸ ὑπέκκαυμα· τοῦτο μὲν

4 αὐτὸ scripsi: αὐτὸν libri τὸ scripsi: τὸν Ma: τὴν V τὴν δὲ V
6 ὅσου M 8 καὶ οὐκ] exspectas οὐ γὰρ 14 σφαράγγων a οὕτως]
οὗτος a 24 οὖσα apud Arist. non legitur 25 τῆς] τοῖς M 30 πάντως Ma

οὖν, φησί, συνεχές ἐστι τῷ ἄνω στοιχείῳ, τουτέστι τῷ οὐρανίῳ. εἴπομεν 84v
δὲ καὶ πρὸ τούτου ὅτι συνεχὲς ὠνόμασε τὸ προσεχὲς αὐτῶν καὶ ἁπτόμενον· ὁ δὲ ἀὴρ τῷ ὑπεκκαύματι συνεχής ἐστι κατ' ἀλήθειαν. ἑνὸς γὰρ καὶ πρότερον εἶπεν ἀέρος τοῦ ἀπὸ τῆς γῆς μέχρι σελήνης τὸ μὲν τῶν μερῶν
5 εἶναι θερμὸν καὶ ὑγρόν, τὸ δὲ θερμὸν καὶ ξηρόν· ὥστε καὶ τὸ ὑπ' αὐτοῦ 10
καλούμενον ὑπέκκαυμα καλεῖσθαι ἀέρα θερμὸν καὶ ξηρόν. καὶ Πλάτων γοῦν τὸν αἰθέρα τοῦ ἀέρος εἶναί φησι τὸ εὐαγέστατον.

p. 341 a 5 Ἀλλ' ἀεὶ ὅτι ἂν βαρύνηται μόριον αὐτοῦ ἐκθλιβομένου εἰς τὸν ἄνω τόπον τοῦ θερμοῦ κάτω φέρεται, ἄλλα δ' ἐν μέρει
10 συναναφέρεται τῷ ἀναθυμιωμένῳ πυρί, καὶ οὕτω συνεχῶς τὸ μὲν ἀέρος διατελεῖ πλῆρες ὄν, τὸ δὲ πυρός, καὶ ἀεὶ ἄλλο καὶ ἄλλο γίνεται ἕκαστον αὐτῶν.

Ἐπειδὴ εἶπεν ἐν τῷ ἄνω τόπῳ μὴ συνίστασθαι νέφη μηδὲ τὴν εἰς 45
ὕδωρ γίνεσθαι μεταβολήν, τούτου δ' οὕτως ἔχοντος συνέβαινεν ἐκεῖνο τὸ
15 σῶμα μένειν ἀεὶ τὸ αὐτό, μήτε γινόμενόν ποτε μήτε φθειρόμενον, τοῦτο δὲ παρὰ τὰ ἐναργῆ καὶ βλεπόμενα (φαίνεται γὰρ τὰ ὑπὸ σελήνην στοιχεῖα γινόμενά τε καὶ φθειρόμενα καὶ τὴν εἰς ἄλληλα μεταβολὴν ὑπομένοντα), πρὸς ταύτην τὴν ὑπόνοιαν ὑπαντῶν τὰ νῦν παρέθετο. εἴ τι γάρ, φησίν, ἐν ἐκείνῳ τῷ τόπῳ γένηται βαρύ τε καὶ ὑγρὸν διὰ τὸ παθεῖν ὑπὸ τῶν 50
20 παρακειμένων, ἢ εἰ καί τι συνανενεχθείη τῇ ἀναθυμιάσει τῇ καπνώδει τοιοῦτον, εὐθὺς φέρεται κάτω ἐκεῖ μένειν ἐν τῷ τόπῳ τῷ παρὰ φύσιν οὐκ ἀνεχόμενον, ὡς καὶ τοὐναντίον εἴ τι τῶν κάτω πυρωθὲν γένηται κοῦφον, εἰ καὶ συγκατενεχθείη τῷ ἄνωθεν διὰ τὸ βάρος κατενεχθέντι, εὐθὺς ἄνω φέρεται. συμπεπλεγμένων γὰρ τῶν ἀναθυμιάσεων ἀμφοτέρων τῆς ξηρᾶς
25 τε καὶ τῆς ὑγρᾶς, τῆς δὲ ξηρᾶς ἄνωθεν οὔσης, συναναφέρεται πολλάκις καὶ τὸ συναπειλημμένον αὐτῇ τῆς ὑγρᾶς· καὶ | ἔμπαλιν εἴ τι συναπείλη- 85r
πται τῇ ὑγρᾷ τῆς ξηρᾶς, κάτω φερομένης συνεφέλκεται πολλάκις αὐτῇ ἡ ξηρά. ἀλλ' εἰ μὲν κρατήσει τὸ πλεονάζον, μεταβάλλει τὸ λοιπὸν εἰς ἑαυτό· εἰ δὲ μὴ κρατήσει, ἐπὶ τὸν οἰκεῖον εὐθὺς μεταχωρεῖ τόπον τὸ μὴ κρατηθέν,
30 τὸ ξηρὸν μὲν ἄνω, τὸ ὑγρὸν δὲ κάτω. καὶ ἄλλως ἁπτομένων ἀλλήλων καὶ συνεχῶν ὄντων τῶν δύο σωμάτων ἀέρος τε καὶ τοῦ ὑπεκκαύματος, πάσχειν εἰκὸς ὑπ' ἀλλήλων κατὰ μέρη τὸ κρατηθὲν ὑπὸ τοῦ κρατήσαντος, καὶ τὸ 5
μὲν κρατηθὲν μόριον ὑπὸ τοῦ ἀνωτέρω καὶ γινόμενον ξηρὸν εὐθὺς ἐπ' αὐτὸ φέρεται, τὸ δ' αὖ πάλιν ὑπὸ τοῦ κάτω κεκρατημένον καὶ γενόμενον
35 ὑγρὸν βρίθει κάτω πρὸς τὸ κρατῆσαν· καὶ οὕτως ἀμοιβαδὸν τῆς εἰς ἄλληλα κατὰ μέρη γινομένης μεταβολῆς ἑκάτερος μὲν τῶν τόπων τῆς ἐν αὐτῷ πεφυκυίας εἶναι πλήρης ἐστὶν οὐσίας, οὐκ ἀεὶ δὲ τῆς αὐτῆς ἀριθμῷ, ἄλλοτε δ' ἄλλης ἀπὸ μέρους εἰς αὐτὸν μεταχωρούσης. οὕτω μὲν οὖν ἡ 10

6 Πλάτων] Tim. p. 58 D 9 ἄλλο Ma 10 ἐκθυμιωμένω V 19 et 22 γένηται ex γίνεται corr. M¹ 20 συνενεχθείη Va 23 ἐνεχθέντι V 26 εἴ τι] ἔτι a 27 αὐτὴ a

τῶν στοιχείων ἐξίσωσις γίνεται. ἔστι δὲ ἡ λέξις ἀσαφὴς οὕτως ἔχουσα 85r
ἀλλ' ἀεὶ ὅτι ἂν βαρύνηται μόριον αὐτοῦ ἐκθλιβομένου εἰς τὸν
ἄνω τόπον τοῦ θερμοῦ κάτω φέρεται. τοῦτο δὲ οὕτως ὁ Ἀλέξαν-
δρος ἐξηγήσατο κατὰ λέξιν "ὅτι δ' ἂν ἐν αὐτῷ ὑγρότερόν τε καὶ βαρύ-
5 τερον μόριον ἢ γένηται ἢ συνανενεχθῇ, τοῦτο κάτω φέρεται ἐκθλιβομένου
ἐν τῇ κινήσει τε καὶ περιφορᾷ τοῦ ἀναφέροντος αὐτὸ θερμοῦ εἰς τὸ ἄνω."
ἀλλ' οὐ περὶ τοῦ ἀναφερομένου βαρέος τε καὶ ὑγροῦ τῷ Ἀριστοτέλει λόγος
ἐστίν, ἀλλὰ περὶ τοῦ ἐν αὐτῷ τῷ ὑπεκκαύματι γινομένου καὶ μεταβάλλοντος.
ὅτι γὰρ ἄν, φησί, βαρύνηται μόριον αὐτοῦ δηλονότι τοῦ ὑπεκκαύ-
10 ματος, ἢ εἴ τι μεταβάλοι μόριον καὶ γένηται βαρύ· ὥστε οὐ περὶ τοῦ συν-
αναφερομένου τῷ κούφῳ βαρέος καὶ ὑγροῦ φησιν, ἀλλὰ περὶ τοῦ ἄνω
γινομένου βαρέος καὶ ὑγροῦ. τὸ λεγόμενον οὖν ἐστι τοιοῦτον· ὅταν τι μέρος
τοῦ ὑπεκκαύματος βαρὺ γένηται καὶ ὑγρόν, ἐπειδὴ τοῦτο συνέχεται ὑπό
τινων μορίων τοῦ ὑπεκκαύματος θερμοῦ καὶ κούφου, ὃ κωλύει φέρεσθαι
15 κάτω τὸ βαρύ, συνθλιβόμενον ὑπὸ τοῦ βαρέος καὶ τῇ πιλήσει ἐκθλιβόμενον
εἰς αὐτὸν τὸν ἄνω τόπον, ἐν ᾧ τὸ βαρὺ γέγονεν, ἅτε δὴ τοῦ βιαζομένου
καὶ συνέχοντος ἐλευθερωθὲν τὸ βαρὺ καὶ ἀποκεκριμένον εὐθὺς κάτω
φέρεται.

p. 341a12 Περὶ δὲ τῆς γινομένης θερμότητος, ἣν παρέχεται ὁ
20 ἥλιος, μᾶλλον μὲν καθ' ἑαυτὸ καὶ ἀκριβῶς ἐν τοῖς περὶ αἰσθή-
σεως προσήκει λέγειν· πάθος γάρ τι τὸ θερμὸν αἰσθήσεώς ἐστι·
διὰ τίνα δ' αἰτίαν γίνεται μὴ τοιούτων ὄντων ἐκείνων τὴν φύσιν,
λεκτέον καὶ νῦν.

Δύο τὴν ἀρχὴν προβλήματα ζητῆσαι προὔθετο, πρῶτον μὲν ποίου
25 σώματος τὸ μεταξὺ τῶν ἄστρων καὶ τῆς γῆς πεπλήρωται διάστημα, πό-
τερον ἑνὸς ἢ πλειόνων, καὶ εἰ πλειόνων, ποίων τούτων καὶ τίνα πρὸς
ἄλληλα τάξιν ἐχόντων· δεύτερον πῶς τὰ ἄστρα καὶ ὁ ἥλιος θερμαίνουσι τὰ
ὑπὸ σελήνην αὐτὰ μὴ ὄντα θερμά. διδάξας τοίνυν αὐτάρκως τὸ πρότερον,
πρόεισιν νῦν ἐπὶ τὸ δεύτερον, εἰπὼν μὲν περὶ τούτου καὶ ἐν τῷ δευτέρῳ
30 τῆς Περὶ οὐρανοῦ, χρησίμως δὲ καὶ νῦν τοὺς αὐτοὺς πάλιν λόγους ἀνακινῶν.
φησὶ τοίνυν ὡς ὁ περὶ θερμότητος λόγος καθ' αὑτὸν μὲν καὶ ἀκριβέστερον
πρέποι ἂν τῇ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν πραγματείᾳ. τὸ γὰρ θερμὸν
αἰσθήσεώς ἐστι πάθος, ἡ δὲ αἴσθησις αἰσθητοῦ αἴσθησις, καὶ ἔμπαλιν τὸ
αἰσθητὸν αἰσθήσει ἐστὶν αἰσθητόν· ταῦτα δὲ πρός τι, τὰ δὲ πρός τι τῶν
35 ἀντικειμένων, τῶν δὲ ἀντικειμένων μία ἐστὶν ἡ ἐπιστήμη καὶ θάτερον τοῦ
λοιποῦ χωρὶς γνῶναι προσηκόντως ἀδύνατον. οὐκοῦν ὁ περὶ αἰσθητῶν δια-
λεγόμενος (αἰσθητὸν δὲ τὸ θερμόν) καὶ περὶ αἰσθήσεως διαλέξεται, καὶ

3. 4 Ἀλέξανδρος] p. 16,25 5 ἀνενεχθῇ Alex. 10 μεταβάλλοι a 11 et 12 βαρέως M 14 ὃ] fort. ἃ 15 συνεκθλιβόμενον ὑπὸ V legendum συν θλιβομένων et ἐκθλιβόμενων 29 μὲν καὶ περὶ M 29. 30 ἐν τῷ δευτέρῳ τῆς Περὶ οὐρανοῦ] B 7

ἔμπαλιν ὁ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ πάντως. καλῶς ἄρα εἴπομεν ὅτι 85r
ὁ περὶ τοῦ θερμοῦ λόγος τῇ Περὶ αἰσθήσεως προσήκων ἂν εἴη πραγμα-
τείᾳ· πλὴν ἐπειδὴ μὴ ἁπλῶς ὡς περὶ αἰσθητοῦ τοῦ θερμοῦ τὸν λόγον
ποιούμεθα νῦν, ἀλλὰ μόνον πῶς, εἰ μὴ θερμός ἐστι τὴν φύσιν ὁ ἥλιος,
5 θερμαίνει τὰ τῇδε, χρήσιμος ἂν εἴη τῇ περὶ τῶν μετεώρων θεωρίᾳ καὶ ἡ 40
περὶ τούτου διάσκεψις.

p. 341a17 Ὁρῶμεν δὴ τὴν κίνησιν ὅτι δύναται διακρίνειν τὸν ἀέρα καὶ ἐκπυροῦν, ὥστε καὶ τὰ φερόμενα τηκόμενα φαίνεσθαι πολλάκις. τὸ μὲν οὖν γίνεσθαι τὴν ἀλέαν καὶ τὴν θερμότητα
10 ἱκανή ἐστι παρασκευάζειν καὶ ἡ τοῦ ἡλίου φορὰ μόνον· ταχεῖάν τε γὰρ δεῖ καὶ μὴ πόρρω εἶναι, καὶ τὰ ἑξῆς.

Ὅτι δύναται μὴ θερμὸς ὢν ὁ ἥλιος τῇ ταχείᾳ μόνῃ κινήσει θερμαίνειν τὰ τῇδε, δεικνύει ἐξ ἐναργοῦς τινος λήμματος, τοῦ τὴν κίνησιν 45
θερμαίνειν διακρίνουσαν τὸν ἀέρα καὶ μανοῦσαν, δι' οὗ γίνεται. τούτου δὲ
15 λαμβάνει τεκμήριον τὸ πολλάκις τήκεσθαι τὰ δι' αὐτοῦ φερόμενα σφοδρῶς τῶν τήκεσθαι πεφυκότων, ὡς ὁ μόλιβδος ὁ τὴν ἀκίδα τοῦ βέλους τῷ ξύλῳ συνέχων· ἐκπυρουμένου γὰρ τῇ σφοδρᾷ κινήσει τοῦ ἀέρος τοῦ ὁμιλοῦντος αὐτοῖς ἐν τῇ παρόδῳ ἡ τῆξις γίνεται. εἰ οὖν ἡ κίνησις θερμαίνει, καὶ τὸ μᾶλλον ἄρα κινούμενον μᾶλλον θερμαίνει τὸν δι' οὗ κινεῖται ἀέρα
20 καὶ τὸ πλησιαίτερον τοῦ θερμαινομένου μᾶλλον θερμαίνει. οἱ μὲν οὖν 50
ἀπλανεῖς ταχυτέραν μὲν πάντων τὴν κίνησιν ἔχουσιν, ἀλλὰ πορρωτάτω διεστήκασι λίαν τῶν ὑπὸ σελήνην· ἡ δὲ σελήνη ἐγγυτάτω μὲν αὐτῶν ἐστιν, ἀλλὰ βραδυτέραν ἔχει τὴν κίνησιν· δεῖ δὲ καὶ τάχους καὶ τοῦ πλησιάζειν τῷ θερμαίνεσθαι μέλλοντι τὸ κινούμενον. μόνος οὖν ὁ ἥλιος οὔτε τοσοῦτον
25 ἡμῶν ἀφέστηκεν ὅσον ἡ ἀπλανής, καὶ ταχυτέραν πολλῷ τῆς σελήνης ἔχει τὴν κίνησιν. τοῦτο δὲ τοῖς ἐναργέσι δοκεῖ μάχεσθαι· εἰ γὰρ τὸν ὅλον κύκλον ἡ μὲν σελή|νη διὰ μηνὸς ἀνύει, ὁ δὲ ἥλιος δι' ἐνιαυτοῦ, πῶς λέγει 85v τὸν ἥλιον τῆς σελήνης κινεῖσθαι ταχύτερον; φημὶ τοίνυν ὡς διττὴ τῶν πλανωμένων ἐστὶν ἡ κίνησις, ἡ μὲν τῇ ἀπλανεῖ συνεπαγομένων αὐτῶν
30 ἐπὶ δυσμὰς ἐξ ἀνατολῶν, ἡ δὲ τοὔμπαλιν ἐκ δυσμῶν ἐπ' ἀνατολάς, ἣν αὐτοὶ κινοῦνται καθ' αὑτούς ἢ μᾶλλον αἱ σφαῖραι τούτων. κατὰ μὲν οὖν τὴν ἰδίαν αὐτῆς ἡ σελήνη κίνησιν τοῦ ἡλίου ἐστὶ ταχυτέρα, κατὰ δὲ τὴν 5
ἅμα τῷ παντὶ συμπεριφοράν, περὶ ἧς καὶ ὁ Ἀριστοτέλης ἐνταῦθά φησι,
πολλῷ τοῦ ἡλίου ἐστὶ βραδυτέρα. τοῦ γὰρ ἡλίου μείζονα κινουμένου κύκλον,
35 τῆς δὲ σελήνης ἐλάττονα, ὅμως ἐν ἴσῳ χρόνῳ συναποκαθίστανται· τοῦτο δὲ οὐ γίνεται, εἰ μὴ ταχύτερον ὁ τὸν μείζονα κύκλον ἐπέχων ἐκινεῖτο, καὶ τοσοῦτον ταχύτερον, ὅσον καὶ ὁ κύκλος τοῦ κύκλου μείζων ἐστίν. εἰ

2 προσήκον M 5 post εἴη iterat πραγματείᾳ πλὴν—αἰσθητοῦ τοῦ θερμοῦ (2. 3) a 10 ἡλίου περιφορὰ Ma 11 καὶ τὰ ἑξῆς om. et lemma usque ad ἱκανῶς (p. 341a23) producit V 19 μᾶλλον ante θερμαίνει ex μάλα corr. V 21 τὴν om. a 24 μέλλοντι scripsi: μᾶλλόν τι libri οὔτε scripsi: οὐδὲ libri 28 post φημὶ add. δὴ Ma 35 ἀποκαθίστανται a

δὲ τὴν ἀπὸ τῆς γῆς ἀπόστασιν ὁ ἥλιος ἐγγὺς εἰκοσαπλασίονα διέστηκε τῆς 85v
σελήνης, ὡς καὶ πρότερον εἴπομεν, οὐκοῦν καὶ τὸν κύκλον ἐφ' οὗ ὁ ἥλιος 10
τοῦ κύκλου τοῦ ἐφ' οὗ ἡ σελήνη τοσοῦτον ὑπερέχειν ἀνάγκη· ὡς γὰρ ἡ
διάμετρος ἔχει πρὸς τὴν περίμετρον. τοῦτο καὶ Ἄρατος εἶπεν ἐπὶ τοῦ
5 κριοῦ καὶ τῆς κυνὸς οὐρᾶς, τοῦ μὲν ἐν μεγίστῳ κύκλῳ ὄντος τῷ ἰσημερινῷ,
τῆς δὲ ἐν ἐλαχίστῳ, ἅμα δὲ ὅμως ἀποκαθισταμένων·

αὐτοῦ καὶ κριοῖο θοώταταί εἰσι κέλευθοι,
ὅς ῥά τε καὶ μήκιστα διωκόμενος πέρι κύκλα
οὐδὲν ἀφαυρότερον τροχάει κυνοσουρίδος ἄρκτου.

10 καὶ ἄλλως διὰ τὸ τὴν ἰδίαν κίνησιν ταχυτέραν τοῦ ἡλίου ποιεῖσθαι τὴν σε- 15
λήνην, διὰ τοῦτο μετὰ τοῦ παντὸς βραδυτέραν ἔχει. ἐν μὲν γὰρ τῇ κινήσει
τῆς ἀπλανοῦς αὐτῆς καθ' αὑτὴν κατὰ τὴν ἰδίαν κίνησιν τῆς σελήνης ὑπονο-
στούσης εἰς τοὔμπαλιν ἀνάγκη πάντως συνανατέλλουσαν τῷ ἡλίῳ μὴ συν-
δύνειν αὐτῷ, ἀλλ' ὑστερεῖν μέχρις ἂν ὃ ὑπενόστησε διάστημα κατὰ τὴν
15 ἰδίαν κίνησιν συμπεριενεχθῇ τῇ ἀπλανεῖ μέχρι τῆς δύσεως. ἀλλ' εἰ ἡ
κίνησις, ἐρεῖ τις, τῶν οὐρανίων θερμαίνει, διὰ τί μὴ καὶ ἐν νυκτὶ θερμαί- 20
νεται τὰ ἐνταῦθα, οὐδὲν ἧττον καὶ τότε τῶν σφαιρῶν κινουμένων, ἀλλὰ
μόνην τὴν τοῦ ἡλίου κίνησιν αἰτιώμεθα; καὶ τοῦτο δὲ διέλυσεν ὁ Ἀριστο-
τέλης εἰπὼν μάλιστα γὰρ ἡ τοῦ στερεοῦ διακρίνει κίνησις αὐτόν,
20 τὸν ἀέρα δηλονότι, στερεὸν λέγων τό τε τοῦ ἡλίου σῶμα καὶ τῶν ἄλλων
ἀστέρων. καὶ γὰρ λίθος κινούμενος θερμαίνει τὸν ἀέρα μᾶλλον ἢ φύλλον
τυχὸν ἢ ἔριον ἤ τι τοιοῦτον· εἰκότως οὖν καὶ ὁ ἥλιος στερεὸς ὢν τῇ
ἑαυτοῦ κινήσει θερμαίνει μᾶλλον ἡμᾶς τῶν λοιπῶν. τὰ μὲν οὖν Ἀριστο-
τέλους καὶ τῶν ὑπ' αὐτὸν τοιαῦτα· δεῖ δὲ καὶ ἡμᾶς τὰ πρὸς ἕκαστον ἐν- 25
25 ιστάμενα λέγειν ὑπὲρ ἀληθείας τὸν λόγον ποιουμένους. πρῶτον μὲν οὖν τί
καλεῖ νῦν στερεόν, ζητητέον, πότερον τὸ τριχῇ διαστατόν, ὃ πρὸς ἀντι-
διαστολὴν λέγεται τῶν ἐπιπέδων στερεόν, ἢ τὸ ἀντίτυπον καὶ τῇ ἁφῇ μὴ
ὑπεῖκον, ὡς καὶ Πλάτων· στερεὰ γὰρ εἶναι τὰ οὐράνια φησιν ὡς μετ-
έχοντα γῆς· μόνην γὰρ τῶν στοιχείων εἶναι τὴν γῆν στερεὸν σῶμα. τὸ
30 μὲν οὖν πρότερον ἀδύνατον· πάντα γὰρ τὰ οὐράνια σώματα τριχῇ διέστη.
λείπεται οὖν τὸ ἀντίτυπον καὶ τῇ ἁφῇ μὴ εἶκον καλεῖσθαι νῦν στερεόν, 30
ὡς καὶ τὴν γῆν στερεὰν εἶναί φαμεν, οὐκέτι δὲ τὸν ἀέρα καὶ τὸ ὕδωρ ἢ
τὸ πῦρ ὡς εἴκοντα τῇ ἁφῇ καὶ ῥευστά. εἰ οὖν τοῦτο καλεῖ νῦν στερεόν.
τὸ σκληρὸν καὶ ἀντίτυπον, ταύτας δὲ πάσας τὰς ἀντιθέσεις ἐν τῷ Περὶ
35 γενέσεως καὶ φθορᾶς ὑπὸ τὸ θερμὸν τέταχε καὶ ψυχρὸν ξηρόν τε καὶ
ὑγρόν, πρῶτον μὲν ἀνάγκη καὶ τὰ οὐράνια τῶν δύο τούτων μετέχειν ἀντι-
θέσεων, ὧν καὶ τὰ ὑπὸ σελήνην πάντα μετέχει, θερμοῦ καὶ ψυχροῦ,
ξηροῦ καὶ ὑγροῦ· καὶ λέληθεν ἑαυτὸν ὁ Ἀριστοτέλης τοῖς ἐκ τῶν τεσσάρων 35

1 ἐγγὺς om. a 7 αὐτοῦ καὶ κριοῖο κτλ.] Arat. Phaen. 225 sqq. 8 πέρι κύκλα Maass: περίκυκλα libri 11 ἔχει scripsi: ἔχειν libri 14 ὑπενόησε a 15 συμπεριηνέχθη Ma 20 δηλονότι τὸν ἀέρα coll. M, sed corr. M¹ στερεὸν ex στερρὸν corr. V: στερρὸν Ma 23 οὖν om. V 24 ὑπ' αὐτοῦ Ma 26 νῦν om. a στερρὸν a 28 φησιν] Plat. Tim. 31 B 34. 35 ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς] B 2

ἐκεῖνα συντιθεῖσι συμφωνῶν, ἐκ πλείστου δὲ τὰ ἄστρα πυρός. δεύτερον εἰ 85v
ἑκάστη τῶν σφαιρῶν καὶ τῶν ἄστρων ἕκαστον ἰδίῳ σχήματι τῷ σφαιρικῷ
περιγράφεται, δῆλον ὡς ἀνάγκη στερεὸν εἶναι καὶ ἀντίτυπον τῶν οὐρανίων
ἕκαστον· σφαιρικὰ γάρ ἐστι πάντα. εἰ γὰρ μὴ τοιοῦτον, οὐκ ἐφύλαττεν ἐν
5 τῇ οὕτως ὀξείᾳ κινήσει τὸ ἴδιον σχῆμα. τὰ γὰρ μὴ ἀντίτυπα, φαλακὰ δὲ
τὴν φύσιν καὶ ὑγρὰ καὶ τοῖς ἁπτομένοις ῥᾳδίως εἴκοντα σχῆμα οὐκ ἔχουσιν
ἴδιον, δυσόριστα μὲν ἰδίῳ ὅρῳ τὴν φύσιν ὄντα, ἀλλοτρίῳ δὲ καὶ τῷ τοῦ 10
περιέχοντος ὁριζόμενα σχήματι, οἷός ἐστιν ὁ ἀὴρ καὶ τὸ ὕδωρ. εἰ οὖν
ἑκάστη τῶν οὐρανίων σφαιρῶν καὶ τῶν ἀστέρων ἕκαστος ἰδίῳ περιγράφεται
10 σχήματι καὶ τοῦτο ἔχει μηδενὶ τῶν ἀντιβαινόντων μηδὲ τῇ τοσαύτῃ ῥύμῃ
παρατρεπόμενον, στερεαί που πάντως εἰσὶ καὶ αὐταὶ αἱ σφαῖραι καὶ οἱ
ἀστέρες οἷα ἀντίτυποι. τούτου δὲ οὕτως ἔχοντος, εἰ τὸ στερεὸν τῆς
οὐσίας τοῦ ἡλίου αἴτιον εἶναι νομίζει τοῦ τῇ ἑαυτοῦ κινήσει τὸν ἀέρα θερ-
μαίνειν, πολλῷ μᾶλλον ἔδει τὰς σφαίρας τοῦτο ποιεῖν, ὅσῳ καὶ τοῦ ἡλίου 15
15 ἀπείρῳ μεγέθει σχεδὸν ὑπερβάλλουσι, καὶ τὴν σελήνην ὁμοίως μᾶλλον τῶν
ἄλλων πλησιάζουσαν τοῖς ὑπ' αὐτὴν σώμασι καὶ ἁπτομένην αὐτῶν. ὁ γὰρ
ἥλιος τὴν μέσην ἐπέχων ζώνην οὐδ' ὅλως τῶν ὑπὸ σελήνην ἅπτεται σω-
μάτων, τρεῖς ἔχων σφαίρας τῶν πλανωμένων μετ' αὐτόν, τὴν Ἑρμαϊκήν,
τὴν τοῦ στίλβοντος, τὴν τῆς σελήνης· οὐδὲν δὲ τῶν φύσει ποιούντων ἄνευ
20 ἁφῆς εἰς ἕτερον ὁρᾷ. ποιεῖ μὲν γὰρ εἰς ἡμᾶς τὸ πῦρ ἐν τοῖς βαλανείοις
οὐκ ἀμέσως, ἀλλὰ πρῶτον τὰς παρακειμένας αὐτῷ θερμαῖνον πλίνθους· 50
αὗται δὲ τὸν μετ' αὐτὰς ἀέρα θερμαίνουσι προσεχῆ ὄντα, κἀκεῖνος πάλιν
ἡμᾶς. ὥστε εἰ τῇ κινήσει μόνῃ καὶ μὴ τῇ ποιότητι διὰ μέσου τῶν ἑξῆς
σφαιρῶν τὰ ὑπὸ σελήνην ὁ ἥλιος θερμαίνει, πρῶτον ἄρα τὰς μετ' αὐτὸν
25 σφαίρας θερμαίνει, ἵν' οὕτω θερμανθεῖσαι καὶ αὗται τὸν ἀέρα θερμάνωσι.
παθηταὶ οὖν ἔσονται. εἰ δ' ἀπαθεῖς κατ' αὐτὸν ἐκεῖναί εἰσιν, οὐ θερμαίνει τὰ
μεταξύ, ἵνα δι' αὐτῶν τὸν ἀέρα θερμάνῃ, εἴ γε καὶ Ἀριστο|τέλει δοκεῖ τὰ φυ- 86r
σικὰ σώματα μὴ ἄνευ τῆς ἁφῆς ποιεῖν εἰς ἄλληλα. οὐκ ἄρα τὴν τοῦ ἡλίου
κίνησιν αἰτιατέον τῆς ἐνταῦθα γινομένης θερμότητος, ἀλλ' ἢ τὰς τῶν σφαιρῶν
30 ὅλων κινήσεις, ἢ εἰ τοῦτο προφανές ἐστι ψεῦδος (φαίνεται γὰρ ὁ ἥλιος
θερμαίνων τὰ πλησιάζοντα) πᾶσά πως ἀνάγκη φύσει θερμὸν ὄντα ποιότητι
δρᾶν εἰς τὰ ὑποκείμενα, ὡς καὶ τὸ πῦρ. κἀκεῖνο δὲ πρὸς τοῖς εἰρημένοις
σκοπῆσαι δίκαιον, εἰ στερεὰ μὲν πάντα τὰ ἄστρα, δεῖ δὲ μετὰ τοῦ στερεοῦ 5
πρὸς τὸ θερμᾶναι καὶ τάχους κινήσεως, ὁ δὲ ἥλιος ὀξύτερον ἤπερ ἡ σελήνη
35 κινεῖται καθ' ὃν ὑπεθέμεθα τρόπον, καὶ διὰ τοῦτο τῆς ἐνταῦθα γινομένης
ἐκ τῶν οὐρανίων θερμότητος τὴν τοῦ ἡλίου κίνησιν αἰτίαν εἶναί φησι καὶ
οὐχὶ τὴν τῆς σελήνης· ἀλλ' ἐπειδὴ μετὰ τοῦ στερεοῦ καὶ τοῦ τάχους καὶ
πλησίον εἶναι δεῖ τὸ κινούμενον τοῦ κινοῦντος, καὶ ὁ μὲν ἥλιος μεγίστην
ἐξ ἡμῶν ἀφέστηκε διάστασιν, ἡ δὲ σελήνη συνεχής ἐστι τῷ ὑπ' αὐτὴν

5 ὀξείᾳ] α om. M  σχῆμα. τὰ γὰρ scripsi: σχήματα γὰρ libri  16 ἁπτόμενον a
20 βαλανίοις M  21 αὐτῷ om. M  22 μετὰ ταύτας V  25 θερμαν-
θεῖσαι] μαν om. V  27 αὐτῶν ex αὐτὸν corr. M¹  30 προφανῶς Ma
33 post πάντα add. εἰσὶ M, ἐστὶ a  37 στερροῦ V  38 δεῖ] δοκεῖ Ma

ἀέρι, ἔστι δὲ ἡ μὲν τοῦ ἡλίου ἀπόστασις εἰκοσαπλασίων τῆς σελήνης, ὡς 86r
ἔμπροσθεν εἴπομεν, ὅπερ δὲ ὑπολείπεται τοῦ ἡλίου παλινδρομοῦσα κατὰ τὴν 10
αὐτὴν κίνησιν κατὰ μίαν ἡμέραν συμπεριαγομένη τῇ ἀπλανεῖ, μικρόν τι
ζῳδίου μέρος ἐστίν, οὐδὲν ἄρα τὸ βραχὺ τοῦτο τοῦ τάχους ὃ ὑπολείπεται
5 τοῦ ἡλίου ἡ σελήνη, ἐμποδίζειν ἦν δυνατὸν πρὸς τὸ τὰ τῇδε θερμαίνεσθαι
ὑπὸ τῆς σεληνιακῆς κινήσεως συνεχῆ ὄντα ταύτῃ, ὅσον ἡ ἀσύμμετρος πρὸς
τὸ * * τοῦ ἡλίου ἀπόστασις. προσθήσω δέ, καθάπερ ἔφθην εἰπών, ὅτι
καὶ ἅπτεσθαι δοκεῖ πάντως τὸ φυσικῶς ἐνεργοῦν τοῦ πάσχοντος, ὅπερ τῶν 15
ἄστρων μόνῃ πρόσεστι τῇ σελήνῃ. εἰ οὖν ἐν νυκτὶ πανσέληνος οὖσα μὴ
10 θερμαίνει ἡμᾶς τοσοῦτον ὅσον ὁ ἥλιος, οὐκ ἄρα ἡ κίνησις αὐτοῦ αἰτία ἐστὶ
τῆς ἐνταῦθα γινομένης θερμότητος. εἰ γὰρ καὶ θερμαίνει ποτὲ ἡ σελήνη,
ἀλλ' οὐχὶ διὰ τὴν κίνησιν αὐτῆς τοῦτο γίνεται, ἐπεὶ καὶ ἀφώτιστον οὖσαν
θερμαίνειν ἐχρῆν, ἀλλὰ διὰ τὸ φῶς· πανσέληνος γὰρ ἢ ἐγγὺς οὖσα μόνον
αὕτη θερμαίνει· τὸ φῶς ἄρα μόνον αὐτῆς θερμαίνει καὶ οὐχ ἡ κίνησις. 20
15 τὸ δὲ φῶς ἐξ ἡλίου δέχεται· καὶ ἡ τοῦ ἡλίου ἄρα θέρμη ἐκ τοῦ φωτὸς
αὐτοῦ τοῖς τῇδε συμβαίνει. καὶ ἐπειδὴ μὴ καθαρὸν καὶ εἰλικρινὲς δέχεται
τοῦ ἡλίου τὸ φῶς, ἀλλ' ἀμυδρὸν καὶ ὅσον ἴνδαλμα τούτου ὡς ἐξ ἀνακλάσεως ἀκτίνων αὐτοῦ τινων τὸ φῶς δεχομένη δίκην ἐσόπτρου, εἰκότως καὶ
ἡ ἐκ τοῦ φωτὸς τῆς σελήνης τοῖς τῇδε γινομένη θερμότης ἀμυδρά τέ ἐστι
20 καὶ ἀσθενής. εἰ οὖν τὸ ἐξ ἀνακλάσεως ἐν αὐτῇ γενόμενον φῶς τὸν ἀέρα
θερμαίνει, πολλῷ μᾶλλον τὸ εἰλικρινὲς τοῦ ἡλίου φῶς τῆς ἐνταῦθα θέρμης 25
αἴτιόν ἐστι, καὶ οὐχ ἡ σὺν τῇ ἀπλανεῖ τούτου περιφορά. συμπέφυκε δὲ
τῷ φωτὶ τὸ θερμόν· καὶ γὰρ τῷ πυρὶ σύνεστι. δέδεικται γὰρ διὰ τούτων ὅτι ποιότητι καὶ οὐ τῷ τάχει τῆς κινήσεως ὁ ἥλιος θερμαίνει τὰ
25 παρ' ἡμῖν. εἰ δὲ καὶ αἱ τῶν ἀκτίνων ἀνακλάσεις τοῦ ἡλίου σφοδροτέραν
τὴν ἐξ αὐτοῦ γινομένην ἡμῖν ποιοῦσι θερμότητα, οὐκ ἀπάλλαξις τοῦτο τοῦ
καὶ αὐτὴν θερμαίνειν ἡμᾶς κατὰ ποιότητα, ἐπεὶ καὶ τοῦ πυρὸς ἀκτῖνες
τοῖς λίθοις προσπίπτουσαι ἢ σώμασιν, ἐσόπτροις φέρε καὶ ἀργύρῳ κεκαθαρ- 30
μένῳ καὶ ὕδασιν, ὁμοίως ἐξ αὐτῶν ἀνακλώμεναι πρὸς ἡμᾶς λίαν ἡμᾶς
30 ἀνιῶσιν ἐκφλέγουσαι, ἀλλ' οὐ διὰ τοῦτο τοῦ θερμαίνειν καὶ χωρὶς ἀνακλάσεως τὸ πῦρ ἀφαιρήσομεν. τί οὖν θαυμαστὸν καὶ ἐπὶ τοῦ ἡλίου ταὐτὸ τοῦτο συμβαίνειν καὶ τὴν ἐξ αὐτοῦ γινομένην τῇ ποιότητι θερμασίαν ἐπιτείνεσθαι διὰ τῆς τῶν ἀκτίνων ἀνακλάσεως. ἐπειδὴ δὲ παραλόγως τινὲς στερεὸν εἶναί φασι τὸν ἥλιον Ἀριστοτέλη λέγειν τὸν μὴ διαφανῆ (αἱ μὲν
35 γὰρ σφαῖραι διαφανεῖς, τῶν δὲ ἄστρων οὐδέν· ἐπιπροσθεῖ γοῦν τὰ ὑπο- 35
κάτω τοῖς ἐπάνω, ὅταν ὑπὸ μίαν αὐτοῖς γένωνται κάθετον, ὡς καὶ ὁ ἥλιος ἐκλείπει τῆς σελήνης αὐτὸν ὑποτρεχούσης), ἐροῦμεν καὶ ἡμεῖς ὡς πρῶτον μὲν παρακέχρηται τοῖς ὀνόμασιν ἐφ' ἑτέρας αὐτὰ σημασίας μετάγοντες, ἀντὶ τοῦ στερεοῦ τὸ μὴ διαφανὲς ἀκούοντες καὶ τὸ διαφανὲς οὐ στερεὸν
40 εἶναι λέγοντες. ἔπειτα πολλοὶ τῶν στερεμνιωτάτων λίθων εἰσὶ διαφανέστατοι

---

7 post τὸ lac. XV fere litterarum V: lac. non indicant Ma: fort. addendum μεῖζον τάχος
23 fort. δέδεικται ἄρα διὰ 27 αὐτὴν] αὐτὸν a 31 ἀφαιρήσομαι M 32 τῇ θερμότητι a 36 post ἐπάνω iterat γοῦν M: lac. V litt. V αὐτοῖς] αὐτῆς Ma

καὶ ἡ ὅελος· οὐκοῦν οὐ θερμαίνουσι ταῦτα τὸν ἀέρα δι' αὐτοῦ κινούμενα, 86r
διότι οὕτως ἐστὶ στερεὰ διαφανῆ ὄντα. τοῦτο δὲ παρὰ τὴν ἐνάργειαν· ὁρᾶ- 40
ται γὰρ τὰ ἐκ τούτων τριβόμενα καὶ μάλιστα τὰ ἐξ ὑέλου σχεδὸν ἐκπυ-
ρούμενα τῇ θερμότητι. στερεὸν ἄρα καὶ Ἀριστοτέλης εἴρηκε τὸ σκληρὸν
5 καὶ ἀντίτυπον καὶ τοῖς ἀντιβαίνουσιν οὐχ ὑπεῖκον· τὰ γὰρ τοιαῦτα τῇ κι-
νήσει θερμαίνει συνθλίβοντα τὸν ἐναπολαμβανόμενον ἀέρα. διὰ τοῦτο γοῦν
οὐδ' οἱ τυχόντες τῶν λίθων τριβόμενοι πῦρ ἅπτουσι· θερμαίνουσι μὲν γὰρ
πάντες παρατριβόμενοι, ἐξάπτουσι δὲ πῦρ οἱ πυκνότατοι μόνοι καὶ στερε- 45
ώτατοι. καὶ ἐπὶ σιδήρου πάλιν ὁμοίως· εἰ μὴ γὰρ ἦ λίαν πυκνὸς καὶ
10 κατεσκληκὼς σίδηρος οὐχὶ ἅπτει πῦρ τριβόμενος· τοῦτο δὲ ἵνα μὴ φεύγῃ
διὰ τῶν πόρων ὁ ἐναπειλημμένος τοῖς παρατριβομένοις λίθοις ἀὴρ καὶ κι-
νούμενος ἐξ αὐτῶν, ἀλλ' εἷς καὶ ὁ αὐτὸς μένων ἐξάπτηται τῇ συνεχεῖ κι-
νήσει. ἐν γὰρ τοῖς μανωτέροις ἄλλου μὲν διὰ τῶν πόρων ἐξιόντος ἀέρος,
ἄλλου δὲ πάλιν ἐναπολαμβανομένου συμβαίνει μὴ ἕνα καὶ τὸν αὐτὸν κατὰ
15 συνέχειαν τρίβεσθαι, ἄλλοτε δ' ἄλλον, τοῦ προτέρου διὰ τῶν πόρων, ὡς 50
εἶπον, φεύγοντος ἀεὶ τὸ κινοῦν καὶ συνεξιόντος πρὶν ἐξαφθῆναι τὴν συν-
έχειαν τῆς κινήσεως. διότι τοιοῦτον εἶναι βούλεται καὶ τὸν ἥλιον ὁ Ἀρι-
στοτέλης, ἵνα τῇ κινήσει τὸν αὐτὸν ἀέρα κινῶν ἀεὶ θερμαίνῃ. ἀλλ' εἰ
παράτριψις γίνεται διὰ τῆς ἁφῆς τοῦ τρίβοντος, ἀδύνατον δὲ τὸν ἥλιον ἅψα-
20 σθαι τοῦ ἀέρος τοσούτοις μεταξὺ σώμασιν αὐτοῦ διειργόμενον, οὐκ ἄρα ἡ
τοῦ ἡλίου κίνησις τῆς ἐνταῦθα θερμότητός ἐστιν αἰτία. εἰ οὖν θερμαίνει
φανερῶς, μόνῃ ἄρα θερμαίνει ποιότητι, εἰ μή τινες μυθικῶς εἰς ἄλλας |
αἰτίας ἀφανεῖς καὶ ἀγνώστους ἡμᾶς ἀναπέμποιεν καινότητας, οἷας καὶ ὁ 86v
Δαμάσκιος εἰς Ἀλέξανδρον ἀναφέρει. εἶναι γὰρ τὰς ἐν τῷ οὐρανῷ δυνά-
25 μεις ἰδιοτρόπους ποιητικὰς τῶν κάτω παθῶν, τὰ δὲ κάτω σώματα δέχε-
σθαι αὐτὰς εὐπαθῶς· τὴν μὲν τοῦ Κρόνου συνεκτικὴν εἰς ψυχρότητα ἀπο-
τελευτᾶν, τὴν δὲ Ἄρεος διακριτικὴν εἰς πυρὸς ἀσύμμετρον ζέσιν, τὴν Διὸς
εἴς τινα συμμετρίαν τῶν ἄκρων, τὴν ἡλίου εἰς παθητικοῦ φωτὸς ἀναφλό- 5
γωσιν, καὶ τὴν μὲν σελήνην εἰς διάχυσιν ὑγροτέραν, τῆς δὲ Ἀφροδίτης
30 ἰδιότητα εἰς σύνοδον μονιμωτέραν, τὴν δὲ Ἑρμοῦ εἰς κοινωνίαν τῶν ἄκρων.
καὶ οὐκ αἰδοῦνται οἱ ταῦτα λογοποιοῦντες τὰ μὲν οὕτως ἐναργῆ διαγραφό-
μενοι τῇ θερμότητι τῇ ἰδίᾳ τὸν ἥλιον δρᾶν (τὰ γοῦν πλησιάζοντα αὐτῷ
ἐκφλογώσας ἀοίκητα πεποίηκε, τὰ δὲ λίαν διεστῶτα καὶ τῆς ἀλέας αὐτοῦ
στερόμενα τῇ ψύξει νενεκρωμένα ἄγονα καὶ ἔρημα καταλέλοιπεν), εἰς μύθους 10
35 δὲ τραπόμενοι ἠγνόησαν κἀκεῖνο λίαν ἄτοπον, ὅτι περὶ φυσικῶν πραγμάτων
ζητοῦντες φυσικὰς ἀποδιδόναι τὰς αἰτίας ὀφείλομεν.

1 ἡ om. a  οὐκοῦν ex corr. V: οὔκουν Ma  2 post διότι add. δὲ εἰ Ma
3 τὰ ante ἐξ om. a  9 ἦ] ὁ Ma  10 τριβόμενον Ma  15 διὰ scripsi: τὰ libri  16 φεύγοντος scripsi: φλέγοντος libri  16. 17 fort. legendum τῇ συνεχείᾳ
18 ἀλλ' ἢ εἰ MV  21 αἰτία ex αἰτίαν corr. M¹  27 ἄρεως a  28 ἡλίου καὶ παθητικοῦ a  34 στερούμενα Ma  35 κἀκεῖνος a

p. 341a23 Τὸ δὲ μάλιστα γίνεσθαι ἅμα τῷ ἡλίῳ αὐτῷ τὴν θερ- 86v
μότητα εὔλογον, λαμβάνοντας τὸ ὅμοιον ἐκ τῶν παρ' ἡμῖν γινο-
μένων· καὶ γὰρ ἐνταῦθα τῶν βίᾳ φερομένων ὁ πλησιάζων ἀὴρ
μάλιστα γίνεται θερμός. καὶ τοῦτο εὐλόγως συμβαίνει· μάλιστα
γὰρ ἡ τοῦ στερεοῦ διακρίνει κίνησις αὐτόν.

Ἅμα τῷ ἡλίῳ, τουτέστιν ἅμα τῷ ἀνατεῖλαι αὐτόν. ὅσον μὲν οὖν ἐπὶ τῇ περιφορᾷ τῶν οὐρανίων ἐχρῆν καὶ ἐν νυκτὶ θερμαίνεσθαι τὰ ὑπὸ σελήνην ἅπαντα· κινεῖ γὰρ τὸν ἀέρα καὶ ὑπὸ γῆν ὁ ἥλιος ὤν. ἀλλ' ὥσπερ, φησίν, ἐν τοῖς ἐνταῦθα βίᾳ φερομένοις, οἷον λίθοις ῥηγνυμένοις ἢ δόρασι, καὶ τοῖς παρατριβομένοις τῶν λίθων, ἐξ ὧν τὸ πῦρ ἅπτεται, ὁ πλησιάζων αὐτοῖς ἀὴρ θερμαίνεται μάλιστα, οὕτω δήπου καὶ ἐπὶ τοῦ ἡλίου γίνεται· στερεὸς γὰρ ὢν τὰ πλησιάζοντα αὐτῷ μάλιστα κινουμένῳ θερμαίνει. νύκτωρ μὲν οὖν τὸν ὑπὸ γῆν θερμαίνει ἀέρα, ἐν ἡμέρᾳ δὲ τὸν παρ' ἡμῖν. εἰ δὲ ἐκ τῶν παρ' ἡμῖν γινομένων τὸ ὅμοιον καὶ ἐπὶ τοῦ ἡλίου γίνεσθαι βούλεται, τί τοῦ πυρὸς ἐναργέστερον ἅμα τῷ φανῆναι θερμαίνοντος τὰ πλησιάζοντα; ἀλλὰ τὰ φανερὰ φεύγων ἐπὶ τοὺς ἀφανεῖς καταφεύγει μάρτυρας. θερμαίνει μὲν γὰρ ἡ κίνησις τῶν στερεῶν· εἰ δὲ ἐντεῦθεν ⟨τὰ⟩ παρ' ἡμῖν ἐθερμαίνετο, ἡ παντὸς τοῦ οὐρανίου σώματος κίνησις στερεωτάτου ὄντος ἀεὶ τὰ παρ' ἡμῖν ἐθέρμαινε καὶ ἐν καιρῷ παντί, ὅπερ οὐ γίνεται. ποιότητι ἄρα τοῦ ἡλίου καὶ μόνῃ τὸ πάθος ὑφίσταται.

p. 341a28 Διά τε ταύτην οὖν τὴν αἰτίαν ἀφικνεῖται πρὸς τόνδε τὸν τόπον ἡ θερμότης, καὶ διὰ τὸ τὸ περιέχον πῦρ τὸν ἀέρα διαρραίνεσθαι τῇ κινήσει πολλάκις καὶ φέρεσθαι κάτω βίᾳ.

Δευτέραν αἰτίαν ἀποδίδωσι τοῦ θερμαίνεσθαι τὸν παρ' ἡμῖν ἀέρα· ἡ γὰρ τοῦτον περιέχουσα τοῦ ὑπεκκαύματος σφαῖρα, ἣν πάλαι συνήθως ὠνόμασε πῦρ, ὑπὸ τῆς τῶν οὐρανίων περιφορᾶς συνεφελκομένη βιαίως διαρραίνεται, φησί, τῇ κινήσει, τουτέστι μόριά τινα βιαίως αὐτῆς ἐξακοντίζεται κάτω, καὶ τὸν ἀέρα θερμαίνουσιν εἰς ὃν φέρονται, ὡς εἰ λεκάνην ὕδατος κινήσειέ τις βιαιότερον, καὶ μόρια τούτου τῇ κινήσει, ὅπῃ καὶ τύχῃ, διαρραίνοιτο ἀλλαχοῦ. τοῦτο δὲ δῆλον ὡς οὐκ ἀεὶ συμβήσεται οὐδὲ ἐν τοῖς αὐτοῖς τόποις, ἀλλ' ὡς ἂν τύχοιεν, οὐκ ἐν ἡμέρᾳ μόνον ἀλλὰ καὶ ἐν νυκτί. τέτακται δὲ χειμὼν καὶ θέρος τῇ ἀποστάσει τοῦ ἡλίου καὶ τῷ πλησιάζειν ἡμῖν συνιστάμενα. διὰ τί δὲ καὶ τὰ περὶ τοὺς πόλους ἀεὶ κατέψυκται καὶ μὴ ἐκ τοῦ ὑπεκκαύματος θερμαίνεται; τὴν τοιαύτην οὖν θερμασίαν οὐδενὶ ἄλλῳ παρέχειν ἐνδέχεται εἰ μὴ [ἐν] τῷ ἡλίῳ καὶ μόνῳ.

6 τῷ ante ἀνατεῖλαι om. Ma ὅσον] ὅσ seq. lit. III litt. V 7 ἐπὶ scripsi: εἰσὶ libri 12 θερμαίνει scripsi: θερμαίνεται libri 13 ὑπὸ τὴν γῆν a 14 εἰ δὲ—γινομένων] γινόμενον a 17 εἰ] ἡ MV τὰ addidi 21 οὖν om. a 22 ἡ om. Ma διὰ τὸ τὸ Arist. EFN: alterum τὸ om. MVa Arist. H 29 καὶ τύχοι a 30 πανταχοῦ M, sed in mg. γρ. ἀλλαχοῦ M¹ 32 καὶ ante θέρος ex corr. V τὸ πλησιάζειν M 35 ἐν delevi μόνον M

p. 341ª31 Σημεῖον δ' ἱκανὸν ὅτι ὁ ἄνω τόπος οὐκ ἔστι θερμὸς 86v
οὐδ' ἐκπεπυρωμένος καὶ αἱ διαδρομαὶ τῶν ἀστέρων. ἐκεῖ μὲν
γὰρ οὐ γίνονται, κάτω δέ· καίτοι τὰ μᾶλλον κινούμενα καὶ θᾶττον
ἐκπυροῦται θᾶττον.

Ἀστέρων διαδρομὰς λέγει τοὺς καλουμένους διάττοντας ἐκ τοῦ διάττειν ὠνομασμένους. ἀποχρώμενος τῇ τῶν πολλῶν περὶ τοὔνομα συνηθείᾳ. ὅτι μὲν οὖν οὐκ ἔστι πύρια τὰ οὐράνια σώματα, σημείῳ νῦν χρῆται τῷ μὴ φαίνεσθαι διάττοντας ἐκεῖ γενομένους. καίτοι, φησίν, εἴπερ ἦν ἐκ πυρὸς ἐκεῖνα, μᾶλλον ἐχρῆν ἐκεῖ τὰ πάθη γίνεσθαι ταῦτα, τῆς ὀξυτάτης αὐτοῦ κινήσεως ἐκπυροῦν ἱκανῆς οὔσης τὰ παραπίπτοντα, εἴπερ τοιαύτης φύσεως ἦν τὰ κινούμενα. πρὸς ταῦτα δὲ λέγειν δυνατὸν ὅτι στερεά ἐστι πάντα ἐκεῖνα τὰ σώματα, γῆς μετέχοντα κατὰ Πλάτωνα, τοῦ στερεμνιωτάτου τῶν στοιχείων· διὸ καὶ ἰδίῳ πάντα περιγράφεται σχήματι, καθὰ καὶ πρὸ τούτου δέδεικται. εἰ γὰρ καὶ πλεονάζει τὸ πῦρ ἐν αὐτοῖς, ὡς δοκεῖ Πλάτωνι, ἀλλὰ συμπεπίληται τὸ ὅλον διὰ τὴν σύνθεσιν, ὡς καὶ τὰ παρ' ἡμῖν ἐκ τῶν στοιχείων συγκείμενα· οὐδὲν γὰρ αὐτῶν ῥυτὴν ἔχει τὴν σύστασιν, κἂν θερμότατα ᾖ, ὡς τὸ καστόριον καὶ τὸ εὐφόρβιον πέπερί τε καὶ σίνηπι καὶ εἴ τι τοιοῦτον· διόπερ οὐδὲν αὐτῶν ἀποσπινθηρίζει, κἂν λίαν αὐτὰ κινήσειέ τις. τὸ δὲ ὑπέκκαυμα καὶ ὁ μετὰ τοῦτον ἀὴρ καὶ τὸ ὕδωρ οὐ συμπεπίληται μέν, εὐδιαίρετα δέ ἐστιν ἀπὸ τῆς τυχούσης αἰτίας σκεδαννύμενα· ὅθεν ἴδιον μὲν ὅρον οὐδὲ σχῆμα τούτων οὐδὲν ἔχει, τῷ περιέχοντι δὲ συσχηματίζονται, καὶ τὰ μόρια δὲ τούτων ἐν τῷ ὅλῳ τοὺς τόπους ἀμείβει τῆς τυχούσης αὐτῶν γινομένης κινήσεως. ὅθεν ἐκ τῆς παραπιπτούσης αἰτίας ὑπομένει τὰ εἰρημένα πάθη ψυχόμενα, θερμαινόμενα, πηγνύμενα, μέρη τινὰ ἑαυτῶν ἀποβάλλοντα, καὶ τῶν γειτνιαζόντων μόρια προσλαμβάνοντα. οὐκ ἀναγκαῖον ἄρα πρὸς τὸ μὴ εἶναι πύρια τὰ | κατ' οὐρανὸν τὸ προκείμενον ἐπιχείρημα· σύνθετα γάρ ἐστι καὶ οὐχ ἁπλᾶ. ὅτι δὲ μὴ ἀστέρες εἰσὶν οἱ διατρέχοντες, δῆλον μὲν τῷ καὶ σμικρὸν ἐπιστῆσαι τοῖς γινομένοις δυναμένῳ· οὐχ ἄχρηστον δ' ὅμως καὶ βραχέα ἡμᾶς εἰπεῖν. πρῶτον μὲν γὰρ ἀνεγράφησαν τοῖς ἀστρονόμοις οἱ ἐπιφανέστεροι τῶν ἀστέρων μέχρις ἕκτου μεγέθους, καὶ οἱ αὐτοὶ ἀεὶ ἐν τοῖς αὐτοῖς εὑρίσκονται τόποις, ἀριθμόν τε τὸν αὐτὸν καὶ τάξιν φυλάττοντες μέγεθός τε καὶ χρῶμα καὶ σχῆμα καὶ εἴ τι ἄλλο περὶ αὐτοὺς τεθεώρηται. εἰ δὲ καὶ δοκοῦσιν ὡς ἀπό τινων ἀστέρων ἐξιόντες ποτὲ διαΐσσειν, ἀλλὰ πλάνη τοῦτο τῆς ὄψεώς ἐστιν· ὑποτρέχοντα γάρ τινας ἀστέρας καὶ τὰ καθ' ἕτερον εὑρισκόμενα τούτων τὰ ἐκπυρούμενα μέρη τοῦ ὑπεκκαύματος, ἐπειδὰν αἰφνίδιον ἐκφλογωθῇ καὶ διαδράμῃ, δόκησιν τοῖς πολλοῖς παρέχεται τοῦ ἐξ ἐκείνου τοῦ ἀστέρος ᾧ κατὰ 87r

3 καὶ θᾶττον] καὶ μᾶλλον Arist. E 4 θᾶττον post ἐκπυροῦται om. Arist. EHN
5 διάσσειν V 7 πύρεια a τῷ] τὸ V 8 φασὶν Ma ἔκπυρος MV
12 κατὰ Πλάτωνα] Tim. p. 31 B 15 τὸ om. a 18 ἀποσπινθυρίζει M
26 πύρεια a 31 ἕκτου scripsi: ἐκ τοῦ libri 34 ποτὲ om. a 35 καὶ τὰ—εὑρισκόμενα vix sana

κάθετον ἦσαν, διαδραμεῖν. κατανοήσας οὖν μετὰ τὴν διαδρομὴν ὄψει μη- 87r
δὲν ἐν τῷ ἀστέρι πάθος γενόμενον, ἀλλὰ καὶ περὶ ἡμᾶς ὄντα κάτω τὸν 10
διάττοντα, καθὰ καὶ ταῖς ὄψεσιν ἡμῶν ὑποπίπτει † ὡς καὶ ἡ τοῦ τάχους
αὐτῶν ὀξυτέρα κινεῖσθαι τῆς ἀπλανοῦς· κάτω γὰρ περὶ ἡμᾶς ὄντες καὶ ἐκ
5 μικροῦ κινούμενοι διαστήματος θᾶττον ἡμᾶς διαλλάττουσι. καὶ γὰρ εἰ δύο
πτηνὰ φέροιντο τὸ μὲν ὑψηλότατον οἷον ἀετός, τὸ δὲ χθαμαλώτατον οἷον κολοιὸς
ἢ κορώνη, ὧν τὸ μὲν ὀξυτάτην ἔχει τὴν κίνησιν τὸ δὲ βραδυτάτην, τὸ
κατώτερον θᾶττον τοῦ ἄνω κινεῖσθαι παρέξει ὑπόνοιαν, ὡς ἐπὶ περιφερείας 15
ἐλάττονος κινούμενον.

10 p. 341 a 35 Πρὸς δὲ τούτοις ὁ ἥλιος, ὅσπερ μάλιστα εἶναι δοκεῖ θερμός, φαίνεται λευκὸς ἀλλ' οὐ πυρώδης ὤν.

Ἔοικε διὰ τούτων ταῖς χροιαῖς τὰς τῶν σωμάτων κράσεις τεκμαίρεσθαι, ὅπερ οὐκ ἔστιν ἀληθές. ἰδοὺ γὰρ ἐρυθρόν ἐστι τὸ αἷμα καὶ τὸ ῥόδον ὁμοίως, ἀλλὰ τὸ μέν ἐστι θερμόν, τὸ δὲ ψυχρόν. πάλιν τὸ γάλα λευκόν ἐστι καὶ
15 τὸ ψιμμύθιον, ἀλλὰ καὶ οἶνός ἐστι λευκὸς καὶ τῶν πράσων αἱ κεφαλαὶ σκόροδά τέ τινα καὶ κρόμυα, ἀλλὰ τὰ μέν ἐστι ψυχρὰ τὰ δὲ θερμά. πέπερι 20
μέλαν ἐστὶ καὶ ἴον ὁμοίως, ἀλλὰ τὸ μέν ἐστι θερμότατον τὸ δὲ ψυχρότατον. ἀλλ' οὐδὲ λευκὸς ὁ ἥλιος φαίνεται, οἷόν ἐστι τὸ τῶν πολλῶν ἀστέρων χρῶμα· ξανθὸς γὰρ ὁρᾶται προδήλως, οἷον τὸ τῆς φλογὸς τῆς ἀπὸ ξηρᾶς ὕλης καὶ
20 λεπτομεροῦς γινόμενον· ἀλλ' οὐδ' εἰ χροιᾷ λευκὸς ἦν, τοῦτο τεκμήριόν ἐστι τοῦ μὴ εἶναι πυρός. πρὸς γὰρ τὴν ποιὰν ὕλην τὸ χρῶμα τοῦ πυρὸς ἐξαλλάττεται. καὶ γὰρ οἱ διάττοντες καὶ οἱ κεραυνοὶ λευκοί εἰσιν, οἷόν ἐστι τῶν 25
ἀστέρων τὸ χρῶμα, διὸ καὶ ἀστέρες ὀνομάζονται, καὶ ὁ ποιητὴς ἀργῆτα κεραυνὸν ἔγνωκεν. ὁμοίως δὲ καὶ οἱ κομῆται λευκοί εἰσι, καὶ ὅμως πῦρ εἰσι
25 προφανῶς. καὶ αὐτὸς δὲ ὁ ἥλιος περὶ τὸν ὁρίζοντα ξανθότερος φαίνεται, ἔσθ' ὅτε δὲ καὶ ἐρυθρός. οὐκ ἀναγκαῖος ἄρα οὐδ' ἀπὸ τοῦ χρώματος λόγος τοῦ μὴ πυρὸς εἶναι τὸν ἥλιον. ταῦτα μὲν οὖν περὶ τούτων. ἀπορεῖ δ' ὁ Ἀλέξανδρος, εἰ ἡ τοῦ ἡλίου κίνησις ἐκπυροῖ καὶ θερμαίνει τὸν ἀέρα οὐχ ἁπτόμενον αὐτοῦ (μέση γὰρ αὐτῶν, φησίν, ἡ τῆς σελήνης ἐστὶ σφαῖρα, 30
30 καὶ ἡμεῖς δὲ εἰπόντες ἔφθημεν ὅτι τὰ ποιοῦντα φυσικῶς ἁπτόμενα τοῦ πάσχοντος ἢ ἀμέσως εἰς αὐτὸ δρᾷ ἢ διὰ μέσου τινὸς προτέρου τῇ ἁφῇ τὸ αὐτὸ πάσχοντος καὶ αὐτοῦ τὸ πάθος εἰς ἐκεῖνο παραπέμποντος, ὡς ἐπὶ τοῦ τῶν βαλανείων ἐδείξαμεν ὑποδείγματος), εἰ οὖν ἀπαθεῖς ὑπάρχουσιν αἱ διὰ μέσου σφαῖραι, πῶς ὁ ἥλιος μήτε ἁπτόμενος τοῦ ἀέρος μήτε ποιῶν
35 ἐς τὰ μεταξὺ θερμότητα τὸν παρ' ἡμῖν ἀέρα θερμαίνει. ταύτην δὲ παραμυθεῖται τὴν ἀπορίαν, ὡς αὐτὸς εἶπεν· οὐδὲ γὰρ ἔλυσεν ἔλεγχον οὖσαν 35

---

2 ἀέρι Ma 3. 4 ὡς καὶ—ὀξυτέρα depravata sunt: exspectas tale quid τὸ τάχος αὐτῶν, ὡς δοκεῖν ὀξύτερον 5 εἰ om. M 10 ὅπερ a δοκεῖ μάλιστα εἶναι coll. Ma 15 ψιμμίθιον MV πράσσων a 16 κρόμμυα a 17 θερμὸν a ψυχρὸν Ma 19 προδήλως ex προδῆλος corr. M¹ 20 οὐδ' εἰ scripsi: οὐ libri 23 ὁ ποιητής] cf. Il. Θ 133 Od. E 128 all. 26 οὐδ' ὁ ἀπὸ M 28 Ἀλέξανδρος] p. 18,8 ἐκπυρὶ (sic) M 36 αὐτὸς εἶπεν] p. 18,13. 14

τοῦ δόγματος. κατὰ πρώτην μὲν ἐπιβολὴν οὕτως· πολλά, φησί, τῶν διὰ 87r
μέσου πασχόντων αὐτὰ μὲν οὐκ ἀμέσως ὑπὸ τοῦ ποιοῦντος πάσχει, τὸ δὲ
μέσον δι' οὗ τὸ πάθος εἰς αὐτὰ διαβιβάζεται, οὐδὲν τοιοῦτον ὑπομένει πάθος,
οἷον αὐτὸ πρὸς τὰ ἑξῆς διεβίβασε. διὰ γὰρ ἄγγους ὑελίνου ψυχροῦ ὕδατος
5 πεπληρωμένου ὁ ἥλιος ὄνθον ἐξάπτει ἤ τι τοιοῦτον, οὐ προσθερμανθέντος
τοῦ ἄγγους ἢ τοῦ ἐν αὐτῷ ὕδατος. ἀλλ' εἴ τι καὶ πάθοι ταῦτα, φησίν, 40
ἀλλ' οὐχ οὕτω θερμαίνεται ὥστε καὶ ἐξαφθῆναι. καὶ οἱ σαγηνευταὶ
δὲ πάλιν ἢ ἁπλῶς οἱ ἁλιεῖς, ἐπειδὰν ἐνσχεθῇ νάρκη τοῖς δικτύοις ἢ τῷ
ἀγκίστρῳ, προαισθάνονται τῆς ἄγρας τοῦ ὁμωνύμου τῷ ἰχθύι πάθους αὐτὴν
10 προμηνύοντος, μήτε τῆς σαγήνης μήτε τῶν καλωδίων μήτε τοῦ καλάμου
μήτε τῆς ὁρμιᾶς τὸ τῆς νάρκης ὑπομεινάντων πάθος. τί οὖν θαυμαστόν,
φησίν, εἰ καὶ τῶν μεταξὺ σφαιρῶν μενουσῶν ἀπαθῶν τὸ ἐκ τοῦ ἡλίου πάθος
δι' αὐτῶν ἐπὶ τὸν ἀέρα διαβιβάζοιτο; ἡ μὲν οὖν πρώτη ἐπιβολὴ τοιαύτη· 45
τὶ δὲ καὶ ἡμεῖς πρὸς αὐτὴν λέγειν ἔχομεν. τὸ μὲν οὖν δεύτερον τῶν ὑπο-
15 δειγμάτων λίαν τοῖς προκειμένοις ἀσύμφωνον· οὐ γὰρ μόνον ποιότητι δρῶσαι
αἱ νάρκαι, θερμαίνουσαι τυχὸν ἢ ξηραίνουσαι ἢ τἀναντία τούτοις ἐργαζό-
μεναι πάθη, ἀλλὰ τῷ ἐπιγενομένῳ συνθέτῳ εἴδει τῇ τοιᾷδε κράσει τῶν
ἁπλῶν τὸ πάθος ἐργάζονται. ὅσα γὰρ τῶν συνθέτων θερμαίνει μόνον ἢ
ψύχει μόνον ἢ ξηραίνει τε καὶ ὑγραίνει, ταῖς ἐκ τῶν στοιχείων ἐγγενομέναις
20 αὐτοῖς ποιότησι ταῦτα δρᾷ, καὶ ἔμπαλιν ὅσα τοῖς συνθέτοις γίνεται πάθη 50
τῶν ἁπλῶν ποιοτήτων, θερμασία ψῦξις, ὑγρότης ξηρότης, ταῖς ἀπὸ τῶν
στοιχείων ἁπλαῖς ποιότησι γίνονται· ὄρεξις δὲ καὶ ἕλξις, πέψις τε καὶ ἀπό-
κρισις, ἡ ἐπὶ τὰ πλάγια κίνησις, ὕπνος ἐγρήγορσις, μνήμη καὶ τῶν φυτῶν
καὶ τῶν λίθων αἱ παράδοξοι δυνάμεις ἐκ τοῦ ἐπιγενομένου τοῖς συνθέτοις
25 εἴδους συμβαίνουσιν. εἰ οὖν θερμασία ἐστὶ καὶ μόνη τὸ ἐξ ἡλίου | τῷ ἀέρι 87v
γενόμενον πάθος, ἐξ ἁπλῆς ἄρα καὶ στοιχειώδους ποιότητος γέγονεν. ὅπερ
γὰρ εἶπεν, εὔλογον ἐκ τῶν παρ' ἡμῖν γινομένων τὸ αὐτὸ κἀπὶ τοῦ ἡλίου
νομίζειν γίνεσθαι. εἰ οὖν τὸ πῦρ οὐ τῇ κινήσει θερμαίνει τὰ πάσχοντα,
μόνῃ δὲ τῇ ποιότητι καὶ τῇ συμπαρουσίᾳ καὶ τῇ ἁφῇ, οὕτως ἄρα καὶ τὸν
30 ἥλιον θερμαίνειν εὔλογον. τὸ δὲ τῆς νάρκης πάθος οὐκ ἐξ ἁπλῆς ποιότητος
γέγονεν, ἀλλ' ὡς ἔφθην εἰπών, ἐκ τοῦ ἐπιγινομένου συνθέτου εἴδους αὐτῇ. 5
οὐδὲν οὖν ἔχει συγγενὲς τὸ ὑπόδειγμα πρὸς τὸ ζητούμενον. ἔστω δὲ καὶ
ποιότητι δρᾶν αὐτὴν θερμαίνουσαν τυχὸν ἢ ψύχουσαν, ξηραίνουσάν τε ἢ
ὑγραίνουσαν· πόθεν ὅτι μὴ καὶ τὰ μεταξὺ διέθηκεν οὕτω; τὸ γὰρ ἐκ τοῦ
35 μὴ συναίσθησιν τοῦ πάθους λαμβάνειν τὸ καλώδιον ἢ τὴν ὁρμιὰν καὶ αὐτὸ
τὸ πάθος ἀναιρεῖν πάνυ γελοῖον· ἄψυχα γάρ ἐστι τοῦ πάθους οὐκ ἔχοντα
συναίσθησιν. οὕτω δὲ μὴ θερμαίνεσθαι λεγέτω τις τὸν λίθον ἢ τὸ ξύλον 10
ἢ τὸν σίδηρον ἢ ψύχεσθαι, διότι τοῦ πάθους οὐ συναισθάνονται. ἀλλ'
οὐδ' ἡμᾶς τοῦ ἐγγενομένου πάθους ὑπὸ τῆς νάρκης τοῖς μεταξὺ συναισθά-

---

6 πάθοι ex πάθη corr. M 7 σαγηνευταὶ Alex.: σαγηνῖται libri 15. 16 δρῶσαι αἱ scripsi: δρώμεναι libri 17 εἴδει scripsi: εἰ δὲ libri τοιᾷδε] τοιαύτη M 19 ξηραίνει τε] ξηραίνεται Ma 20 δρᾶν Ma 22 ὄρεξις τε καὶ V 31 εἴπομεν M 33 αὐτὸ M 37 λεγέτω ex λεγέσθω corr. M

νεσθαί ἐστιν ἀνάγκη· οὐδὲ γὰρ ἄλλοι τοῦ ἡμετέρου. τοῦτο μὲν οὖν οὕτω 87v
λελύσθω· ἐπὶ δὲ τὸ ἕτερον τῶν ὑποδειγμάτων μετέλθωμεν. οὐ διηκόνησε,
φημί, τὸ πάθος ἡ ὕελος καὶ τὸ ὕδωρ τὸ γενόμενον τῇ ἐξαφθείσῃ ὕλῃ·
οὐδὲ γὰρ διὰ τοῦ βάθους τῆς ὑέλου καὶ τοῦ ὕδατος αἱ ἀκτῖνες χωρήσασαι
5 τῷ ὄνθῳ προσέπεσον, ἀλλὰ πρὸς μόνην τὴν ἐπιφάνειαν τῆς ὑέλου, ἐξ ἧς 15
ἀνεκλάσθησαν. καὶ δῆλον ἐξ ὧν καὶ τὴν πρὸς τὸν ὄνθον νεύουσαν τοῦ ἄγ-
γους ἐπιφάνειαν τῷ ἡλίῳ σχηματίζομεν ἀντιπρόσωπον. καὶ τοῦτο δὲ δῆλον
ἅπασιν ὡς ἐκ τῶν λείων σωμάτων καὶ στιλπνῶν αἱ τῶν ἀκτίνων ἀνακλάσεις γί-
νονται· οὕτω γοῦν καὶ ἐκ τῶν πυρίων ἀνακλῶνται λείας αὐτῶν τῆς ἐπιφανείας
10 ἀκριβῶς γενομένης καὶ τῶν πόρων ἀποφραχθέντων τοῦ χαλκοῦ διὰ τῆς
ἀναπεπλασμένης αὐτῶν Μαγνησίας. οὐ γὰρ διὰ τοῦ βάθους τοῦ χαλκοῦ
χωροῦσιν αἱ ἀκτῖνες, ἀλλ' ἐκ μόνης ἀνακλασθεῖσαι τῆς ἐπιφανείας παλιν- 20
δρομοῦσιν ἐπὶ τὸ πάσχον, καὶ δὴ ἀμέσως εἰς αὐτὸ δρῶσι. διὰ τὴν αὐτὴν
δὲ αἰτίαν καὶ ὕδατος τὸ ὑέλινον ἀγγεῖον πληροῦται, ἵνα τῆς ὑέλου τοὺς
15 πόρους ἀποφράξῃ, καὶ μὴ δι' αὐτῶν ὑπεξέλθωσιν αἱ ἀκτῖνες, ἀλλ' ἐξ ἀνάγκης
διόδου μὴ οὔσης ἀνακλασθῶσιν· ἦν γὰρ ἡ Μαγνησία τῇ χαλκῷ χρείαν
παρέσχετο, ταύτην τὸ ὕδωρ τῇ ὑέλῳ δίδωσιν. οὕτω μὲν οὖν ἐπὶ τούτων·
ἐπὶ δὲ τοῦ ζητουμένου, εἰ ἡ τοῦ ἡλίου περιφορὰ τῇ κινήσει τὸν ἀέρα
θερμαίνει τὸν παρ' ἡμῖν, πῶς αἱ μεταξὺ σφαῖραι ταύτην εἰς αὐτὸν δια- 25
20 βιβάζουσι, λέγειν οὐχ ἕξει τις. οὐδὲ γὰρ ἡ τοῦ ἡλίου κίνησις τὰς κατω-
τέρας σφαίρας κινεῖ, οὔθ' ἣν κινοῦνται μετὰ τῆς ἀπλανοῦς κίνησιν οὔτε
τὴν ἰδίαν ἑκάστης. εἰ οὖν ἡ τοῦ ἡλίου περιφορὰ τῆς θέρμης ἦν αἰτία τῆς
παρ' ἡμῖν, μᾶλλον ⟨ἂν ἡ τῆς⟩ ἀπλανοῦς ἤπερ ἄλλη τις (συμπεριάγει γὰρ ἑαυτῇ
τὰς ὑπ' αὐτῆς σφαίρας) διὰ μέσου τῆς ἐσχάτης ἐθέρμανε κινοῦσα τὸν ἀέρα.
25 εἰ δὲ τοῦτο ἦν ἀληθές, τὸ αὐτὸ ἂν ἐποίει καὶ ἐν νυκτί· μία γάρ ἐστι καὶ 30
συνεχὴς ἀεὶ καὶ ἡ αὐτὴ ταύτης ἡ κίνησις. τούτου δὲ μὴ γινομένου, ἀλλ'
ἅμα τῷ ἡλίῳ θερμαινομένου τοῦ ἀέρος, οὐχ ἡ τοῦ ἡλίου ἄρα κίνησις οὐδὲ ἡ
τῶν σφαιρῶν τῆς θέρμης ἐστὶν αἰτία ἀλλ' ἡ φυσικὴ ποιότης αὐτοῦ (τοῦτο γὰρ
λείπεται) καθάπερ καὶ ἡ τοῦ πυρός. εἰ γὰρ τὰ παρ' ἡμῖν καὶ αὐτὸς τε-
30 κμήρια τῶν ἐκεῖ γινομένων εἴληφε, τὸ δὲ πῦρ οὐ τῇ κινήσει θερμαίνει τὸν
ἀέρα, ἀλλὰ μόνῃ ποιότητι, τὸ αὐτὸ ἄρα καὶ ἐπὶ τοῦ ἡλίου γίνεσθαι νομίζειν
εὔλογον, καὶ μὴ διὰ τὸ σώζειν τὰς ἰδίας ὑποθέσεις τὸν Ἀριστοτέλη βούλε- 35
σθαι, ὅτι ἐστὶν ἀπαθῆ τὰ οὐράνια σώματα, τοῖς φαινομένοις καὶ αὐτῇ πο-
λεμεῖν τῇ αἰσθήσει. τούτου γοῦν καὶ ὁ Ἀλέξανδρος συναισθόμενος ὁμόσε
35 ἐχώρει τῷ πράγματι καὶ τοῖς φαινομένοις, καὶ οὐκ ἀπαθῆ τὰ σώματα τῶν
οὐρανίων ὁμολογεῖ, καὶ τὸν Ἀριστοτέλη τοῦτο βούλεσθαί φησι, ταῦτα γράφων
ἐπὶ λέξεως· "ἴσως δὲ οὐδὲ πάντῃ ἀπαθὲς τὸ θεῖον σῶμα· οὐδὲ γὰρ ἐν

2 δὲ om. Ma ἕτερον] δεύτερον Ma 5 τῆς om. Ma 7. 8 δῆλον ὡς ἅπασιν ὡς MV 9 πυρείων a 16 δι' ὁδοῦ M 18 τοῦ ἡλίου scripsi: τοῦ πλήθους MV: τῆς ἀπλανοῦς a 22 ἕκαστος V 23 ἂν ἡ τῆς addidi ἄλλη τις] ἄλλην τινὰ MV 26 ἀλλ' om. MV 29. 30 τεκμήρια καὶ αὐτὸς coll. V, sed corr. V¹ 32 et 36 Ἀριστοτέλην a 34 ὁμόσε scripsi: ὅμως libri 36 βούλεσθαι ex βούλεται corr. M γράφων] p. 18,28 sqq.

τῷ πρώτῳ τῶν Περὶ οὐρανοῦ ἀπέδειξεν αὐτὸ ἀναλλοίωτον, καίτοι προ- 87ᵛ
θέμενος. ἀλλ' ἀγένητον μὲν αὐτὸ καὶ ἄφθαρτον ἔδειξεν, ὁμοίως καὶ 40
ἀναύξητον. ἀναλλοίωτον δὲ οὐκέθ' ὁμοίως ἀπέδειξεν, ὡς καὶ ἐν τῷ εἰς
αὐτὸ ὑπομνήματι ἐπεσημηνάμην, ἔθος τε αὐτῷ λέγειν τὸ θεῖον σῶμα οὐχ
5 ἁπλῶς ἀπαθές, ἀλλὰ προστιθέναι τὸ πάσης θνητῆς δυσχερείας· τῶν γὰρ
τοιούτων παθῶν ἀπαθές. ἔστι δὲ ταῦτα ⟨τὰ⟩ πάθη κατὰ τὴν κατ' εἶδος
μεταβολὴν γίνομενα, ἧς μεταβολῆς καὶ πάθους ἀνεπίδεκτα τὰ θεῖα, οὐ μὴν
διὰ τοῦτο καὶ παντὸς πάθους. ἥ τε γὰρ κίνησις πάθος τι, ἧς οὐκ ἀνε- 45
πίδεκτα· ἀλλὰ καὶ εἰ τὸ φῶς ἀλλότριον λαμβάνειν πάσχειν τί ἐστιν. ἡ
10 σελήνη εἴη ἂν πάσχουσά τι ἀπὸ τοῦ ἡλίου, εἴ γε παρ' ἐκείνου τὸ φῶς
αὐτῇ. οὐδὲν οὖν ἄτοπον καὶ ὑπὸ τῆς τοῦ ἡλίου κινήσεως πάσχειν τι τὸ
γειτνιῶν αὐτῷ τοῦ θείου σώματος, οὐ μὴν οὕτω πάσχειν, ὥστε κατ' εἶδός
τε μεταβάλλειν καὶ ἐκπυροῦσθαι, ⟨ἀλλὰ⟩ διακονεῖσθαι διὰ τούτου τοῦ πάθους
τῷ ὑπ' αὐτὸ σώματι, ὡς θερμαίνεσθαί τε ὑπ' αὐτῆς καὶ ἐκπυροῦσθαι.
15 ἄλλως τε ἐπεὶ καὶ ἧττον ἤδη τὸ σῶμα τοῦτο εἰλικρινές τε καὶ καθαρόν,
ὡς πρὸ ὀλίγου εἴρηκε δι' ὧν εἶπε "τὸ μὲν γὰρ ἄνω καὶ μέχρι σελήνης 50
ἕτερον εἶναι σῶμά φαμεν πυρός τε καὶ ἀέρος, οὐ μὴν ἀλλ' ἐν αὐτῷ γε τὸ
μὲν καθαρώτερον εἶναι, τὸ δὲ ἧττον εἰλικρινὲς καὶ διαφορὰς ἔχειν, καὶ
μάλιστα ᾗ καταλήγει πρὸς τὸν ἀέρα καὶ πρὸς τὸν περὶ γῆν κόσμον."
20 ταῦτα κατὰ λέξιν ὁ Ἀλέξανδρος. εἰ δὲ μὴ παντελῶς ἀπαθές ἐστιν ἐκεῖνο τὸ
σῶμα μηδ' ἀναλλοίωτον, ἀλλοίωσις δὲ σώματος οὐδὲν ἕτερόν ἐστιν ἢ
μεταβολὴ κατὰ ποιότητα, πάσης δὲ σωματικῆς ποιότητος αἱ πρῶται δύο
τῶν ἀντιθέ|σεων ἐξάρχουσιν ἡ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ τοῦ ξηροῦ τε 88ᵛ
καὶ ὑγροῦ, καὶ ἔστιν ἀδύνατον τῶν ἄλλων μετέχειν τινὸς τὸν μὴ τούτων
25 μετέχοντα πρότερον (πάσας γὰρ Ἀριστοτέλης ἔδειξε τὰς ἄλλας ὑπ' ἐκείνας
ἀναγομένας), εἰ οὖν ἀλλοιοῦται καὶ πάσχει τὸ θεῖον σῶμα, πάντως ἀνάγκη
κατά τινα τῶν εἰρημένων τεσσάρων ποιοτήτων προηγουμένως ἀλλοιοῦσθαι,
καθὰ δοκεῖ καὶ Πλάτωνι. εἰ δὲ κατ' αὐτὰς ἀλλοιοῦται, ἐξ αὐτῶν ἄρα καὶ 5
τὴν σύνθεσιν ἔχει καὶ κατὰ τὸ πλεονάζον αὐτῶν ἡ ἀλλοίωσις γίνεται, ὡς
30 καὶ ἐν τοῖς ἡμετέροις σώμασι γίνεται. τὸ γὰρ θερμαινόμενον ἐκ ψυχρο-
τέρου μεταβάλλει πρὸς τὸ θερμότερον, καὶ τὸ ὑγραινόμενον ξηρότερον ἦν,
καὶ ἐπὶ τῶν ἄλλων ἑκάστης ὁμοίως. εἰ γὰρ μὴ ἐκ τούτων εἶχε τὴν
σύστασιν, οὐδ' ἀλλοιοῦσθαι κατ' αὐτὰς ἔμελλεν· ἑτέραν γὰρ παρὰ ταύτας
ἀλλοίωσιν σῶμα φυσικὸν ὑπομένειν οὐδὲ πλάσασθαι ῥᾴδιον. ἐν τίνι δ' ὅλως
35 τὰ ἔσχατα τῶν οὐρανίων σώματα καὶ τοῖς παρ' ἡμῖν πλησιάζοντα ἧττόν 10
ἐστι καθαρὰ καὶ εἰλικρινῆ τῶν ἀνωτέρω, εἰ μία καὶ ἁπλῆ τῶν οὐρανίων
ὑπῆρχεν ἡ ὅλη τὸ πέμπτον σῶμα πάσης ἀνεπίμικτον ἐναντιώσεως, εἰ μὴ τὰ
μὲν ἀνωτέρω τῆς καθαρωτάτης καὶ εἰλικρινοῦς μετεῖχε τῶν στοιχείων

1 ἐν τῷ πρώτῳ τῶν Περὶ οὐρανοῦ] A 3 p. 270ᵃ12. 25 sqq. 2 ἀλλὰ γενητὸν M: ἀλλὰ γεννητὸν a 6 τὰ ex Alex. addidi 8. 9 ἂν ἐπιδεκτὰ M 10 τὸ] τοῦ M 11 πάσχειν τι Alex.: πάσχοντι libri 12 αὐτῇ Alex. πάσχειν Alex.: πάσχον libri 12. 13 κατ' εἶδος—καὶ apud Alex. non leguntur 13 ἀλλὰ ex Alex. addidi 16 πρὸ ὀλίγου] p. 340ᵇ6 καὶ om. V 18 διαφορὰς Arist. Alex.: διαφορὰν libri 19 κόσμον] τόπον V 24 ἔστιν scripsi: ὡς libri 36 εἰλικρινεῖ M 38 τῶν στοιχείων] immo τοῦ στοιχείου

μοίρας, τὰ δὲ κάτω καὶ πλησιάζοντα τῷ περὶ γῆν κόσμῳ τῆς ἧττον καθαρᾶς 88r
καὶ ἥττον εἰλικρινοῦς; καὶ γὰρ τῶν ὑπὸ σελήνην τὰ μὲν καθαρωτέρας τῶν
ἁπλῶν ἔτυχε μοίρας, τὰ δὲ τῆς ὑποστάθμης αὐτῶν καὶ οἱονεὶ τρυγός. τί
δὲ καὶ πάσχον ὑπὸ τοῦ ἡλίου τὸ ἔσχατον σῶμα τῶν οὐρανίων ἀλλοιοῦται
5 καὶ τοῦ ἰδίου μεταδίδωσι τῷ ὑπ' αὐτὸν ἀέρι πάθους; τί δ' ἄλλο γε ἢ θερ-
μαινόμενον ἐξ αὐτοῦ; οὐ γὰρ δή γε ὑπὸ τοῦ ἡλίου ἡ σεληνιακὴ σφαῖρα 15
κινεῖται, οὔτε τὴν ἰδίαν κίνησιν τὴν ἐπ' ἀνατολήν, ⟨ἣν⟩ τὰ πλανώμενα πάντα
κινεῖται, οὔτε ἣν συνεφέλκεται τῇ ἀπλανεῖ. τί οὖν ἂν εἴη τὸ ἐξ ἡλίου
πάθος αὐτῇ γινόμενον πλὴν τῆς θερμότητος ἧς μεταδίδωσιν ἀμέσως τῷ
10 μετ' αὐτὴν ἀέρι, ὡς καὶ ὁ ἀὴρ τοῖς μετ' αὐτόν, ὕδατί τε καὶ γῇ; δεῖ
δὲ καὶ τὴν παρατήρησιν ἐπισημειοῦσθαι τὴν Ἀλεξάνδρου. "ἴσως" γάρ
φησιν, "οὐδὲ πάντῃ ἀπαθὲς τὸ θεῖον σῶμα. οὐδὲ γὰρ ἐν τῷ πρώτῳ τῶν
Περὶ οὐρανοῦ ἀπέδειξεν αὐτὸ ἀναλλοίωτον, καίτοι προθέμενος, ἀλλ' ἀγένη- 20
τον μὲν αὐτὸ καὶ ἄφθαρτον ἔδειξεν, ὁμοίως καὶ ἀναυξές, ἀναλλοίωτον δὲ
15 οὐκέθ' ὁμοίως ἀπέδειξεν, ὡς καὶ ἐν τῷ εἰς αὐτὸ ὑπομνήματι ἐπεσημηνά-
μεθα". οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος. διὰ τί δὲ προὔθετο δεῖξαι ὁ Ἀρι-
στοτέλης ἀναλλοίωτον ἐκεῖνο τὸ σῶμα, εἰ καὶ μὴ δεῖξαι δεδύνηται; ἢ ἵνα
παντελῶς αὐτὸ δείξῃ ἀπαθὲς καὶ διὰ τούτου πάλιν ἄφθαρτον. τὰ γὰρ κατὰ
ποιότητα γινόμενα πάθη τοῖς σώμασι, τὸ [δὲ] θερμαίνεσθαι ἢ ψύχεσθαι καὶ 25
20 τὰ τούτοις συγγενῆ, μέτρια μὲν ὄντα καὶ τὴν κατὰ φύσιν συμμετρίαν τῶν
ὑποκειμένων οὐ παντελῶς ὑπερβαίνοντα, πάθη τότε καὶ ἔστι καὶ λέγεται·
ἐπειδὰν δὲ τῆς συμμετρίας ὅλης ὑπερεκπέσῃ τοῦ σώματος, φθορά ἐστι
λοιπὸν καὶ τοῦ συνεστῶτος εἴδους διάλυσις. τοῦτο οὖν Ἀριστοτέλης εἰδὼς
καὶ βουλόμενος ἄφθαρτα δεῖξαι τὰ κύκλῳ κινούμενα προὔθετο μὲν ἀναλ-
25 λοίωτα δεῖξαι· εἶχε γὰρ ἐξ ἀνάγκης ἑπόμενον ὅτι καὶ ἀπαθῆ ἄλλως οὐκ
ἔδειξεν, οὐκοῦν οὐδ' ὅτι ἄφθαρτα δέδεικται. ἀλλ' "ἔθος αὐτῷ λέγειν", 30
φησὶν ὁ Ἀλέξανδρος, "τὸ θεῖον σῶμα οὐχ ἁπλῶς ἀπαθές, προστιθέναι δὲ
πάσης θνητῆς δυσχερείας· τῶν γὰρ τοιούτων παθῶν ἀπαθές. ἔστι δὲ ταῦτα
τὰ πάθη κατὰ τὴν κατ' εἶδος μεταβολὴν γινόμενα, ἧς μεταβολῆς καὶ πάθους
30 ἀνεπίδεκτα τὰ θεῖα, οὐ μὴν διὰ τοῦτο καὶ παντὸς πάθους". τίς οὖν ἐστιν
ἡ θνητὴ δυσχέρεια ἡ συνεστῶτος ἔτι τοῦ ζῴου γινομένη, λεγέτω· τί δὲ
ἄλλο γε ἢ τὸ θερμαίνεσθαι τῆς κατὰ φύσιν πλέον θερμότητος, ψύχεσθαί
τε καὶ ξηραίνεσθαι καὶ ὑγραίνεσθαι, καὶ ὅσα τούτοις ἐστὶν ἑπόμενα, δυσχέ- 35
ρειαν τοῖς ἔχουσι τῷ παρὰ φύσιν διατιθέναι τὸ σῶμα παρέχοντα καὶ λύσεως
35 ἐλπίδα, καὶ ταύτῃ τὴν ἑπομένην παντελῆ τοῦ εἴδους φθοράν. * * τὰ
φθαρτὰ τὴν φύσιν κρίνεται καὶ τὰ μὴ τοιαῦτα. εἰ οὖν ἀπαθὲς παντελῶς
οὐκ ἔστιν ἐκεῖνο τὸ σῶμα, οὐδὲ Ἀριστοτέλης τοῦτο δέδειχε, μάτην αὐτῷ

---

1 κάτω καὶ—τὰ δὲ τῆς (3) om. a 3 ἁπλῶν] ἀπλανῶν M 5 τί] ἔτι Ma
7 ἣν addidi 13 προσθέμενος Ma 14 ἐναυξές a 16 οὖν om. Ma
προέθετο V 19 δὲ delevi 19. 20 καὶ τὰ τούτοις scripsi: κατὰ τούτους libri
20 κατὰ om. V 22 ὑπερεκπέσῃ scripsi: ὑπερεκπεσεῖν libri 25 ἀπαθῆ ἄλλως scripsi:
ἄφθαρτα ὅμως libri 28 ταῦτα—μεταβολὴν (29) Alex.: ταῦτα πάθη κατὰ εἶδος μεταβολῆς
libri, sed cf. p. 50,6. 7 31 λεγέτω corr. ex λέγεται M 35 lacunam indicavi:
adde κατὰ ταῦτα γὰρ 37 ἐκεῖνο] ἐκείνω M

τὸ πάσης θνητῆς δυσχερείας προσθεὶς χαρίζεται τὸ μὴ προσόν. εἰ γὰρ 88r
ὅλως θερμότερον αὐτὸ ἑαυτοῦ ἐξ ἡλίου γίνεται καὶ τοῦτο τὸ πάθος μετα- 40
δίδωσι τῷ μετ' αὐτὸν ἀέρι, τῆς δυσχερείας ἄρα τῆς θνητῆς οὐκ ἀπήλλα-
κται· ἄλλο γάρ τι τοῦ θείου σώματος πάθος τὸν ἀέρα θερμαῖνον δεικνύειν
5 ἕξουσιν οὐδὲ μέχρι τοῦ πλάσασθαι.

Ἐζήτει δὲ καὶ τοῦτο καλῶς ὁ Ἀλέξανδρος, ὡς εἴπερ ἀπὸ τῆς τοῦ
ἡλίου κινήσεως ἡ θερμότης ἐνταῦθα γίνεται, πῶς οὐκ ἔστιν ἡ ἀπ' αὐτοῦ
θερμότης ἐν ταῖς σκιαῖς, καίτοι γε καὶ τοῦ σκιαζομένου ἀέρος ὁμοίως τῷ
ἀνεπισκιάστῳ ὑπὸ τὴν τοῦ ἡλίου κίνησιν ὄντος. ἢ ἐπειδή, φησίν, ἄλλος
10 ἐξ ἄλλου θερμαίνεται τῇ συνεχείᾳ τε καὶ τῇ ἁφῇ, τὸ δ' ἐπισκοτῆσαν ἅμα 45
καὶ τὴν συνέχειαν καὶ τὴν ἁφὴν ἐνεπόδισε τὴν κατὰ τοῦτο τοῦ θερμαίνοντος
ἀέρος· οὐχ ὁμοίως γὰρ ἁπτόμενος ὁ ἐπεσκοτημένος τοῦ ἀνεπισκιάστου οὐδ'
ὁμοίως θερμός ἐστι. ταῦτα δὲ καλῶς ἂν ἔλεγεν ὁ Ἀλέξανδρος, εἰ μὴ τὴν
τοῦ ἡλίου κίνησιν ἀλλὰ ποιότητα καὶ μόνην ὡς ἐπὶ πυρὸς θερμαίνειν ἔλεγε
15 τὸν ἀέρα. τὸ γὰρ πρῶτον αὐτοῦ μόριον καὶ τῷ πυρὶ πλησιάζον ἐξ αὐτοῦ
θερμανθὲν τὸ μετ' αὐτὸ θερμαίνει, καὶ τοῦτο τὸ ἑξῆς, μέχρις ἂν ἀμυδρο- 50
τέρα γινομένη ἡ κατὰ μέρος θερμασία διὰ τὴν ἐκ τοῦ πυρὸς ἀπόστασιν
ἀποσβεσθείη παντάπασιν. εἰ δὲ κατὰ Ἀριστοτέλη μόνῃ τῇ κινήσει τοῦ
ἡλίου, μᾶλλον δὲ τῆς ἡλιακῆς σφαίρας θερμαίνεται ὁ ἀήρ, συνεχὴς δὲ ὅλος
20 ἐστὶ πλὴν εἰ μὴ πᾶν τι μόριον αὐτοῦ καθειργμένον ὑπὸ γῆν ὑπάρχον ἢ
ὑπό τινος πανταχόθεν οἰκοδομήματος τοιούτου τινὸς ὑποθώμεθα, καὶ τὴν
αὐτὴν ἐν ἑκάστῳ θερμασίαν ἐχρῆν ὑπάρχειν. ἔστω δὲ τὸν τοιοῦτον ἀέρα
μὴ κινεῖσθαι | μηδὲ θερμαίνεσθαι· ἀλλὰ ὑπὸ τῶν τειχίων ἢ πετρῶν τινων 88v
σκιαζόμενος ἀὴρ συνεχὴς ὢν πανταχόθεν τῷ φωτιζομένῳ πλὴν ἐκ μόνης τῆς
25 διακοπείσης πλευρᾶς ὑπὸ τοῦ ἐπιπροσθήσαντος, διὰ τί μὴ τῆς αὐτῆς μετέχει
θερμότητος τοῖς συνεχέσιν αὐτῷ μέρεσι τοῦ ἀέρος καὶ τὸ φῶς δεχομένοις,
τῆς αὐτῆς μετέχον τοῦ ἡλίου κινήσεως; δῆλον οὖν οἶμαι κἀντεῦθεν ὡς
οὐχ ἡ τοῦ ἡλίου κίνησις, ἥτις οὐχ ἅπτεται τοῦ ἀέρος, ἀλλ' ἡ τούτου 5
ποιότης ὡς ἐπὶ πυρὸς θερμαίνει τὸν ἀέρα, καὶ διὰ τοῦτο τὰ ἐπιπροσθού-
30 μενα τούτου μέρη μὴ διαβιβαζομένης ἐπ' αὐτὰ τῆς ποιότητος τοῦ ἡλίου
διὰ τὸ ἐπιπροσθοῦν οὐχ ὁμοίως τοῖς ἄλλοις θερμαίνεται, μετρίας μόνης
αὐτοῖς ἐκ τῶν γειτνιαζόντων μεταδιδομένης θερμότητος, καὶ οὐ τοσαύτης
ὅση γίνεται τοῖς ἀμέσως τοῦ ἡλίου δεχομένοις τὰς ἀκτῖνας. ἐξ ὧν δῆλον
ὡς τῷ ἡλιακῷ φωτὶ θερμασία συμπαρομαρτεῖ πάντως, ὡς καὶ ἐπὶ τοῦ
35 πυρὸς γινόμενον φαίνεται, συνεζευγμένης αὐτῶν τῷ φωτὶ τῆς θερμότητος. 10
ποιότητι οὖν καὶ οὐ τῇ κινήσει θερμαίνει ὁ ἥλιος οὔτε τῇ ἑαυτοῦ, εἴ τινα
ἔχει ἰδίαν κίνησιν, οὔτε τῆς ἡλιακῆς σφαίρας. εἰ γὰρ οὕτως ἐθέρμαινεν,
οὐδὲν ἧττον καὶ ὑπὸ σκιὰν καὶ ἐν χειμῶνι τὴν αὐτὴν θερμασίαν ὁμοίως

---

2 τοῦτο] τοῦ V 6 Ἀλέξανδρος] p. 19,13 11 τὴν ante ἁφὴν om. Ma ἐνεπόδισε] ἐνεπιδόσει M: ἐν ἐπιδόσει a τὴν—θερμαίνοντος] τοῦ κατὰ τοῦτο θερμαίνοντος Ma 12. 13 οὐθ' ὁμοίως Ma 17 ἡ om. Ma 19 ὅλος] ὁ ἥλιος V 20 πᾶν vix sanum τι scripsi: τὸ libri ὑπάρχον scripsi: ὑπάρχοι libri 27 κἀντεῦθεν ex κἀνταῦθα corr. M 32 οὐ τοσαύτης scripsi: οὕτως αὐτῆς libri 34 ἐπὶ] εἴη M 35 αὐτῶν] αὐτῷ a 36 οὐ] οὐχὶ Ma 38 σκιὰν om. M: θέρος a

ἀεὶ παρεῖχεν ἅπασι, μιᾶς καὶ τῆς αὐτῆς ἀεὶ κινήσεως οὔσης τῆς τε ἁπλα- 88ᵛ
νοῦς καὶ τῶν πλανωμένων ἰδίᾳ ἑκάστης. ἀλλ' εἰ πύριος ἦν, φασί, καὶ θερ-
μότητι τῇ αὐτοῦ τὰ ὑπὸ σελήνην ἐθέρμαινε, διὰ τί μεσουρανῶν μᾶλλον
θερμαίνει καὶ μὴ περὶ τοὺς ὁρίζοντας ὤν; οὐδὲ γὰρ τὰ ἐκ πλαγίου κείμενα 15
5 τῷ πυρί, ἀλλὰ τὰ ἐπικείμενα τούτῳ μᾶλλον θερμαίνεται, ὡς τὰ ἑψόμενα
καὶ τὰ χωνευόμενα. μάλιστα μὲν οὖν πολλὰ τῶν τηκτῶν ὡς καὶ ὁ μό-
λιβδος ὑποκείμενα τῷ πυρὶ τήκεται· ὡς γὰρ τὸ φῶς πανταχοῦ, εἰ μή τι
κωλύοι, φέρεται, οὕτω καὶ ἡ συμπαρομαρτοῦσα τούτῳ θερμότης. εἶτα καὶ
ἡ αἰτία δῆλη· πρὸς τῷ ὁρίζοντι γὰρ ὁ ἥλιος οὐ πάσας αὐτοῦ τὰς ἀκτῖνας
10 εἰς ἡμᾶς πέμπει, ἀλλὰ τὰς μὲν ὑπὸ γῆν, τὰς δὲ ὑπὲρ ἡμᾶς, ἐν τῷ μεσου- 20
ρανήματι δὲ γενόμενος εἰς ἅπαντα τὸν περὶ ἡμᾶς ἀέρα πέμπων τὰς ἀκτῖνας
ὅλον θερμαίνει. ἔπειτα πολλή ἐστιν ἡ περὶ γῆν ἀχλύς, δι' ἧς αἱ ἀκτῖνες
φερόμεναι τοῦ ἡλίου ὄντος ἐν τῷ ὁρίζοντι τὸ φῶς ἀμβλύτερον ἔχουσι· διὸ
καὶ αὐτὸς ἐρυθρὸς τότε φαίνεται, οἷον καὶ τὸ ἐκ τῶν ὑγρῶν ξύλων γινόμενον
15 πῦρ· ὑψούμενος δὲ καὶ πλείονα χρόνον μένων ὑπὲρ γῆν λύει τὴν ἀτμίδα.
εἰ γὰρ καὶ τῆς γῆς, ὥς φασιν, ἑκατονταεβδομηκονταπλασίων ἐστίν, ἀλλ' οὐ
παντὸς τοῦ μέχρι τῆς σελήνης σώματος. διόπερ ὅσα μὲν αὐτῷ πλησιάζει, 25
ὡς τὰ ὑπὸ τὸν ἰσημερινόν, ἐκκέκαυται λίαν, ὅσα δὲ τούτου μᾶλλον ἀφέστηκε,
μᾶλλον κατέψυκται, ὡς τὰ περὶ τοὺς πόλους διὰ τὴν μεγίστην ἀπόστασιν
20 κατεψυγμένα λίαν ἐστὶ καὶ ἀοίκητα, ὡς καὶ τὰ ὑπὸ τὸν ἰσημερινὸν διὰ τὴν
ἐκπύρωσιν. οὐκ ἄρα ἡ τοῦ ἡλίου κίνησις αἰτία ἐστὶ τοῦ τὰ ὑπὸ σελήνην
θερμαίνεσθαι· ὁμοίως γὰρ ἐν παντὶ χρόνῳ πάντα ἂν ἐθερμαίνετο· ἀλλ' ἡ
τοῦ ἡλίου πυρώδης οὖσα φύσις τὰς μὲν οἰκουμένας δύο ζώνας τήν τε
βορειοτέραν τοῦ θερινοῦ τροπικοῦ καὶ τὴν τοῦ χειμερινοῦ νοτιωτέραν συμ- 30
25 μέτρως θερμαίνουσα εὐκράτους ποιεῖ, τὰς δὲ λοιπὰς τρεῖς διὰ τὴν ἐπὶ
τἀναντία πάλιν ὑπερβολὴν ἀοικήτους ἐργάζεται. ἱκανῶς δὲ τούτων εἰρη-
μένων τὴν ἀκοὴν ἀναπαύοντες, ἐνταῦθα τῷ πρώτῳ τμήματι δίδομεν πέρας.

p. 341ᵇ 1 Τούτων δὲ διωρισμένων λέγωμεν διὰ τίνα αἰτίαν αἵ
τε φλόγες αἱ καιόμεναι φαίνονται περὶ τὸν οὐρανὸν καὶ οἱ δια- 35
30 θέοντες ἀστέρες καὶ οἱ καλούμενοι ὑπό τινων δαλοὶ καὶ αἶγες·
ταῦτα γὰρ πάντα ἐστὶ τὸ αὐτὸ καὶ διὰ τὴν αὐτὴν αἰτίαν, δια-
φέρει δὲ τῷ μᾶλλον καὶ ἧττον.

Ἐπεξελθὼν ὡς ἐν προοιμίοις ὅσα προδιδάξαι τῆς τῶν μετεώρων θεω-
ρίας χρήσιμον ἦν, τουτέστι τόν τε σκοπὸν τῆς προκειμένης ἀφορισάμενος
35 πραγματείας καὶ τὴν τάξιν, ἣν ἐν τοῖς φυσικοῖς αὐτοῦ συγγράμμασιν εἴληχε,
τίνα τε διδάξαι πρὸ αὐτῆς ὡς προηγούμενα φυσικῶς ἀκόλουθον ἦν, καὶ
τίνα μετ' αὐτὴν ὡς ἑπόμενα μέλλει διδάσκειν, εἶτα καὶ περὶ τῶν στοιχείων 40

2 πύρειος a 19 πόλους] πολλοὺς M 28 εἰς τὸ ᾱ^ον τῶν μετεωρολογικῶν ἀριστοτέλους τῶν εἰς τὰ τρία τὸ δεύτερον rubro inscr. V: λόγος δεύτερος inscr. man. rec. M λέγω M 29 φαίνονται] a ex corr. V 31 πάντα γὰρ ταὐτά ἐστι coll. Ma 33 ἐν om. a προεδίδαξε Ma 34 ἦν om. a τόν τε] τότε a 36 τε om. a διδα^ξ V 36. 37 καὶ τινὰ Ma 37 μέλλοι M

τοῦ κόσμου παντὸς ἀναμνήσας ὡς πέντε τὸν ἀριθμόν εἰσι, τέσσαρα μὲν 88v
τῶν ὑπὸ σελήνην ἁπάντων, ἄλλο δὲ παρὰ ταῦτα πέμπτον, ἐξ οὗ τὰ οὐράνια
συνέστηκε σώματα, καὶ ὡς οὔτε μόνον πῦρ ἐστι τὸ μετὰ τὴν γῆν ἅπαν
ἕως τῶν ἐσχάτων ἀστέρων οὔτε μόνος ἀὴρ οὔτε τὰ δύο καὶ μόνα συμπε-
5 πλήρωκε τὸ διάστημα τοῦτο πᾶν, καὶ περὶ τῆς τούτων τάξεως εἰπὼν ὅτι
μέση μὲν ἁπάντων ἡ γῆ μετὰ τοῦ συναπειλημμένου τοῖς κοιλώμασιν αὐτῆς
ὕδατος, ἀὴρ δὲ μετ' αὐτήν, καὶ μετὰ τοῦτον ἡ τοῦ πυρὸς οὐσία, ὅπερ οὐ 45
πῦρ ἐστιν ἀλλὰ πυρὸς ὑπέκκαυμα, εἶτα πάντων ἔσχατον τὸ πέμπτον στοι-
χεῖον, ὅπερ ὕλη τῶν κυκλοφορουμένων ἐστὶν ἁπάντων, καὶ ὅτι τὰ μὲν ἐν-
10 τὸς τῆς σελήνης στοιχεῖα ὕλη τῶν γινομένων καὶ φθειρομένων εἰσί, τὸ δ'
ὅθεν ἡ τῆς κινήσεως ἀρχή, τουτέστιν ἡ ποιητικὴ τούτων αἰτία τὸ κυκλο-
φορούμενον, εἰπὼν δὲ καὶ ὡς εἰς ἄλληλα μεταβάλλει τὰ τέσσαρα (συντελεῖ
γὰρ καὶ τοῦτο πρὸς τὸν σκοπὸν τῆς ὑποκειμένης ὑποθέσεως) ἀκολούθως
ἐζήτησε, διὰ τί μὴ συνίσταται νέφη μήτε κάτω περὶ αὐτὴν τὴν γῆν μήτε 50
15 μὴν ἐν τῷ ἀνωτάτῳ καὶ πλησίον τοῦ ὑπεκκαύματος, καὶ τούτων τὴν αἰτίαν
εἰρηκὼς ἔσχατον ἐζήτησε πάντων ὡς εἰ μὴ πύριά ἐστι τὰ οὐράνια, πόθεν
ἅμα τῷ φανῆναι τὸν ἥλιον θερμαίνεται ὁ ὑπὸ σελήνην ἀήρ. καὶ τοῦτο δὲ
συμπεράνας ἔρχεται λοιπὸν εἰς ὃ καὶ προὔκειτο, τὰς αἰτίας εἰπεῖν τῶν ἐν
τῷ μετεώρῳ συνισταμένων παθημάτων, καὶ πρό γε τῶν ἄλλων τίνες εἰσὶν
20 αἱ περὶ τὸν οὐρανὸν φαινόμεναι φλόγες καὶ οἱ διαθέοντες | ἀστέρες, οὓς ἐκ 89r
τῆς κινήσεως διάττοντας ὀνομάζουσι, δαλοί τε καὶ αἶγες καὶ εἴ τι τούτοις
ἐστὶ συγγενὲς ἐκεῖ συνιστάμενον. κοινῶς δὲ περὶ τούτων ἅμα προὔθετο δι-
δάσκειν, ἐπειδήπερ καὶ τὸ ὑλικὸν αὐτῶν αἴτιον ἕν ἐστιν, αἱ ἀπὸ τῆς γῆς
ἀναθυμιάσεις, ὡς δειχθήσεται, καὶ τὸ ποιητικὸν ὁμοίως ἡ τῶν οὐρανίων
25 περιφορά. τίς δὲ καὶ ἡ τούτων ἑκάστη διαφορά, προϊὼν διδάξει. τὰ δὲ
τοιαῦτα περὶ τὸν οὐρανὸν γενέσθαι φησίν, οὐρανὸν εἰπὼν ἢ κατὰ τὴν 5
τῶν πολλῶν δόξαν οἰομένων ἐν τῷ οὐρανῷ ταῦτα γίνεσθαι, ἢ καθ' Ὅμηρον
οὐρανὸν ἐκάλεσε τὸν ἀέρα· "Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ
νεφέλῃσιν·" ἢ μᾶλλον ἀκριβῶς εἶπεν οὐκ ἐν οὐρανῷ, ἀλλὰ περὶ τὸν
30 οὐρανόν, τουτέστι περὶ τὸν πλησιάζοντα τόπον αὐτῷ. τὸ αὐτὸ δ' εἶναί
φησιν ἅπαντα κατὰ τὸ ὑλικὸν αἴτιον καὶ διὰ τὴν αὐτὴν αἰτίαν τὴν ποιητικήν.

p. 341b 5 Ἀρχὴ δ' ἐστὶ καὶ τούτων καὶ πολλῶν ἄλλων ἥδε. θερ- 10
μαινομένης γὰρ τῆς γῆς ὑπὸ τοῦ ἡλίου τὴν ἀναθυμίασιν ἀναγ-
καῖον γίνεσθαι μὴ ἁπλῆν, ὡς τινες οἴονται, ἀλλὰ διπλῆν, τὴν
35 μὲν ἀτμιδωδεστέραν, τὴν δὲ πνευματωδεστέραν, τὴν μὲν τοῦ
ἐν τῇ γῇ καὶ ἐπὶ τῇ γῇ ὑγροῦ ἀτμίδα, τὴν δὲ αὐτῆς τῆς γῆς οὔσης
ξηρᾶς καπνώδη· καὶ τούτων τὴν μὲν πνευματώδη ἐπιπολάζειν
διὰ τὸ θερμόν, τὴν δὲ ὑγροτέραν ὑφίστασθαι διὰ τὸ βάρος.

Τὰ νῦν ῥηθησόμενα οὐ μόνον τῶν ἀπηριθμημένων ἐστὶν ἀρχή, ἀλλὰ 15

5 τοῦτο πᾶν ex τοῦ παντὸς corr. M 7 τοῦτον scripsi: τοῦτο libri 16 πύρεια a
23 ἐν ἐστιν] ἔνεστιν M 27 καθ' Ὅμηρον] Il. O 192 29 ἀλλὰ περὶ ex corr. V¹: ἀλλ' ἐπὶ Ma 32 δ' ἐστὶ—ἄλλων] δὲ τούτων ἐστὶ καὶ τῶν ἄλλων Ma 35 ante τὴν μὲν add. καὶ Ma 38 [illegible] δ' αὖ Ma 39 ἀπηρηθμημένων a

καὶ πάντων τῶν ἐν τῷ μετεώρῳ συνισταμένων παθημάτων, κομητῶν, κε- 89r
ραυνῶν, ἀστραπῶν, βροντῶν. ἤδη μὲν οὖν τὸ ὑλικὸν αἴτιον πάντων τῶν
γινομένων καὶ φθειρομένων ὅτι ⟨τὰ⟩ τέσσαρα στοιχεῖά ἐστιν ἐδίδαξεν. ἐπειδὴ
δὲ νῦν τῶν ἐν τῷ μετεώρῳ συνισταμένων τὰς αἰτίας διδάξαι βούλεται (εἰ
5 γὰρ καὶ κοινὰ πάντων τῶν γινομένων, ὡς εἶπον, ἐκεῖνά ἐστιν, ἀλλ' ἔστι
καὶ τῶν κατὰ γένος διαφερόντων ἑκάστῳ καὶ τῶν κατ' εἶδος ὕλη τις ἰδιά- 20
ζουσα· τοῖς εἴδεσι γὰρ τῶν συνθέτων καὶ ἡ ὕλη συνεξαλλάττεται) ἀνάγκη
καὶ τῶν ἐν τῷ μετεώρῳ γινομένων ἁπάντων εἶναί τινα κοινοτέραν ὕλην,
ἥτις τῶν ἐν γενέσει πάντων ἐστὶ καὶ φθορᾷ, καὶ ἰδικωτέραν τούτων αὐτῶν
10 ἄλλην, ἀλλ' οὐ τῶν κατ' εἶδος διαφερόντων. τέως οὖν τὴν κοινὴν ἁπάν-
των τῶν ἐν τῷ μετεώρῳ γενικώτερον τίς ἐστι διδάσκει τὸν τρόπον τοῦτον.
δύο γὰρ ὄντων, φησί, τῶν ἐν τῷ μέσῳ τοῦ παντὸς στοιχείων, ὕδατός τε
καὶ γῆς, καὶ τούτων ὑπὸ τοῦ ἡλίου τὸν εἰρημένον τρόπον θερμαινομένων,
διττὰς ἐξ αὐτῶν ἀνάγκη γίνεσθαι καὶ τὰς ἀναθυμιάσεις, καὶ τὴν μὲν ἐκ
15 τοῦ ὕδατος ὑγράν, οἷός ἐστι καὶ ὁ ἐκ τῶν λεβήτων ἀτμὸς θερμαινομένου
τοῦ ἐν αὐτοῖς ὕδατος, τὴν δὲ ἐκ τῆς γῆς ξηράν, οἵα πάλιν ἐκ τῶν καιο- 25
μένων ξύλων ἀναδιδομένη φαίνεται καὶ τῶν θυμιαμάτων· ἑκατέρα μέντοι
τούτων ἐστὶ θερμή. ἐπειδὴ γὰρ ἐξ ἡλίου τὰ δύο ταῦτα στοιχεῖα γῆ καὶ
ὕδωρ θερμαινόμενα τὴν τοιαύτην ὑπομένει μεταβολήν, δῆλον ὅτι κατὰ μόνον
20 τὸ ἐν αὐτοῖς ἑκάτερον μεταβάλλει ψυχρόν· τὸ δὲ ἐκ ψυχροῦ μεταβαλὸν ἐξ
ἀνάγκης γίνεται θερμόν. μήτε οὖν τῆς γῆς κατὰ τὸ ἐν αὐτῇ μεταβαλλού- 30
σης ξηρὸν μήτε τοῦ ὕδατος κατὰ τὸ ὑγρόν, ἀλλὰ μόνον κατὰ τὸ ἐν αὐτοῖς
ψυχρὸν ὑπὸ τοῦ θερμοῦ νικώμενον εἰκότως ἑκατέρα τῶν ἀναθυμιάσεών
ἐστι θερμή, μένοντος ἐν θατέρᾳ μὲν τοῦ ξηροῦ, ἐν τῇ λοιπῇ δὲ τοῦ ὑγροῦ.
25 οὐκοῦν ἡ μὲν ἐξ ὕδατος ὑγρά ἐστι καὶ θερμή, ἡ δὲ ἐκ τῆς γῆς ξηρὰ καὶ θερμή.
καλεῖ δὲ τὴν μὲν ἀτμίδα, τὴν δὲ καπνώδη καὶ πνευματώδη· καὶ γὰρ τὸ πνεῦμα
ξηρόν ἐστι καὶ θερμόν. αὗται τοίνυν τῶν ἐν τοῖς μετεώροις συνισταμένων
ἁπάντων κοινῶς ὑλικὸν ὑπάρχουσιν αἴτιον, ποιητικὸν δὲ ἡ τῶν οὐρανίων
περιφορὰ σωμάτων. θερμῆς τοίνυν ἑκατέρας ἀναθυμιάσεως ὑπαρχούσης 35
30 εἰκότως εἰσὶν ἀνώφροι· ἀλλ' ἡ μὲν καπνώδης μᾶλλόν ἐστι κούφη, τὸ
ξηρὸν ἔχουσα τοῦ τάχους συναίτιον, τῆς δὲ λοιπῆς τὸ ὑγρὸν ὑποτέμνει τὸ
τάχος, ὡς ἐν ἑτέροις ἀκριβῶς ταῦτα δεδείχαμεν. οὐκοῦν ἡ μὲν ἐξ ὕδατός
ἐστι περιγειοτέρα τῷ τόπῳ ὡς ἧττον κούφη, ἡ δὲ ἐκ γῆς ἐπιπολάζει ταύτῃ
καὶ μᾶλλόν ἐστι μετέωρος ὡς κουφοτέρα· καὶ ἡ μὲν τὰ περὶ τὸν ἀέρα
35 πάθη γεννᾷ, ὁμίχλην, ὑετόν, χιόνα, χάλαζαν καὶ τὰ τούτοις συγγενῆ, ἡ δὲ
ξηρὰ πρὸς τὸ συγγενὲς ἄνω χωροῦσα τὰ περὶ τὸ ὑπέκκαυμα συνίστησιν, 40
ὧν ἐστι καὶ τὰ προκείμενα, φλόγες καὶ δαλοὶ καὶ αἶγες καὶ ὅσα κατηρι-
θμήσατο· πυρώδη γάρ ἐστι τὴν φύσιν ἅπαντα. τὴν δὲ διαφορὰν αὐτῶν
προϊόντες αὐτοῦ λέγοντος εἰσόμεθα. τὸ δὲ καὶ ἐν τῇ γῇ φησι καὶ ἐπὶ
40 τῇ γῇ ἢ ὅτι τὸ μέν ἐστιν ἐν τοῖς κοιλώμασιν αὐτῆς, τὸ δὲ καὶ ἐπιπολάζει,

3 τὰ addidi 6 ὕλης Ma 8 γινομένων—τῶν κατ' εἶδος (10) om. a 12 στοιχείων om. Ma: post γῆς (13) transpon. V 17 ξύλων om. a 25 ἡ δὲ—θερμή om. Ma 26 καλεῖ δὲ] λεῖ δὲ in lac. om. M 30 ἀνώφροι a 40 αὐτῆς ex αὐτοῖς corr. M¹

ἢ καὶ καθ' ἑνὸς τοῦ αὐτοῦ· καὶ γὰρ τῷ ἐν τοῖς κοιλώμασιν ὕδατι ὑπό- 89r
κειται γῆ.

p. 341 b 12 Καὶ διὰ ταῦτα τοῦτον τὸν τρόπον κεκόσμηται τὸ πέριξ· πρῶτον γὰρ ὑπὸ τὴν ἐγκύκλιον φορὰν ἐστι τὸ θερμὸν καὶ ξηρόν, ὃ λέγομεν πῦρ· ἀνώνυμον γὰρ τὸ κοινὸν ἐπὶ πάσης τῆς καπνώδους διακρίσεως· ὅμως δὲ διὰ τὸ μάλιστα πεφυκέναι τὸ τοιοῦτον ἐκκαίεσθαι τῶν σωμάτων οὕτως ἀναγκαῖον χρῆσθαι τοῖς ὀνόμασιν.

Ἐδιδάξαμεν ἤδη, τίς ἡ τῶν πέντε τοῦ κόσμου στοιχείων ἐστὶ πρὸς ἄλληλα θέσις τε καὶ τάξις. τὸ αὐτὸ δὲ τοῦτο πάλιν καὶ ἐκ τῶν νῦν δεδειγμένων περὶ τῆς γενέσεως τῶν δύο τούτων ἀναθυμιάσεων συλλογίζεται. ὡς γὰρ ἔφθη προειπών, εἰδέναι δέον ἐστὶν ὡς ὃν λόγον ἔχουσι πρὸς ἄλληλα τὰ μέρη τῶν στοιχείων ἐν τῇ εἰς ἄλληλα μεταβολῇ, τοῦτον ἔχειν καὶ τὰς ὁλότητας αὐτῶν πρὸς ἀλλήλας ἀνάγκη. πρῶτον μὲν γάρ ἐστι καὶ ἐξώτατον πάντων τὸ ἐγκύκλιον σῶμα. ἐπειδὴ γὰρ τῇ τούτου κινήσει τὰ ἐντὸς μεταβάλλει, πᾶν δὲ σῶμα ποιοῦν εἰς ἕτερον ἁπτόμενον αὐτοῦ ποιεῖ, ἀνάγκη τὸ κυκλοφορούμενον εἰς πάντα τὰ λοιπὰ ποιεῖν μέλλον περιέχειν ἐντὸς ἅπαντα, ἵνα καὶ εἰς αὐτὰ δρῴη πανταχόθεν αὐτῶν | ἁπτόμενον, κἀκεῖνα 89v
μὴ διαφεύγῃ τὸ ἐξ αὐτοῦ πάθος. κἂν γὰρ μὴ ἀμέσως πάντων ἅπτηται, ἀλλὰ διὰ τῶν προσεχεστέρων εἰς τὰ ἐφεξῆς ποιεῖ. τούτου δεύτερον ἐφεξῆς ἐστι τὸ θερμὸν σῶμα καὶ ξηρόν, οἷον ἔφαμεν εἶναι καὶ τὸ ἐκ τῆς γῆς ἀναθυμιώμενον· διὰ γὰρ τὴν κουφότητα πᾶσά ἐστιν ἀνάγκη τῶν ἄλλων αὐτὸ τριῶν ὑπεράλλεσθαι. τοῦτο δέ, φησί, πῦρ ὀνομάζομεν· καίτοι πῦρ οὐκ ἔστιν, ὡς καὶ πρότερον εἶπε· κυρίως γάρ ἐστι πῦρ, ὅταν ὑπερεξαφθῇ καὶ γένηται φλόξ. ἀλλ' ἐπειδὴ τὸ θερμὸν καὶ ξηρὸν κοινόν ἐστιν ἐπὶ τῶν τοιούτων ἁπάντων, τοιαύτη δὲ καὶ ἡ φλὸξ καὶ τὸ πνεῦμα καὶ ἡ καπνώδης ἀναθυμίασις καὶ ταύτης αἱ ποικίλαι διαφοραὶ ποσότητι διακρινόμεναι καὶ τάξει τῶν μερῶν, ἐξ ὧν καὶ τὰ διάφορα πάθη τῶν ἐν τῷ ὑπεκκαύματι συνισταμένων γίνεται, τούτοις δὲ πᾶσι κοινὸν οὐ κεῖται ὄνομα, διὰ τοῦτο τὸ γένος ὀνομάζειν εἰώθασιν ἐκ τοῦ γνωριμωτέρου ἡμῖν τὸ τοιοῦτον ὅλον προσαγορεύοντες σύστημα· ἢ ὅτι καὶ δυνάμει πῦρ ἐστι τὸ ὑπέκκαυμα· μικρᾶς γὰρ αἰτίας τυχὸν εὐθὺς ἐκκαίεται. ὁ δὲ Ἀριστοτέλης κυριωτέραν τῷ κοινῷ τούτῳ τῷ μήπω ἐκφλογωθέντι θερμῷ καὶ ξηρῷ προσηγορίαν ἐπενόησε πρέπουσαν, ὑπέκκαυμα καλέσας αὐτὸ ὡς ἐπιτήδειον ἀπὸ μικρᾶς αἰτίας ῥᾳδίως ἐκκαίεσθαι, καὶ ταύτην ἐκ τῶν παρ' ἡμῖν τὴν προσηγορίαν λαβών· ὑπεκκαύματα γὰρ καλοῦμεν ἡμεῖς τὰ λεπτὰ καὶ φρυγανώδη καὶ ὅσα πρὸς ῥᾳδίαν ἕξαψίν ἐστιν ἐπιτήδεια. ἐπεὶ οὖν καὶ ἡ καπνώδης αὕτη καὶ πνευματώδης ἀναθυμίασις καὶ ὅλον ἐκεῖνο τὸ πρὸς τῇ σελήνῃ τοιοῦτόν ἐστιν, εἰκότως αὐτὸ ὑπέκκαυμα προσηγόρευσεν.

4 πρῶτον μὲν γὰρ Arist. 12 προσειπών Ma 17 μέλλοντα MV 20 διὰ om. a
23 ὑπερβάλλεσθαι a 24 ἐξαφθῇ Ma 30 τὸ ante γένος om. M 36 λαβόν a
38 τὸ om. M πρὸς τὴν σελήνην a

p. 341ᵇ18 Δεῖ δὲ νοῆσαι τὸ ὑπέκκαυμα τοῦτο, ὃ νῦν εἴπομεν 89v
πῦρ, περιτετάσθαι τῆς περὶ τὴν γῆν σφαίρας ἔσχατον, ὥστε
μικρᾶς κινήσεως τυχὸν ἐκκαίεσθαι πολλάκις ὥσπερ τὸν καπνόν·
ἔστι γὰρ ἡ φλὸξ πνεύματος ξηροῦ ζέσις. ἐὰν οὖν μάλιστα εὐ-
καίρως ἔχῃ ἡ τοιαύτη σύστασις, ὅταν ὑπὸ τῆς περιφορᾶς κι-
νηθῇ πως, ἐκκαίεται.

Τοῦτο, φησί, τὸ κοινότερον ὅπερ ἡμεῖς ὑπέκκαυμα προσηγορεύσαμεν διὰ τὸ μὴ εὑρεῖν αὐτῷ παρὰ τοῖς παλαιοῖς κείμενον ὄνομα (πῦρ γὰρ μόνην τὴν φλόγα προσαγορεύουσι), δεῖ νοεῖν ἔσχατον περιτετάσθαι πάσης τῆς περὶ γῆν σφαίρας· αὕτη δέ ἐστιν ὅλον τὸ μετὰ τὴν σελήνην, ἐν ᾧ πᾶσα γένεσίς ἐστι καὶ φθορά. μία γὰρ ἐκ τῶν τεσσάρων στοιχείων ναστὴ γίνεται σφαῖρα· ἐν μὲν γὰρ τοῖς κοιλώμασι τῆς γῆς συνερρυηκὸς τὸ ὕδωρ μίαν ἅμα τοῖς πέρασιν αὐτῆς ἐποίησεν ἐπιφάνειαν, μετὰ δὲ ταύτην ὁ μεταξὺ τῆς τῶν ὀρῶν ἐπαναστάσεως λιμνάζων ἀὴρ πάλιν ἑτέραν ἅμα ταῖς κορυφαῖς αὐτῶν ἀπετέλεσεν ἐπιφάνειαν· τὸ δὲ μετὰ τοῦτο πᾶν ἔκ τε τοῦ λοιποῦ ἀέρος συνεστὸς καὶ τοῦ ὑπεκκαύματος συσχηματιζόμενον τῇ κοίλῃ τῆς σεληνιακῆς σφαίρας ἐπιφανείᾳ μίαν τῶν ἐντὸς ἁπάντων σωμάτων ναστὴν σφαῖραν εἰργάσατο, καὶ δῆλον ὡς ἁπτομένων τῶν μορίων αὐτῆς καὶ μίαν ἐχόντων συνέχειαν. τοῦτο οὖν τὸ ἔσχατον τῆς σφαίρας ταύτης, ὃ καλοῦμεν ὑπέκκαυμα, περιτεταμένον ἅπασι τοῖς ἐντὸς καὶ τῶν κυκλοφορουμένων ἀμέσως ἁπτόμενον σωμάτων εἰ μικρᾶς ἀπὸ τῆς κινήσεως αὐτῶν αἰτίας τύχοι, εὐθὺς ἐξάπτεται καὶ γίνεται πῦρ. καὶ τούτου τὸν καπνὸν πίστιν ἐπάγεται· καὶ γὰρ οὗτος ξηρὸς ὢν καὶ θερμὸς εἰ πυρὸς τύχοι γειτνιάζοντος, ῥᾳδίως ἐξάπτεται. εἰ γὰρ λύχνον ἐσβεσμένον καὶ ἔτι καπνίζοντα ὑποθείης ἄλλῳ καιομένῳ οὕτως, ὡς τὸν ἀνιόντα καπνὸν ὁμιλεῖν τῇ φλογὶ τοῦ καιομένου λύχνου, ὄψει τὸν καπνὸν ἐξαπτόμενον ἄνωθεν καὶ τὴν φλόγα κατὰ συνέχειαν δι' αὐτοῦ κάτω φερομένην, μέχρις ἂν αὐτὴν ἐξάψῃ τὴν θρυαλλίδα τοῦ σβεσθέντος λύχνου. καὶ δαλὸν δὲ καπνίζοντα εἰ μικρὸν ἐγγυτέρω θείης πυρὸς οὕτως, ὥστε τὸν καπνὸν ἐπὶ τὴν φλόγα παρακλίνειν, τὸ αὐτὸ πάλιν ὄψει γινόμενον, καὶ τὸν καπνὸν ἐξαπτόμενον καὶ τὸν δαλὸν συνεξάπτοντα. ἀλλ' εἰ καὶ τὸν δαλὸν περιστρέφων κινήσαις, σφοδρότερον τὸ αὐτὸ περισταίη τῇ κινήσει τοῦ πνεύματος ἐξαπτόμενος. εἰ οὖν ἐκ τῆς καπνώδους ἀναθυμιάσεως συνέστηκε τὸ ὑπέκκαυμα, πῶς οὐκ ἀνάγκη καὶ τοῦτο δι' ἡντινοῦν αἰτίαν κινήσεως τυχὸν τοῦ συνήθους σφοδροτέρας ἐξάπτεσθαι; ἔστι γὰρ ἡ φλὸξ πνεύματος ξηροῦ ζέσις. εἰ γὰρ τὸ πνεῦμα ξηρόν ἐστι καὶ θερμόν, τοιαύτη δὲ καὶ ἡ φλὸξ ἐπιτεταμένας ταύτας ἔχουσα τὰς ποιότητας, εἰκότως ἐξ οἵας δή ποτε ἐμπιπτούσης αἰτίας ἐκζέσειε τὸ πνεῦμα, φλὸξ γίνεται. ὥστε ὑπέκκαυμα τοῦ πυρός ἐστι τὸ πνεῦμα. ταὐτὸν δ' εἰπεῖν ἡ

1 δὲ] δὴ V, sed supr. scr. δὲ V¹ τὸ] οἷον Arist. 4 ἐὰν Ma ex ἢ ἂν corr. V¹: ἢ ἂν Arist. 9 πᾶσι a 11 ἐκ scripsi: ἐστὶ libri 14 ὀρῶν] ὡρῶν MV 17 ναστὴν—ὃ καλοῦμεν (19) om. a 20 περιτεταμμένον a 23 θερμὸς ex corr. V 25 οὕτως] οὗτος V 26 ὄψει—λύχνου (28) om. a 31 κινῆσαι V

καπνώδης ἀναθυμίασις. [τὸ δὲ κῶλον ἰάμβου μέτρον ἐπλήρωσεν.] ἐὰν 89v
οὖν μάλιστα εὐκαίρως ἔχῃ ἡ τοιαύτη σύστασις, ὅταν ὑπὸ τῆς
περιφορᾶς κινηθῇ πως, ἐκκαίεται. ἀντιπίπτοντος λύσις ἐστὶ τὸ προ-
κείμενον. ἠπόρησε γάρ ἄν τις, εἰ ὅλον τῆς αὐτῆς φύσεώς ἐστι τὸ ὑπέκ-
5 καυμα (πνεῦμα γάρ ἐστι θερμὸν καὶ ξηρὸν ἡ καπνώδης ἀναθυμίασις, ἥτις 45
ἐστὶν ὕλη πυρός), ἀλλὰ καὶ τὸ ποιητικὸν ἕν ἐστι καὶ ταὐτὸν ἡ τῶν οὐρανίων
κίνησις, καὶ μία ἐστὶν αὕτη καὶ ὁμαλὴ ἀεί, διὰ τί τὸ μὲν ἐξάπτεται τοῦ
ὑπεκκαύματος μόριον, τὸ δὲ οὔ, καὶ ἄλλοτε ἄλλο τοῦτο πάσχει. φησὶν οὖν
ὡς οὐ παρὰ τὸ ποιητικὸν αἴτιον τὴν κυκλοφορίαν ἡ ἀνωμαλία τούτων ἐστίν,
10 ἀλλὰ παρὰ τὸ ὑλικόν· ὃ γὰρ ἂν τούτου μόριον ἐπιτηδείως ἔχῃ πρὸς ἔκ-
καυσιν, τοῦτο τῇ κινήσει τοῦ περιέχοντος ἐκφλογοῦται· οὐδὲ γὰρ ἀπαθὲς
τὸ ὑπέκκαυμα οὐδ' ἀναλλοίωτόν ἐστιν, ἀλλὰ καὶ λίαν εὐπαθὲς διὰ τὴν 50
λεπτομέρειαν. καὶ γὰρ τῶν ἡμετέρων μορίων ἄλλοτε ἄλλο θερμαίνεται,
καὶ τὸ μὲν ἀσθενῆσαν δι' ὀτιοῦν ἐπιρρεῖ τε καὶ φλεγμαίνει. τὸ δὲ ἐρρω-
15 μένον καὶ τὸ ἐπιὸν ἀπωθεῖται ῥεῦμα. τί οὖν ξένον, εἰ καὶ τὰ τοῦ ὑπεκ-
καύματος μόρια τὸ αὐτὸ τοῦτο πάσχει, καὶ ἄλλοτε ἄλλο τούτου μέρος ἐκ-
φλογοῦται διὰ τὰς ἐκ τῆς γῆς ἀναθυμιάσεις πλείους ποτὲ γινομένας ἢ διὰ
τὸ μανοῦσθαι τυχὸν ἢ πυκνοῦσθαι μᾶλλον, ἢ διὰ τὸ τῇ κινήσει πολλάκις
ἀπορραγέν τι | μόριον τῆς συνεχείας τοῦ ὅλου καὶ οἷον ἐξακοντιζόμενον ἐκ- 90r
20 φλογοῦσθαι ἢ διά τινας ἑτέρας τοιαύτας αἰτίας. καὶ μάνωσις γὰρ ἔσθ' ὅτε
καὶ πύκνωσις τὰ ὑποκείμενα ποιεῖ πρὸς ἕψιν ἐπιτήδεια. πυκνοῦται δὲ
τὸ ὑπέκκαυμα ἢ διὰ τὴν ὑγρότητα τοῦ ὑποκειμένου ἀέρος ἢ διὰ τὸ πολλὴν
γίνεσθαι κάτωθεν ἀναθυμίασιν πιλούμενον, ἢ διὰ τὴν τοῦ ἡλίου ἀπόστασιν
ἄλλοτε ἐξ ἄλλου μέρους αὐτοῦ γινομένην. ἀλλὰ καὶ μανότερον ἔσθ' ὅτε 5
25 γίνεται ἤτοι πάλιν διὰ τὴν τοῦ περιὸς κίνησιν θερμαινόμενον ἔτι ἢ διὰ τὸ
πλησιάζειν αὐτῷ τὸν ἥλιον. οὔτε δὲ τὰ κατάξηρα λίαν ἐξάπτεται, οἷά ἐστι
τὰ σεσηπότα τῶν ξύλων, οὔτε τὰ λίαν ὑγρά, ὡς τὰ νεωστὶ τετμημένα. καὶ
ἡ πυκνότης δὲ πολλάκις οὐ ῥᾳδίαν ποιεῖ τὴν ἕψιν καὶ τοὐναντίον ἡ μανό-
της οὖσα πολλή. οὔτε γὰρ σπόγγος ἐξάπτεται ῥᾳδίως οὔτε φελλὸς οὔτε
30 ἔβενος ἢ ἐλέφας, τὰ μὲν διὰ τὴν πύκνωσιν, τὰ δὲ διὰ τὴν μάνωσιν πολλὴν
οὖσαν. πάσχει δὲ τοῦτο τὰ συμμέτρως καθ' ἑκάστην τούτων ἔχοντα τῶν 10
ποιοτήτων πρὸς ἕψιν. αὕτη μὲν οὖν ἡ αἰτία τῶν ἐν τῷ ὑπεκκαύματι
συνισταμένων παθημάτων· τὰς δὲ τούτων διαφορὰς αὐτὸς ἐφεξῆς διδάσκει,
λέγω δὴ φλογῶν καὶ δαλῶν καὶ αἰγῶν καὶ διαττόντων.

35 p. 341b24 Διαφέρει δ' ἤδη κατὰ τὴν τοῦ ὑπεκκαύματος θέσιν ἢ
τὸ πλῆθος· ἐὰν μὲν γὰρ πλάτος ἔχῃ καὶ μῆκος τὸ ὑπέκκαυμα,
πολλάκις ὁρᾶται καιομένη φλὸξ ὥσπερ ἐν ἀρούρᾳ καιομένης
καλάμης, ἐὰν δὲ κατὰ μῆκος μόνον, οἱ καλούμενοι δαλοὶ καὶ 15

1 τὸ δὲ κῶλον—ἐπλήρωσεν inepte add. librarius nescio quis 3 ἐκκαίεται] ἑκάτερα MV
6 ἕν ἐστι] ἔνεστι a 8 πάσχειν Ma 10 ἔχει Ma 20 τοιαύτας αἰτίας om. V
23 ἀπόσταν a 26 αὐτοῦ V 35 δ' ἤδη] δὲ δὴ Ma: οὖν δὴ Arist. E
38 δαλοί τε καὶ Ma

αἶγες καὶ ἀστέρες. ἐὰν μὲν οὖν πλέον τὸ ὑπέκκαυμα ἢ κατὰ τὸ 90r
μῆκος ἢ τὸ πλάτος, ὅταν μὲν οἷον ἀποσπινθηρίζῃ ἅμα καιό-
μενον (τοῦτο δὲ γίνεται διὰ τὸ παρεκπυροῦσθαι κατὰ μικρὰ
μέν, ἐπ' ἀρχὴν δέ) αἴξ καλεῖται, ὅταν δ' ἄνευ τούτου τοῦ
πάθους, δαλός.

Δῆλον ἐκ τῶν προκειμένων ὅτι μὴ τὸ ποιητικὸν αἴτιον, τουτέστιν ἡ κυκλοφορία τῶν οὐρανίων, αἰτία ἐστὶ τῆς διαφορᾶς τῶν ἐν τῷ ὑπεκκαύματι γινομένων παθῶν (μία γάρ ἐστιν αὕτη καὶ ἀπαράλλακτος ἀεί), ἀλλ' ἡ ὕλη καὶ τὸ ὑποκείμενον, τουτέστιν ἡ ἐκεῖσε ἀναφερομένη ἀναθυμίασις καὶ ταύτης τό τε πλῆθος καὶ ἡ σμικρότης καὶ τὸ συνεχὲς αὐτῆς ἢ διεσπασμένον ἥ τε κατὰ μῆκος θέσις ἢ πλάτος ἢ βάθος καὶ ἡ πρὸς ἄλληλα τούτων σχέσις. μῆκος μὲν οὖν τινες λέγειν αὐτὸν ἀκηκόασι τὴν ἐξ ἀνατολῶν ἐπὶ δύσιν αὐτῆς διάστασιν, πλάτος δὲ τὴν ἐπὶ βορρᾶν καὶ νότον. ἀκόλουθον δ' ἂν εἴη τούτοις καὶ βάθος εἶναι τὴν ἐπὶ τὸ ἄνω καὶ κάτω θέσιν αὐτῆς, τουτέστι τὴν ἐπὶ τὸ μέσον καὶ τὸ πέριξ· ἀλλ' ἐπειδήπερ οὔτε Ἀριστοτέλης φαίνεται τῇ διαστολῇ ταύτῃ χρώμενος οὔτε Ἀλέξανδρος, μήποτε δυνατὸν μῆκος μὲν ἀκούειν τὴν μείζονα διάστασιν ἁπλῶς, ὅπως ἂν ἔχῃ θέσεως, εἴτε ἐπὶ νότον εἴη καὶ βορρᾶν εἴτε ἐπ' ἀνατολὴν καὶ δύσιν, εἴτε ἐπὶ τὸ ἄνω καὶ κάτω εἴτε ὁπωσοῦν ἔχει πρὸς ταῦτα λελοξωμένη τὰ διαστήματα. καὶ γὰρ λίθων καὶ ξύλων καὶ ὕδατος, ὡς ἐπὶ ποταμῶν, καὶ πάντων ἁπλῶς ὅσα μὴ φυσικῷ μεμόρφωται σχήματι ἢ τεχνητῷ, τὴν μὲν μείζονα διάστασιν μῆκος λέγομεν, τὴν δὲ παρ' ἑκάτερα τῆς ἐπιφανείας τοῦ μήκους ἐπὶ δεξιά τε καὶ ἀριστερὰ πλάτος, τὰ δὲ λοιπὰ βάθος, ἥτις οὐδὲ ταῖς ὄψεσιν ἡμῶν ὑποπέπτωκε πάντως, εἰ μὴ διαφανὲς εἴη τὸ σῶμα. εἰ γὰρ μῆκος ἀκουσόμεθα τὸ ἐπὶ δύσιν καὶ ἀνατολὴν διάστημα, τὸ ἐπὶ νότον καὶ βορρᾶν πλάτος, ἐνδεχόμενον δέ ἐστι μείζονα εἶναι ταύτην τῆς ἑτέρας, καὶ τὴν κατὰ βάθος τῶν λοιπῶν δύο, τὴν δὲ κατὰ τὸ μῆκος μείζονα διάστασιν δαλὸν ὀνομάζει. ἔδει καὶ τῇ κατὰ πλάτος μείζονι ἕτερον ὄνομα θεῖναι καὶ τῇ κατὰ βάθος πάλιν ἄλλο. νῦν δὲ τοιοῦτον εἶπεν οὐδέν· μῆκος ἄρα τὴν μείζονα διάστασιν ἀκουστέον, ὅπως ἂν ἔχῃ θέσεως. τί οὖν περὶ τούτων φησίν; ὡς ὅταν κατά τε μῆκος καὶ πλάτος πολλή τις οὖσα ἡ ἀναθυμίασις ἐξαφθῇ, τοῦτο καλεῖται φλόξ· ἔοικε γὰρ ἐν ἀρούρᾳ καιομένῃ καλάμῃ πανταχόθεν ἢ σωρείᾳ ξύλων ἢ ἕλει πανταχόθεν ἐμπιπρωμένοις. ἐὰν δὲ μῆκος μὲν ἔχῃ πολύ, τὸ πλάτος δὲ ὀλίγον, δαλὸς ὀνομάζεται, φησίν· ἔοικε γὰρ δαλῷ ἑνὸς καὶ μόνου ξύλου καθ' ὅλον αὐτοῦ τὸ μῆκος· καὶ τούτου γὰρ τὸ μὲν μῆκος πολύ, τὸ δὲ πλάτος ὀλίγον. ἐὰν δὲ ὁ δαλὸς οὗτος καὶ ἀποσπινθηρίζῃ, τῶν σπινθήρων, τουτέστι τῶν παρ' ἑκάτερα μικρῶν ἐκπυρώσεων αὐτοῦ μὲν ἐξημμένων καὶ

1 ἐὰν μὲν οὖν V Arist. N: καὶ ἐὰν μὲν Ma Arist. vulg. πλεῖον V 2 οἷον om. M 4. 5 ἄνευ τούτου πάθος Ma 10 αὐτῆς] αὐτὸς M 11 θέσεις M 19 καὶ τὸ κάτω M 21 μὴ] μὴν a 23 exspectas τὴν δὲ λοιπὴν 27 ὀνομάζει scripsi: ὀνομάζειν libri 28 τῇ prius ex τὴν corr. V: τὴν Ma μείζονι ex μείζονα corr. V: μείζονα M ἕτερον] ἑτέρῳ Ma θῆναι M τῇ] τὸ Ma 30 ἔχει a 37 μικρῶν scripsi: μικρῷ libri

οἷον ἐκκρεμῶν οὐσῶν αὐτοῦ, ἀλλήλων δὲ διακεκριμένων καὶ μὴ συνεχῶν, 90r
ὡς ἐπὶ κλάδου φοίνικος ἔχουσιν οἱ θαλλοί (τοῦτο γάρ ἐστι τὸ παρεκ-
πυροῦσθαι κατὰ μικρὰ μέν, ἐπ' ἀρχὴν δέ, τουτέστι συνημμένως
τῇ ἀρχῇ) αἷς τὸ τοιοῦτον σχῆμα τῆς ἀναθυμιάσεως τῆς καιομένης καλεῖται.
5 καὶ γὰρ οἱ τῆς αἰγὸς μαλλοὶ διεστηκότες ἀλλήλων ἐκκρεμεῖς εἰσι καὶ
ἀπηωρημένοι τῆς αἰγός. τοῦτο δὲ γίνεται, φησίν, ὅταν ἑκατέρωθεν τῆς 15
κατὰ τὸ μῆκος ἐκτεταμένης ἀναθυμιάσεως μικραί τινες πλησίον αὐτῆς,
ἀλλὰ καὶ ἀλλαχοῦ παρεσπαρμέναι τύχωσιν ἀναθυμιάσεις τοιαῦται. καιο-
μένου γὰρ τοῦ δαλοῦ, καὶ τούτων διὰ τὴν πλησιότητα κατὰ μέρος ἐξαπτο-
10 μένων, οἷον ἀποσπινθηρίζειν δοκεῖ ὁ δαλός, καὶ ἀπηωρημένας ἔχειν αὐτὰς
διὰ τὸ μὴ ἀλλήλαις εἶναι συνεχεῖς· ἐξ οὗ καὶ τῆς ἐπωνυμίας ἔτυχε τῆς
αἰγός. ἆρ' οὖν ἐπὶ τὸ δυτικὸν μὲν καὶ ἀνατολικὸν ἐκτετάσθαι τὴν ἀνα-
θυμίασιν δυνατόν, ἐπὶ δὲ τὸ βόρειον καὶ νότιον οὐκέτι; οὐδὲ τὰς παρεσπαρ- 50
μένας ἑκατέρωθεν αὐτῆς ἐπ' ἀνατολὴν εἶναι καὶ δύσιν, ἐπὶ τὸ βόρειον δὲ
15 καὶ νότιον οὐδέποτε; ἀλλ' ἀποκληρωτικὸν τοῦτο καὶ παντελῶς ἄλογον,
ἀτάκτου τῆς ὕλης ταύτης οὔσης καὶ ἄλλοτε ἄλλως ἀναφερομένης. μῆκος
ἄρα λέγει τὸ μεῖζον καὶ μόνον, ὅπως ἂν ἔχῃ, τῆς ἀναθυμιάσεως διάστημα,
καθάπερ εἰπόντες ἔφθημεν.

p. 341b 32 Ἐὰν δὲ τὰ μήκη τῆς ἀναθυμιάσεως κατὰ μικρά τε καὶ
20 πολλαχῇ διεσπαρμένα ᾖ καὶ ὁμοίως κατὰ | πλάτος καὶ κατὰ 90v
βάθος, οἱ δοκοῦντες ἀστέρες διάττειν γίνονται. ὁτὲ μὲν οὖν
ὑπὸ τῆς κινήσεως ἡ ἀναθυμίασις ἐκκαιομένη γεννᾷ αὐτά, ὁτὲ
δὲ ὑπὸ τοῦ διὰ τὴν ψῦξιν συνισταμένου ἀέρος ἐκθλίβεται καὶ
ἐκκρίνεται τὸ θερμόν, διὸ καὶ ἔοικεν ἡ φορὰ ῥίψει μᾶλλον
25 αὐτῶν, ἀλλ' οὐκ ἐκκαύσει.

Περὶ τῆς τῶν διαττόντων ἐν τούτοις ὁ λόγος γενέσεως. τὴν μὲν οὖν
ὑλικὴν αἰτίαν αὐτῶν νῦν ἀπήγγειλεν, ὡς δεῖ τὴν ἀναθυμίασιν ἐξ ἧς γίνονται 5
μὴ εἶναι συνεχῆ, ἀλλὰ κατὰ μικρὰ διεσπασμένην κατὰ μῆκος καὶ πλάτος
καὶ βάθος, τουτέστι κατὰ πᾶσαν τοῦ τόπου διάστασιν, ἐν ᾧ γίνονται. τὸν
30 δὲ τρόπον τῆς γενέσεως αὐτῶν εἶναί φησι διττόν, τὸν μὲν κατὰ ἔκκαυσιν
τῆς τοιαύτης ὕλης ἐκ τῆς περιφορᾶς δηλονότι τῶν οὐρανίων γινομένην, τὸν
δὲ κατ' ἔκθλιψιν αὐτῆς καὶ ἐκπυρήνισιν οἱονεὶ ῥιπτομένης. ἵνα δὲ σαφῆ
τὰ λεγόμενα γένοιτο, θεωρητέον οὕτω τὸ συμβαῖνον. ἀνάγκη τὴν ξηρὰν
ἀναθυμίασιν κάτωθεν ἄνω φερομένην ἢ μέχρι τῆς ἰδίας ὁλότητος, λέγω 10
35 τοῦ ὑπεκκαύματος, ἀφικνεῖσθαι (τοῦτο γὰρ αὐτῇ τῆς κινήσεως πέρας) ἢ
κατωτέρω μένειν κωλυομένην εἰς τὸ πρόσω χωρεῖν, ψυχροῦ καὶ διὰ τοῦτο
πεπυκνωμένου προϋπαντῶντος ἀέρος καὶ δίοδον αὐτῇ μηδεμίαν ἐπὶ τὸ ἀνω-

1 καὶ μὴ—συνημμένως (3) om. M 13 ἐπὶ] ἐπεὶ a οὐδὲ] exspectas ἢ 20. 21 καὶ κατὰ βάθος V Arist. HN: κατὰ om. Ma Arist EF 21 et 22 ὅτε Ma 21 μὲν οὖν] οὖν om. M: δὲ a 23. 24 ἐκθλίβεται καὶ ἐκκρίνεται MVa Arist. FHN: ἐκκρούεται καὶ ἐκθλίβεται Arist. E 25 ἀλλ' om. Ma 30 αὐτῶν] αὐτὸν a 31 γινομένην ex γινομένων corr. M 32 ἐκπυρήνησιν a 36 τὸ om. V

τέρω παρέχοντος. ἡ μὲν οὖν μέχρι τοῦ ὑπεκκαύματος φερομένη καὶ 90v
κατὰ μικρὰ διεσπασμένη, καθάπερ Ἀριστοτέλης ὑπέθετο, τοὺς κατ' ἔκκαυσιν
ποιεῖ διάττοντας, οὐδέποτε δὲ τοὺς κατ' ἔκθλιψιν· μανότερον γὰρ αὐτῆς 15
ἐστι τὸ ὑπέκκαυμα, διόπερ οὐδὲ βίᾳ καὶ παρὰ φύσιν συνέχεται ὑπ' αὐτοῦ,
5 ὡς διὰ τὴν θλῖψιν ἐκπυρηνίζεσθαι· ἡ δὲ κάτω καὶ ἐν τῷ ἀέρι διὰ τὴν
εἰρημένην αἰτίαν ὑπομένουσα τοὺς κατ' ἔκθλιψιν καὶ ἐκπυρήνισιν γινομένους
ποιεῖ διάττοντας. πρῶτον δὲ πῶς οἱ κατ' ἔκκαυσιν γίνονται τεχνολογή-
σαντες, ὕστερον καὶ περὶ τῶν λοιπῶν ἐροῦμεν. τῆς γὰρ ἐν τῷ ὑπεκκαύ-
ματι γενομένης καπνώδους ἀναθυμιάσεως διεσπασμένης, ὡς εἴρηται, κατὰ
10 μικρὰ μέρη καὶ μὴ οὔσης συνεχοῦς, ἐπειδὰν ἡ τοῦ παντὸς περιφορὰ τὸ 20
ἐπιτηδείως ἔχον αὐτῆς τῇ κινήσει θερμαινόμενον ἐξάψῃ, τοῦτο τὸ ἐξαφθὲν
τῷ πλησιάζοντι μεταδίδωσι καὶ ἐκκαίει αὐτό, κἀκεῖνο τὸ μετ' αὐτό, καὶ
οὕτως ἐφεξῆς, τοῦ ἐξάψαντος ἀεὶ σβεννυμένου, ἕως ἂν μηκέτι ᾖ τὸ ἐπιτη-
δείως ἔχον ἐκκαίεσθαι· καὶ οὕτω τὴν φαντασίαν ποιεῖ τῆς διαδρομῆς.
15 οὐδὲ γὰρ μία φλὸξ ἐστι κινουμένη, ἀλλ' ὅπερ ἐπὶ τῶν λύχνων συμβαίνει,
καθάπερ ἔφθημεν εἰπόντες, ὅταν ὑποθῶμεν τὸν ἄρτι σβεσθέντα καὶ καπνί-
ζοντα τῷ καιομένῳ, ἡ μέχρι τῆς φλογὸς φερομένη λιγνὺς κατὰ μέρος ἐξ- 25
άπτεται καὶ τὸ συνεχὲς αὐτῇ τοῦ καπνοῦ μόριον ἐξάπτει, σβεννυμένης ἀεὶ
τῆς πρώτης καὶ ἀπομαραινομένης διὰ τὴν λεπτότητα, κἀκεῖνο τὸ μετ' αὐτὸ
20 ἐξάπτει οὕτω, καὶ ἐφεξῆς τοῦτο γίνεται μέχρι τῆς θρυαλλίδος, καὶ πρόδηλον
ὡς οὐκ ἔστι μία φλὸξ καὶ ἡ αὐτὴ ἄνωθεν φερομένη κάτω, ἀλλ' ὡς εἶπον,
ἄλλοτε ἄλλο τοῦ καπνοῦ μέρος ἐξάπτεται, τοῦ ἐξάπτοντος εὐθὺς ἀποσβεννυ-
μένου διὰ τὴν τοῦ καπνοῦ μανότητα στέγειν ἐπὶ πολὺ τὴν φλόγα μὴ
δυναμένου, δυομένου δὲ παντελῶς, ὥσπερ οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ 30
25 τοῦ διάττοντος γίνεται, ὡς εἶπον· καὶ διὰ τοῦτο ῥᾳδίως ἐξαπτομένης τε καὶ
ἀποσβεννυμένης τὸ πρῶτον ἐξ ἀμφοῖν μεταδίδωσι τῷ μετ' αὐτὸ καὶ ἀπο-
σβέννυται λυομένης αὐτοῦ τῆς ὕλης, καὶ τὸ δεύτερον ὁμοίως τὸ μετ' αὐτὸ
τρίτον ἐξάπτον ἀπομαραίνεται· καὶ τοῦτο γίνεται κατὰ συνέχειαν, ἕως ἂν
μηκέτι μόριον τῆς ἀναθυμιάσεως εὑρεθῇ πρὸς ἐκφλόγωσιν ἐπιτήδειον. συν-
30 εχῶς οὖν τοῦ μὲν ἀποσβεννυμένου τοῦ δὲ ἐξαπτομένου, μία καὶ ἡ αὐτὴ 35
φλὸξ διατρέχειν δοκεῖ. τὸ αὐτὸ γίνεται καὶ εἰ χάρτου ἰνάριον λεπτὸν καὶ
μακρὸν θεωρήσειας ἐξαπτόμενον ἢ στυπεῖον ὁμοίως λεπτὸν ἐπὶ μῆκος κεί-
μενον ἤ τι τοιοῦτον ἕτερον· καὶ ἐπὶ τούτων γὰρ οὐ μία φλὸξ ἐστιν ἀπ'
ἀρχῆς μέχρι τέλους διήκουσα, κατὰ μέρος δὲ τοῦ μὲν ἐξαπτομένου τοῦ
35 δὲ σβεννυμένου μία εἶναι δοκεῖ· διὰ ⟨δὲ⟩ τὴν ἐξ ἄλλου μορίου εἰς ἄλλο
μετάβασιν τῆς ἐξάψεως διατρέχειν ἡ μία δοκεῖ. ἀλλ' ἐπὶ μὲν τῶν ὑπο-
δειγμάτων πλησίον ὄντων ὁρᾶται σαφῶς τὸ γινόμενον, ἐπὶ δὲ τῶν διαττόν- 40
των ἡ πολλὴ τῆς ὕλης ἐξ ἡμῶν ἀπόστασις κρίνειν ἀκριβῶς τὸ συμβαῖνον
κωλύει τὴν αἴσθησιν, ὁ δὲ λόγος τοῦτο θηρεύσας ἐξεῦρε. πῶς μὲν οὖν αἱ

4 οὐδὲ βίᾳ καὶ] οὐδεμία καὶ M: οὐδὲν ἐκεῖ a ὑπ' αὐτοῖς a 6 ἐκπυρίνησιν a
7 οἱ] εἰ M 12 κἀκεῖνο—αὐτό om. V 19 αὐτὸ scripsi: αὐτὴν libri 21 ἡ αὐτὴ
scripsi: αὕτη libri 31 πινάριον a 32 μακρὸν] μικρὸν V ἢ στυπεῖον] εἴς τι
πτύον M 32. 33 ἢ στυπεῖον—κείμενον om. V 35 δὲ addidi

δοκοῦσαι διαδρομαὶ τῶν κατ' ἔκκαυσιν γινομένων διαττόντων συμβαίνουσιν, 90v
εἴρηται ἱκανῶς. ἡ δὲ ἀπ' ἄλλων ἐπ' ἄλλα διαστήματα κίνησις οὕτω γίνεται
τῆς ἀναθυμιάσεως πανταχῇ διεσπαρμένης, ὡς εἴρηται· εἰ μὲν κατὰ βάθος
εἴη τὰ μόρια ταύτης κείμενα ἐφεξῆς ἀλλήλοις, τὸ δὲ ἄνω μέρος αὐτῆς
5 ἐξαφθείη πρῶτον, ἄνωθεν ἡ φλὸξ φέρεσθαι κάτω δοκεῖ· εἰ δὲ τὸ κάτω 45
πρῶτον ἐξαφθείη, τοὐναντίον κάτωθεν ἄνω. εἰ δὲ ἐπ' ἀνατολὴν καὶ δύσιν,
τὸ δ' ἀπ' ἀνατολῆς μόριον πρῶτον ἐξαφθείη πρότερον, ἐκ τούτου πρὸς δύσιν
ἡ φορὰ γίνεται· ὁμοίως καὶ ἐπὶ βορρᾶν καὶ νότον, καὶ ὅπως ἂν εἴη λε-
λοξωμένη πρὸς ταῦτα τῶν μορίων τῆς ἀναθυμιάσεως ἡ θέσις. οἱ μὲν οὖν
10 κατὰ ἔκκαυσιν γινόμενοι διάττοντες ὅτι τε ἐν τῷ ὑπεκκαύματι γίνονται καὶ
τίς ὁ τρόπος τῆς γενέσεως αὐτῶν, εἴρηται. οἱ δὲ κατὰ ἔκκρισιν καὶ οἷον
ῥῖψιν γινόμενοι ὅλην μὲν ἔχουσι τὴν ἐν τῷ ἀέρι δι' ἣν εἶπον αἰτίαν ἐν- 50
απομείνασαν καπνώδη ἀναθυμίασιν· ὁ δὲ τρόπος ἐστὶ τῆς γενέσεως αὐτῶν
τοιοῦτος. εἴρηται ὡς αἱ δύο ἀναθυμιάσεις συμπεπλεγμέναι πως ἀλλήλαις
15 ἀνέρχονται, ἥ τε ἐκ τῶν ὑδάτων ἡ ἀτμιδώδης καὶ ἡ ἀπὸ τῆς γῆς ἡ καπ-
νώδης. ὅταν οὖν πολλῆς ἐκ τῶν ὑγρῶν σωμάτων ἀναδιδομένης ἀτμίδος
ὁ ἀὴρ ψυχθεὶς πυκνωθῇ (εἰ γὰρ καὶ τὴν ἀτμιδώδη θερμὴν εἰρήκαμεν,
ἀλλὰ τοῦ ἀέρος ἐστὶ ψυχροτέρα ὡς ἐξ ὕδατος ἀνιοῦσα, καὶ ἄλλως
εἴπερ ὁδός ἐστιν ἡ ἀτμὶς καὶ οἷον μεταίχμιον | τῆς ἐξ ὕδατος εἰς ἀέρα 91r
20 μεταβολῆς, καὶ οὔτε καθαρὸς ἀὴρ ἐστιν οὔτε ὕδωρ ἔμεινεν εἰλικρινές, διὰ
δὲ θερμότητος ἡ ἐξ ὕδατος εἰς ἀέρα μεταβολὴ γίνεται, ἀνάγκη οὖν τὸ τού-
των μεταίχμιον μήτε ψυχρὸν ὡς τὸ ὕδωρ μήτε θερμὸν ὑπάρχειν, ὡς ὁ
ἀήρ· τὸ δ' ἧττον θερμὸν τῷ μᾶλλον τοιούτῳ μιγνύμενον κολάζει τὴν τούτου
θερμότητα) ὅπερ οὖν εἶπον, ὅταν ἐκ τῆς ἀπὸ τῶν ὑδάτων πολλῆς ἀναδιδο-
25 μένης ἀτμίδος ψυχθεὶς ὁ ἀὴρ πυκνωθῇ καὶ πρὸς τούτῳ καὶ ἐξ αὐτῆς τῆς 5
τοῦ ὕδατος γειτνιάσεως συναπολαμβάνῃ τι τῆς συναναδιδομένης καπνώδους
μοίρας ἐντός, εἰς ἓν οὖν αὖτη διὰ τὴν τοῦ ἀέρος πανταχόθεν πύκνωσιν
ἔνδον συναγομένη καὶ ἠρεμεῖν, θερμή τις οὖσα καὶ πνευματώδης, οὐκ
ἔχουσα τῇ θλίψει τοῦ περιέχοντος ἐξακοντίζεται, καθάπερ οἱ ἐκ τῶν δακτύ-
30 λων ἡμῶν ἐκθλιβόμενοι πυρῆνες· εἶτα τῇ βιαίᾳ καὶ ἀθρόᾳ κινήσει συνθλι-
βόμενόν τε καὶ συνωθούμενον λοιπὸν ἐξάπτεται. ἀλλὰ διὰ τί κάτω μὲν 10
ἄνωθεν ὡς τὰ πολλὰ ῥιπτουμένη φαίνεται, ὡς καὶ εἰς γῆν τοὺς διάττοντας
πίπτειν καὶ εἰς θάλασσαν, τοὔμπαλιν δὲ κάτωθεν ἄνω σπανιώτερον; φημὶ
τοίνυν ὡς ἐδείχθη τὰ ἀνωτέρω μέρη τοῦ περὶ τὴν γῆν ἀέρος μᾶλλον ψυχό-
35 μενα διὰ τὸ εἰς ἀχανὲς ἐκεῖ τὰς ἀνακλωμένας τῶν ἀκτίνων διεστάναι· τὸν
δὲ περὶ γῆν ἐναπολαμβάνουσαι μεταξὺ διὰ τὴν πύκνωσιν τῇ κινήσει τε
καὶ παρατρίψει θερμαίνουσιν. ἀνάγκη γοῦν ἄνωθεν γινομένης τῆς πιλήσεως
διὰ τὴν ψῦξιν τὴν ἐντὸς ἀπειλημμένην πυρώδη οὐσίαν ἄνωθεν ὠθεῖσθαι 15
κάτω κἀκεῖθεν ὡς διὰ μανοτέρων ἐκκρίνεσθαι, ὥσπερ ἀμέλει τοὐναντίον οἱ
40 ἐκ τῶν δακτύλων ἐκθλιβόμενοι πυρῆνες κάτωθεν πυκνουμένων τῶν δακτύλων

7 δύσιν] ἀνατολὴν MV 18 ἀλλὰ scripsi: ἀλλ' ἢ libri ἐστὶ scripsi: ἔτι libri
20 καθαρῶς M 23 τοιούτῳ ex τοιοῦτον corr. M¹ 27 αὕτη scripsi: αὐτὴ libri
35. 36 τὴν δὲ V 39 μανωτέρων V

ἐπὶ τὸ ἄνω χωροῦσι διεστώτων ἐκεῖ μᾶλλον. ἐπὶ οὖν τῆς ἀναθυμιάσεως ἄνω- 91r
θεν τῆς ἐκθλίψεως διὰ τὴν πύκνωσιν τοῦ ἀέρος γινομένης ἀνάγκη πᾶσα
κάτω ταύτην ἐκπυρηνίζεσθαι. διὸ καὶ εἰς γῆν, ὡς εἴπομεν, οἱ διάττοντες
καὶ εἰς θάλασσαν φαίνονται πίπτοντες, ἀλλὰ διὰ τὴν λεπτομέρειαν τῆς 20
5 οὐσίας αὐτῶν εὐθὺς ἀποσβέννυνται. οὐκ ἀδύνατον δὲ καὶ τοῦ κάτω μέρους
μᾶλλον πυκνωθέντος ἄνω ῥίπτεσθαι τὴν ἐναπειλημμένην ἀναθυμίασιν· τοῦτο
δὲ σπανιώτερον γίνεται διὰ τὴν εἰρημένην αἰτίαν. τίνος δὲ χάριν ὡς ἐπὶ
τὸ πλεῖστον ἐπὶ τὰ πλάγια ῥιπτούμενοι φαίνονται, τοῦ φιλοσόφου λέγοντος
ἀκουσόμεθα.

10 p. 342a3 Ἀπορήσειε γὰρ ἄν τις, πότερον ὥσπερ ἡ ὑπὸ τοὺς
λύχνους τιθεμένη ἀναθυμίασις ἀπὸ τῆς ἄνωθεν φλογὸς ἅπτει τὸν 25
κάτωθεν λύχνον (θαυμαστὴ γὰρ καὶ τούτου ἡ ταχυτής ἐστι καὶ
ὁμοία ῥίψει, ἀλλ' οὐχ ὡς ἄλλου καὶ ἄλλου γινομένου πυρός) ἢ
ῥίψεις τοῦ αὐτοῦ σώματός εἰσιν αἱ διαδρομαί. ἔοικε δὴ δι' ἄμφω.

15 Τοὺς δύο τρόπους διδάξαι βούλεται τῆς τῶν διαττόντων κινήσεως, οὓς
εἰπόντες ἔφθημεν. διὰ δὲ τῆς ἀπορίας ταύτης ὡς ἑκάτερόν ἐστι δυνατὸν
πιστοῦται τοῖς ὑποδείγμασι· καὶ τοῦ μὲν κατὰ ἔκκαυσιν γινομένου πίστιν
τὸ τῶν λύχνων ὑπόδειγμα τίθησιν. ἡ γὰρ ἔξαψις αὕτη διὰ τὴν ταχυτῆτα
τοῦ καπνοῦ τῆς ἐκκαύσεως ῥίψει πως ἔοικεν, ἀλλ' οὐκ ἔστι ῥῖψις· ἡ γὰρ 30
20 ῥῖψις ἑνός ἐστι πυρὸς κίνησις, ὡς εἴ τις λαμπάδα ῥίψειεν, οὐκ ἄλλου καὶ
ἄλλου πυρός ἐστιν ἔξαψις, ὅπερ ἐπὶ τῶν λύχνων γινόμενον φαίνεται. τῶν
δὲ κατὰ ῥῖψιν διατρεχόντων ἀστέρων ὑπόδειγμα τίθησι τοὺς ἐκ τῶν δακτύλων
ἐκθλιβομένους πυρῆνας. ἐπικρίνει δὲ τὸ ἑκάτερον ἀληθὲς εἶναι τῆς ἀπορίας
μέρος, ὡς τοὺς μὲν τῶν διαττόντων κατ' ἔκκαυσιν γίνεσθαι, τοὺς δὲ κατὰ
25 ῥῖψιν. ὁ δὲ ἤ σύνδεσμος διαζευκτικός ἐστι· πότερον τῶν διαττόντων ἡ 35
κίνησις τοιαύτη τίς ἐστιν, οἵα καὶ τοῦ πυρὸς ἔξαψις ἄλλης καὶ ἄλλης ὕλης
κατὰ τὸ συνεχὲς ἐξαπτομένης, ὡς ἔχει τὸ κατὰ τοὺς λύχνους ὑπόδειγμα,
ἢ οὐ τοῦτο, ῥῖψις δέ, φησί, μᾶλλόν ἐστι πυρὸς ἄνωθεν ῥιπτουμένου κάτω.
δείκνυσιν οὖν, καθάπερ εἶπον, ὡς ἀμφότερόν ἐστιν ἀληθές.

30 p. 342a12 Κάτω δὲ ῥιπτεῖται διὰ τὸ τὴν πύκνωσιν εἰς τὸ κάτω
ῥέπειν τὴν ἀπωθοῦσαν. διὸ καὶ οἱ κεραυνοὶ κάτω πίπτουσιν, 40
τοῦ πυρὸς ἄνω φερομένου κατὰ φύσιν.

Ζητεῖ πῶς οἱ κατὰ ῥῖψιν γινόμενοι διάττοντες καὶ οἱ κεραυνοὶ κάτω
φέρονται. τί οὖν τὸ αἴτιον; ἡ ἀτμὶς διὰ τὴν ψῦξιν πεπυκνωμένη καὶ τὴν
35 συνανιοῦσαν αὐτῇ ξηρὰν ἀναθυμίασιν ἐναποκλείουσα, εἰ μὲν τὸ κάτω μέρος
αὐτῆς μᾶλλον εἴη πεπυκνωμένον, κάτωθεν ἄνω καὶ ἐπὶ τὸ κατὰ φύσιν ἐκ-

2 τοῦ ἀέρος post κάτω (3) coll. libri 9 ἀκουσώμεθα V 11 φλογὸς om. V
13 ἢ] ἡ Ma 14 ῥίψεις V Arist. EFH: ῥίψις Ma Arist. N δὴ V Arist. FHN:
δὲ Ma Arist. E 27 ἐξαπτόμενον Ma 30 ῥίπτεται Ma 32 τοῦ πυρὸς
—κατὰ φύσιν apud Arist. non leguntur 34 ἡ om. M

πυρηνίζει τὸ πῦρ· καὶ τοῦτο θαυμαστὸν οὐδὲν οὐδὲ ζήτησιν ἔχον διὰ τὸ 91r
τὴν κατὰ φύσιν τοῦ πυρὸς κίνησιν ταύτην εἶναι· εἰ δὲ τὸ ἄνω μέρος τῆς 45
ἀτμίδος μᾶλλον πεπύκνωται, ἐκθλίβον τῇ πυκνώσει τὸ ἐναποκείμενον θερμὸν
εἰς τὸ κάτω πάντως αὐτὸ βιαίως ἐξακοντίζει, διὸ καὶ εἰς γῆν καὶ εἰς θά-
5 λασσαν τὰ τοιαῦτα πυρὰ πίπτοντα φαίνεται. τὸ οὖν διὰ τὸ τὴν πύκνω-
σιν εἰς τὸ κάτω ῥέπειν ἢ τοῦτό φησιν, εἰς τὸ κάτω παρὰ φύσιν ποιεῖ
ῥέπειν τὸ ἐξακοντιζόμενον πῦρ, ἢ ὅτι αὐτὴ διὰ τὴν πύκνωσιν ἡ ἀτμὶς
βαρυτέρα γινομένη τοῦ ἀέρος καὶ διὰ τοῦτο κάτω ῥέπουσα συνωθεῖ τὸ ἐν-
απειλημμένον πῦρ ὡς λεπτομερὲς καὶ εὐκίνητον ἐπὶ τὸ κάτω. καὶ γὰρ 50
10 ἐφεξῆς περὶ αὐτῆς τῆς ἀτμίδος οὕτω φησίν "αὕτη γὰρ συνιοῦσα καὶ κάτω
ῥέπουσα ἀπωθεῖ πυκνουμένη καὶ κάτω ποιεῖ τοῦ θερμοῦ τὴν θλῖψιν".

p. 342a 14 Πάντων γὰρ τούτων ἡ γένεσις οὐκ ἔκκαυσις ἀλλ' ἔκ-
κρισις ὑπὸ τῆς ἐκθλίψεώς ἐστιν, ἐπεὶ κατὰ φύσιν τὸ θερμὸν ἄνω
πέφυκε φέρεσθαι πᾶν.

15 Τούτων πάντων, τῶν διαττόντων δηλονότι τῶν κάτω ῥιπτουμένων εἰς
τὴν γῆν καὶ εἰς τὴν θάλασσαν καὶ | τῶν κεραυνῶν ὁμοίως· οὐδὲν γὰρ τού- 91v
των κατ' ἔκκαυσιν γίνεται, φησίν, ἀλλ' ἐκθλιβομένου τοῦ θερμοῦ διὰ τὴν
πύκνωσιν, ὡς εἴρηται. καίτοι καὶ αὕτη ἡ ἀναθυμίασις τῇ ἐκ τῆς πυκνώ-
σεως παρατρίψει θερμαίνεται καὶ ἐκπυροῦται. πῶς οὖν φησιν οὐκ ἔκ-
20 καυσις; λέγω τοίνυν ὡς πρὸς σύγκρισιν τῶν ἄλλων διαττόντων, οἵτινες 5
τὴν φαινομένην κίνησιν οὐ κατὰ ῥῖψιν ἔχουσι γινομένην, ἀλλὰ κατ' ἔκκαυσιν
ἄλλοτε ἄλλης ὕλης τὴν δόκησιν ποιοῦνται τῆς κινήσεως. ἡ δὲ τῶν κατ'
ἔκθλιψιν ῥιπτομένων κίνησις ἀληθής ἐστι, καὶ οὐχ ὡς ἡ προτέρα ἡ κατ'
ἔκκαυσιν φαντασίαν ποιεῖται κινήσεως, ἀλλὰ κατὰ ῥῖψιν καὶ ἐξώθησιν ὑπὸ
25 τῆς πυκνώσεως τῆς ψυχομένης ἀτμίδος τῆς περιεχούσης αὐτὴν γινομένη
καὶ ἀληθῶς κινουμένη. διὸ καὶ εἰς γῆν καὶ εἰς θάλασσαν ταῦτα φέρεται,
ὅπερ ἐστὶ τῆς ἀληθοῦς αὐτῶν κινήσεως ἀπόδειξις.

p. 342a 16 Ὅσα μὲν οὖν μᾶλλον ἐν τῷ ἀνωτάτῳ τόπῳ συνίσταται, 10
ἐκκαιομένης γίνεται τῆς ἀναθυμιάσεως, ὅσα δὲ κατώτερον, ἐκ-
30 κρινομένης διὰ τὸ συνιέναι καὶ ψύχεσθαι τὴν ὑγροτέραν ἀναθυ-
μίασιν, καὶ τὰ ἑξῆς.

Ποῖοι μὲν τῶν διατρεχόντων ἀστέρων ἐκκαύσει γίνονται, ποῖοι δὲ ῥίψει,
διαστέλλει νῦν. λαμβάνεται δὲ τούτων ἡ διαφορὰ πενταχῶς, ἐκ τοῦ τόπου
ἐν ᾧ γίνονται, ἐκ τῆς ποιητικῆς αἰτίας, ἐκ τοῦ τρόπου τῆς γενέσεως, ἐκ 15
35 τοῦ ἑνὸς καὶ τοῦ πλήθους, ἐκ τῆς κινήσεως τῆς κατὰ τόπον. ἐκ μὲν οὖν

4 βιαίως αὐτὸ coll. Ma καὶ post διὸ om. a εἰς ante θάλασσαν om. a
5 ῥίπτοντα Ma 7 αὐτὴ scripsi: αὕτη libri 11 θλῖψιν] ῥῖψιν Arist.
15 τῶν post πάντων om. Ma 19 τρίψει M 23 ἡ post προτέρα scripsi: ἢ Va: ἢ M 24 ante κινήσεως add. τῆς Ma 28 Ὁπόσα Ma συνίστανται Ma
31 καὶ τὰ ἑξῆς om. et lemma usque ad ῥῖψιν (p. 342a 21) producit V 32 ἐκκαύσεις M

τοῦ τόπου, ὅτι οἱ μὲν κατ' ἔκκαυσιν ἐν τῷ ὑπεκκαύματι συνίστανται, οἱ 91v
δὲ κατὰ ῥῖψιν ἐν τῷ ὑποκάτω τοῦ ὑπεκκαύματος ἀέρι· ἐκ δὲ τοῦ ποιητικοῦ
αἰτίου, ὅτι οἱ μὲν ἐκ τῆς τῶν οὐρανίων ἐξάπτονται κινήσεως, οἱ δὲ ἐκ τῆς
πυκνώσεως τοῦ κατεψυγμένου ἀέρος παρατριβομένης τῆς ξηρᾶς ἀναθυμιά-
5 σεως· ἐκ δὲ τοῦ τρόπου τῆς γενέσεως, ὅτι οἱ μὲν κατ' ἔκκαυσιν τῆς καπνώδους ἀναθυμιάσεως, οἱ δὲ κατ' ἔκθλιψιν καὶ ῥῖψιν γίνονται ταύτης· ἐκ 20
δὲ τοῦ ἑνὸς καὶ τοῦ πλήθους, ὅτι οἱ μὲν κατ' ἔκθλιψιν ἐκ μιᾶς ἀναθυμιάσεως οὐ διεσπασμένης συνίστανται, οἱ δὲ κατὰ ἔκκαυσιν ἐκ πολλῶν καὶ διῃρημένων καὶ ἄλλης μετ' ἄλλην ὕλης ἐκκαιομένης· ἐκ δὲ τοῦ τρόπου
10 τῆς κινήσεως, ὅτι οἱ μὲν κατ' ἔκκαυσιν σπανίως κάτωθεν ἄνω κινοῦνται, τὰς δὲ λοιπὰς κινήσεις συχνότερον, οἱ δὲ κατ' ἔκθλιψιν κατὰ πάντα τρόπον κινοῦνται, ὡς δείξει προϊών, καὶ ὅτι οἱ μὲν κατ' ἔκκαυσιν δόκησιν ἔχουσι κινήσεως, οἱ δ' ἄλλοι κινοῦνται κατ' ἀλήθειαν. 25

p. 342a21 Διὰ δὲ τὴν θέσιν τῆς ἀναθυμιάσεως, ὅπως ἂν τύχῃ
15 κειμένη τοῦ πλάτους καὶ τοῦ βάθους, οὕτω φέρεται ἄνω ἢ κάτω ἢ εἰς τὸ πλάγιον. τὰ πλεῖστα δὲ εἰς τὸ πλάγιον διὰ τὸ δύο φέρεσθαι φοράς, βίᾳ μὲν κάτω, φύσει δὲ ἄνω· πάντα γὰρ τὴν διάμετρον φέρεται τὰ τοιαῦτα. διὸ καὶ τῶν διαθεόντων ἀστέρων ἡ πλείστη λοξὴ γίνεται φορά.

20 Τὴν θέσιν τῆς ἀναθυμιάσεως ὁ Ἀλέξανδρος οὐ τῆς καπνώδους, 30
ἀλλὰ τῆς ψυχρᾶς ἀκούει. ὡς γὰρ ἂν ἔχῃ θέσεως, φησίν, ἡ ψυχομένη ἀναθυμίασις πυκνουμένη, καὶ ἐφ' ἃ τέτραπται, ἐπὶ ταῦτα καὶ φέρεται τὸ ἐκκρινόμενον ἐξ αὐτῆς πῦρ. εἰ γὰρ εἰς τὸ ἄνω ἡ ἔκκρισις τοῦ θερμοῦ, κάτωθέν ἐστιν ἡ πύκνωσις· εἰ δὲ εἰς τὸ κάτω ἡ ἔκκρισις, τὸ ἄνω μέρος πεπύ-
25 κνωται. πάλιν εἰ ἐπὶ βορρᾶν ἐκκριθείη, ἐν τῷ νότῳ ἡ πύκνωσις, εἰ δ' ἐπὶ νότον, ἐν τῷ βορείῳ. τὸ αὐτὸ καὶ ἐπὶ δύσεως καὶ ἀνατολῆς καὶ τῆς λοιπῆς πάσης θέσεως. ὁμοίως δὲ καὶ ἐπὶ τῆς κατ' ἔκκαυσιν συμβαίνειν 35
ἐνδέχεται, ὡς καὶ φθάσαντες εἴπομεν· εἰ μὲν γὰρ ἐπ' ἀνατολὴν εἴη διεσπαρμένη καὶ δύσιν ἡ καπνώδης, ἐξ ἀνατολῆς δὲ ἡ ἔκκαυσις ἄρξηται, ἐπὶ
30 δύσιν ἡ δόκησις γίνεται τῆς κινήσεως, εἰ δ' ἀπὸ δύσεως ἐξαφθείη, ἡ φαντασία γίνεται τῆς φορᾶς ἐπ' ἀνατολήν· τὸ αὐτὸ καὶ ἐπὶ βορρᾶ καὶ νότου καὶ τῆς λοιπῆς θέσεως. διὰ τί δὲ οἱ κατ' ἔκθλιψιν διάττοντες ἐπὶ τὰ πλάγια φέρονται, μάλιστα σαφῶς ἐδίδαξεν εἰπὼν διὰ τὸ δύο ἐναντίας ἅμα 40
φέρεσθαι κινήσεις τὴν ἀναθυμίασιν τὴν ἐκκρινομένην, μίαν μὲν κατὰ φύσιν
35 ἐπὶ τὸ ἄνω (πυρὶ γὰρ αὕτη κατὰ φύσιν), ἑτέραν δὲ βίᾳ καὶ παρὰ φύσιν ὑπὸ τῆς ἐκθλίψεως γινομένην τὴν ἐπὶ τὸ κάτω. γίνεται οὖν ἐξ ἀμφοῖν μικτὴ κίνησις ἡ ἐπὶ τὰ πλάγια, ὥσπερ εἰ νοήσαις ἐπὶ στερεοῦ τινος δύο μύρμηκας ἀντιπροσώπους γινομένους ἰσοσθενεῖς· ἀπὸ γὰρ τῶν ἐναντίων

---

9 καὶ ἄλλη VM ὕλην ἐκκαιομένη V 12 διδάξει Ma καὶ ὅτι — ἔκκαυσιν] οἱ δὲ κατ' ἔκθλιψιν Ma 15 βάθους] μήκους Ma 16 τὰ πλεῖστα—πλάγιον om. V
20 Ἀλέξανδρος] p. 22,29 21 ἔχοι V 23 ἡ om. M 29 ἔκκαυσις in lit. V

τόπων συνιόντες οὗτοι καὶ ὑπαντῶντες καὶ ἀλλήλων ἁπτόμενοι καὶ ἀντω- 91v
θοῦντες ἀλλήλους ἐπ' εὐθείας μὲν τῆς πρὶν οὐκέτι φέρονται, λοξὴν δέ τινα 45
καὶ πλαγίαν τῇ συνώσει φορὰν οἰσθήσονται. πάντα γάρ, φησί, τὴν διάμετρον φέρεται τὰ τοιαῦτα. ἡ γὰρ διάμετρος τῶν τετραγώνων




πλαγία ἐστὶν ὡς πρὸς τὰς πλευρὰς ἐξ ὧν συνέστηκε τὸ τετράγωνον· ἀπεικάζει οὖν τὴν ἐπὶ τὰ πλάγια τῶν διαττόντων ἔκκρισιν τῇ τῆς διαμέτρου κινήσει τῶν πρότερον μὲν ἐπὶ τὰς πλευρὰς τοῦ τετραγώνου κινουμένων, ἐξωθουμένων δὲ κατὰ τὰς γωνίας ὑπ' ἀλλήλων τῷ ἀντωθεῖν ἀλλήλας καὶ ἐπὶ τῆς διαμέτρου λοξῶς φερομένων. ὑποκείσθω γὰρ τετράγωνον τὸ Α Β Γ Δ, διάμετρος δὲ αὐτοῦ, ταὐτὸν δ' εἰπεῖν διαγώνιος ἡ Α Δ, κινείσθωσαν δὲ δύο μύρμηκες ἰσοσθενεῖς ὁ μὲν ἀπὸ τοῦ Γ ἐπὶ τὸ Α, ὁ δὲ ἀπὸ τοῦ Β πάλιν ἐπὶ τὸ Α· ἐπειδὰν οὖν ἐν τῷ Α γένωνται καὶ μηδέτερος θατέρου περιγίνηται ὠθοῦντες ἀλλήλους, | τῶν πλευρῶν 92r
μὲν ἐξωθοῦνται τοῦ τετραγώνου, λοξωθέντες δὲ τὴν διάμετρον ἐνεχθήσονται τὴν Α Δ.

p. 342a 30 Πάντα δὲ κάτω ταῦτα σελήνης γίνεται. σημεῖον δ' ἡ φαινομένη αὐτῶν ταχυτὴς ὁμοία οὖσα τοῖς ὑφ' ἡμῶν ῥιπτου-
20 μένοις, ἃ διὰ τὸ πλησίον εἶναι ἡμῶν πολὺ δοκεῖ τῷ τάχει παραλλάττειν ἄστρα τε καὶ ἥλιον καὶ σελήνην.

Τὴν παιδικὴν ὑπόνοιαν τῶν οἰομένων κατ' ἀλήθειαν ἀστέρων διαδρομὰς 5
τὰς τῶν διαϊσσόντων κινήσεις ἔστι μὲν ἐλέγξαι καὶ ἐκ τοῦ πάντας ἀναγεγράφθαι τοὺς διαφανεῖς τῶν ἀπλανῶν ἀστέρων ὑπὸ τῶν ἀστρονόμων, τῶν
25 ἀπὸ πρώτου μέχρις ἕκτου μεγέθους, καὶ ἀεὶ τοὺς αὐτοὺς καὶ ὡσαύτως ἔχοντας καὶ ἐν τοῖς αὐτοῖς τόποις μένοντας ὁρᾶσθαι διηνεκῶς· αὐτὸς δὲ νῦν διὰ τοῦ φαινομένου τάχους τῆς κινήσεως αὐτῶν τοῦτο δείκνυσιν. ὡς γὰρ τὰ ὑφ' ἡμῶν ῥιπτόμενα, φησίν, οἷον λίθοι, βέλη, ἀκόντια, διὰ τὸ 10
πλησίον ἡμῶν ὑπάρχειν θᾶττον ἡμῖν δοκεῖ καὶ αὐτῶν κινεῖσθαι τῶν ἀστέρων,
30 οὐδ' εἰπεῖν ἔστιν ὅσῳ βραδυτέραν τὴν κίνησιν ἔχοντα, οὕτω καὶ οἱ διάττοντες διὰ τὸ κάτω πολὺ τῆς σελήνης καὶ πλησίον ἡμῶν διατρέχειν ταχύτερον δοκοῦσι τῶν ἄστρων κινεῖσθαι τῷ θᾶττον τὰς ὄψεις ἡμῶν παραλλάττειν. ὡς γὰρ ἀπὸ σημείου τινὸς τῆς κόρης τῶν ὄψεων ἡμῶν κωνοειδῶς ἐξιουσῶν, ὁπόσον περαιτέρω προΐασιν αἱ ἀκτῖνες τῶν ὀφθαλμῶν, τοσούτῳ
35 κατὰ τὸ μέσον διίστανται μᾶλλον καὶ τὸν κῶνον εὐρύνουσι. τὰ μὲν οὖν 15
ἐγγύτερον ἡμῶν κινούμενα διὰ μικροτέρας τῆς μεταξὺ τῶν ἀκτίνων διαστάσεως φερόμενα θᾶττον τὴν ἐξ αὐτῶν ἀποτελουμένην παραλλάττουσι γωνίαν, ἐν ᾗ τῶν ὁρατῶν ἡ κρίσις γίνεται, διὸ ταχυκίνητα εἶναι δοκεῖ·

1. 2 ἀνωθοῦντες MV 15 περιγένηται M 18 κάτω ταῦτα σελήνης V Arist. FH: κάτω σελήνης ταῦτα Ma Arist. E 19. 20 ῥιπτομένοις Ma 23 διαϊσσόντων] sic libri, cf. p. 46,34 29 ἡμῖν] ἡμῶν a 32 τῷ] τὸ Va 34 τοσοῦτο M

τὰ δὲ πορρωτέρω μείζονα τὴν μεταξὺ τῶν ὄψεων διάστασιν φέρονται, καὶ 92r
ὅσῳ πορρώτερον ὄντα τυγχάνουσι, τοσούτῳ μείζονα, κἀντεῦθεν ἐν πλείονι
χρόνῳ τὴν γωνίαν τὴν ἐκ τῶν ὄψεων γινομένην παραλλάττουσιν. ἐπεὶ
οὖν κατὰ τὴν γωνίαν ταύτην, ὡς εἶπον, αἱ τῶν ὁρατῶν γίνονται κρίσεις, 20
τὰ μὲν θᾶττον τὴν μεταξὺ τῶν ὄψεων διάστασιν παραλλάσσοντα ταχύτερα
εἶναι δοκεῖ, τὰ δὲ ἄλλως βραδύτερα. ἀεὶ δὲ αἱ πορρωτέρω τῶν ὀφθαλμῶν
διαστάσεις τὴν μεταξὺ τῶν ἐκβαλλομένων ὄψεων διάστασιν ποιοῦσι μείζονα,
διὸ καὶ πλείονος, ὡς εἶπον, χρόνου δεῖ τῷ κινουμένῳ τὴν μείζονα διελθεῖν.
εἰκότως ἄρα τὰ μὲν πορρωτέρω τῶν ὄψεων κινούμενα βραδύτερα φαίνεται,
τὰ δὲ ἐγγυτέρω ταχύτερα. διὸ τὰ λίαν ἀφεστῶτα σχεδὸν οὐδὲ [τὰ] κινού- 25
μενα φαίνεται· τὰ γοῦν ἀπλανῆ τὰ πάντων ὀξύτατα ἠρεμεῖν τοῖς ὁρῶσι
δοκεῖ διὰ τὴν ὑπερβολὴν τῆς ἐξ ἡμῶν ἀποστάσεως. μέχρι δὲ τῶν ἐν-
ταῦθα συμπεράνας τὴν περὶ τῶν διαττόντων ἀστέρων διδασκαλίαν ἐφ' ἕτερα
τῶν συμβαινόντων ἐν τοῖς μετεώροις παθῶν μετέρχεται.

p. 342ᵃ34 Φαίνεται δέ ποτε συνιστάμενα νύκτωρ αἰθρίας οὔσης πολλὰ φάσματα ἐν τῷ οὐρανῷ, οἷον χάσματά τε καὶ βόθυνοι καὶ αἱματώδη χρώματα. αἴτιον δὲ καὶ ἐπὶ τούτων τὸ αὐτό. ἐπεὶ γὰρ φανερός ἐστι συνιστάμενος ὁ ἄνω ἀὴρ ὥστε ἐκπυροῦσθαι, 30 καὶ τὴν ἐκπύρωσιν ὁτὲ μὲν τοιαύτην γίνεσθαι ὥστε φλόγα δοκεῖν καίεσθαι, ὁτὲ δὲ οἷον δαλοὺς φέρεσθαι καὶ ἀστέρας, οὐδὲν ἄτοπον, εἰ χρωματίζεται ὁ αὐτὸς οὗτος ἀὴρ συνιστάμενος παντοδαπὰς χρόας.

Ἀποδοὺς τῶν προτεθέντων τὰς αἰτίας ἁπάντων, φημὶ δὴ φλογῶν καὶ δαλῶν καὶ αἰγῶν καὶ διαττόντων καὶ τῆς διαφόρου τούτων κινήσεως, μέτεισιν ἐφ' ἕτερα συγγενῆ τούτοις, ἅπερ καὶ πρόκειται, χάσματα λέγω καὶ 35 βοθύνους καὶ χρωμάτων διαφοράς. φαίνεται γὰρ χρωματιζόμενος ὁ ἀὴρ ποτὲ μὲν αἱματώδης, ποτὲ δὲ πορφύρεος ἢ φοινικοῦς ἢ ὁπωσοῦν ἄλλως, καὶ βόθυνοί τινες ἐν αὐτῷ καὶ χάσματα εἶναι δοκεῖ, ὧν οὐδέν ἐστι καθ' ὕπαρξιν οἷον φαίνεται. διὰ τί δὲ συνῆψε ταῦτα τοῖς προλαβοῦσιν, αὐτὸς εἴρηκεν· αἴτιον γάρ, φησί, τούτων ἁπάντων ἐστὶ τὸ αὐτό. ἔχουσι μὲν γὰρ καὶ κοινωνίαν πρὸς ἄλληλα φανερῶς, ἔχουσι δὲ καὶ διαφορὰν ἐξ ἀνάγκης, ἐπεὶ οὐδ' ἂν ἦσαν ἕτερα. τὰ μὲν γὰρ πρότερα καθ' ὕπαρξίν ἐστι τοιαῦτα, 40 οἷα καὶ φαίνεται, τὰ δὲ προκείμενα μέχρι μόνης φαντασίας καὶ τοῦ δοκεῖν ἐστι τοιαῦτα· οὐδὲ γὰρ χρωμάτων ἐν ἀέρι γίνονται διαφοραί, οὐδὲ ὅλως κεχρωμάτισται ὁ ἀήρ, οὐδὲ χάσματα ἐν αὐτῷ καὶ βόθυνοι γίνονται· εἷς γάρ ἐστι καὶ συνεχὴς διάστασιν ἐν τοῖς αὐτοῦ μέρεσιν ἔχων οὐδεμίαν, ἐπεὶ μηδὲ κενὸν εἶναι τῶν ἐνδεχομένων ἐδείχθη. ἡ μὲν οὖν διαφορὰ τούτων

---

2 ἐν scripsi: μὲν libri 6 βραδύτερα scripsi: βραδύτερον libri 10 τὰ post οὐδὲ delevi
15 Φέρεται M 16 τε om. Ma 17 καὶ ἐπὶ V: καὶ om. Arist. FHN: ἐπὶ om. Ma Arist. E 20 δαλοὺς οἷον coll. M 21 ὁ αὐτὸς οὗτος V Arist. FHN: οὗτος om. Ma Arist. E 22 παντοδαπαῖς χροιαῖς Ma 24 καὶ post αἰγῶν om. MV

τε κἀκείνων τοιαύτη· κοινωνοῦσι δὲ πάλιν ἀλλήλοις, διότι νεφῶν τε συστά- 92r
σεις καὶ ἀέρος ἐκπυρώσεις τούτων ἁπάντων ἐστὶν αἴτιον. ἀλλὰ καὶ τῇ 45
τοῦ χρόνου βραχύτητι τοῖς εἰρημένοις ἐστὶ κοινωνία· καὶ ταῦτα γὰρ κἀκεῖνα
διὰ τὴν λεπτομέρειαν τῆς ὑποκειμένης ὕλης σύντομον ἔχουσι τὴν διάλυσιν.
5 βόθυνον δὲ καὶ χάσματα διαφέρειν τινὲς ἐκ τοῦ πλάτους ἐνόμισαν· εὐρύτερον
μὲν γὰρ εἶναι τὸ χάσμα, στενώτερον δὲ τὸν βόθυνον. τοῦτο δ' οὐκ ἔστιν
ἀληθές, ἀλλ' ἐξ αὐτῶν τῶν Ἀριστοτέλους ῥημάτων δείξομεν ὅτι κατὰ βάθος
τούτων ἐστὶν ἡ διαφορά· τὸ μὲν ⟨γὰρ⟩ χάσμα πολὺ τὸ βάθος ἔχει, ὁ δὲ 50
βόθυνος μικρόν. καὶ ἡ κοινὴ δὲ συνήθεια καὶ ἡ τῶν παλαιῶν χρῆσις
10 τοῦτο βούλεται· περὶ γὰρ τοῦ χάους φησὶν Ἡσίοδος "χάσμα μέγ', οὐδέ κε
πάντα τελεσφόρον εἰς ἐνιαυτὸν οὖδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε
γένοιτο." καὶ περὶ τοῦ Ἀλεξάνδρου ὁ ποιητὴς "ὥς κέ οἱ αὖθι | γαῖα 92v
χάνοι· μέγα γάρ μιν Ὀλύμπιος ἔτρεφε πῆμα." τὸν δ' ἕτερον "βόθρον
ὄρυξεν ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα." καὶ πάλιν "πήχυιον δ' ἄρ'
15 ἔπειτα πέδῳ ἔνι βόθρον ὀρύξας" ὁ τὰ Ἀργοναυτικά. ὅτι δὲ τὸ αὐτὸ
τούτων ἁπάντων ἐστὶν αἴτιον, δῆλόν φησιν ἐκ τῶν ὁμολογουμένων. εἰ γὰρ
φανερῶς ὁ ἄνω ἀὴρ ἐκπυροῦται, τουτέστι τὸ ὑπέκκαυμα, καὶ τὸ διάφορον 5
τῆς ἐκπυρώσεως τὰς εἰρημένας ἐποίει διαφοράς, φλόγας, δαλοὺς καὶ τὰ
λοιπά, τί θαυμαστόν, εἰ διὰ τὴν αὐτὴν ἐκπύρωσιν καὶ χρωματίζεται ποικί-
20 λως ὁ ἀήρ; μᾶλλον δὲ δοκεῖ χρωματίζεσθαι τῆς ἀχλύος καὶ τῆς πυρώδους
συστάσεως ἐν ταῖς ἡμετέραις ὄψεσι μιγνυμένης, ὡς δείξομεν, διόπερ ἐν
νυκτὶ μόνῃ τὰ τοιαῦτα. μεθ' ἡμέραν γὰρ τὸ τοῦ ἡλίου φῶς τήν τε
σύστασιν ἐπικαλύπτει καὶ τὸν ἀχλυώδη φωτίζει ἀέρα, μᾶλλον δὲ καὶ δια- 10
λύει τὴν ἀχλὺν κατὰ τὸ πλεῖστον. ἀλλὰ καὶ αἰθρίας δεῖ, φησί, πρὸς τὴν
25 τῶν τοιούτων χρωμάτων φαντασίαν, τουτέστι νηνεμίας· ἡ γὰρ τῶν ἀνέμων
κίνησις διασκεδάννυσι τὴν ἀχλὺν ἔσθ' ὅτε καὶ διαλύει καὶ τὰ εἰρημένα
πάθη καὶ συστῆναι οὐ συγχωρεῖ. τὸ δὲ ἐν τῷ οὐρανῷ πάλιν ὁμοίως
ἀκουσόμεθα περὶ τὸν οὐρανόν, τουτέστιν ἐν τῷ ὑπεκκαύματι· πρὸς γὰρ τὴν
τῶν πολλῶν εἴρηται δόξαν ἐν τῷ οὐρανῷ συνίστασθαι τὰ τοιαῦτα πάθη
30 νομίζουσαν.

p. 342b5 Διά τε γὰρ πυκνοτέρου διαφαινόμενον ἔλαττον φῶς 15
καὶ ἀνάκλασιν δεχόμενος ὁ ἀὴρ παντοδαπὰ χρώματα ποιήσει,
μάλιστα δὲ φοινικοῦν ἢ πορφυροῦν διὰ τὸ ταῦτα μάλιστα ἐκ
τοῦ πυρώδους καὶ λευκοῦ φαίνεσθαι μιγνυμένων κατὰ τὰς ἐπι-
35 προσθήσεις, οἷον ἀνίσχοντα τὰ ἄστρα καὶ δυόμενα, ἐὰν ᾖ καῦμα,
καὶ διὰ καπνοῦ φοινικᾶ φαίνεται. καὶ τῇ ἀνακλάσει δὲ ποιεῖ,
ὅταν τὸ ἔνοπτρον ᾖ τοιοῦτον, ὥστε μὴ τὸ σχῆμα ἀλλὰ τὸ χρῶμα

6 στενότερον a 8 γὰρ addidi 9 καὶ post μικρόν om. a 10 φησὶν Ἡσίοδος] Theog. 740 sq. μέγα MV οὐδέ κε] οὐδ' ἐν MV 11 οὖδας ἵκοιτ' εἰ] εἰ οὖδαϊ κεῖται MV 12 ὁ ποιητής] Il. Z 281 sq. 13. 14 βόθρον κτλ.] Od. K 517 14 ὀρύξαι l. l. πήχυιον κτλ.] Apoll. Rh. III 1206 15 αὐτὸ om. a 34. 35 προσθήσεις Ma 36 ποιεῖ Ma et infra (p. 72,10) V: ποιήσει Arist. et h. l. V

δέχεσθαι. τοῦ δὲ μὴ πολὺν χρόνον μένειν ταῦτα ἡ σύστασις 92v
αἰτία ταχεῖα οὖσα. 20

Τῶν μεταξὺ γῆς καὶ οὐρανοῦ συνισταμένων τὰ μέν εἰσιν ὑποστάσεις ἀληθεῖς, οἷα φαίνεται, τοιαῦτα καὶ τὴν οὐσίαν ὑπάρχοντα, φλόγες φημὶ καὶ αἶγες καὶ δαλοὶ χιόνες τε καὶ χάλαζαι καὶ ὑετοί, περὶ ὧν ἤδη προείρηκε, τὰ δὲ μόνον ἐμφάσεις καὶ εἰδωλοποιίαι ψευδεῖς, οὐ τοιαῦτα τὴν φύσιν ὄντα, οἷα καὶ φαίνεται, ἅπερ ἐστὶ χάσματα καὶ βόθυνοι καὶ τὰ ἐν τῷ ἀέρι δοκοῦντα συνίστασθαι χρώματα, περὶ ὧν διδάξαι προτίθεται νῦν· τοιαῦτα δὲ καὶ παρ' ἡμῖν ἐστι τὰ εἴδωλα, ἐμφάσεις ὄντα καὶ μόνον· τὰ δὲ μικτά πως κατά τι μὲν ὑποστάσεις, κατά τι δὲ πάλιν ἐμφάσεις, οἱοίπερ εἰσὶν οἱ κατ' ἔξαψιν γινόμενοι διάττοντες· τὸ μὲν γὰρ πυρῶδες αὐτῶν ἀληθής ἐστιν ὑπόστασις, ἡ δὲ κίνησις τούτων ἡ τοπικὴ δόκησίς ἐστι καὶ μόνη, καθὰ φθάσαντες ἀπεδείξαμεν. ἔστι δὲ καὶ παρ' ἡμῖν τοιαῦτα, οἷον ἡ ἐν ὕδατι βρεχομένη κώπη κεκλάσθαι δοκοῦσα· τοῦτο μὲν γὰρ ἔμφασις, τὸ δὲ ὑπὸ τὸ ὕδωρ αὐτὴν φαίνεσθαι ὕπαρξις ἀληθείας. καὶ γραφαὶ δέ τινές εἰσι τοιαῦται, ὧν τὰ μὲν ἐν βάθει εἶναι δοκεῖ, τὰ δὲ προπετῆ καὶ ἔξω νεύοντα, πάντων ἐν μιᾷ ὄντων ἐπιφανείᾳ. ἡ μὲν οὖν γραφὴ τούτων ἐστὶν ὑπόστασις ἀληθής, τὸ δ' ἐν βάθει τινὰ τούτων εἶναι δοκεῖν ἢ ἔξω νεύειν ἔμφασις καὶ μόνη. εἰπὼν οὖν ἐν τοῖς προλαβοῦσι περὶ τῶν ὑπόστασιν ἐχόντων ἀληθῆ καὶ τῶν μικτῶν νῦν περὶ τῶν μέχρι μόνου τοῦ δοκεῖν ὁρωμένων διδάξαι προτίθεται. τούτων δὲ διχῇ διαιρουμένων τὰ μὲν καλοῦνται διαφάσεις, ὅσα διὰ τῆς τῶν νεφῶν διαφανείας εἰδωλοποιεῖται, ὡς τὰ ἐν ἀέρι διάφορα χρώματα, τὰ δὲ ὁμωνύμως τῷ γένει καλοῦνται ἐμφάσεις, ὅσα κατὰ τὴν ἀπὸ τῶν ἐσόπτρων ἀνάκλασιν τῶν ὄψεων ἡμῶν ἐπὶ τὸν ἥλιον ἐμπιπτουσῶν ἢ τὴν σελήνην ἤ τινα τῶν ἀστέρων ἢ τὰς ἐν ἀέρι πυρώδεις γινομένας συστάσεις ὁρῶνται φαντάσματα, ὡς ἅλως καὶ ἶρις καὶ παρήλια. δύο οὖν εἰσι τὰ τούτων ἁπάντων αἴτια, ἥ τε τῶν νεφῶν διαφάνεια, ὅταν πυρώδης σύστασις ἄνωθεν κατὰ κάθετον αὐτοῖς συσταίη, ἑτέρα δὲ ἡ ἐκ τῶν πυκνοτέρων νεφῶν ἀντανάκλασις τῶν ἡμετέρων ὄψεων ἐπὶ τὴν ἐκ πλαγίου τῶν νεφῶν πυρώδη γενομένην σύστασιν ἢ τὸν ἥλιον αὐτὸν ἢ ἕτερόν τινα τῶν ἀστέρων. τὸ μὲν οὖν πρῶτον, τὰ κατὰ διαφάνειαν λέγω φαινόμενα, τοῦτον γίνεται τὸν τρόπον· νέφους γὰρ ὑποτρέχοντος πυρώδη τινὰ σύστασιν ἐν τῷ ὑπεκκαύματι γενομένην μὴ πυκνοῦ λίαν, ἀλλὰ μανοτέρου καὶ διαφάνειαν βραχεῖαν ἔχοντος καὶ τοσαύτην, ὥστε τὸ χρῶμα μόνον τῆς κατὰ κάθετον τῷ νέφει κειμένης ἐκπυρώσεως φαίνεσθαι, μηκέτι δὲ καὶ τὸ σχῆμα καὶ τὸ μέγεθος αὐτῆς, ποικίλα δοκεῖ συνίστασθαι χρώματα. δεῖ δὲ καὶ τὴν ἐκπύρωσιν μετρίαν εἶναι· πολλῆς γὰρ οὔσης διαλύεσθαι συμβαίνει τὸ νέφος. τούτων οὖν οὕτως ἐχόντων συστάσεώς τε καὶ πρὸς ἄλληλα θέσεως, τοῦ νέφους λέγω καὶ τῆς ἐκπυρώσεως, δι' ἀμφοῖν ἡ ὄψις ἡμῶν

---

5 χιόνες—ὑετοί videntur delenda esse 9 καὶ ante μόνον om. a 12 καὶ om. a
15 αὐτὴν scripsi: αὐτὸν libri ὕπαρξις scripsi: ὕπαρ a: ὕπερ MV ἀληθείας] fort. ἀληθής 28 ἕτερα a 30 γινομένην a 36 ἀποίκιλα MV
38. 39 τε καὶ—θέσεως om. a

φερομένη καὶ ἐν αὐτῇ τό τε μέλαν τοῦ νέφους καὶ τὸ λαμπρὸν μιγνῦσα 92ᵛ
τῆς ἐκπυρώσεως τὴν αἱματώδη τε καὶ ἐρυθρὰν ἢ φοινικῆν ἢ πορφυρᾶν
καὶ τὴν τῶν ἄλλων χρωμάτων παρέχεται φαντασίαν, πρὸς τὴν διαφορὰν
τοῦ λαμπροῦ τε καὶ τοῦ μέλανος μᾶλλον ἢ ἧττον τοιούτων ὄντων δια-
φόρου καὶ τῆς μίξεως ἐξ αὐτῶν ταῖς ἡμετέραις γινομένης ὄψεσιν, ἡ ποικίλη
τῶν χρωμάτων συμβαίνει διαφορά. οἷόν τι γίνεται καὶ ἐν τῇ τοῦ
ἡλίου καὶ τῆς σελήνης καὶ τῇ τῶν ἄλλων ἀστέρων ἀνατολῇ τε καὶ δύσει,
ὅταν ὁμιχλώδης ὁ περὶ τὸν ὁρίζοντα γένηται ἀήρ· διαφόρων γὰρ καὶ τότε
χρωμάτων φαντασία γίνεται, ποτὲ μὲν ἐρυθρά τε καὶ αἱματώδης, ὁπηνίκα
ἥ τε ἀχλὺς εἴη παχυτέρα καὶ τὸ πυρῶδες εἰλικρινέστερον, ποτὲ δὲ ξανθή |
τε καὶ οἱονεὶ χρυσοειδής, ὅτε λεπτοτέρα ἡ ἀχλύς, καὶ ἄλλοτε ἄλλη πρός 93ʳ
τε τὸ ποσὸν τῆς πυκνώσεως τοῦ ἀέρος καὶ τῆς ἐκπυρώσεως τὸ μέτρον καὶ
τὴν πρὸς ἄλληλα τούτων σχέσιν· μετρῆσαι γὰρ τὴν τοιαύτην μῖξιν, ἐξ ἧς
τὰ διάφορα γίνεται χρώματα, δυσχερὲς ἡμῖν καὶ ἀδύνατον. ὅτι δὲ τῇ μίξει
τῶν ἐναντίων ταῦτα γίνεται, δῆλον ἐξ ὧν καὶ οἱ ζωγράφοι τῇ μίξει τούτων
πολλὰς ἐργάζονται χρωμάτων διαφοράς. καὶ ἡ ἐξ ὑγροτέρων δὲ ξύλων ἐξ-
απτομένη φλὸξ ἐρυθρὰ φαίνεται διὰ τὴν τοῦ καπνοῦ παχύτητα καὶ μελανίαν
τῷ λαμπρῷ τοῦ πυρὸς μιγνυμένην. ἐκ δὲ τῶν ξηρῶν ξύλων ὅ τε καπνὸς
λεπτότερος γίνεται καὶ τὸ χρῶμα τὸ ἐκ τῆς μίξεως αὐτοῦ καὶ τοῦ λαμπροῦ
τοῦ πυρὸς ξανθότερον. δεύτερός ἐστι τρόπος τῆς τοιαύτης τῶν χρωμάτων ἐν τῷ
ἀέρι φαντασίας ὁ κατ' ἔμφασιν ἐξ ἀνακλάσεως τῶν ἡμετέρων γενόμενος ὄψεων.
οὕτω δὲ δεῖ παχεῖαν εἶναι καὶ μὴ διαφανῆ τοῦ νέφους τὴν σύστασιν μηδ'
ἡνωμένην καὶ πάλιν συνεχῆ, διεσπασμένην δὲ κατὰ μικρὰς ἀτμίδας, οἷαι
καὶ αἱ τῶν ὑετῶν λεπταὶ ψεκάδες, καὶ τὴν ἐκπύρωσιν μὴ κατὰ κάθετον
ἀλλ' ἐκ πλαγίων τοῦ νέφους εἶναι, καὶ οὕτω θέσεως ἔχειν ταῦτα πρὸς
ἄλληλα, ὡς τὰς ὄψεις ἡμῶν τὰς εἰς τὸ νέφος ἐμπιπτούσας ἐπὶ τὴν ἐκ-
πύρωσιν ἀνακλωμένας φέρεσθαι ἢ ἐπὶ τὸν ἥλιον ἢ τὴν σελήνην. ἀπὸ μικρῶν
οὖν τοῦ νέφους ἐνόπτρων ἐπί τι τῶν εἰρημένων γινομένης τῆς ἀνακλάσεως,
τὸ χρῶμα μὲν τούτων ὁρᾶν ἐν τοῖς ἐνόπτροις δοκοῦμεν, τὸ σχῆμα δὲ καὶ
τὸ μέγεθος οὐκέτι διὰ τὴν τούτων μικρότητα· οἷόν τι καὶπὶ τῶν ψεκάδων
τοῦ ὑετοῦ φαίνεται συμβαῖνον, ὅταν ὁ ἥλιος ἐν καθαρῷ διαλείμματι φαίνηται
τῶν ἀστέρων νύκτωρ καὶ ἐπὶ τῶν κωπηλατούντων νύκτωρ ὁμοίως εἰς μικρὰ
τεμνομένου τοῦ ὕδατος. τῶν γὰρ εἰς ταύτας ἐμπιπτουσῶν ὄψεων καὶ ἀνα-
κλωμένων ἐπὶ τὰ ἄστρα τὸ χρῶμα μόνον ὁρῶμεν, τὸ σχῆμα δὲ καὶ τὸ
μέγεθος οὐκέτι διὰ τῆς ὕδατος μικρότητος. καὶ ἐπὶ τῶν ἐνόπτρων δὲ τῶν
παρ' ἡμῖν τῶν λίαν σμικρῶν τὸ αὐτὸ γίνεται. τούτῳ γὰρ τῷ τρόπῳ καὶ
τὴν ἶριν γινομένην ἐν τῷ τρίτῳ τῆς πραγματείας δείκνυσι ταύτης, νέφους μὲν
συνισταμένου παχέος πρὸς αὐτῷ τῷ ὁρίζοντι, κατὰ θάτερον δὲ μέρος αὐτοῦ
φαινομένου τοῦ ἡλίου ἐν καθαρῷ διαλείμματι, καὶ τῶν ὄψεων ἡμῶν ἐκ

1 αὐτῇ scripsi: αὐτῇ libri 3 τὴν ante τῶν om. M 5 post ὄψεσιν fort. addendum ὅθεν
6 οἷόν τι] post οἷον lac. III litt. V: τι om. in lac. VI litt. M: οἷον πολλάκις a 10 τὸ
om. a 11 ἄλλη] ἄλλο Ma 15 καὶ ex corr. V οἱ om. a 18 μιγνυ-
μένη Ma 21 γινόμενος Ma 23 καὶ πάλιν] fort. πάλιν καὶ 27 τὸν]
τὸ a 31 ἐν καθαρῷ bis scr. M 37 ἐν τῷ τρίτῳ τῆς πραγματείας] c. 4 μὲν] δὲ a

τοῦ νέφους ἀνακλωμένων ἐπὶ τὸν ἥλιον καὶ τὴν τῶν χρωμάτων τῆς ἴριδος 93r
ποιουσῶν φαντασίαν. τὸν δὲ ἀριθμὸν τῶν χρωμάτων αὐτῆς καὶ τὴν διαφορὰν καὶ τῶν κύκλων τὸ μέγεθος ἐκεῖσε τοῦ φιλοσόφου λέγοντος ἀκουσόμεθα. νῦν δὲ τέως ἐπὶ τὴν ἐξέτασιν χωρῶμεν τῆς λέξεως.

Διά τε γὰρ πυκνοτέρου φαινόμενον ἔλαττον φῶς καὶ ἀνάκλασιν δεχόμενος ὁ ἀὴρ παντοδαπὰ χρώματα ποιεῖ. τοὺς δύο τρόπους τοὺς προειρημένους τῆς τῶν φαινομένων χρωμάτων ἀπαγγέλλει φαντασίας, τὸν μὲν τῆς διαφάσεως ἐν οἷς ἔφη διά τε γὰρ πυκνοτέρου φαινόμενον ἔλαττον φῶς, πρὸς τὸν ἀέρα· οὐδὲ γὰρ πυκνοτέρου νέφους (δεῖν γὰρ ἔφαμεν μετρίαν ἔχειν τὸ νέφος διαφάνειαν, ἵνα δι' αὐτῆς τὸ φῶς διέλθοι τῆς ἐκπυρώσεως), ἀλλὰ πυκνοτέρου ὡς πρὸς τὴν τοῦ ἀέρος διαφάνειαν. καλῶς δὲ εἶπε τὸ ἔλαττον φῶς· εἰ γὰρ πολὺ εἴη, πάντως ἐπικρατεῖ τοῦ νέφους καὶ λύει τὴν σύστασιν αὐτοῦ, καὶ τὸ πάθος οὐ συνίσταται. τὸν δὲ δεύτερον δηλοῖ τρόπον ἐν οἷς πάλιν εἶπε καὶ ἀνάκλασιν δεχόμενος ὁ ἀήρ. ἀνάκλασιν δὲ τὸν ἀέρα δέχεσθαί φησι τὴν τῶν ὄψεων δηλονότι τῶν ἡμετέρων, οὐκ αὐτῆς τοῦ ἀέρος τῆς οὐσίας ἀνακλωμένης. μάλιστα δὲ τὸ φοινικοῦν ἢ πορφυροῦν διὰ τὸ ταῦτα μάλιστα ἐκ τοῦ πυρώδους καὶ λευκοῦ φαίνεσθαι μιγνυμένων κατὰ τὰς ἐπιπροσθήσεις, οὐ τοῦ λευκοῦ καὶ πυρώδους ἀλλήλοις μιγνυμένων, ἀλλὰ τούτων ἑκατέρου τῷ μέλανι. τὸ μὲν γὰρ λευκὸν τῷ μέλανι μιγνύμενον φαιὸν γίνεται· ἵνα δὲ φοινικοῦν γένηται, καὶ τὸ πυρῶδες μίγνυσθαι τοῖς εἰρημένοις προσήκει. πῶς οὖν φησιν ὁ φιλόσοφος; μάλιστα δέ φησι τὸ φοινικοῦν ἢ πορφυροῦν μιγνύμενον φαίνεσθαι, διότι μετριώτερον ὑπάρχον τὸ μέλαν ἐν τῇ μίξει τὸ φοινικοῦν ποιεῖ, βαθύτερον δὲ τὸ πορφυροῦν. συναριθμείσθω δὲ τῷ μέλανι τὸ κυανοῦν ἐκλάμπειν ποιοῦν τὸ ἐκ τῆς μίξεως τῆς εἰρημένης ἀποτελούμενον. πυρῶδες δὲ ἐν τῇ μίξει τῶν χρωμάτων ἐστὶ τὸ ἐρυθρόν. καὶ οἱ ζωγράφοι δὲ τῇ τοιαύτῃ μίξει χρώμενοι τὰ εἰρημένα ποιοῦσι χρώματα. ἡ δὲ μῖξις αὕτη γίνεται, φησί, κατὰ τὰς ἐπιπροσθήσεις, τουτέστιν οὐκ αὐτῆς τοῦ νέφους τῆς μελανίας καὶ τῆς τῶν ἄστρων λευκότητος μιγνυμένων ἢ πάλιν τοῦ πυρώδους χρώματος καὶ τῆς μελανίας τοῦ νέφους, ἀλλ' ἐν ταῖς ἐπιπροσθήσεσι ταῖς ὑπὸ τοῦ νέφους τῶν ὄψεων ἡμῶν ἡ μῖξις γίνεται τῶν διὰ τοῦ ἀέρος εἰς ἡμᾶς φαινομένων χρωμάτων, τοῦ μεταξὺ δηλονότι μὴ πάσχοντος, ἐν δὲ τῇ τούτων ἀντιλήψει τε καὶ αἰσθήσει μιγνυμένων συνίσταται τὸ πάθος. ἐπιπρόσθησιν δὲ ταύτην εἶπεν, ἐπειδὴ μὴ καθαρῶς ἀντιλαμβανόμεθα τῶν χρωμάτων, ἀλλὰ μετ' ἐπιπροσθήσεως τῆς ἀπὸ τοῦ νέφους ἀμυδρὰ γίνεται αὐτῶν ἡ ἀντίληψις, ἐν ᾗ μίγνυνται. ὅτι γὰρ ⟨οὐ⟩ πάσχει ὑπὸ τῶν χρωμάτων ὁ διακονῶν αὐτοῖς ἀήρ, δῆλον ἐκ τῶν ἀκτίνων τῶν διὰ τῆς χρωματισθείσης ὑέλου φερομένων·

2 ποιουσῶν scripsi: ποιούσης libri τῶν δὲ ἀριθμῶν M 3. 4 μαθησόμεθα Ma 5 φαινόμενον scripsi: φερόμενον libri: διαφαινόμενον Arist. 8 τὸν] τὴν a 9 φαινόμενον ex φαινομένου corr. M[1] 10 ἔφημεν a 18. 19 ἐπιπροσθήσεις Arist.: προσθήσεις libri (ex προσθέσεις corr. V) 25 κυανὸν Ma 28. 29 ἐπιπροσθείσεις a 32 φαινομένων scripsi: φερομένων libri 37 οὐ addidi

ἐν μὲν γὰρ τῷ ἀέρι δι' οὗ φαίνονται αἱ ἀκτῖνες οὐ φαίνεται τὸ τῆς ὑέλου 93r
χρῶμα, ἐν δὲ τῷ στερεῷ ἐν ᾧ προσπίπτουσι διαφαίνεται, εἴτε ἐν τοίχῳ
πέσοιεν εἴτε ἐν τῇ γῇ εἴτε ἐν ὁτῳοῦν ἄλλῳ. οἷον ἀνίσχοντα τὰ 50
ἄστρα καὶ δυόμενα, ἐὰν ᾖ καῦμα, καὶ διὰ καπνοῦ φοινικᾶ φαίνε-
5 ται. ἐὰν ᾖ καῦμα, φησί, τουτέστι κατάστημα νότιον· περὶ γὰρ τὸν ὁρί-
ζοντα ἀχλυωδέστερος γίνεται ὁ ἀήρ. καυματώδης γὰρ ὁ νότος ὢν ἀναλύει
μὲν ἀτμίδα πολλήν, διαφορῆσαι δὲ ταύτην οὐκ ἰσχύων διὰ τὸ βληχρὸν τοῦ
θερμοῦ ἀχλυώδη τὸν ἀέρα ποιεῖ καὶ παχύν· δι' οὗ τὰ ἄστρα φαινόμενα
φοινίκια φαίνεται, ὡς καὶ ἡ διὰ τοῦ καπνοῦ τῶν ὑγρῶν ξύλων φαινομένη |
10 φλόξ. καὶ τῇ ἀνακλάσει δὲ ποιεῖ, ὅταν τὸ ἔνοπτρον ᾖ τοιοῦτον 93v
ὥστε μὴ τὸ σχῆμα, ἀλλὰ τὸ χρῶμα δέχεσθαι. οὗτός ἐστιν ὁ δεύτε-
ρος τρόπος. ἐὰν γὰρ μικρόν τι μόριον ἐνόπτρου τις λάβῃ καὶ πρὸς τὸν ἥλιον
ἀντιπρόσωπον θείη, τὸ μὲν σχῆμα τούτου καὶ τὸ μέγεθος ἐν τῷ ἐνόπτρῳ οὐ
φαίνεται, τὸ δὲ χρῶμα μόνον αὐτοῦ καὶ τὸ φῶς· ἀλλὰ κἂν κατὰ μικρὰ
15 τεθραυσμένον εἴη τὸ ἔνοπτρον, ὁμοίως τὸ χρῶμα μόνον διὰ πάντων τῶν 5
θραυσμάτων αὐτοῦ φαίνεται, οἷον καὶ ἐπὶ τῶν ψεκάδων εἴπομεν τοῦ ὑετοῦ
γίνεσθαι. τοιοῦτον οὖν συμβαίνει καὶ ἐν τοῖς νέφεσιν, ὡς τὰ μόρια
διεσπάσθαι κατὰ μικρά, καὶ μάλιστα ὅταν ἐπιτήδειον ἤδη πρὸς ὕδατος
ὑπάρχῃ γένεσιν, ὅτε καὶ τὰς τοιαύτας φαντασίας παρέχεται· διόπερ οὔτε
20 τὸ σχῆμα τῶν ἐκπυρώσεων οὔτε τὸ μέγεθος δεικνύουσι, μόνου δὲ τοῦ
χρώματος τὴν φαντασίαν παρέχονται. τοῦ δὲ μὴ πολὺν χρόνον μένειν
τοῦτο ἡ σύστασις αἰτία ταχεῖα οὖσα. ὥσπερ γὰρ πάπυρος ἢ
στυπεῖον λεπτὸν καὶ ξηρὸν ταχέως ἐξάπτεται καὶ ἐπ' ὀλίγον χρόνον στέγει 10
τὴν φλόγα θᾶττον τῆς ὕλης δαπανωμένης (τοῦτο γὰρ δηλοῖ τὸ ταχεῖα
25 οὖσα), ὁρῶς δ' ἐπειδὰν ἐξαφθῇ, πολὺν διαμένει χρόνον διὰ τὴν παχύτητα,
οὕτως ἔχει καὶ ἐπὶ τῶν εἰρημένων ἐκπυρώσεων καὶ τῶν ἀστραπῶν· λε-
πτομερὴς γὰρ αὐτῶν οὖσα ἡ ὕλη καὶ ταχέως ἐκδαπανωμένη σβέννυται.
οἱ δὲ κομῆται παχυτέρας ὕλης ὄντες, πλείονα χρόνον τὰς ἐκπυρώσεις
φυλάσσουσιν.

30 p. 342b 14 Τὰ δὲ χάσματα ἀναρρηγνυμένου τοῦ φωτὸς ἐκ κυανοῦ 15
καὶ μέλανος ποιεῖ τι βάθος ἔχειν δοκεῖν. πολλάκις δ' ἐκ τῶν
τοιούτων καὶ δαλοὶ ἐκπίπτουσιν, ὅταν συγκριθῇ μᾶλλον· συνιὸν
δὲ χάσμα δοκεῖ.

Ἡ μὲν οὖν τῶν αἱματωδῶν καὶ τῶν τοιούτων φαντασία χρωμάτων ἢ
35 κατὰ διαφάνειαν τῶν νεφῶν ἢ κατὰ ἀνάκλασιν τὴν ἐξ αὐτῶν ἐγίνετο τῶν
ὄψεων ἡμῶν· ἡ δὲ τῶν βοθύνων καὶ τῶν χασμάτων οὐχ οὕτως, ἐπιπρο-
σθουμένου δὲ κατὰ τὸ μέσον τοῦ φωτὸς ὑπὸ τῆς τοῦ νέφους παχύτητος·

6 ἀχλυωδέστερος] ψυχρότερος MV 7 βληχρὸν scripsi: βλιχρὸν Ma: βλιχὸν V
13 ἐσόπτρῳ V 16 θραυμάτων V 19 ὑπάρχει a 22 αἰτία om. Ma
23 στυππίον V 30 κυανέου Ma Arist. E 33 δὲ χάσμα a Arist. E: post δὲ
add. τι V (sed om. infra p. 73,29) Arist. FHN: δὲ πάσχειν M 35 κατὰ διαφάνειαν
scripsi: διὰ καταφάνειαν libri τὴν scripsi: τῶν libri 37 κατὰ τοῦ μέσου a

λίαν γὰρ εἶναι δεῖ παχὺ τὸ νέφος καὶ μηδ' ὅλως διαφανὲς τὸ ἐπιπροσθοῦν 93v
κατὰ μέσον τῷ φωτί· οὕτω γὰρ κοιλότητος ποιεῖ φαντασίαν. τὸ μὲν γὰρ 21
λευκὸν καὶ τὸ λαμπρὸν ὀξεῖαν ἔχοντα τὴν ἐνέργειαν διακριτικὰ τῶν ὄψεων
ἡμῶν ὑπάρχει, διὸ καὶ ταχὺ τὸ πάθος ἐν αὐταῖς ἐργαζόμενα ταχεῖαν καὶ
5 τὴν ἀντίληψιν τοῦ πάθους ἔχουσι· τὸ γὰρ θᾶττον πάσχον καὶ θᾶττον τοῦ
πάθους ἀντιλαμβάνεται. τὸ δὲ μέλαν ἔμπαλιν συγκριτικὸν ὑπάρχον τῶν
ὄψεων βραδυκινησίας αὐταῖς αἴτιόν ἐστι (τοῖς γὰρ ἐναντίοις τὰ ἐναντία 25
συμβαίνειν ἀνάγκη) καὶ διὰ τοῦτο καὶ ἡ τοῦ πάθους ἀντίληψίς ἐστι βραδυ-
τέρα. ὅταν οὖν ἐκπυρώσεώς τινος συστάσης νέφος τι παχὺ καὶ μὴ δια-
10 φανὲς ἐν τῷ μέσῳ τῆς ἐκπυρώσεως γίνηται, ὡς μὴ πάσῃ ἐπιπροσθεῖν,
ἀλλὰ μόνῳ τῷ μέσῳ αὐτῆς ἀέρι, ἐν ᾧ καὶ συνέστη τὸ νέφος, τῶν ἑκατέρω-
θεν τῆς ἐκπυρώσεως μερῶν καθαρῶν ὄντων καὶ οὐκ ἐπιπροσθουμένων τῷ
νέφει, συμβαίνει τότε τῷ μὴ ὁρᾶσθαι τὸ μέσον αὐτῆς διὰ τὸ μέλαν κοιλό-
τητος διδόναι φαντασίαν. διὸ καὶ τὰ πόρρωθεν ὁρώμενα μέλανα φαίνεται, 30
15 οὐκ ἐφικνουμένης αὐτῶν ἱκανῶς τῆς ἡμετέρας ὄψεως. καὶ γὰρ εἰ ἐν τῷ
αὐτῷ ἐπιπέδῳ λευκὸν θείης καὶ μέλαν καὶ πόρρωθεν αὐτὰ θεωρήσειας,
ἐγγύτερον εἶναι δόξει τὸ λευκόν, τὸ δὲ μέλαν πορρώτερον. τοῦτο καὶ οἱ
γραφεῖς εἰδότες, ὅταν κοῖλον εἶναί τι δοκεῖν ἐθέλωσιν, οἷον πηγὴν ἢ δε-
ξαμενὴν ἢ βόθυνον ἢ ἄντρον ἤ τι τοιοῦτον, μέλανι καταχρίουσι τοῦτο ἢ
20 κυανῷ, καὶ τοὔμπαλιν ὅσα προπετῆ φαίνεσθαι βούλονται, οἱονεὶ μαζοὺς
κόρης ἢ χεῖρα τεινομένην ἢ πόδας ἵππου, τὰ ἑκατέρωθεν τοῦ μορίου τούτου 35
μελαίνουσιν, ἵνα τούτων κοίλων εἶναι δοκούντων τὸ μεταξὺ αὐτῶν γραφὲν
ἐξέχειν νομίζηται. εἰ μὲν οὖν ἧττον εἴη πεπυκνωμένον τὸ νέφος, βόθυνος
εἶναι δοκεῖ, εἰ δὲ λίαν εἴη πυκνὸν καὶ διὰ τοῦτο μελάντερον, χάσμα, καὶ
25 ὅσῳ πλέον μελαίνεται, τοσούτῳ καὶ τὸ βάθος μεῖζον εἶναι δοκεῖ. τὸ δὲ
ἀναρρηγνυμένου τοῦ φωτὸς εἴρηκε, τουτέστιν ὑπὸ τοῦ νέφους σχιζο-
μένου, καὶ τῆς συνεχείας διακοπτομένης διὰ τὴν τοῦ μέλανος ἢ κυανοῦ
κατὰ τὸ μέσον ἐπιπρόσθησιν. πολλάκις δὲ ἐκ τῶν τοιούτων καὶ 40
δαλοὶ ἐκπίπτουσιν, ὅταν συγκριθῇ μᾶλλον· συνιὸν δὲ χάσμα
30 δοκεῖ. ἐκ τῶν ποίων; τῶν εἰρημένων συστάσεων, ἐν οἷς οἱ βόθυνοι καὶ
τὰ χάσματα φαίνεται. ὅταν γὰρ τὸ νέφος τοῦτο συγκριθῇ μᾶλλον καὶ ἐν-
αποληφθείη μεταξὺ τούτου μέρος τι τῆς ἐκπυρώσεως, συνθλιβόμενον τοῦτο
τῇ βίᾳ τῆς πυκνώσεως ἐκπυρηνίζεται καὶ φέρεται κάτω. εἰ δὲ ἐπὶ πλεῖον
συνέλθοι, φησί, χάσμα δοκεῖ γίνεσθαι. εἰ οὖν τὸ μέλαν τοῦ νέφους τὸ
35 μεταξὺ τῆς πυρώδους συστάσεως τὴν δόκησιν ἐποίει τοῦ βοθύνου, ἔτι δὲ 45
συνιὸν ἐπὶ πλεῖον μελαίνεται, τὸ δὲ μᾶλλον μέλαν πλείονος βάθους δίδωσι
φαντασίαν, τοῦτο δὲ χάσμα ὠνόμασε, τὸ ἄρα χάσμα τῷ μᾶλλον εἶναι βαθύ-
τερον τοῦ βοθύνου διέστειλεν.

---

2 μὲν om. a 4 αὐταῖς scripsi: ἑαυταῖς Ma: ἑαυτοῖς V 10 γίνηται scripsi: γίνεται libri πάσῃ scripsi: πᾶσιν libri 13 post συμβαίνει lac. v litt. V, III litt. M 14 μέλαινα M 16 θείης ἢ μέλαν Ma 20 βούλονται φαίνεσθαι coll. Ma 26 ἀναρρηγνύμενον Ma 30 τῶν ποίων scripsi: τούτων ποίων libri 31 φαίνεται ex φαίνονται corr. M 31. 32 ἐναπολειφθείη V 32 συνθλιβομένω τούτω MV 34 συνέλθη M 38 διέστηκεν a

p. 342b18 Ὅλως δ' ἐν τῷ μέλανι τὸ λευκὸν πολλὰς ποιεῖ ποικι- 93v
λίας, οἷον ἡ φλὸξ ἐν τῷ καπνῷ. ἡμέρας μὲν οὖν ὁ ἥλιος κωλύει,
νυκτὸς δ' ἔξω τοῦ φοινικοῦ τὰ ἄλλα δι' ὁμόχροιαν οὐ φαίνεται.

Τὸ λευκόν, φησί, καὶ τὸ μέλαν (λευκὸν δὲ νῦν λέγεται τὸ λαμπρόν) 50
ἐν τῇ ποιᾷ μίξει πολλὰς ποιεῖ χρωμάτων διαφορὰς κατὰ τὴν ἑκατέρου
τούτων πρὸς τὸ λοιπὸν ἄνεσίν τε καὶ ἐπίτασιν, οἷον τὸ φοινικοῦν, τὸ
πράσινον, τὸ ἀλουργόν, τὸ ἐρυθρὸν καὶ εἴ τι τοιοῦτον ἕτερον, ὧν ὁ λόγος
τῆς συμμετρίας ἄρρητος. παράδειγμα τούτων δίδωσι τὸ διὰ τοῦ καπνοῦ
φαινόμενον πῦρ πολλὰς ἐμφαῖνον χρωμάτων διαφορὰς ἄλλοτε ἄλλας πρὸς τὴν
τοῦ καπνοῦ ποιότητα τὴν ἐκ τῆς διαφόρου τῶν | καιομένων ὕλης γινομένην. 94r
τούτων οὖν, φησί, τῶν διαφόρων χρωμάτων ὅσα μέν ἐστι πυρώδη, ἐν ἡμέρᾳ
οὐ διαφαίνεται διὰ τὴν πρὸς τὸν ἥλιον ὁμοιότητα συγκαλυπτόμενα ὑπ' αὐτοῦ,
ὅσα δὲ νένευκε πρὸς τὸ μέλαν, φανερὰ πᾶσίν ἐστιν· ἐν νυκτὶ δὲ τοὐναντίον
ὅσα μέν ἐστι λευκὰ καὶ πυρώδη, διαλάμπει, ὅσα δὲ πρὸς τῷ μέλανι, πάντα
κρύπτεται, τὸ ἀλουργόν, τὸ πορφυροῦν, τὸ πράσινον, τὸ κυανοῦν. μόνον
δέ, φησί, τὸ φοινικοῦν διαφαίνεται· πλεονάζει γὰρ ἐν αὐτῷ τὸ λευκόν, ὡς 5
ἐν τοῖς ἄλλοις τὸ μέλαν. ὁρῶμεν γὰρ καὶ τοῦ ἡλίου ἄρτι δεδυκότος περὶ τὸν
ὁρίζοντα φοινικοῦν χρῶμα φαινόμενον, ὅτι ὁ ἀὴρ ἐκεῖνος ἠρέμα πως ἀχλυ-
ώδης ἐστί, τῶν ὄψεων ἡμῶν ἐκ τῆς ἀχλύος ἀνακλωμένων ἐπὶ τὸν ἥλιον
καὶ τῇ μίξει τῶν χρωμάτων τὰς τοιαύτας ποιουσῶν φαντασίας. διὸ καὶ
ἡ μὲν ἀπὸ μέλανος γραφὴ ἐν λευκοῖς τοῖς ὑποδεχομένοις γίνεται, ἡ δὲ
λευκογραφία καὶ χρυσογραφία τοὐναντίον ἐν μέλανι· τὸ γὰρ ἐναντίον ἐν τῷ
ἀντικειμένῳ διαφανέστερον, τὸ δ' ὅμοιον ἐν τῷ ὁμοίῳ δυσδιάκριτον, οἷον 10
εἰ ἐν λευκῷ τινι σώματι λευκογραφήσεις ἢ ἐν μέλανι διὰ μέλανος γράψειας.
ὅθεν καὶ οἱ ἐν νυκτὶ μελανειμονοῦντες μᾶλλόν εἰσι τῶν λευχειμονούντων
δυσδιάκριτοι, καὶ ἐν ἡμέρᾳ τοὔμπαλιν οἱ λευχειμονοῦντες, [ἢ] εἰ ἐν ἡλίῳ
μάλιστα τύχοιεν, ἀμυδρὰν ἔχουσι τὴν ἀντίληψιν.

p. 342b21 Περὶ μὲν οὖν τῶν διαθεόντων ἀστέρων καὶ τῶν ἐκ-
πυρουμένων, ἔτι δὲ τῶν ἄλλων τῶν τοιούτων φασμάτων, ὅσα 15
ταχείας ποιεῖται τὰς φαντασίας, ταύτας ὑπολαβεῖν δεῖ τὰς
αἰτίας.

Συμπεραίνεται πάντα τὰ ἐξ ἀρχῆς εἰρημένα καὶ τὴν κοινωνίαν αὐτῶν
ἀπήγγειλε, δι' ἣν καὶ κατὰ συνέχειαν περὶ τούτων ἐδίδαξε πάντων, τὸ
ταχείας τὰ εἰρημένα πάντα ποιεῖσθαι τὰς μεταβολάς, τουτέστι μὴ ἐπὶ πολὺν
μένειν χρόνον, ὡς οἱ κομῆται, ἀλλ' ἐν ὀλίγῳ διαλύεσθαι. τούτων οὖν τῆς
γενέσεως τὰς αἰτίας δεῖ νομίζειν τὰς εἰρημένας παρ' ἡμῶν. τῷ δὲ κοινῶς περὶ
πάντων εἰπεῖν τῶν τοιούτων φασμάτων, ὅσα ταχείας ποιεῖται τὰς 20

3 φοινικίου Ma τἄλλα Ma ὁμοιόχροιαν Arist. E 5 διαφορὰς] μεταβολὰς in textu M: διαφορὰς mg. M1 22 ἐν ante τῷ om. a 24 εἰ om. M 25 λευσχημονούντων Ma 26 λευσχημονοῦντες Ma ἢ del. Diels 27 ὑπόληψιν a 28 διατεθέντων a 29 τῶν post ἄλλων om. Ma φαντασμάτων V

φαντασίας, ἔοικεν ἅπαντα λέγειν εἶναι φαντάσματα. ἢ οὖν [οὐ] κοινότερον 94r
ἁπλῶς τὰ φαινόμενα φάσματα προσηγόρευσεν, ἢ ὅτι κἂν ὕπαρξιν ἔχωσιν
οἱ διάττοντες, ἀλλὰ συμπέπλεκταί τι καὶ φαντασίας αὐτοῖς, ὡς εἴπομεν.
τῶν γὰρ μὴ κατὰ ῥῖψιν ἀλλ' ἕξαψιν γινομένων διαττόντων ἡ κίνησις δοκοῦσά
5 ἐστι κίνησις, οὐχ ὑπάρχουσα· οὐ γὰρ ἓν ἦν τὸ κινούμενον, ἀλλ' ὕλη τις
ἄλλοτε ἄλλη μεταλαμβάνουσα τῆς ἐξάψεως. ἀλλὰ καὶ ἐν ταῖς αἰξὶν αἱ
παρεκπυρώσεις, ἐξ ὧν ἡ τῶν τριχῶν ἐγίνετο φαντασία, δοκοῦσαν εἶχον, οὐ 25
πάντως ἀληθῆ συνέχειαν πρὸς τὴν ὅλην ἐκπύρωσιν.

p. 342b25 Περὶ δὲ τῶν κομητῶν καὶ τοῦ καλουμένου γάλακτος λέ-
10 γωμεν διαπορήσαντες πρὸς τὰ παρὰ τῶν ἄλλων εἰρημένα πρῶτον.

Εἰπὼν πρὸ τούτων περὶ τῶν ταχείας ποιούντων τὰς μεταβολάς, τῶν τε
καθ' ὕπαρξιν φαινομένων ἀληθῆ καὶ τῶν κατὰ μόνην φαντασίαν καὶ τῶν
ἐξ ἀμφοῖν, ὑπάρξεώς τε καὶ φαντασίας, λέγει νῦν περὶ τῶν ἐπὶ πλείονα 30
μενόντων χρόνον, ἅπερ οὐκ ἔστι φάσματα· τὰ γὰρ κατὰ μόνην φαντασίαν
15 καὶ δόκησιν ὁρώμενα θᾶττον διαλύεται. τὰ περὶ ἅλω καὶ ἴριδος, καὶ
αὐτῶν ὄντων ἐμφάσεων ἐργώδη τὴν διδασκαλίαν ἐχόντων, ἐν τῷ τρίτῳ δι-
δάσκει λόγῳ. ἔστι δὲ τὰ περὶ ὧν διδάσκει νῦν οἵ τε κομῆται καὶ ὁ κα-
λούμενος γαλαξίας κύκλος. ὅπερ δὲ τῷ φιλοσόφῳ ποιεῖν ἔθος ἐπὶ τῶν
φυσικῶν ζητημάτων ἑκάστου, τοῦτο ποιεῖ καὶ νῦν τὰς τῶν παλαιοτέρων
20 περὶ τοῦ προκειμένου δόξας προϊστορῶν καὶ τὰς οὐ καλῶς ἐχούσας ἐλέγχων 35
πρῶτον, εἶτα τὴν οἰκείαν περὶ τοῦ ζητουμένου διδάσκων ὑπόληψιν. Ἀναξα-
γόρας μὲν οὖν καὶ Δημόκριτός φασιν εἶναι τοὺς κομήτας σύμφασιν τῶν
πλανητῶν ἀστέρων, ὅταν διὰ τὸ πλησίον ἐλθεῖν δόξωσι θιγγάνειν ἀλλήλων,
τῶν πέντε πλανωμένων· ἅμα δηλονότι. οὗτοι δ' εἰσὶν ὅ τε τοῦ Κρόνου
25 καλούμενος καὶ ὁ τοῦ Διὸς καὶ ὁ τοῦ Ἄρεος καὶ ὁ τοῦ Ἑρμοῦ καὶ ὁ τῆς
Ἀφροδίτης· οὐ γὰρ δὴ καὶ τὸν ἥλιον συνηρίθμουν καὶ τὴν σελήνην· δῆλον
γὰρ εἶχε τὸν ἔλεγχον. ὅταν οὖν, φασίν, εἰς τοῦτο πλησιάσωσιν οὗτοι καὶ
θιγγάνειν ἀλλήλων δόξωσιν (οὐ γὰρ δή γε θιγγάνουσιν ἐν τῷ αὐτῷ μὴ 40
ὄντες ἐπιπέδῳ) μέγεθος ἀποτελοῦσι καὶ μίαν ἐργάζονται σύμφασιν. τουτέστιν
30 ἓν φῶς ἐκ πάντων συμπεφορημένον φαίνεται. καὶ οἶμαί γε, εἴ τις αὐτοὺς
ἠρώτησε, τί δήποτε οὖν ποτὲ μὲν μείζων ὁ κομήτης ποτὲ δ' ἐλάττων
φαίνεται, εἶπον ἂν ὡς ὁπηνίκα πυκνοτέραν πρὸς ἀλλήλους τὴν θέσιν ἔχοιεν,
ἐλάττονα φαίνεσθαι τὸν κομήτην, ὁπότε δὲ διεστήκοιέν πως καὶ μὴ λίαν
ἐγγὺς εἴησαν, μείζονα εἶναι δοκεῖν. καὶ μάλιστα ὅταν καὶ τῶν ἀπλανῶν
35 τινες αὐτοῖς πλησιάσαντες μίαν ἅμα τούτοις ποιήσωνται σύμφασιν. εἰ δὲ 45
καὶ τῶν ἄλλοτε ἄλλων αὐτοῦ σχημάτων τὴν αἰτίαν ζητοῦμεν, εἰπεῖν ἂν
πάλιν τὴν διάφορον αὐτῶν πρὸς ἀλλήλους θέσιν τε καὶ σχέσιν τούτων
αἰτίαν εἶναι, τῶν μὲν ἐπ' εὐθείας κειμένων τῶν δ' ἐκ πλαγίου, νοτιωτέρων

1 οὐ delevi 9 δὲ] μὲν οὖν Ma 13 τῶν om. M 14 οὐδ' ἔστι MV
15 ἴριδος scripsi: ἴριδα libri 21 περὶ τὴν οἰκείαν coll. a 24 ἅμα om. M
35 αὐτοῖς om. M ποιήσονται M 36 ἄλλοτε in mrg. add. M

ὄντων ἢ βορειοτέρων, ἢ ὁπωσοῦν ἄλλως δυνατὸν εἴη θέσεως αὐτοὺς ἔχειν 94r
πρὸς ἀλλήλους ἢ σχέσεως.

p. 342b29 Τῶν δ' Ἰταλικῶν τινες καὶ τῶν καλουμένων Πυθα-
γορείων ἕνα λέγουσιν αὐτὸν εἶναι τῶν πλανητῶν ἀστέρων, 50
ἀλλὰ διὰ πολλοῦ τε χρόνου τὴν φαντασίαν αὐτοῦ εἶναι καὶ τὴν
ὑπερβολὴν ἐπὶ μικρόν, ὅπερ συμβαίνει καὶ περὶ τὸν τοῦ Ἑρμοῦ
ἀστέρα· διὰ γὰρ τὸ μικρὸν ἐπαναβαίνειν πολλὰς ἐκλείπει φάσεις,
ὥστε διὰ χρόνου φαίνεσθαι πολλοῦ.

Ἰταλικῶν καὶ Πυθαγορείων τῶν αὐτῶν, ὡς εἰ ἔλεγεν Ἰταλικῶν τῶν
καὶ Πυθαγορείων· ἐν Ἰταλίᾳ γὰρ ὁ Πυθαγόρας τῆς ἑαυτοῦ φιλοσοφίας τὰ
διδασκαλεῖα συνεστήσατο. τούτων οὖν τινες μετὰ τοὺς πλα|νωμένους πέντε, 94v
ὧν ἀρτίως ἐμνήσθημεν, ἕκτον ἀστέρα πλανώμενον ὑπετίθεντο τὸν κομήτην·
σύνδρομον δὲ τῷ ἡλίῳ ὄντα καὶ ὑπὸ τῶν αὐγῶν αὐτοῦ καλυπτόμενον
βραδέως φαίνεσθαι, ὅπερ καὶ ἐπὶ τοῦ Ἑρμαϊκοῦ ἀστέρος ὁρῶμεν γινόμενον·
καὶ οὗτος γὰρ ἐπ' ὀλίγον τοῦ ἡλίου διιστάμενος σπανίως φαίνεται. διὰ τί
δὲ καὶ οὗτος ὁ κομήτης ποτὲ μὲν μείζων φαίνεται ποτὲ δὲ ἐλάττων, αἰτιά-
σονται τὴν ἅμα αὐτῷ τῶν ἀπλανῶν σύμφασιν· ὅταν μὲν γὰρ ἐνταῦθα 5
γίνηται ἐν ᾧ πλείονές εἰσι τῶν ἀπλανῶν ἢ μείζους, καὶ αὐτὸν μείζονα
φαίνεσθαι, ἡνίκα δὲ μετ' ἐλαττόνων ἢ ἀμυδροτέρων τῷ μεγέθει, μικρό-
τερον γίνεσθαι. καὶ τῶν διαφόρων δὲ σχημάτων καὶ οὗτοι τὴν διάφορον
μετὰ τῶν ἀπλανῶν σχέσιν αἰτιάσονται· εἰ γὰρ μὴ ταῦτα λέγοιεν, ἐξ αὐτῆς
ἔχουσι τὸν ἔλεγχον τῆς αἰσθήσεως. καὶ τοῦ σπανίως δὲ φαίνεσθαι τὴν
αὐτὴν λέγουσιν αἰτίαν, τὸ σύνδρομον εἶναι τῷ ἡλίῳ τὸν κομήτην καὶ διὰ
πολλοῦ χρόνου παραλλάττειν αὐτόν· τοῦτο γὰρ ἐδήλωσεν Ἀριστοτέλης εἰπὼν 10
καὶ τὴν ὑπερβολὴν ἐπὶ μικρόν, τουτέστι τὴν ἀπὸ τοῦ ἡλίου διάστασιν
ἐπὶ μικρὸν ποιεῖσθαι διάστημα, ὅπερ καὶ ἐπὶ τοῦ Ἑρμαϊκοῦ γίνεται· διὰ
γὰρ τὸ μικρὸν αὐτὸν ἐπαναβαίνειν φησὶ πολλὰς ἐκλείπειν φάσεις, τουτέστι
διὰ τὸ μικρὸν ἀποχωρεῖν τοῦ ἡλίου τὰς πολλὰς ἐκλείπειν φάσεις, τουτέστιν
οὐ φαίνεται πολλάκις. φάσιν γὰρ καλοῦσι τῶν ἀστέρων τὴν μετὰ τὴν
κρύψιν τοῦ ἡλίου πρώτην αὐτῶν γινομένην ἐξ αὐτοῦ παράλλαξιν, ἐν ᾗ
φανερὸς ἡμῖν γίνεται. ὀλίγον οὖν ὁ τοῦ Ἑρμοῦ παραλλάττων τὸν ἥλιον
λανθάνει τὴν ἡμετέραν αἴσθησιν οὐ συνεχῶς φαινόμενος διὰ τὴν ἐγγύτητα· 15
εἰς γὰρ τὸ θεαθῆναι τοῦτον δεῖ καὶ τὴν μεγίστην αὐτὸν διαστῆναι τοῦ
ἡλίου διάστασιν, ἧς οὐ διίσταται μείζονα [τε], καὶ καθαρὰν αἰθρίαν εἶναι,
καὶ ἐν ὕψει ἑστῶτα πολλῷ κατοπτεύειν αὐτόν. ἐντεῦθεν οὖν, ὡς εἶπον,
αἱ πολλαὶ τούτου διαστάσεις ἀπὸ τοῦ ἡλίου λανθάνουσιν ἡμᾶς. τοῦτό ἐστιν

1 ἄλλως om. a 3 καὶ τῶν MV: καὶ καὶ (sic) a: τῶν om. Arist. E: καὶ τῶν om. Arist. FHN 5 τε] τοῦ Ma 14 ῥωμαϊκοῦ a 15 οὗτος] οὕτω M 16 μέν] δὲ M φαίνεται] γίνεται Ma 18 αὐτὴν Ma 21 λέγειν M 32 οὐ] οὕτω Ma 34 τε delevi

ὅπερ εἶπε πολλὰς ἐκλείπει φάσεις· δέον γὰρ φανῆναι πολλάκις δια- 94ᵛ
στάντα τῶν αὐγῶν τοῦ ἡλίου διὰ τὴν μικρὰν ἀπόστασιν οὐ φαίνεται.

p. 342ᵇ35 Παραπλησίως δὲ τούτοις καὶ οἱ περὶ Ἱπποκράτην τὸν 20
Χῖον καὶ τὸν μαθητὴν αὐτοῦ Αἰσχύλον ἀπεφήναντο· πλὴν τήν
5 γε κόμην οὐκ ἐξ αὐτοῦ φασιν ἔχειν, ἀλλὰ πλανώμενον διὰ τὸν
τόπον ἐνίοτε λαμβάνειν, τῆς ἡμετέρας ὄψεως ἀνακλωμένης
ἀπὸ τῆς ἑλκομένης ὑγρότητος ὑπ' αὐτοῦ πρὸς τὸν ἥλιον.

Ἱπποκράτης ὁ Χῖος, φησίν (μαθηματικὸς δὲ ὑπῆρχεν οὗτος, οὗ καὶ
ὁ τοῦ κύκλου τετραγωνισμὸς διὰ τῶν μηνίσκων εἶναι λέγεται) καὶ ὁ τούτου
10 μαθητὴς Αἰσχύλος τοῖς Πυθαγορείοις παραπλησίως ἕκτον πλανήτην ἀστέρα 25
τὸν κομήτην εἶναι λέγουσι, τὴν δὲ κόμην οὐκ οἴκοθεν ἔχειν αὐτόν, ὡς οἱ
Πυθαγόρειοι βούλονται. ἐκεῖνοι γὰρ τοῦ ἀστέρος εἶναι μέρος τὴν κόμην
ἔλεγον, Ἱπποκράτης δὲ ἔξωθεν αὐτῷ φησι τὴν κόμην προσγίνεσθαι, τούτου
πίστιν ἐπαγόμενος τὸ μὴ ἐν παντὶ τόπῳ κόμην ἔχειν αὐτὸν δύνασθαι· οὔτε
15 γὰρ ἐν τοῖς νοτίοις μέρεσιν οὔτε τῶν τροπικῶν μεταξὺ καὶ ὑπὸ τὸν ἰση-
μερινὸν δι' ἣν ἐρεῖ προϊὼν αἰτίαν, ἀλλ' ἐν τοῖς βορείοις καὶ μόνοις, ἐν
οἷς συνέλκειν διὰ τὴν πολλὴν ὑγρότητα εἰς ἑαυτὸν ἀτμίδα δύναται. τοῦτο 30
μὲν οὖν καὶ Ἀριστοτέλει δοκεῖ τὸ συνέλκειν ἀτμίδα τοὺς ἀστέρας πρὸς
ἑαυτούς, ὡς προϊόντες εἰσόμεθα. εἰς τὴν ἀτμίδα οὖν ταύτην φασίν, ἣν ὁ
20 κομήτης ἕλκει πρὸς ἑαυτόν, τὰς ἡμετέρας ὄψεις ἐμπιπτούσας καὶ ἀνακλω-
μένας ἐξ αὐτῆς πρὸς τὸν ἥλιον ὡς ἐν ἐσόπτρῳ τῇ ἀτμίδι τὸ φῶς αὐτοῦ
βλέπειν καὶ κόμην ταύτην τοῦ ἀστέρος εἶναι δοκεῖν. ὥσπερ γὰρ ἐπὶ τῶν
ἐνόπτρων ἐδείκνυμεν ὅτι κάτω μὲν τούτου κειμένου τὰ ἐν ὕψει φαίνεται,
ὑπεράνω δὲ ἡμῶν ὄντος τὰ ὑποκείμενα ἀνακλῶνται (ὅθεν καὶ πρὸ τῆς
25 ἀνατολῆς τοῦ ἡλίου μικρὸν καὶ ἄρτι δύναντος ἐκ τῶν περὶ τὸν ὁρίζοντα 35
νεφῶν αἱ ὄψεις αἱ ἐμφερόμεναι κάτω πρὸς τὸν ἥλιον ὀλίγον ὄντα ὑπὸ γῆν
τὸ φῶς αὐτοῦ τρόπον ἐνόπτρου βλέπουσιν ἐν τῷ νέφει), κατὰ τὸν αὐτὸν
δὴ τρόπον καὶ τῆς αὐτῆς ἀτμίδος ὑπὸ τὸν ἀστέρα ἐν ὕψει κειμένης αἱ ἐπ'
αὐτὴν ἐμπίπτουσαι ἡμῶν ὄψεις ἀνακλώμεναι καὶ φερόμεναι κάτω πρὸς τὸν
30 ἥλιον καὶ ἐν τῷ νέφει τὸ πυρῶδες αὐτοῦ φανταζόμεναι κόμην ἐν τῷ
ἀστέρι δοκοῦσιν ὁρᾶν. διὰ τοῦτο οὖν οἱ περὶ τὸν Ἱπποκράτην οὐκ ἐν
παντὶ τόπῳ πλανώμενον τὸν ἀστέρα τοῦτον κόμην ἔλεγον λαμβάνειν· οὔτε 40
γὰρ μεταξὺ τῶν τροπικῶν ὑπὸ τὸν ἰσημερινὸν ἢ τούτου πλησίον γινόμενον
(διακέκαυται γὰρ τὰ ὑπὸ τὸν ἰσημερινὸν καὶ κατεξήρανται καὶ οὐκ ἔστιν
35 ἐκεῖσε ὕδωρ, ὅπερ ἐξατμίζων ἑλκύσειε τὴν γινομένην ἀτμίδα) οὔτ' αὖ
πάλιν εἰ τὴν μεγίστην ἀλλήλων διεστήκοιεν ὁ ἀστὴρ καὶ ὁ ἥλιος, κόμην
λαμβάνειν ἔλεγον τὸν ἀστέρα, τοῦ ἡλίου μὲν ὄντος ἐν ταῖς θεριναῖς, εἰ οὕτω
τύχοι, τροπαῖς ἢ περὶ ταύτας, αὐτοῦ δὲ ἐν ταῖς χειμεριναῖς. εἴτε γὰρ ἐν

---

1 πολλάκις om. M 2 αὐγῶν] αὐτῶν a 4. 5 πλήν γε τὴν coll. Ma
10 ἕκτον] ἐκ τῶν M¹ 21 αὐτοῦ] ἡλίου a 29 κάτω scripsi: ἄνω libri
33 ἰσημερινῶν a γενόμενον a 35 ἐξατμίζον V

ταῖς θεριναῖς ὁ ἀστὴρ εἴτε ἐν ταῖς χειμεριναῖς, τοῦ ἡλίου τὴν ἑτέραν 94v
ἔχοντος, πολλῆς ἐν ἑκατέρῳ μέρει τῆς ὑγρότητος οὔσης ἕλκειν μὲν ὁ ἀστὴρ 46
ἀτμίδα δύναται, οὐ γίνεται δὲ κομήτης οὕτως ἔχων· αἱ γὰρ πρὸς τὴν ἀτμίδα φερόμεναι ἡμῶν ὄψεις καὶ ἀνακλώμεναι οὐκ ἀφικνοῦνται πρὸς τὸν
5 ἥλιον διὰ τὴν μεγίστην αὐτοῦ ἀπόστασιν· τῆς γὰρ κατὰ πλάτος τῶν πλανωμένων κινήσεως μεγίστη ἐστὶν αὕτη διάστασις ἡ μεταξὺ τῶν τροπικῶν. ἀλλ' οὐδ' εἰ ἀμφότεροι ἐν ταῖς χειμεριναῖς εἶεν τροπαῖς ἢ τούτων πλησίον, κόμη περὶ τὸν ἀστέρα συνίσταται, τοῦ ἡλίου ὑπὸ γῆν ὄντος καὶ πλείστην 50
ἀφεστῶτος διάστασιν· δῆλον γὰρ ὡς ἐν ταῖς νυξὶν ὁ ἀστὴρ οὗτος φαίνεται.
10 ἐπειδὴ γὰρ οἱ περὶ τὰς τροπὰς τὰς χειμεριναὶς κύκλοι τὸ κέντρον ὑπὸ γῆν ἔχουσι, μεῖζον μέν ἐστιν ἡμικυκλίου τὸ ὑπὸ γῆν αὐτῶν μέρος, ἔλαττον δὲ τὸ ὑπὲρ γῆν τοσαύτην ἔχον τὴν μείωσιν, ὅσην ἐκεῖνο τὴν πρόσθεσιν· διὸ καὶ μείζους ἔσθ' ὅτε τῶν ἡμερῶν εἰσιν αἱ νύκτες. αἱ οὖν πρὸς τὴν ἀτμίδα φερόμεναι ὄψεις ἡμῶν καὶ ἐξ αὐτῆς τοὔμπαλιν ἀνακλώμεναι καὶ κάτω
15 φερόμεναι οὐκ ἐξικνοῦνται πρὸς τὸν ἥλιον διὰ τὸ τὴν | μείζονα τοῦ κύκλου 95r
περιφέρειαν τὴν ὑπὸ γῆν αὐτὸν διιέναι. εἰ δὲ ἐν ταῖς θεριναῖς τροπαῖς ἀμφότεροι γένοιντο ὅ τε ἀστὴρ καὶ ὁ ἥλιος, ἐπειδὴ τῶν ἐνταῦθα κύκλων ἔμπαλιν ὑπὲρ γῆν ὄντος τοῦ κέντρου μείζονα μὲν ἡμικυκλίου τὰ ὑπὲρ γῆν ἐστι μέρη τῶν κύκλων, ἐλάττονα δὲ τὰ ὑπὸ γῆν, διὸ καὶ μικραὶ μὲν αἱ
20 νύκτες εἰσί, μείζους δὲ τοὔμπαλιν αἱ ἡμέραι, δύνανται τῇ ἀτμίδι προσπεσοῦσαι ἡμῶν αἱ ὄψεις ἄνω κειμένῃ καὶ ἐξ αὐτῆς ἀνακλώμεναι φέρεσθαι 5
κάτω πρὸς τὸν ἥλιον τὴν μικρὰν περιφέρειαν τοῦ κύκλου τὴν ὑπὸ γῆν διερχόμενον. δεῖ οὖν κατὰ τούτους εἰς τὸ γενέσθαι τὸν ἀστέρα κομήτην καὶ ἐν ὑγροτέροις αὐτὸν εἶναι τόποις καὶ τὸν ἥλιον τοιαύτην πρὸς αὐτὸν
25 ἔχειν σχέσιν ὑπὸ γῆν ὄντα, ὡς δύνασθαι τὰς ὄψεις ἡμῶν ἐκ τῆς ὑπ' αὐτὸν ἀτμίδος ἀνακλωμένας ἐπὶ τὸν ἥλιον φέρεσθαι· ὡς εἰ θάτερον τούτων λείψειεν, οὐ γίνεται κομήτης ὁ ἀστήρ. καὶ οὗτοι δὲ τοῖς Πυθαγορείοις ὁμοίως τὸν ἀστέρα τοῦτον σύνδρομον εἶναι τῷ ἡλίῳ φασὶ καὶ σπανίως αὐτοῦ 10
διίστασθαι· διόπερ ὑπὸ τῶν αὐγῶν αὐτοῦ σκεπόμενον ἐπὶ πλεῖστον ὀλιγάκις
30 ἔλεγον φαίνεσθαι κατὰ τὴν εἰρημένην ὑπόθεσιν· τὸ αὐτὸ δὲ τοῦτο καὶ τὸν τοῦ Ἑρμοῦ πάσχειν διὰ τὴν αὐτὴν αἰτίαν, ὡς φθάσαντες εἴπομεν. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια τοιαύτη. λοιπὸν τὴν λέξιν σκοπήσωμεν.

p. 343a4 Διὰ δὲ τὸ ὑπολείπεσθαι βραδύτατα τῷ χρόνῳ διὰ πλείστου χρόνου φαίνεσθαι τῶν ἄλλων ἄστρων.

35 Τὸ ὑπολείπεσθαι βραδύτατα τῷ χρόνῳ ὁ Ἀλέξανδρος ἐξηγούμενος βραδυτάτῳ χρόνῳ ὑπολείπεται, φησί, τουτέστι τὸν ἑαυτοῦ περίεισι κύκλον. ὑπολείπεσθαι γὰρ οἱ πλανῆται λέγονται ἢν αὐτοὶ καθ' αὑτοὺς κινοῦνται κίνησιν, ἀνάπαλιν οὖσαν ἢ ὑπὸ τῆς ἀπλανοῦς περιφέρονται. λέγονται δὲ ὑπολείπεσθαι, ὅτι διὰ ταύτην τὴν κίνησιν ὑστερίζοντες φαίνονται τῶν 15

2 ἕλκει M 8 ἀέρα V 14 ἐξ om. a 17 τῶν et κύκλων scripsi: τὸν et κύκλον libri 22 τοῦ ὑπὸ γῆν a 35 Ἀλέξανδρος] p. 27,12 36 βραδύτατα τῷ χρόνῳ Alex. 38 ἢ MV: ᾗ a Alex.

ἄλλων πλανητῶν μὴ οὕτω βραδέως ὑπολειπομένων. ταῦτα μὲν οὖν ἐπὶ 95r
λέξεως ὁ Ἀλέξανδρος. ἀσαφῆ δὲ οὖσαν τὴν Ἀριστοτέλους λέξιν ἀσαφε- 20
στέραν ἐποίησε καὶ τοὐμπαλιν ἥπερ ἡ λέξις βούλεται ταύτην ἡρμήνευσεν.
ἐκεῖνοι μὲν γὰρ αἰτίαν ἀποδοῦναι βουλόμενοι τοῦ διὰ πλείστου χρόνου φαί-
5 νεσθαι τὸν κομήτην, ⟨ὃν⟩ ἕνα τῶν πλανωμένων εἶναι βούλονται, διὰ τὸ ὑπο-
λείπεσθαί φασι τοῦτον βραδυτάτῳ χρόνῳ, τούτου χάριν διὰ πλείστου φαί-
νεσθαι χρόνου. τὸ δὲ ὑπολείπεσθαι τί ἐστιν ἑρμηνεύων ὁ Ἀλέξανδρος τὸ
ἐκπεριιέναι φησὶ τὸν ἴδιον κύκλον. καὶ πῶς αἴτιόν ἐστι τοῦτο τοῦ βραδυ-
τάτῳ χρόνῳ φαίνεσθαι τὸν κομήτην; τοὐναντίον γὰρ μᾶλλον ὅσῳ ἐχρῆν 25
10 βραδύτατα καὶ διὰ πλείστου χρόνου τὸν ἑαυτοῦ κύκλον ἐκπεριέρχεσθαι, το-
σούτῳ μᾶλλον αὐτὸν ἀφεστηκότα τοῦ ἡλίου πολλάκις μὲν φαίνεσθαι, ὀλιγάκις
δὲ γίνεσθαι ἀφανῆ. τοῦ γὰρ ἡλίου δι' ἐνιαυτοῦ τὸν ἴδιον κύκλον περιιόντος,
διὰ πλείστου δὲ λίαν τοῦ κομήτου, ἀνάγκη πάντως παραλλάττειν αὐτοῦ τὸν
ἥλιον καὶ πλεῖστον διίστασθαι, καὶ διὰ τοῦτο τὸν κομήτην διαφεύγοντα τοῦ
15 ἡλίου τὸ φῶς πλεονάκις φαίνεσθαι. οἷον ὑποκείσθω τὸν κομήτην ἐν ἔτεσιν 30
ἑξήκοντα διανύειν τὸν ἑαυτοῦ κύκλον, τουτέστι κατὰ πέντε ἔτη κινεῖσθαι
ζῴδιον ἕν, κατὰ δὲ ἐνιαυτὸν μοίρας ἕξ, κατὰ μῆνα μοίρας ἥμισυ· πάλιν
ὑποκείσθω τὸν κομήτην καὶ τὸν ἥλιον ἐν κριῷ εἶναι κατὰ τὸ αὐτὸ σημεῖον·
τοῦ οὖν ἡλίου ἐν μηνὶ τὸν κριὸν ἐξερχομένου κατὰ τὴν ἰδίαν αὐτοῦ κίνησιν,
20 ἐν τούτῳ τὸν κομήτην κατὰ τὴν εἰρημένην ὑπόθεσιν ἥμισυ μοίρας τοῦ
κριοῦ κεκινῆσθαι. δῆλον ⟨οὖν⟩ ὅτι τὰς αὐγὰς ἀποφυγὼν τοῦ ἡλίου φανήσεται
πάντως, τοσοῦτον καὶ μόνον ὑπ' αὐτὰς κρυπτόμενος, ἕως ἂν ὁ ἥλιος ζῴδιον
αὐτὸν καὶ τρίτον ἑτέρου παραδράμῃ κατὰ τὸν Ἡσίοδον περὶ τῶν Πληϊάδων 35
λέγοντα "αἳ δ' ἤτοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα κεκρύφαται". τὸν
25 οὖν λοιπὸν ἅπαντα χρόνον ἀνάγκη φαίνεσθαι τὸν κομήτην, καὶ τοῦτο κατ'
ἐνιαυτὸν συμβαίνειν· καὶ γὰρ ὁ Κρόνος τῶν λοιπῶν σπανιώτερον κρύπτεται
βραδύτατος ὤν. τοῦτο δὲ πᾶν τοὐναντίον ἐστὶν οὗπερ ἐκεῖνοι βούλονται·
ὡς γὰρ ὁ Ἑρμαϊκός φασιν ἀστὴρ ἰσόδρομος ὢν τῷ ἡλίῳ καὶ ὀλίγον αὐτοῦ 40
ποτε παραλλάττων σπανίως φαίνεται, οὕτως ἔχειν καὶ τὸν κομήτην· ὥστε
30 τοὐναντίον οὗ βούλονται τὴν λέξιν ὁ Ἀλέξανδρος ἐξηγήσατο. τίς οὖν ἡ τῆς
λέξεως Ἀριστοτέλους διάνοια; φημὶ τοίνυν τὸ ὑπολείπεσθαι βραδυτάτῳ
χρόνῳ φησὶ τὸ τοῦ ἡλίου μετὰ πολὺν ὑπολείπεσθαι χρόνον· σύνδρομος γὰρ
ὢν αὐτῷ, καθὰ βούλονται, διὰ πλείστου χρόνου τοῦτον ἀπολιμπάνει, ὅτε
καὶ τὰς αὐγὰς αὐτοῦ διαφυγὼν εἰκότως ἡμῖν ἐμφανὴς διὰ πλείστου γίνεται
35 χρόνου· καὶ ταύτῃ τῇ ἐξηγήσει καὶ τὸ ἀπεικάζειν αὐτὸν τῷ Ἑρμαϊκῷ 45
ἀστέρι συμφωνεῖ.

---

1. 2 ὁ Ἀλέξανδρος ἐπὶ λέξεως coll. a 2 λέξιν in lit. M 4 τοῦ διαπλάστου χρόνου a
5 ὂν addidi 8 περιιέναι a 16 ἔτη] ἔτι a 21 δῆλον οὖν ὅτι scripsi:
δηλονότι libri 23 κατὰ τὸν Ἡσίοδον] Op. et d. 385 sq. 24 δ' ἤτοι Hes. l. l.:
δήτοι libri 27 οὗπερ scripsi: ὅπερ libri 30 οὗ] ἐστὶν ὅπερ ἐκεῖνοι M
33 ἀπολιμπάνειν a ὅτε] fort. ὥστε

p. 343a6 Ὡς ὅταν ἐκ ταὐτοῦ φανῇ ὑπολελειμμένον ὅλον τὸν ἑαυ- 95r
τοῦ κύκλον.

Ἐπισημειοῦσθαι δεῖ ὡς εἰπὼν ἐν τοῖς προκειμένοις "διὰ δὲ τὸ ὑπο
λείπεσθαι βραδυτάτῳ χρόνῳ" καὶ μὴ προσθεὶς τὸν ἑαυτοῦ κύκλον νῦν
5 φησιν ὡς ὅταν ἐκ τοῦ αὐτοῦ φανῇ, ὑπολελειμμένος ἂν εἴη τὸν ἑαυτοῦ
κύκλον, ὡς πρότερον μὲν τοῦ ἡλίου σπανίως αὐτὸν βουλόμενος ὑπολείπεσθαι
(διὸ καὶ διὰ πολλοῦ φαίνεσθαι χρόνου) νυνὶ δὲ τὸν ἑαυτοῦ κύκλον ὑπολεί-
πεσθαι λέγων. τί οὖν ἐστι τὸ νῦν λεγόμενον; ὡς ἐπειδὰν ἐκ τοῦ αὐτοῦ ση- 50
μείου φανῇ, ἐξ οὗ καὶ πρότερον ὤφθη, ὅλον τὸν ἑαυτοῦ κύκλον ὑπολείπεται,
10 τουτέστιν ὅλον ἐξήνυσε καὶ περιῆλθε τὸν ἑαυτοῦ κύκλον. τὸ μὲν οὖν ὅλως
φαίνεσθαι τὸν ἀστέρα τοῦτον κατ' αὐτοὺς ἐκ τοῦ πλεῖον ἀπολιμπάνειν ποτὲ
γίνεται, τὸ δὲ εἰς τὸ αὐτὸ σημεῖον φαίνεσθαι, ἐξ οὗ καὶ πρὸ πολλοῦ χρόνου
ἐφάνη, τοῦ περιελθεῖν ὅλον τὸν ἑαυτοῦ κύκλον αἴτιόν ἐστιν.

p. 343a7 Ὑπολείπεσθαι δ' αὐτὸν καὶ πρὸς ἄρκτον καὶ πρὸς νότον.

15 Ὑπολείπεται τοῦ ἡλίου, φησίν, ὁ κομήτης ποτὲ μὲν πρὸς ἄρκτον, 95v
ποτὲ δὲ πρὸς νότον· θέλει γὰρ διὰ τούτων διδάξαι, πότε ποιεῖ κόμην κατ'
ἐκείνους καὶ πότε οὔ. ὥστε καὶ ὅτε ἔλεγε "διὰ τὸ ὑπολείπεσθαι βραδυτάτῳ
χρόνῳ" τοῦ ἡλίου ἔλεγεν ὑπολείπεσθαι.

p. 343a10 Πρὸς δὲ νότον ὅταν φέρηται, δαψίλειαν ἔχειν τῆς τοι-
20 αύτης νοτίδος, ἀλλὰ διὰ τὸ μικρὸν εἶναι τὸ ὑπὲρ γῆν τμῆμα 5
τοῦ κύκλου, τὸ δὲ κάτω πολυπλάσιον, οὐ δύνασθαι τὴν ὄψιν
τῶν ἀνθρώπων φέρεσθαι κλωμένην πρὸς τὸν ἥλιον οὔτε τῷ νοτίῳ
τόπῳ πλησιάζοντος οὔτ' ἐπὶ θεριναῖς τροπαῖς ὄντος τοῦ ἡλίου.

Ἐν μὲν οὖν τοῖς ὑπὸ τὸν ἰσημερινὸν τόποις καὶ τοῖς τούτῳ πλησιά-
25 ζουσιν οὐκ ἴσχει κόμην διὰ τὴν ὑπερβολὴν τῆς ἐκεῖθεν θερμασίας καὶ τῆς
ξηρότητος. ὑπερβὰς δὲ τοὺς τόπους τούτους καὶ φερόμενος ἐπὶ τοὺς τροπι-
κοὺς καὶ μέχρις αὐτῶν δαψίλειαν μὲν ὑδάτων ἔχει καὶ πολλὴν ἐκ τούτων
ἀτμίδα συνέλκει, ἀλλ' ἐν μὲν τοῖς νοτίοις, φησί, τοῦ πλείστου μέρους τῶν 10
κύκλων ὑπὸ γῆν ὄντος, ὅπερ ὁ ἥλιος ἐν ταῖς νυξὶ διέρχεται, συμβαίνει τὰς
30 ἐκ τῆς ἀτμίδος ἀνακλωμένας ὄψεις μὴ ἀφικνεῖσθαι κάτω πρὸς τὸν ἥλιον
διὰ τὴν πολλὴν αὐτοῦ ἀπὸ τοῦ ὁρίζοντος ἀπόστασιν τὴν ὑπὸ γῆν. ἐν δὲ
τῷ βορείῳ διὰ τὸ μικρὰν εἶναι τὴν ὑπὸ γῆν ἐκείνων τῶν κύκλων περιφέ-

---

1 ὑπολελειμμένον Arist. EHN ex corr. V¹: ὑπολελειμμένος Ma Arist. F 3 δεῖ] δὴ M εἰπὼν scripsi: εἶπον libri 4 νῦν — κύκλον (6) om. Ma 5 ὑπολελειμμένος scripsi: ὑπολελειμμένον V 8 νῦν τὸ coll. V 10 ὅλον om. a 11 κατ' αὐτὰς a 12. 13 τὸ δὲ — τοῦ περιελθεῖν] exspectas τοῦ δὲ — τὸ περιελθεῖν 12 τὸ ante αὐτὸ om. a 16 post κόμην add. καὶ Ma 22. 23 νοτίῳ τόπῳ MVa: τροπικῷ τόπῳ Arist. HN: τροπικῷ Arist. F: νότῳ Arist. E 24 τόποις ex τόπον corr. M¹

ρειαν ἀφικνοῦνται πρὸς τὸν ἥλιον. μήποτε δὲ εἴ τις ὑποθοῖτο ἐν τοῖς 95v
θερινοῖς κύκλοις ἅμα τῷ δῦναι τὸν ἥλιον καὶ μὴ πολλὴν μοῖραν τῆς ὑπὸ 15
γῆν διεληλυθέναι περιφερείας μηδὲ τῆς ἀπὸ τοῦ κέντρου φερομένης ἐπὶ
ταύτην γραμμῆς ἅψασθαι, τότε δύνασθαι τὰς ὄψεις ἐπ' αὐτὸν ἀνακλᾶσθαι
5 τὸν ἥλιον, καὶ τοὐναντίον ἐν τοῖς χειμερινοῖς, ἐπεὶ πολὺ τοῦ ὑπὸ γῆν ὁ
ἥλιος διέλθοι τμήματος, ὡς ἐν τῷ ὑπὸ γῆν τούτου γενέσθαι μεσουρανήματι
ἢ καί τι ὑπερβῆναι τούτου μικρόν, τότε μὴ δύνασθαι τὰς ἀνακλωμένας
ὄψεις πρὸς τοῦτον φέρεσθαι· οὔτε οὖν ἐν τοῖς βορείοις ὄντος τοῦ κομήτου
ἀεὶ ἕξει κόμην οὔτε ἐν τοῖς νοτίοις οὐδέποτε [οὐχ] ἕξει κατὰ τὴν εἰρημένην
10 ὑπόθεσιν. 20

p. 343a 20 Πᾶσι δὲ τούτοις τὰ μὲν κοινῇ συμπίπτει λέγειν ἀδύνατα, τὰ δὲ καὶ χωρίς.

Ἐντεῦθεν λοιπὸν ἐπὶ τὸν ἔλεγχον τῶν εἰρημένων ὑποθέσεων τρέπεται. τῶν δὲ παρακολουθούντων ταῖς ὑποθέσεσι ταύταις ἀτόπων, φησί, τὰ μὲν
15 ὁμοῦ πάσαις ἐστὶ κοινά, τὰ δὲ καὶ ἴδια ἑκάστῃ. καὶ τέως τὰ κοινῇ πάσαις ἑπόμενα τίθησι, καὶ τοῖς σύμφασιν ἁπάντων ἅμα τῶν πλανωμένων τὸν κομήτην 25
εἶναι λέγουσιν καὶ τοῖς ἕνα τούτων ἢ ἕτερόν τινα πλανώμενον ἀστέρα παρὰ τοὺς πέντε τοὺς ἐγνωσμένους ἡμῖν, τοῖς τε οἰκείαν ἔχειν τὴν κόμην καὶ τοῖς ἔξωθεν αὐτὴν γινομένην ὑποτιθεμένοις.

20 p. 343a 22 Πρῶτον μὲν οὖν τοῖς λέγουσιν ὅτι τῶν πλανωμένων ἐστὶν εἷς ἀστέρων ὁ κομήτης· οἱ γὰρ πλανώμενοι πάντες ἐν τῷ κύκλῳ ὑπολείπονται τῷ τῶν ζῳδίων, κομῆται δὲ πολλοὶ ἑωραμένοι εἰσὶν ἔξω τοῦ κύκλου. εἶτα καὶ πλείους ἑνὸς ἅμα γεγένηνται πολλάκις. 30

25 Τὸ προκείμενον ἐπιχείρημα κοινός ἐστιν ἔλεγχος καὶ τῶν σύμφασιν μίαν τῶν πέντε πλανωμένων εἶναι λεγόντων τὸν κομήτην, ἢ εἰ καὶ ἕνα λέγοι τις αὐτὸν καὶ ἄλλον εἶναι τοῦτον παρὰ τοὺς συνεγνωσμένους ἡμῖν πέντε πλανώμενον καὶ αὐτόν. οἱ μὲν γὰρ πλανώμενοι, φησί, πέντε τὸν ζῳδιακὸν ἐπέχουσι κύκλον, κἂν τούτῳ δὴ κινοῦνται μηδαμῇ παρεξιόντες
30 αὐτὸν ἐπὶ βορρᾶν ἢ ἐπὶ νότον, οἱ δὲ λεγόμενοι κομῆται ἄλλοτε μὲν τοῦ 35
ζῳδιακοῦ βορειότεροι, ἄλλοτε δὲ νοτιώτεροι φαίνονται. ἔτι πλείονες ἑνὸς ἅμα πολλάκις ὤφθησαν κομῆται, ὡς περὶ ἑνὸς δὲ πάντες οἱ παλαιοὶ κομήτου τεχνολογοῦσι. καὶ ἄλλως κομήτου φανέντος ἑνὸς ἢ πλειόνων τοὺς πλανωμένους ἔστιν ἀπαριθμήσασθαι πάντας καὶ ἰδεῖν ἐν τῷ τόπῳ τῷ οἰκείῳ
35 φαινόμενον ἕκαστον. οὔτε οὖν πάντων ἅμα σύμφασις οὔτε εἷς ἐξ αὐτῶν

2 exspectas χειμερινοῖς κύκλοις et v. 5 θερινοῖς 4 τότε δύνασθαι om. a 9 οὐχ delevi 21 ἐστὶν—ἀστέρων] εἷς ἐστιν Ma 22 τῷ om. Ma 22. 23 ἑωραμένοι V Arist. FHN: ὠμμένοι Ma Arist. E 27 τοῦτον] τοῦτο a 29 καὶ τούτῳ a μηδαμῶς V 31 post φαίνονται add. οὔτε σύμφασις ἄρα τῶν πέντε ἐστὶν οὔτε εἷς αὐτῶν οὔτε παρὰ τούτους ἄλλος ἐστὶν ἀστὴρ ὁ κομήτης a 33 ἄλλως ex ἄλλου corr. M[1]

ἐστιν ὁ κομήτης. ἀλλ' οὐδὲ παρὰ τούτους ἕτερος ὑπάρχει πλανώμενος καὶ 95v
τὸν ζῳδιακὸν παραλλάσσων, πρῶτον μὲν ὅτι πάντες οἱ τὴν ἐναντίαν τῇ 41
ἀπλανεῖ φερόμενοι, οὓς διὰ τοῦτο πλανήτας λέγομεν, τὸν ζῳδιακὸν οὐ παρ-
εξίασιν· ἔπειτα τίνος ἕνεκα διὰ πολλοῦ χρόνου φαίνεσθαί φασι κομήτην; οὐ διὰ
5 τὸ σύνδρομον εἶναι τῷ ἡλίῳ καὶ ὑπὸ τῶν αὐγῶν τῶν ἐκείνου καλύπτεσθαι;
οὐκοῦν ἅμα τῷ ἡλίῳ καὶ αὐτὸς τὸν ζῳδιακὸν ἐπέχει κύκλον· οὔτε γὰρ οἱ
βορειότατοι οὔτε οἱ νοτιώτατοι ὑπ' αὐτοῦ κρύπτονται. πῶς οὖν οἱ κομῆ- 45
ται καὶ τοῦτον φαίνονται παρεξιόντες; μήποτε δὲ πρὸς τὸ πλῆθος τῶν κο-
μητῶν οἱ σύμφασιν εἶναι λέγοντες πιθανολογούμενοι φήσουσιν ὡς δυνατόν
10 ἐστι τρεῖς μὲν τυχὸν συνιέναι πλανήτας ἀλλήλοις καὶ μίαν ποιεῖσθαι σύμ-
φασιν, τοὺς δὲ λοιποὺς δύο πάλιν ἑτέραν, ὥστε δύο γίνεσθαι κομήτας. τί
οὖν ἐροῦσιν, εἰ καὶ τρεῖς ἢ πλείους φανεῖεν, καὶ οὗτοι τὸν ζῳδιακὸν παρ-
αλλάσσοντες, τῶν συνεγνωσμένων ἡμῖν πέντε φαινομένων καὶ μὴ συνελ-
θόντων ἀλλήλοις, ἀλλὰ καὶ διεστώτων πολλάκις πλεῖστον ἀλλήλων; καὶ 50
15 ἄλλως κατὰ μέρος οἱ κομῆται δυόμενοι φαίνονται καὶ ὡς ἐπὶ πυρὸς ἐνδείᾳ
τῆς ὕλης δαπανωμένου κατὰ μικρόν. ἀλλὰ καὶ τὰ σχήματα μεταλλάττουσι
πολλάκις, ὅπερ ἡμεῖς τεθεάμεθα. τοῦτο δὲ ὑπομένει τῶν ἀστέρων οὐδεὶς
οὔτε ἀπλανὴς οὔτε πλανώμενος.

p. 343a26 Πρὸς δὲ τούτοις, εἰ διὰ τὴν ἀνάκλασιν τὴν κόμην
20 ἔχουσι, καθάπερ φησὶν Αἰσχύλος καὶ Ἱπποκράτης, ἔδει ποτὲ 96r
φαίνεσθαι καὶ ἄνευ κόμης τὸν ἀστέρα τοῦτον, ἐπειδήπερ ὑπο-
λέλειπται μὲν καὶ εἰς ἄλλους τόπους, τὴν δὲ κόμην ἴσχει οὐ
πανταχοῦ· νῦν δὲ οὐδεὶς ὦπται παρὰ τοὺς πέντε ἀστέρας.

Τοῦτο πρὸς Ἱπποκράτην φησὶ καὶ μόνον καὶ τὸν αὐτοῦ μαθητὴν
25 Αἰσχύλον. εἰ γὰρ ἐξ ἀνακλάσεως ἡ φαντασία κατ' αὐτοὺς τῆς κόμης γί- 5
νεται, οὐ πανταχοῦ δὲ δυνατὸν ἀπὸ τῆς ἀτμίδος ἐπὶ τὸν ἥλιον ἀνακλᾶσθαι
τὰς ὄψεις ἡμῶν, οὐκ ἀεὶ κόμην ὁ ἀστὴρ οὗτος ἕξει· ἔδει οὖν αὐτόν, φησίν,
ἑτέρωσέ ποι καὶ ἄνευ κόμης ποτὲ φαίνεσθαι. εἰ γὰρ καὶ ἐν ἄλλοις ὑπο-
λείπεται τόποις, ἐν οἷς αὐτόν, ὥς φασιν, οὐχ οἷόν τε τὴν κόμην ἔχειν διὰ
30 τὸ μηδὲ ἀνακλᾶσθαι πανταχοῦ δύνασθαι τὰς ὄψεις ἡμῶν ἐπὶ τὸν ἥλιον,
διὰ τί μὴ φαίνεται ὁ ἀστὴρ οὗτος ὁ πλανώμενος ἐν ἄλλοις τόποις κόμης
χωρίς, ἀστὴρ ὢν ἁπλῶς καὶ μόνον; νῦν δέ, φησί, παρὰ τοὺς πέντε τοὺς
πλανωμένους οὐδεὶς οὐδαμοῦ φαίνεται πλανώμενος ἀστήρ. ταῦτα μὲν οὖν 10
πρὸς τούτους. πρὸς δὲ τοὺς λέγοντας οἴκοθεν ἔχειν τὴν κόμην οὐδὲν ἀντ-
35 εῖπεν Ἀριστοτέλης, ὡς προφανοῦς ἀτοπίας οὔσης· ἀποκληρωτικὸς γὰρ ὁ
λόγος ἐστί. παρὰ τοὺς πέντε διὰ τί μόνος ἔχει κόμην; εἰ δὲ εἷς τῶν πέντε,
πῶς οὐδὲ εἷς αὐτῶν φαίνεται κόμην ἔχων; εἰ δὲ ἐκ τῆς πάντων συμφά-
σεως γίνεται μηδενὸς τούτων κόμην ἔχοντος, πόθεν ἐν τῷ γενομένῳ ἐκ τῆς
αὐτῶν συνόδου γέγονεν ἡ κόμη; εἰ δὲ τῷ ἀποσπινθηρίζειν τὴν κόμην αὐ-

---

8 τοῦτον] τοῦτο a 15 οἱ κομῆται] οἰκονομῆται M 20 ἔχουσι V Arist. FΠN: ἴσχουσι M a Arist. E 21. 22 ὑπολείπεται Arist. 29 τὴν om. Ma 36 post ἔχει add. τὴν a

τὸν ἐροῦσιν ἔχειν (φαίνονται γὰρ οἱ λαμπρότατοι τῶν ἀστέρων τοιοῦτοί 96r
τινες, ὡς ὁ τοῦ κυνός, ὁ τῆς Ἀφροδίτης, ἀκτῖνας πανταχόθεν ἐκπέμποντες, 16
αἵτινες οἷόν τις αὐτοῖς κόμη περίκεινται) ἀλλὰ πλάνη δηλονότι τῆς ὄψεως
ἡμῶν ἐστι τὸ τοιοῦτον πάθος, καὶ οὐκ αὐτῶν ἀπῃώρηται πανταχόθεν τινὰ
5 σωμάτια. καὶ γὰρ ἐπὶ λύχνου τοῖς ἀσθενεστέροις τὰς ὄψεις καὶ ὑγροτέρου
ὄντος τοῦ ἀέρος φαντασία τοιαύτη γίνεται· οὐκ αὐτῶν οὖν ἡ τοιαύτη κόμη.

p. 343a31 Οὗτοι δὲ πολλάκις ἅμα πάντες μετέωροι φαίνονται 20
ὑπὲρ τοῦ ὁρίζοντος. καὶ φανερῶν δ' ὄντων αὐτῶν ἁπάντων καὶ
μὴ φαινομένων πάντων ἀλλ' ἐνίων ὄντων πρὸς τῷ ἡλίῳ, οὐδὲν
10 ἧττον κομῆται φαίνονται γινόμενοι πολλάκις.

Οὗτος ὁ λόγος ἁρμόζει μάλιστα πρὸς τοὺς σύμφασιν τῶν πλανωμένων τὸν κομήτην εἶναι λέγοντας. εἰ γὰρ σύνοδος εἰς ταὐτὸ πάντων καὶ σύμφασις ὁ κομήτης ἐστίν, ἔδει κομήτου γινομένου μηδαμοῦ λοιπὸν ἑτέρωσε 25
φαίνεσθαι τῶν πλανωμένων μηδένα μηδ' ὑπὸ γῆν τούτων εἶναί τινα. νῦν
15 δὲ καὶ πάντων ὑπὲρ γῆν ὄντων καὶ ὁρωμένων καὶ πάντων ὑπὸ γῆν, καὶ τινῶν μὲν ὑπὲρ γῆν, τινῶν δὲ ὑπὸ γῆν, καὶ πάντων ἐγγὺς ὄντων καὶ ἄλλων ἀλλαχοῦ διεστώτων ὅμως κομῆται φαίνονται μηδενὶ τῶν πλανωμένων πλησιάζοντες. τούτου δ' ἀληθοῦς ὄντος οὐκ ἄρα σύμφασις τῶν πλανωμένων ἐστὶν ὁ κομήτης, οὐδ' ἅμα πάντων οὐδέ τινων.

20 p. 343a35 Ἀλλὰ μὴν οὐδὲ τοῦτο ἀληθές, ὅτι ἐν τῷ πρὸς ἄρκτον 30
τόπῳ γίνεται κομήτης μόνον, ἀλλὰ καὶ τοῦ ἡλίου ὄντος περὶ θερινὰς τροπάς· ὅ τε γὰρ μέγας κομήτης ὁ γενόμενος περὶ τὸν ἐν Ἀχαΐᾳ σεισμὸν καὶ τὴν τοῦ κύματος ἔφοδον ἀπὸ δυσμῶν τῶν ἰσημερινῶν ἀνέσχε, καὶ πρὸς νότον ἤδη πολλοὶ γεγόνασιν.

25 Πάλιν πρὸς τοὺς περὶ Ἱπποκράτην μετάγει τὸν ἔλεγχον ἐν μόνοις λέγοντας τοῖς βορείοις μέρεσι τὸν κομήτην γενέσθαι, ὅτε καὶ ὁ ἥλιος τοὺς τόπους ἐπέχει τοὺς αὐτούς, διὰ τὸ καὶ ἀτμίδα πολλὴν ἐκεῖσε δύνασθαι τὸν 35
κομήτην συνέλκειν εἰς ἑαυτόν, ὑγρῶν ὄντων τῶν τόπων, καὶ τὰς ὄψεις ἡμῶν προσπιπτούσας αὐτῇ καὶ ἀνακλωμένας φέρεσθαι πρὸς τὸν ἥλιον διὰ
30 τὸ μικρὸν εἶναι τὸ ὑπὸ γῆν τοῦ κύκλου μέρος· οὔτε δὲ μεταξὺ τῶν τροπικῶν ὑπὸ τὸν ἰσημερινὸν διὰ τὸ κατεξηράνθαι τοὺς τόπους οὔτε ἐν τοῖς νοτίοις διὰ τὸ μείζονα εἶναι τὰ ὑπὸ γῆν τῶν κύκλων τμήματα τῶν ὑπὲρ γῆν καὶ τὰς ὄψεις ἀνακλωμένας μὴ ἀφικνεῖσθαι πρὸς τὸν ἥλιον· ἀλλὰ μηδὲ εἰ ὁ ἥλιος ἐν ταῖς θεριναῖς εἴη τροπαῖς, τῆς ὄψεως πάλιν ἡμῶν διὰ 40
35 τὴν πολλὴν διάστασιν οὐκ ἐξισχυούσης δὴ ἀπὸ τῶν χειμερινῶν τροπῶν ἐπὶ τὰς θερινὰς ἀνακλωμένης φέρεσθαι. ὁ οὖν Ἀριστοτέλης ἐκ τῆς ἱστορίας καὶ τῶν φανέντων πολλάκις τὰς ὑποθέσεις ταύτας ἐλέγχει ψευδομένας.

---

8 αὐτῶν ἁπάντων om. Ma 13 γενομένου M 19 fort. οὔθ' ἅμα— οὔτε
21 μόνον ἅμα καὶ Arist. HN 28 ἑαυτῶν M 36 ὁ οὖν] οὖν οὖν V

τούτων δὲ ἐλεγχομένων καὶ ἡ αἰτία ἡ ἐξ αὐτῶν ἀποδεδομένη τῆς συστά- 96r
σεως τοῦ κομήτου συνελέγχεται. τοῦ γὰρ ἡλίου, φησίν, ὄντος περὶ τὰς
θερινὰς τροπὰς ὁ φανεὶς τότε μέγας κομήτης ἐκ δυσμῶν ἀνέσχε τῶν ἰση-
μερινῶν, ὥστε καὶ τοῦ ἡλίου τοσοῦτον διεστῶτος μεταξὺ τῶν τροπικῶν ὑπ' 45
5 αὐτὸν τὸν ἰσημερινὸν ὁ κομήτης συνέστη. ἀναγκαίως δὲ καὶ τὸ μέγιστον
εἶναι τὸν κομήτην ἐπισημειοῦται, καὶ τοσοῦτον μέγεθος ἦν, ὡς διὰ τὴν
πολλὴν τότε ὕλην, ἐξ ἧς ὁ Ἀριστοτέλης τοὺς κομήτας καὶ τοὺς σεισμοὺς
καὶ τοὺς ἀνέμους γίνεσθαι δείκνυσι, πολλὰς τῶν Ἀχαϊκῶν πόλεων ὑπὸ τοῦ
τότε γινομένου σεισμοῦ κατενεχθῆναι καὶ κύματος γενέσθαι κατὰ τῆς γῆς
10 ἔφοδον ἐξ ἀντικειμένων συνισταμένην πνευμάτων, ὡς δείξει. εἰ δὲ καθ' 50
Ἱπποκράτην τὸν Χῖον ἐκ τῆς ὑπὸ τὸν ἀστέρα ἑλκομένης ἀτμίδος τῶν ὄψεων
ἡμῶν ἐπὶ τὸν ἥλιον ἀνακλωμένων ὁ κομήτης συνίστατο, τὸ πυρῶδες τοῦ
ἡλίου χρῶμα ἐν τῷ ἐνόπτρῳ ἀτονούσης ὁρᾶν τῆς ὄψεως, πολλὴ ἄρα ὑπὸ
τὸν ἰσημερινὸν ἡ ἀτμὶς συνεστήκει. εἰ οὖν οὐδ' αὐτοῖς δοκεῖ μεταξὺ τῶν
15 τροπικῶν ἀτμίδα συνίστασθαι, ἐκεῖσε δ' ὁ τηλικοῦτος συνέστη κομήτης,
ψευδὴς ἄρα ἡ παρὰ τῶν περὶ τὸν Ἱπποκράτην ἀποδοθεῖσα τῆς γενέσεως τῶν
κομητῶν αἰτία. πάλιν δὲ τὸ ἱστορῆσαι καὶ πρὸς νότον πολλοὺς γεγονέναι
κο|μήτας ψευδόμενον ἤλεγξε τὸν ἐν μόνοις τοῖς βορείοις τόποις συνίστασθαι 96v
κομήτην λέγοντα. καὶ ἐπὶ τῶν καθ' ἡμᾶς δὲ χρόνων ὑπὸ τοὺς πόδας
20 τοῦ Ὠρίωνος συνέστη κομήτης ⟨ἐν τόποις⟩ νοτίοις οὖσι καὶ τοῦ ζῳδιακοῦ
διεστηκόσιν.

p. 343b4 Ἐπὶ δὲ ἄρχοντος Ἀθήνησιν Εὐκλέους τοῦ Μόλωνος
ἐγένετο κομήτης ἀστὴρ πρὸς ἄρκτον μηνὸς γαμηλιῶνος περὶ 5
τροπὰς ὄντος τοῦ ἡλίου χειμερινάς· καίτοι τοσοῦτον ἀνακλα-
25 σθῆναι καὶ αὐτοὶ τῶν ἀδυνάτων εἶναί φασιν.

Ἡ μὲν τοῦ μεγάλου κομήτου ἱστορία τὴν ὑπόθεσιν ἤλεγξεν Ἱπποκράτους τὴν λέγουσαν ἐν μόνοις τοῖς βορείοις τόποις κομήτην συνίστασθαι, ἡ δὲ νῦν τὴν λέγουσαν δεῖν πλησιάζειν τῷ κομήτῃ τὸν ἥλιον, καὶ μὴ τὸν μὲν εἶναι βορειότατον, τὸν δὲ νοτιώτατον· μηδὲ γὰρ τοσοῦτον ἀνακλασθῆναι
30 τὰς ὄψεις τῶν ἐνδεχομένων ὑπάρχειν. ἰδοὺ γοῦν ὁ φανεὶς ἐπὶ τοῦ εἰρη- 10
μένου ἄρχοντος κομήτης αὐτὸς μὲν πρὸς ἄρκτον ἐφάνη, ὁ δὲ ἥλιος πρὸς ταῖς χειμεριναῖς ὑπῆρχε τροπαῖς· τὴν μεγίστην ἄρα κατὰ πλάτος διεστήκεισαν ἀλλήλων ὅ τε κομήτης καὶ ὁ ἥλιος. εἰ οὖν καὶ αὐτοῖς ἀδύνατον εἶναι δοκεῖ, ἐπὶ τοσοῦτον ἀνακλωμένας διάστημα φέρεσθαι τὰς ὄψεις, κάν-
35 τεῦθεν ἄρα ψευδὴς οὖσα δέδεικται ἡ ἀποδοθεῖσα παρ' αὐτῶν τῆς γενέσεως τῶν κομητῶν αἰτία.

2 τοῦ γὰρ] οὐ γὰρ a 6 μέγεθος scripsi: μέγας libri 15 συνέστηκε Ma 16 παρὰ τῶν om. Ma 20 ἐν τόποις addidi 22 ἄρχοντος—Εὐκλέους] Ol. 88,2 = 427/26 a. Chr. Μόλωνος Arist.: μήλωνος libri: σόλωνος Alex. AW: μέλωνος Alex. I post Μόλωνος add. τοῦ μετὰ διότιμον Ma 28 τῷ κομήτῃ] τὸν κομήτην καὶ a 31 ὁ om. M 32 πλάτης V

p. 343ᵇ8 Κοινὸν δὲ καὶ τούτοις καὶ τοῖς τὴν σύναψιν λέγουσιν 96ᵛ πρῶτον μὲν ὅτι καὶ τῶν ἀπλανῶν λαμβάνουσι κόμην τινές. καὶ 16 τοῦτο οὐ μόνον Αἰγυπτίοις πιστεῦσαι δεῖ (καίτοι κἀκεῖνοί φασιν) ἀλλὰ καὶ ἡμεῖς ἐφεωράκαμεν· τῶν γὰρ ὄντων ἐν τῷ ἰσχίῳ τοῦ κυνὸς ἀστήρ τις ἔσχε κόμην, ἀμαυρὰν μέντοι· ἀτενίζουσι μὲν γὰρ εἰς αὐτὸν ἀμυδρὸν ἐγένετο τὸ φέγγος, παραβλέπουσι δ' ἠρέμα τὴν ὄψιν πλεῖον.

Καὶ κοινῶς ἀντειρηκὼς πρὸς τὰς εἰρημένας τῶν παλαιῶν ὑποθέσεις ἁπάσας καὶ τὰ ἰδίᾳ ἑκάστῃ αὐτῶν παρακολουθοῦντα προσθεὶς ἄτοπα, νῦν 20 πάλιν κοινοὺς ἐλέγχους ἐπιτίθησι καὶ τοῖς σύμφασιν τῶν πέντε πλανωμένων τὸν κομήτην εἶναι λέγουσι καὶ τοῖς ἕνα τῶν πλανωμένων ἕκτον ἀστέρα. τούτων δ' οἱ μὲν αὐτῷ συμπεφυκέναι τὴν κόμην ἔλεγον, οἱ δὲ ταύτην ἔξωθεν λαμβάνειν, μᾶλλον δὲ κόμης φαντασίαν εἶναι ἐκ τῆς τῶν ὄψεων ἀνακλάσεως ἀπὸ τῆς ἀναθυμιάσεως ἐπὶ τὸν ἥλιον γινομένης. εἰ γάρ, φησί, καὶ τῶν ἀπλανῶν κόμην λαμβάνουσί τινες, ὡς ἥ τε παλαιοτέρα τῶν Αἰγυπτίων ἱστορία βούλεται καὶ αὐτὸς Ἀριστοτέλης ἱστορηκέναι φησί τινα 25 ἐν τῷ ἰσχίῳ τοῦ κυνὸς τοῦτο παθόντα, οὐκ ἄρα ἰδιάζουσά τις ἀστέρος κομήτου φύσις ἐστὶν ἑνὸς ὄντος καὶ αὐτοῦ τῶν πλανωμένων, οὐδὲ σύμφασις ἅμα πάντων, ἐπεὶ οὐκ ἂν καὶ τῶν ἀπλανῶν τινες τοῦτο ἔπασχον πρότερον οὐκ ἔχοντες κόμην· ἔδει γὰρ καὶ τὸν παρ' αὐτοῖς λεγόμενον κομήτην ἀστέρα, εἴπερ ἀστὴρ ἦν κατ' ἀλήθειαν, πρότερον φαίνεσθαι κόμης ἐκτός. τίνος δὲ χάριν ἀτενὲς μὲν εἰς τὴν κόμην τοῦ ἀστέρος ὁρώντων ἀμυδρότερον τὸ φῶς τῆς κόμης ἐφαίνετο, εἰ δέ τι παραβλέψαιεν ὑπολοξοῦντες τὰς 30 ὄψεις, πλεῖον ἐδόκει τὸ φῶς εἶναι; πρὸς τοῦτο τῶν ὀπτικῶν τινες ἔφασαν ὡς τοῦ κώνου τῶν ἐκ τῆς κόρης ἐξιουσῶν ὄψεων (κωνοειδῶς γὰρ ἐξίασιν. ὡς καὶ πρότερον εἶπον) ὅσαι μὲν τῷ ἄξονι τοῦ κώνου πλησιάζουσι (μέσος δὲ δηλονότι πασῶν ὁ ἄξων ἐστίν) ἰσχυρότεραι τῶν ἄλλων εἰσὶ καὶ δυσπαθέστεραι, ὅσαι δὲ τούτων πορρωτέρω διεστήκασιν, ἀσθενέστεραι καὶ διὰ τοῦτο μᾶλλον εὐπαθεῖς θᾶττον διακρινόμεναι. διὸ καὶ μᾶλλον τοῦ αἰσθητοῦ 35 ἀντιλαμβάνονται· τὸ γὰρ μᾶλλον πάσχον μᾶλλον τοῦ ποιοῦντος ἀντιλαμβάνεται. ἐναντιοῦσθαι δὲ τούτῳ δοκεῖ τὸ μᾶλλον διακρίνεσθαι τὰς ὄψεις τοὺς ἀτενὲς τῷ ἡλίῳ προσέχοντας ἢ τοὺς λοξότερον αὐτῷ τοῖς ὄμμασιν ἐπιβλέποντας. ἀλλ' ἔστι καὶ πρὸς τοῦτο εἰπεῖν ὅτι δι' ἀμετρίαν τοῦ ἡλιακοῦ φωτὸς πρὸς τὰς ἡμετέρας ὄψεις τοῦτο συμβαίνει· ἡ γὰρ ὑπερβολὴ τοῦ δρῶντος εἰς φθορὰν ἄγειν τὸ πάσχον κινδυνεύουσα καὶ αὐτῆς τοῦ πάθους ἀφαιρεῖται τῆς ἀντιλήψεως. μήποτε οὖν αὐτό γε τοῦτο καὶ ἐπὶ τοῦ ζητουμένου συμβέβηκεν. ἀτενὲς γὰρ εἰς τὸ τῆς κόμης καὶ εἰς τὸ τοῦ ἀστέρος 40 φῶς ἀποβλέπουσιν ἅμα τό τε πάθος ἐγίνετο μεῖζον καὶ ἀσθενουσῶν διὰ τοῦτο τῶν ὄψεων ἡ κρίσις ἦν ἀμυδροτέρα· ὑποκλινομένων δὲ τῶν ὀφθαλμῶν καὶ λοξῶς ὁρώντων σύμμετρος ἡ τῶν ὄψεων ἐγίνετο διάκρισις καὶ ἡ ἀντίληψις ἀκριβεστέρα. σκόπει δὲ καὶ ἄλλως· εἰ δύο λύχνους θείης ἐπὶ

3 καὶ γάρ τοι Ma 7 πλεῖστον Ma 24 post τοῦτο add. δὲ M a

μιᾶς εὐθείας, τὸν μὲν ἀνωτέρω τὸν δὲ ὑποκείμενον αὐτῷ, εἶτα εἰς τούτους 96v
ἀποβλέψειας, ἀνθελκομένων ὑφ' ἑκατέρου φωτὸς τῶν ὄψεων διασπᾶται ἡ 45
κρίσις τῶν ὁρατῶν, κἀντεῦθεν τὸ φῶς ἀμυδρότερον εἶναι δοκεῖ· εἰ δὲ θάτερον αὐτῶν ὑφέλοιο, μηκέτι τοῦ εἰρημένου πάθους γενομένου ἀκριβεστέρα
5 τοῦ λυχνιαίου φωτὸς ἡ ἀντίληψις γίνεται. ἐπεὶ οὖν ἡ κόμη κατωτέρω τοῦ ἁπλανοῦς ὑπῆρχεν ἀστέρος, αἱ πρὸς ταῦτα φερόμεναι ὄψεις τὸ ἐπὶ τῶν λύχνων πάθος ὑπέμενον· λοξουμένων δὲ τῶν ὀφθαλμῶν οὕτως ὡς μηκέθ' ὁμοίως ἐπ' ἄμφω φέρεσθαι (ὁ γὰρ λοξῶν πάντως ὡς ἐπὶ τὴν κόμην τὰς ὄψεις ποιεῖ νεύειν ταύτην ἐθέλων ὁρᾶν) μηκέτι οὖν διασπωμένων τῶν ὄψεων 50
10 ἀκριβεστέρα τοῦ φωτὸς τῆς κόμης ἐγίνετο ἡ ἀντίληψις.

p. 343b 14 Πρὸς δὲ τούτοις ἅπαντες οἱ καθ' ἡμᾶς ὠμμένοι ἄνευ δύσεως ἠφανίσθησαν ἐν τῷ ὑπὲρ τοῦ ὁρίζοντος τόπῳ ἀπομαρανθέντες κατὰ μικρὸν οὕτως, ὥστε μήτε ἑνὸς ἀστέρος ὑπολειφθῆναι σῶμα μήτε πλειόνων.

15 Καὶ τοῦτο μέγιστον σημεῖον τοῦ τὸν κομήτην μήτε ἕνα τῶν πλανωμένων ἀστέρων ὑπάρχειν μήτε σύμφασιν ἅμα πάντων. πάντες γάρ, φησίν, 97r
οἱ ἐφ' ἡμῶν ὀφθέντες κομῆται ὑπὲρ γῆν ὄντες κατὰ μικρὸν διελύθησαν καὶ λυθέντες οὐδένα καταλελοίπασιν ἀστέρα. καὶ ἐπὶ τῶν ἡμετέρων δὲ χρόνων πολλοὺς οὕτω τεθεάμεθα λυθέντας καὶ πρὸ τῆς λύσεως εἰς σχήματα
20 μεταβαλόντας διάφορα. καίτοι γε εἰ ἀληθεῖς ἦσαν αἱ προειρημέναι περὶ τοῦ κομήτου δόξαι, τουτέστιν εἴτε εἷς ἦν οὗτος ἀστήρ, ἔδει λυθείσης τῆς κόμης αὐτὸν ὁρᾶσθαι, εἴτε σύμφασις πάντων ἅμα τῶν πλανωμένων εἰς 5
ταὐτὸ συνελθόντων, πάλιν ἔδει τοῦ κομήτου λυθέντος φαίνεσθαι τοὺς πλανωμένους ἅπαντας ἀπ' ἀλλήλων διεστηκότας, μᾶλλον δὲ τῇ διαστάσει
25 τούτων ἐκεῖνον λύεσθαι, καὶ οὐδὲν ἕτερον εἶναι τοῦ κομήτου τὴν λύσιν ἢ τὴν ἐκείνων ἀπ' ἀλλήλων διάστασιν. εἰ γὰρ ἡ σύνοδος αὐτῶν τὸν κομήτην ἐργάζεται, πάντως που φθείρεσθαι τοῦτον ἀνάγκη διισταμένων ἐκείνων. εἰ οὖν διαλελυμένων τῶν κομητῶν, καὶ οὓς Ἀριστοτέλης τεθέαται καὶ οὓς 10
ἡμεῖς καὶ πάντες ἁπαξαπλῶς, οὔτε εἷς ὑπολειπόμενος ἀστὴρ ἐφάνη οὔτε
30 πλείους, διαφέρον τε σχῆμα μεταλαμβάνειν τοὺς ἀστέρας ἀμήχανον ἦν, ψευδὴς ἄρα ἐστὶ τῶν ὑποθέσεων ἑκατέρα. καλῶς δὲ καὶ τὸ ὑπὲρ γῆν ὄντας ἀπομαρανθῆναι τούτους ἐπεσημήνατο· εἰ γὰρ ὑπὸ γῆν αὐτῶν ἡ λύσις ἐγένετο, οὐκ ἦν δῆλον, εἴτε ὑπολέλειπται μετὰ τοῦ κομήτου λύσιν ἀστὴρ εἴτε μή.

---

1 ὑποκείμενον αὐτῷ] κατωτέρω a 6. 7 τῶν λύχνων ex τὸ λύχνον corr. M¹ 7. 8 μὴ καθ' ὁμοίως M 13. 14 ὑπολειφθῆναι ex ἀπολειφθῆναι corr. V: ὑπολληφθῆναι a 19 πρὸ τῆς] πρὸς ἧς M 24 πλανομένους (sic) ex παυομένους corr. M¹ 28 ὁ Ἀριστοτέλης Ma 30 διαφέρον τε] διαφέρονται M: διαφέροντα a

p. 343b17 Ἐπεὶ καὶ ὁ μέγας ἀστὴρ περὶ οὗ πρότερον ἐμνήσθημεν, 97r
ἐφάνη μὲν χειμῶνος ἐν πάγοις καὶ αἰθρίας ἀφ' ἑσπέρας ἐπὶ 15
Ἀστείου ἄρχοντος, καὶ τῇ μὲν πρώτῃ οὐκ ὤφθη ὡς προδεδυκὼς
τοῦ ἡλίου, τῇ δ' ὑστεραίᾳ ὤφθη ὅσον ἐνδέχεται· καὶ γὰρ ἐλά-
5 χιστον ὑπελείφθη καὶ εὐθὺς ἔδυ· τὸ δὲ φέγγος ἀπέτεινε
μέχρι τοῦ τρίτου μέρους τοῦ οὐρανοῦ οἷον ἅλμα, διὸ καὶ ἐκλήθη
ὁδός. ἐπανῆλθε δὲ μέχρι τῆς ζώνης τοῦ Ὠρίωνος καὶ ἐνταῦθα
διελύθη.

Καὶ ἐκ τῶν περὶ τὸν μέγαν κομήτην συμβεβηκότων, ἐφ' οὗ καὶ ὁ
10 σεισμὸς καὶ ἡ τοῦ κύματος ἔφοδος γέγονε, τὴν αὐτὴν πίστιν ἐπάγεται 20
τοῦ μήτε ἕνα τῶν πλανωμένων ἀστέρων εἶναι τὸν κομήτην μήτε σύνοδον
καὶ σύμφασιν ἅμα πάντων. ὡς ἔθος δὲ τοῖς παλαιοῖς ἐπισημειοῦσθαι τὰ
τοιαῦτα πάθη, καὶ αὐτὸς τὰ περὶ τὸν κομήτην ἐκεῖνον ἱστορεῖ γενόμενα.
ὀφθῆναι μὲν γὰρ αὐτόν φησιν ἑσπέρας χειμῶνος ὄντος πάγων τε καὶ αἰθρίας,
15 καὶ τῇ μὲν πρώτῃ, φησίν, οὐκ ὤφθη δηλονότι καθ' ἣν συνέστη, ὡς τοῦ
ἡλίου προδεδυκὼς ἢ συγκαταδὺς αὐτῷ δηλονότι. καθ' ἣν δὲ ἑσπέραν
ὤφθη, δευτέρα μὲν ἦν τῆς συστάσεως αὐτοῦ, πρώτη δὲ τῆς φάσεως. ἐν 25
ταύτῃ οὖν ὀφθῆναί φησιν αὐτὸν ὑπὲρ τὸν ὁρίζοντα χρόνον ἐλάχιστον· πρὸς
δυσμαῖς γὰρ ἦν, διὸ καταδύντι τῷ ἡλίῳ μετ' ὀλίγον ἐπικατέδυ. συγκι-
20 νοῦνται γὰρ οἱ κομῆται τῷ ὑπεκκαύματι καὶ τῷ ὑπ' αὐτὸ ἀέρι, ὅσος μὴ
λιμνάζει μεταξὺ τῶν ὁρῶν, ταῦτα δὲ τῷ οὐρανῷ. ἀλλ' εἰ καὶ κατέδυ,
φησίν, ἀλλ' οὖν τὸ φέγγος αὐτοῦ ὑπερήλατο τὸν ὁρίζοντα τοσοῦτον, ὥστε
τὸ τρίτον τοῦ ὑπὲρ γῆν ἡμισφαιρίου καταυγάσας οἱονεὶ τῷ ὑδροχόῳ συν- 30
έδυνε, καὶ τὸ φῶς αὐτοῦ δύο ζῴδια διικνεῖτο, τοὺς ἰχθῦς τε καὶ τὸν κριόν·
25 τοῦτο γάρ ἐστι τὸ τρίτον τοῦ ὑπὲρ γῆν μετὰ τῶν ἑκατέρωθεν παρανατελλόντων
αὐτοῖς· οὕτω πολὺς ἦν τῷ μεγέθει τε καὶ τῇ δυνάμει. πόθεν δὲ ὅτι τῇ
προτέρᾳ τῆς φάσεως αὐτοῦ συνέστη; ἐτεκμήρατο καλῶς ἐκ τοῦ τὴν αὐγὴν
αὐτοῦ καταδεδυκότος ἤδη τοσοῦτον ὑπεράλλεσθαι, ὡς τὸ τρίτον καταυγάσαι
τοῦ ὑπὲρ γῆν οὐρανοῦ· τῷ οὖν μὴ πρὸ ταύτης τῆς ἡμέρας τὴν αὐγὴν αὐ-
30 τοῦ τὸν ὁρίζοντα ὑπεράλλεσθαι τεκμαίρεται πρὸ μιᾶς τῆς φάσεως αὐτὸν συ- 35
στῆναι. κατ' ὀλίγον γὰρ καὶ οὐκ ἀθρόα τούτων ἡ ἔξαψις γίνεται· προϋ-
πέστη ἄρα τῆς φάσεως, ἀλλ' οὐκ ἐφαίνετο μήπω παραλλάξας τὸν ἥλιον
μηδὲ τοσοῦτός πως γενόμενος ἴσως. τὸ δ' οἷον ἅλμα φησί, τουτέστιν
τοσαύτη γέγονεν ἡ ταχυτὴς τῆς κινήσεως τῶν αὐγῶν αὐτοῦ, ὡς ἅλματι ἐοι-
35 κέναι· διὸ καὶ ἐκλήθη, φησίν, ὁδὸς τὸ φῶς αὐτοῦ τὸ διοδεῦσαν τὸ εἰρη-
μένον διάστημα, ἢ διὰ τὴν ταχυτῆτα τῆς κινήσεως οὕτω κληθὲν ἢ διὰ τὸ
δίκην ὁδοῦ λευκανθῆναι τὸν τόπον ἐκεῖνον, ᾗ φησιν ὁ τὰ Ἀργοναυτικά

---

2 αἰθρίαις Arist. 2. 3 ἐπὶ Ἀστείου ἄρχοντος] Ol. 101,4 = 373/72 a. Chr.
3 ἀστίου VM Arist. EHN: ἀρισταίου a Arist. F 4 καὶ γὰρ MVa Arist. HN: om. Arist. E: καὶ om. Arist. F 6 τοῦ ante τρίτου om. Ma 9 post κομήτην add. ὡρίωνα Ma ἐφ' ἃ καὶ Ma 33. 34 τοσαύτη γέγονε τουτέστιν coll. libri 34 τῶν αὐγῶν—κινήσεως (36) om. a 37 ᾗ φησιν ὁ τὰ Ἀργοναυτικά] Apoll. Rh. I 545 sq.

'μακραὶ δ' αἰὲν ἐλευκαίνοντο κέλευθοι, ἀτραπὸς ὡς χλοεροῖο διειδομένη 97r
πεδίοιο''. εἰ δὲ ἐν χειμῶνι καὶ πάγοις ὁ κομήτης ἐφάνη καὶ τῷ ἡλίῳ 40
συγκατέδυ, ἐν χειμεριναῖς ἄρα τροπαῖς ἦ περὶ ταύτας ὁ ἥλιος ἦν, καὶ
σύνδρομος αὐτῷ ὁ κομήτης. εἰ οὖν ἐν αἰγοκέρωτι φέρε τὸν ἥλιον ὑπο-
5 θώμεθα δύναντός τε αὐτοῦ τὸ πρῶτον ὁ κομήτης ἐφάνη, δῆλόν ἐστιν ὡς
ἐν ὑδροχόῳ τότε ὑπῆρχεν ἢ περὶ τοὺς ἰχθῦς. ἐπανῆλθε δέ, φησί,
μέχρι τῆς ζώνης τοῦ Ὠρίωνος, τουτέστι παρήλλαξε τὸν ἥλιον ὑπο-
λελειμμένος αὐτοῦ τρία καὶ πλέον ζῴδια, ἰχθῦς, κριόν, ταῦρον καὶ τῶν δι-
δύμων τι μέρος· ὑπὸ τούτους γάρ ἐστιν ἡ ζώνη τοῦ Ὠρίωνος, ὑφ' ἣν γε- 45
10 νόμενος ὁ κομήτης ἐλύθη. ἐν αὐτῷ δὲ κεῖται τῷ χειμερινῷ τροπικῷ ἡ
τοῦ Ὠρίωνος ζώνη· οὐκοῦν ἐν τῷ νοτίῳ ἡμισφαιρίῳ ὁ κομήτης συνέστη.
εἰ γὰρ καὶ συγκινοῦνται τοῖς οὐρανίοις ὅ τε ἀὴρ καὶ τὸ ὑπέκκαυμα, ἐν ᾧ
γίνεσθαι τοὺς κομήτας ἀνάγκη, ἀλλ' οὐ πάντως ἰσοδυναμοῦσιν αὐτοῖς· διὸ
παρήλλαξε τὸν ἥλιον ὁ κομήτης μέχρι τῆς ζώνης τοῦ Ὠρίωνος ὑπολειφθείς.

15 p. 343ᵇ25 Καίτοι Δημόκριτός γε προσπεφιλοπόνηκε τῇ δόξῃ τῇ
ἑαυτοῦ· φησὶ γὰρ ὦφθαι διαλυομένων τῶν κομητῶν ἀστέρας 50
τινάς. τοῦτο δ' οὐχ ὁτὲ μὲν ἔδει γίνεσθαι ὁτὲ δ' οὔ, ἀλλ' ἀεί.

Ἐπειδὴ τῶν νῦν Ἀριστοτέλους ἐλέγχων εἷς ἦν τὸ διαλυομένων τῶν
κομητῶν ὑπολειπόμενον ἀστέρα μὴ φαίνεσθαι, καίτοι γε, φησίν, αὐτό γε
20 τοῦτο Δημόκριτος ἑωρακέναι λέγει γενόμενον τῇ ἰδίᾳ προσφιλοπονῶν δόξῃ.
ἀλλ' ἔδει, φησὶν Ἀριστοτέλης, ἀεὶ τοῦτο γίνεσθαι, εἴπερ τῶν πλανωμένων
ἀστέρων ὁ κομήτης ἦν· νῦν δὲ πολλῶν γενομένων κομητῶν καὶ πολλάκις
οὐδέποτε τοῦτο γινόμενον | τεθεάμεθα. ἔστι δὲ καὶ ἄλλως πρὸς αὐτὸν 97v
ὑπαντῆσαι, ὡς εἰ καὶ τοῦτο Δημόκριτος ἔδοξεν ἑωρακέναι, ἵνα μὴ παντελῶς
25 αὐτοῦ τῇ αἰσθήσει διαμαχώμεθα, πεπλανῆσθαί φημι τὸν ἄνθρωπον. εἰκὸς
γὰρ ὑπὸ τοῦ κομήτου δίκην νέφους ἐπιπροσθουμένους τῶν ἀστέρων τινάς,
ὡς ὁ κομήτης διελύθη, φανῆναι τούτους, ὡς καὶ νέφους διαχεομένου οἱ πρὶν 5
ὑπ' αὐτοῦ κρυπτόμενοι φαίνονται ἀστέρες, καὶ τῷ γενομένῳ τὸν Δημόκριτον
οὐκ ἐπιστήσαντα διαλυθῆναι τὸν κομήτην εἰς ἀστέρας νομίσαι. οἶμαι δὲ
30 καὶ ἀπλανεῖς ἦσαν οἱ φανέντες αὐτῷ πρότερον ἐπιπροσθούμενοι· εἰ γὰρ
τῶν πλανωμένων ἦσαν, ἔλεγεν ἂν καὶ τίνες ὑπῆρχον, τὴν ἑαυτοῦ δόξαν
πιστούμενος.

p. 343ᵇ28 Πρὸς δὲ τούτοις καὶ οἱ Αἰγύπτιοί φασι καὶ τῶν πλανη-
τῶν καὶ πρὸς αὐτοὺς καὶ πρὸς τοὺς ἀπλανεῖς γίνεσθαι συνόδους,
35 καὶ αὐτοὶ ἑωράκαμεν τὸν ἀστέρα τὸν τοῦ Διὸς τῶν ἐν τοῖς διδύ-

5 δύνοντος Ma τε αὐτοῦ τὸ scripsi: αὐτοῦ τό τε coll. libri 7 ἥλιον] ὠρίωνα in vers. V, sed sscr. ἥλιον 9 μέρος] μόριον a 10 αὐτῷ] νότῳ a 15 προσπεφιλοπόνηκε Ma sscr. V, cf. v. 20: προσπεφιλονείκηκε in vers. V, ut Arist. codd. 16 αὐτοῦ Ma τῶν om. Ma 17 γενέσθαι Ma 21 εἴπερ ex ἐπείπερ corr. V: ἐπείπερ Ma 29 κομήτων a 35 τῶν] τὸν Ma

μοις ὑπελθόντα τινὶ ἤδη καὶ ἀφανίσαντα, ἀλλ' οὐ κομήτην γενόμενον. 97ᵛ 10

Πάλιν ἐξ ἱστορίας ὅτι μὴ σύνοδος ἀστέρων ἐστὶν ὁ κομήτης ἐλέγχει. παρατετηρηκέναι γὰρ Αἰγυπτίους φησὶ καὶ ἑαυτὸν ἑωρακέναι τῶν πλανήτων τινὰς συνελθόντας ποτὲ μὲν πλανωμένοις ποτὲ δὲ ἀπλανέσιν, ὡς καὶ ἐπιπροσθεῖν αὐτοῖς καὶ ἀφανεῖς ποιῆσαι, καὶ ὅμως κομήτης ἐκ τούτων οὐ γέγονεν. οὐκ ἄρα σύνοδος καὶ σύμφασις ἀστέρων ἐστὶν ὁ κομήτης.

p. 343ᵇ32 Ἔτι δὲ καὶ ἐκ τοῦ λόγου φανερόν· οἱ γὰρ ἀστέρες κἂν εἰ μείζους καὶ ἐλάττους φαίνονται, ἀλλ' ὅμως ἀδιαίρετοί γε καθ' ἑαυτοὺς εἶναι δοκοῦσιν. ὥσπερ οὖν καὶ εἰ ἦσαν ἀδιαίρετοι, ἁψάμενοι οὐδὲν ἂν ἐποίησαν μέγεθος μεῖζον, οὕτω καὶ ἐπειδὴ οὐκ εἰσὶ μὲν φαίνονται δὲ ἀδιαίρετοι, καὶ συνελθόντες οὐδὲν φανοῦνται μείζους τὸ μέγεθος ὄντες.

Ἔσχατον ἔλεγχον τίθησι τοῦτον τῶν σύνοδον καὶ σύμφασιν ἀστέρων τὸν κομήτην ὑποτιθεμένων· ἀλλ' οὐκ ἐξ ἱστορίας ὁ ἔλεγχος, ὡς οἱ πρὸ αὐτοῦ, ἀλλ' ἐκ τοῦ λόγου καὶ τῆς κατὰ τοῦτον ἀποδείξεως. εἰ γὰρ καὶ τῶν ἀστέρων οἱ μὲν ἐλάττους, φησίν, οἱ δὲ μείζους φαίνονται, ἀλλ' ὅμως καθ' αὑτὸν ἕκαστος θεωρούμενος ἀδιαίρετος σχεδὸν εἶναι δοκεῖ ὡς πρὸς αἴσθησιν· οὕτω μικροὶ φαίνονται. ὥσπερ οὖν τὰ φύσει ἀδιαίρετα, λέγω δὲ τὰ σημεῖα, συνελθόντα μέγεθος οὐ ποιεῖ, οὕτω δήπου καὶ τὰ κατ' αἴσθησιν ἀδιαίρετα δοκοῦντα εἶναι διὰ τὴν μικρότητα, οἱοίπερ εἰσὶν οἱ ἀστέρες, κἂν συνέλθωσιν, οὐ ποιοῦσι μέγεθος αἰσθητόν. εἰ δὲ καὶ ἀδιαίρετοι τοῖς ὁρῶσι φανεῖεν, οὐδ' οὕτω συνερχόμενοι τοσοῦτον ποιῆσαι δύνανται μέγεθος, ὅσον ἔχοντες οἱ κομῆται φαίνονται· τινὲς γὰρ αὐτῶν οὐχ ἕν, ἀλλὰ καὶ δεύτερον πολλάκις ὑποτρέχοντες ζῴδιον ὤφθησαν. μέχρι δὲ τῶν ἐνταῦθα τὰς περὶ τῶν κομητῶν ὑπονοίας τῶν πρὸ αὐτοῦ διελέγξας, ἐντεῦθεν λοιπὸν τὰ αὐτῷ δοκοῦντα περὶ τούτων διδάσκει.

p. 344ᵃ5 Ἐπεὶ δὲ περὶ τῶν ἀφανῶν τῇ αἰσθήσει νομίζομεν ἱκανῶς ἀποδεδεῖχθαι κατὰ τὸν λόγον, ἐὰν εἰς τὸ δυνατὸν ἀναγάγωμεν, ἔκ τε τῶν νῦν φαινομένων ὑπολάβοι ἄν τις ὧδε περὶ τούτων μάλιστα συμβαίνειν. 30

Λοιπὸν μέτεισιν ἐπὶ τὴν αὐτῷ δοκοῦσαν τῆς γενέσεως τῶν κομητῶν αἰτίαν, καὶ τίνα τρόπον μετιτέον τὴν περὶ αὐτῶν διδασκαλίαν, ἀπαγγέλλει.

1 συνελθόντα Arist. EFH: ἀπελθόντα Arist. N τινὶ ἤδη om. Ma: τινὶ δὶς ἤδη ex corr. Arist. E post ἀφανίσαντα add. τινὰ δυσειδῆ M: τινα δὶς ἤδη a 8 Ἔτι] Ἔστι Ma 9 κἂν ἐλάττους Arist. FH 10 καὶ om. Ma διαιρετοὶ Ma 14 τῶν ex τὸν corr. V 18 καθ' αὑτὸν—λέγω δὲ (19) om. a 21 εἰσὶν om. a 30 τίς ἂν Ma 33 διδασκαλίαν in lit. V

ἐπειδὴ γὰρ ἀδηλός ἐστι τῇ αἰσθήσει ἡμῶν ἡ περὶ τῆς γενέσεως αὐτῶν αἰτία, 97v
δεῖ, φησί, καὶ περὶ αὐτῶν καὶ περὶ πάντων ποιουμένους λόγον τῶν τοιούτων
καὶ φυσιολογεῖν αὐτὰ βουλομένους τοιούτους ἀποδιδόναι λόγους περὶ αὐτῶν,
ὡς μηδὲν αὐτοῖς ἀδύνατον ἕπεσθαι μηδὲ τοῖς φαινομένοις μαχόμενον. τοῦτο 35
5 δὲ ὅ φησίν ἐστιν· ἐὰν εἰς τὸ δυνατὸν ἀναγάγωμεν ὅσον ἐκ τῶν φαινο-
μένων τοὺς περὶ αὐτῶν λόγους, καὶ μηδὲν αὐτοῖς ἀδύνατον ἕποιτο, οἷα συν-
έβη τοῖς ὑπὸ τῶν πρὸ ἡμῶν περὶ τῶν κομητῶν εἰρημένοις, τοὐναντίον δὲ
συμφώνους ἀποδώσομεν καὶ ὁμολογοῦντας τοῖς πράγμασιν, εἰ οὖν τοῦτο
γένοιτο, συμβαίνοντα τοῖς φαινομένοις λέξομεν.

10 p. 344 a 8 Ὑπόκειται γὰρ ἡμῖν τοῦ κόσμου τοῦ περὶ τὴν γῆν ὅσον
ὑπὸ τὴν ἐγκύκλιόν ἐστι φοράν, εἶναι τὸ πρῶτον μέρος ἀναθυ- 40
μίασιν ξηρὰν καὶ θερμήν.

Εἴρηκεν ἤδη πρότερον ὅτι διττὰ κάτωθεν ἀναθυμιάσεις ἀνέρχονται,
μία μὲν ἐκ τῶν ὑγρῶν σωμάτων ἡ ἀτμιδώδης, ἑτέρα δὲ ἐκ τῶν ξηρῶν ἡ
15 καπνώδης, ἣν ὑπέκκαυμα προσηγόρευσεν ὡς ἐπιτηδείαν εἰς ἕψιν. περὶ
μὲν οὖν τῆς ἀτμιδώδους λόγος οὐδεὶς ἐν τοῖς προκειμένοις οὐδὲ ἐν τοῖς
ἤδη προειρημένοις· μόνη γὰρ ἡ καπνώδης τούτων ἁπάντων αἰτία ἐστὶν ὡς
ὕλη. αὕτη τοίνυν ἡ ἀναθυμίασις, τουτέστι τὸ ὑπέκκαυμα, καὶ πολὺ μέρος 45
τοῦ μετ' αὐτὴν ἀέρος τὸ διῆκον μέχρι τῆς κορυφῆς ἄνωθεν τῶν ὑψηλο-
20 τάτων ὁρῶν τῇ περιφορᾷ τῶν οὐρανίων συνεφέλκονται κυκλικὴν καὶ αὐτὰ
συγκινούμενα κίνησιν. ὅτι δ' ἡ κίνησις θερμαίνει, καὶ τοῦτο προείρηκεν.
ὅταν οὖν ἡ ἀναθυμίασις ἡ ξηρὰ τοιαύτης εὑρεθείη συστάσεως, ὡς μήτε
λεπτὴ λίαν καὶ ἀσθενὴς εἶναι καὶ εὐδιάλυτος μήτε πυκνὴ καὶ παχεῖα το-
τοῦτον ὡς εἶναι δυσέξαπτος, ἀλλὰ μέση πως ἀμφοτέρων καὶ εὔκρατος, ἡ
25 τοιαύτη, φησί, τῇ κινήσει καὶ τῇ συμπεριαγωγῇ τῶν πέριξ σωμάτων θερ- 50
μαινομένη πλέον τῆς ἐκ φύσεως αὐτῇ προσούσης θερμασίας ἐξάπτεται καὶ
ποιεῖ τὸν κομήτην. εἰ μὲν γὰρ λεπτοτέρα εἴη, θᾶττον μὲν ἐξάπτεται, εὐθὺς
δὲ ἀποσβέννυται στυπείου λεπτοῦ δίκην· εἰ δὲ πυκνοτέρα τύχοι τῆς πρὸς
γένεσιν κομήτου συστάσεως, οὐκ ἐξαρκεῖ πρὸς ἕψιν ταύτης ἡ κίνησις·
30 οὐδὲ γὰρ τὰ πυκνότερα τῶν ξύλων εὐέξαπτα, καὶ τὰ φρυγανώδη ῥᾷον ἐξ-
αφθέντα δαπανᾶται θᾶττον καὶ ἡ φλὸξ οἴχεται. δεῖ δὲ καὶ τὴν ἕξα|ψιν 98r
αὐτὴν ἤτοι τὴν αἰτίαν ταύτης εἶναι σύμμετρον, ὡς μήτε τῇ σφοδρότητι
δαπανᾶν τὴν ὅλην εὐθὺς μήτε τῇ ἀμυδρότητι δρᾶν εἰς αὐτὴν μὴ δύνασθαι
μηδὲ δι' ὅλου ταύτης ἐπικρατεῖν. ὁ δὲ κομήτης ἑξαφθεὶς στέγει χρόνον
35 τινὰ τὴν φλόγα μὴ δαπανώμενος· ταύτῃ γὰρ τῶν τε προειρημένων πυρώ-
σεων καὶ φλογῶν καὶ δαλῶν καὶ διαττόντων οἱ κομῆται διενηνόχασιν, ὅτι
πολυχρόνιοι μὲν οὗτοι, ἐκεῖνοι δ' ἐπὶ μικρὸν ἑξαφθέντες εὐθὺς ἀποσβέν- 5
νυνται. τῆς οὖν ἐπιμονῆς καὶ ἡ πύκνωσις αἰτία τῆς ὕλης καὶ ἡ κάτωθεν

2 τοιούτων] ποιούντων M 5 ὅσων a 6 καὶ] τῶν a 11 ἐστι om. a
12 post θερμήν add. καὶ τὰ ἑξῆς Ma 15 εἰς om. Ma 16 τοῖς κειμένοις a
οὐδὲν ἐν a 19 μετ' αὐτὸν M 28 στυπτείου M

προστιθεμένη τῷ κομήτῃ ἀναθυμίασις, ὡς εἰ ξύλα πυρὶ προσάγων ἢ 98r
λύχνῳ ἔλαιον διατηροίη τὴν φλόγα, μέχρις ἂν ἡ χορηγία τῆς ὕλης ἐπιλίποι. ἔλεγε δὲ καὶ ὁ ἡμέτερος διδάσκαλος ἑωρακέναι κομήτην, οὗ τὰ μὲν ἦν ἀμυδρὰ καὶ ἧττον ἐκπεπυρωμένα, τὰ δὲ λίαν ἐκλάμποντα· ταῦτα δὲ διαλυθῆναι θᾶττον δηλονότι διὰ τὸ σφοδρότερον τῆς ἐκκαύσεως, τὰ δ' ἀμυδρὰ πλείονα διαρκέσαι χρόνον μαλακωτέρας οὔσης τῆς ἐκπυρώσεως. ὑπόκειται γὰρ ἡμῖν τοῦ κόσμου τοῦ περὶ τὴν γῆν ὅσον ὑπὸ τὴν ἐγκύκλιόν ἐστι φοράν, εἶναι τὸ πρῶτον μέρος ἀναθυμίασιν ξηρὰν καὶ θερμήν. ταῦτα γὰρ ἤδη προείληφεν, ὅτε περὶ τῆς τάξεως τῶν πέντε στοιχείων ἐδίδασκεν, ὅτι μετὰ τὰ ἐγκύκλια σώματα εὐθύς ἐστι τὸ ὑπέκκαυμα, καὶ μετὰ τοῦτο τρίτος ὁ ἀήρ, μεθ' ὃν τὸ ὕδωρ, καὶ πάντων ἔσχατον ὡς ἐπὶ τὸ μέσον ἡ γῆ.

p. 344 a 11 Αὕτη δὲ αὐτή τε καὶ τοῦ συνεχοῦς ὑπ' αὐτὴν ἀέρος ἐπὶ πολὺ συμπεριάγεται περὶ τὴν γῆν ὑπὸ τῆς φορᾶς καὶ τῆς κινήσεως.

Ἐπὶ πολύ φησι τοῦ ἀέρος τὸν διατείνοντα λέγων ἀέρα μέχρι τῆς κορυφῆς τῶν ὑψηλοτάτων ὀρῶν, ὃς λιμνάζων οὐ συνεφέλκεται τοῖς κυκλοφορουμένοις ὑπὸ τῶν περιεχόντων ὀρῶν κωλυόμενος. βίαιον οὖν τὴν περιφορὰν τῶν δύο τούτων σωμάτων εἶναι βούλεται. καὶ πῶς τὸ βίᾳ καὶ παρὰ φύσιν διηνεκές; ἑτέρωθι δὲ περὶ τούτων εἰρήκαμεν ἱκανῶς. τὸ δὲ περὶ τὴν γῆν συμπεριάγεσθαι ὡς περὶ κέντρον βουλομένου ἐστὶ τὴν γῆν· κέντρου γὰρ λόγον ἔχειν τὴν γῆν μετὰ τοῦ συναπειλημμένου ὕδατος καὶ τοῦ λιμνάζοντος ἀέρος πρὸς τὴν ἀπλανῆ δέδεικται.

p. 344 a 13 Φερομένη δὲ καὶ κινουμένη τοῦτον τὸν τρόπον, ᾗ ἂν τύχοι εὔκρατος οὖσα, πολλάκις ἐκπυροῦται, διό φαμεν γίνεσθαι καὶ τὰς τῶν σποράδων ἀστέρων διαδρομάς.

Φερομένη, φησίν, ἡ ἀναθυμίασις ἡ ξηρὰ τὸν τρόπον τοῦτον, τουτέστι τοῖς οὐρανίοις συμπεριαγομένη, ὅπου δήποτε τύχῃ εὔκρατος οὖσα, τουτέστιν ἐπιτηδεία πρὸς ἕξαψιν, ὡς μήτε λίαν εἶναι λεπτὴν καὶ ἀραιὰν μήτε τοὔμπαλιν παχεῖαν καὶ πυκνήν, πάντως ἐκπυροῦται. ἐκ ταύτης δὲ γίνεσθαι καὶ τοὺς διατρέχοντας ἀστέρας ἀπέδειξεν, οὓς διάττοντας ὀνομάζουσιν.

p. 344 a 16 Ὅταν οὖν εἰς τὴν τοιαύτην πύκνωσιν ἐμπέσῃ διὰ τὴν ἄνωθεν κίνησιν ἀρχὴ πυρώδης, μήτε οὕτω πολλὴ λίαν ὥστε ταχὺ καὶ ἐπὶ πολὺ ἐκκαίειν, μήθ' οὕτως ἀσθενὴς ὥστε ἀποσβεσθῆναι ταχύ, ἀλλὰ πλείων καὶ ἐπὶ πολύ, ἅμα δὲ κάτωθεν συμ-

2 fort. διατηροίης 7 ὑμῖν a 13 αὐτή τε om. a 16 διατίνοντα M
21 περὶ κέντρου M 25 τύχῃ Arist. 32. 33 τὴν ἄνωθεν V Arist. N: post τὴν add. τῶν Ma Arist. EFH 33 λίαν ὡς μήτε M 35 post πολὺ add. ἐκκαίειν Ma
35. 92,1 συμπίπτει Va Arist. FHN: συμπίπτῃ Arist. E: συμπίπτειν M

πίπτει ἀναβαίνειν εὔκρατον ἀναθυμίασιν, ἀστὴρ τοῦτο γίνεται 98r
κομήτης, ὅπως ἂν τὸ ἀναθυμιώμενον τύχῃ ἐσχηματισμένον· ἐὰν μὲν γὰρ πάντῃ ὁμοίως, κομήτης, ἐὰν δ' ἐπὶ μῆκος, καλεῖται πωγωνίας.

Εἰρηκὼς ποίαν ἔχειν δεῖ συμμετρίαν τὴν ὕλην ἐξάπτεσθαι μέλλουσαν εἰς κομήτου γένεσιν λέγει νῦν καὶ τὴν ποιητικὴν αἰτίαν ὁποίαν εἶναι χρεών, ἣν ἀρχὴν ἐκάλεσε πυρώδη, ὅτι σύμμετρον καὶ αὐτήν, ὡς μήτε θᾶττον ἐκδαπανῆσαι τὴν ὕλην διὰ τὴν σφοδρότητα μήτε ὑπ' αὐτῆς ἀποσβεσθῆναι διὰ τὴν ἀσθένειαν αὐτῆς καὶ ἀμυδρότητα. δῆλον οὖν ὅτι ἀρχὴν λέγει τὸ πρῶτον ἐξαφθὲν τῆς ἀναθυμιάσεως μόριον. πόθεν δὲ ἡ πυρώδης αὕτη γίνεται ἀρχή, πολλάκις εἶπεν, ὅτι διὰ τὴν ἄνωθεν κίνησιν. εἴτε γὰρ πολλὴ λίαν εἴη καὶ σφοδρά τις ἡ ἕξαψις, ταχέως ἐκκαίει τὴν ὕλην καὶ ἐκδαπανᾶται καὶ ἐπὶ πολὺ διάστημα χωρεῖ καίουσα ταύτην· τοῦτο δὲ φλόγας, οὐ κομήτην ποιεῖ, περὶ ὧν ἤδη γέγραφεν ὅμοιον ὡς εἰ μεγίστη φλὸξ εἰς κλημα- 40
τίδας ὀλίγας ἢ λεπτὸν ἐμπέσῃ στυπεῖον· θᾶττον γὰρ ἐκδαπανήσει ταῦτα· εἴτε ἀσθενὴς ἡ πυρώδης ἀρχὴ εἴη, τοὔμπαλιν ὑπὸ τῆς ὕλης αὕτη πνιγομένη σβέννυται πάσχουσα μᾶλλον ὑπὸ τῆς ὕλης καὶ οὐκ εἰς αὐτὴν δυναμένη μέγα τι δρᾶν, ὡς εἰ μικρὰ φλὸξ εἰς ἔλαιον ἐμπέσοι πολὺ ἢ πλῆθος ξύλων ἢ μέγεθος ἢ πυκνότητα· δυσκατέργαστα γάρ ἐστι τὰ τοιαῦτα. δεῖ οὖν καὶ αὐτὴν ἐκφεύγουσαν τῶν ἀμετριῶν τούτων ἑκατέραν μέσην πως εἶναι, μήτε νικωμένην ὑπὸ τῆς ὕλης μήτε λίαν αὐτὴν ὑπερβάλλουσαν· 45
οὕτω γὰρ ἔχουσα τὸν κομήτην ποιήσει. δεῖ δέ, φησί, καὶ κάτωθεν ἄλλην ὕλην ἐπαναβαίνειν εὔκρατον, τουτέστιν ἐπιτηδείαν εἰς ἕξαψιν, ὡς ἀναπληροῦν τὴν δαπανωμένην τοῦ κομήτου ὕλην καὶ τῇ ποιητικῇ δυνάμει χορηγίαν παρέχειν εἰς ἐργασίαν, ἵν' οὕτω πλείονα χρόνον διαμείνῃ τὸ πάθος. τοιαύτη τις ἡ τῶν κομητῶν ὑπάρχει σύστασις. κοινότερον μὲν οὖν ὅλον τὸ τοιοῦτον γένος κομήτας ἐπονομάζουσιν· ἀρχόμενος γοῦν ὁ Ἀριστοτέλης τοῦ 50
λόγου περὶ αὐτῶν οὕτως εἴρηκεν "περὶ δὲ τῶν κομητῶν καὶ τοῦ καλουμένου γάλακτος"· εἰδικώτερον δὲ καὶ τούτων ἕκαστος τῷ σχήματι τῆς ἀναθυμιάσεως πρέπον εἴληφεν ὄνομα. εἰ μὲν γὰρ σφαιροειδὴς ἡ ἀναθυμίασις οὖσα τύχῃ μικρῶν αὐτῇ παρηρτημένων ἔξωθεν τοιούτων συστάσεων, εἰδικώτερον τὸ σχῆμα τοῦτο καλεῖται κομήτης, ἐπειδὴ κόμῃ προσέοικεν, ἐξ οὗ πλεονάζοντος καὶ πάντας οὕτω καλοῦσιν· ἐὰν δὲ ἐπιμήκης εἴη καὶ μόνον, δοκίας καλεῖται, τριγωνίζουσα δὲ πωγωνίας ὠνόμα|σται, πιθίας δέ 98v
τις ἕτερος καὶ ἄλλος ἄλλοθεν ἄλλο τι συμφώνως τῷ σχήματι.

p. 344a23 Ὥσπερ δὲ ἡ τοιαύτη φορὰ ἀστέρος δοκεῖ εἶναι, οὕτω καὶ ἡ μονὴ ἡ ὁμοία ἀστέρος μονὴ δοκεῖ εἶναι. παραπλήσιον γὰρ

2 ὅπως ἂν – κομήτης (3) om. Ma 3 τὴν δ' ἐπὶ MV 12 εἴη om. a
15 post ἢ add. εἰς Ma ἐμπέσοι a 18 εἰ] ἡ M 22. 23 ὕλην ἄλλην coll. Ma
23 εὔκρατον in lit. V¹: εὔκαιρον Ma 28 καὶ Arist., cf. p. 75,9: ἢ libri 29 ἰδικώτερον Ma 30 γὰρ om. a 31 τύχοι Ma αὐτῇ scripsi: αὕτη libri
34 πυθίας V 37 post ἡ μονὴ add. καὶ Ma γὰρ] δὲ M

τὸ γινόμενον οἷον εἴ τις εἰς ἀχύρων θημῶνα καὶ πλῆθος ὤσειε 98v
δαλὸν ἢ πυρὸς ἀρχὴν ἐμβάλοι μικράν. φαίνεται γὰρ ὁμοία καὶ
ἡ τῶν ἀστέρων διαδρομὴ τούτῳ· ταχὺ γὰρ διὰ τὴν εὐφυΐαν τοῦ 5
ὑπεκκαύματος διαδίδωσιν ἐπὶ μῆκος. εἰ δὴ τοῦτο μείνειε καὶ
5 μὴ καταμαρανθείη διελθὸν ᾗ μάλιστα ἐπύκνωσε τὸ ὑπέκκαυμα,
γένοιτ' ἂν ἀρχὴ τῆς φορᾶς ἡ τελευτὴ τῆς διαδρομῆς. τοιοῦτον
ὁ κομήτης ἐστὶν ἀστήρ, ὥσπερ διαδρομὴ ἀστέρος, ἔχων ἐν
ἑαυτῷ πέρας καὶ ἀρχήν.

Τὴν πρὸς ἄλληλα διαφορὰν τῶν κομητῶν καὶ τῶν διαττόντων διδάσκει
10 καὶ νῦν. ὥσπερ γάρ, φησίν, ἡ φορὰ τῆς τοιαύτης ἀναθυμιάσεως καθ' ὃν
εἴρηται γινομένη τε καὶ ἐξαπτομένη τρόπον ἀστέρος εἶναι δοκεῖ διαδρομή 10
τε καὶ κίνησις, ὅπερ ἐκαλεῖτο διάττων, οὕτω καὶ ἡ μονὴ τῆς ἐξάψεως τῆς
τοιαύτης ἔδοξε τοῖς ὁρῶσιν ἀστέρος εἶναι μονή· τοῦτο δέ εἰσιν οἱ κομῆται
γενικώτερον οὕτω καλούμενοι. πάλιν δὲ τὸ γινόμενον διδάσκει πάθος δι'
15 ὑποδείγματος. ὡς γὰρ ⟨εἰ⟩ εἰς ἀχύρων, φησί, θημῶνα δαλὸν ὠθήσειέ
τις ἢ μικρά τις ἀρχὴ τούτῳ πυρὸς ἐμπέσοι, οἷον σπινθήρ, ⟨καὶ⟩ βραχύ τι
τούτων ἐξάψειε, τὸ πρῶτον ἐξαφθὲν τῶν ἀχύρων μέρος τῷ ἑξῆς μετα-
δίδωσι, καὶ τοῦτο τῷ μετ' αὐτό, τοῦ πρώτου ἐξαφθέντος σβεννυμένου διὰ 15
τὴν λεπτότητα τῆς ὕλης, καὶ οὕτως ἐφεξῆς, ἕως ἂν ἐξαφθῇ τὸ ἐπιτήδειον
20 ἅπαν καὶ λοιπὸν μηκέτι εἴη τὸ ἐξαπτόμενον, τοῦτο δὲ τοῖς μὲν πλησιά-
ζουσι δῆλόν ἐστι πῶς γίνεται, τοῖς δὲ πόρρωθεν βλέπουσι μιᾶς φλογὸς
κίνησις εἶναι δοκεῖ καὶ διαδρομή, τοῦτο καὶ ἐπὶ τῶν διαττόντων συμβαίνει· διὰ
γὰρ τὴν εὐφυΐαν, φησί, τοῦ ὑπεκκαύματος, τουτέστι τὴν ἐπιτηδειότητα
τὴν πρὸς ἕψιν, ἄλλο μετ' ἄλλο τούτου μέρος ἐξαπτόμενον κατὰ συνέχειαν,
25 τοῦ τε προεξαφθέντος σβεννυμένου διὰ τὸ ῥᾳδίως δαπανᾶσθαι εἰς ἀστὴρ 20
ἐπί τι μῆκος διατρέχειν δοκεῖ. ἀρχὴ μὲν οὖν ἐστι τῆς δοκούσης κινήσεως
τὸ ὅθεν ἤρξατο καίεσθαι, τέλος δὲ τὸ ὅπῃ παύεται διὰ τὸ μὴ εἶναι λοιπὸν
ἐπιτηδείαν ὕλην πρὸς ἕψιν. εἰ δὲ ἐν τῷ διατρέχειν τὴν φλόγα ἐμπέσῃ
πυκνοτέρα τις καὶ παχεῖα ὕλη καὶ στέγειν δυναμένη τὸ τοῦ πυρὸς εἶδος, τοῦ
30 μὲν διαΐσσοντός ἐστι τοῦτο πέρας, τοῦ κομήτου δ' ἀρχή· μένει γὰρ ἡ φλὸξ
ἐν τούτῳ λοιπὸν ἐπὶ χρόνον τινὰ διά τε τὸ πλῆθος τῆς ὕλης καὶ τὴν
πυκνότητα καὶ διὰ τὴν ἐπὶ πολὺ κάτωθεν χορηγουμένην ἀναθυμίασιν τῷ 25
κομήτῃ καὶ προστιθεμένην αὐτῷ δίκην τροφῆς καὶ ἀναπληροῦσαν τὸ δια-
πεφορημένον τῆς προεξαφθείσης ὕλης αὐτοῦ. τὸ δὲ γένοιτ' ἂν ἀρχὴ
35 τῆς φορᾶς ἡ τελευτὴ τῆς διαδρομῆς, τὸ τέλος, φησί, τῆς τοῦ
διάττοντος διαδρομῆς (τέλος ἔσχεν ἔνθα πυκνότητος ὑπήντησεν ὕλης) ἀρχὴ
τῆς φορᾶς ἐστι τοῦ κομήτου, τουτέστι τοῦ καίεσθαι τὴν ὕλην αὐτοῦ ἀρχή
ἐστι· καὶ ἐπὶ τούτου γὰρ ἐπινέμεται τὴν ἐφεξῆς ἡ προλαβοῦσα καὶ φερο-

4 ἐπί τι μῆκος Ma  δὴ τοῦτο] δέ τι Ma  μείνειε Ma Arist. F: μείνοιε V Arist. N: διαμείνειε Arist. EH  5 διελθὼν a  ᾗ] ἢ a  13 ἔδειξε M
15 εἰ et 16 καὶ addidi  18 τοῦτο τῷ μετ' αὐτό scripsi: τούτω τὸ μεταξὺ libri
24 τοῦτο μέρος M  25 εἰς] ἧς M  36 πυκνότης Ma  37 φθορᾶς M
38 ἐστι scripsi: ἔτι libri

μένη τὸ ἐπιτήδειον ἐξάπτει, ἀλλὰ διὰ τὴν παχύτητα τῆς ὕλης οὔτε τὸ 98ᵛ
ἐφεξῆς ῥᾳδίως ἐξάπτεται ⟨οὔτε⟩ τὸ προλαβὸν ἑτοίμως ἀπομαραίνεται, διόπερ 31
οὐδὲ κινήσεως φαντασία τις ἡμῖν ὑποπίπτει. ἡ οὖν ἀρχὴ τῆς φορᾶς εἶπεν.
ἤτοι τῆς κινήσεως τοῦ κομήτου μετὰ τοῦ παντὸς ἀρχὴ ἢ ἁπλῶς τῆς
5 ὑπάρξεως αὐτοῦ καὶ εὐπορίας τῆς ὕλης ἀρχή. τὸ γὰρ πολλοὺς γεγονέναι
καρποὺς φορὰν καρπῶν λέγομεν, καὶ ἐπὶ τῶν χειρόνων ὁμοίως. Μένανδρος
"φορὰ γὰρ νῦν τούτου γέγονε καλὴ δι' ὁτιδήποτε". συμπεραίνων δὲ τὰ
εἰρημένα φησὶ τοιοῦτον ὁ κομήτης ἐστὶν ἀστήρ, ὥσπερ δια- 35
δρομὴ ἀστέρος, ἔχων ἐν ἑαυτῷ τὸ πέρας καὶ ἀρχήν. ὁ κομήτης,
10 φησίν, ἀστὴρ οἷον ἀστέρος ἐστὶ διαδρομή, τουτέστι διάττων ἐστὶ τὴν ἀρχὴν
ἔχων καὶ τὸ πέρας ἐν ἑαυτῷ τῆς ἐκκαύσεως μένον ἐν αὐτῷ καὶ μὴ σβεν-
νύμενον· ἐπὶ γὰρ τοῦ διάττοντος ἐξαπτόμενον εὐθὺς σβέννυται. τὰ γὰρ ἐν
κινήσει τὸ εἶναι ἔχοντά ἐστι τοιαῦτα, οὔτε τὴν ἀρχὴν τῆς κινήσεως ἐν
ἑαυτοῖς οὔτε τὸ πέρας ἔχοντα· ἐν τῷ γίνεσθαι γὰρ καὶ φθείρεσθαι πᾶσα
15 ἡ κίνησις ἔχει τὸ εἶναι, μένον δέ τι μόριον αὐτῆς παντελῶς ἐστιν οὐδὲν 40
ὡς οὐδὲ τοῦ χρόνου οὐδὲ τῆς φθορᾶς. ὁ δὲ κομήτης ἐν ἑαυτῷ ἔχει καὶ
τὸ πρῶτον ἐξαφθὲν καὶ τὸ ἔσχατον μένοντα καὶ σωζόμενα. οὐκοῦν ὁ κομή-
της διάττων ἐστὶν οὐ κινούμενος ἀλλὰ μένων καὶ τὴν ἀρχὴν καὶ τὸ πέρας
τῆς ἐξάψεως ἔχων ἐν ἑαυτῷ.

20 p. 344ᵃ33 Ὅταν μὲν οὖν ἐν αὐτῷ τῷ κάτω τόπῳ ἡ ἀρχὴ τῆς συστά-
σεως ᾖ, καθ' αὑτὸν φαίνεται κομήτης· ὅταν δὲ ὑπὸ τῶν ἀστέρων 45
τινός, ἢ τῶν ἀπλανῶν ἢ τῶν πλανήτων, ὑπὸ τῆς κινήσεως συνι-
στῆται ἡ ἀναθυμίασις, τότε κομήτης γίνεται τούτων τις· οὐ γὰρ
πρὸς αὐτοῖς ἡ κόμη γίνεται τοῖς ἄστροις, ἀλλ' ὥσπερ αἱ ἅλω
25 περὶ τὸν ἥλιον φαίνονται καὶ τὴν σελήνην παρακολουθοῦσαι,
καίπερ μεθισταμένων, ὅταν ᾖ πεπυκνωμένος οὕτως ὁ ἀήρ, ὥστε
τοῦτο γίνεσθαι τὸ πάθος ὑπὸ τὴν τοῦ ἡλίου πορείαν, οὕτω καὶ
ἡ κόμη τοῖς ἄστροις οἷον ἅλως ἐστί. πλὴν ἡ μὲν γίνεται δι'
ἀνάκλασιν τοιαύτη τὴν χρόαν, ἐκεῖ δ' ἐπ' αὐτῶν τὸ χρῶμα 50
30 φαινόμενόν ἐστιν.

Ἐπειδὴ κομῆται γίνονται καὶ χωρὶς ἀστέρων καὶ τῶν ἀστέρων τινὲς οὐ
μόνον τῶν πλανωμένων ἀλλὰ καὶ τῶν ἀπλανῶν, τὴν διαφορὰν αὐτῶν ἐν τούτοις
παραδίδωσιν. ὅταν μὲν οὖν, φησίν, ἡ εἰρημένη ἀναθυμίασις ἐν τῷ κάτω
τόπῳ συστῇ μὴ πλησιάζουσα τοῖς ἄστροις, αὐτὴ καθ' αὑτὴν χωρὶς ἀστέρος
35 τὸν εἰρημένον τρόπον γίνεται κομήτης· ἀλλ' ἐπειδὴ καὶ οἱ ἀστέρες τῇ
κινήσει τῇ ἑαυτῶν ἀναθυμίασιν | εἰς ἑαυτοὺς ἕλκουσι τοιαύτην, ὅταν συμβῇ 99ʳ
ταύτην τὴν ἀναθυμίασιν διὰ τὰς εἰρημένας αἰτίας ἐξάπτεσθαι, κομήτης ὁ

---

2 οὔτε addidi 5 τῆς om. a 6 Μένανδρος] cf. Th. Kock, com. Att. fragm. III p. 231 (fr. 872) 11 αὐτῷ scripsi: ἑαυτῷ libri 16 φορᾶς M 22. 23 συνίσταται Ma 24 αἱ om. Ma 26 post μεθισταμένων add. τῶν ἄστρων Arist. F οὕτως πεπυκνωμένος coll. Ma ἀστὴρ a 28 ἡ post πλὴν om. Ma 31 χωρὶς μετὰ Ma

ἀστὴρ γεγονέναι δοκεῖ. δυνατὸν δὲ καὶ πλησίον μὲν τοῦ ἄνω σώματος 99ʳ
συστῆναι ὕλην, μὴ ἔχειν δὲ κατὰ κάθετον αὐτὴν τῶν ἀστέρων τινά, καὶ
πάλιν καθ' αὑτὸν γενέσθαι κομήτην. εἰ δὲ ὑποκαίοιτό τινι τῶν ἀστέρων
ὑπὸ μίαν κάθετον ἡ τοιαύτη ἀναθυμίασις, οὐκ ἐξισχύουσα ἡ ὄψις ἡμῶν
5 τῇ διακρίσει ταύτης καὶ τοῦ ἀστέρος ἐπιβαλεῖν τῷ μεταξὺ διαστήματι ἐν 5
ἑνὶ καὶ τῷ αὐτῷ ἐπιπέδῳ τὸν ἀστέρα καὶ τὴν κόμην εἶναι νομίζει· διὸ
κομήτην τὴν ἀστέρα γεγονέναι φαντάζεται. τὸ δ' ἀληθὲς οὐχ οὕτως ἔχει,
φησίν· οὐ γὰρ πρὸς αὐτοῖς ἡ κόμη γίνεται τοῖς ἄστροις, ἀλλὰ κατωτέρω
μὲν πολύ, ὑπ' αὐτὰ δ' ὅμως. καὶ τούτου τίθησιν ὑπόδειγμα τὴν ἅλω
10 τὴν συνισταμένην περὶ τὸν ἥλιον καὶ τὴν σελήνην, καίτοι μηδέπω τοῦτο
δείξας ὅπως ἔχει. ὥσπερ οὖν αἱ ἅλῳ δοκοῦσι μὲν ἐν τῷ αὐτῷ ἐπιπέδῳ
εἶναι τῷ ἡλίῳ τυχὸν ἢ τῇ σελήνῃ, οὐκ ἐν τούτοις δ' εἰσὶν ἀλλ' ὑπ' αὐτοῖς, 10
οὕτω καὶ ἐπὶ τῆς κόμης τῆς συνισταμένης ὑπό τινα τῶν ἀστέρων γίνεται.
μία μὲν οὖν αὕτη κοινωνία ἐστὶν ἀμφοτέρων, τῆς ἅλω τε καὶ τῆς κόμης·
15 καὶ ἑτέραν δὲ λέγει διότι συγκινοῦνται καὶ αἱ ἅλῳ τῷ ἡλίῳ καὶ τῇ σε-
λήνῃ καὶ ἡ κόμη τοῖς ἄστροις. διαφέρουσι δὲ ὅτι ἡ μὲν ἅλως ἐξ ἀνα-
κλάσεως τῶν ὄψεων ἀπὸ τοῦ νέφους ἐπὶ τὸν ἥλιον ἢ τὴν σελήνην γενομένη
οὐχ ὕπαρξιν ἀλλ' ἔμφασιν ἔχει καὶ μόνην τοῦ χρώματος, ἡ δὲ κόμη τοι-
οῦτον ἔχει τὸ χρῶμα, οἷον καὶ φαίνεται· τῆς γὰρ ὑποκειμένης ὕλης ἐστὶν 15
20 ἔξαψις. τί δὲ τὸ αἴτιον τοῦ συμμεθίστασθαι δοκεῖν καὶ τὴν ἅλω τῇ σε-
λήνῃ τε καὶ τῷ ἡλίῳ καὶ τὴν κόμην τῷ ἀστέρι τούτῳ οὗπέρ ἐστι κόμη;
τὸ πεπυκνῶσθαι, φησίν, ὁμοίως τὸν ἀέρα πανταχοῦ, καὶ διὰ τοῦτο ἐξ ἑκάστου
μέρους αὐτοῦ τὴν ἴσην ἀνάκλασιν τὰς ὄψεις ἡμῶν δυνατὸν ποιεῖσθαι. καὶ
τοῦτό ἐστιν ὅπερ εἶπεν ὥστε τοῦτο γίνεσθαι τὸ πάθος ὑπὸ τὴν τοῦ
25 ἡλίου πορείαν, ὅπερ καὶ ἐπὶ τῆς κόμης. εἴπερ γὰρ ἡ ἀναθυμίασις
ὁμαλὴς ἦν καὶ πανταχοῦ, οὐδὲν κωλύει σβέννυσθαι μὲν ἀφ' ἧς ὁ ἀστὴρ
μετέστη, ἐξάπτεσθαι δὲ ἄλλην τῇ κινήσει αὐτοῦ εἰς ἣν μεταβέβηκεν, εἰ 20
ἀληθεύει λέγων ὑπὸ τῆς κινήσεως τῶν ἀπλανῶν τινος ἢ τῶν πλανωμένων
συνίστασθαι τὴν ἀναθυμίασιν. μήποτε οὖν ἐκεῖνό ἐστιν ἀληθὲς ὡς εἰ τοῖς
30 οὐρανίοις συμπεριάγεται τὸ ὑπέκκαυμα καὶ πολὺ τοῦ ὑπ' αὐτὸ ἀέρος, ὁ δὲ
κομήτης ὑπόστασίς ἐστι καὶ πάθος τοῦ συγκινουμένου τῷ παντὶ ἀέρος,
εἰκότως συμπεριάγεται τοῖς σώμασιν ὧν ἐστι πάθος, οὐ κινεῖται· καὶ ὁ
ἀστὴρ οὐ συνεφέλκει τὴν κόμην, ἀλλ' ἡ ἀπλανὴς τὸ ὑπέκκαυμα καὶ μετὰ 25
τοῦ συστάντος ἐν αὐτοῖς πάθους καὶ αὐτὸν συνεφέλκει τὸν ἀέρα.

35 p. 344ᵇ8 Ὅταν μὲν οὖν κατ' ἀστέρα γένηται ἡ τοιαύτη σύγ-
κρισις, τὴν αὐτὴν ἀνάγκη φαίνεσθαι φορὰν κινούμενον τὸν
κομήτην, ἥνπερ φέρεται ὁ ἀστήρ· ὅταν δὲ συστῇ καθ' αὑτόν,

3 ὑποκαίοιτο] ὑποκ (lac. ιν litt.) το V 11 ἅλοι in lit. M¹ 15. 16 ἡλίῳ — σελήνῃ ex corr. V¹ 18 καὶ om. a 19 τὸ χρῶμα in lit. V¹ 21 καὶ τῷ ἡλίῳ bis scr. V 27 δὲ om. MV 29 ἐκεῖνός a 31 συγκρινομένου MV 32 post εἰκότως add. εἰ a καὶ ὁ] οὐχ ὁ MV: exspectas καὶ οὐχ ὁ ἀστὴρ συνεφέλκει 34 αὐτοῖς] immo αὐτῷ 36 φαίνεσθαι] φέρεσθαι Ma Arist. HN

τότε δὴ ὑπολειπόμενοι φαίνονται. τοιαύτη γὰρ ἡ φορὰ τοῦ 99r
κόσμου τοῦ περὶ τὴν γῆν. τοῦτο γὰρ μάλιστα μηνύει μὴ εἶναι
ἀνάκλασίν τινα τὸν κομήτην ὡς ἅλω ἐν ὑπεκκαύματι καθαρῷ
πρὸς αὐτὸν τὸν ἀστέρα γινομένην, καὶ μὴ ὡς λέγουσιν οἱ περὶ 30
5 Ἱπποκράτην πρὸς τὸν ἥλιον, ὅτι καὶ καθ' ἑαυτὸν γίνεται κομή-
της πολλάκις καὶ πλεονάκις ἢ περὶ τῶν ὡρισμένων τινὰς
ἀστέρων.

Ἔτι τὴν διαφορὰν τῶν κομητῶν ἀπαγγέλλει, τῶν τε καθ' αὑτοὺς
γινομένων καὶ τῶν ὑπό τινα τῶν ἀστέρων συνισταμένων καὶ αὐτὸν τὸν
10 ἀστέρα ποιούντων κομήτην. οὗτοι μὲν οὖν, φησί, τὴν αὐτὴν φέρονται τῷ
ἀστέρι φορὰν καὶ οὐχ ὑπολείπονται τούτου ποτέ. οἱ δὲ καθ' αὑτοὺς ἀστέρος 35
χωρὶς συνιστάμενοι κομῆται ὑπολείπονται τῆς τῶν οὐρανίων κινήσεως. καὶ
τὴν αἰτίαν φησὶν ὁ Ἀλέξανδρος, ὅτι μὴ ἰσοδρομεῖ τοῖς οὐρανίοις ὁ περὶ
τὴν γῆν κόσμος οὐδ' ὁμαλῶς αὐτοῖς ἕπεται, οὐδὲ κατὰ φύσιν οὕτω κινεῖται
15 ἀλλὰ δηλονότι παρὰ φύσιν ὑποσυρόμενος βίᾳ διὰ τὴν τοῦ ἕλκοντος ὑπερ-
βάλλουσαν δύναμιν. ὅπερ καὶ τὸν μέγιστον ὑπομεῖναι κομήτην ἱστόρησεν
Ἀριστοτέλης· ὑποθεμένων γὰρ ἡμῶν ὅσον ἐκ τῶν εἰρημένων αὐτῷ τὸν
ἥλιον τότε εἶναι ἐν αἰγοκέρωτι, συνόντα δ' αὐτῷ τὸν κομήτην πρὶν 40
ὀφθῆναι, ὅτε δὲ πρῶτον ἐφάνη, ὑπολελεῖφθαι αὐτὸν ἐν ὑδροχόῳ ἐπὶ τὰ ἑπό-
20 μενα (πῶς γὰρ ἂν ἐφάνη μὴ τοῦ ἡλίου ὑπολελειμμένος;) πάλιν δ' εἰπόντος
Ἀριστοτέλους ὅτι ἐπανῆλθε μέχρι ζώνης Ὠρίωνος, ἥτις ὑπὸ τοὺς διδύμους
ἐστί, κἀνταῦθα γενόμενος ἐλύθη, συνηγάγομεν ἡμεῖς ὑπολειφθῆναι αὐτὸν
ζῴδια τέσσαρα, ὑδροχόον, ἰχθῦς, κριόν, ταῦρον. τοσαῦτα οὖν δηλονότι καὶ
τῆς κινήσεως ὑπελείφθη τοῦ παντὸς οὐρανοῦ βραδύτερον κινηθείς, ἅτε δὴ
25 βιαίως συνεφελκομένου τῷ οὐρανῷ τοῦ ὑπεκκαύματος, ἐν ᾧπερ ὁ κομήτης 45
ὑπέστη. οὐ γὰρ ἄν τις εἴποι φυσικὸς ἀνήρ "πόθεν γὰρ δῆλον, εἰ μὴ θᾶττον
κινηθεὶς ὁ κομήτης τὸν ἥλιον ὑπέδραμεν ἐπὶ τὰ ἡγούμενα ζῴδια ὀκτώ,
αἰγόκερων, τοξότην, σκορπίον, ἰχθύας, παρθένον, λέοντα, καρκίνον, διδύ-
μους;" πρῶτον μὲν οὖν ὅτι καταγέλαστος ἡ τοσαύτη τοῦ κομήτου ταχυ-
30 τῆς τῇ ἀπλανεῖ συνεφελκομένου ἅμα τῷ ὑπεκκαύματι· δεύτερον ὅτι παλιν-
δρομῶν ὁ κομήτης ἐν αἰγοκέρωτι ἀφανὴς ἔμελλε γίνεσθαι τῷ ἡλίῳ συνών,
παραλλάσσων δὲ τὸν ἥλιον καὶ μετιὼν τὸν τοξότην καὶ σκορπίον περὶ τὴν 50
ἕω φαίνεσθαι μόνην εἰκὸς ἦν· νῦν δὲ μετὰ δύσιν ἡλίου τὸ πρῶτον φανεὶς
ἐν ὑδροχόῳ δηλονότι ὢν καὶ μέχρι δύσεως τελείας φαινόμενος μετὰ δύσιν
35 ἔμενεν, ἕως ὑπὸ τὴν ζώνην τοῦ Ὠρίωνος φθάσας ἐλύθη. πρὸς τούτοις τὰ
βίᾳ συνεφελκόμενά τινι θᾶττον μὲν κινεῖσθαι τοῦ συνεφέλκοντος ἀδύνατον
(οὐδεμίαν γὰρ ἔχει κίνησιν ἰδίαν), ἀλλ' ἢ ἰσοδρομεῖ τούτῳ, εἰ μηδὲν ἀντι-
πράττει, ἢ ὑπολείπεται πάντως συνέπεσθαι | κατὰ συνέχειαν τῷ ἕλκοντι 99v

1 ὑπολειπόμενον φαίνεται Ma 3 ἅλως MV 4 γινομένη Ma 10 αὐτὴν scripsi: τοιαύτην libri 11 ἀστέρες a 13 Ἀλέξανδρος] p. 35,20 14 οὕτω κινεῖται — παρὰ φύσιν (15) bis scr. V 21 ζώνης om. Ma 23 ἰχθῦς scripsi: ἰχθῦν libri 28 αἰγόκερον Ma 32 τὸν ante τοξότην om. Ma 37 εἰ] ἢ MV 38 συνέπεσθαι scripsi: συνέσεσθαι libri

μὴ δυνάμενον, ὅπερ οἶμαι καὶ ἐπὶ τοῦ εἰρημένου κομήτου γέγονεν. εἰ δ' 99ᵛ
ὅλως συνεφέλκεται τῷ οὐρανῷ βιαίως ὁ περὶ γῆν κόσμος, ἀκόλουθον οἶμαι
πάντως αὐτὸν καὶ στάσει διαλαμβάνεσθαι καὶ τῇ κινήσει λειπόμενον. τοῦτο
μὲν οὖν προφανές· εἰ δὲ κατὰ τοὺς Πλατωνικοὺς τῇ τῶν στοιχείων ὁλότητι
5 κατὰ φύσιν ἐστὶν ἢ τὸ μένειν ἢ τὸ κύκλῳ κινεῖσθαι, καὶ διὰ τοῦτο τὸ
ὑπέκκαυμα κατὰ φύσιν καὶ οὐ βίᾳ κύκλῳ φέρεται, τὸ ἄρα ὑπολείπεσθαι 5
τὸ ὑπέκκαυμα τῆς ἁπλανοῦς ἀπὸ τῆς ἰδίας ἔχει φύσεως βραδύτερον αὐτῆς
κινούμενον, ὥσπερ καὶ τῶν οὐρανίων οὐκ ἔστιν ἴσα τὰ τάχη, ἄλλα δ' ἄλλων
τὰ μὲν θᾶττον κινεῖται τὰ δὲ βραδύτερον. μήποτε καὶ ὁ Ἀριστοτέλης ἐμ-
10 φαίνει τι τοιοῦτον, ἐν οἷς φησι τοιαύτη γὰρ ἡ φορὰ τοῦ κόσμου τοῦ
περὶ τὴν γῆν, τουτέστι τοῦ ὑπεκκαύματος καὶ τοῦ μὴ λιμνάζοντος ἀέρος,
τὸ μὴ ἰσοδρομεῖν τῷ οὐρανῷ ἀλλ' ὑπολείπεσθαι. ὥστε οὐ διὰ τὸ συνεφέλ- 10
κεσθαι βίᾳ τὸ ὑπέκκαυμα τῶν οὐρανίων ὑπολείπεται, ἀλλ' ὅτι τοιαύτην
ἔχει τὴν φύσιν, ἐπείπερ εἰ βίᾳ καὶ παρὰ φύσιν οὕτως ἐκινεῖτο, τὸν πάντα
15 χρόνον ἐν τῷ παρὰ φύσιν ἔμελλεν εἶναι καὶ τοῦ κατὰ φύσιν οὐδέποτε τεύξε-
σθαι, ὅπερ ἀδύνατον. τοῦτο οὖν ἐστι τὸ αἴτιον καὶ τοῦ ὑπολείπεσθαι τῆς
τῶν οὐρανίων κινήσεως τοὺς κομήτας. οὐδὲ γὰρ καθ' ἑαυτοὺς κινοῦνται·
πάθος γάρ ἐστι τοῦ ἀέρος ἢ τοῦ ὑπεκκαύματος· τῷ οὖν τὸ ὑποκείμενον
αὐτοῖς ὑπολείπεσθαι τῶν οὐρανίων πᾶσα ἀνάγκη καὶ αὐτοὺς ὑπολείπεσθαι. 15
20 ἐξ οὗ δῆλον ὅτι μηδὲ ὑπὲρ φύσιν αὐτοῖς ἡ κίνησις, ὡς ἑτέρωθί πού φησι
Δαμάσκιος, ὅπερ ἠλέγξαμεν· οὐ γὰρ ἂν ἦν οὕτως εὐπαθής. τοῦτο μὲν
οὖν ἱκανῶς εἴρηται· διὰ τί δὲ οἱ κατὰ ἀστέρα τῶν κομητῶν συνιστάμενοι
ἰσοδρομοῦσι τῷ ἀστέρι καὶ οὐχ ὑπολείπονται αὐτοῦ, οὔτ' Ἀριστοτέλης
εἴρηκεν οὔτ' Ἀλέξανδρος, πλὴν ὅτι προσέρριψεν αὐτὸς ἁπλῶς ὁ Ἀλέξαν-
25 δρος εἰπὼν "⟨ὡς ἂν ἐκείνου⟩ τῇ ἀναθυμιάσει τὴν αἰτίαν παρέχοντος". ἔδει
οὖν αὐτὸν εἰπεῖν πῶς τῇ ἀναθυμιάσει τὴν αἰτίαν παρέχει· ὁ γὰρ Ἀριστο- 20
τέλης οὐδὲν εἴρηκεν. ἐντεῦθεν οἶμαί τινα κινούμενον εἰπεῖν ὡς ὁ μὲν
κάτω συνιστάμενος κομήτης παχυτέρας ἐστὶν ὕλης ὡς ἐπιμεμιγμένης τοῖς
κάτω σώμασιν, ὁ δὲ παρὰ τοῖς ἄστροις γινόμενος ἐκ λεπτοτέρας καὶ πυρώ-
30 δους ὡς πλησιάζων τοῖς ἄνω· εἰκότως οὖν ὁ μὲν ὑπολείπεται διὰ τὸ βάρος
τῆς ὕλης καὶ ἀντιβατικὸν τῷ συνέλκοντι, ὁ δὲ συνέπεται διὰ τὴν λεπτο-
μέρειαν, μηδενὸς ἀντιβαίνοντος τῇ συνώσει τοῦ ἕλκοντος. τοῦτο δὲ πιθανὸν
μὲν ἄγαν, ἐπισκοποῦσι δὲ τῶν ὑποκειμένων τὴν φύσιν οὐκ ἀληθὲς εὑρε- 25
θήσεται. συνεχῆ γὰρ ὄντα τό τε ὑπέκκαυμα καὶ ὁ μὴ λιμνάζων ἀὴρ καὶ
35 οὐ διεσπασμένην κατὰ μέρη μίαν καὶ συνεχῆ ποιεῖται κίνησιν, εἴτε καθ'
αὐτὸ κινεῖται ἢ ἐν τοῖς οὐρανοῖς συνέλκεται. διὸ καὶ αὐτὰ κυκλίζεται τὰ
πάθη, καθὰ καὶ οἱ κομῆται δηλοῦσι, δύνοντές τε καὶ ἀνατέλλοντες
πολλάκις ὁμοίως τοῖς ἄστροις. εἰ οὖν οἱ κομῆται πάθος εἰσὶ τοῦ

10 τοιαύτη Arist.: τοσαύτη libri 15 τοῦ] τοῦτο Ma 17 κινήσεων a
18 τῷ et 19 αὐτοῖς scripsi: τὸ et αὐτὸν libri 23 ἰσοδραμοῦσι a 24. 25 Ἀλέξαν-
δρος εἰπὼν] p. 35,17 25 ὡς ἂν ἐκείνου ex Alex. addidi παρέχοντος Alex.:
παρέχοντες libri 26 πῶς et παρέχει scripsi: πρὸς et παρέχειν libri 30 βάρος]
βάθος MV 36 ἢ om. MV 37 δύναντές τε καὶ ἀνατέλλοντες scripsi: δύνοντός
τε καὶ ἀνατέλλοντος libri

ὑπεκκαύματος, ἄλλοι κατ' ἄλλο τῶν αὐτοῦ μερῶν συνεχῶν ὄντων γινόμενοι. 99v
πῶς οἷόν τε τοῦ ὅλου συνεχοῦς τε ὄντος καὶ μίαν ποιουμένου κίνησιν τὸ 31
μὲν αὐτοῦ μέρος ἰσοδρομεῖν τοῖς οὐρανίοις, τὸ δὲ ὑπολείπεσθαι; ἐπεὶ τοίνυν
οὔτε οἱ εἰρημένοι φιλόσοφοι τὸ φαινόμενον ἠτιολόγησαν οὔτε ὅλως εὑρεῖν
5 τινα τούτου αἰτίαν δεδύνηνται. οἶμαι δεῖν ἐπιτηρῆσαι τὰ πάντα ταῦτα πολ-
λάκις, εἰ οὕτως ὡς ὁ Ἀριστοτέλης εἴρηκεν ἔχει, καὶ εἰ τοῦτο φανείη, πάλιν
σκοπεῖν, μήποτε δόκησίς ἐστι καὶ πλάνη τῆς ὄψεως. οὐκ ἀλήθεια τὸ συμ-
βαῖνον· ἴσως γὰρ οἱ τῶν ἀστέρων ὄντες ἐγγὺς κομῆται διὰ τὸ ἐν μεγάλῃ 35
περιφερείᾳ κινεῖσθαι οὐ πολλὴν οὐδὲ διάδηλον ποιούμενοι τὴν ἀπὸ τῶν
10 ἀστέρων κίνησιν ἰσοδρομεῖν αὐτοῖς νομίζονται, οἱ δὲ κάτω τοὐναντίον ἐν
μικρᾷ περιφερείᾳ κινούμενοι θᾶττον τοὺς ἀστέρας παραλλάττειν δοκοῦσιν,
οἷς πρότερον κατὰ μίαν ὑπῆρχον κάθετον. τοιοῦτο δέ τι τοῖς ἐπιτηροῦσι
καὶ ἐπὶ τῶν ἀπλανῶν φαινόμενον ἔστιν ἰδεῖν, τό τε ἐν μείζονι περιφερείᾳ
καὶ τὸ ἐν ἐλάττονι κινούμενον. τοῦτο γὰρ μάλιστα μηνύει μὴ εἶναι
15 ἀνάκλασίν τινα τὸν κομήτην ὡς ἅλω ἐν ὑπεκκαύματι καθαρῷ 40
πρὸς αὐτὸν τὸν ἀστέρα γινομένην, καὶ μὴ ὡς λέγουσιν οἱ περὶ
Ἱπποκράτην, πρὸς τὸν ἥλιον, ὅτι καὶ καθ' ἑαυτὸν γίνεται κο-
μήτης καὶ πολλάκις καὶ πλεονάκις ἢ περὶ τῶν ὡρισμένων τινὰς
ἀστέρων. ἐπειδήπερ Ἱπποκράτης ὡς τὴν ἅλω κατὰ ἀνάκλασιν τῶν
20 ὄψεων εἰς τὸν ἥλιον γινομένην, οὕτως ἔλεγε καὶ τοὺς ἀστέρας γίνεσθαι
κομήτας ἐκ τῆς ἀναθυμιάσεως ἐπ' αὐτοὺς ἀνακλωμένης ἡμῶν τῆς ὄψεως,
καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης περὶ τῆς κόμης διαλεγόμενος ὑπόδειγμα τὴν 45
ἅλω παρήγαγεν, ἵνα μήτις ἐντεῦθεν ἀληθεύειν Ἱπποκράτην νομίσειεν, ὡς
τὴν ἅλω ἐξ ἀνακλάσεως τῶν ὄψεων ἡμῶν ἐπὶ τὸν ἥλιον, οὕτω καὶ τὴν
25 κόμην ἐπὶ τὸν ἀστέρα γίνεσθαι, ἐξ αὐτῶν τῶν νῦν εἰρημένων τὴν ὑπόνοιαν
ταύτην ἐλέγχει, λέγω δὲ τοῦ τε ὑπολείπειν τὸν κομήτην πολλάκις καὶ συν-
ίστασθαι καθ' αὑτὸν ὡς ἐπὶ τὸ πλεῖστον, σπανιώτερον δὲ μετὰ ἀστέρος.
εἰ γὰρ ἡ κόμη κατ' ἀνάκλασιν τῶν ⟨ὄψεων⟩ ἐπί τινα τῶν ἀστέρων ἐγίνετο,
καθάπερ ἅλως ἐπὶ τὸν ἥλιον ἢ τὴν σελήνην, ἀδύνατον ἦν συστῆναί ποτε 50
30 καθ' αὑτὸν ἀστέρος χωρίς, ὡς οὐδ' ἅλω καθ' αὑτὴν ἡλίου ἢ σελήνης
ἐκτός· νυνὶ δὲ πλεονάκις τοῦτο γίνεται. ἔπειτα ἡ μὲν ἅλως ἐν ἀχλυώδει
ἀέρι γίνεται, ᾧ προσπίπτουσαι ἡμῶν αἱ ὄψεις ἐπὶ τὸν ἥλιον ἢ τὴν σελή-
νην ἀνακλῶνται· οἱ δὲ κομῆται ἐν καθαρῷ γίνονται τῷ ὑπεκκαύματι, ὅθεν
οὐκ ἔστι γενέσθαι ἀνάκλασιν. πάλιν ἡ ἅλως οὐκ ἀπολιμπάνει τὸν ἥλιον
35 ἢ τὴν σελήνην, ἀλλὰ σύνδρομός ἐστιν ὑφ' ὅνπερ ἂν αὐτὸν συσταίη, οἱ δὲ
κομῆται καὶ ἀπολείπονται. οὐχ ὡς ἡ ἅλως ἄρα κατὰ ἀνάκλασιν, οὕτω | 100r
καὶ ἡ κόμη γίνεται. εἰ δὲ ἐκ τοῦ μὴ ὑπολείπεσθαι τὴν ἅλω, τὸν δὲ κο-
μήτην ὑπολείπεσθαι τὸ μὴ εἶναι τὸ αὐτὸ πάθος τὴν ἅλω καὶ τὴν κόμην
συνήγαγεν, ἀλλ' ἐπείπερ τὸν ὑπό τινα τῶν ἀστέρων γινόμενον κομήτην

---

1 γινόμενοι ex γίνονται corr. M[1] 5 ἐπιτηρῆσαι] ἔτι τηρῆσαι a 6 ἔχειν MV
7 δόκωσις MV 10 ἰσοδραμεῖν a οἱ δὲ] οὐδὲ M 18 ἢ Arist.: οἱ libri
27 καθ' αὑτὸν scripsi: κατ' αὐτὸν libri 28 ὄψεων addidi 29 ἦν scripsi:
ἢ libri 30 καθ' αὑτὴν ἀστέρος V 31 ἔπειτα—γίνεται (32) om. V

οὐχ ὑπολείπεσθαι τοῦ ἀστέρος εἴρηκεν, συνάξειεν ἄν τις τοὐναντίον ἐν- 100r
τεῦθεν ὡς ἓν κατ' αὐτὸν εἴη πάθος ἡ κόμη τε καὶ ἡ ἅλως. εἰ δὲ τοῦτο
ψευδές, οὐκ ἀληθὲς ἂν εἴη τὸ μὴ ὑπολείπεσθαι τοῦ ἀστέρος τὴν γενομένην 5
αὐτῷ κόμην. τὴν λέξιν Ἀριστοτέλους καθ' ὑπέρθεσιν οὕτως ἀναγνωστέον·
5 τοῦτο γὰρ μάλιστα μηνύει μὴ εἶναι ἀνάκλασίν τινα τὸν κομήτην πρὸς αὐ-
τὸν τὸν ἀστέρα γινομένην, ὡς λέγουσιν οἱ περὶ Ἱπποκράτην, ὡς καὶ ἡ ἅλως
ἐν ὑπεκκαύματι καθαρῷ πρὸς τὸν ἥλιον· καὶ δῆλον ὅτι πλεονάζει τὸ μή
ἐπίρρημα μετὰ τοῦ καί συνδέσμου· ποῖον δὲ τοῦτο, διδάσκων ἐπήγαγεν,
ὅτι, φησί, καὶ καθ' ἑαυτὸν γίνεται πολλάκις κομήτης καὶ πλεονάκις ἢ περὶ
10 τῶν ὡρισμένων τινὰς ἀστέρων, ὑποστιζόντων εἰς τὸ πολλάκις, ἵν' ᾖ τὸ
νοούμενον τοιοῦτον· πλεονάκις καθ' ἑαυτοὺς κομῆται γίνονται ἤπερ περί 10
τινας τῶν ἀπλανῶν ἢ τῶν πλανωμένων ἀστέρων, ὡς εἶπε πρότερον. ὡρι-
σμένους δὲ τούτους ἐκάλεσεν ὡς πρὸς τοὺς κομήτας, ἀστέρας μὲν καὶ αὐ-
τοὺς καλουμένους.

15 p. 344b17 Περὶ μὲν τῆς ἅλω τὴν αἰτίαν ὕστερον ἐροῦμεν· περὶ δὲ
τοῦ πυρώδη τὴν σύστασιν αὐτῶν εἶναι τεκμήριον χρὴ νομίζειν
ὅτι σημαίνουσι γινόμενοι πλείους πνεύματα καὶ αὐχμούς· δῆλον
γὰρ ὅτι γίνονται διὰ τὸ πολλὴν εἶναι τὴν τοιαύτην ἔκκρισιν, 15
ὥστε ξηρότερον ἀναγκαῖον εἶναι τὸν ἀέρα, καὶ διακρίνεσθαι τὸ
20 διατμίζον ὑγρὸν ὑπὸ τοῦ πλήθους τῆς θερμῆς ἀναθυμιάσεως,
ὥστε μὴ συνίστασθαι ῥᾳδίως εἰς ὕδωρ.

Ἐπειδὴ ξηρὰν εἶναι καὶ θερμὴν τὴν ὕλην τῶν κομητῶν εἴρηκε πρό-
τερον, εἰκότως νῦν μετὰ τὸ πληρῶσαι τὸν περὶ τῆς γενέσεως αὐτῶν λόγον
δείκνυσιν ὅπερ ὁμολογούμενον ἤδη προσείληφεν, ὡς πυρώδης ἐστὶν ἡ τῶν
25 κομητῶν ὑλικὴ σύστασις· ὅτε γὰρ πλείους κομῆται φανεῖεν, αὐχμηρὸς καὶ
πνευματώδης ὁ ἐνιαυτὸς ἐκεῖνος γίνεται. δῆλον γὰρ ὡς οἱ πολλοὶ κομῆται 20
διὰ τὸ πολλὴν αὐτῶν γεγονέναι τὴν ὕλην συνέστησαν, ἥτις ξηρὰ οὖσα καὶ
θερμὴ τὴν ἑτέραν ἀναθυμίασιν τὴν ὑγράν, ἐξ ἧς ὑετοὶ γίνονται καὶ χάλαζαι
καὶ χιόνες, ἐξατμίζει καὶ διαφορεῖ πᾶσαν καὶ εἰς ἑαυτὴν μεταβάλλει· θα-
30 τέρου γὰρ τῶν ἐναντίων ἐπικρατοῦντος τὸ λοιπὸν γίνεται ὅπερ τὸ ἐπικρα-
τοῦν. εἰκότως οὖν αὐχμηρὸς ὁ ἐνιαυτὸς ἐκεῖνός ἐστι διὰ τὴν τοιαύτην,
φησίν, ἔκκρισιν, τουτέστι τὴν ξηρὰν ἀναθυμίασιν· θερμαινομένης γὰρ τῆς
γῆς τὸ λεπτοποιούμενον ἐκ τῆς θερμασίας ἐκκρίνεται ἐξ αὐτῆς καὶ ἄνω 25
φέρεται. ἐπειδὴ δὲ καὶ πνευμάτων ἡ αὐτὴ ὕλη αἰτία ἐστίν, ὡς δείξει
35 προϊών, εὐλόγως καὶ πνευματῶδες τὸ ἔτος γίνεται. τοῦτο δὲ καὶ Ἄρατος
ἐν ταῖς Διοσημείαις εἴρηκεν οὕτως·

---

2 κατ' αὐτὸν scripsi: καθ' αὐτὸν libri  εἰ δὲ scripsi: εἴη MV: ἢ a  3 εἴη scripsi: ἐπὶ libri  τὸ] τοῦ a  11 εἴπερ Ma  12 post τινας add. τῶν ὡρισμένων ἀστέρων Ma  ἀστέρων om. Ma  19 διακρίνεσθαι ex corr. V  19. 20 διακρίνεσθαι καὶ διαλύεσθαι τὸ διατμίζον Arist.  20 θέρμης Ma  ἀναθυμιάσεως om. Ma  29 διαφορῆ a  31 αὐχμὸς Ma  τοιαύτην Arist.: τοσαύτην libri  32 ἔκριψιν M: ἔκκριψιν a  35 Ἄρατος] Phaen. v. 1091 sqq. Maass

μηδ' εἶεν καθόπερθεν ἐοικότες ἀστέρες αἰεί, 100r
μήθ' εἷς μήτε δύω μήτε πλέονες κομόωντες·
πολλοὶ γὰρ κομόωσιν ἐπ' αὐχμηρῷ ἐνιαυτῷ.

ἐπειδὴ τῆς αὐτῆς ὕλης εἰσὶ καὶ οἱ διάττοντες, καθὰ φθάσαντες εἴπομεν, καὶ τούτων τὸ πλῆθος πνευμάτων ἐστὶ πάλιν τεκμήριον, ὡς καὶ τοῦτο πάλιν Ἄρατος ἐπισημαίνεται·

καὶ διὰ νύκτα μέλαιναν ὅτ' ἀστέρες αἴσσωσι
ταρφέα, τοῖς δ' ὄπιθεν ῥυμοὶ ἐπιλευκαίνονται,
δειδέχθαι κείνοις αὐτὴν ὁδὸν ἐρχομένοισι
πνεύματος· εἰ δέ κεν ἄλλοι ἐναντίοι αἴσσωσιν
ἄλλοι δ' ἐξ ἄλλων μερέων, τότε δὴ πεφύλαξο
παντοίων ἀνέμων, οἵ τ' ἄκριτοί εἰσι μάλιστα.

εἰ οὖν ἀληθῶς ταῦτα λέγεται, δῆλον οἶμαι λοιπὸν ὡς ὅσῳ πλείονες καὶ συνεχεῖς κομῆται γίνονται, τοσούτῳ καὶ οἱ ἐνιαυτοὶ πάντως αὐχμηρότεροι καὶ πνευματώδεις ὑπάρχουσιν. εἰ δὲ ἐλάττους καὶ μικρότεροι τὸ μέγεθος καὶ σπανιώτεροι γένωνται, ἀναλόγως καὶ τὸ ἔτος ἐκεῖνο τοιοῦτον ἔσται τοῦ προτέρου μὲν ἔλαττον, πνεύματος δ' ὅμως ὑπερβολὴν ἔχον, φησίν, ἢ μεγέθει ἢ χρόνῳ· ἢ γὰρ ἐπὶ πλεῖστον πνέει χρόνον διὰ τὸ πλῆθος τῆς ὕλης ἢ σφοδρὰ γίνεται τὰ πνεύματα καὶ ῥαγδαῖα διὰ τὴν ἀθρόαν αὐτῆς κίνησιν. πάλιν δὲ τὴν ἱστορίαν τοῦ λόγου ποιεῖται μάρτυρα, τόν τε λίθον τὸν ὑπὸ τῆς βίας τοῦ πνεύματος μετεωρισθέντα * * * τῷ ἐμφύτῳ βάρει ἐν Αἰγὸς ποταμοῖς, δηλονότι τοῦ πνεύματος ἐνδεδωκότος καὶ μηκέτι τὴν λίθον ἀνέχειν ἐπὶ πολὺ δυνηθέντος, καὶ προσέτι τὸν σεισμὸν τὸν ἐπὶ τοῦ μεγάλου κομήτου γενόμενον καὶ τὴν τοῦ κόματος ἔφοδον ἐξ ἐναντίων γινομένην πνευμάτων, ὡς ἐν τῷ περὶ σεισμῶν δειχθήσεται.

p. 344b36 Ἐν μὲν γὰρ τῷ κόλπῳ βορέας κατεῖχεν, ἔξω δὲ νότος ἔπνευσε μέγας.

Ὅτι δὲ ἡ τῶν ἐπικλυσμῶν αἰτία ἐστί, πάλιν ἐν τῷ περὶ αὐτῶν διδάξει λόγῳ.

p. 345a5 Τοῦ δὲ μὴ γίνεσθαι πολλοὺς μηδὲ πολλάκις κομήτας. καὶ μᾶλλον ἐκτὸς τῶν τροπικῶν ἢ ἐντὸς αἴτιος ἥ τε τοῦ ἡλίου καὶ τῶν ἄστρων κίνησις. οὐ μόνον ἐκκρίνουσα τὸ θερμόν, ἀλλὰ καὶ διακρίνουσα τὸ συνιστάμενον. μάλιστα δ' αἴτιον ὅτι τὸ πλεῖστον εἰς τὴν τοῦ γάλακτος ἀθροίζεται χώραν.

Καὶ καθόλου ζητεῖ, διὰ τί μὴ συνεχῶς γίνονται κομῆται, καὶ ἰδικώτερον

1 οἱ δ' εἶεν Arat. ἀεὶ MV 2 δύο libri πλείονες a 3 κομῶσιν MV 6 Ἄρατος] Phaen. v. 926 sqq. 8 τῆς V ὄπισθε V: ὄπισθεν a ὑπολευκαίνονται Arat. 9 ἐρχομένοιο Arat. 11 ἄλλοις ἐξ Arat. 16 γίνονται Ma ἀναλόγος M καὶ om. V 21 lacunam indicavi: addendum καὶ αὖθις καταπεσόντα 22 δεδωκότος Ma 24 ἐναντίων γενομένην a 25 ἐν τῷ περὶ σεισμῶν] B 8 p. 368a34 26 post κόλπῳ add. φησὶ Ma 28. 29 διδάξει] B 8 p. 368b6

τίνος ἕνεκεν οἱ γινόμενοι μᾶλλον ἐκτὸς τῶν τροπικῶν ἢ ἐντὸς γίνονται. μία δὲ καὶ ἡ αὐτὴ τούτων αἰτία ἐστίν· οὐ μόνον γὰρ ἡ τοῦ | ἡλίου καὶ 100v τῶν ἄστρων κίνησις θερμαίνουσα τὰ ὑπὸ σελήνην γεννᾷ τὴν εἰρημένην ἀναθυμίασιν, ἀλλὰ καὶ αὐτὴν ταύτην ἀραιοῖ τῇ ἐπιτάσει τοῦ θερμοῦ καὶ λεπτύνει καὶ διαφορεῖ παντελῶς. εἴπομεν δὲ ὡς πυκνοτέρας ἀναθυμιάσεως χρεία πρὸς κομήτου γένεσιν. εἰ δὲ τοῦτο αἴτιον τοῦ μὴ συνεχῶς ἐκτὸς τροπικῶν γίνεσθαι κομήτας, πολλῷ μᾶλλον μεταξὺ τῶν τροπικῶν οὐ γενήσονται διὰ τὸ δυναστεύειν ἐκεῖ τὸν ἥλιόν τε καὶ τοὺς πλανωμένους. ὅθεν καὶ διακαίεται καὶ ἀοίκητός ἐστιν ἡ ὑπὸ τὸν ἰσημερινὸν καὶ ἡ παρ' ἑκάτερα γῆ. προστίθησι δὲ καὶ ἄλλην αἰτίαν, ὅτι πολύ, φησί, τῆς τοιαύτης ὕλης εἰς τὴν τοῦ γάλακτος ἀθροίζεται χώραν. εἴτε δὲ καλῶς εἴρηται τοῦτο εἴτε μὴ καλῶς, ἐν τῷ περὶ αὐτοῦ λόγῳ δείξομεν· ἐπειδὴ δὲ ὅλως οἴεται πολὺ τῆς ὕλης τῶν κομητῶν εἰς τὴν τοῦ γάλακτος ἀθροίζεσθαι χώραν, ὡς ὁμούλων ἀμφοῖν ὄντων, εἰκότως ἐντεῦθεν ἐγνωσμένης αὐτοῦ τῆς ὕλης ἐπὶ τὸν περὶ αὐτοῦ τοῦ γαλαξίου μέτεισι λόγον ζητῶν, ὅπως τε γίνεται καὶ διὰ τίν' αἰτίαν, καὶ τί ἐστι τὸ γάλα. συνήθως δὲ πάλιν τὰς τῶν παλαιοτέρων περὶ αὐτοῦ δόξας γυμνάζει πρῶτον· τέσσαρας δ' εἶναι τὰς περὶ τούτου τῶν παλαιῶν φησιν ὑποθέσεις, ὧν ἑκάστην ἐκτίθεται.

p. 345a13 Τῶν μὲν οὖν καλουμένων Πυθαγορείων φασί τινες ὁδὸν εἶναι ταύτην οἱ μὲν τῶν ἐκπεσόντων τινὸς ἀστέρων κατὰ τὴν λεγομένην ἐπὶ Φαέθοντος φθοράν, οἱ δὲ τὸν ἥλιον τοῦτον τὸν κύκλον φέρεσθαί ποτέ φασιν· οἷον οὖν διακεκαῦσθαι τὸν τόπον τοῦτον ἤ τι τοιοῦτον ἄλλο πεπονθέναι πάθος ὑπὸ τῆς φορᾶς αὐτοῦ.

Αἱ προκείμεναι δύο δόξαι μυθώδεις οὖσαι καὶ ὑπὸ ποιητῶν ἀναπεπλασμέναι τοῖς ἄλλοις εἰσὶ τῶν Πυθαγορείων μύθοις ἀκόλουθοι. τὸ μὲν οὖν κατὰ τὸν Φαέθοντα πλάσμα πολλαχοῦ διαβεβόηται τῆς ποιήσεως, ὡς νέος ὢν καὶ τοῦ πατρὸς Ἡλίου τὸ ἅρμα διφρηλατεῖν ἐπιθυμήσας οὗτος καὶ τυχὼν τούτου νεανικώτερον ἢ σοφώτερον ἐλαύνων οὐδὲ νόῳ κατὰ τὸν ποιητὴν ἐπιβάλλων ἱμάσθην πολὺ τοῦ κόσμου μέρος κατέφλεξεν· ὧν καὶ ἡ διακεκαυμένη ζώνη ἐστὶ καὶ κατὰ τοὺς Πυθαγορείους ὁ γαλαξίας ἐμφαίνων ὅτι νῦν χρῶμα τῆς ἐκεῖθεν γενομένης πυρώσεως καὶ τῶν ἐνταῦθα πεσόντων ἀστέρων. ἕτεροι δὲ τῶν Πυθαγορείων πάλιν τὸν ἥλιόν φασί ποτε τοῦτον ἐκπεριιέναι κύκλον, οὐ τὸν ζῳδιακόν, ὃν νῦν δίεισιν, ἀλλὰ τὸν τοῦ γάλακτος, ὅθεν ἐκπυρωθέντα τοῦτο ποιῆσαι τὸ χρῶμα. καὶ οἶμαί γε καὶ τούτους ἑτέρῳ μύθῳ κατακολουθῆσαι τῷ περὶ τὸν Ἀτρέα πεπλασμένῳ, ὅτι ἐστράφη ἐπ' αὐτοῦ ἡ τοῦ ἡλίου κίνησις εἰς τοὔμπαλιν ἢ φέρεται νῦν.

1 ἐκτὸς] ἐκ τῆς M 7 ἐντὸς MV οὐ om. M 9 ἡ post καὶ om. Ma 16 δι' ἣν αἰτίαν a 17 post τὰς add. τῶν V 18 τούτου τῶν scripsi: τούτων MV: τούτου a 19 μὲν om. Ma φασί supra vers. V: om. M 22 διὰ τὸ κεκαῦσθαι τόπον Ma 23 τοῦτον om. Ma 28. 29 κατὰ τὸν ποιητὴν] cf. Od. Z 320 29 ἱμάσθην l. l.: ἱμὰς ὅλην libri 32 τῶν] τὸν V 34 ἐκπυρωθέντα] fort. ἐκπυρώσαντα

"τὸ γὰρ πτερωτὸν ἀελίου", φησὶν Εὐριπίδης, "μετέβαλεν ἅρμα, 100v
τὰν πρὸς ἑσπέραν κέλευθον οὐρανοῦ προσαρμόσασα μονόπωλον ἐς Ἀῶ,
ἑπταπόρου τε δρόμημα Πλειάδος εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει." 30
πρὸς μὲν οὖν τὴν προτέραν μυθολογίαν Ἀριστοτέλης οὐδ' ἀντειπεῖν ἀξιοῖ·
5 πρὸς δὲ τὴν δευτέραν σύντομον ἐπάγει τὸν ἔλεγχον ὁπωσδήποτε φυσιολο-
γίας ἡμμένην, ὅτι δι' ὧν φέρεται τόπων θερμὸς ὢν καὶ πυρώδης ὁ ἥλιος,
δεῖ τι παθεῖν ὑπ' αὐτοῦ τούτους. τίς οὖν ὁ ἔλεγχος; ὡς ἔδει καὶ τὸν
ζῳδιακὸν κύκλον δι' οὗ φέρεται νῦν ὁ ἥλιος, τὸ αὐτὸ πεπονθέναι πάθος
καὶ τῷ γάλακτι κεχρῶσθαι ὁμοίως, καὶ τοσούτῳ μᾶλλον ὅσῳ μετὰ τοῦ
10 ἡλίου καὶ οἱ πέντε τῶν πλανωμένων καὶ ἡ σελήνη δι' αὐτοῦ φέρεται. 35
ἀλλ' οὐδὲν τοιοῦτον φαίνεται πεπονθώς· καίτοι γε καθ' ἕκαστον τῆς νυκτὸς
μέρος ἡμικύκλιον ὁρῶμεν αὐτοῦ, καὶ τοιοῦτον πάθος οὐδὲν ἐν αὐτῷ θεω-
ρεῖται γενόμενον, πλήν, φησίν, εἴ τι συνάπτει πρὸς τὸν τοῦ γάλακτος κύκλον
μόριον αὐτοῦ· συνάπτει δ' αὐτὸ κατὰ τοὺς διδύμους καὶ τὸν τοξότην. εἰ
15 δὲ τοῦ ζῳδιακοῦ τὸ πάθος ἦν διὰ τὴν τοῦ ἡλίου δι' αὐτοῦ γινομένην
κίνησιν, ἔδει τὸν ὅλον κύκλον τοῦτο πεπονθέναι. τὸν μὲν οὖν κατὰ τὸν 40
Ἀτρέα μῦθον λύουσί τινες οὕτως· ἀστρονόμος, φασίν, ὑπάρχων ὁ Ἀτρεὺς
ἔδειξε τοῖς ἀνθρώποις πρῶτος ὡς ἡ τῶν πλανωμένων κίνησις τῶν ἑπτὰ
τὴν ἐναντίαν φέρεται τῷ παντί, κἀντεῦθεν ὁ μῦθος πάροδον ἔσχεν ὡς διὰ
20 τὸν Ἀτρέα ὁ θεὸς μετέβαλεν εἰς τοὐναντίον τὴν κίνησιν τοῦ οὐρανοῦ.
οἶμαι δὲ καὶ τὸ "ἑπταπόρου δρόμημα Πλειάδος" διὰ τοὺς ἑπτὰ πλανω-
μένους εἰρῆσθαι· αἱ γὰρ λεγόμεναι Πλειάδες ἕξ εἰσι καὶ μόναι, καθάπερ
Ἄρατος εἴρηκε, καὶ τοῦτο τοῖς εἰς αὐτὰ ἀποβλέπουσι φαίνεται. ὁ δὲ τοῦ 45
Φαέθοντος μῦθος ἵνα προσφόρως τῇ θεωρίᾳ τῶν μετεώρων αὐτὸν ἀνα-
25 πτύξωμεν, σύστασιν αἰνίττεσθαί μοι κομήτου δοκεῖ γενομένην ποτέ, ὃν ἡλίου
φασὶν εἶναι παῖδα· ἐκ γὰρ πυρώδους ὕλης ἀναθυμιωμένης ὑπὸ ἡλίου τὴν
γένεσιν ἔχει· ἐπιθυμῆσαι δὲ τὸ ἅρμα τοῦ πατρὸς ἐλάσαι, διότι τὴν αὐτὴν
τῷ ἡλίῳ φέρεται. ἡ δὲ ἄτακτος αὐτοῦ κίνησις καὶ τὸ μὴ ἰσοδρομῆσαι τῷ
πατρὶ τὸ μὴ ἰσοταχῶς κινεῖσθαι τῷ ἡλίῳ τὸν κομήτην μηδὲ τὸ τεταγμένον
30 τῆς αὐτοῦ φυλάττειν κινήσεως δηλοῖ, διὰ τὸ ὑπολείπεσθαι τοῦ ἡλίου τοὺς 50
κομήτας καὶ τὸ ἄτακτον τῆς ὕλης τῶν ὑπὸ σελήνην, ἐν οἷς ἀδύνατον τὴν
τῶν οὐρανίων εὐταξίαν φαίνεσθαι. τὸ δὲ καταφλέξαι μέρη τοῦ κόσμου
τινὰ δι' ὧν ἡ κίνησις αὐτοῦ γέγονε, σύμφωνον τοῖς περὶ κομητῶν εἰρη-
μένοις ὅτι αὐχμῶν καὶ ἐκπυρώσεως τοῦ ὑπὸ σελήνην ἀέρος εἰσὶ τεκμήρια.
35 εἰκὸς δὲ καὶ πλείονας τότε συστῆναι κομήτας καὶ διάττοντας καὶ φλόγας,
ἐξ ὧν ὁ μῦθος οὐκ ἀπιθάνως ἔσχε τὴν γένεσιν.

---

1 τὸ γὰρ] τό τε Eurip. post πτερωτὸν add. ἅρμα libri φησὶν Εὐριπίδης] Orest. v. 1001 sqq. 2 ante κέλευθον add. καὶ libri προσαρμόσασα Eurip.: προσαρμόσας libri ἄω Ma 3 ἑπταπόρου M Πελειάδος Eurip. ἄλλαν Eurip.: ἄλλην V: ἀλλὰ Ma μεταβάλοι Ma 13 γινόμενον a 15 γινόμενον Ma 17 φασὶν scripsi: φησὶν libri 21 τὸ om. a 22 Πλειάδες—οἰομένων (p. 104,19) om. V 23 Ἄρατος] Phaen. v. 258 29 τὸ post πατρὶ scripsi: τῷ libri

p. 345 a 25 Οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Δημόκριτον φῶς εἶναι τὸ γάλα λέγουσιν ἄστρων τινῶν. τὸν γὰρ ἥλιον ὑπὸ τὴν γῆν φερόμενον οὐχ ὁρᾶν ἔνια τῶν ἄστρων. ὅσα μὲν οὖν ὁρᾶται ὑπ' αὐτοῦ, τούτων μὲν οὐ φαίνεσθαι τὸ φῶς· κωλύεσθαι ⟨γὰρ⟩ παρὰ τῶν τοῦ ἡλίου ἀκτίνων· ὅσοις δ' ἀντιφράττει ἡ γῆ, ὥστε μὴ ὁρᾶσθαι ὑπὸ τοῦ ἡλίου, τούτων οἰκεῖον εἶναι φῶς τὸ γάλα. 101r

Τρίτην περὶ τοῦ γάλακτος λέγει δόξαν οὕτως ἔχουσαν· ὅτε, φησίν, ὑπὸ γῆν ἐστι νύκτωρ ὁ ἥλιος, ἐπί τινα τῶν ἄστρων δηλονότι τὰ ὑπὲρ γῆν οὐκ ἀφικνεῖται τὸ φῶς αὐτοῦ, ἐπί τινα δὲ ἀφικνεῖται. ὅσων μὲν οὖν ἐφικνεῖται, κρύπτει ταῦτα τῷ μείζονι φωτὶ καὶ οὐχ ὁρᾶται, ὡς ἀμέλει καὶ ἐν ἡμέρᾳ πάντα τὰ ὑπὲρ γῆν ἄστρα καλύπτει, διὸ τούτων ὁρῶμεν οὐδέν· ὅσων δὲ διὰ τὴν ἀντίφραξιν τῆς γῆς μὴ ἐφικνοῦνται αὐτοῦ αἱ ἀκτῖνες, τούτων οὐ καλύπτει τὸ φῶς ὁ ἥλιος, καὶ τοῦτό ἐστι τὸ φῶς τὸ καλούμενον γάλα. τούτου δὲ τὸν ἔλεγχον ἐπιφέρει λέγων οὕτως·

p. 345 a 31 Φανερὸν δὲ ὅτι καὶ τοῦτο ἀδύνατον. τὸ μὲν γὰρ γάλα ἀεὶ τὸ αὐτὸ ἐν τοῖς αὐτοῖς ἐστιν ἄστροις (φαίνεται γὰρ μέγιστος ὢν κύκλος), ὑπὸ δὲ τοῦ ἡλίου ἀεὶ ἕτερα τὰ οὐχ ὁρώμενα διὰ τὸ μὴ ἐν ταὐτῷ μένειν τόπῳ. ἔδει οὖν μεθισταμένου τοῦ ἡλίου μεθίστασθαι καὶ τὸ γάλα· νῦν δὲ οὐ φαίνεται τοῦτο γινόμενον.

Εἰ φῶς ἦν τῶν ἀστέρων, φησί, τῶν μὴ καλυπτομένων νύκτωρ ὑπὸ τοῦ ἡλίου τὸ γάλα διὰ τὸ ὑπὸ τῆς γῆς αὐτοὺς ἀντιφράττεσθαι, ἐπειδήπερ οἱ μὲν ἀπλανεῖς ἀστέρες τὸν αὐτὸν ἀεὶ τόπον ἐπέχουσιν, ὁ δ' ἥλιος κατὰ τὴν ἰδίαν αὐτοῦ κίνησιν ἄλλοις ἄλλοτε πλησιάζει τῶν ἀστέρων καὶ ἄλλων ἀφίσταται, οὔτε τοὺς αὐτοὺς ἀεὶ καλύψει τῷ ἰδίῳ φωτὶ οὔτε μὴν οἱ αὐτοὶ διηνεκῶς ὑπὸ τῆς γῆς ἀντιφραχθήσονται. ἡ μὲν γὰρ σκιὰ εἰς τὰ ἀντικείμενα συνίσταται τοῖς φωτίζουσιν· εἰ δὲ διὰ τὴν τοῦ ἡλίου μετάβασιν ἄλλοτε ἐπ' ἄλλα ζῴδια γινομένην οὐκ ἀεὶ τὸ αὐτὸ τῆς γῆς φωτίζεται μέρος, πᾶσά πως ἀνάγκη καὶ τὰ σκιαζόμενα τῶν ἀπλανῶν μὴ τὰ αὐτὰ διηνεκῶς εἶναι, ἄλλοτε δ' ἄλλα. κινουμένου γὰρ τοῦ ἡλίου πάντοτε οὐ τὴν μετὰ τῆς ἀπλανοῦς, ἀλλὰ καὶ τὴν ἰδίαν αὐτοῦ κίνησιν, ἀνάγκη πᾶσα καὶ τὸν τῆς σκιᾶς κῶνον ἄλλον ἄλλοτε γίνεσθαι καὶ διὰ τοῦτο μὴ τὴν αὐτὴν ἀεὶ πρὸς τὰ ἀπλανῆ τῶν ἀστέρων σχέσιν λαμβάνειν, ὡς οὐδὲ αὐτὸν τὸν ἥλιον. νῦν δὲ τὸν γαλαξίαν ἀεὶ τὸν αὐτὸν ὑπὸ τοῖς αὐτοῖς ἄστροις ἀεὶ καὶ ἐν τοῖς αὐτοῖς ὄντα τόποις ὁρῶμεν, ἀλλὰ καὶ τῶν αὐτοῦ μερῶν ἕκαστον ὁμοίως ἔχον ἀεὶ φαίνεται, καὶ ἔνθα μέν ἐστιν ἀμυδρός, οὐδέποτε [δὲ] γίνεται λαμπρότερος, οὐδὲ ἔνθα λαμπρός ἐστι, ἀμυδρότερος γίνεται, ὅπου τέ ἐστιν ἁπλοῦς καὶ ὅπου τινὰς ἔχων ἀναδιπλώσεις, τοιοῦτος ἀεὶ φαίνεται, μηδεμίαν

4 τούτων Arist.: τῶν libri γὰρ ex Arist. addidi 6 ἡλίου τὸ τούτων Arist. οἰκείων a φῶς φασιν εἶναι Arist. 9. 10 ἀφικνεῖται a 11 διὸ N (de quo v. Suppl. Praef.): διὰ Ma 20 μὴ om. a 27 ἄλλοτε scripsi: ἄλλα τε Ma 31 post τοῦτο add. τὸ a 35 δὲ delevi

ἐκ τῆς τοῦ ἡλίου μεταβάσεως ἀλλοίωσιν ὑπομένων. ὁ μὲν οὖν πρῶτος τῶν 101ᵛ
ἐλέγχων τοιοῦτός ἐστιν· ἐπιφέρει δὲ καὶ ἕτερον.

p. 345ᵃ36 Πρὸς δὲ τούτοις, εἰ καθάπερ δείκνυται ἐν τοῖς περὶ
ἀστρολογίαν θεωρήμασιν, οὕτως ἔχει, καὶ τό τε τοῦ ἡλίου μέγε-
5 θος μεῖζόν ἐστιν ἢ τὸ τῆς γῆς καὶ τὸ διάστημα πολλαπλασίως
μεῖζον τὸ τῶν ἄστρων πρὸς τὴν γῆν ἢ ⟨τὸ τοῦ ἡλίου⟩ καθάπερ 30
τὸ τοῦ ἡλίου πρὸς τὴν γῆν ἢ τὸ τῆς σελήνης, οὐκ ἂν πόρρω που
ἀπὸ τῆς γῆς ὁ κῶνος ἀπὸ τοῦ ἡλίου συμβάλλοι τὰς ἀκτῖνας,
οὐδ' ἂν ἡ σκιὰ πρὸς τοῖς ἄστροις εἴη τῆς γῆς, ἡ καλουμένη νύξ,
10 ἀλλ' ἀνάγκη πάντα τὸν ἥλιον τὰ ἄστρα περιορᾶν, καὶ μηδενὶ
τὴν γῆν ἀντιφράττειν αὐτῶν.

Κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν τὴν προκειμένην ὑπόθεσιν ἤλεγξε,
πρῶτον μὲν τῇ ἀντιπαραστάσει χρησάμενος καὶ συγχωρήσας τινὰ τῶν
ἄστρων ὑπὸ τῆς γῆς ἀντιφράττεσθαι, ὡς τοῦ κώνου τῆς σκιᾶς μέχρι τῆς 35
15 ἀπλανοῦς κατ' αὐτοὺς διατείνοντος καὶ εἰς αὐτὸν ἄστρων τινῶν ἐμπιπτόν-
των, ὡς καὶ ἐπὶ τῶν σεληνιακῶν ἐκλείψεων γίνεται, τῆς σελήνης εἰς αὐτὸν
τὸν κῶνον ἐμπιπτούσης καὶ διὰ τοῦτο τῶν αὐγῶν τότε τῶν ἡλιακῶν οὐ
μετεχούσης· διὸ καὶ ἐκλείπειν. νυνὶ δὲ τῇ ἐνστάσει χρώμενος ἄγνοιαν τῶν
ἀστρονομικῶν θεωρημάτων κατηγορεῖ τῶν οἰομένων μέχρι τῆς ἀπλανοῦς τὸ
20 σκίασμα διήκειν τῆς γῆς, ὡς καί τινα τῶν ἄστρων ὑπ' αὐτοῦ ἀντιφράττε-
σθαι καὶ τῶν ἡλιακῶν διὰ τοῦτο μὴ μετέχειν ἀκτίνων. δείκνυται γὰρ ἐν 40
τοῖς ἀστρονομικοῖς θεωρήμασι πρῶτον μὲν ὅτι ἑκατονταπλασίων ἐστὶ τῆς
γῆς ὁ ἥλιος ἢ ἁπλῶς πολλῷ μείζων, καὶ διὰ τοῦτο κωνοειδὲς γίνεται τὸ
σκίασμα τῆς γῆς. συμβαίνει γὰρ οὕτως, ὅταν ἐλάττων σφαῖρα φωτίζηται
25 ὑπὸ μείζονος, τῶν ἀκτίνων τοῦ ἡλίου τῶν ὑπερεκπιπτουσῶν τὴν γῆν κατὰ
μικρὸν συνιουσῶν· τοσούτῳ γὰρ προΐασιν, ἕως ἂν εἰς ἓν συνελθοῦσαι ση-
μεῖον τὴν σκιὰν λύσωσι. διικνεῖσθαι οὖν φασι τὸν κῶνον τοῦτον μέχρι
μόνης τῆς Ἑρμαϊκῆς σφαίρας καὶ τοῦτον οὐχ ὑπερεκπίπτειν, ὥστε τῶν 45
ἀνωτέρω ταύτης μηδὲν σκιάζεσθαι, πάντα δὲ τῶν ἡλιακῶν ἀεὶ μετέχειν
30 αὐγῶν. καὶ τοῦτο πάλιν δείκνυται ὅτι ὅσον ἐστὶ τὸ ἀπὸ τοῦ κέντρου τῆς
γῆς ἐπὶ τὴν ἐπιφάνειαν αὐτῆς διάστημα. τοσοῦτόν ἐστιν ἑξηκοντάκις τὸ
ἀπὸ τοῦ κέντρου διῆκον ἐπὶ τὴν σεληνιακὴν σφαῖραν. ὁ δὲ ἥλιος ἀπὸ τῆς
γῆς διέστηκε τοσοῦτον χιλιάκις καὶ διακοσιάκις καὶ δεκάκις. ἐὰν οὖν τούτων
ἀφέλῃς ἀπὸ τοῦ κέντρου μέχρι σελήνης ἑξήκοντα, περιλείπεται χίλια ἑκατὸν
35 πεντήκοντα, ἅπερ ἀφέστηκεν ἀπὸ σελήνης ὁ ἥλιος. γίνεται οὖν τὸ ἀπὸ 50
σελήνης ἐπὶ τὸν ἥλιον, ὅπερ ἦν χιλίων ἑκατὸν πεντήκοντα, τοῦ ἀπὸ τοῦ
κέντρου ἐπὶ τὴν σελήνην, ὅπερ ἦν ἑξήκοντα, ἔλαττον μὲν ἢ εἰκοσαπλάσιον.

6 τὸ τοῦ ἡλίου ex Arist. addidi 7 που] τοῦ a 22 ἑκατονταεπτακονταπλασίων a 29 πάντα] πάντῃ Ma 31 ἑξηκοντάκις scripsi: ἑξήκοντα libri 32 ὁ δὲ] οὐδὲ MV 33 χιλιάκις—δεδάκις scripsi: χιλίων διακοσίων καὶ δέκα libri χιλιάδων V οὖν om. Ma 35. 36 ἀπὸ τῆς σελήνης a 36 ὅπερ scripsi: ὥνπερ libri

μεῖζον δὲ ἢ ἐννεακαιδεκαπλάσιον. ὁ δὲ τῆς γῆς σκιὰς κῶνος διήκει μέχρι 101r
μόνων διακοσίων ἑξήκοντα ὀκτὼ τοσούτων διαστημάτων, ὅσον ἐστὶ τὸ ἀπὸ
τοῦ κέντρου τῆς γῆς ἐπὶ τὴν ἐπιφάνειαν αὐτῆς. ὑφαιρουμένων τοίνυν ἀπὸ
τῶν χιλίων ἑκατὸν πεντήκοντα τῶν διακοσίων ἑξήκοντα ὀκτώ, τὸ λειπόμενον
5 ἔσται ὀκ|τακόσια καὶ ὀγδοήκοντα καὶ δύο, ἅπερ διέστηκε τοῦ πέρατος τῆς 101v
ἀπὸ τῆς γῆς σκιᾶς ὁ ἥλιος. πόσον οὖν εἰκὸς εἶναι τὸ μέχρι τῆς ἀπλανοῦς
ἄλλαις τρισὶ μεσολαβουμένης σφαίραις, τῇ τε Ἄρεος καλουμένῃ καὶ τῇ Διὸς
καὶ τῇ τοῦ Κρόνου, ὅπερ οὐδὲ λογίσασθαι διὰ τὴν ἄφατον ὑπερβολὴν αἱ
ἀστρολογικαὶ δεδύνηνται μέθοδοι; οὐδὲν οὖν τῶν μετὰ τὴν Ἑρμαϊκὴν σκιά-
10 ζεται παντελῶς. πολλῷ οὖν μᾶλλον ἡ ἀπλανὴς τούτου κεχώρισται, ἀλλὰ 5
πᾶσαι διὰ παντὸς τῶν ἡλιακῶν ἀκτίνων μετέχουσι. πάντα γάρ, φησί, τὰ
ἄστρα ὁ ἥλιος ἐξ ἀνάγκης περιορᾷ, καὶ οὐδὲν αὐτὸν ἀποκέκρυπται· ὥστε
οἱ λέγοντες ἀντιφράττεσθαι ὑπὸ τῆς γῆς τῶν ἀπλανῶν τινας εὐήθεις εἰσὶ
καὶ τῶν ἀστρονομικῶν μεθόδων παντάπασιν ἀνεννόητοι.

15 p. 345b9 Ἔτι δ' ἐστὶ τρίτη τις ὑπόληψις περὶ αὐτοῦ· λέγουσι
γάρ τινες ἀνάκλασιν εἶναι τὸ γάλα τῆς ἡμετέρας ὄψεως πρὸς 10
τὸν ἥλιον, ὥσπερ καὶ τὸν ἀστέρα τὸν κομήτην. ἀδύνατον δὲ καὶ
τοῦτο. εἰ μὲν γὰρ τό τε ὁρῶν ἠρεμοίη καὶ τὸ ἔνοπτρον καὶ τὸ
ὁρώμενον ἅπαν, ἐν τῷ αὐτῷ σημείῳ τοῦ ἐνόπτρου τὸ αὐτὸ ἂν
20 φαίνοιτο μέρος τῆς ἐμφάσεως· εἰ δὲ κινοῖτο τὸ ἔνοπτρον καὶ τὸ
ὁρώμενον ἐν τῷ αὐτῷ μένοι ἀποστήματι πρὸς τὸ ὁρῶν καὶ ἠρε-
μοῦν, πρὸς ἄλληλα δὲ μὴ ἰσοταχῶς μηδὲ ἐν τῷ αὐτῷ ⟨ἀεὶ⟩ δια-
στήματι, ἀδύνατον τὴν αὐτὴν ἔμφασιν ἐπὶ τοῦ αὐτοῦ εἶναι μέρους
τοῦ ἐνόπτρου, καὶ τὰ ἑξῆς.

25 Ἄλλοι, φησίν, ἀνάκλασιν εἶναι λέγουσι τὸ γάλα τῆς ἡμετέρας ὄψεως 15
πρὸς τὸν ἥλιον, καὶ τὸ μὲν ἀνακλώμενον εἶναι τὰς ὄψεις ἡμῶν, τὸ δ' ἐφ'
ὃ γίνεται ἡ ἀνάκλασις τὸν ἥλιον· τὸ δ' ἀφ' οὗ ἡ ἀνάκλασις ὅτι μὲν ὁ
γαλαξίας κύκλος ἐστί, πρόδηλον, τί δὲ λέγουσι τὸ τῷ χρώματι τούτῳ ὑπο-
κείμενον, οὐκ εἶπεν ὁ Ἀλέξανδρος. ποτὲ μὲν ἀναθυμίασιν εἶναι τοῦτό φησι,
30 λέγων οὕτως "τρίτην δέ φησι δόξαν εἶναι περὶ τοῦ γάλακτος τὴν λέγουσαν
ἀνάκλασιν εἶναι τὸ γάλα τῆς ἡμετέρας ὄψεως ἀπό τινος ἀναθυμιάσεως ἐπὶ 20
τὸν ἥλιον ἔνοπτρον γενόμενον". καίτοι γε ἐπὶ πάντων τὸ ἀφ' οὗ ἀνα-
κλῶνται αἱ ὄψεις ἔνοπτρόν ἐστιν, οὐ τὸ ἐφ' ὃ ἀνακλώμεναι φέρονται, λέγω

1 σκιᾶς om. MV 2 τοσούτων et ὅσον scripsi: τοιούτων et οἷον libri 5 ante τοῦ add. ἀπὸ a 7 μεσολαβουμέναις a σφαίρας M τῇ τε—καὶ τῇ τοῦ Κρόνου (8) scripsi: τῆς τε ἄρεος καλουμένης καὶ τῆς διὸς καὶ τῆς τοῦ κρόνου libri 10 οὖν om. a 13 εὐήθεις a: εὐπειθεῖς M: ἀπιθεῖς V 15 Ὅτι Ma 16 γάρ om. M 21 μένοι V et infra p. 107,8 etiam Ma: μένει h. l. Ma, ex corr. Arist. N: μέντοι Arist. H: μὲν recte Arist. EF 22 ἀεὶ ex Arist. addidi coll. p. 107,9 24 καὶ τὰ ἑξῆς om. et lemma usque ad οὐκ ἴσον (p. 345b22) producit V 25 λέγουσι om. MV 26 καὶ τὸ μὲν —τὸν ἥλιον (27) om. V 30 λέγων οὕτως] Alex. p. 38,28 31 τὸ γάλα om. M 32 τὸ ἀφ' οὗ scripsi: τοῦ ἀφ' οὗ libri 33 ἐφ' ᾧ MV

δὴ τὸ ὁρώμενον καὶ ἐν τῷ ἐνόπτρῳ τὴν ἑαυτοῦ φαντασίαν παρέχον. εἰ 101ᵛ
οὖν τὸ χρῶμα τοῦ ἡλίου ἐστὶ τὸ ἐν τῷ ἐνόπτρῳ, τουτέστι τῇ ἀναθυμιάσει,
φαινόμενον καὶ τὸ γάλα ποιοῦν, οὐκ ἔστιν ἄρα τὸ ἔνοπτρον ὁ ἥλιος, ἀλλὰ
τὸ ὁρώμενον. πάλιν δὲ περὶ τὸ πέρας τῶν ἐλέγχων τῆς ὑποθέσεως ταύ-
5 της ὁ Ἀλέξανδρος τοὺς ἀπλανεῖς ἀστέρας εἶναί φησι τὸ ἔνοπτρον, ὅσοι 25
περὶ τὸν γαλαξίαν εἰσίν, οὕτω λέγων "τὰ δ' ἄστρα ⟨τὰ⟩ ἐν τῷ τοῦ γάλακτος
κύκλῳ ὄντα κινεῖται, ἅπερ ὡς κάτοπτρον λαμβάνουσι, κινεῖται δὲ καὶ ὁ
ἥλιος, ὃν ὁρᾶσθαι λέγουσιν ἐν τῷ τοῦ γάλακτος κύκλῳ ἐπ' αὐτὸν γινο-
μένης τῆς ἀνακλάσεως". καὶ ὁ ἡμέτερος δὲ διδάσκαλος Ἀμμώνιος Ἑρμείου
10 οὕτως ἐξείληφε· καὶ γὰρ ἐπὶ τῆς σελήνης ἐξ ἡλίου δεχομένης τὸ φῶς οὐκ
οἰκεῖον αὐτῆς ἐστι τὸ ὁρώμενον, ἀλλ' ἐν αὐτῇ ὡς ἐν ἐσόπτρῳ τὸ τοῦ
ἡλίου φαντάζεται φῶς· ἐν γὰρ ταῖς ἐκλείψεσιν αὐτῆς τὸ οἰκεῖον αὐτῆς φῶς 30
ἀνθρακοειδὲς φαίνεται. ταύτην δὲ τετάρτην οὖσαν ὑπόθεσιν, τρίτην Ἀρι-
στοτέλης ἔθηκεν, ἤτοι τὰς δύο τὰς πρώτας ὡς τῶν Πυθαγορείων οὔσας
15 εἰς μίαν συνάγων, ἢ ὅτι μηδ' ἀντιλογίας τὴν προτέραν ἠξίωσεν· εἰκότως
οὖν τὰς λοιπὰς ἠρίθμησε τρεῖς. ἔστι δὲ πρὸς τὴν ὑπόθεσιν ταύτην προ-
χείρως εἰπεῖν ὡς οἱ περὶ τὸν γαλαξίαν ἀστέρες οὐκ ἔνοπτρόν εἰσιν, ἀλλ'
οὐδ' ὁ ἥλιος, οὐδ' ἐν αὐτοῖς τὸ τοῦ γαλαξίου φαίνεται χρῶμα· διακεκρι-
μένοι γὰρ τοῦ γάλακτος προφανῶς ὑπάρχουσιν. καὶ ὁ Ἀριστοτέλης δὲ ὡς 35
20 πρὸς ἔνοπτρον τοὺς ἀστέρας ὑποτιθεμένους τὸν ἔλεγχον πεποίηται τῆς προ-
κειμένης ὑποθέσεως. ἀδύνατον εἶναι λέγων καὶ ταύτην τὴν ὑπόθεσιν. τῶν
γὰρ κατὰ ἀνάκλασιν ὁρωμένων εἰ διηνεκῶς τὰ αὐτὰ φαίνοιτο εἴδωλα μὴ
μετατιθέμενα παντελῶς, δεῖ καὶ τὰ αἴτια τούτων εἶναι πάντα ἀκίνητα,
λέγω δὴ τό τε ὁρῶν καὶ τὸ ὁρώμενον καὶ τὸ ἔνοπτρον, ἐξ οὗ ἡ ὄψις ἀνα-
25 κλωμένη ἐπὶ τὸ ὁρατὸν φέρεται. εἰ δέ τι τούτων μετακινηθείη ἢ καί τινα 40
ἢ καὶ ἅμα, καὶ τὸ εἴδωλον εὐθὺς ἄλλοτε ἄλλῳ μέρει τοῦ ἐνόπτρου μετα-
κινούμενον φαίνεται. εἰ δὲ ἰσοταχῶς πάντα κινεῖται ⟨καὶ⟩ τὴν αὐτὴν πρὸς
ἄλληλα σχέσιν φυλάσσοντα μένει, πάλιν ὁμοίως ἡ ἔμφασις γίνεται. καὶ
εἰ μὲν πορρωτέρω τοῦ κατόπτρου τὸ ὁρατὸν χωροίη κατὰ μίαν διισταμένου
30 κάθετον, ἐν τῷ βάθει τοῦ κατόπτρου τὸ εἴδωλον φαίνεται· εἰ δὲ πλησι-
έστερον γένοιτο, μᾶλλον ἐπιπολάζειν τῇ ἐπιφανείᾳ τοῦ κατόπτρου δόξει τὸ
εἴδωλον. καὶ τούτων ἡ πεῖρα πρόχειρος ἅπασι. τούτων οὖν οὕτως ἀλη-
θείας ἐχομένων μετέλθωμεν ἐπὶ τὸ προκείμενον. ἡ μὲν γὰρ ὄψις ἡμῶν 45
σχεδόν ἐστιν ἀκίνητος· κέντρου γὰρ ἡ γῆ πᾶσα καὶ σημείου λόγον ἔχει. ἐφ'
35 ἧς ἑστήκαμεν, ὡς πρὸς τὴν ἀπλανῆ, ὑφ' ἧς τὰ οὐράνια κυκλοφορεῖται.
ἴσον δὲ τοῦ κέντρου τὰ περιξ ἀφέστηκεν ἅπαντα· ἴσον ἄρα καὶ τῆς ἡμε-
τέρας ἀφέστηκεν ὄψεως τὰ ἄστρα. οὔτε δὲ τὸ ἔνοπτρον οἱ ἀστέρες οὔτε τὸ
ὁρώμενον ὁ ἥλιος, ἐφ' ὃν ἡ ἀνάκλασις, ἀκίνητοι μένουσιν, οὐδὲ τὴν αὐτὴν
οἱ ἀστέρες ἀεὶ πρὸς τὸν ἥλιον σχέσιν φυλάσσουσιν, εἰ καὶ πρὸς ἡμᾶς

6 οὕτω λέγων] p. 40,3 τὰ ex Alex. addidi 7 ἅπερ] τουτέστι τὸ κάτοπτρον· εἰ γὰρ ὁ κύκλος περὶ ἐκεῖνα, ἐκεῖνα δὲ κινεῖται, ἀνάγκη καὶ τὸν κύκλον κινεῖσθαι, ὃν Alex. 10 δεχομένης] φαινομένης a 14 ἔθηκεν] εἴρηκεν Ma εἴτοι a 27 κινοῖτο V: κινεῖτο M καὶ addidi 29 post διισταμένου add. ἑκατέρου a 35 ἀπλανεῖ V ἐφ' ἧς M 38 οὐδὲ] οἱ δὲ V

ὁμοίως ἔχουσιν. οὐκοῦν οὐδ' ὁ γαλαξίας ἡμῖν ὁμοίως ἔχων ἐφαίνετο ἂν 101v
καὶ ἐν τῷ αὐτῷ τόπῳ μένων ἀκίνητος, συνεκινεῖτο δὲ τῷ τε ἐσόπτρῳ καὶ 51
τῷ ὁρωμένῳ. νῦν δὲ τοὐναντίον ἅπαν οὐδεμίαν περὶ αὐτὸν μεταβολὴν
γινομένην ὁρῶμεν, οὐ κατὰ τόπον, οὐ κατὰ ποσόν, οὐ κατὰ ποιόν, οὐκ
5 ἄλλην οὐδεμίαν ἔχων ὁρᾶται ἀλλοιοτέραν διάθεσιν· οὐδ' ἄρα ἐξ ἀνακλάσεως τῶν ὄψεων ἔσχε τὸ γάλα τὴν ὕπαρξιν.

p. 345b15 Εἰ δὲ κινοῖτο τὸ ἔνοπτρον καὶ τὸ ὁρώμενον ἐν τῷ αὐτῷ μένοι ἀποστήματι πρὸς τὸ ὁρῶν καὶ ἠρεμοῦν, | πρὸς ἄλληλα δὲ 102r
μὴ ἰσοταχῶς μηδ' ἐν τῷ αὐτῷ ἀεὶ διαστήματι, ἀδύνατον τὴν
10 αὐτὴν ἔμφασιν ἐπὶ τοῦ αὐτοῦ εἶναι μέρους τοῦ ἐνόπτρου.

Κινεῖ μὲν τὸ ἔνοπτρον, οἷον τοὺς ἀπλανεῖς, καὶ τὸ ὁρώμενον, λέγω τὸν ἥλιον, οὐκ ἰσοταχῶς οὐδ' ἐν τῷ αὐτῷ ἀεὶ διαστήματι· πρὸς δὲ τὸ ὁρῶν, τουτέστιν ἡμᾶς, τὴν αὐτὴν ἀπόστασιν ἔχον τίθησι τούτων ἑκάτερον, τούς τε ἀπλανεῖς καὶ τὸν ἥλιον, οὐκ ἰσοταχῶς δὲ κινεῖσθαί φησιν αὐτοὺς 5
15 τὴν κίνησιν, ἣν ἕκαστος καθ' αὑτὸν κινεῖται. ταχύτερος γὰρ τῶν ἄλλων ὁ ἥλιος τὴν ἰδίαν· ἀνάγκη οὖν διὰ τὴν ἰδίαν κίνησιν ὑπολείπεσθαι τὸν ἥλιον τῶν ἀπλανῶν καὶ ἄλλοτε ἄλλοις ἐν τόποις εἶναι παρ' ἐκείνους· διόπερ οὔτε τὴν αὐτὴν ἀπόστασιν ἑκάστῳ τούτων ἀεὶ ἔχει οὔτ' ἐν ἑνὶ καὶ τῷ αὐτῷ μένει τόπῳ. οὐκοῦν ἀλλήλων μὲν οὐκ ἴσην διεστήκασιν ὁ ἥλιος καὶ
20 οἱ ἀπλανεῖς, τῶν δὲ ὁρώντων ἡμῶν διὰ τὸ εἶναι ἡμᾶς ἐν τῷ τοῦ παντὸς κέντρῳ τῇ γῇ τὸ ἴσον ἀπέχουσιν ἀμφότεροι διάστημα. τοῦτο δ' αὐτὸ 10
δεικνὺς ἐπήγαγεν·

p. 345b22 Ὅτε μὲν γὰρ μέσων νυκτῶν ὁ δελφὶς ἐπιτέλλει, ὅτε δ' ἕωθεν, τὰ δὲ μόρια τοῦ γάλακτος τὰ αὐτὰ μένει ἐν ἑκάστῳ.
25 καίτοι οὐκ ἔδει, εἰ ἦν ἔμφασις, ἀλλὰ μὴ ἐν αὐτοῖς τι ἦν τοῦτο τὸ πάθος τοῖς τόποις.

Ὅτι οὐκ ἰσοταχῶς οἱ ἀπλανεῖς τῷ ἡλίῳ κινοῦνται δι' ἑνὸς τῶν ἀπλανῶν δείκνυσι τοῦ δελφῖνος· οὗτος γὰρ ποτὲ μὲν μεσονυκτίου ἀνατέλλει, τοῦ ἡλίου δηλονότι τὸ ὑπὸ γῆν ἔχοντος μεσουράνημα, ποτὲ δ' ἕωθεν, ἐπ- 15
30 ανατέλλοντος εὐθὺς αὐτῷ δηλονότι τοῦ ἡλίου· ἄλλοτε δύνοντος ἡλίου ἐκεῖνος ἀνατέλλει τὴν μεγίστην αὐτοῦ διεστηκὼς τὴν ὅλην τοῦ παντὸς διάμετρον. τὰ αὐτὰ δὲ ταῦτα καὶ ἐπὶ ἑκάστου γίνεται τῶν ἀπλανῶν. δῆλον οὖν ἐκ τούτων ὅτι μὴ ἰσοταχῶς τὰ ἀπλανῆ τῷ ἡλίῳ κινεῖται· εἰ γὰρ τοῦτο ἦν, καθ' ἕνα καιρὸν ἀνέτελλεν ἀεὶ τῶν ἀπλανῶν ἕκαστος, μεσονυκτίου τυχὸν ἢ 20
35 ἕωθεν ἢ δυομένου ἡλίου ἢ ὁπωσοῦν ἄλλως· εἰ δὲ διαφόρους τὰς ἀπὸ τοῦ ἡλίου ποιοῦνται διαστάσεις καὶ τοὺς πλησιασμούς, ἀνώμαλος ἄρα πρὸς τὸν ἥλιον ἡ τῶν ἀπλανῶν ἐστι κίνησις. ἀλλ' ὅμως ἐν ἑκάστῳ καιρῷ τὸ γάλα διαφορὰν οὐδεμίαν ἔχον οὐδέποτε πρὸς ἑαυτὸ φαίνεται, ἣν πάντως εἶχεν

4 κατὰ ante ποιόν om. Ma 24 ἕωθεν] ἔσωθεν M μένει] μὲν Ma
25 εἰ om. M 28 μεσονύκτιον Ma 34 μεσονυκτίου scripsi: μεσονύκτιον libri

ἄν, εἴπερ ἦν ἔμφασις. εἰ οὖν οὐκ ἔστιν ἔμφασις, πάθος ἄρα ἐστὶ τὸ γάλα 102r
τῶν τόπων ἐκείνων, ἐν οἷς ὑπάρχον ὁρᾶται.

p. 345ᵇ25 Ἔτι δὲ νύκτωρ ἐν ὕδατι καὶ τοῖς τοιούτοις ἐνόπτροις τὸ μὲν γάλα ἐμφαίνεται θεωροῦσι, τὸ δὲ τὴν ὄψιν ἀνακλᾶσθαι πρὸς τὸν ἥλιον πῶς δυνατόν;

Ἔσχατος ἔλεγχος καὶ λίαν ἐναργὴς οὗτος τῶν ἔμφασιν εἶναι τὸ γάλα 25
λεγόντων καὶ μὴ πάθος αὐτὸ καθ' ὕπαρξιν ἰδίαν τοῦ ὑποκειμένου σώματος. νύκτωρ γὰρ ἀποβλέψαντες εἰς ὕδωρ τὸν γαλαξίαν τεθεωρήκαμεν ἐν αὐτῷ, μᾶλλον δὲ ἔμφασιν αὐτοῦ καὶ εἴδωλον, ὡς καὶ ἄλλους ἀστέρας οὕτω τεθεά-
10 μεθα, τῶν ὄψεων ἡμῶν ἐκ τοῦ ὕδατος ἐπ' αὐτοὺς ἀνακλωμένων. ἄλογον γὰρ καὶ ἀδύνατον τὸ λέγειν ἢ ἐπὶ τὸν ἥλιον ἐκ τοῦ ὕδατος ἀνακλᾶσθαι τὰς ὄψεις ἡμῶν, ἢ πρῶτον μὲν ἐπὶ τὰ ἄστρα, πάλιν δὲ ἐξ αὐτῶν ἄλλην ἐπὶ τὸν ἥλιον ἀνάκλασιν γίνεσθαι. ἐξησθένουν γὰρ ἂν οὕτως αἱ ὄψεις τῷ τε 30
μεγέθει τῶν διαστημάτων καὶ τῷ ποσῷ τῶν ἀνακλάσεων, μᾶλλον δὲ οὐδὲ
15 χωρεῖν ἐπ' αὐτὸν ἠδύναντο, καὶ μάλιστα εἰ ὑπὸ γῆν μεσουρανοίη. δῆλον οὖν ὡς οὐκ ἔστιν ἔμφασις ἀλλ' ὑπόστασις. ὅθεν ὡς ἐπὶ τοὺς ἄλλους ἀστέρας ἐκ τοῦ ὕδατος, οὕτω καὶ ἐπὶ τὸν γαλαξίαν ἀνακλώμεναι ἡμῶν αἱ ὄψεις τὴν ἔμφασιν αὐτοῦ καὶ τὸ εἴδωλον βλέπουσιν ἐν τῷ ὕδατι. οὕτω τὰς περὶ τοῦ γάλακτος ὑποθέσεις τῶν προγενεστέρων ἐλέγξας τὴν οἰκείαν αὐτὸς 35
20 ἐκτίθεται.

p. 345ᵇ31 Ἡμεῖς δὲ λέγομεν ἀναλαβόντες τὴν ὑποκειμένην ἀρχὴν ἡμῖν. εἴρηται γὰρ πρότερον ὅτι τὸ ἔσχατον τοῦ λεγομένου ἀέρος δύναμιν ἔχει πυρός, ὥστε τῇ κινήσει διακρινομένου τοῦ ἀέρος ἀποκρίνεσθαι τὴν τοιαύτην σύστασιν, οἵαν καὶ τοὺς
25 κομήτας ἀστέρας εἶναί φαμεν. τοιοῦτον δὴ δεῖ νοῆσαι γινόμενον ὅπερ ἐπ' ἐκείνων, ὅταν μὴ αὐτὴ καθ' αὑτὴν γένηται ἡ τοιαύτη ἔκκρισις, ἀλλ' ὑπό τινος τῶν ἄστρων ἢ τῶν ἐνδεδεμένων ἢ τῶν 10
πλανωμένων· τότε γὰρ οὗτοι φαίνονται κομῆται διὰ τὸ παρακολουθεῖν αὐτῶν τῇ φορᾷ ὥσπερ τῷ ἡλίῳ τὴν τοιαύτην σύγ-
30 κρισιν, ἀφ' ἧς διὰ τὴν ἀνάκλασιν τὴν ἅλω φαίνεσθαί φαμεν, ὅταν οὕτω τύχῃ κεκραμένος ὁ ἀήρ.

Τὴν ἑαυτοῦ δόξαν ἐντεῦθεν περὶ τοῦ γαλαξίου διδάξαι βουλόμενος ἀναλαμβάνει πάλιν τὰ περὶ τῆς καπνώδους ἀναθυμιάσεως εἰρημένα πρότερον, ὅτι τοῦ λεγομένου ἀέρος διήκοντος ἀπὸ γῆς μέχρι τῆς κοίλης ἐπιφανείας 15
35 τῆς σελληνιακῆς σφαίρας (ἀέρα γὰρ ἡ συνήθεια τὸ ὅλον τοῦτο καλεῖ) τὸ ἔσχατον αὐτοῦ καὶ πρὸς αὐτῇ τῇ σελήνῃ ξηρόν ἐστι καὶ θερμὸν καὶ πρὸς

---

3 τοῖς V Arist. FHN: om. Ma Arist. E 14 διαστήτων a 18 βλέπουσιν om. V 21 λέγομεν ex corr. V Arist. E: λέγωμεν Ma Arist. FHN 24 τὴν om. Arist. E 25 εἶναί φαμεν om. Ma δεῖ δὴ coll. Ma γινόμενον MVa Arist. EN: τὸ γινόμενον Arist. FH 29 ὥσπερ] ὡς ἐπὶ Ma 30 φαμεν] μὲν Ma 36 καὶ post αὐτοῦ om. M

ἕξαψιν ἐπιτήδειον, διὸ καὶ ὑπέκκαυμα προσηγόρευται. ἐκ τούτου δὲ τῆς 102r
κύκλῳ τῶν οὐρανίων κινήσεως ἀποκρινούσης συστάσεις τινὰς τὸ παχύτερον
ἐξ αὐτῶν τῆς κινήσεως ἐπὶ πλέον θερμαινόμενον καὶ ταύτῃ χρωννύμενον
κόμη τις γίνεται. ἢ οὖν τοῦτό φησι τὸ ἀποκρίνεσθαι τοῦ ἀέρος τοιαύτην
5 σύστασιν, ἢ ὅτι συναναφερομένων τῶν δύο ἀναθυμιάσεων συμβαίνει τῇ 50
κινήσει τοῦ ἀέρος διακρίνεσθαι τὴν ἀτμιδώδη, καὶ λοιπὸν τὴν θερμὴν καὶ
ξηρὰν μετεωριζομένην ὅλην τῶν κομητῶν καὶ τοῦ γαλαξίου γίνεσθαι. τῶν
δὲ κομητῶν τοὺς μὲν καθ' ἑαυτοὺς ἀστέρος χωρὶς ἔφαμεν συνίστασθαι,
τοὺς δὲ καὶ ὑπό τινας τῶν ἀπλανῶν ἑλκόντων τὴν τοιαύτην ὅλην ἐφ' ἑαυ-
10 τούς, ἐξ ἧς τὴν κόμην ἴσχουσιν ἐπὶ τοσοῦτον διαμένουσαν, ἐφ' ὅσον τε
διαρκοῦσι διὰ παχύτητα τὴν φλόγα στέγειν, καὶ ἐφ' ὅσον αὐτοῖς κάτωθεν
ἡ χορηγία τῆς τοιαύτης ἀνα|θυμιάσεως προστίθεται. ὅπερ οὖν ἐπὶ τῶν 102v
καθ' ἕκαστον ἀπλανῶν γίνεται τῆς κόμης συνισταμένης ὑπ' αὐτοὺς καθ'
ὃν ὑπεθέμεθα τρόπον, οὕτως ἀναγκαῖον καὶ ἐπὶ πολλῶν ἀστέρων ἅμα τὸ
15 αὐτὸ συμβαίνειν, καὶ περὶ κύκλον ὅλον ἀστέρων τὴν κόμην συνίστασθαι,
ὅπερ ἐστὶν ὁ γαλαξίας. μεγάλη τις οὖν οὗτός ἐστι κόμη πολλοὺς ἀστέρας
ὑποτρέχουσα. ὥσπερ γάρ, φησίν, ἐκ τῆς ὑποτρεχούσης τὸν ἥλιον ἢ τὴν
σελήνην ἀχλύος ἀνακλώμεναι ἡμῶν αἱ ὄψεις ἐπ' αὐτοὺς τὴν ἔμφασιν τῆς 5
ἅλω ποιοῦσιν, οὕτω καὶ ἡ εἰρημένη σύστασις ξηρὰ καὶ θερμὴ κύκλον ὅλον
20 ἀστέρων ὑποδραμοῦσα τὸν γαλαξίαν ἐποίησεν, πλὴν οὐκ ἔμφασιν ὡς τὴν
ἅλω, ἀλλ' ὑπόστασιν τοιούτου χρώματος, ὡς ἐδείξαμεν. καὶ ἐπειδὴ συμ-
περιάγεται τῷ κύκλῳ κινουμένῳ τὸ ὑπέκκαυμα, εἰκότως καὶ ὁ γαλαξίας
πάθος ὢν τοῦ ὑπεκκαύματος συγκινεῖται τῷ παντί, ἐπεὶ καὶ ἡ κατὰ ἀστέρα
γινομένη κόμη συμπεριφερομένη τῷ ἀστέρι κόμη τούτου εἶναι δοκεῖ. ταὐτὸ 10
25 δὲ καὶ ἐπὶ τῆς ἅλω γίνεται· ὅταν ⟨γὰρ⟩ ὁ ἀὴρ ὑποκείμενος ἡλίῳ καὶ σελήνῃ
τοιαύτης εἴη κράσεως ὅλος, ὡς ἐκ παντὸς μορίου δύνασθαι τὴν ἀνάκλασιν
τῶν ὄψεων γίνεσθαι, διὰ τὸ συνεχὲς τῆς ἀνακλάσεως μία τις ἅλως εἶναι
δοκεῖ καὶ τῷ ἡλίῳ συμπεριάγεσθαι. ἐπιστῆσαι δὲ τῇ λέξει τοῦ Ἀριστο-
τέλους ἐν τούτοις εὔλογον, ἐν οἷς φησιν ἀλλ' ὑπό τινος τῶν ἄστρων ἢ
30 τῶν ἐνδεδεμένων ἢ τῶν πλανωμένων, ἐνδεδεμένους λέγων τοὺς ἀπλα- 15
νεῖς. οὐδὲ γὰρ Ἀριστοτέλης κατὰ τὸν Πτολεμαῖον καὶ αὐτοὺς τοὺς
ἀστέρας περὶ τὸ ἴδιον κέντρον κυκλοφορεῖσθαι βούλεται, ἀλλὰ ταῖς ἰδίαις
ἐνδεδεμένους σφαίραις παντελῶς ἀκινητεῖν καθ' αὑτούς. τοῦτο γὰρ αὐτὸ
καὶ ἐν τῷ δευτέρῳ τῆς Περὶ οὐρανοῦ πραγματείας γέγραφεν οὕτως "ἐπεὶ
35 τοίνυν οὔτ' ἀμφότερα κινεῖσθαι εὔλογον οὔτε τὸ ἄστρον μόνον, λείπεται
τοὺς μὲν κύκλους κινεῖσθαι, τὰ δὲ ἄστρα μένειν καὶ ἐνδεδεμένα τοῖς
κύκλοις φέρεσθαι". εἰ οὖν τοὺς ἀπλανεῖς ἐνδεδέσθαι καὶ μένειν ἐν ταῖς
ἰδίαις βούλεται σφαίραις ὑπ' αὐτῶν φερομένους, πῶς τοῖς ἐνδεδεμένοις 20
τοὺς πλανωμένους ἀντιδιέστειλεν, ὡς αὐτῶν μὴ ἐνδεδεμένων ἐν ταῖς ἑαυ-

---

2 συστάσεώς τινος a 4 τίς libri ἢ οὖν] εἰ οὖν VM 15 ὅλων a τὴν κόμην—τὸ γὰρ (p. 110,15) om. V 24 τούτου scripsi: τοῦτο Ma 25 γὰρ addidi 30 ἐνδεδεμένων Arist.: δεδεμένων Ma 34 ἐν τῷ δευτέρῳ τῆς Περὶ οὐρανοῦ πραγματείας] B 7 p. 289ᵇ30 35 οὔτ' Arist.: οὕτως Ma ἄστρον Arist. vulg.: ἕτερον Ma Arist. EL 36 μένειν] ἠρεμεῖν Arist.

τῶν σφαίραις, ἀλλὰ καθ' αὑτοὺς κινουμένων; ἀδύνατον γὰρ ἀμφότερα 102v
εἴρηκε κινεῖσθαι, καὶ τοὺς κύκλους καὶ τοὺς ἐν αὐτοῖς ἀστέρας. εἰ οὖν καὶ
τῶν πλανωμένων αἱ σφαῖραι κινοῦνται, ἀνάγκη καὶ αὐτοὺς ἐνδεδέσθαι
ταύταις καὶ ὑπ' αὐτῶν φέρεσθαι μὴ κινουμένους ἰδίαν κίνησιν. τούτου δ'
5 οὕτως ἔχοντος, οὐκ εὐλόγως τοῖς ἐνδεδεμένοις τοὺς πλανωμένους ἀντιδι-
έστειλε, καὶ αὐτῶν ταῖς ἰδίαις σφαίραις ὁμοίως ἐνδεδεμένων.

p. 346a6 Ὃ δὴ καθ' ἕνα συμβαίνει τῶν ἀστέρων, τοῦτο δεῖ λαβεῖν γινόμενον περὶ ὅλον τὸν οὐρανὸν καὶ τὴν ἄνω φορὰν ἅπασαν· εὔλογον γάρ, εἴπερ ἡ ἑνὸς ἄστρου κίνησις, καὶ τὴν τῶν ἄλλων
10 ἁπάντων ποιεῖν τι τοιοῦτον καὶ ἐκριπίζειν.

Οὐρανὸν ἐνταῦθα, φησὶν ὁ Ἀλέξανδρος, τὴν ἀπλανῆ σφαῖραν Ἀριστοτέλης ὠνόμασε· τοῦτο γάρ, φησίν, ἐδήλωσεν εἰπὼν καὶ τὴν ἄνω φορὰν ἅπασαν· ἐγὼ δὲ τὴν προσθήκην οἶμαι πᾶσαν δηλοῦν τὴν κυκλοφορουμένην οὐσίαν, λέγω τὴν ὅλην ὀκτάσφαιρον ἢ ἐννεάσφαιρον, ὡς Πτολεμαίῳ δοκεῖ.
15 τὸ γὰρ ἅπασαν εἰπεῖν τὴν ἄνω φορὰν τούτου μᾶλλον ὑπάρχει δηλωτικόν, καὶ προσέτι τὸ πρὸ τούτων εἰρημένον "ἀλλ' ὑπό τινος τῶν ἀστέρων ἢ τῶν ἐνδεδεμένων ἢ τῶν πλανωμένων" πᾶσαν ἐκείνην τὴν οὐσίαν συμπεριείληφεν· οὐ γὰρ τοὺς ἀπλανεῖς, ἀλλὰ καὶ τοὺς πλανωμένους ἕλκειν τοιαύτην ἀναθυμίασιν βούλεται. οὐρανὸν δὲ τοῖς παλαιοῖς καὶ τὸν ὅλον κόσμον καλεῖν
20 ἔθος, ὡς καὶ Πλάτων "ὃν δὴ οὐρανὸν ἢ κόσμον ἐπωνομάκαμεν", καὶ τὴν Περὶ οὐρανοῦ πραγματείαν οὕτως Ἀριστοτέλης ὠνόμασε περὶ τοῦ κόσμου παντὸς διαλαμβάνουσαν· καὶ ἰδικώτερον πάλιν οὐρανὸν τὸ ὀκτάσφαιρον ὁμοῦ ἢ ἐννεάσφαιρον καλοῦσι, καὶ πρὸς τούτοις ἰδικώτατα μόνην τὴν ἀπλανῆ. τὸ οὖν ἐντεῦθεν συναγόμενόν ἐστιν ὅτι τὸ περὶ ἕνα γινόμενον ἀστέρα πάθος,
25 τουτέστι τὸ ἕλκειν εἰς ἑαυτὸν τὴν εἰρημένην ἀναθυμίασιν καὶ δι' αὐτὴν γίνεσθαι κομήτην, εὔλογον καὶ περὶ πάντα συμβαίνειν καὶ μίαν κόμην ὅλῳ περικεῖσθαι κύκλῳ, ἑκάστου ἀστέρος τὴν ὑποκειμένην ὅλην ἐπισπωμένου, καὶ διὰ τὴν συνέχειαν τῆς ἀναθυμιάσεως μίαν κόμην γίνεσθαι πᾶσιν, ἣν γαλαξίαν διὰ τὸ χρῶμα προσαγορεύομεν. εἰ γὰρ ἡ ἑνὸς ἀστέρος κίνησις
30 ἐκριπίζει καὶ ἀνάπτει τοιαύτην ὅλην, πόσῳ μᾶλλον πολλοὺς ἅμα δύνασθαι τοῦτο ποιεῖν ἀστέρας;

p. 346a10 Καὶ πρὸς τούτοις ἔτι καθ' ὃν τόπον πυκνότατα, καὶ πλεῖστα καὶ μέγιστα τυγχάνουσιν ὄντα τῶν ἄστρων.

Καὶ τοῦτο τεκμήριον ποιεῖται τοῦ κομήτην εἶναι τὸν γαλαξίαν ἐκ τῆς
35 ἀναθυμιάσεως τῆς εἰρημένης ὡς ἐξ ὑλικοῦ αἰτίου γενόμενον· καθ' ὃν γὰρ τόπον αὐτοῦ μέγιστά τέ ἐστιν ἄστρα καὶ πυκνότατα, κατὰ τοῦτον μάλιστα

---

5. 6 ἀντιδιεῖλε a 9 τὴν Arist.: τῶν M: τὸν a ἄλλων non legitur apud Arist.
10 τι om. a 11 Ἀλέξανδρος] p. 41,20 14 ὀκτάσφαιρον ἢ ἐννεάσφαιρον] καὶ τὰς σφαίρας a 20 Πλάτων] Polit. 269 D ἢ] καὶ Plat. 22 τὸ om. a
26 ὅλῳ κόμην coll. M 32 ἔτι] ἐστὶ libri 36 τρόπον M

πολὺ τὸ γάλα καὶ λαμπρότατον φαίνεται, καὶ ὁ τούτου κύκλος ἐπαναδι- 102v
πλοῦται· διὰ γὰρ τὴν ἀπὸ τῶν ἀστέρων θερμασίαν ἀναθυμίασις ἐκεῖ πολλὴ
ἀθροίζεται, ἐξ ἧς οἱ κομῆται συνεστᾶσιν. ἐν ᾧ δὲ μήτε μεγάλα ἐστὶν 50
ἄστρα μήτε πολλὰ καὶ πυκνά, ἐν τούτῳ καὶ τὸ φῶς ἔλαττον καὶ ἀμυδρό-
5 τερον, καὶ διπλόην ὁ κύκλος οὐδεμίαν ἔχει.

p. 346a11 Ὁ μὲν οὖν τῶν ζῳδίων διὰ τὴν τοῦ ἡλίου φορὰν καὶ τὴν τῶν πλανητῶν διαλύει τὴν τοιαύτην σύστασιν, διόπερ οἱ πολλοὶ τῶν κομητῶν ἐκτὸς γίνονται τῶν τροπικῶν. ἔτι δὲ οὔτε περὶ τὸν ἥλιον οὔτε περὶ τὴν σελήνην γίνεται κόμη· θᾶττον γὰρ
10 διακρίνουσιν ἢ ὥστε συστῆναι τοιαύτην σύγκρισιν.

Ἐπειδὴ περὶ τοῦ γάλακτος πρὸ τούτων ἔλεγεν "ὃ δὴ καθ' ἕνα τῶν 103r
ἀστέρων συμβαίνει, τοῦτο δεῖ λαβεῖν γινόμενον περὶ ὅλον τὸν οὐρανὸν καὶ τὴν ἄνω φορὰν ἅπασαν", ἕνα δὲ καὶ μόνον ὁ γαλαξίας κύκλον ἀποτελεῖ. ὅπερ ἄν τις ἠπόρησε, τοῦτο λύει νῦν· διὰ τί γὰρ ἐν ἑκάστῳ μέρει τοῦ
15 οὐρανοῦ, ἐν ᾧ λαμπρὰ συνέστηκεν ἄστρα, μὴ γίνεται γαλαξίας. λέγει οὖν ὡς ἐν τῷ ζῳδιακῷ, ἐν ᾧ τῶν ἀστέρων οἱ πλανώμενοι κινοῦνται σελήνη 5
τε καὶ ἥλιος, οὐ δυνατὸν συστῆναι κόμην ἢ γάλα· ἡ γὰρ πολλὴ θερμασία λεπτύνει τὴν ὕλην καὶ διαφορεῖ παντελῶς. εἴρηται γὰρ ὡς καὶ πάχους συμμέτρου δεῖ τῆς ὕλης πρὸς ἕξαψιν· οὔτε γὰρ ἡ ἄγαν λεπτὴ οὔτε ἡ λίαν
20 παχυτάτη πρὸς ἕξαψίν ἐστιν ἐπιτήδειος. ἡ μὲν γὰρ πρὶν ἐξαφθῆναι καταδαπανᾶται, τῆς δὲ οὐκ ἐφικνεῖται τὸ ποιοῦν. τεκμήριον δὲ τούτου τὸ μηδὲ περὶ τὸν ἥλιον μηδὲ περὶ τὴν σελήνην κόμην συνίστασθαι. εὐλόγως οὖν οὐδὲ ὑπὸ τὸν κύκλον ἐν ᾧ οὗτοι κινοῦνται. 10

p. 346a16 Οὗτος δ' ὁ κύκλος, ἐν ᾧ τὸ γάλα φαίνεται τοῖς ὁρῶσι,
25 μέγιστος ὢν τυγχάνει καὶ τῇ θέσει κείμενος οὕτως ὥστε πολὺ τοὺς τροπικοὺς ὑπερβάλλειν. πρὸς δὲ τούτοις ἄστρων ὁ τόπος πλήρης ἐστὶ τῶν τε μεγίστων καὶ λαμπροτάτων, ἔτι καὶ τῶν σποράδων καλουμένων (τοῦτο δ' ἐστὶ καὶ τοῖς ὄμμασιν ἰδεῖν φανερόν), ὥστε διὰ ταῦτα συνεχῶς καὶ ἀεὶ ταύτην πᾶσαν ἀθροί-
30 ζεσθαι τὴν σύγκρισιν.

Διὰ τί μὲν ὑπὸ τὸν ζῳδιακὸν τὸ γάλα μὴ γίνεται, δέδειχεν ἤδη, 15
τίνος δὲ χάριν ἐν τούτῳ συνίσταται, διδάσκει νῦν· ὅτι τε μέγιστος, φησίν, οὗτος ὁ κύκλος ἐστὶ τὴν σφαῖραν διχοτομῶν, καὶ ὅτι τοὺς τροπικοὺς ὑπερβάλλει πολύ, τουτέστιν ἔξω τούτων πέπτωκε, κἀντεῦθεν οὐ ταὐτὸ τῷ
35 ζῳδιακῷ πάσχει πάθος. τῷ γὰρ μηδένα τῶν πλανωμένων δι' αὐτοῦ φέρεσθαι μήτε τὸν ἥλιον μήτε τὴν σελήνην ἡ ἐκεῖ φερομένη ἀναθυμίασις οὐ

---

6 post ζῳδίων add. τόπος Ma, κύκλος Arist. F 7 τὴν post καὶ om. Ma 25 μέγιστος MVa Arist. HN: ὅ τε μέγιστος Arist. E: ὅτι τε μ. Arist. F 27 καὶ ἔτι Arist., itemque V, sed cf. p. 112,33. 34 34 πολύ om. a τῷ] τὸ M

διαλύεται. καὶ πρὸς τούτῳ πλήρης ἐστὶν ἄστρων μεγίστων τε καὶ λαμπρο- 103r
τάτων, ὡς πολλὴν μὲν ἐξ αὐτῶν ἀναθυμίασιν ἕλκεσθαι, μὴ παντελῶς δὲ 20
διαφορεῖσθαι ταύτην. οὐ γὰρ οὕτως ὑπερβάλλει τὸ θερμὸν ἐν τούτοις ὡς
ἐν τῷ ζῳδιακῷ, διὸ καὶ ἡ ὑπὸ τοῦτον ζώνη τῆς γῆς διακέκαυται καὶ ἀοί-
5 κητός ἐστι. ταῦτα μὲν οὖν πιθανὰ λίαν· τί δὲ πρὸς τοῦτο λυσιτελεῖ καὶ
τὸ μέγιστον εἶναι τὸν τοῦ γάλακτος κύκλον; τηλικοῦτος γάρ ἐστι καὶ ὁ
ζῳδιακὸς καὶ ὁ ἰσημερινὸς καὶ πᾶς διχοτομῶν τὴν σφαῖραν. φημὶ τοίνυν
ὡς τὰ ἐπὶ τῶν μεγίστων κύκλων ἄστρα φερόμενα θᾶττον κινεῖται συμπερι- 25
αγόμενα τούτοις ἤπερ τὰ ἐν σμικροῖς ὄντα κύκλοις. μιᾶς γὰρ οὔσης τοῦ
10 παντὸς οὐρανοῦ τῆς περιφορᾶς, καὶ ἐν τῷ αὐτῷ χρόνῳ τῶν ἐν αὐτῷ
κύκλων πάντων ἅμα ἀποκαθισταμένων μειζόνων τε καὶ ἐλαττόνων, ἀνάγκη
πᾶσα τοὺς μείζονας κύκλους θᾶττον κινεῖσθαι τῶν ἐλαττόνων, καὶ ὅσον
ὑπερβάλλουσι τῷ μεγέθει, τοσοῦτον καὶ ἡ ταχυτὴς αὐτῶν τῆς κινήσεως
αὔξεται, ἵν' οὕτως ἅμα πάντων ἡ ἀποκατάστασις γένηται. τοῦτο δὲ καὶ
15 Ἄρατος περὶ τῶν ἄστρων τῶν ἐν τῷ ἰσημερινῷ κειμένων εἴρηκε μεγίστῳ ὄντι· 30

αὐτοῦ καὶ κριοῖο θοώταταί εἰσι κέλευθοι,
ὅς ῥά τε καὶ μήκιστα διωκόμενος πέρι κύκλα
οὐδὲν ἀφαυρότερον τροχάει κυνοσουρίδος ἄρκτου.

τουτέστιν οὐχ ὑπολείπεται ὁ κριὸς διὰ τὸ μέγεθος τοῦ ἰδίου κύκλου ἐν τῇ
20 ἀποκαταστάσει τῆς τοῦ παντὸς κινήσεως τῆς ἐν τῷ ἐλαχίστῳ κύκλῳ κει- 35
μένης κυνοσούρας, ἀλλ' ἰσοχρόνως ἀποκαθίστανται. τοῦτο δὲ διὰ τὸ τάχος
τῆς κινήσεως τοῦ κριοῦ δηλονότι γίνεται. εἰ οὖν ἡ κίνησις θερμαίνει, ἡ
δὲ θερμότης ἕλκει τὴν ἀναθυμίασιν, καὶ ἡ ταχυτέρα κίνησις δηλονότι μᾶλλον
θερμαίνει. ἡ δὲ μείζων θερμασία πλείονα ποιεῖ ἀναθυμίασιν. ὅταν δὲ εἴπω
25 τοὺς ἐν τοῖς μείζοσι κύκλοις ἀστέρας θᾶττον κινεῖσθαι τῶν ἐν τοῖς ἐλάτ-
τοσι, τοὺς κύκλους οἷς συμπεριάγονται λέγω. οἱ γὰρ ἐπὶ τοῦ ζῳδιακοῦ
κείμενοι ἀστέρες οὐ πάντων τῶν ἄλλων ταχύτερον κινοῦνται (καίτοι μέγιστός 40
ἐστιν οὗτος ὁ κύκλος), διότι μὴ διὰ τούτου μέσου πάντων τούτων ἡ κίνησις.
οἱ γοῦν τοῖς σημείοις τοῖς τροπικοῖς πλησιάζοντες, ὅ τε καρκίνος καὶ ὁ αἰγό-
30 κερως τῶν ἄλλων εἰσὶ πάντων βραδύτεροι τῶν ὅσοι τοῦ ἰσημερινοῦ τυγχά-
νουσιν ὄντες πλησιέστεροι· ἐπὶ μειζόνων γὰρ παραλλήλων οὗτοι κινοῦνται,
οἱ δὲ ἐν τοῖς τροπικοῖς σημείοις ἐπ' ἐλαττόνων. εἰπὼν δὲ ὡς ὁ τοῦ γαλαξίου
τόπος τῶν μεγίστων ἄστρων πλήρης ἐστὶ καὶ λαμπροτάτων, ἐπήγαγεν ἔτι 45
καὶ τῶν σποράδων καλουμένων, ὡς ἐκείνων μὲν οὐκ ὄντων σποράδων,
35 ἀλλ' εἰδωλοποιημένων, τούτων δὲ κατὰ τὸ ἐπιτυχὸν διεσπαρμένων καὶ
οὐκ ἀποτυποῦντων εἴδωλα. οὕτω δὲ τοὺς τοιούτους καὶ Ἄρατος ὀνομάζει·

ἄλλοι δὲ σποράδην ὑποκείμενοι ὑδροχοῆϊ
κήτεος αἰθερίοιο καὶ ἰχθύος ἠερέθονται
μέσσοι. 50

---

15 Ἄρατος] Phaen. 225 sqq. 17 πέρι κύκλα Maass (cf. p. 41 n. 8): περὶ κύκλου MV: περὶ κύκλον a 22 εἰ] ἡ M 26 περιάγονται V 27 ταχύτεροι a 28 διὰ τούτου μέσου scripsi: διὰ τοῦτο διὰ μέσου libri 36 Ἄρατος] Phaen. 389 sqq. 37. 38 ὑδροχοῆϊ κήτεος Arat.: ὑδροχοϊκοί τέως MV: ὑδροχόοιο τέως a 38 αἰθερίοιο Arat.: αἰθέριοι libri

σημεῖον δὲ καὶ τοῦτο ποιεῖται τοῦ καλῶς ἀποδεδόσθαι τὸν περὶ τοῦ γάλα- 103ʳ
κτος λόγον· ὅλος μὲν γὰρ ὁ κύκλος οὗτος, φησί, μεγίστων καὶ λαμπρο- 51
τάτων ἀστέρων πλήρης, τῶν τε ἄλλων καὶ τῶν καλουμένων σποράδων, καὶ
αὐτοῦ δὲ τούτου τὸ μὲν ἕτερον ἡμικύκλιον, ἐν ᾧ πλεῖόν ἐστι τὸ φῶς τοῦ
5 γάλακτος καὶ λαμπρότερον καὶ ἀναδιπλώσεις ἔχον. ἐν τούτῳ πυκνότερα
τοῦ λοιποῦ καὶ μείζονά ἐστι τὰ ἄστρα καὶ λαμπρότερα, ἐν δὲ τῷ λοιπῷ,
ἐν ᾧ μὴ τοιαῦτά ἐστι μηδὲ τοσαῦτα μηδ' οὕτω πεπύκνωται τὰ | ἄστρα, 103ᵛ
ἐν τούτῳ καὶ τὸ γάλα ἧττον ὑπάρχει καὶ ἀμυδρότερον καὶ ἀναδιπλώσεις
οὐκ ἔχον. δῆλον οὖν ὅτι τὰ ἄστρα τοῦ γάλακτός ἐστιν αἴτια.

10 p. 346ᵃ31 Θεωρείσθω δὲ ὅ τε κύκλος καὶ τὰ ἐν αὐτῷ ἄστρα ἐκ
τῆς ὑπογραφῆς. τοὺς δὲ σποράδας καλουμένους οὕτω μὲν εἰς
τὴν σφαῖραν οὐκ ἔσται τάξαι διὰ τὸ μηδεμίαν διὰ τέλους ἔχειν
φανερὰν ἕκαστον θέσιν, εἰς δὲ τὸν οὐρανὸν ἀναβλέπουσίν ἐστι 5
δῆλον· ἐν μόνῳ γὰρ τούτῳ τῷ κύκλῳ τὰ μεταξὺ πλήρη τοιούτων
15 ἀστέρων ἐστίν, ἐν δὲ τοῖς ἄλλοις διαλείπει φανερῶς. ὥστε εἴπερ
καὶ περὶ τοῦ φαίνεσθαι κομήτας ἀποδεχόμεθα τὴν αἰτίαν ὡς
εἰρημένην μετρίως, καὶ περὶ τοῦ γάλακτος τὸν αὐτὸν ὑπολη-
πτέον τρόπον ἔχειν.

Καὶ διὰ καταγραφῆς τῇ ὄψει τὰ εἰρημένα παρίστησιν, οὕτως αὐτὸν
20 ὡς ἐν τῷ οὐρανῷ κεῖται τὸν γαλαξίαν ὑπογράφων, ἐν οἷς τε ἁπλοῦς ἐστι
καὶ ἐν οἷς ἀναδίπλωσιν ἔχει, καὶ τὰ ἐν ἑκάστῳ τούτου μέρει τῶν ἄστρων 10
εἰδωλοπεποιημένα. ἐπειδὴ δὲ μεταξὺ τούτων καί τινα τῶν σποράδων ἐστίν,
ἃ καταγράφειν οὐκ ἦν εὐμαρὲς διὰ τὴν ἄτακτον αὐτῶν θέσιν, τούτους,
φησί, θεωρητέον οὐκ ἐν τῷ διαγράμματι, ἀλλ' εἰς αὐτὸν ἀναβλέποντας τὸν
25 οὐρανόν. ὄψει γὰρ μεταξὺ τούτων κατεστηριγμένους πολλοὺς τῶν σπορά-
δων, οὓς εἰδωλοποιῆσαι τοῖς παλαιοῖς οὐ γέγονεν εὔκολον. ἅπαντα γάρ, φησί,
τὰ μεταξὺ τῶν εἰδωλοπεποιημένων ἄστρων ἐν τῷ γαλαξίᾳ πλήρη τῶν
σποράδων ἐστὶν ἄστρων· ἐν δὲ τοῖς ἄλλοις κύκλοις πολλὰ μεταξὺ φαίνεται 15
κενὰ καὶ ἄστρων χωρίς. ταῦτα εἰπὼν συμπεραίνει τὸν λόγον καί φησιν
30 ὡς εἰ τὴν εἰρημένην περὶ τῶν κομητῶν αἰτίαν ἀποδεχόμεθα τὴν αὐτὴν
εἶναι ταύτην καὶ περὶ τοῦ γάλακτος εὔλογον ὑπολαμβάνειν. ὡς εἴ τις
ὁρίσειε, φησί, τὸν γαλαξίαν, εἴποι ἂν 'γαλαξίας ἐστὶν ἡ τοῦ μεγάλου κύκλου
κόμη διὰ τὴν εἰρημένην ἀναθυμίασιν ὑφισταμένη.' τὰ μὲν οὖν Ἀριστοτέλει
περὶ τοῦ γαλαξίου δοκοῦντά ἐστι τοιαῦτα· ἄτοπα δὲ πολλὰ τῷ λόγῳ καὶ
35 ἀδύνατα συμβαίνει καὶ ἀποκλήρωσιν ἔχοντα μόνην. εἰ γὰρ ὡς ὁ κομήτης 20

5 λαμπρότερος a 7 post μὴ add. τὰ a εἰσὶ V 9 τὰ om. V
10 Τεθεωρείσθω a 12 ἔσται Arist. HN ex ἔστι corr. V: ἔστι Ma Arist. EF
13 ἐστὶ Ma Arist.: ἔσται V 15 εἰσὶν V δὲ] μὲν Ma διαλείπει om. Ma
21 μέρει scripsi: μέρη libri 25 μεταξὺ τούτων a: μετὰ ξύλων M: μεταξὺ (lac. IV litt.) V 30 εἰ] εἰς a 31 ὥστ' εἴ τις a

οὕτω καὶ ὁ γαλαξίας πάθος ἦν τοῦ ἀέρος, πῶς ὁ αὐτός ἐστιν ἀεὶ καὶ ὡσαύ- 103v
τως ἔχων, οὔτε καθόλου οὔτε κατά τι τῶν αὐτοῦ μερῶν ἀλλοιότερός ποτε
γινόμενος, οὐ τὸ μῆκος, οὐ τὸ πλάτος αὐξήσας, οὐ μειώσας, οὐ τὴν θέσιν,
οὐ τὸ σχῆμα μεταβαλών, οὐχ ὅπῃ ἀναδεδίπλωται γενόμενος ἁπλοῦς ἢ
5 ἔμπαλιν ἐν οἷς ἁπλοῦς ἐστι, διπλόην ἔσχε. πλείονος ὕλης ἢ ἐλάττονος ἄλλοτε
ἐν ἄλλοις μέρεσιν αὐτοῦ συνισταμένης, ὃ καὶ ἐπὶ τῶν κομητῶν, καθά φησι, 25
συμβαῖνον φαίνεται ὁμοίλων ὄντων αὐτοῦ; καὶ καθόλου γὰρ μυρίας ἐν τῷ
ἀέρι μεταβολὰς ἐν χρόνῳ βραχεῖ γινομένας ὁρῶμεν, καὶ ἐν τοῖς ἀλεεινοτέροις
τῶν τόπων ψῦχος πολὺ καὶ ἐν τοῖς ψυχροτέροις τὸ θερμὸν πολλάκις ἐπι-
10 κρατοῦν. πῶς οὖν ἐν οὕτως ἀστάτῳ πράγματι τῇ ἀναθυμιάσει τὴν αὐτὴν
εἰκὸς ἦν ἐν μόνῳ τῷ γαλαξίᾳ γίνεσθαι διηνεκῶς, μηδεμιᾶς μηδέποτε γινο-
μένης διαφορᾶς, ἀλλὰ ἡ αὐτὴ καὶ ποσῷ καὶ ποιῷ φαίνεται ἀναθυμίασις,
καὶ τῇ θέσει ὁμοίως ἔχουσα καὶ τῇ τάξει τῶν ἄστρων, μηδεμιᾶς μηδα- 30
μόθεν γινομένης αὐτῇ μεταβολῆς, ὅπερ οὐδενὶ τῶν ὑπὸ σελήνην φαίνεται
15 συμβαῖνον, οὐδ' ἐπ' αὐτῶν τῶν κομητῶν, περὶ ὧν ὁ λόγος· οὔτε γὰρ ἐν
τοῖς αὐτοῖς τόποις ἀεὶ γίνονται οὔτε μεγέθεσιν οὔτε σχήμασιν οὐ τῇ θέσει
τῶν μορίων εἰσὶν οἱ αὐτοί. εἰ δὲ διὰ τὸ πλῆθος τῶν ἀστέρων τῶν ἐν
τοξότῃ καὶ διδύμοις ὁ γαλαξίας ἐστὶν ἐκεῖ διαφανέστερος, διὰ τί μὴ καὶ ὑπὸ
τὸν Ὠρίωνα τὸ αὐτὸ γίνεται, πολλῶν ὄντων ἀστέρων ἐκεῖ καὶ μεγίστων, ἢ
20 καὶ ὑπὸ τὰς ἄρκτους; πῶς δὲ μετακινουμένων ἡλίου τε καὶ σελήνης καὶ 35
τῶν λοιπῶν πλανήτων καὶ ἄλλοτε ἐν ἄλλοις γινομένων μέρεσι τοῦ ζῳδια-
κοῦ μηδέποτε ἐν μηδενὶ μέρει τοῦ γαλαξίου βορειοτέρῳ τυχὸν ἢ νοτιωτέρῳ
διαφορά τις ἐγένετο; καίτοι γε ἡ τοῦ ἡλίου μετάθεσις ἐπὶ τὰ νότιά τε
καὶ ἐπὶ τὰ βόρεια μεγίστην περὶ τὸν ἀέρα ποιεῖ διαφορὰν τῷ ἀφεστηκέναι
25 τινῶν αὐτοῦ μερῶν καὶ πλησιάζειν ἑτέροις. πῶς οὖν οὐδὲ τὴν τυχοῦσαν
μεταβολὴν περὶ μόνα τὰ τοῦ γαλαξίου ποιεῖται μέρη πλησιάζων ὁ ἥλιος 40
αὐτοῖς ἢ πάλιν αὐτῶν ἀφιστάμενος, ἀλλ' ἡ αὐτὴ περὶ ἕκαστον τῶν αὐτοῦ
μερῶν ἀναθυμίασις ἀεὶ γίνεται ποσῷ τε καὶ ποιῷ καὶ τῷ χρώματι; τὸ γὰρ
ἀεὶ μένον καὶ ὡσαύτως ἔχον τῶν μὲν ὑπὸ σελήνην παντελῶς σώματι οὐδενί,
30 μόνοις δὲ τοῖς οὐρανίοις, εἴπερ ἄρα καὶ τούτοις, ὑπάρχον φαίνεται. καὶ
ἄλλως δὲ δεικνύειν εὐχερὲς ὡς οὐκ ἔστι τοῦ ἀέρος τὸ γάλα πάθος, ὑπέρ-
κειται δὲ τούτων πολὺ καὶ αὐτοῦ τοῦ σώματός ἐστι τῆς ἀπλανοῦς ἡ τοιαύτη
ποιότης· εἰ γὰρ ἦν τοῦ ἀέρος πάθος, κρύψεις τινὰς καὶ παραλλάξεις ἀστέρων, 45
οὓς ὑποτρέχει, ποιεῖν ἔμελλεν, οἷόν τι λέγω, ὅταν νέφος ὑποδράμῃ τὸν
35 ἥλιον, τοῖς μὲν τῶν ἀνθρώπων ἐπιπροσθεῖ καὶ κωλύει τοῦτον ὁρᾶν, τοῖς
δὲ ἐνδοτέρους οἰκοῦσι τόπους οὐκ ἐπιπροσθεῖ παντελῶς. ἀλλ' ὁρῶσιν ὅλον
αὐτὸν ἐναργῶς πρὸς τὴν ποιὰν σχέσιν, ἣν ποιεῖται τὸ νέφος πρός τε τὰς
ὄψεις ἡμῶν καὶ πρὸς αὐτὸν τὸν ἥλιον. τὸ αὐτὸ καὶ περὶ σελήνην καὶ τοὺς
λοιποὺς ἀστέρας, οὓς ὑποτρέχει νέφος, συμβαίνει. καὶ ἐπὶ τῶν ἡλιακῶν δὲ
40 ὁμοίως ἐκλείψεων τοῦτο [δὲ ὁμοίως] γίνεται, τῆς ἐπιπροσθούσης τῷ ἡλίῳ 50

1. 2 ἀεὶ καὶ ἀεὶ ὡσαύτως Ma 4 μεταβάλλων a 8 βραχὺ M 16 οὔτε τῇ θέσει a
27 ἀφιστάμενος ex ἀφισταμένου corr. M¹ 35 τοῖς ante μὲν scripsi: τοὺς libri
36 ἐνδοτέρως a τόποις a 39 ὑποτρέχειν a 40 δὲ ὁμοίως delevi

σελήνης κατωτέρω κειμένης. οὐδὲ γὰρ πάντως πᾶσιν ἐπιπροσθεῖ πανταχοῦ 103*
οὐδὲ τὴν αὐτὴν οἷς ἐπιπροσθεῖ ποιεῖται σχέσιν, ἀλλὰ καὶ κατὰ τοὺς διαφόρους τόπους, ἐν οἷς ἐπιπροσθεῖ, ποιεῖται διαφοράν, καὶ τοῖς μὲν ὅλος ὁ ἥλιος σκεπόμενος ὑπὸ τῆς σελήνης φαίνεται, τοῖς δὲ οὐχ ὅλος. ἔστι δὲ
5 οἷς τὰ μὲν ἐπιπροσθεῖ μόνα τούτου, ἡ δὲ ἔξωθεν περιφέρεια κρικοειδὴς ὁρᾶται περιγείου τῆς σελήνης οὔσης. εἰ | τοίνυν καὶ ὁ γαλαξίας κατωτέρω 104r
τῶν ἄστρων ἦν, πάθος ὑπάρχων τοῦ ὑπεκκαύματος, παραλλάξεις ἔμελλε περὶ τὰ ἄστρα ποιεῖν καὶ τοῖς μὲν ἡμῶν τινα τούτων ἐπικαλύπτειν, τοῖς δὲ μή, καὶ καθόλου εἰπεῖν, εἰ κατωτέρω τῶν ἀστέρων ἦν ἢ τῶν ἀπλανῶν
10 ἢ τῶν πλανωμένων, ἐπειδὴ τὰ σημεῖα, καθ' ἃ τέμνουσιν ἀλλήλους ὅ τε ζῳδιακὸς καὶ ὁ γαλαξίας, ὁ τοξότης ἐστὶ καὶ οἱ δίδυμοι, ἔδει τῶν πλανωμένων ἕκαστον ἐκεῖσε γινόμενον ὑπὸ τοῦ γάλακτος χρωματίζεσθαι· ἀλλὰ καὶ τῶν ἀπλανῶν πάλιν ἕκαστον τῶν ὄντων κατὰ κάθετόν τινι τῶν τοῦ γαλαξίου μερῶν τὸ αὐτὸ πάσχειν ἢ καὶ παντελῶς ἐπικρύπτεσθαι ὑπ' αὐτοῦ.
15 ὡς γὰρ ὁλοκλήρου τινὸς ἀστέρων κύκλου ὁ γαλαξίας ἐστὶ κόμη, εὔλογον καὶ ἑκάστου τῶν ἀποτελούντων τὸν κύκλον τοῦτον * * * ἡγούμεθα τὸν μῦθον τῷ ἐκ τοῦ γάλακτος τῆς Ἥρας φάσκοντι τοῦτον συστῆναι τὸν κύκλον, ὅτε τοῦ Ἡρακλέους ἀγνοούσης βίᾳ τὸ γάλα ταύτης ἐκμύζοντος (Ἀθηνᾶ γὰρ ὑπέβαλε, φησίν, αὐτὸν κοιμωμένῃ, ἵνα πιὼν ἀθάνατος γένοιτο), τὴν Ἥραν
20 ὀδυνομένην ἀθρόον ἐκσπάσαι τὸν μαζόν, καὶ τοῦ γάλακτος ἐξακοντισθέντος τοῦτον γενέσθαι τὸν κύκλον. οὔτε γὰρ τὸ γάλα διηνεκῶς ἐξακοντίζεται οὔτε ὁ αὐτὸς ἀεὶ τῶν ψυχῶν ἀριθμὸς ἄνεισί τε καὶ κάτεισιν, ἵνα καὶ τὰ αὐγοειδῆ σώματα αὐτῶν τὸν αὐτὸν τόπον ἀναπληροῖ μήτε λείψαντα μήτε πλεονάσαντα πώποτε. τῶν μύθων δὲ τούτων οὐδὲν ἧττον καὶ ἡ Ἀριστοτέλους
25 φυσιολογία τὸ μυθῶδες ἔχει, ἀίδιον πάθος ἐν τῷ ὑπεκκαύματι γίνεσθαι
ὑποτιθεμένη μήτε ἀρξάμενον τοῦ εἶναι μήτε παυσόμενον, ὅπερ ἐν οὐδενὶ τῶν στοιχείων ὁρᾶται συμβαῖνον, ἐπεὶ καὶ ἡ οὐσία τούτων κατὰ μέρος γίνεταί τε καὶ φθείρεται. εἰ οὖν μηδὲν στοιχείου μέρος ἄναρχόν ἐστι καὶ ἀτελεύτητον, πῶς ὁ γαλαξίας ἐστὶ τοιοῦτος ἐν βραχεῖ μέρει τοῦ ὑπεκκαύ-
30 ματος ὤν, εἴπερ ἀίδιος κατὰ τὸν Σταγειρίτην ὁ κόσμος ἐστίν. εἰ δὲ λέγει ὅτι καὶ τούτου τὸ μὲν γίνεται τὸ δὲ φθείρεται, ὡς καὶ ἐπὶ τῆς ὕλης τῶν κομητῶν εἴπομεν καὶ ἐπὶ τῶν τρεφομένων γίνεται, καὶ τὸ διαφορούμενον ἀναπληροῦται ὑπὸ τοῦ ἐπεισιόντος, ἀλλὰ τῶν τοιούτων οὐδὲν ὡσαύτως ἔχον ἀεὶ φαίνεται οὐδὲ ἑστάναι πάθους ἔστιν ἐκτός, ἀλλὰ πλείστας ἀλλοι-
35 ώσεις καὶ διαφορὰς ὑπομένει μειώσεις τε καὶ αὐξήσεις, ὅπερ ἐπὶ τοῦ γάλακτος οὐ συμβαίνει. εἴρηται δὲ τῷ φιλοσόφῳ καλῶς μηδένα μηδενὶ λέγοντι συγχωρεῖν, ὃ μὴ ἐπὶ πάντων ἢ ἐπὶ τῶν πλειόνων οὕτως ἔχον ἢ γιγνόμενον φαίνοιτο. εἰ οὖν μηδὲν τῶν φερομένων ὡσαύτως ἔχον ἀεὶ διαμένει, μεταβολὰς δὲ ποιεῖται μυρίας, τὸ δὲ γάλα μεταβολὴν οὐδεμίαν

5 μὲν ἐπιπροσθεῖ] fort. μέσα ἐπιπροσθεῖται τούτων a 13 τινι] τι a 16 lacunam indicavi 18 ἡρακλέος libri 20 τῶν μαζῶν Ma: ex τὸν μαζὸν corr. V 26 ἀρξόμενον Ma 29 βραχὺ M μέρει ex μέρη corr. M¹ 31 ὅτι om. Ma 34 ἑστάναι] (lac. III litt.) ναι V 39 οὐδεμίαν om. M

ἔσχεν οὐδὲ σχήσει ποτέ, ἕως ἂν ᾖ τὸ πᾶν, οὐκ ἄρα ἐστὶ τοῦ ἀέρος πάθος 104r
οὐδὲ τοῦ ὑπεκκαύματος ἐκ τῆς ξηρᾶς συμβαῖνον ἀναθυμιάσεως. τὰ γὰρ
ἐκ ταύτης γινόμενα πάντα, φλόγες, διάττοντες, δαλοί, κομῆται, κεραυνοί,
πνεύματα καὶ ὅσα ἐν τοῖς μετεώροις ἁπλῶς συμβαίνει, ῥᾳδίαν τε ἔχει τὴν
5 μεταβολὴν καὶ γίνεται φανερῶς καὶ φθείρεται, ὧν οὐδὲν ὑπομένει τὸ γάλα.
ἔοικεν ἄρα πάθος οὐσιῶδες εἶναι τοῦ οὐρανίου σώματος ἀχώριστον αὐτοῦ,
καὶ ὥσπερ οὐκ ἔστιν αἴτιον εἰπεῖν τῆς διαφορᾶς τῶν ἄστρων κατά τε 30
μέγεθος καὶ χροιὰν καὶ θέσιν αὐτῶν καὶ πρὸς ἄλληλα σχέσιν τε καὶ τάξιν,
οὐδὲ τῆς διαφόρου τῶν σφαιρῶν κινήσεως, τίνος ἕνεκεν αἱ μὲν ἐπὶ τὰ
10 ἑπόμενα, αἱ δὲ ἐπὶ τὰ ἡγούμενα φέρονται, ἢ τούτων αἱ μὲν θᾶττον, αἱ δὲ
βραδύτερον, οὕτως οὐδὲ τοῦ γάλακτος τὴν αἰτίαν ἔστιν εἰπεῖν, τίνος ἕνεκεν
ἐν μέρει τῆς οὐσίας συμβέβηκε τοῦτο ἐκείνης καθ' αὑτό. μηδεμιᾶς γὰρ
ἐν αὐτῷ μήτε οὔσης μήτε γινομένης διαφορᾶς, ψευδὲς τὸ τῇ κινήσει τὰ
ἄστρα θερμαίνοντα τὸν ἀέρα καὶ τὸ ὑπέκκαυμα τὴν ὕλην τῶν κομητῶν 35
15 ἐκεῖθεν καὶ τοῦ γάλακτος εἰς ἑαυτὰ συνέλκειν. ἀνωμάλου γὰρ οὔσης
τῆς τοιαύτης ἐκκρίσεως ἀδύνατον ἦν μὴ καὶ τὸν γαλαξίαν ἀνωμαλίαν ἔχειν
πολλὴν ποιότητι καὶ ποσότητι, αὐτῆς τῆς ἀναφερομένης κάτωθεν ὕλης ἀνω-
μάλου οὔσης. πῶς δὲ ἡ τοσαύτη τῶν ἄστρων ἀπόστασις οὐδὲ λόγῳ ῥητὴ
ὁρᾶν ἔμελλεν εἰς τὰ ὑπὸ σελήνην, ὡς τοσαύτην ὕλην διηνεκῶς ἀναφέρεσθαι
20 καὶ τὴν αὐτὴν ἀεὶ χειμῶνος καὶ θέρους μετοπώρου τε καὶ ἔαρος, μηδε- 40
μιᾶς μηδὲ σμικροτάτης γινομένης ἐν τῷ γάλακτι διαφορᾶς, ὅπερ ἐν σώμασι
θνητοῖς ἐστιν ἀδύνατον, ὡς δεικνύουσι τοῦτο καὶ οἱ κομῆται τῆς αὐτῆς
ὕλης ὄντες τῷ γάλακτι κατ' Ἀριστοτέλη. καίτοι πρότερον αὐτὸς ζητῶν,
πόθεν ἐκ τῶν οὐρανίων τὰ ὑπὸ σελήνην θερμαίνεται, μόνην τοῦ ἡλίου τὴν
25 κίνησιν αἰτίαν ταύτης ἔλεγεν εἶναι, καὶ οὔτε τὰ ἀπλανῆ οὔτε ἄλλο τι τῶν
οὐρανίων. πῶς οὖν αἴτια τῆς ὕλης τῶν μετεώρων τὰ ἄστρα φησὶ τῇ θερ-
μότητι τοσαύτην εἰς ἑαυτὰ ἐκ τῶν ὑπὸ σελήνην ἕλκοντα ὕλην, ὡς μὴ μόνον 45
τοὺς κομήτας ποιεῖν, ἀλλὰ καὶ τὸν γαλαξίαν; ἢ πῶς ἐκείνους μέν ποτε
ποιεῖ καὶ ἄλλοτε ἄλλους, τὸν δὲ γαλαξίαν ἀεὶ τὸν αὐτὸν μήτε ἀρχὴν μήτε
30 πέρας ἔχοντα μήτε τινὰ μεταβολὴν μικρὰν ἢ μείζονα πάσχοντα, εἴ τινα
ὅλως καὶ κίνησιν ἰδίαν αὐτοῖς παράσχωμεν, δι' ἧς τὸν ἀέρα καὶ τὸ ὑπέκ-
καυμα θερμαίνουσιν. εἰ δ' ὅλως καὶ συγχωρηθεῖεν θερμαίνειν ποιότητι
μόνῃ καὶ ἄλλῳ δρῶσιν οὐδενί, καθάπερ καὶ ἐπὶ τοῦ ἡλίου δεδείχαμεν, καὶ οὕτω
κατὰ Πλάτωνα ⟨ἐκ⟩ στοιχειώδους τοῦ πυρὸς οὐσίας κατὰ τὸ πλεῖστον τὰ ἄστρα 50
35 τὴν σύστασιν ἔχουσι, καὶ ὁ τοῦ φιλοσόφου λόγος αὐτὸς ἑαυτὸν συμπεπόδικεν.

Καὶ Δαμάσκιος δὲ τῆς Ἀριστοτέλους περὶ τοῦ γάλακτος κατέγνωκεν ὑποθέσεως· μήτε γὰρ ἀναθυμίασιν εἶναι τὴν ὕλην αὐτοῦ μήτε ἐν τῷ ὑπὸ σελήνην τόπῳ συνίστασθαι. οὐδὲν γὰρ τῶν ἐξ ἀναθυμιάσεως ἐν τῷ ἀέρι καὶ τῷ ὑπεκκαύματι γινομένων παθῶν ἀεὶ τὸ αὐτὸ φαίνεται ἢ ἐν
40 τῷ αὐτῷ τόπῳ συνίσταται ἀεί, μυρίας δὲ μεταβολὰς ὑπομένει καὶ ἄλλοτε

1 ᾖ om. M 12 γὰρ om. a 13 post ψευδὲς add. δὲ a 15 ἑαυτὰ scripsi: ἑαυτοὺς libri 16 ἀδύνατον ἦν—ἀνελῶν (117,9) in lac. om. V 19 ἀναφέρεσθαι scripsi: ἀναφέρομεν M: ἀναφερόμενα a 27 εἰς ἑαυτὰς M 34 κατὰ Πλάτωνα] cf. Tim. p. 63 B ἐκ addidi

ἐν ἄλ|λοις συνίσταται τόποις· ὁ δὲ γαλαξίας ἀεί ἐστιν ὁ αὐτὸς καὶ τὴν 104v
αὐτὴν ἀπαράβατον ἔχει θέσιν, τέμνων τὸν ζῳδιακὸν κατὰ τοξότην καὶ δι-
δύμους· οὐκ ἂν δὲ οὕτως ἔχων ἐφαίνετο, εἰ περὶ γῆν εἶχε τὴν σύστασιν
καὶ μὴ τῶν οὐρανίων ὑπῆρχε σωμάτων. καὶ ἄλλως εἰ ἐν τῷ αἰθέρι τὴν
5 σύστασιν εἶχεν, ὁ δὲ αἰθὴρ ἐν τῇ κινήσει τῆς τῶν οὐρανίων ὑπολείπεται
κινήσεως, ὑπελείπετο ἂν ταύτης καὶ ὁ γαλαξίας ἐξ ἀνάγκης· νῦν δὲ κατ' 5
οὐδὲν παντελῶς αὐτῶν ὑπολείπεται· οὐκ ἄρα ἐν τῷ αἰθέρι συνέστηκεν.
ἀλλὰ τῶν οὐρανίων ἐστὶ σωμάτων. τούτοις καὶ τοῖς τοιούτοις τὴν περὶ
τοῦ γάλακτος ὑπόθεσιν Ἀριστοτέλους ἀνελὼν καλῶς ὁ Δαμάσκιος τὴν Ἐμπε-
10 δοτίμου περὶ τοῦ γάλακτος οἰκειοῦται. ἔργον αὐτὴν οὐ μῦθον καλῶν.
φησὶ γὰρ ἐκεῖνος ὁδὸν εἶναι ψυχῶν τὸ γάλα τῶν τὸν Ἅιδην τὸν ἐν οὐρανῷ
διαπορευομένων. καὶ οὐ θαυμαστόν. φησὶν ὁ Δαμάσκιος, εἰ καὶ ψυχαὶ
καθαίρονται ἐν τούτῳ τῷ κύκλῳ τῆς ἐν οὐρανῷ γενέσεως. αὐτὸν δὲ τὸν 10
κύκλον οὐράνιον εἶναι θεῶν διακόσμησιν ὁμολογητέον, εἴτε κατὰ τὸ γάλα
15 τῆς Ἥρας ὑποστᾶσαν, ὥς φησιν ὁ μῦθος (διὸ καὶ πρὸς τὴν ἀναγωγὴν
τῶν ψυχῶν οἰκείως ἔχειν, καὶ τοῦτο εἶναι τὸ μυθευόμενον ὡς οὐκ ἄνεισιν
ἀπὸ τοῦ κόσμου ψυχὴ μὴ σπῶσα τοῦ Ἡραίου γάλακτος, ὅ ἐστιν εἰ μὴ
τύχῃ τῆς ἐν τῷ γάλακτι τούτῳ κεχυμένης προνοίας αὐτῆς τῆς θεοῦ), εἴτε
καὶ ἄλλον τρόπον διακοσμηθεῖσαν τὸν θεοῖς ἐγνωσμένον. εἶναι δ' οὖν τοῦ
20 οὐρανοῦ τινα διάθεσιν ἄφθαρτον, ἀστρῴαν, μικρῶν ἀστέρων πυκνότητι γαλα- 15
κτίζουσαν. ψυχῶν δὲ ὀχήματα, φησί, λέγειν οὐκ εὔλογον τῆς συστάσεως
αὐτοῦ λαμπρᾶς οὕτω καὶ ἀστροειδοῦς φαινομένης, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ
καὶ ὡσαύτως ἐχούσης. διὰ τί δὲ μὴ μᾶλλον δαιμονίων ψυχῶν, διὰ τί δὲ
μὴ πρῶτον θεῶν; ἀπὸ θεῶν γὰρ ἄρχεσθαι δεῖ καὶ ταύτην τὴν ἰδιότητα.
25 ἄλλως τε εἰ ἐδείχθη μέρος ὢν τοῦ οὐρανοῦ, πῶς οὐκ ἂν εἴη θεὸς καὶ
θεῶν πλήρης, ἅτε τὸν ὁρώμενον συμπληρῶν οὐρανόν; ταῦτα πρὸς λέξιν
Δαμάσκιος τὸν Ἐμπεδοτίμου μῦθον ὡς λόγον κυρῶν ἀληθῆ. ὃν ἐχρῆν 20
ὥσπερ τὰ ἀντικείμενα τῇ Ἀριστοτέλους ὑποθέσει συνιδεῖν καλῶς, οὕτω καὶ
τῶν ἐν τῷ μύθῳ τούτῳ σκοπεῖν ἕκαστον, εἰ συμβαίνει τῇ φύσει τῶν ὄντων·
30 φυσικῶν γὰρ πραγμάτων, περὶ ὧν πρόκειται, φυσικὰς δεῖ καὶ τὰς αἰτίας
ἀποδιδόναι. ὁ δέ φησιν "ὁδός ἐστι τὸ γάλα ψυχῶν τῶν διαπορευομένων
τὸν ἐν οὐρανῷ Ἅιδην". εἰ οὖν τὸν γαλαξίαν διαπορεύονται, οὗτος ἂν εἴη ὁ
ἐν τῷ οὐρανῷ Ἅιδης. καὶ πῶς Ἅιδης ὁ οὕτω φωτεινός; καὶ εἰ καθαίρονται
ἐκεῖ ψυχαί, δηλονότι μὴ κεκαθαρμέναι ἀνῆλθον. οὐκοῦν μετὰ τῶν θνητῶν 25
35 ὀχημάτων· ἀλλ' ἀδύνατον ἐκείνοις θνητὸν συνεῖναι σῶμα, εἴπερ εἰσὶν
ἄφθαρτα. καὶ σὺ γοῦν ἔφης 'οὐκ ἄνεισιν ἀπὸ τοῦ κόσμου ψυχὴ μὴ
πιοῦσα τοῦ Ἡραίου γάλακτος, τουτέστι τῆς ἐκκεχυμένης ἐν αὐτῷ τῆς θεοῦ
προνοίας'. καὶ τίς αὕτη παρὰ τὴν τῶν λοιπῶν θεῶν, διαστέλλειν ἐχρῆν,
καὶ μὴ φωναῖς ἀσήμοις θεολογεῖν, φενακίζειν δὲ μᾶλλον. καίτοι γε Πλάτων

3 εἶχε scripsi: ἔχει libri 10 ἔργον Lobeck: ἀργὸν libri αὐτὴν scripsi: αὐτὸν libri ante οὐ lac. v litt. V 11 τὸν Ἅιδην Lobeck v. 32: ἐν ἅδῃ libri τῶν ἐν οὐρανῷ MV 13 fort. κύκλῳ ⟨διὰ⟩ τῆς δὲ] μέντοι Ma 15 ὑποστᾶσαν MV: ὑπόστασις a 23 post δαιμονίων add. ἢ a 31 ψυχῶν om. a 33 τῷ om. a 36 οὐκ ἄν εἰσιν Va

οὐδὲν εἶναι τὴν Ἥραν ⟨ἢ⟩ τὸν ἀέρα βούλεται. εἰ γὰρ συνεχῶς, φησίν, 104v
ἐπισυνάψεις τὸ Ἥρα, ἐπικαταλαμβάνοντος τοῦ Α τὴν ἀρχὴν τοῦ ὀνό- 30
ματος, τὸ Ἥρα γίνεται ἀήρ, εἰ καὶ συντομώτερον ἐν ὑπερθέσει τοῦ Α
τὸ Ἥρα γίνεται ἀήρ. διὸ καὶ τὸν Ἥφαιστον παρατριβόμενος ὁ ἀὴρ γεννᾷ,
τουτέστι τὸ πῦρ, ⟨καὶ⟩ μήτηρ Ἡφαίστου ἡ Ἥρα. πῶς δὲ οὐκ ἄτοπον αἰσθητοῦ
ὄντος τοῦ γαλαξίου καὶ τούτου τὴν φυσικὴν αἰτίαν ζητούντων εἰς ἀλλη-
γορίαν τρέπεσθαι, δέον τὴν ἄγνοιαν μὴ ἐρυθριᾶν ὁμολογεῖν; καὶ αὐτὸς
γοῦν τοῦ πλάσματος τῆς ἀτόπου θεολογίας αἰσθόμενος ἐπὶ φυσικὴν ἐτρά-
πετο αἰτίαν ἀπίθανον καὶ αὐτήν· εἶναι γάρ φησι τὸν γαλαξίαν τοῦ οὐρανοῦ 35
τινα διάθεσιν ἄφθαρτον, ἀστρῴαν, μικρῶν ἀστέρων πυκνότητι γαλακτίζουσαν.
ἀλλὰ τὸ φῶς τοῦ γάλακτος πολλῷ καὶ οὐ τῶν τυχόντων ἀστέρων ἐστὶ
λαμπρότερον, καὶ οὐκ ἂν ἔλαθεν ἡμᾶς αὐτῶν καὶ τὸ σχῆμα. ἀλλ' ὡς αὐτὸς
τοῦτο ἔχον οὕτως ἀποδείξας μέμφεται τοὺς λέγοντας ὀχήματα εἶναι ψυχῶν
τὸ γάλα· λαμπρὰ γάρ, φησί, καὶ ἀστεροειδὴς ἡ σύστασις αὐτοῦ. τοῦτο
δὲ οὐκ ἀναγκαῖον· καὶ γὰρ οἱ ὀχήματα τῶν ἡμετέρων ψυχῶν ὑποτιθέμενοι
τὸ γάλα τῆς οὐσίας τῶν οὐρανίων αὐτά φασι, διόπερ ἀστροειδῆ καὶ αὐγο- 40
ειδῆ ταῦτα καλοῦσιν, ἀιδίως τῶν ἡμετέρων ἐξημμένα ψυχῶν συνανιόντα
τε αὐταῖς καὶ συγκατιόντα. εἰ δὲ καὶ ψυχῶν ἐστι κατ' αὐτὸν δίοδος
πάντως που μετὰ τῶν ἰδίων ὀχημάτων διατρεχουσῶν, οὐκ οἶδα δι' ἥντινα
αἰτίαν τὴν ὁδὸν ἐκείνην τρίβουσι. καὶ αὐτὸ δέ σου τὸ διαστασιαζόμενον
"διὰ τί δὲ ἀνθρωπίνων καὶ μὴ δαιμονίων ψυχῶν ὁδός, διὰ τί δὲ μὴ πρῶτον
θεῶν;" τεκμήριον τοῦ μηδὲν τούτων εἰδότα λέγειν, ἀλλὰ μόνον τὸ ὑπο-
πίπτον τῇ φαντασίᾳ τοῦ μὴ δοκεῖν ἀγνοεῖν. καίτοι γε ⟨τὸ⟩ τῷ Ἀριστοτέλει 45
καλῶς ἐν τοῖς προοιμίοις εἰρημένον φυλάττειν εὔλογον· "ἐν οἷς τὰ μὲν ἀπο-
ροῦμεν", φησί, "τῶν δὲ ἐφαπτόμεθά τινα τρόπον". διὸ καὶ ἡμεῖς ἐνταῦθα
πέρας τῷ λόγῳ τούτῳ δεδωκότες τοῖς ἑξῆς ἀφ' ἑτέρας ἀρχῆς ἐπίωμεν.

p. 346b10 Περὶ μὲν οὖν τῶν γινομένων ἐν τῷ περὶ τὴν γῆν κόσμῳ
τῷ συνεχεῖ ταῖς φοραῖς εἴρηται, περί τε τῆς διαδρομῆς τῶν
ἀστέρων καὶ τῆς ἐκπιμπραμένης φλογός, ἔτι δὲ περί τε κομη-
τῶν καὶ τοῦ καλουμένου γάλακτος· σχεδὸν γὰρ τοσαῦτά εἰσι τὰ 50
πάθη τὰ φαινόμενα περὶ τὸν τόπον τοῦτον.

Δύο φέρεσθαι κάτωθεν ἀναθυμιάσεις ἐδίδαξε πολλάκις ἤδη πρότερον,
τῶν ὑπὸ σελήνην σωμάτων εἰς αὐτὰς διακρινομένων ἐκ τῆς τῶν οὐρανίων
περιφορᾶς, καὶ μάλιστα τῆς τοῦ ἡλίου κινήσεως, ἐκ τῶν ξηρῶν μὲν τὴν
καπνώδη θερμὴν οὖσαν καὶ ξηράν, ἐκ τῶν ὑγρῶν δὲ τὴν ἀτμιδώδη, μετρίως
μὲν καὶ αὐτὴν οὖσαν θερμὴν ὡς ἐξ ὕδατος ἀναλυθεῖσαν διὰ θερμότητα,

1 ἢ add. Ideler φησίν] Cratyl. p. 404 C 2 post ἀρχὴν add. τὸ ἑξῆς Ma 3 τὸ Ἥρα scripsi: τὸ ἡ libri 4 ὁ om. a 5 καὶ addidi 13 ἔχων Ma 14 ante ἡ add. ἐστιν Ma 24 ἐν τοῖς προοιμίοις] p. 339a2 27 τῶν εἰς τὸ πρῶτον τῶν μετεωρολογικῶν ἀριστοτέλους τῶν εἰς τὰ τρία τὸ τρίτον inser. V: iv vers. vacuos rel. M1: λόγος τρίτος inser. m. rec. M 28 post ταῖς add. ἄνω V, sed cf. p. 119,11 29 ἐκπιμπραμένης V Arist. EFH: ἐμπιπραμένης Ma Arist. N ἔτι δὲ] δὲ om. Arist. E 30 τοσαῦτά εἰσι V: εἰσι τοσαῦτα Arist. E: ἐστι τοσαῦτα Ma Arist. FHN 36 ὡς om. a

ὑγρὰν δ' ὅμως ἔτι καὶ κατὰ | τοῦτο μάλιστα μαχομένην θατέρᾳ· καὶ τὴν 105r
μὲν προτέραν ὡς πυρώδη μᾶλλον μετεωρίζεσθαι καὶ τοῖς κυκλοφορουμένοις
συνάπτειν σώμασιν, ἐξ ἧς ἴσχει τὴν γένεσιν τὸ ὑπέκκαυμα, τὴν δὲ λοιπὴν
ὡς βαρυτέραν ὑφίστασθαι ταύτῃ κατωτέρω τοῦ ὑπεκκαύματος. εἰπὼν οὖν
5 περὶ τῶν ἐκ τῆς προτέρας γινομένων παθῶν τῷ ὑπεκκαύματι, διαττόντων
λέγω, φλογῶν, κομητῶν καὶ τοῦ γάλακτος, μέτεισι νῦν διδάξων τὰ ἐκ τῆς 5
ἑτέρας ἐν τῷ τόπῳ συμβαίνοντα τῷ μετὰ τὸ ὑπέκκαυμα, τουτέστιν ἐν αὐτῷ
τῷ ἀέρι, ὑετῶν, χαλάζης, χιόνος, δρόσου, πάχνης. εἰπὼν δὲ τῶν γινο-
μένων ἐν τῷ κόσμῳ τῷ περὶ τὴν γῆν, ἐπειδὴ μὴ περὶ πάντων τῶν
10 ὑπὸ σελήνην τέως ἐδίδαξεν, ἀλλὰ περὶ μόνων τῶν ἐν τῷ ὑπεκκαύματι
παθῶν, καλῶς προσέθηκε τῷ συνεχεῖ ταῖς φοραῖς, τουτέστι τοῖς κυκλο-
φορουμένοις σώμασιν. οὕτω καλέσας αὐτὰ διὰ τὸ συνεχὲς αὐτῶν καὶ ἀδιά-
κοπον τῆς κινήσεως, ἐπεὶ καὶ τῶν ὑπὸ σελήνην φέρεται τὰ κοῦφα μὲν ἄνω, 10
τὰ βαρέα δὲ κάτω, ἀλλ' οὐ συνεχῶς οὕτως, ὥστε διαλείπειν μηδένα χρόνον·
15 ἔχουσι γὰρ καὶ ἠρεμίαν, ὅταν ἕκαστον ἀπολάβῃ τὸν ἴδιον τόπον. σχεδὸν
δὲ εἶπε τοσαῦτα εἶναι τὰ πάθη ὡς πρὸς τὰς ἐκ τῶν σχημάτων γινομένας
ἔν τε κομήταις καὶ ἐν ταῖς ἐκπυρώσεσι· δαλῶν μὲν γὰρ ἐπὶ ταύταις
ἐμνήσθη καὶ αἰγῶν, εἰκὸς δὲ πρὸς τὴν θέσιν τῆς ἐξαπτομένης ἀναθυμι-
άσεως καὶ ἕτερα πλείονα γίνεσθαι σχήματα, καὶ ἐπὶ κομητῶν ὁμοίως.

20 p. 346b16 Περὶ δὲ τοῦ τῇ θέσει μὲν δευτέρου τόπου μετὰ τοῦτον, 15
πρώτου δὲ περὶ τὴν γῆν λέγωμεν· οὗτος γὰρ κοινὸς ὕδατός τε
τόπος καὶ ἀέρος καὶ τῶν συμβαινόντων περὶ τὴν ἄνω γένεσιν
αὐτοῦ.

Ὅλος γὰρ ὁ μετὰ τὸ ὑπέκκαυμα τόπος μέχρι γῆς κοινός ἐστιν ἀέρος
25 τε καὶ ὕδατος. καὶ γὰρ ἐν μὲν ἀέρι συνίσταται ὕδωρ ὡς ὑετὸς καὶ ἐν
ὕδασιν ἀήρ, ὡς αἱ ἐν τούτοις γινόμεναι δηλοῦσι πομφόλυγες. καὶ μέχρι
τῶν ἐπιφανειῶν τῆς τε γῆς καὶ τοῦ ὕδατος ὁ ἀὴρ διατέταται. διδάξει δὲ
καὶ τὰ περὶ τὸν ἀέρα καὶ τὸ ὕδωρ συμβαίνοντα πάθη, καὶ ἔτι περὶ γῆν 20
καὶ ὑπὸ γῆν. ἀλλ' ἐπειδὴ νῦν περὶ μόνων τῶν ἐν ἀέρι γινομένων ἐστὶν
30 ἡ πρόθεσις, ἀναγκαίως προσέθηκε καὶ τῶν συμβαινόντων περὶ τὴν
ἄνω γένεσιν αὐτοῦ· ὑετοὶ γὰρ καὶ χιόνες καὶ χάλαζαι καὶ δρόσοι καὶ
πάχναι, περὶ ὧν ἐδίδαξε νῦν, ἐν τοῖς μέρεσι τοῦ ἀέρος τοῖς μετεωρο-
τέροις συμβαίνουσιν· ὧν τὰς ἀρχὰς καὶ τὰς αἰτίας διδάξαι βούλεται.

p. 346b20 Ἡ μὲν οὖν ὡς κινοῦσα καὶ κυρία καὶ πρώτη τῶν ἀρχῶν
35 ὁ κύκλος ἐστίν, ἐν ᾧ φανερῶς ἡ τοῦ ἡλίου φορὰ διακρίνουσα 25
καὶ συγκρίνουσα τῷ γίνεσθαι πλησίον ἢ πορρώτερον αἰτία τῆς
γενέσεως καὶ τῆς φθορᾶς ἐστι.

Κινοῦσαν αἰτίαν καὶ ἀρχὴν εἴωθε λέγειν τὴν ποιητικήν· ταύτην δὲ

---

3 τὸ om. a 6 λέγω om. M 8 πάχνης δρόσου coll. a 16 εἶπε scripsi: εἰπεῖν libri post γινομένας fort. addendum διαφορὰς 25 τε om. Mr 28 καὶ post ἀέρα om. a

εἶναι τὸν κύκλον. καὶ κύκλον δὲ λέγοι ἂν ἢ καθόλου τὴν τῶν οὐρανίων 105ʳ
κυκλοφορίαν ἢ κύκλον τὸν ζῳδιακόν, ὡς καὶ τὸ ἐπαγόμενον ἐδήλωσεν· ἐν
ᾧ, φησί, φανερῶς ἐστιν ἡ τοῦ ἡλίου φορὰ διακρίνουσα τὰ ὑπὸ σελήνην
σώματα καὶ συγκρίνουσα. πλησιάζων μὲν γὰρ θερμαίνει τὰ οἷς ἐπλησίασε, 30
καὶ τῇ θερμότητι διακρίνει πάντως ἐκ παχυτέρων λεπτύνουσα, οὐ τὰ ὑγρὰ
μόνον εἰς ἀτμούς, ὡς καὶ ἐπὶ τῶν ἑψομένων ὑγρῶν ὁρῶμεν γινόμενον,
ἀλλὰ καὶ τὰ ξηρά, λέγω τὴν γῆν, ἀναθυμιῶσα· καὶ τοῦτο πάλιν ἐπὶ τῶν
θυμιωμένων ἁπάντων φαίνεται συμβαῖνον· ἀφιστάμενος δὲ τοὐναντίον ψύχει
καὶ συγκρίνει τὰ διακεκριμένα καὶ εἰς παχύτερα μεταβάλλει, παλινδρομούσης
αὐτῶν τῆς μεταβολῆς ὁμοίως τῇ κινήσει τοῦ μεταβάλλοντος. καλῶς δὲ 35
κυρίαν καὶ πρώτην εἶπεν ἐκείνην· προσεχὴς γὰρ καὶ δευτέρα τῶν μὲν ἐν
τῷ ἀέρι θερμότης ἐκ τοῦ πλησιάζειν τὸν ἥλιον γινομένη, τῶν δὲ ἡ ψῦξις
ἐκ τοῦ πάλιν αὐτὸν διεστάναι τούτων καὶ ἣν ἔδωκε παρὼν ἀφαιρεῖσθαι
θερμότητα. ἐπεὶ οὖν καὶ τῶν προσεχεστέρων αἰτιῶν ἡ κυκλοφορία ἐστὶν
αἴτιον, εἰκότως πρώτην αὐτὴν τῶν ἀρχῶν εἴρηκεν. ἢ πρώτην ἁπλῶς
ἀκουστέον ὡς ποιητικήν, ἐπεὶ καὶ ἡ ὕλη αἰτία ἐστὶ καὶ ἀρχή, ἀλλ' οὐ
πρώτη ἀλλὰ δευτέρα ὡς συναιτία. καὶ γὰρ τῆς γενέσεως τοῦ οἴκου φέρε 40
καὶ ἡ ὕλη αἰτία, λίθοι καὶ ξύλα καὶ τὰ σὺν αὐτοῖς, καὶ ὁ οἰκοδόμος, ἀλλὰ
πρώτη ὁ οἰκοδόμος, ἐκεῖνα δ' ὡς συναίτια δεύτερα. καὶ αὐτὴν γὰρ τὴν
ὕλην τὸ ποιητικὸν αἴτιον προπαρασκευάζει· οὐ γὰρ ἁπλῶς λίθοι καὶ ξύλα
τῆς οἰκίας εἰσὶν ὕλη, ἀλλὰ τὰ τοιῶσδε παρασκευασθέντα. οὕτως οὖν καὶ
τῶν ἐν τῷ μετεώρῳ γινομένων οὐχ ὕλη προσεχὴς τὰ ὑγρὰ καὶ ξηρὰ σώ-
ματα, ἀλλὰ τὰ τοιῶσδε συγκρινόμενα τούτων ἢ διακρινόμενα. συγκρίσεως
δὲ καὶ διακρίσεως θερμότης αἴτιον καὶ ψῦξις, τούτων δὲ πλησιάζων ὁ ἥλιος 45
καὶ ἀφιστάμενος, τοῦ δὲ πλησιάζειν τὸν ἥλιον καὶ ἀφίστασθαι καὶ ἡ ἐπὶ τοῦ
ζῳδιακοῦ φορὰ τούτου καὶ κίνησις. πρῶτον οὖν αἴτιον ὁ κύκλος, πρῶτον
δὲ ὡς ἐν φυσικοῖς δηλονότι· εἰ γάρ τις καὶ ἐπὶ τὴν αἰτίαν τῆς κύκλῳ
κινήσεως ἀναδράμοι, τὸ ἐξῃρημένον αἴτιον ζητεῖ καὶ οὐ φυσικόν· φυσικοῦ
δὲ φυσικὰς αἰτίας ἀποδιδόναι. εἰπὼν δὲ πάλιν ἡ τοῦ ἡλίου φορὰ δια-
κρίνουσα καὶ συγκρίνουσα τῷ γίνεσθαι πλησίον ἢ πορρώτερον,
καὶ ὀφείλων ἐπαγαγεῖν αἰτία τῶν ἐν τοῖς μετεώροις ἐστὶ παθῶν, περὶ ὧν 50
καὶ ἡ προκειμένη φυσιολογία, ἐπὶ τὸ καθολικώτερον ἀναδραμὼν φησιν
αἰτία τῆς γενέσεώς ἐστι καὶ τῆς φθορᾶς· οὐ γὰρ μόνον τούτων
περὶ ὧν ὁ λόγος, ἀλλὰ καὶ πάσης γενέσεως ἁπλῶς καὶ πάσης φθορᾶς
ἐστιν αἰτία. πλησιάζων μὲν γὰρ τῆς γενέσεώς ἐστιν αἴτιος· ἡ γὰρ τῶν
καρπῶν γένεσις τότε πλήθει καὶ τὸ οἰκεῖον ἀπολαμβάνει τέλος, λέγω
δὴ τὸ εἶδος, ἕκαστον τὸ ἑαυτοῦ (καὶ τὰ ζῷα γὰρ τότε μάλιστα ζῳογονεῖ)
ἢ ὅτι ἐκ τῶν καρπῶν τροφαί, ἐκ | δὲ τούτων ζωή, καὶ τὸ σπέρμα τὸ τῆς 105ᵛ
διαδοχῆς αἴτιον· ἀφιστάμενος δὲ φθορὰν ποιεῖ· φθίνει γὰρ τότε πάντα
σχεδὸν καὶ τῆς βλάστης καὶ τῆς γενέσεως παύεται. ὡς γὰρ τὸ θερμὸν
ζωῆς, οὕτω τὸ ψυχρὸν φθορᾶς ἐστιν αἴτιον. εἰ δὲ βούλει καθολικώτερον
καὶ ἀνενδοίαστον ποιῆσαι τὸν λόγον, λέγε τὸν ἥλιον πλησιάζοντα μὲν γενέ-

12 ἡ ψῦξις iterat V 36 τότε] τῷτε Ma

σεως αἴτιον, διότι τὰ παχύτερα τότε καὶ βαρύτερα σώματα εἰς λεπτότερα 105ᵛ
μεταβάλλει καὶ κοῦφα, ἀφιστάμενον δὲ φθορᾶς· τοὐναντίον γὰρ εἰς παχύ- 5
τερα καὶ βαρέα τὰ λεπτομερῆ καὶ κοῦφα μεταποιεῖ. τὰ μὲν γὰρ κοῦφα
καὶ λεπτὰ ἔξωθεν περιεκτικά ἐστι τῶν βαρέων καὶ οἷον συνέχει ταῦτα, τὸ
5 δὲ συνέχον καὶ κοσμοῦν εἶδός ἐστι, τὸ δὲ συνεχόμενον ὕλη· γένεσις δέ ἐστιν
ἐπὶ τὸ εἶδος ἐκ τῆς ὕλης μεταβολή, φθορὰ δ' ἡ ἐκ τοῦ εἰδοποιημένου
εἰς τὴν ὕλην ἀνάλυσις. διόπερ ἡ μὲν ἀπὸ τῶν βαρυτέρων ἐπὶ τὰ κουφότερα μεταβολὴ ἀνάλογόν ἐστι γενέσει, ἡ δὲ τοὔμπαλιν τῶν κουφοτέρων εἰς 10
τὰ βαρύτερα φθορᾷ. δυνατὸν δὲ τὸ αἰτία τῆς γενέσεως καὶ τῆς φθορᾶς
10 διὰ τὸ ἄρθρον μὴ καθολικῶς ἀκούειν πάσης γενέσεως καὶ φθορᾶς, ἀλλὰ
ὑετοῦ, χιόνος καὶ τῶν λοιπῶν. τοῦτο δὲ οἶμαι καὶ διὰ τῶν ἐπαγομένων
ἐδήλωσεν εἰπών·

p. 346ᵇ23 Μενούσης δὲ τῆς γῆς τὸ περὶ αὐτὴν ὑγρὸν ὑπὸ τῶν
ἀκτίνων καὶ ὑπὸ τῆς ἄλλης τῆς ἄνωθεν θερμότητος ἀτμι-
15 ζούμενον φέρεται ἄνω· τῆς δὲ θερμότητος ἀπολειπούσης τῆς 15
ἀναγούσης αὐτό. καὶ τῆς μὲν διασκεδαννυμένης πρὸς τὸν
ἄνω τόπον, τῆς δὲ καὶ σβεννυμένης διὰ τὸ μετεωρίζεσθαι
πορρώτερον εἰς τὸν ὑπὲρ τῆς γῆς ἀέρα, συνίσταται πάλιν ἡ
ἀτμὶς ψυχομένη διά τε τὴν ἀπόλειψιν τοῦ θερμοῦ καὶ τὸν
20 τόπον, καὶ γίνεται ὕδωρ ἐξ ἀέρος· γενόμενον δὲ φέρεται πάλιν
πρὸς τὴν γῆν.

Ἐπειδὴ τὴν τοῦ ἡλίου φορὰν αἰτίαν τῆς γενέσεως καὶ τῆς φθορᾶς
εἴρηκε τῶν ἐν τῷ ἀέρι γινομένων παθῶν περὶ ὧν ὁ λόγος, πῶς αἰτία 20
ἐστί, λέγει νῦν. εἰ δὲ ἐν τοῖς ἔμπροσθεν καὶ τὴν γῆν εἶπεν ὑπὸ τῆς
25 θερμότητος διακρινομένην τὴν ξηρὰν γεννᾶν ἀναθυμίασιν, πῶς ἐνταῦθά
φησι μενούσης δὲ τῆς γῆς τὸ περὶ αὐτὴν ὕδωρ ἀτμιδούμενον φέρεσθαι
ἄνω, ὡς αὐτῆς μὴ διακρινομένης καὶ φερομένης ἄνω; εἰ γὰρ τὸ μενούσης
ἀκούσειέ τις κατὰ τὴν ὁλότητα, καὶ τὸ ὕδωρ οὐδὲν ἧττον κατὰ τὴν ὁλότητα μένει τὴν αὐτοῦ. μήποτε οὖν ἐπειδὴ φθάσας ἐδίδαξε περὶ τῶν ἐκ
30 τῆς ξηρᾶς ἀναθυμιάσεως γινομένων παθῶν, νῦν δὲ ⟨περὶ⟩ τῶν ἀπὸ τῆς ὑγρᾶς 25
μόνης συμβαινόντων διδάξαι βούλεται, διὰ τοῦτο τὴν γῆν ὑπέστειλε τοῦ λόγου.
μενούσης οὖν τῆς γῆς ἀκουστέον οἱονεὶ τῷ λόγῳ καὶ ἐν ὑποθέσει νῦν
μενούσης ἀμεταβλήτου. τὸ οὖν περὶ τὴν γῆν ὑγρόν, φησίν, ὑπὸ τῶν ἀκτίνων
καὶ ὑπὸ τῆς ἄλλης τῆς ἄνωθεν θερμότητος ἀτμιδούμενον φέρεται
35 ἄνω. πῶς μὲν ἡ ἐκ τῶν ἀκτίνων γίνεται θερμότης, ἐδίδαξεν, ὅτι ὁ ἐναπολαμβανόμενος μεταξὺ τῆς ἀνακλάσεως αὐτῶν ἀὴρ τῇ ἐξ αὐτῶν κινήσει τε

9 φθορᾷ scripsi: φθορά libri 14 post θερμότητος add. διακρινόμενον καὶ Ma, cademque in marg. adscr. V, sed cf. v. 34 14. 15 διατμιδούμενον a 15 ἀπολειπούσης VMa Arist. HN: ἀπολιπούσης Arist. EF 16 ἀναγαγούσης Arist. HN 17 καὶ M Arist. EHN: supra v. add. V: om. a Arist. F 18 ἡ om. Ma 30 περὶ addidi 31 ὑπέστηλε a 33 μενούσης] μὲν οὔσης Ma

καὶ παρατρίψει θερμαίνεται, οἷόν τι πάσχει καὶ ὁ ἐν τοῖς λίθοις, ἐξ ὧν 105v
ἅπτουσι τὸ πῦρ. ἐναπολαμβανόμενος ὑπ' αὐτῶν καὶ τῇ ἐξ αὐτῶν παρα- 31
τρίψει λεπτυνόμενος. καὶ ὁ μεταξὺ πάλιν τῶν ἀνακλωμένων ἀκτίνων ἐξ
ὕδατος ἢ τῶν πυρείων ἢ ἄλλων τινῶν λείων καὶ στεατίνων σωμάτων.
ποίαν δὲ ἄλλην ἄνωθεν θερμότητά φησιν ἢ τὴν κατὰ ποιότητα τοῖς ἐφεξῆς
σώμασιν ἐξ ἡλίου καὶ τῶν ἄστρων μεταδιδομένην; καὶ γὰρ ἐκ πυρὸς μετα-
δίδοται θερμότης τοῖς ἐφεξῆς σώμασιν, ὡς ἐπὶ τῶν ἑψομένων πρῶτον τῷ 35
λέβητι, εἶτα ἐκ τούτου τοῖς μετ' αὐτὸν ὑγροῖς ἢ ξηροῖς, καὶ ἐπὶ τῶν βαλα-
νείων πρῶτον ταῖς πλίνθοις, εἶτα τῷ μετ' αὐτὰς ἀέρι κἀκ τούτου τοῖς ὑπ'
αὐτοῦ περιεχομένοις σώμασι. τοῦτο δὲ θερμῆς ἄντικρυς οὐσίας τὸν ἥλιον
καὶ τὰ ἄστρα δείκνυσι, καὶ διὰ τοῦτο τῆς τοῦ πυρὸς οὐσίας κατὰ Πλάτωνα
καὶ οὐ πέμπτης, ὡς Ἀριστοτέλει δοκεῖ, εἰ μή τις ἄνωθεν λέγοι θερμότητα
τὴν ἀπὸ τοῦ ὑπεκκαύματος τῷ ἀέρι μεταδιδομένην· καὶ γὰρ ἐξ ὕδατος καὶ
γῆς κάτωθεν ψύξεως μεταλαγχάνει. μετὰ οὖν τὸ ἀπενεχθῆναι, φησί, τὴν 40
ἀτμίδα καὶ πόρρω γενέσθαι τῆς γῆς ἀπολιμπάνει αὐτὴν ἡ θερμότης καὶ
ψύχεται. ἀπολιμπάνει δὲ κατὰ δύο τρόπους. ἡ μὲν γὰρ αὐτῆς διακρινο-
μένη τῆς συναναφερομένης ὑδατώδους οὐσίας βαρείας οὔσης σκεδάννυται
καὶ ἀκωλύτως τῇ ἐμφύτῳ κουφότητι ἐπὶ τὴν ἑαυτῆς ὁλότητα φέρεται τὸ
ὑπέκκαυμα, ἡ δὲ ὑπολειπομένη βραχεῖα οὖσα δηλονότι καὶ ἄτονος διὰ τὸ
μετεωρισθῆναι πόρρω τῆς γῆς ὡς ἐν ψυχρῷ γινομένη τόπῳ σβέννυται παν- 45
τελῶς. ὁ γὰρ τόπος ἐκεῖνος, ὡς εἶπεν ἤδη καὶ μετ' ὀλίγον ἐρεῖ, ψυχρός
ἐστιν. εἰς ἀχανὲς τῶν ἀνακλασθεισῶν ἀκτίνων διεσταμένων καὶ θερμαίνειν
τὸν μεταξὺ ἀέρα πολὺν ὄντα τῇ κινήσει τε καὶ παρατρίψει μηκέτι δυνα-
μένων. καὶ διὰ τὴν ἀπόλειψιν οὖν τοῦ θερμοῦ καὶ διὰ τὸν τόπον ἐκεῖνον
ἡ ἀτμὶς ψυχομένη γίνεται πάλιν ὕδωρ ἐξ ἀέρος, καὶ τὸ γενόμενον κάτω
φέρεται. ὡς γὰρ διὰ τὴν θερμότητα ὁ ἐξ ὕδατος μανωθέντος ἀτμὸς
ἤλατο πρὸς τὸ μετέωρον, οὕτως ἔμπαλιν ἡ ἀτμὶς ἄνω ψυχθεῖσα καὶ πε-
πυκνωμένη παλινδρομεῖ πρὸς τὰ βαρέα τῶν σωμάτων, τὴν γῆν καὶ τὸ ὕδωρ.

p. 346b32 Ἔστι δὲ ἡ μὲν ἐξ ὕδατος ἀναθυμίασις ἀτμίς, ἡ δὲ ἐξ 50
ἀέρος εἰς ὕδωρ νέφος.

Ἀπορήσειεν ἄν τις εἰκότως ἐν τούτοις, εἰ τὸ ὕδωρ καὶ ὁ ἀὴρ εἰς
ἄλληλα μεταβάλλουσι, διὰ τί μὴ τὸ μεταξὺ τούτων ἕν ἐστι καὶ ἡ ὁδὸς ⟨ἡ⟩
αὐτὴ καὶ μία, ἀλλ' εἰ μὲν τὸ ὕδωρ εἰς ἀέρα μεταβάλλει, διὰ μέσης με|τα- 106r
βάλλει τῆς ἀτμίδος (δεῖν γὰρ αὐτό φησι πρότερον λεπτυνόμενον ἀτμίδα
γενέσθαι, εἶθ' οὕτως ἐκ ταύτης ἀέρα), εἰ δὲ τοὔμπαλιν ὁ ἀὴρ γένοιτο ὕδωρ,
οὐκ ἀτμὶς πρότερον ὁ ἀὴρ ἀλλὰ νέφος γίνεται. μίαν γὰρ εἶναι δεῖ τὴν
μεταξὺ τῶν ἐναντίων ὁδὸν τῶν μεταχωρούντων εἰς ἄλληλα. οἷον εἰ τὸ
θερμὸν εἰς ψυχρὸν μεταβάλοι, οὐκ ἀθρόον ἐκ τοῦ ἄκρως θερμοῦ γίνεται

4 πυρείων a 6 ἐξ ἡλίου — σώμασιν (7) om. V 8 ἢ ξηροῖς om. a
21 ἐκεῖνος] οὕτος V 24 ἀπόληψιν a 26 φέρεται] φερόμενον Ma
27 ἤλλατο VM 32 ἡ post ὁδὸς addidi

ψυχρόν, ἀλλὰ δεῖ πρῶτον αὐτὸ γενέσθαι χλιαρόν, εἶτα ἐκ τούτου ψυχρὸν 106r
εἰλικρινές· ὁμοίως καὶ εἴ τι ψυχρὸν γίνοιτο θερμόν, πρότερον γίνεται χλια- 6
ρόν. πάλιν εἰ τὸ λευκὸν καὶ τὸ μέλαν ἀντιμεταβάλλοιεν εἰς ἄλληλα, δεῖ
τὸ μεταξὺ τῆς ἑκατέρου μεταβολῆς εἰς θάτερον τὸ αὐτὸ εἶναι χρῶμα, οἷον
5 τὸ φαιόν. καὶ εἰ τὸ ἄνω καὶ τὸ κάτω τοὺς τόπους ἀντιπαραχωροῖεν ἀλ-
λήλοις, διὰ τοῦ μέσου τοὺς ἀλλήλων ἀντιμεταλήψονται τόπους. πῶς οὖν
ἐπὶ τῆς εἰς ἄλληλα μεταβολῆς ἀέρος τε καὶ ὕδατος οὐχ ἓν τὸ μεταξύ, ἀλλ'
ὕδωρ μὲν εἰς ἀέρα μεταβάλλον διὰ μέσης ἀτμίδος, ἀλλὰ διὰ νέφους μέσου 10
γίνεται ὕδωρ; πρὸς ταῦτα τοίνυν ἐροῦμεν ὡς καὶ ἡ ἐξ ἀέρος εἰς ὕδωρ μετα-
10 βολὴ πρῶτον ἀτμίδα ποιεῖ παχυνομένου τοῦ ἀέρος μετρίως. καὶ ἡ ἀτμὶς
ἐπὶ πλεῖον παχυνομένη γίνεται ὕδωρ, τὸ δὲ νέφος οὐχ ἑτέρας οὐσίας ἐστὶ
γένεσις, ἀλλὰ πολλῆς ἀτμίδος σύγκρισίς τε καὶ σύστασις. διὰ τί οὖν μὴ
καὶ ἐπὶ τῆς ἐξ ὕδατος εἰς ἀέρα μεταβολῆς ἡ γενομένη ἀτμὶς εἰς νέφος
συγκρίνεται πρότερον, ἀλλ' εὐθὺς ἐξαεροῦται λεπτυνομένη; φημὶ τοίνυν ὡς 15
15 ἡ ἐξ ὕδατος κάτω γινομένη ἀτμὶς κατὰ βραχὺ γινομένη κάτω μένειν οὐκ
ἀνέχεται, ἕως ἂν πολλῆς γενομένης ἀτμίδος ἅπασα συγκριθῇ καὶ γένηται
νέφος, ἀλλ' εὐθέως μετεωρίζεται.

* * *

p. 348a20 Συμβαίνει δ' ἐν τοῖς σφόδρα ὑψηλοῖς ἥκιστα γίνεσθαι
χάλαζαν· καίτοι ἔδει, ὥσπερ καὶ τὴν χιόνα ὁρῶμεν ἐπὶ τοῖς
20 ὑψηλοῖς μάλιστα γινομένην.

Ἐντεῦθεν λοιπὸν τῆς Ἀναξαγορείου δόξης ὁ ἔλεγχος, καὶ τέως ὅτι 20
τοῖς φαινομένοις ἡ ὑπόθεσις μάχεται. οὐδὲ γὰρ ἐν τοῖς ὑψηλοτάτοις τόποις
ὦπται γινομένη χάλαζα. καίτοι γε εἰ ἠλήθευεν Ἀναξαγόρας, ἐκεῖ μᾶλλον
αὐτὴν ἔδει συνίστασθαι, ἔνθα καὶ τὸ νέφος ὠθεῖτο· καὶ γὰρ ἡ χιὼν ἐκ
25 τῶν ὑψηλοτέρων ὀρέων κατιοῦσα φαίνεται. ψευδὴς ἄρα ἡ Ἀναξαγόρου
ὑπόθεσις καὶ τοῖς φαινομένοις ἀσύμφωνος.

p. 348a23 Ἔτι δὲ πολλάκις ὦπται νέφη φερόμενα σὺν ψόφῳ πολλῷ
παρ' αὐτὴν τὴν γῆν, ὥστε φοβερὸν εἶναι τοῖς ἀκούουσι καὶ 25
ὁρῶσιν ὡς ἐσομένου τινὸς μείζονος. ὁτὲ δὲ καὶ ἄνευ ψόφου τοι-
30 ούτων ὀφθέντων νεφῶν χάλαζα γίνεται πολλὴ καὶ τὸ μέγεθος
ἄπιστος, καὶ τοῖς σχήμασιν οὐ στρογγύλη, διὰ τὸ μὴ πολὺν χρόνον
γίνεσθαι τὴν φορὰν αὐτῆς ὡς πλησίον τῆς γῆς γενομένης τῆς
πήξεως.

Καὶ ταῦτα πρὸς ἔνδειξιν τοῦ μὴ πόρρω τῆς γῆς, ὡς Ἀναξαγόρᾳ δοκεῖ,

2 γίνεται] γίνοιτο a 8 post μεταβάλλον add. μὴ V ἀλλὰ] fort. ἀὴρ δὲ
10 ἡ om. a 14 ἐξαπλοῦται V 17 εὐθέως scripsi: εὐθὺς ὡς libri post
μετεωρίζεται spat. vac. xx fere litt. M: vers. fere xvi fol. 336v et totum fol. 337 vac.
rel. V: Ἐνταῦθα πολλὰ ἐκλείπει add. a 18 Συμβαίνει δ' ἐν om. M 19 post
ἔδει add. γίνεσθαι Ma 21 ἔδει αὐτὴν coll. Ma 29 δὲ om. V 29. 30
τοσούτων Ma 32. 33 γενομένης τῆς πήξεως τῆς γῆς coll. Ma

τὴν χάλαζαν γίνεσθαι. ὥφθη γάρ, φησί, πολλάκις περιγειότατα νέφη μετὰ 106r
πολλοῦ κτύπου φερόμενα. δηλονότι βροντῶν ἐξαισίων γινομένων, ὡς ἐκδει- 30
ματῶσαι τοὺς ἀκούοντας καὶ ἐλπίδος ὑποθεῖναι διὰ τὸ δέος ὡς χαλεπῶν
τινων ἐσομένων. καὶ χωρὶς δὲ κτύπου τῶν τοιούτων νεφῶν ὀφθέντων
5 περὶ τὴν γῆν ἐπηκολούθησεν εὐθέως χάλαζα τηλικαύτη τὸ μέγεθος, ὡς
ἄπιστον εἶναι τοῖς ἀκούουσι. καὶ τὸ σχῆμα ταύτης οὐ στρογγύλον. ταῦτα
δὲ πάντα σημεῖα τοῦ πλησίον τῆς γῆς αὐτὴν συστῆναι· ὁ γὰρ πολὺς κτύπος
τὴν ἐγγύτητα σημαίνει τοῦ νέφους. πόρρωθεν γὰρ τῆς πρώτης γινομένης
πληγῆς καὶ τῆς διαδόσεως κατὰ μέρος φερομένης πρὸς ἡμᾶς ἐκλύεται τῷ 35
10 διαστήματι τὸ μέγεθος τοῦ ψόφου, ὡς καὶ τῶν ὁρατῶν ἡ ἀντίληψις διὰ
πολλοῦ γινομένη τοῦ μεταξὺ διαφανοῦς ἀμβλύνεται προϊοῦσα· οὔτε γὰρ τὸ
διαφανὲς ἐπὶ πολὺ διαβιβάζειν τὰ χρώματα δύναται οὔτε τὸ διηχὲς τοὺς
ψόφους. καὶ τὸ μέγεθος δὲ καὶ τὸ μὴ στρογγύλον ἔχειν τὸ σχῆμα τὴν
περὶ τὴν γῆν αὐτῆς σημαίνει γένεσιν. ῥᾳδία γὰρ αὐτῆς ἡ διάλυσις, ἅτε
15 δὴ καὶ θερμοτέρου τοῦ καιροῦ ἢ τῆς χώρας οὔσης· εἰ μὲν οὖν πόρρωθεν
φέροιτο, εἰκὸς αὐτῆς τινα μέρη τὰ ἐξέχοντα παραναλίσκεσθαι, καὶ τῆς ἐξ 40
ἀρχῆς συστάσεως ἐλάττονα γίνεσθαι, ἐξ ὀλίγου δὲ τοῦ διαστήματος ἄθραυ-
στος μένουσα μείζων φαίνεται. τὸ αὐτὸ καὶ τοῦ μὴ στρογγύλην ὑπάρχειν
αἴτιόν ἐστι. πόρρωθεν γὰρ πολλὴν ὁδὸν διανύουσα, τῶν ἄκρων αὐτῆς τῇ
20 πρὸς τὸν ἀέρα τρίψει θραυομένων, σφαιροῦται ὡς ὁ ἐξ ὄρους κορυφῆς
ὠθούμενος ὑφ' ὁτουοῦν λίθος καὶ τῇ φορᾷ τὰ ἄκρα πάντοθεν περιθραυ-
σθεὶς καὶ γενόμενος καθ' Ὅμηρον ὁλοοίτροχος, καὶ οἱ ἐν θαλάσσῃ ταῖς
παλιρροίαις φερόμενοι λίθοι· ἐξ ὀλίγου δὲ κινηθεῖσα μένει ἀπαθὴς ὡς 45
συνέστη τὴν ἀρχήν, μὴ γενομένη περιφερής. καὶ αὐτὴ δὲ τῆς ὄψεως
25 ἡμῶν ἡ ἀντίληψις κρίνειν τὰ περιγειότερα τῶν νεφῶν οὐκ ἀδύνατος, ὅτε
καὶ τούτων ἄλλα ἄλλοις τὰ μὲν ἐπικείμενα, τὰ δὲ ὑποτρέχοντα φαίνεται,
ἀλλ' οὐχ ὥσπερ ἐκεῖνοί φασιν.

p. 348a30 Ἀλλὰ μὴν ἀναγκαῖον ὑπὸ τοῦ μάλιστα αἰτίου τῆς πήξεως μεγίστας γίνεσθαι χαλάζας.

30 Ἐδείχθη διὰ τῶν εἰρημένων ὅτι πλησίον τῆς γῆς ἡ τῆς χαλάζης
γίνεται σύστασις καὶ οὐχ, ὡς οἱ περὶ Ἀναξαγόραν, εἰς τὸν ἄνω τόπον. εἰ 50
γὰρ ὁ ἄνω τόπος ὡς ψυχρότερος ἐποίει χάλαζαν, ἐχρῆν ἐκ τοῦ μᾶλλον
ἄνω πολλήν τε καὶ μείζονα γίνεσθαι· ὅσῳ γὰρ τῷ αἰτίῳ καὶ ποιητικῷ
τὸ γινόμενον πλησιάζει, τοσούτῳ γίνεται μᾶλλον. νῦν δὲ τοὐναντίον φαί-
35 νεται συμβαῖνον· ἐκ γὰρ τῶν περιγειοτέρων πλείους τε καὶ μείζους γίνονται
χάλαζαι καὶ οὐ στρογγύλαι, διὰ τὸ μὴ περιθραύεσθαι κατιούσας· τοῦτο δὲ
διὰ τὸ μὴ πολλὴν διάστασιν φέρεσθαι. οὕτως ἐλέγξας τὴν Ἀναξαγόρου
δόξαν αὐτὸς λοιπὸν τὰ αὐτῷ περὶ τούτων δοκοῦντα διδάσκει. |

5 τηλικαύτη δὲ μέγεθος a 14 ἡ om. Ma 18 στρογγύλον a 22 καθ' Ὅμηρον] Il. N 137 ὁλότροχος libri 22. 23 ταῖς παλιρροίαις scripsi: τῆς παλιρροίας libri 24 καὶ αὕτη Ma 29 μεγίστας V Arist. FHN: μεγάλας Ma Arist. E

p. 348b2 Ἀλλ' ἐπειδὴ ὁρῶμεν ὅτι γίνεται ἀντιπερίστασις τῷ 106v
θερμῷ καὶ τῷ ψυχρῷ ἀλλήλοις, διὸ ἔν τε ταῖς ἀλέαις ψυχρὰ
τὰ κάτω τῆς γῆς καὶ ἀλεεινὰ ἐν τοῖς πάγοις, τοῦτο δεῖ νομίζειν
καὶ ἐν τῷ ἄνω γίνεσθαι τόπῳ, ὥστε ἐν ταῖς ἀλεεινοτέραις ὥραις
5 ἀντιπεριιστάμενον εἴσω τὸ ψυχρὸν διὰ τὴν κύκλῳ θερμότητα
ὁτὲ μὲν ταχὺ ὕδωρ ἐκ νέφους ποιεῖ, ὁτὲ δὲ χάλαζαν. διὸ καὶ
αἱ ψεκάδες πολὺ μείζους ἐν ταῖς ἀλεεινᾶῖς γίνονται ἡμέραις ἢ 5
ἐν τῷ χειμῶνι, καὶ ὕδατα λαβρότερα· λαβρότερα μὲν γὰρ γίνεται,
ὅταν ἀθροώτερα, ἀθροώτερα δὲ διὰ τὸ τάχος τῆς πυκνώσεως.

10 Ἀξίωμά τι προείληφε τῆς αἰτίας τῶν συμβαινόντων ἐπὶ χαλάζης γνώ-
ριμόν τε καὶ αὐτῷ πολλάκις εἰρημένον. ἐν γὰρ τοῖς ὑπὸ σελήνην τόποις
ἐμπολιτευομένων τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ, συμβαίνει ταῦτα διὰ τὴν
μάχην ἀλλήλοις ἀντιπεριίστασθαι· ἅμα γὰρ εἶναι τὰ ἐναντία οὐκ ἐνδέχεται,
διόπερ ἀντιπαραχωρεῖν τοὺς τόπους ἀλλήλοις εἰώθασιν. ἐν μὲν γὰρ τῷ 10
15 θέρει τοῦ περιέχοντος θερμαινομένου τὸ ψυχρὸν εἰς τὸ βάθος τῆς γῆς
ὑποχωρεῖ, ὅθεν τὰ σπήλαια καὶ τὸ ἐν βάθει ὕδωρ λίαν ἐστὶ τότε ψυχρά,
ἐν χειμῶνι δὲ τοὐναντίον κατεψυγμένου τοῦ περιέχοντος ὁ ὑπὸ γῆν ἀὴρ
καὶ τὸ ὕδωρ θερμότερα γίνεται. καὶ ὁ σοφώτατος ποιητὴς τοῖς φαινομένοις
ὁμολογῶν περὶ τοῦ ἐν βάθει φησὶν ὕδατος "τὸ μέν ποθι δυομένῃσι θέρ-
20 μετο Πληιάδεσσιν, ἀμοιβηδὶς δ' ἀνιούσαις κρυστάλλῳ ἴκελον κοίλης ἀνεκήκιε 15
πέτρης." καὶ οὐχ ὡς ἄν τις ὑποτοπήσειε, πρὸς τὴν ἡμετέραν αἴσθησιν
ταῦθ' οὕτως ἔχειν νομίζεται· ὁμοίως γὰρ ἐχόντων ἐκείνων, φαίη τις ἄν,
θέρους τε καὶ χειμῶνος, τῷ μὲν θέρει διὰ τὸ λίαν ἡμᾶς ἐκ τοῦ περι-
έχοντος τεθερμάνθαι ψυχρὰ εἶναι δοκεῖ τὰ ὑπὸ γῆν, ἐν δὲ τῷ χειμῶνι
25 διὰ τὸ λίαν κατεψῦχθαι ἧττον ψυχρὰ εἶναι φαίνεται, ὡς ὁμοίως ἐχόντων 20
ἐκείνων ἐν θέρει τε καὶ ἐν χειμῶνι, ἡμῶν δὲ διὰ τὰ ἐκ τοῦ περιέχοντος
ἡμῖν ἐγγινόμενα πάθη περὶ τὴν ἐκείνων πλανωμένων διάκρισιν. τί οὖν
φαμεν; ὡς ψευδὴς μὲν ἡ τοιαύτη ὑπόνοια, ἀληθὴς δὲ λίαν ἡ ἀντιμετά-
στασις τοῦ θερμοῦ τε καὶ τοῦ ψυχροῦ. ὁρῶμεν γὰρ ἐν χειμῶνι τὰ σπή-
30 λαια καὶ τὰ βαθέα τῶν φρεάτων ἀτμίζοντα φανερῶς, τοῦ ἐν βάθει θερμοῦ
τὸ ἐκεῖσε ὑγρὸν ἐξατμίζοντος. πόθεν γὰρ ἡ τῶν ἀτμῶν ἀνάδοσις, εἰ μὴ
τὸ ἐναποκεκλεισμένον ἐκεῖ θερμὸν αἴτιον ἦν τοῦ γινομένου. ἀλλὰ καὶ ἐπὶ 25
τῶν ζῴων θέρους μὲν τὰ ἔνδον ἐστὶ ψυχρά, χειμῶνος δὲ μᾶλλον θερμό-
τερα, διόπερ ἐν θέρει μὲν ἧττονα τροφὴν προσφερόμεθα καὶ βραδύτερον
35 αὐτὴν πέττομεν καὶ πλημμελέστερον, χειμῶνος δὲ καὶ τροφῇ πλείονι χρώ-

---

2 τε om. Ma 4 ὥραις om. Ma 6 παχὺ Ma ἐκ νέφους V Arist. FHN: post ἐκ add. τοῦ Ma Arist. E ὁτὲ δὲ χάλαζαν om. V Arist. EFH et pr. N
8 γίνεται] λέγεται Arist. EF, sed γίνεται sscr. F 9 ἀθροώτερα semel scr. M
11 αὐτὸ a 12 τοῦ ante θερμοῦ om. a 18 ὁ σοφώτατος ποιητὴς] Apoll. Rh. Arg. III 225 sqq. 19 ποθι Ap.: ποτὶ libri 20 κοίλης Ap.: καλῆς libri
21 οὐχ ὡς] οὐκ a 23 ἐκ τοῦ—λίαν (25) om. V 27 post πλανωμένων add. ἡμῶν a

μεθα καὶ πέττομεν αὐτὴν κατὰ λόγον. ἐντεῦθεν καὶ τὰ βόρεια σώματα 106v
μείζονά τέ ἐστι καὶ ἀκμαιότερα. ἐναποκλειομένου τοῦ ἐμφύτου θερμοῦ διὰ
τὴν ἐκ τοῦ ψυχροῦ γινομένην τῆς ἐπιφανείας τοῦ σώματος αὐτῶν πύκνωσιν.
καὶ πλείονα τὴν πέψιν τῆς τροφῆς καὶ τὴν πρόσθεσιν ποιοῦντος καὶ τὴν 30
5 εἰς μέγεθος ἐπίδοσιν. ἐν ἀκμῇ μὲν οὖν τῆς ἡλικίας ἐρρωμένα λίαν ἐστίν·
ἐπειδὰν δὲ καὶ παρακμάσῃ καὶ ῥέπῃ πρὸς γῆρας, καὶ τὸ ἔμφυτον αὐτῶν
διὰ τοῦτο μειωθείη θερμόν, πολλῆς γινομένης παρ' αὐτοῖς ἐν τῷ χειμῶνι
τῆς φύσεως σβέννυται ῥᾷον. καὶ διὰ τοῦτο ταχέως αὐτῶν καταπίπτει τὰ
σώματα καὶ ἀπόλλυται, καὶ καταγηρῶντας λίαν ἐν αὐτοῖς ἐστι σπάνιον εὑρεῖν.
10 ὅθεν καὶ παροιμία τις ἐπιχωριάζει παρ' ἡμῖν ἐπὶ τῶν οὐκ ἀγαθὸν κτη-
σαμένων τὸ † πέρας "τὰ πρὸς ἐσχάτην Γότθου πεποίηκε". Γότθους γὰρ 35
τοὺς βορείους πάντας βαρβάρους προσαγορεύειν εἰώθασιν. οὕτω δὲ ἐν
χειμῶνι τὸ βάθος ἡμῶν ἐστι θερμότερον, ὥστε καὶ πολλοὺς ἔνδοθεν διὰ τοῦ
στόματος ἡμῶν ἐξιόντας τοὺς ἀτμοὺς ὁρῶμεν καὶ ἐκ τῶν διαχωρημάτων
15 καπνὸς ἀναδίδοται πολύς, ὅπερ ἐν θέρει μὴ γίνεται. οὐκοῦν παναληθές
ἐστι τὸ ἀντιπερίστασθαι τὸ ψυχρὸν ἀλλήλοις καὶ τὸ θερμόν. ἄξιον δὲ καὶ
τεχνικώτερον ταύτην θεωρῆσαι τὴν ἀντιπερίστασιν, καὶ τί τὸ γινόμενον συν- 40
ιδεῖν καὶ ὅπως γίνεται. οὐ δεῖ νομίζειν ὡς τὸ ἐν τῷ βάθει θερμὸν αὐτό,
λέγω τὸ τῷ ὑπὸ γῆν ἱδρυμένον σώματι, ἐν θέρει τὸ ἴδιον ὑποκείμενον
20 ἐᾶσαν ἔξω γίνεται καὶ θερμαίνει τὸ περιέχον, τὸ δὲ ἔξω πάλιν ψυχρὸν εἴσω
χωρεῖ καὶ ψύχει τὰ ἐν τῷ βάθει σώματα, καὶ ἐν χειμῶνι τοὔμπαλιν τὸ
μὲν ἔξωθεν θερμὸν ἐν τῷ βάθει μέτεισι, τὸ δὲ ἐν βάθει ψυχρὸν ἔξεισι
καὶ ψύχει τὸν ἐκτὸς ἀέρα. τοῦτο γὰρ τῶν ἀδυνάτων ἐστὶ τὰς ἀχωρίστους
τῶν σωμάτων ποιότητας ἐξ ἑτέρων εἰς ἕτερα μεταβαίνειν ὑποκείμενα· χωρι- 45
25 στὴν γὰρ αὐτῶν τὴν οὐσίαν ἔξουσιν. ἐν τοῖς ἰδίοις γὰρ ὑποκειμένοις ὑφι-
στάμενα ἀνεπιτηδείου τούτου γινομένου φθείρεται. τὸ γινόμενον τοίνυν ἐστὶ
τοιοῦτον· ἐν χειμῶνι πεπυκνωμένου τοῦ τε ἔξωθεν ἀέρος καὶ τῆς ἐπιφανείας
τῆς γῆς, τὸ γενόμενον ἐν τῷ βάθει θερμὸν διὰ τὴν συνεχῆ πρὸς ἄλληλα
τῶν στοιχείων ἀντιμεταβολὴν μὴ διαφορούμενον διὰ τὴν τῶν περιεχόντων
30 πύκνωσιν ἀθροίζεται μᾶλλον ἔνδον καὶ πλεῖον γινόμενον θερμαίνει τὸν ὑπὸ
γῆν ἀέρα καὶ τὸ ὕδωρ· ἐν δὲ τῷ θέρει τοὐναντίον ἠραιωμένων τῶν πόρων 50
τῆς γῆς διὰ τὴν ἐξ ἡλίου θερμότητα, τὸ ἐν τῷ βάθει γινόμενον διαφορεῖται
θερμὸν φύσει τὴν ἄνω διῶκον φοράν, τούτου δὲ γινομένου τὸ ὑπολειφθὲν
ἐξ ἀνάγκης ψύχεται. τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐν τοῖς ἡμετέροις γίνεται
35 σώμασιν· ἐν χειμῶνι γὰρ τὸ ἔμφυτον θερμὸν ἔνδον ἀποκλειόμενον διὰ τὴν
ἔξωθεν γινομένην ἐκ τοῦ ψύχους τοῖς σώμασι πύκνωσιν καὶ πλεῖον ἀεὶ διὰ
τοῦτο γινόμενον θερμαίνει τὸ βάθος, καὶ τὰς ἐνεργείας οὕτω τὸ θερμὸν
ἀμέμπτως | ἀποδίδωσι τὰς ἑαυτοῦ· ἐν δὲ τῷ θέρει διὰ τὴν μάνωσιν τῶν 107r
σωμάτων διαφόρητον γίνεται, διὸ τὸ βάθος τῇ ἐνδείᾳ τῇ τούτου ψύχεται ἢ

7 post θερμόν add. καὶ a 11 πέρας] γῆρας Diels τὰ ⟨τοῦ⟩ temptat Diels
ἐσχάτην] sc. γῆν οἰκοῦντος 13 τοῦ om. M 14 στόματος in marg. add. M 16 καὶ
post δὲ om. Ma 17 τί] κατὰ a 18 ὡς τὸ μὲν ἐν βάθει Ma 19 fort.
ἐνιδρυμένον 20 post ἐᾶσαν add. ὡς Ma 22 ἔξω Ma 24 τῶν ἀσωμάτων M
39 ἀδιαφόρητον M διὸ] καὶ διὰ a

ἀκριβέστερον εἰπεῖν ἧττον γίνεται θερμόν. ταῦτα μὲν οὖν περὶ τοῦ βάθους· 107r
ἐν δὲ τοῖς ἔξωθεν τοῦ βάθους τῆς γῆς σώμασι τὸ γινόμενόν ἐστι δῆλον
ἅπασιν. ἐν θέρει μὲν γὰρ πλησιάζων ὁ ἥλιος θερμαίνει τὰ περιέχοντα,
ἐν χειμῶνι δὲ πλεῖστον αὐτῶν διεστηκὼς οὐδὲ τῆς ἰδίας μεταδίδωσιν αὐτάρκως 5
5 θερμότητος, καὶ τὰ ψυχρὰ σώματα γῆ τε καὶ ὕδωρ ἐκ τῶν ἀτμῶν τῶν
ἐξ αὐτῶν τὸν ἀέρα καταψύχει· καὶ ψυχθεὶς λίαν ὡς λεπτομερὴς ἀντιψύχει
τὰ ψύξαντα, καὶ ταῦτα πάλιν τὸν ἀέρα, καὶ οὕτως ἀλλήλων ἀντεπιτείνουσι
τὴν ψῦξιν καθ' ὃν τρόπον ἐν τοῖς ἤδη φθάσασιν ἀποδείξαμεν. τοιαύτην
εἶναι τὴν λεγομένην ἀντιπερίστασιν τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ δεῖ νομίζειν,
10 διότι τῶν ἔξω θερμαινομένων τὰ ἔνδοθεν ψύχεται καὶ τοὐμπαλιν ψυχομένων
τῶν ἔξω τὰ ἐν τῷ βάθει θερμαίνεται. ταύτην οὖν, φησί, τὴν ἀντιπερί- 10
στασιν τοῦ θερμοῦ καὶ ψυχροῦ νομιστέον καὶ ἐν τῷ ἄνω γίνεσθαι τόπῳ,
ἐν ᾧ τὰ νέφη συνίσταται, τῆς χώρας ἀλεεινοτέρας οὔσης ἢ τοῦ καιροῦ·
τῇ γὰρ ἀλέᾳ τοῦ περιέχοντος ἡ ἐν τῷ νέφει ὑδὴς ἀντιπεριισταμένη πρὸς
15 τὸ βάθος αὐτοῦ χωρεῖ, καὶ οὕτως ἔνδον ἀθροωτέρα γινομένη τὴν ἐντὸς
ἀτμίδα τοῦ νέφους εἰς ὕδωρ ἀθροώτερον μεταβάλλει. διὸ καὶ ἐν ταῖς τοι-
αύταις ὥραις ἢ χώραις ὄμβροι γινόμενοι θᾶττον γίνονται διὰ τὴν ἀθρόαν
τοῦ νέφους πύκνωσιν, καὶ αἱ ψεκάδες μείζους διὰ τὸ πολλὴν ὁμοῦ μετα- 15
βάλλειν ἀτμίδα, καὶ ῥαδία τούτων ἡ κίνησις, ἐπεὶ καὶ ἡ ῥοπὴ μείζων διὰ
20 τὸ μέγεθος. οὕτω τοίνυν γινομένου τοῦ ὕδατος καὶ τῇ ἐμφύτῳ ῥοπῇ φερο-
μένου κάτω, ἡ τὴν ἀτμίδα μεταβάλλουσα ὑδὴς εἰς ὕδωρ ἔτι αὐτῷ πολλὴ
ἐνυπάρχουσα ταχύτερον αὐτὸ πήγνυσι τῆς ἐπὶ τὸ κάτω φερούσης ῥοπῆς·
καταφερόμενον οὖν ἅμα τὸ ὕδωρ πήγνυται καὶ ποιεῖ χάλαζαν. καὶ τοῦτό
ἐστιν ὅ φησιν ὁτὲ μὲν ταχὺ ὕδωρ ποιεῖ, ὁτὲ δὲ χάλαζαν· ἔνδον μὲν
25 τοῦ νέφους ὕδωρ ποιεῖ πυκνοῦσα τὴν ἀτμίδα ταχέως, ἔξω δὲ καταφερόμενον 20
ἢ καὶ ἔνδον ἔτι τὸ ὕδωρ ὂν καὶ πηγνύμενον χάλαζαν.

p. 348b 12 Τοῦτο δὲ γίνεται αὐτὸ τοὐναντίον ἢ ὡς ὁ Ἀναξαγόρας
λέγει· ὁ μὲν γὰρ ὅταν εἰς τὸν ψυχρὸν ἀέρα ἐπανέλθῃ, φησί, τοῦτο
πάσχει, ἡμεῖς δὲ ὅταν εἰς τὸν θερμὸν κατέλθῃ, καὶ μάλιστα ὅταν
30 μάλιστα. ὅταν δ' ἔτι μᾶλλον ἀντιπεριστῇ ἐντὸς τὸ ψυχρὸν ὑπὸ
τοῦ ἔξω θερμοῦ, ὕδωρ ποιῆσαν ἔπηξε καὶ γίνεται χάλαζα.

Τἀναντία τῷ Ἀναξαγόρᾳ, φησίν, ὁ ἡμέτερος ὑποτίθεται λόγος· ἐκεῖνος 25
μὲν γὰρ ἔλεγεν ὡς ἐν τῷ ἄνω γινόμενον τόπῳ τῷ κατεψυγμένῳ τὸ νέφος
γίνεται χάλαζα, ἡμεῖς δὲ τοὐναντίον, ὅταν ἐν τῷ κάτω γίνηται τόπῳ τῷ
35 θερμῷ, τότε γίνεται χάλαζα, καὶ ὅταν μᾶλλον ὄντος θερμοῦ τοῦ περι-
έχοντος μᾶλλον αὐτὸ τὸ ψυχρὸν ἀντιπεριστῇ, ὡς ἐν τῷ βάθει πολὺ γενέ-
σθαι συνωθούμενον ὑπὸ τῆς ἔξωθεν ἀλέας, μᾶλλον γίνεται ὕδωρ, ἐπιτεινο-

---

19 μεῖζον M 21 κάτω ἡ τὴν scripsi: καὶ τὸ ἧττον MV: καὶ πολλὴν a 22 αὐτὸ] αὐτῷ a 27 αὐτῷ Ma 28 ὅταν om. Ma 29 πάσχειν Arist. τὸ θερμὸν a 29. 30 μάλιστα ὅταν semel scr. Ma 30 δ' ἔτι] δέ τι Ma τῷ ψυχρῷ Ma 33 γινόμενον] γίνεται M 34 ἡμεῖς δὲ—χάλαζα (35) om. Ma

μένης δὲ μᾶλλον ὑπὸ τοῦ ψύχους τῆς πιλήσεως, ἅμα τὸ ὕδωρ καὶ χάλαζα 107r
πήγνυμενον γέγονεν.

p. 348 b 17 Συμβαίνει δὲ τοῦτο, ὅταν θᾶττον ᾖ ἡ πῆξις ἢ ἡ τοῦ ὕδατος φορὰ ἡ κάτω· εἰ γὰρ φέρεται μὲν ἐν τοσῷδε χρόνῳ, ἡ δὲ ψυχρότης σφοδρὰ οὖσα ἐν ἐλάττονι χρόνῳ ἔπηξεν, οὐδὲν κωλύει μετέωρον ὂν παγῆναι. ἐὰν ἡ πῆξις ἐν ἐλάττονι γίνηται χρόνῳ τῆς κάτω φορᾶς.

Ἐκεῖνο τὸ ἠπορημένον λύει διὰ τούτων ὡς εἴπερ ἡ χάλαζα ὕδωρ ἐστὶ πεπηγός, πῶς ἐν τῷ μετεώρῳ πήγνυται. εἰ μὲν γὰρ πρὶν γένηται ὕδωρ, ἡ πῆξις γέγονε, χιὼν ἦν οὐ χάλαζα τὸ γενόμενον· εἰ δὲ μετὰ τὸ γενέσθαι ὕδωρ ἐπάγη, πόσον ἐστὶ χρόνον τὸ ὕδωρ μετέωρον, ἕως ἂν παγείη; λέγει οὖν πῶς τοῦτο γενέσθαι δυνατόν. προδήλου ὄντος ὅτι καὶ ἡ ἐπὶ τὸ κάτω φορὰ τοῦ ὕδατος χρόνῳ γίνεται καὶ ἡ πῆξις αὐτοῦ ἡ ὑπὸ τῆς ψύξεως, ὅταν οὖν ὁ χρόνος τῆς ἐπὶ τὸ κάτω φορᾶς τοῦ ὕδατος μείζων ᾖ τοῦ χρόνου καθ' ὃν πήγνυται, πήγνυται τὸ ὕδωρ καὶ γίνεται χάλαζα. οἷον ⟨εἰ⟩ ἡ μὲν ἐπὶ τὸ κάτω φορὰ τριῶν ὡρῶν δέοιτο, ἡ δὲ πῆξις μιᾶς διὰ τὸ σφοδρὸν τῆς πηγνυούσης αὐτὸ ψύξεως, συμβαίνει τὸ ὕδωρ καταφερόμενον ἐν ὅσῳ μίαν ὥραν κεκίνηται, παγῆναι καὶ γενέσθαι χάλαζαν, ἐν δὲ ταῖς λοιπαῖς δύο ὥραις τὴν γενομένην κινεῖσθαι χάλαζαν, καὶ οὕτως οὐδὲν τῶν ἠπορημένων ἀντικείσεται τῇ γενέσει αὐτῆς. κἀντεῦθεν ἔχεις τὴν αἰτίαν, δι' ἣν ἐν τῷ περὶ γῆν τόπῳ τὸ ἀναλογοῦν τῇ χαλάζῃ οὐ γίνεται, ὥσπερ τῷ μὲν ὑετῷ ἡ δρόσος, τῇ δὲ χιόνι ἡ πάχνη· οὐδὲ γὰρ οἷόν τε ἦν θᾶττον γενέσθαι τὴν πῆξιν τῆς δρόσου τῆς ἐπὶ τὸ κάτω φορᾶς αὐτῆς, ἵνα γένηται κρύσταλλος, ὀλίγου ὄντος τοῦ διαστήματος, ἀλλὰ φθάνει πρὶν παγῆναι ἐνεχθεῖσα ἡ δρόσος. ἀπορήσειε δ' ἄν τις ἐν τούτοις εἰκότως, πῶς ἀρξάμενον φέρεσθαι τὸ ὕδωρ πήγνυται, πότερον ἐν τῷ νέφει περιεχόμενον ἔτι ἢ παραμεῖψαν αὐτὸ καὶ ἔξω γινόμενον ἐπάγη. ἀλλ' ὑπόκειται θερμότερος ὁ ἔξω ἀήρ, διόπερ καὶ ἡ ψῦξις ἐν τῷ βάθει τοῦ νέφους ἠθροίσθη ἀντιπεριστᾶσα τῷ ἔξω θερμῷ καὶ τὴν ἀτμίδα τὴν ἐν τῷ νέφει πυκνώσασα εἰς ὕδωρ. εἰ δὲ ἐν τῷ νέφει ὑπάρχον ἔτι δευτέραν τὴν εἰς χάλαζαν παγὲν ποιεῖται μεταβολήν, πρῶτον μὲν πῶς ἔμεινεν ἐν τῷ νέφει χρόνον τὸ ὕδωρ, ἵνα παγῇ, καὶ οὐκ εὐθὺς ἠνέχθη κάτω τῷ ἐμφύτῳ βάρει; δεύτερον πῶς ἔξω τοῦ νέφους γενομένη ἡ χάλαζα οὐκ εὐθὺς ἐτάκη ὑπὸ τοῦ θερμοῦ ἀέρος τοῦ περιέχοντος. δι' οὗ φέρεται κάτω; ῥητέον οὖν ὡς οὐκ ἔστιν ἀβαθὲς τὸ νέφος, ἀλλ' ἔχει τι βάθος οὐκ ὀλίγον, διὸ καὶ τῷ ἡλίῳ ἐπιπροσθεῖ καὶ βρονταὶ καταρρήγνυνται καὶ πολὺς ὁ ὑετός. τοῦτο οὖν τὸ βάθος διερχόμενον τὸ ὕδωρ εἰ

1 πηλήσεως a 3 ᾖ om. Ma ἢ ἡ] ἢ om. M: ἡ om. a 4 ἡ] ἢ M: ἢ a ἐν om. Ma 8 ὡς εἴπερ—πολλάκις (p. 129,6) in lac. om. V 11 πόσον] πῶς M 15 πήγνυται semel scr. M εἰ addidi 24. 25 ἀπορήσει M 28 ἀντιπεριστάντι a 29 πυκνώσασα scripsi: πυκνώσασαν Ma 30 ὑπάρχον scripsi: ὑπάρχων Ma 32 τῷ ἐμφύτῳ scripsi: τὸ ἔμφυτον Ma 36 εἰ] πήγνυται a

καὶ μετὰ τὸ νέφος ὑπὸ τῆς ἐν | αὐτῷ ψύξεως πολλῆς ἔτι οὔσης ἐπάγη. 107v
οὐ τήκεται δὲ παγὲν εὐθὺς ὑπὸ τοῦ περιέχοντος θερμοῦ διὰ τὸ βραχὺ τοῦ διαστήματος. διόπερ εἰ καὶ θερμοτέρῳ ὁμιλήσειεν ἀέρι, μένει παγέν· φθάνει γὰρ κατενεχθῆναι, πρὶν τακῇ· χρόνου γὰρ δεῖται τοῦ συμμέτρου
5 πᾶσα μεταβολή. πρὶν οὖν ὑπὸ τοῦ ἀέρος πάθῃ τι, καταφέρεται. ἰσχυροτάτης οὖν πήξεως ἡ χιὼν τυχοῦσα καὶ ὅλον πολλάκις τὸν τοῦ θέρους 5
διαρκεῖ χρόνον οὐδὲ θερμοτάτῳ ἀέρι ὁμιλοῦσα ῥᾳδίως τήκεται, κρύσταλλος δέ τις καὶ ἀπολιθοῦται παντελῶς· ἡ δὲ χάλαζα μαλακωτέραν ἔχουσα τὴν πῆξιν εὐθὺς κατενεχθεῖσα τήκεται. οὐδὲν δέ ἐστιν ἀπεικὸς καὶ καταφερο-
10 μένην ἔτι τακῆναι ἢ πᾶσαν ἢ μέρη τινὰ ταύτης τὰ ἐπιτηδειότερα, διόπερ οὐχ ὁμοία τῷ μεγέθει πᾶσά ἐστι, καὶ ὕδωρ δὲ πολλάκις ἐκ τῆς τακείσης τῇ χαλάζῃ συγκαταφέρεται. κἀκεῖνο δὲ πάλιν τις ἀπορήσειεν, πῶς ὑπὸ τῆς εἰς βάθος τῇ ἀντιπεριστάσει συνελαθείσης [τῆς] ψύξεως οὐκ εὐθὺς ἡ ἀτμὶς 10
πήγνυται καὶ γίνεται χιών, ἀλλὰ πρῶτον μὲν πήγνυται καὶ μεταβάλλει εἰς
15 ὕδωρ, εἶτα τὸ ὕδωρ πήγνυται καὶ γίνεται χάλαζα; λέγομεν τοίνυν ὡς εἰ καὶ πολλή τίς ἐστιν ἡ ψῦξις ἐν τῷ νέφει, ἀλλ' οὐ πάντως τῆς ἐν τῷ χειμῶνι πηγνυούσης τὴν ἀτμίδα ⟨καὶ⟩ χιόνα ποιούσης· σφοδρᾶς γὰρ λίαν ψύξεως δεῖ πρὸς τὸ τὴν ἀτμίδα θερμὴν οὖσαν παγῆναι πρὸ τῆς εἰς τὸ ὕδωρ πυκνώσεως. καὶ τὸ προτεθερμάνθαι δὲ τὸ τῆς χαλάζης ὕδωρ ἐκ τῆς τοῦ 15
20 περιέχοντος βίας ἑτοιμότερον πρὸς πῆξιν αὐτὸ ποιεῖ· εὔψυκτα γάρ ἐστι λίαν τῶν ὑδάτων τὰ προθερμαινόμενα.

p. 348b22 Καὶ ὅσῳ δ' ἂν ἐγγύτερον καὶ ἀθροωτέρα γένηται ἡ πῆξις, τά τε ὕδατα λαβρότερα γίνεται καὶ αἱ ψεκάδες καὶ αἱ χάλαζαι μείζους διὰ τὸ βραχὺν φέρεσθαι τόπον. καὶ οὐ πυκναὶ
25 αἱ ψεκάδες αἱ μεγάλαι πίπτουσι διὰ τὴν αὐτὴν αἰτίαν.

Ὅταν, φησίν, ἡ ψῦξις ἰσχυρά τις ᾖ καὶ ὁ τόπος ἐν ᾧ γίνεται πλησίον 20
τῆς γῆς, διὰ μὲν τὸ σφοδρὸν τῆς ψύξεως ἡ τῆς ἀτμίδος πύκνωσις ἀθροωτέρα γίνεται· διὸ καὶ αἱ ψεκάδες μείζους, λαβρότερα δὲ τὰ ὕδατα δι' αὐτὸ τὸ τῶν ψεκάδων μέγεθος θᾶττον κινουμένων· αἱ γὰρ μικραὶ ψεκάδες, οἷαί
30 εἰσιν αἱ ἐν χειμῶνι γινόμεναι, ὡς ἧττον βαρεῖαι τὴν κίνησιν ἠρεμαιοτέραν ἔχουσι. καὶ οὐ διὰ τοῦτο μόνον εἰσὶν αἱ ψεκάδες ⟨μείζους, ἀλλ'⟩ ὅτι καὶ ὀλίγον διάστημα καταφερόμεναι οὐ σκεδάννυνται· πρὶν γὰρ τοῦτο παθεῖν φθάνουσι κάτω. αἱ γὰρ ἐξ ὕψους φερόμεναι ἐν τῷ μεταξὺ σκεδάννυνται 25
διαστήματι· εἰ γοῦν λεκάνην ὕδατος ἐξ ὕψους κενώσειας, εὐθὺς διασπᾶται
35 τὸ ὕδωρ καὶ κατὰ μικρὰ φέρεται κάτω, εἰ δὲ ἐξ ὀλίγου διαστήματος ἐκχέοις, ἀθροώτερον κάτεισι καὶ κατὰ μεγάλα μέρη τὸ ὕδωρ. ἀλλὰ διὰ τί

---

4 τοῦ scripsi: οὐ Ma 6 ἢ] ἢ a 13 τῆς delevi 16 ἀλλ' οὐ πάντως] exspectas ἐλάττων πάντως πάντων Ma 17 καὶ addidi 18 θερμὴν οὖσαν scripsi: θερμαίνουσαν libri 19 καὶ τῷ V 22 γένηται] γίνεται Ma 23 τε] δὲ M: om. a 29 κινούμενον a: κινουμένον (sic) M 31 μείζους ἀλλ' addidi 35. 36 ἐκχέεις a, ex ἐκχέης corr. M

καὶ χάλαζαι μέγισται; πρότερον μὲν διὰ τὸ τὰς ψεκάδας εἶναι μεγάλας, αἵ- 107v
τινες πηγνύμεναι ποιοῦσι τὴν χάλαζαν, ἔπειτα καὶ τῷ μὴ καταθραύεσθαι
φερομένας ἐκ πλείονος ὕψους μηδὲ τήκεσθαι χρόνον πολὺν ὁμιλούσας ἀέρι 30
θερμῷ, ὃ γίνεται ἐπὶ τῶν ἐξ ὕψους καταφερομένων. διὰ τί δὲ οὐ πυκναὶ
5 αἱ ψεκάδες, ἀραιαὶ δὲ μᾶλλον; ἢ ὅτι μεγάλαι πολλῶν ἀτμίδων ἀθρόως εἰς
ἓν πυκνουμένων, ἢ καὶ διὰ τὸ μὴ πόρρω μεταβάλλειν τῆς γῆς· τὸ γὰρ ἀεὶ
γινόμενον ὕδωρ εὐθὺς καταφέρεται, πρὶν ἕτερον μεταβάλῃ. εἰ γὰρ ἐν
ὕψει γένηται ἡ μεταβολή, ἐν ὅσῳ τὸ πρῶτον γενόμενον ὕδωρ κάτεισιν,
ἐπακολουθεῖ τὸ μεταβαλὸν μετὰ τοῦτο, καὶ τούτῳ πάλιν εὐθὺς ἕτερον
10 ἕψεται, καὶ οὕτως ἐφεξῆς, ὅθεν ἡσυχία γίνεται. 35

p. 348b26 Ἧττον δὲ τοῦ θέρους γίνεται ἢ ἔαρος καὶ μετοπώρου, μᾶλλον μέντοι ἢ χειμῶνος, ὅτι ξηρότερος ὁ ἀὴρ τοῦ θέρους, ἐν δὲ τῷ ἔαρι ἔτι ὑγρός, ἐν δὲ τῷ μετοπώρῳ ἤδη ὑγραίνεται. γίνονται δέ ποτε, καθάπερ εἴρηται, καὶ τῆς ὀπώρας χάλαζαι διὰ
15 τὴν αὐτὴν αἰτίαν.

Ὅπερ ἄν τις ἠπόρησε πρὸς τὴν ἀποδοθεῖσαν τῆς χαλάζης αἰτίαν ὑπ' αὐτοῦ, λέγω τὴν ἀντιπερίστασιν τοῦ θερμοῦ καὶ ψυχροῦ, αὐτὸς προσαπορεῖ 40
καὶ ἐπιλύεται. διὰ τί γὰρ μὴ ἐν θέρει γίνονται χάλαζαι θερμότητος οὔσης,
δι' ἣν ἡ ἀντιπερίστασις τοῦ ψυχροῦ γίνεται; ὅτι τὸ ὁλικὸν αἴτιον ἡ ὑγρότης
20 ἐπιλείπει τότε, ἐξ ἧς αἱ ἀναθυμιάσεις γίνονται. πάντων γὰρ τῶν καιρῶν
ξηρότερόν ἐστι τὸ θέρος καὶ θερμότερον, τὸ δὲ ἔαρ ὑγρόν ἐστι καὶ θερμόν,
τὸ μὲν ὡς τὸν χειμῶνα διαδεξάμενον, τὸ δὲ ὡς πλησιάζον τῷ θέρει· ἀμφοῖν δὲ τούτοιν δεῖ πρὸς χαλάζης γένεσιν. τὸ δὲ μετόπωρον εἰ καὶ τῷ
ξηρῷ καὶ ψυχρῷ χαρακτηρίζεται τὸ μὲν ἐκ τοῦ θέρους ἔχον, τὸ δὲ ἐκ τοῦ 45
25 πλησιάζοντος χειμῶνος ἐπὶ θύραις ὄντος, ἀλλ' οὐ θερμότητος ἀπήλλακται
παντελῶς· τὸ θέρος γὰρ διεδέξατο. ὁ δὲ χειμὼν τὴν ὁλικὴν μὲν αἰτίαν
ἔχει πολλὴν τῷ ὑγρῷ, ἐκλείπει δὲ τῷ θερμῷ, ὅπερ τῆς ἀντιπεριστάσεως
ἦν αἴτιον τῷ ψυχρῷ. καὶ τῆς ὀπώρας δέ, φησί, χάλαζαι γίνονταί ποτε,
ὅπερ τοῦ θερμοῦ ἐστι τέλος, ἔτι μὲν αὐτῷ τῆς τοῦ θέρους ἐπιμενούσης
30 θερμότητος, εἰ καὶ μὴ οὕτως ἀκμαίως, οὐκ ἀπηλλαγμένου δὲ τοῦ καιροῦ 50
τούτου παντελῶς ὑγρότητος, ὡς καὶ ὑετοὺς ἐν αὐτῷ πολλάκις γίνεσθαι.
μεταδιδοὺς γὰρ ὁ καιρὸς οὗτος τῷ μετοπώρῳ θερμότητος ὑγρότητος ἐξ αὐτοῦ
μεταλαμβάνει μετρίας· διόπερ σπανίως, γίνονται δ' ὅμως καὶ ἐν αὐτῷ
χάλαζαι.

---

1. 2 αἵτινες] τίνες M 2 τῷ] τὸ a 3 φαινομένας M post φερομένας add. οὐκ a ὁμιλοῦσαι M 13 ἔαρι] ἀέρι M Arist. E ἔτι ὑγρός] ἔστι ψυχρός Ma 17 καὶ τοῦ ψυχροῦ a αὐτὸς scripsi: αὐτὸ libri 25 post χειμῶνος add. καὶ Ma 26 μὲν om. a 28 ποτε om. M 30 ἀκμαίῳ Ma

p. 348b30 Συμβάλλεται δ' ἔτι πρὸς τὴν ταχυτῆτα τῆς πήξεως καὶ τὸ προτεθερμάνθαι τὸ ὕδωρ· θᾶττον γὰρ ψύχεται. διὸ πολλοὶ ὅταν τὸ ὕδωρ ψῦξαι ταχὺ βουληθῶσιν, εἰς τὸν ἥλιον τιθέασι πρῶτον. |

5 Ὅτι τὰ προθερμανθέντα μᾶλλον ψύχεται, μάρτυρα τὴν κοινὴν ἁπάντων 108r ἐπικαλεῖται πεῖραν. τὸ δὲ αἴτιον ὅτι οὐδὲν ποιεῖν εἰς τὸ ὅμοιον οὐδὲ πάσχειν ὑπὸ τοῦ ὁμοίου πέφυκε· τὰ ἐναντία γάρ ἐστι τὰ εἰς ἄλληλα δρῶντα καὶ πάσχοντα ὑπ' ἀλλήλων. προθερμανθὲν δὲ ἠρέμα τὸ ὕδωρ καὶ ἐν ἀέρι ψυχρῷ τιθέμενον ὡς ὑπὸ τοῦ ἐναντίου τοῦ ψυχροῦ πάσχει μᾶλλον, ἤπερ
10 ⟨εἰ⟩ μὴ ἐθερμάνθη. καὶ ἄλλως τὸ θερμὸν λεπτύνει τὰ θερμαινόμενα καὶ μανότερα ποιεῖ. 5

* * *

1 δ' ἔτι Ma Arist. EF: δέ τι Arist. HN: om. V τραχύτητα a τῆς πήξεως om. V 1. 2 καὶ τοῦ Ma 3 τὸ ὕδωρ Arist. E corr. F: τὸ θερμὸν V Arist. HN pr. F: om. Ma 6 οὐδὲν scripsi: οὐδὲ libri 8 δὲ om. Ma 9. 10 ἤπερ εἰ scripsi: ἤπερ V: εἴπερ Ma 11 ποιεῖ] deficiunt MVa: Λείπει πολλὰ ἐπὶ τῷ τέλει τούτου τοῦ α' βιβλίου add. a

# INDICES

# I INDEX VERBORUM

Verba asterisco notata desiderantur in lexicis


Ἀβαθής 128,34
ἄγγος 48,4. 6
ἀγένητος 50,2 51,13. 14
ἄγνοια 118,7 ἡ τῶν ἀστρονομικῶν μεθόδων 104,18. 19 τὴν διπλῆν ἄγνοιαν νοσεῖν 8,6
ἄγονος 44,34
ἀδιαίρετος ὡς πρὸς τὴν αἴσθησιν opp. φύσει 89,18. 19 sqq.
ἀδιάκοπος 11,31 12,23 119,12. 13
ἀδιάστατος 35,13
ἀδύνατος ἀδύνατον 90,4. 6
ἀεικινησία 11,37
ἀέριος 30,15 31,38
ἀήρ 40,14 sqq. 41,20 sqq. 118,1 sqq. 119, 24 sqq. 121,36 122,31 τίς ἡ τοῦ ἀέρος περὶ τἆλλα φύσις καὶ τίς ἡ πρὸς τὰ λοιπὰ τάξις 14,15 sqq. ὁ κυρίως ἀήρ opp. τὸ ὑπέκκαυμα 35,31 sqq. ὁ λιμνάζων ἀὴρ μεταξὺ τῶν ὀρῶν 57,14 91,17. 22. 23
ἄθραυστος 124,17. 18
ἀθροίζειν 111,3 126,30 128,28
αἰγοκέρως *vel* αἰγόκερως 88,4 96,18. 28. 31 112.29. 30
αἰδεῖσθαι 44,31
αἴθειν 16,18.26 17,25 18,5
αἰθήρ 16,19 17,21. 37 18,5 31,30
αἰθρία 68,24 76,34 87,14
αἱματώδης 67,27 70,2. 9
αἰνίττεσθαι 102,25
αἴξ. αἶγες αἱ περὶ τὸν οὐρανόν 54,21 55,37 60,4 sqq.
αἴσθησις 35,28 39,33 sqq.
αἰσθητός. αἰσθητόν 39,33 sqq.
αἰτία, αἴτιον. αἰτία ὡς ὕλη (αἴτιον ὑλικόν) 23,29 54,23. 31 55,28 110,35 130,19 ἡ ποιητική (αἴτιον ποιητικόν) τῶν ἐν τῷ μετεώρῳ συμβαινόντων παθῶν 9,27 10,17 13,7. 8 32,26 54,11. 24. 31 55,28 ἡ τῶν κομητῶν ποιητική 92,6 sqq. αἴτιον (ποιητικόν) ἐξηρημένον 120,28 opp. συντεταγμένον 11,8 sqq. τὰ πρώτιστα τῶν φυσικῶν αἴτια (opp. τὰ προσεχέστερα) 4,24 sqq.
αἰτιᾶσθαι 31,6 76,16. 17. 21
αἰτιολογεῖν 98,4
ἀκινητεῖν 109,33
ἀκίνητος 11,27 106,23. 34. 38
ἀκίς 27,29
ἀκμάζειν 17,31. 32
ἀκμαῖος 126,2 — ἀκμαίως 130,30
ἀκμὴ ἡλικίας 126,5
ἀκοή. τὴν ἀκ. ἀναπαύειν 53,27
ἀκολουθία 5.4
ἀκόλουθος 2,15 4,14.19 33,35 53,36 101,25 — ἀκολούθως 30,32 54,13
ἀκρίβεια ἡ τῆς λέξεως 4,23
ἄκρως. τὸ ἄκρως θερμόν 122,38
ἀκτίς. αἱ τοῦ ἡλίου ἀκτ. 20,24. 28. 34 21,10 sqq. 27,23. 24. 35 49,4. 8 αἱ τῆς ὄψεως 28,5 66,34. 36
ἀκωλύτως 122,18
ἀλέα 127,14. 37
ἀλεεινός 114,8 127,13
ἀλήθεια 41,25
ἀληθεύειν 95,28 98,23 123,23
ἁλιεύς 48,8
ἀλληγορία 118,6. 7
ἀλλοιοῦν 50,26. 28. 33 51,4

ἀλλοίωσις 50,21. 29. 34 115,34. 35
ἅλμα 87,33. 34
ἄλογος 60,15
ἀλουργός 74,7. 15
ἅλως 69,26 95,9 sqq. 98,15. 19. 23 sqq. 109,21. 25. 27
ἀμβλύνειν 17,31 124,11
ἀμβλύς. ἀ. φῶς 53,13
ἀμείβειν τοὺς τόπους 46,22
ἀμέπτως 126,38
ἀμερές. τὸ ἀμερές (σημεῖον) 19,17. 25
ἀμετάβλητος 11,25. 27. 35. 36 25,7. 8 32,28 121,33
ἀμετρία φωτός 85,33 ἀμετρίαι 92,20
ἀμήχανος 86,30
ἀμυδρός 30,40 103,35. 36 52,16. 17
ἀμυδρότης 92,9
ἀμφήριστος 18,36
ἄν *omissum in apod. cond.* 37, 30 45, 19 *all.* (*inconstanter addidi* 49,23) ὅτι ἄν *c. ind.* 13,14 ὅταν *c. opt.* 60,6. 8 69,27. 28 μέχρις ἄν (ἕως ἄν) *c. opt.* 52,16 91,2 128,11
ἀνάγειν ὑπό τι 50,25. 26
ἀναγιγνώσκειν 99,4
ἀναγράφειν 46,30
ἀναδιπλοῦν 114,4
ἀναδίπλωσις. αἱ ἐν τῷ γαλαξίᾳ ἀ. 103,37 113,5. 8. 21
ἀναθυμιᾶν 120,7
ἀναθυμίασις ἀτμιδώδης (ὑγρά), καπνώδης (ξηρά) 1,27 2,8. 25. 26. 34 sqq. 3,2. 6. 7. 13. 14 23,8 sqq. 35,34. 35 36,2 38,20. 24. 25 55,14 56,11. 27. 38 58,1. 5 60,34 61,9 62,13 sqq. 65,20 sqq. 90,13 sqq. 94,36. 37 95,4. 25. 29 99,20. 28. 32 108,33 109,5 114,10. 12. 28
ἀναιρεῖν 22,36
ἀνακεφαλαιοῦσθαι 2,15
ἀνακινεῖν λόγους 39,30
ἀνακλᾶν. ἀνακλᾶσθαι 27,22. 23 sqq. 28,13 49,6 sqq. 77,20. 21. 29 78,4 sqq. 82,26 sqq. 83,29 sqq. 84,12. 29. 34 98,21. 33 105,32. 33
ἀνάκλασις ἀκτίνων 43,17. 18 49,8 ἀνακλ. ὄψεως (ὄψεων) ἐπὶ τὸν ἥλιον (τὴν σελήνην, τὰ ἄστρα) 69,24 sqq. 70,21 sqq. 71,15 82,25 95,16. 17. 23 98,19. 20. 24 sqq. 105,25
ἀνακυκλεῖν 17,4
ἀναλλοίωτος 50,1. 3. 21 51,13. 14 sqq.
ἀναλογεῖν. τὸ ἀναλογοῦν 128,21
ἀναλογία. ἀ. ἔχειν πρός τι 25,14
ἀνάλογον εἶναι 121,8
ἀναλόγως 100,16
ἀναλύειν 118,36
ἀνάλυσις 121,7
ἀνανήφειν 18,2
ἀναπέμπειν τινὰ εἴς τι 44,23
ἀναπλάσσειν 49,11 101,24. 25
ἀναποδίζειν 17,8
ἀναπτύσσειν 102,24. 25
ἄναρχος 16,36 17,10 115,28
ἀνάτασις. ὁρῶν ἀνατάσεις 37,10
ἀνατέλλειν 45,6 107,28. 31. 34
ἀνατολή 12,14. 16 51,7 59,18. 25 65,26 sqq. ἀνατολαί 40,30 59,12
ἀνατολικός 7,18 19,12 τὸ ἀνατολικόν 60,12
ἀνατρέχειν ἐπί τι 120,28. 32
ἀναυξής 51,14
ἀναύξητος 50,3
ἀναφλόγωσις 44,28. 29
ἀνδρείκελος 13,29
ἀνδριαντοπλαστική 17,30
ἀνδριαντοποιός 13,16. 18
ἄνεμος 6,34. 35 7,29. 30 68,25 84,8
ἀνενδοίαστος 120,42
ἀνεννόητος 8,16 105,14
ἀνεπίδεκτος 50,7. 8 51,30
ἀνεπίμικτος 50,37
ἀνεπισκίαστος 52,9. 12
ἀνεπιτήδειος 126,26
ἄνεσις 74,6
ἀνθέλκειν 86,2
ἀνθρακοειδής 106,13 — ἀνθρακώδης 30,40
ἀντανάκλασις (τῶν ὄψεων) 69,29
ἀντεπιτείνειν 127,7
ἀντιβαίνειν 97,32 τὰ ἀντιβαίνοντα 42,10 44,5
ἀντιβατικός τὸ ἀ. 97,31
ἀντίγραφον 10,25
ἀντιδιαστέλλειν 109,39 110,5. 6
ἀντιδιαστολή 41,26. 27
ἀντίθεσις 41,36. 37 50,23
ἀντικεῖσθαι τῶν ἀντικειμένων μία ἐπιστήμη 39,35
ἀντιλαμβάνεσθαι 14,14 71,35 73,6 85,30. 31
ἀντίληψις 71,33. 36 73,5. 8 74,27 85,36. 41 86,5. 10

ἀντιλογία 106,15
ἀντιμεταβάλλειν 123,3
ἀντιμεταβολή 126,29
ἀντιμετάστασις 125,28. 29
ἀντιπαράστασις 104,12. 13
ἀντιπεριίστασθαι 125,13 126,16 127,14
ἀντιπερίστασις 126,17 127,9 129,13 130,17. 19. 27
ἀντιπίπτειν. ἀντιπίπτοντος λύσις 58,3
ἀντιπνέειν (*sic*) 37,32
ἀντιπρόσωπος 49,7 65,38 72,13
ἀντίτυπος τὸ ἀ. 41,27. 31. 34 42,3. 5 44,5
ἀντιφράσσειν 103,21. 25 104,14. 20. 21
ἀντίφραξις (γῆς) 103,12
ἀντρώδης. τὸ ἀντρ. 7,12. 19
ἀντωθεῖν 66,1.2.10
ἀνωμαλία 58,9 116,16
ἀνώμαλος 107,36 116,15
ἀνώφορος 30,19 55,30
ἀξιόπιστος. τὸ ἀ. 17,11
ἀξίωμα 125,10
ἄξων κώνου 85,26. 27
ἀοίκητος 44,33 53,20. 26 101,9 112,4. 5
ἀπαθής 42,26 48,12 49,33 sqq. 50,5 sqq. 51,18. 25 sqq.
ἀπαιωρεῖν. ἀπαιωρεῖσθαι 60,6. 10 83,4
ἀπαξαπλῶς 86,29
ἀπαράβατος τάξις 5,19. 33 θέσις 117,2
ἀπαράλλακτος 59,8
ἀπαρέγκλιτος 21,10
ἀπαριθμεῖσθαι 81,34
ἀπαυθαδιάζεσθαι 7,35. 36
ἀπαύστως 17,24
ἀπεικάζειν 66,6
ἀπειροπλασίων 24,8
ἄπειρος. ἄπ. δύναμις 18,12. 14 τὸ ἄπειρον 17,3. 12. 15 ἀπειρότερον 17,15
ἀπίθανος 118,9 — ἀπιθάνως 102,36
ἀπλανής. ἀπλ. ἀστέρες (ἄστρα) 40,21 67,11 76,17 sqq. 85,19 86,6 103,22. 28 109,9. 13. 30. 31 sqq. 110,18 ἡ ἀπλανής (σφαῖρα) 18,23.24 19,11.13 sqq. 20,18 25,16 30,11 40,25. 29 41,12. 15 51,8 78,38 82,3 95,33 103,30 104,15. 19 105,10 110,11. 23 114,32
ἀπόγειος 21,27
ἀποδεικτικὴ ἐπιστήμη 1,19
ἀπόδειξις ἡ κατὰ λόγον 89,16
ἀποκαθίστασθαι 41,6 112,11. 21
ἀποκατάστασις (τῆς τοῦ παντὸς κινήσεως) 112,14. 20
ἀποκληροῦσθαι ὄνομα 3,29
ἀποκλήρωσις 27,12 113,35
ἀποκληρωτικός (λόγος) 82,35 ἀποκληρωτικόν coni. ἄλογον 28,30. 31 60,15
ἀπολιθοῦν 129,8
ἀποπερατοῦν 31,1
ἀπορία 22,21. 22 26,23. 25 ἀπ. ὁδὸς εἰς εὐπορίαν τῶν ζητουμένων 8,3. 4
ἀποσπινθηρίζειν 46,18 59,36 60,10 82,39
ἀπόστασις 78,5 80,31 107,13. 18 116,18 ἡ τοῦ ἡλίου ἀπὸ τῆς γῆς 41,1 43,1 45,32
ἀποτυποῦν 112,36
ἀποφράσσειν 49,10. 15
ἅπτειν πῦρ 44,7. 10
ἀραιός 91,29 130,5
ἀραιοῦν 101,4 126,31
ἀργής 47,23
ἄρθρον 121,10
ἄρκτος ἡ ἐν ἄστροις 19,2 41,9 112,18 αἱ ἄρκτοι 114,20 ἄρκτος *regio caeli* 80,15 84,31
ἄρρητος λόγος (τῆς συμμετρίας) 74,8
ἀρύειν 25,19
ἀρχή. αἱ κοιναὶ τῶν φυσικῶν ἀ. 3,29 αἱ τῶν στοιχείων (θερμόν, ψυχρόν κτλ.) 10,4. 5 ἀ. κινήσεως 54,11 94,13 ἐκκαύσεως (ἐξάψεως) 94,10. 11. 18. 19 (*coni.* αἰτία) 119,38 120,16
ἀσαφὴς λέξις 39,1 79,2
ἄσημος φωνή 117,39
ἀσθένεια 92,9
ἀσθενεῖν 58,14 85,38
ἄστατος 114,10
ἀστραπή 72,26
ἀστροειδής 117,22 118,14. 16
ἀστρολογικός. ἀ. μέθοδοι 105,9
ἀστρονομία 18,24
ἀστρονομικός. αἱ ἀ. μέθοδοι 18,29 20,20 105,14 τὰ ἀ. θεωρήματα 104,19. 22
ἀστρονόμος 5,20 46,30 66,24 102,17
ἀστρῷος 118,10
ἀσυμμετρία 23,34 29,21
ἀσύμμετρος 18,26 29,29. 31 43,6
ἀσύμφωνος 48,15 123,26
ἀσφαλτώδης. τὸ ἀσφ. 7,5
ἀσώματος 18,13
ἄτακτος 5,15 sqq. 60,16 113,23 ἀτακτοτέρα κίνησις expl. 5,16 sqq.
ἀτελεύτητος 115,29
ἀτελής 12,6. 36 32,29 τὰ ἀτελῆ 11,21
ἀτενὲς ὁρᾶν (προσέχειν) 85,22. 32. 37

ἀτημελῶς (*coni.* παρέργως) 22,24. 25
ἄτμητος 10,27
ἀτμιδοῦν 121,26. 34
ἀτμιδώδης ἀναθυμίασις 1,27 2,34 62,15.17 90,14. 16 109,6 ἀτμιδῶδές τι 36,29
ἀτμίζειν 35,31 36,13
ἀτμίς 29,14. 16. 25 35,32. 35 36,3 55,26 62,16.19 63,34 64,3.7 77,17 sqq. 78,3 sqq. 83,27 84,11. 14. 15 122,25. 27. 34 sqq. 123,8 sqq. 127,16. 19. 21. 25 μέση ἀέρος καὶ ὕδατος 28,35. 36
ἀτμός 35,31 120,6 122,26 127,5
ἄτομος. τὰ ἄτομα 23,5. 9
ἀτονεῖν 84,13
ἄτονος 122,19
ἀτοπία 82,35
ἄτοπος θεολογία 118,8 ἄτοπον 23,27. 32 81,14 85,9 118,5
αὐγή. αἱ τοῦ ἡλίου αὐγαί 76,13 77,2 79,21. 34 82,5 αὐγὴ κομήτου 87,27. 29. 34
αὐγοειδής 115,22. 23
αὐτάρκως 35,19 39,28
αὐχμηρός 99,25. 31 100,14. 15
αὐχμός 102,34
ἀφανίζειν 17,25
ἄφατος ὑπερβολή 105,8
ἀφή 41,27. 33 42,20. 28 44,19 47,31
ἄφθαρτος 50,2 51,14. 18
ἀφώτιστος 21,5. 26. 32 43,12
ἀχανής. εἰς ἀχανὲς διίστασθαι 27,32 62,35 122,22
ἄχλος 53,12 68,20. 24. 26 70,10. 11 74,19 100,18
ἀχλυώδης ἀήρ 72,6. 8 98,31
ἄχυρον 93,15. 17
ἀχώριστος 116,6

Βάθος 59,14 sqq. 126,13. 18. 21 sqq. 127,1 sqq.
βαλανεῖον 42,20 47,33 122,8. 9
βάρος τὸ ἔμφυτον 128,32
βαρύς. τὰ βαρέα 12,3 sqq. 33,31. 36 34,13. 28. 37. 39 35,11 sqq. 39,11 sqq.
βάστε (κυλίνδρου) 20,30 (κώνου) 21,21. 28
βία 55,5. 7
βιαίως 45,26 sqq. opp. κατὰ φύσιν 64,4
βλάστη 120,40
βληχρός. τὸ βλ. 72,7
βόθυνος 67,26. 28. 35 68,5 sqq. 73,23. 30. 35
βορβορώδης σύστασις 7,26
βόρειος. οἱ β. τόποι 84,18. 27 τὰ βόρεια (μέρη) *vel* τὸ βόρειον 77,16 80,32 81,8 83,26 βορειότεροι τόποι 81,31 114,32 βορειότατος 82,7 84,29
βοσκηματώδης βίος 17,39
βραδυκινησία 73,7
βρασμός (γῆς) 7,23
βράσσειν 7,9
βρίθειν κάτω 38,35

Γάλα 101,11. 13. 16 106,19 107,37 111,1. 11. 17. 31 περὶ τοῦ γάλακτος 101,16 sqq. γάλακτος οὐκ ἔστι τὴν αἰτίαν εἰπεῖν 116,11
γαλακτίζειν 117,20. 21 118,10
γαλαξίας κύκλος 75,18 101,30 105,28 106,6. 17 109,16. 20. 22 110,29 111,13. 15 113,32. 34 115,11 117,1
γειτνιάζειν 13,20 34,3 46,25 52,32 57,23
γειτνιᾶν 50,12
γειτνίασις 62,26
γένεσις καὶ φθορά 13,12 14,7 57,11 120,33 sqq. 121,22 τὰ ἐν γενέσει καὶ φθορᾷ (σώματα) 10,3 55,9 γένεσις τί ἐστιν 121,5. 6
γῆρας 126,6
γνήσιος τὸ γνήσιον (τῆς πραγματείας) 2,16
γνῶσις ἡ τῶν ὄντων 1,8
γράμμα γράμματα 27,2
γράφειν *pingere* 73,22 74,24
γραφεύς *pictor* 73,18
γραφή *pictura* 69,15. 17 ἡ ἀπὸ μέλανος γραφή 74,21
γυμνάζειν περί τινος 37,23 γ. δόξαν 101,17
γωνία ἀμβλεῖα, ὀξεῖα 28,6. 13 γ. ἴσαι 27, 35 28,3 34,15. 16. 23. 25 sqq. ἡ ἐκ τῶν ὄψεων ἀποτελουμένη γ. 66,37. 38 67,3 sqq.

Δαιμόνιος 117,23 118,21
δάκτυλος 62,40 63,22
δαλός *fax* 57,28. 30 οἱ περὶ τὸν οὐρανὸν φαινόμενοι δαλοί 54,21 55,37 59,34 60,9. 10 90,36
δαπανᾶν 90,31 sqq.
δαψίλεια 80,27
δελφίς (ὁ ἀστήρ) 107,28

δεξιοφανής. δ. κάτοπτρα 28,17
δημιουργικός. δ. ἐνέργειαι 1,11 δ. νοῦς 12,25
δημιουργός 18,8
διαβιβάζειν πάθος 48,3. 4. 13 49,19. 20 52,30
διαβοᾶν 101,26
διάγραμμα 113,24
διαγωνίζειν 37,23
διαγώνιος (γραμμή) 66,12. 13
διάδοσις (ψόφου) 124,9
διαδοχή 120,39
διαδρομὴ ἀστέρος 46,5 47,1 66,22 93,11. 22 94,8 sqq. διαττόντων 61, 14 62, 1 93,35. 36
διαζευκτικὸς σύνδεσμος 63,25
(διαθεῖν) διαθέοντες ἀστέρες 54,20
διάθεσις 107,5
διαιρετικός δ. ὄργανον 1,13. 14
διακονεῖν 49,2 50,13 71,37
διακονικός 23,16
διακόπτειν 52,25 δ. τὴν συνέχειαν 73,27
διακόσμησις θεῶν 117,14
διακρίνειν 120,3 sqq. 121,25. 27 122,16. 17
διάκρισις (τῶν ὄψεων) 85,40 (τῶν στοιχείων) coni. μάνωσις 24,27
διακριτικός (τῶν ὄψεων) 73,3
διαλάμπειν 74,14
διάλειμμα 70,31. 39
διαλείπειν 119,14
διαλλάττειν 47,5
διάμετρος τετραγώνου 66,4. 7 sqq. γῆς 15,16. 17 ἡ τοῦ παντός 107,31
διαμονή 18,10
διάνοια ἡ τῶν προκειμένων (λεγομένων) 33,30 78,32 79,31
διάπλασις 28,19
διαπορεύεσθαι 117,12. 31. 32
διαρθροῦν 29,36
διαρραίνειν 45,26. 29
διασπᾶν 70,23 72,18 δ. τὰς ὄψεις 86,2. 9
διαστασιάζειν 118,20
διάστασις 59,13. 17. 21. 27 86,24. 26 δ. ἡλίου 42,39 76,25. 34
διαστατός. τὸ τριχῇ δ. 41,26
διαστέλλειν 64,33 73,38
διάστημα 35,13. 17 39,25 47,5 84,34 104,31 105,2 129,32. 34. 35
διαστολή 59,16
διάττειν (διαΐσσειν 46,34) διάττοντες ἀστέρες 6,11. 13 46,5. 8 47,3. 22 54,21 61,25 62,10 sqq. 90,36 (διαΐσσων, διαΐσσοντες 66,23 93,30) περὶ τῆς τῶν διαττόντων γενέσεως 60,26 sqq. οἱ κατ' ἔκκαυσιν dist. (οἱ κατ' ἔκθλιψιν δ. *vel* οἱ κατ' ἔκκρισιν καὶ ῥῖψιν) 61,2. 3 62,11 sqq. 65,1 sqq.
διαφάνεια ἡ τῶν νεφῶν, τοῦ ἀέρος 69,22. 27. 31. 34 71,10 sqq.
διαφανής 43,34. 35. 40 τὸ δ. 124,11. 12
διάφασις 69,22 71,8
διαφορά. δ. οὐσιώδεις 30,23 ἡ τῶν κομητῶν πρὸς τοὺς διάττοντας δ. 93,9 sqq.
διαφορεῖν, διαφορεῖσθαι 99,29 101,5 111,18 112,3 126,32
διαχώρημα 126,14
διδασκαλεῖον. τὰ δ. τῆς φιλοσοφίας συνίστασθαι 76,10. 11
διδασκαλία 67,13 75,16 89,33
διδάσκαλος ὁ ἡμέτερος (Ἀμμώνιος) 91,3 106,9
δίδυμοι (οἱ ἐν τοῖς ζῳδίοις) 88,8. 9 96,21. 28. 29 102,14 114,18 115,11 117,2. 3
διελέγχειν 89,26
διηχής. τὸ διηχές 124,12
διοδεύειν 27,4. 5 87,35
διπλόη 111,5 114,5
δίυγρος 6,21
διφρηλατεῖν 101,27
διχοτομεῖν 111,33 112,7
διχότομος σελήνη 21,3
δόγμα 48,1
δόκησις opp. ἀλήθεια 46,37 64,22 65,12. 30 69,12 98,7 coni. φαντασία 75,14. 15 μέχρι δοκήσεως καὶ μόνης εἶναι (opp. οὐσιώδη ὕπαρξιν ἔχειν) 6,13. 14
δοκίας 92,34
δοξάζειν 14,25 17,11
δρόσος 119,8. 31 128,21. 23. 24
δύναμις. τὸ πάντων ἔχον τὴν δ. (i. e. ὕλη) 32,15 αἱ τῶν στοιχείων δυνάμεις 25,10 sqq. 27,15 ἡ ποιητικὴ δ. 92,24 δυνάμει opp. ἐνεργείᾳ 32,20 sqq.
δυναστεύειν 101,8
δυνατός. εἰς τὸ δ. ἀνάγειν τοὺς λόγους 90,5. 6
δυσδιάκριτος 74,23. 26
δυσέξαπτος 90,24
δύσις 12,15. 16 41,15 59,12. 18. 25 65, 26 sqq.
δυσμή. δυσμαί (ἡλίου) 40,30 87,19 δ. αἱ ἰσημεριναί 84,3. 4
δυσκατέργαστος 92,19

δυσόριστος 42,7
δυσπαθής 27,33 85,27. 28
δυσχέρεια ἡ θνητή 51,28 sqq. 52,1. 3
δυτικός. ὁ δ. ὁρίζων 19,12. 13 τὸ δυτικόν (μέρος γῆς) 7,19 60,12

Ἔαρ 116,20 130,21
ἔβενος 58,30
ἐγγύτης 76,32
ἐγκύκλιος. ἐ. σῶμα (σώματα) 10,1. 2 56, 15 91,10 ἐγκύκλια expl. 8,24
εἰδικός. εἰδικώτερα coni. προσεχέστερα αἴτια opp. τὰ πρώτιστα 4,27 εἰδικώτερον ὄνομα 92,29 — εἰδικώτερον καλεῖσθαι 92,31. 32
εἶδος 3,34 4,25 τὸ τέλειον εἶδος 32,24 τὸ σύνθετον τὸ ἐπιγενόμενον τῇ τοιᾷδε κράσει τῶν ἁπλῶν opp. αἱ ἁπλαῖ ποιότητες 48,17 sqq. τὸ συνέχον εἶδός ἐστι 121,5
εἴδωλον 69,9 106,22. 26. 30. 32 108,9. 18
εἰδωλοποιεῖν 69,22 112,35 113,22 sqq.
εἰδωλοποιία. εἰδ. ψευδεῖς coni. ἐμφάσεις 69,6
εἰλικρινής 30,26. 36 31,7 50,15. 18. 36. 38 51,2
εἶναι. τὸ εἶναι ἔχειν ἔν τινι 94,12. 13
ἐκβάλλειν εὐθείας (γραμμάς) 34,22
ἐκδαπανᾶν 92,8. 12. 15
ἐκδιαιτᾶσθαι 124,2. 3
ἐκζεῖν 57,37
ἐκθλίβειν 39,15 62,30. 40
ἔκθλιψις 60,32 63,2 65,6. 7. 11. 36
ἐκκαίειν 56,32. 35 61,12
ἔκκαυσις 58,10. 11 61,2 63,19 sqq. 65,1 sqq. 91,5
ἐκκρεμής 60,1. 5
ἐκκρίνειν 65,22. 23. 34 99,33
ἔκκρισις 65,23. 24 116,16 sqq.
ἐκλείπειν 21,25 101,18
ἔκλειψις. ἐκλείψεις ἡλίου, σελήνης 5,21. 22 15,22 20,38 21,24. 25 30,39. 40 104,16 106,12 114,40
ἐκμογλεύειν 33,13
ἐκμύζειν 115,18
ἐκνεφοῦν 29,2
ἐκπυρηνίζειν 61,5 63,3 73,33
ἐκπυρήνισις 60,32 61,6
ἐκπυροῦν 31,34. 35 40,17 46,10. 35. 36 68,17 91,30
ἐκπύρωσις 68,2. 18. 19 69,35. 37. 39 73,9 sqq. 102,34
ἐκριπίζειν 110,10. 30
ἐκφλέγειν 43,30
ἐκφλογοῦν 44,33 46,36 56,33 58,11. 16. 17
ἐκφλόγωσις 36,6 61,29
ἔλαιον 92,18
ἐλέγχειν 14,26 25,9. 11 66,23 83,37 84,1. 18
ἔλεγχος 23,24 25,13 47,36 75,27 76,22 81,13. 25 83,25 85,10 89,14. 15 ἔλ. ποιεῖσθαι 106,20
ἐλέφας 58,30
ἕλος 59,33
ἐλπίς. δυςχέρειαν καὶ λύσεως ἐλπίδα παρέχειν 51,34. 35 ἐλπὶς ὡς χαλεπῶν τινων ἐσομένων 124,3. 4
ἐμπολιτεύεσθαι 125,12
ἔμφασις 75,16 106,28 opp. ὕπαρξις, ὑπόστασις 2,5 69,6. 9 sqq. 95,18 108,1 sqq. 109,20. 21
ἔμφραξις 7,7
ἔμφυτος. ἔ. βάρος 100,21 128,32 ἔ. κουφότης 122,18 ἔ. ῥοπή 127,20
ἐναντίωσις 50,37
ἐναπόληψις ὕδατος καὶ πνεύματος ἐν τῇ γῇ 6,32. 35. 36 7,7
ἐνάργεια 44,2
ἐνασχολεῖσθαι περί τι 18,1
ἔναυλος (μνήμη) 13,37
ἔνδεια 82,15
ἐνδεῖν. ἐνδεδεμένα ἄστρα (i. e. ἀπλανῆ) 109,30 sqq.
ἔνδειξις 123,34
ἐνέργεια. αἱ θεῖαι ἐν. (opp. ἡμῶν) 1,10. 12 ἐνεργείᾳ, κατ' ἐνέργειαν 32,21. 22
ἐνιαυτός 40,27 99,26. 31 100,14
ἐνίστασθαι. τὰ πρὸς ἕκαστον ἐνιστάμενα 41,24. 25
ἔννοια 18,3
ἔνοπτρον 28,11 70,28. 29 72,12. 13. 15 77,23. 27 84,13 105,32. 33 106,1 sqq. 107,11
ἐνοῦν 70,23
ἔνστασις 104,12. 18
ἐντρέπειν 22,26. 27
ἐξαεροῦν 123,14
ἐξαιρέτως 36,11
ἐξαίσιος 124,2
ἐξακοντίζειν 45,27 58,19 62,29 64,4. 7
ἐξαπλοῦν 27,35. 36
ἐξάπτειν 57,22 sqq. 58,7 61,11 sqq. 90, 26 sqq. 92,5 sqq. 93,11 sqq. 94,2

ἐξασθενεῖν 108,13
ἐξατμίζειν 27,14 77,35 99,29 125,31
ἔξαψις 36,6 56,37 58,21. 28. 32 61,36 75,6 87,31 90,15. 29. 31 92,12 93,24. 28
ἐξέτασις 3,20
ἐξηγεῖσθαι 39,4 78,35. 36 79,30
ἐξήγησις 79,35
ἐξισχύειν 83,35 95,4
ἐξίσωσις ἡ τῶν στοιχείων 39,1
*ἐξωφανής. ἐ. κάτοπτρα 28,17
ἐπαναβαίνειν 76,27
ἐπαναδιπλοῦν 111,1. 2
ἐπανάστασις ἡ τῶν ὀρῶν 57,14
ἐπανατέλλειν 107,29. 30
ἐπιβολή 48,13 κατὰ πρώτην ἐπ. 48,1
ἐπίδοσις 126,5
ἐπιεικής coni. φιλόσοφος 9,9
ἐπικλυσμός 100,28
ἐπικρίνειν 63,23
ἐπίλυσις (ἀπορίας) 29,5
ἐπιμήκης 92,33
ἐπιμονή 90,38
ἐπίπεδον 41,27 73,16 75,29 95,6. 11
ἐπιπολάζειν 23,21 34,1 55,33. 40 106,31 opp. ὑφίστασθαι 10,10
ἐπιπολῆς 8,15. 17
ἐπιπροσθεῖν 30,12 43,35 52,25. 29 sqq. 73,1. 10 sqq. 114,35 sqq. 115,1 sqq. ἐπιπροσθεῖσθαι 72,36. 37 88,26. 30
ἐπιπρόσθησις 71,31. 34. 36 73,28
ἐπίρρημα 99,8
ἐπισημαίνεσθαι 86,32 100,6
ἐπισημειοῦσθαι 51,11 80,3 84,6 87,12
ἐπισκοτεῖν 52,10
ἐπιστρέφεσθαι εἰς ἑαυτόν 12,25. 26
ἐπιστροφή. ἐπ. ποιεῖσθαι εἰς ἑαυτά 12,27
ἐπίτασις 74,6 101,4
ἐπιτείνειν 36,6. 17. 22 57,36
ἐπιτηρεῖν 98,5. 12
ἐπιφάνεια 31,31 57,13 ἡ ἐσχάτη τῆς ἀπλανοῦς σφαίρας 14,10. 11 ἡ κυρτὴ τῆς ἀπλ. σφ. 16,3 25,36 26,1 ἡ κοίλη τῆς σεληνιακῆς σφ. 12,3 57,16. 17 108,34. 35 ἡ κυρτὴ τῆς σελ. σφ. 19,38 20,1 ἐπιφάνεια γῆς 104,31 105,3 ἐπιφάνειαι νοοῦνται δύο τῆς γῆς 36,30 sqq. ἐπιφάνεια κατόπτρου 106,31
ἐπιχείρημα 46,27 81,25
ἐπιχείρησις 16,31
ἐπωνυμία 60,11
ἐρανίζειν 30,39
ἐργώδης 75,16
ἑρμηνεύειν 79,3. 7
ἐρυθρός 47,26 70,2. 17 71,27
ἔσοπτρον 28,1 43,18. 28 69,24 77,21 106,11
ἑσπέρα 87,14. 16
ἑτερότης 16,17
ἐτήσιος κύκλος 8,24
ἐτυμολογεῖν 17,38
ἐτυμολογία 16,26
εὐαγής 38,7
εὐδιαίρετος 46,20
εὐδιάλυτος 90,23
εὐειδής 30,33
εὐέξαπτος 90,30
εὐήθης 105,13
εὐθίκτως 8,11
εὐθυπορικός. τὰ εὐθ. 12,33
εὐθύς. εὐθεῖα (γραμμή) 86,1 ἡ ἐπ' εὐθείας κίνησις 12,36
εὐκίνητος 64,9
εὔκρατος 53,25 90,24 91,25. 28 92,23
εὔλογος 30,33 48,27 109,29. 35 110,26 113,31 115,15 118,24 — εὐλόγως 99,35 110,5 111,22
εὐπαθής 33,16 58,12 85,29 97,21 — εὐπαθῶς 44,26
εὐπορία 8,3
εὐρύνειν 21,15. 17 28,14 66,35
εὐταξία 102,32
εὐφόρβιον 46,17
εὐφυΐα ἡ τοῦ ὑπεκκαύματος 93,23
εὔψυκτος 129,20
ἔφοδος ἡ τοῦ κύματος 84,9. 10 87,10 100,24

Ζέσις πυρός 44,27
ζήτημα. τὰ φυσικὰ ζ. 75,19
ζητητικός. τὸ ζητητικώτερον 18,9
ζωγράφος 70,15 71,27
ζῳδιακός (κύκλος) 81,29. 31 82,2 sqq. 84,20 101,33 102,8. 15 111,16. 31. 35 112,4. 7. 26 115,11 117,2 120,2. 26
ζῴδιον 19,14. 21 43,4 79,17 87,24 88,8 89,25 103,27
ζωή 120,38. 41
ζώνη ἡ τοῦ Ὠρίωνος 88,7. 9. 11. 14 96,21. 35 — ὁ ἥλιος τὴν μέσην ἐπέχων ζ. 42,17 αἱ δύο ζῶναι (τῆς γῆς) αἱ οἰκούμεναι 53, 23. 24 ἡ ὑπὸ τὸν ζῳδιακὸν ζ. 112,4 ἡ διακεκαυμένη 101,30

ζωογονεῖν 120,37
ζωογονικός. τὸ ζωογονικώτατον τῶν στοιχείων (τὸ πῦρ) 23,1. 2
ζωτικός. ζ. δύναμις 1,6

Ἦθος φιλόσοφον καὶ φιλάληθες 7,35
ἡλιακός. ἡλ. σφαῖρα 19,36 52,19. 37 ἡλ. φῶς 52,34 85,33. 34 ἡλ. αὐγαί 104,29. 30 ἡλ. ἐκλείψεις 114,39. 40
ἥλιος 19,32. 35 sqq. 20,1 sqq. 21,34 24,9 30,14. 38 40,4. 12 sqq. 41,1 sqq. 42,13 sqq. 43,1 sqq. 76,13 sqq. 77,21 sqq. 78,1 sqq. 79,12 sqq. 83,26. 29 sqq. 84,2 sqq. 88, 3 sqq. 95,10 sqq. 96,18 sqq. 101,32. 36 102,6 sqq. 103,21 sqq. 104,23. 32 sqq. 120,3 sqq.
ἡμικύκλιον 19,9. 14. 20. 26 sqq. 78,11. 18 102,12 113,4
ἡμισφαίριον τὸ ὑπὲρ γῆν 87,23 τὸ νότιον 88,11
ἤπειρος 19,23. 24
ἡρεμαῖος 129,30
ἡρεμία 11,24 12,12 119,15
ἡσυχία 130,10

Θαλλός 60,2
θαυματουργεῖν 28,20
θειώδης τὸ θειῶδες (γῆς) 7,5
θεολογεῖν 117,39
θεολογία 118,8
θεολογικός. τὸ θεολογικόν (μέρος τῆς φιλοσοφίας) 1,21
θερινός. θ. τροπαί 83,34 84,3 θ. τροπικός 53,24
θέρμα 49,22. 28
θερμαίνειν 40,12. 13 sqq. 43,5 sqq. 45,7 sqq. 48,28 sqq. 49,19 sqq. 52,10 sqq. 53,3 sqq. 112,22. 24
θερμασία 26,13 52,17. 22. 34 99,33
θερμός. τὸ θερμόν 125,12 sqq. 126,2. 6. 7. 16 sqq. τὸ θ. τῷ φωτὶ συμπέφυκε 43, 22. 23
θερμότης 42,29. 36 43,11 sqq. 52,8 sqq. 112,23 116,26. 27 120,5. 12. 14. 24 122, 5. 12 sqq.
θέρος 116,20 125,15. 23. 26 sqq. 126,31. 38 127,3 130,18
θέσις καὶ τάξις τῶν στοιχείων πρὸς ἄλληλα 56,9 sqq.
θεώρημα. τὰ ἀστρονομικὰ θ. 104,19. 22
θεωρητικός. ἡ θ. δύναμις τῆς ψυχῆς 1,6 θ. μέρος τῆς φιλοσοφίας 1,19. 20
θεωρία opp. πρᾶξις 1,12 ἡ προκειμένη θ. 9,28 εἰς θ. ἐμβάλλειν 9,24
θημών 93,15
θηρεύειν 61,39
θνητός. θν. οὐσία 31,8 θν. δυσχέρεια 51,28 sqq. 52,1. 3
θραύειν 72,15 124,20
θραῦσμα 72,16
θρυαλλίς 57,27 61,20
θύειν 26,36. 37
θυμίαμα 55,17
θυμιᾶν. θυμιώμενα 23,12
θύρα. ἐπὶ θύραις εἶναι 130,25
θυσία 26,33 33,10

Ἰδιάζειν. ἰδιάζουσα ὕλη 55,6. 7 φύσις 85,17
ἰδικός. ἰδικωτέρα ὕλη 55,9 — ἰδικώτερον 2,18 100,35 110,22 ἰδικώτατα 110,23
ἰδιότης 117,24
ἰδιότροπος. αἱ ἐν τῷ οὐρανῷ δυνάμεις ἰδιότροποι 44,24. 25
ἰδιωτικός 5,39
*ἰθυφορικός. ἰ. οὐσία 30,18
ἰκμάς 31,36 33,11
*ἰνάριον λεπτόν χάρτου 61,31
ἴνδαλμα 43,17
ἴον 47,17
ἶρις 6,20 8,8 69,26 70,37
ἰσημερινὸς κύκλος 41,5 53,18. 20 77,15. 16. 33 80,24 83,31 84,5. 14 101,9 112,7. 15 αἱ ἰσ. δυσμαί 84,3. 4
ἰσοδρομεῖν 96,13. 37 97,12. 23 98,3 102,28
ἰσόδρομος 79,28
ἰσοδυναμεῖν 88,13
ἰσοσθενής 65,38 66,13
ἰσοταχῶς 6,3 102,29 106,27 107,12 sqq.
ἰσοχρόνως 112,21
ἱστορεῖν 84,17 85,16 87,13 96,16
ἱστορία 9,4 84,26 85,16 89,3. 15 100,20
ἰσχίον. ἀστήρ τις ἐν τῷ ἰσχίῳ τοῦ κυνός 85,17
ἰσχυρίζεσθαι 15,14
ἰχθὺς ὁ ἐν τοῖς ζῳδίοις (Arat.) 112,38 οἱ ἰχθύες 87,24 88,6. 8 96,23. 28

Καθαίρειν 117,13. 33. 34
κάθετος 27,12 34,29 κατὰ κ. (μίαν) εἶναι (κεῖσθαι ὑπάρχειν συστῆναι) τινί 46,37 47,1 69,28. 35 70,24. 25 98,12 115,13 ὑπὸ μίαν κ. εἶναί τινι 43,36 95,4 κατὰ κ. ἔχειν τι 95,2
καθολικός 4,12 τὸ καθολικώτερον 120,32 — καθολικῶς 121,10
κατκίας ὁ ἄνεμος 7,29. 32
καινοτομεῖν 16,25
καιρός 127,13 130,20. 30. 31
καλαθοειδής 21,16. 17
καλάμη 59,32
κακία 1,13. 15
καπνίζειν 57,24. 28 61,16. 17
καπνός 61,18. 22 sqq. 70,17. 18 72,9 74, 8. 10
καπνώδης ἀναθυμίασις 2,35 36,11. 17 65,20. 29 90,15. 17
καρκίνος (ὁ ἐν τοῖς ζῳδίοις) 96,28 112,29
καρπός 120,36. 38
καστόριον 46,17
καταγέλαστος 96,29
καταγιγνώσκειν 116,36
καταγραφή 113,19
καταδαπανᾶν 111,20. 21
κατακλύζειν 27,1
κατακλυσμός 17,38 18,3
καταξηραίνειν 77,34
κατάξηρος. τὰ κ. 58,26
καταριθμεῖν 32,19
κατάρχεσθαι δόξης 17,18
κατασκέλλειν. κατεσκληκώς 44,10
κατασκευάζειν 11,4 16,16. 30 37,28
κατάστημα νότιον 72,5
καταστηρίζειν 113,25
καταυγάζειν 87,23. 28
καταφλέγειν 22,25 29,20 101,29 102,32
καταχρίειν 73,19
καταψύχειν 45,33 53,19. 20
κάτοπτρον 27,36. 39 28,2. 4. 9 sqq. 106, 29 sqq.
κατώφορος 30,19
καυματώδης 72,6
κενός. τὸ κενόν 10,13. 15. 22. 23 67,37
κέντρον 15,5. 25 19,7. 8. 10. 16. 22 34, 22 sqq. 78,10 91,21 τὸ τοῦ παντὸς κ. 34,13. 16. 33 sqq. 35,5. 12. 14 τὸ τῆς γῆς κ. 104,30. 32. 34
κεραυνός 47,22. 24
κῆτος αἰθέριον (Arat.) 112,38
κίνησις 40,12 sqq. 41,10 sqq. ἡ κύκλῳ, ἡ ἐπ' εὐθείας κ. 11,22 sqq. 12,8 sqq. ἡ κατὰ φύσιν, παρὰ φύσιν (βίᾳ) κίνησις 65,34 sqq. κίνησιν ποιεῖσθαι 98,9. 10.
κλάδος φοίνικος 60,2
κλᾶν. κλᾶσθαι 21,13 28,9
κλάσις (ἀκτίνων) 21,14 27,26. 35 28,1. 3
κληματίς 92,14. 15
κοίλωμα. κοιλώματα τῆς γῆς 15,12. 13. 23 29,25. 26 55,40 57,12
κολάζειν τὴν θερμότητα 62,23
κόλλα 27,30
κόμη 77,11 sqq. 80,25 82,25 85,12 sqq. 98,22. 25. 28 109,10. 13. 15 sqq. κόμης καὶ ἄλω τίς ἐστι κοινωνία καὶ τίς διαφορά 95,11 sqq.
κομήτης. οἱ κ. πῦρ εἰσι 47,24 περὶ κομητῶν 75,17 sqq. κ. εἰδικώτερον, γενικώτερον καλούμενοι 92,31. 32 93,13. 14 κομῆται ἀστέρες ὄντες καὶ χωρὶς ἀστέρων 94,31 sqq. 96,8 sqq. ὁ μέγας κ. 83,22 84,3 sqq. 87,9 100,23. 24
κόρη 66,33 85,25
κορυφή (ὄρους) 36,32 37,1. 12 90,19 91,17 κ. κώνου 21,23. 29
κορυφοῦν 33,14
κοσμεῖν. τὸ κοσμοῦν (coni. συνέχον) εἶδός ἐστιν 121,5
κόσμος 3,31. 32 5,11. 12 110,19. 20 ὁ κάτω, (ὁ ὑπὸ σελήνην) κόσμος 10,16. 31 sqq. 11,3 ὁ περὶ τὴν γῆν κ. 13,11 50,19 51,1
κοῦφος 33,32 55,33 sqq. τὸ κ. 12,1 sqq. 33,36 34,27 39,11. 14 121,2 sqq.
κρᾶσις 31,6 αἱ τῶν σωμάτων κρ. 47,12
κριοειδής 115,5
κριός (ὁ ἐν τοῖς ζῳδίοις) 41,5. 7 79,18. 19. 21 87,24 88,8 96,23 112,16. 19. 22
κρίσις ἡ τῶν ὁρατῶν 27,39 85,39 86,3
κρόμυον 47,16
κρύσταλλος 23,15 128,23 159,7
κρύψις ἡ τοῦ ἡλίου 76,30 κρύψεις ἀστέρων 114,33
κυαθιαῖον ὕδωρ 24,22
κυανοῦς. τὸ κ. 71,25 74,15
κυβερνᾶν 10,33 11,1. 4 12,30
κύβος 20,7 sqq.
κυκλίζειν 97,36
κυκλικός. κ. κίνησις 90,20. 21

κύκλος, ὃν ὁ ἥλιος (ἡ σελήνη) κινεῖται 40,34 sqq. 41,2. 3 κύκλος μέγιστος (σφαίρας) 111,32. 33 112,6. 8 ὁ ἰσημερινός 41,5 101,9 112,7. 15 οἱ τροπικοί 111,33 ὁ ζῳδιακός 102,8. 15 111,31 ὁ γαλαξίας (ὁ τοῦ γάλακτος) 101,30 102,13 106,6. 7 109,16 sqq. 110,29 112,6 ὁ μέγιστος τῆς γῆς 15,15
κυκλοτερής 20,27. 31. 37
κυκλοφορεῖσθαι 106,35 τὰ κυκλοφορούμενα σώματα 4,9 10,13. 14 14,6 22,11. 13 30,10.11.14.15.23 56,17 119,2. 3. 11. 12 ἡ κυκλοφορουμένη οὐσία 110,13. 14
κυκλοφορία 16,30 58,9 59,7
κυκλοφορικός. κ. σῶμα 37,2. 17 κ. οὐσία 30,16
κυλινδροειδής 21,9
κύλινδρος 20,30. 32. 34 21,12
κυνόσουρα (i. e. ἡ ἄρκτος) 112,21 cf. 41,5, ubi κυνοσούρας scribendum erat
κυνοσουρὶς ἄρκτος (Arat.) 112,18
κυρτός 19,38 25,36
κυροῦν 117,27
κύων (ὁ ἐν τοῖς ἄστροις) 15,19 18,34. 36 83,2
κωνοειδής 21,24 104,23 — κωνοειδῶς 66,33 85,25
κῶνος 21,21 sqq. 66,35 ὁ τῆς σκιᾶς κ. 103,31 104,14. 17. 27 105,1 ὁ τῶν ἐκ τῆς κόρης ἐξιουσῶν ὄψεων 85,25
κώπη 69,14
κωπηλατεῖν 70,32

Λαμπάς 63,20
λαμπρός 113,2. 3. 5. 6
λέβης 122,8
λεκάνη 129,34
λέξις 39,1. 4 49,37 79,2. 3. 31 99,4
λεπτομέρεια 33,17 58,13 63,4 64,8 97, 31. 32
λεπτομερής 29,17. 25 47,20
λεπτοποιεῖν 99,33
λεπτός 29,1 91,29 97,29 111,19
λεπτύνειν 28,38 31,33 101,5 111,18 123,14
λευκογραφεῖν 74,24
λευκογραφία 74,22
λευκός τὸ λευκόν 73,3 sqq. 74,1 sqq.
λευχειμονεῖν 74,25. 26
λέων (ὁ ἐν ζῳδίοις) 96,28
λήθη 17,28
λῆμμα 40,13
λιγνύς 61,17
λίθος ὁ μετεωρισθεὶς — ἐν Αἰγὸς ποταμοῖς 100,20 sqq.
λιμνάζειν 36,35 37,27 57,14 87,21 91,17 22. 23 97.11. 34
λιμναῖος 37,1
λογίζεσθαι 105,8
λογικός. λ. πραγματεία 1,17. 18
λογοποιεῖν 44,31
λόγος. σημείου καὶ κέντρου λ. ἔχειν 15,5 19,7 23,25. 26 106,34 λ. ἔχειν πρός τι 20,15. 16 ἐν λόγῳ τινὶ εἶναι 19,18. 19 ἐν οὐδενὶ λ. 24,34. 35 μηδένα λ. ἔχειν πρός τι 19,16. 22 λόγος τῆς συμμετρίας 74,7. 8
λοξός coni. πλάγιος 66,2. 3 — λοξῶς 66,11 85,40 λοξότερον 85,32
λοξοῦν τοὺς ὀφθαλμούς 86,7. 8 θέσις λελοξωμένη 59,19 62,8. 9
λύσις κομήτου 86,19. 25. 32. 33 — λύσις ἀπορίας 22,21 26,24 29,35
λυχνιαῖον φῶς 20,25. 26 86,5
λύχνος 57,24. 28 61,15 63,21 83,5 85,41 86,7

Μαζός 115,20
μάθημα. τὰ δεδειγμένα διὰ τῶν μαθημάτων 22,15. 16
μαθηματικός. τὸ μ. (μέρος τῆς φιλοσοφίας) 1,20 αἱ μ. μέθοδοι 20,21 οἱ μαθηματικοί 19,33
μαλακός 42,5
μαλλός. οἱ τῆς αἰγὸς μαλλοί 60,5
μανός 44,13
μανότης 58,28. 29
μανοῦν 7,3 26,27 40,14 58,18
μάνωσις 7,3 24,27 58,20. 30 126,38
μέθοδος. ἡ φυσικὴ μ. 5,3. 6 αἱ μαθηματικαί 20,21 αἱ ἀστρολογικαί (ἀστρονομικαί) 20,20 105,9. 14
μειοῦν 126,7
μείωσις 30,27 78,12 115,35
μελανειμονεῖν 74,25
μέλας. τὸ μέλαν 73,6 74,1 sqq.
μερικός 4,5. 6. 11
μεσονύκτιον 107,28. 34
μεσότης 11,34 12,10. 13. 16. 19
μεσουρανεῖν 19,3 53,3 108,15
μεσουράνημα 12,15. 16 53,10. 11 81,6 107,29

μεταβαίνειν 126,24
μεταβάλλειν 26,26. 30 27,13 sqq. 32,16. 17.23 39,8
μετάβασις ἡ τοῦ ἡλίου 103,26 104,1 ἡ τῆς ἐξάψεως (ἐπὶ τῶν διαττόντων) 61,36
μεταβολή 4,10. 14 38,14. 17. 36 62,20. 21 74,34 123,4. 7 sqq. ἡ κατ' εἶδος (κατὰ ποιότητα) μ. 50,6. 7. 22 51,29 αἱ τῶν στοιχείων (εἰς ἄλληλα) μεταβολαί 7,4 24,19 sqq. 25,10. 11 αἱ ἐν τῷ ἀέρι μ. 114,8. 14. 26
μεταίχμιος. τὸ μεταίχμιον 62,19. 22
μεταδιδόναι 51,5. 9
μετακινεῖν 106,25 sqq. 114,20
μεταλαγχάνειν 122,14
μεταλλικός 3,16
μεταποιεῖν 121,3
μεταφέρειν 17,26
μεταχωρεῖν 38,29. 38 122,37
μετεωρίζειν 100,21 122,20 123,17
μετεωρολογικός. μ. πραγματεία 3,16. 17. 19 τὸ μ. μέρος τῆς φυσικῆς μεθόδου 5,3 τὰ μετεωρολογικά 4,20
μετέωρος 35,6 128,11 τὸ μετέωρον (τὰ μ.) 2.27. 31. 35 5,7. 28 6,6 8,7 9,27 120.22. 31 τὰ μετεωρότερα μέρη τοῦ ἀέρος 119,32. 33
μετόπωρον 116,20 130,32
μετριάζειν 8,13 15,6
μῆκος expl. 59,12 sqq.
μήν 40,27
μηνίσκος. ὁ τοῦ κύκλου τετραγωνισμὸς διὰ τῶν μηνίσκων 77,9
μηνοειδής 21,2. 3
μηχανικός. μ. τέχνη 27,10
μιμεῖσθαι 12,25. 27
μόλιβδος 27,29 40,16
μονή 93,12. 13
μονόπωλος (Eurip.) 102,2
μορφοῦν 59,21
μυθεύειν 117,16
μυθικῶς 44,22
μυθολογία 102,4
μῦθος 101,35 102,24 115,17. 24
μυθώδης 101,24 115,25
μυκηθμός 7,25
μύρμηξ 65,38 66,13

Νάρκη 48,8. 11. 16. 30
ναστός 57,11. 17
νεκροῦν 44,34
2 ἕτερα omissis παρὰ τὰ τέσσαρα (sed in mrg. ἑτέρα π ρ Δ᾽ τὰ) T: ἑτέρα π τὰ ἕτερα R 6 ἀστέοις G τοιούτων Z 7 γὰρ om. GT¹ 8 πεπερατωμένον R; ceterum cf. Philop. Phys. p. 438,8sqq. 9 τε] τι a 13 ποιεῖν T 13. 14 ταῦτα—διδάσκει om. Z 15 καὶ τῆς R: τῆς GTZ: καὶ περὶ τῆς a 16 περὶ] ἐπὶ R 19 et 23 θέσιν] σύνθεσιν Z 21 πεπερασμένον Z 23 ὄν om. a 23. 24 πρὸς—δεομένη om. Z 26 ἃς] immo ἣν 28 διδάξειν a στοιχείων γίνεται Z 30 μερῶν] μέτρων R 30. 31 γίγνεται et γιγνόμενα et γιγνομένων a 32 διαλήψεσθαι a 36 ἐνερ[γ] R: ἐνεργεία Za

τῶν γινομένων καὶ φθειρομένων. ὅλως τε δὴ ἐζήτησε πόθεν ποτ' εἰς 1v
ἔννοιαν ἦλθον τοῦ οἴεσθαι μὴ εἶναι γένεσιν οἱ τοῦτο ἀποφηνάμενοι, καί 20
φησιν ὅτι πεπεισμένοι εἶναι ἐν τοῖς πράγμασιν ἐπιστήμην, ταύτην δὲ
ἑστώτων καὶ ἀεὶ ὡσαύτως ἐχόντων εἶναι λέγοντες, ὑπέθεντο ἑστῶτα
5 εἶναι πάντα τὰ ὄντα. ὁ δὲ πρὸς ταῦτα δέδειχεν ὅτι καὶ ἐπιστήμη ἐστὶ
καὶ αὕτη ἑστώτων καὶ ἀεὶ ὡσαύτως ἐχόντων τυγχάνει, καὶ ὅμως οὐκ
ἀναγκαζόμεθα τὴν κίνησιν ἀνελεῖν πάντα ἑστῶτα ὑποθέμενοι. ἐνδέχεται
γὰρ τῶν πάντων τὰ μὲν ἑστῶτα ὑποτίθεσθαι καὶ ἀίδια, ὧν ἡ ἐπίστημη,
τὰ δὲ γενητὰ καὶ φθαρτά, ἐν οἷς ἡ κίνησις. καὶ ἐν αὐτοῖς δὲ τοῖς γενη- 25
10 τοῖς ἔστι τι ἑστὼς καὶ μένον καθ' ὃ καὶ ἐπιστήμη αὐτῶν ἐστι, λέγω δὲ
τὸ εἶδος· τῶν γὰρ κατὰ μέρος φθειρομένων καὶ μεταβαλλόντων τὸ εἶδος
ἀεὶ κατὰ διαδοχὴν φυλάττεται. διὰ τούτων τοίνυν καὶ τῶν τοιούτων
δείξας ὅτι ἔστι γένεσις καὶ τὰ γινόμενα καὶ φθειρόμενα, ζητεῖ ἐκ τίνος
γίνεται τὰ γινόμενα, ἆρα ἐξ ἀσωμάτου τινὸς ἢ ἔκ τινος σωματικοῦ στοιχείου.
15 καὶ δείκνυσιν ὅτι οὐκ ἐξ ἀσωμάτου. δυοῖν γὰρ ὄντων ἀτόπων θάτερον ἐξ
ἀνάγκης ἕψεται· ἢ γὰρ κενὸν ἔσται ὃ καταλήψεται τὸ ἐξ ἀσωμάτου γινό- 30
μενον ἤ, εἴπερ οὐκ ἔστι τόπος κενός, σῶμα διὰ σώματος διελεύσεται.
λείπεται οὖν ἐκ σωματικοῦ στοιχείου γίνεσθαι τὰ γινόμενα. ἔνθα καὶ τὸ
στοιχεῖον ὁρίζεται φάσκων στοιχεῖον εἶναι σωμάτων εἰς ὃ ἔσχατον τὰ
20 σύνθετα σώματα διαλύεται. ἐνυπάρχον δυνάμει ἢ ἐνεργείᾳ (τοῦτο γὰρ
ὁποτέρως ἔχει τέως ἀμφισβητήσιμον). αὐτὸ δὲ ἀδιαίρετον εἰς ἕτερα τῷ
εἴδει. ἀμφισβητήσιμον δὲ τέθεικε τὸ εἴτε ἐνεργείᾳ εἴτε δυνάμει ἐνυπάρ- 35
χειν τὸ στοιχεῖον, διὰ τὸ μήπω διδάξαι καθ' ὃν τρόπον γίνεται ἡ γένεσις.
εἰ μὲν γὰρ κατὰ σύγκρισιν καὶ διάκρισιν ἡ γένεσις καὶ ἡ φθορά, ἐνεργείᾳ
25 ἐνυπάρχει τὰ στοιχεῖα τοῖς συνθέτοις· εἰ δὲ κατὰ μεταβολὴν τῆς οὐσίας,
δυνάμει καὶ οὐκ ἐνεργείᾳ.

Δείξας τοίνυν ὅτι οὐκ ἐξ ἀσωμάτου τὰ γινόμενα, ἀλλ' ἐκ σωματικοῦ
τινος ὅπερ στοιχεῖον καλοῦμεν, ἐφεξῆς ζητεῖ τοῦτο τὸ στοιχεῖον πότερον
ἓν ἐστιν ἢ πλείονα, καὶ πότερον ἄπειρα ἢ πεπερασμένα. ἓν μὲν οὖν,
30 φησίν, ἀδύνατον· πόθεν γὰρ ἡ τοσαύτη διαφορὰ ἐν τοῖς γινομένοις, εἴπερ 40
ἑνὸς ἐγίνοντο; καὶ πόθεν αἱ διάφοροι καὶ ἐναντίαι κινήσεις τῶν μὲν ἀνω-
φόρων ὄντων τῶν δὲ κάτω ῥεπόντων; οὐ γὰρ οἷόν τε ἐν ἑνὶ καὶ τῷ αὐτῷ
τὰ ἐναντία εἶναι. καὶ γὰρ καθ' Ἱπποκράτην "εἰ ἓν ἦν ὁ ἄνθρωπος οὐκ

1 δὴ] δὲ T 3 φασὶν R ὅτι τῶ Z 4 ἑστῶσαν a 4. 6. 12 αἰεὶ R 6 αὐτὴ RZ 13 ὁ ἐστὶ T καὶ τὰ φθειρόμενα Z 14 et 16 ἀσώματος Z 15 οὐκ om. GT ἀσωμάτου R: ἀσω ματ' Z: ἀσωμάτων (GT)a δυεῖν ex corr. R 17 κενὸν σῶμα R 18 ἔνθα κτλ.] cf. Ar. de Cael. Γ 3. 302a 15 sqq. 19 σωμάτων RZ: ἀσωμάτων GT: σῶμα a 20 ἀναλύεται a 22. 23 ἐνυπάρχειν a et corr. T: ἐν ὑπάρχειν GT¹: ὂν ὑπάρχει (ὑπαρ χ Z) RZ 25 ὑπαρ χ Z τῆς om. R 27 ἐξ om. a ἀσω ματ' Z 29 πλείονα a fort. καὶ ⟨εἰ πλείονα,⟩ 31 ἐγένοντο a 31. 32 ἄνω φόρων GT¹ 33 τἀναντία R Hippocrat. de nat. hom. p. 350 K. (VI p. 34,17 Littr.)

ἂν ἤλγεεν, εἰ δὲ καὶ ἤλγεεν ἓν ἦν καὶ τὸ ἰώμενον αὐτόν". οὐκ ἐξ ἑνὸς 1v
οὖν, ἀλλ' ἐκ πλειόνων. οὐ μὴν ἀπείρων· δέδεικται γὰρ ὡς ἀδύνατον τὸ
ἄπειρον ἐνεργείᾳ ὑποστῆναι. οὐ λέγω δὲ κατὰ τὸν ἀριθμὸν μόνον ἀδύνατον
τὰ στοιχεῖα ἄπειρα εἶναι, ἀλλ' οὐδὲ κατὰ μέγεθος· εἰ γὰρ ὁ οὐρανὸς ὁ 45
5 πάντα περιέχων δέδεικται πεπερασμένος ὤν, σχολῇ γε ἂν τῶν στοιχείων
τι εἴη ἄπειρον. πεπερασμένα οὖν τὰ στοιχεῖα καὶ οὐχ ἕν. πόσα δέ ἐστι
καὶ τίνα μὴ προσθείς, ἀλλ' ὡς ὁμολογούμενον λαβὼν ὅτι τέσσαρά ἐστι,
συμβαλλομένης δὲ εἰς ἀπόδειξιν τοῦ τοσαῦτα εἶναι τῆς περὶ τοῦ εἰ γενητά
ἐστιν ἢ ἀγένητα σκέψεως, εἰς ταύτην μετήνεγκε τὸν λόγον· καὶ δείξας ὅτι
10 οὐκ ἀγένητα ἀλλὰ γενητά, καὶ μάλιστα ἐκ τῆς ἐναργείας (ὁρῶμεν γὰρ ἅπαν 50
ὕδωρ φθειρόμενον καὶ γινόμενον ἀέρα, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως),
ἐφεξῆς ζητεῖ πόθεν γίνονται, πότερον ἐξ ἀλλήλων ἢ ἐξ ἄλλου τινὸς ὑπο-
κειμένου, ὥσπερ ὑπετίθεντο οἱ τὸ μεταξὺ ὕδατος καὶ ἀέρος ὑποτιθέμενοι
σῶμα. δείκνυσι δὲ ὅτι οὐκ ἐξ ἄλλου τινός. ἐκεῖνο γάρ, φησί, τὸ ἄλλο
15 στοιχεῖον σῶμα ὂν ἐν τόπῳ ἐστὶν ἐξ ἀνάγκης. ἢ οὖν ἄνω ἔσται ἢ κάτω·
καὶ εἰ ἄνω, ἤτοι κατὰ φύσιν ἢ παρὰ φύσιν· καὶ κάτω ὡσαύτως, ἢ κατὰ
φύσιν ἢ παρὰ φύσιν. ἄνω μὲν οὖν ὂν κατὰ φύσιν, πῦρ ἔσται | ἢ ἀήρ· 2r
παρὰ φύσιν δὲ ἄνω ὄν, ἢ ὕδωρ ἔσται ἢ γῆ. τὰ αὐτὰ δὲ ἕψεται ἀντι-
στρόφως κάτω ὑποτεθέντος αὐτοῦ. κατὰ φύσιν μὲν γὰρ ὂν κάτω, γῆ
20 ἔσται ἢ ὕδωρ· παρὰ φύσιν δέ, πῦρ ἢ ἀήρ. ἔτι τοῦτο τὸ σῶμα οὐ δήπου
ἄποιον ἔσται καὶ ἀνείδεον· τοῦτο γὰρ ἀδύνατον. τῇ ὕλῃ γὰρ τοῦτο προ-
σεστιν ἀσωμάτῳ οὔσῃ, ἡμῖν δὲ πρόκειται σωματικὰ στοιχεῖα ζητῆσαι.
εἰ τοίνυν πεποίωται, ἢ θερμὸν ἔσται ἢ ψυχρόν, καὶ ἤτοι ξηρὸν ἢ ὑγρόν. 5
εἰ μὲν οὖν θερμὸν εἴη καὶ ξηρόν, πῦρ ἔσται· εἰ δὲ θερμὸν καὶ ὑγρόν,
25 ἀήρ· ἔτι δὲ ὑγρὸν μὲν καὶ ψυχρὸν ὑποτεθέν, ὕδωρ ἔσται· ψυχρὸν δὲ καὶ
ξηρόν, γῆ. οὐκ ἄρα ἐξ ἄλλου τινὸς γίνονται· ἐξ ἀλλήλων ἄρα. εἰ δὲ ἐξ
ἀλλήλων, ἤτοι δυνάμει ἀλλήλοις ἐνυπαρχόντων ἢ ἐνεργείᾳ. ἀλλ' εἰ μὲν
ἐνεργείᾳ ἀλλήλοις ἐνυπάρχοντα γεννᾶται ἐξ ἀλλήλων, κατὰ ἔκκρισιν ἔσται
ἡ γένεσις, καθάπερ οἱ περὶ Ἀναξαγόραν ὑπετίθεντο. ἀλλὰ τοῦτο, φησίν,
30 ἀδύνατον· εἰ γάρ, φησί, τῷ ἐκκρίνεσθαι γεννᾶται ταῦτα ἐξ ἀλλήλων, οἷον 10
εἰ τῷ ἐνυπάρχειν ἐν τῷ ὕδατι κατ' ἐνέργειαν ἀέρος ὁμοιομερείας γεννᾶται
[δὲ] ἐξ ὕδατος ἀήρ, καὶ τῶν ἄλλων ἕκαστον, ἀνάγκη ἤτοι στῆναί ποτε
τὴν γένεσιν. τῶν μὲν ἄλλων ὁμοιομερειῶν ἐξαναλωθεισῶν (ἀέρος φημὶ καὶ
πυρὸς καὶ γῆς) τῶν δὲ τοῦ ὕδατος μόνων ὑπολειφθεισῶν, ὡς μηκέτι ἐξ αὐτῶν

---

1 ἤλγεεν utrobique R: ἤλγτεν priore loco T¹ 3 ἀριθμὸν R: ἀρθμὸν a (cett.) 4 εἶναι ἄπειρα R prius ὁ om. T 6 τι om. T¹ 7 λαβὸν Z¹a 8 εἶναι τοσαῦτα Z τῆς om. R 9 ἢ ἀγέννητα· σκέψιν εἰς R 10 ἐνεργείας libri (certe GRa) 11 φθειρόμενον om. Z 13 ὑποτίθεντο Z 16 εἰ om. RT¹: ἢ a ἢ παρὰ φύσιν om. T¹ fort. καὶ ⟨εἰ⟩ κάτω 18 ἢ γῆ] ἡ γῆ a ταῦτα δὲ Z 19 ὑποτιθέντος Z 21 τοῦτο γὰρ] τοῦ γὰρ GT¹ 22 ἀσωμάτων GTa 23 ἐστιν a 24 εἴη om. a 26 ἀλλ' ἐξ ἀλλήλων ἄρα Z 28. 30 κατὰ — ἀλλήλων om. GT 28 et 30 ἔγκρισιν et ἐγκρίνεσθαι Z 31 εἰ τὸ G¹T ὑπάρχειν a, qui κατ' ἐνέργειαν om. 32 δὲ delevit a 34 μόνον a ἐξ ἀλλήλων a

ἄλλο τι δύνασθαι τῶν στοιχείων ἐκκρίνεσθαι· ἢ οὖν τοῦτο τὸ εἰρημένον 2r
συμβήσεται, τὸ στῆναι τὴν γένεσιν, ἢ εἴπερ εἰσαεὶ δοίης γίνεσθαι ἐξ ἀλλή-
λων τὰ στοιχεῖα, ἄπειρα ἀνάγκη ὑποθέσθαι σώματα ἐν τῷ αὐτῷ ἐνεργείᾳ 15
ὑπάρχοντα, ὅπερ ἀδύνατον. λείπεται οὖν ἐξ ἀλλήλων γεννᾶσθαι τὰ
5 στοιχεῖα, τῷ δυνάμει ἐνυπάρχειν ἀλλήλοις. δυνάμει δὲ ἀλλήλοις ἐνυπάρ-
χουσιν ἢ τῷ ἀναλύεσθαι εἰς πρῶτα καὶ κοινὰ τῶν πάντων στοιχεῖα, ἅπερ
οἱ μὲν ἄτομα σώματα ἔλεγον (καθάπερ οἱ περὶ Λεύκιππον καὶ Δημόκριτον)
οἱ δὲ ἐπίπεδα (ὥσπερ Πλάτων), ἢ τῷ δυνάσθαι εἰς ἄλληλα μεταβάλλειν.
ἀλλ' ὅτι μὲν οὐ τῷ ἀναλύεσθαι εἰς πρῶτα στοιχεῖα ἔδειξεν (οὔτε γὰρ
10 ἄτομα σώματα δυνατὸν εἶναι, καὶ τὸ εἰς ἐπίπεδα διαλύειν τὸ σῶμα εὔηθες 20
εἶναί φησι· τοῦ γὰρ αὐτοῦ ἂν εἴη σώματα εἰς ἐπίπεδα διαλύειν καὶ ἐπί-
πεδα εἰς γραμμὰς καὶ ταύτας εἰς σημεῖα, ὡς εἶναι τὰ σώματα ἐκ σημείων
συγκείμενα, ὅπερ ἔσχατόν ἐστιν ἄτοπον)· λείπεται τοίνυν ἄλλον τρόπον
ὑποθέσθαι ἐξ ἀλλήλων γίνεσθαι τὰ στοιχεῖα.

15 Τὸν τρόπον δὲ τῆς ἐξ ἀλλήλων γενέσεως ζητῶν, ἐπὶ τὸν περὶ τῶν
δυνάμεων αὐτῶν καὶ παθῶν καὶ κινήσεων ἦλθε λόγον. καὶ εἰπὼν ἐν τῷ
πέρατι τοῦ τρίτου βιβλίου, ὅτι χρὴ πάσας τὰς πρὸς ἄλληλα διαφορὰς 25
αὐτῶν διεξελθεῖν, τάς τε κατὰ τὰς δυνάμεις ἤτοι ῥοπὰς αὐτῶν ἐξεταζο-
μένας καὶ τὰς κατὰ ποιότητα, τάς τε ποιητικὰς καὶ παθητικάς, ἐν τῷ
20 τετάρτῳ βιβλίῳ διαλέγεται περὶ βαρύτητος καὶ κουφότητος, καθ' ἃς ἡ
φυσικὴ κίνησις αὐτῶν γίνεται καὶ τόπον οἰκεῖον ἕκαστον μετείληχε.
μέλλων δὲ καὶ περὶ τῶν ἄλλων διαφόρων δυνάμεων αὐτῶν εἰπεῖν, καθ'
ἃς γίνεται αὐτοῖς καὶ ἡ εἰς ἄλληλα μεταβολή, δι' ὧν καὶ ὁ τρόπος τῆς 30
ἐξ ἀλλήλων γενέσεως σαφηνίζεται καὶ ὁ ἀριθμὸς αὐτῶν ἀναφαίνεται πόσα
25 τέ ἐστι καὶ τίνα, εἰκότως πρὸ τῆς ἐξ ἀλλήλων γενέσεως τῶν στοιχείων
περὶ τῆς ἁπλῆς γενέσεως καὶ φθορᾶς ποιεῖται τὴν διδασκαλίαν ἐν τῷ
πρώτῳ τῆς προκειμένης πραγματείας βιβλίῳ, οὐ ζητῶν εἰ ἔστι γένεσις
(τοῦτο γὰρ ἐν τῇ Περὶ οὐρανοῦ παραδέδωκεν), ἀλλὰ διδάσκων τί τέ ἐστι
καὶ τίνι τῶν ἄλλων διενήνοχε μεταβολῶν, ἀλλοιώσεώς τε καὶ αὐξήσεως.
30 καὶ γυμνάσας πάντα ὅσα ἐχρῆν ζητῆσαι τὸν περὶ τῆς καθόλου γενέσεως 35
καὶ φθορᾶς ποιούμενον λόγον, ἐφεξῆς προτίθεται περὶ τῆς ἐξ ἀλλήλων
γενέσεως τῶν ἁπλῶν σωμάτων διαλαβεῖν, ἅπερ στοιχεῖά ἐστι πάντων τῶν
ἐν γενέσει καὶ φθορᾷ συνθέτων σωμάτων. ἐπειδὴ δὲ πρὸς τὴν τούτων
διδασκαλίαν ἀναγκαῖος ὁ περὶ ἁφῆς καὶ τοῦ ποιεῖν καὶ πάσχειν καὶ μίξεως
35 λόγος, προλαμβάνει τὴν περὶ τούτων ζήτησιν. καὶ ἐν τούτῳ τὸ πρῶτον
συμπληρώσας βιβλίον, ἐν τῷ δευτέρῳ λόγῳ εἰς τὴν τῶν στοιχείων ἐμβάλλει
διδασκαλίαν, ζητῶν τὰς ποιητικὰς αὐτῶν καὶ παθητικὰς διαφοράς, καὶ διὰ 40

4 ἅπερ GT 10 καὶ τ̄ εἰς R 11 εἴη σώματα δυνατὸν εἶναι· καὶ τὸ εἰς (sed εἰς om. T) GT 15 τόν] τῶν (Z)a τῶν om. (G)a 18 τὰς (post κατὰ) om. Z 21 ἕκαστον οἰκεῖον R 22 διαφορῶν τῶν δυνάμεων a 23 ἡ om. TZ 26 φορᾶς T[1]

30 τῆς om. Z 31 ποιούμενος libri praeter a 35 προλαμβα Z: προλαμβάνοι ut vid. G: προσλαμβάνει T 36 βιβλίω Z εἰς om. T[1] τὴν om. Z

τούτων. καθὼς προείρηται. τὸν τρόπον τῆς ἐξ ἀλλήλων γενέσεως ἀνευρίσκων 2r
καὶ τὴν ἀπόδειξιν τοῦ τοσαῦτα μόνα εἶναι τὰ στοιχεῖα. ἐξ ἀρχῆς ⟨γὰρ⟩ ἐν
τῇ Περὶ οὐρανοῦ ὡς ὁμολογούμενον λαβὼν ὅτι τέσσαρά ἐστιν, εἰσύστερον
τὴν τούτων ἀπόδειξιν καταλέλοιπε.

5 p. 314a1 Περὶ δὲ γενέσεως καὶ φθορᾶς τῶν φύσει γινομένων καὶ φθειρομένων.

Καλῶς εἰπὼν περὶ γενέσεως τῶν γινομένων προσέθηκε τὸ φύσει. 45
γίνονται γάρ τινα καὶ κατὰ τέχνην καὶ κατὰ προαίρεσιν· καὶ κατὰ προ-
αίρεσιν μὲν οἷον φιλίαι καὶ ἔχθραι, κατὰ τέχνην δὲ οἷον οἰκία ναῦς. ἀλλ'
10 οὐ περὶ τούτων ὁ λόγος, ἀλλὰ τῶν φύσει γινομένων καὶ φθειρομένων,
καὶ τούτων οὐκ ἐνίων, ἀλλ' ὁμοίως κατὰ πάντων φησίν, τουτέστι καθό-
λου περὶ πάντων τῶν γινομένων καὶ φθειρομένων ζητητέον. εἴρηται γὰρ 50
καὶ κατ' ἀρχάς, ὅτι οὐ περὶ τῶνδέ τινων ἡ παροῦσα πραγματεία διαλαμβάνει,
ἀλλὰ κοινῇ περὶ πάντων τῶν ἐν γενέσει καὶ φθορᾷ· κατὰ μέρος γὰρ περὶ
15 τούτων αἱ ἐφεξῆς πραγματεῖαι διδάσκουσιν, αἱ μὲν περὶ τῶν ἐν τῷ μετεώρῳ
συμβαίνοντων, ἄλλαι δὲ περὶ ζῴων καὶ φυτῶν.

p. 314a2 Τάς τε αἰτίας διαιρετέον καὶ τοὺς λόγους αὐτῶν. 2v

Διοριστέον, φησί, τῶν γινομένων καὶ φθειρομένων τὰς αἰτίας, πληθυν-
τικῶς εἰπὼν καὶ οὐχ ἑνικῶς. καὶ γὰρ καὶ τὸ ὑποκείμενον αἰτία καὶ αὐτὸ
20 τὸ εἶδος καὶ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τουτέστιν ἡ ποιητική, αἰτία δὲ
καὶ τὸ οὗ ἕνεκα, ἥτις ἐστὶ τὸ τέλος· περὶ γὰρ τούτων ἁπασῶν διαλέξεται.
τὸ δὲ τοὺς λόγους αὐτῶν ἐκ παραλλήλου μὲν ταὐτὸν οὐκ ἂν σημαίνοι, 5
ὡς δηλοῖ ὁ "τε" σύνδεσμος, τινὲς δὲ αἰτίας μὲν τὰς καθόλου καὶ κοινὰς
πάντων τῶν γινομένων ἤκουσαν αἰτίας (οἷον τί τὸ καθόλου ποιητικὸν αἴτιον
25 φθορᾶς καὶ γενέσεως: τίς ἡ κοινὴ αὐτῶν ὕλη: καὶ τὰ λοιπὰ ὡσαύτως),
λόγους δὲ τὰς μερικὰς καὶ τὰς προσεχεῖς ἑκάστου αἰτίας (τίς ὕλη ζῴων;
ὅτι τυχὸν οἱ τέσσαρες χυμοί. τίς ὕλη τῶν ἐν μετεώροις γινομένων, ὑετοῦ
χαλάζης χιόνος βροντῶν ἀστραπῶν ἀνέμων; ὅτι τῶν μὲν ἡ ὑγρὰ ἀνα-
θυμίασις, ὑετοῦ χιόνος δρόσου χαλάζης, τῶν δὲ λοιπῶν ἡ ξηρά. καὶ ἐπὶ 10

---

1 τοῦτον R¹: τοῦτο a 2 τοῦ] τῆς R: τοῦ πάσχοντος Z γὰρ addidit a
7 γινομένων] φθειρομένων R 8 γίγνονται Z τὴν τέχνην Z καὶ extremum
GRZ: om. Ta 9 κατὰ τέχνην δὲ a: κατὰ δὲ τέχνην T: καὶ κατὰ τέχνην R: κατὰ
τέχνην GZ 11. 12 καὶ τούτων — φθειρομένων om. Z 11 πάντα T¹
15 αἱ (ante ἐφεξῆς)] ἡ a αἱ (ante μὲν)] ἡ R 16 δὲ om. G 18 Διοριστέον,
φησί om. a 19 εἶπε a 22 τὸ δὲ τάς τε αἰτίας καὶ τοὺς a μέν καὶ
ταὐτὸν (om. οὐκ) Z σημαί R: σημαίνη T² 23 αἰτίας Ta: αἰτίαν GR:
αἱ^τ Z 26 δὲ] δὲ καὶ Z τὰς (post καὶ) om. R 28 καὶ ὅτι Z
29 δρόσου] δυό σου a

μεταλλων καὶ τῶν λοιπῶν· τίς ἡ ἑκάστου ὕλη; ὁμοίως τί τὸ προσεχὲς ἑκά- 2
στου ποιητικὸν αἴτιον καὶ τὸ εἶδος;). ἐμοὶ δὲ δοκεῖ αἰτίας μὲν τὰς εἰρη-
μένας τέσσαρας λέγειν, εἴτε τὰς κοινὰς εἴτε τὰς προσεχεῖς ἑκάστου τῶν
γινομένων, λόγους δὲ τοὺς ποιητικοὺς καθ' οὓς ἕκαστον γίνεται ἢ φθείρεται.
5 οἷον ὅτι τοῦ ἡλίου ἀποστάντος καὶ τῆς ἀτμίδος περιψυχθείσης πύκνωσις
γίνεται, καὶ ταύτῃ μεταβολὴ εἰς ὕδωρ, ἐπιτεινομένης δὲ τῆς ψύξεως, πῆξις· 15
ἀλλ' εἰ μὲν ὕδατος γένηται πῆξις, ποιεῖ χάλαζαν ἢ κρύσταλλον, εἰ δὲ ἀτ-
μίδος, χιὼν γίνεται. ὁμοίως περὶ ἀστραπῆς καὶ βροντῆς, ὅτι τὸ πνεῦμα
τὸ ἐν τοῖς νέφεσιν ἀπολαμβανόμενον ἢ διαφορούμενον ἐκ τοῦ ἄνω τῶν νεφῶν
10 μέρους τῇ κατὰ φύσιν ἐπὶ τὸ ἄνω φορᾷ πυκνοῖ αὐτὰ κατ' ἐκεῖνο ἅτε τοῦ
θερμοῦ στερηθέντα, εἶτα τῇ τούτου πιλήσει τοῦ μέρους τὸ ἐν τοῖς κάτω
μέρεσιν ἀποληφθὲν πνεῦμα ἐκπυρηνίζεται, εἶτα ἐξακοντιζόμενον καὶ προσρη-
γνύμενον τοῖς ὑποκειμένοις νέφεσι τῇ μὲν πληγῇ τὸν ψόφον, τῇ δὲ σφοδρᾷ 20
κινήσει καὶ παρατρίψει ἐκπυρωθὲν τὴν ἀστραπὴν ἀπεργάζεται. ἔοικεν οὖν
15 ὁ Ἀριστοτέλης τὰς τοιαύτας ἀποδόσεις τῶν γινομένων καὶ φθειρομένων
λόγους ἀποκαλεῖν· οὐ γὰρ ἀρκεῖ εἰπεῖν ὅτι ὕλη ἀστραπῆς ἢ βροντῆς τὸ
πνεῦμα, οὐδ' ὅτι ποιητικὸν αἴτιον ἡ τῶν οὐρανίων κίνησις, ἀλλὰ δεῖ προ-
σθεῖναι καὶ τὸν λόγον καθ' ὃν τοῦ μὲν ποιοῦντος τοῦ δὲ πάσχοντος ἢ γί-
νεται τὰ γινόμενα ἢ φθείρεται τὰ φθειρόμενα.

20 p. 314a3 Ἔτι δὲ περὶ αὐξήσεως καὶ ἀλλοιώσεως, τί ἑκάτερον. 25

Ὁ περὶ τούτων λόγος καὶ καθ' αὑτὸν χρήσιμος τῷ φυσικῷ (καὶ γὰρ
αὔξησις καὶ ἀλλοίωσις φυσικαί τινές εἰσι μεταβολαὶ καὶ γενέσεις τινὲς καὶ
αὐταί, ὡς ἐν τοῖς ἑξῆς δειχθήσεται), ἔτι δὲ εἰς τὸν περὶ τῆς κυρίως λεγο-
μένης γενέσεως λόγον συντελεῖ, ὡς καὶ αὐτὸς δηλοῖ δι' ὧν ἐπιφέρει· εἴτε
25 γὰρ ταὐτόν ἐστι γένεσις καὶ ἀλλοίωσις, εἴτε ἕτερον ὥσπερ καὶ τοῖς ὀνόμασι
κεχώρισται, ῥᾷον γνωσθήσεται γνωσθείσης τῆς ἀλλοιώσεως ἥτις ποτέ ἐστιν. 30

p. 314a4 Καὶ πότερον τὴν αὐτὴν ὑποληπτέον φύσιν γενέσεως καὶ
ἀλλοιώσεως.

Γένεσις μέν ἐστι μεταβολὴ κατ' οὐσίαν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν,
30 ἀλλοίωσις δὲ μεταβολὴ περί τι εἰδοποιημένον κατά τι τῶν συμβεβηκότων
αὐτῷ. οὕτω γοῦν καὶ Ὅμηρος τὴν περὶ τὰ συμβεβηκότα τοῦ Ὀδυσσέως 35
μετάβολὴν ἀλλοίωσιν ὠνόμασεν εἰπών

1 τίς ἑκάστου ἡ GTa 6 ταυ (at cf. ad v. 8) Z: ταύτης R μεταβο Z
7 γένοιτο a κρύσταλον RT¹Z¹a 8 γίνεται καὶ ταύτη μεταβο εἰς ὕδωρ Z
9 διαφθορούμενον T¹ 11 ἐπελεύσει R τὸ] τοῦ Z 12 ἐκπυρηνίζεται (υ et η ex corr.) R: ἐκπυροῦται cett. 16 ὅτι ἡ ὕλη R 23 αὐταί R: αὗται cett. 24 λόγον καὶ αὐτὸς συντελεῖ καὶ αὐτὸς δηλοῖ Z 26 γνωσθείσης om. T¹ ἥ τίς R 27 εἶναι φύσιν a; cf. Ar. 27. 28 ἀλλοιώσεως καὶ γενέσεως a Aristot. 31 Ὅμηρος] π 181 31. 32 μεταβολὴν τοῦ ὀδυσσέως Z

ἀλλοῖός μοι ξεῖνε φάνης νέον ἠὲ πάροιθεν. 2v

[ὁ Τηλέμαχος πρὸς τὸν πατέρα ὑπὸ τῆς Ἀθηνᾶς μεταβληθέντα.] καὶ σκόπει ὡς οὐκ εἶπεν ἄλλος, ἀλλὰ ἀλλοῖος· ἡ μὲν γὰρ γένεσις ἄλλο ποιεῖ, οἷον ἐξ ὕδατος πῦρ, ἡ δ' ἀλλοίωσις ἀλλοῖον, ἐκ λευκοῦ τυχὸν μέλαν. ἆρ' οὖν, φησί, ταὐτόν ἐστι γένεσις καὶ ἀλλοίωσις μόνοις ὀνόμασι διαφέροντα, ἢ τοῖς ὀνόμασι καὶ τὰ πράγματα συνδιῄρηται;

p. 314a6 Οἱ μὲν τὴν καλουμένην ἁπλῆν γένεσιν. 40

Ἐπειδὴ γένεσίς τις καὶ ἡ ἀλλοίωσις, ἀλλ' οὐχ ἁπλῆ οὐδὲ κυρίως γένεσις, ἀλλὰ μετὰ προσθήκης τὶς γένεσις, διὰ τοῦτο ἁπλῆν προσέθηκεν. ἱστορεῖ δὲ πρῶτον, ὡς ἔθος αὐτῷ, τὰς τῶν ἀρχαίων δόξας ἃς εἶχον περὶ γενέσεως, ἵνα ἐπὶ ταύταις ἐξετασθείσαις τὰ αὐτῷ δοκοῦντα κατασκευάσῃ. λέγει δὲ τοὺς μὲν αὐτῶν τὸ αὐτὸ ὑπολαβεῖν τὴν κυρίως γένεσιν τῇ ἀλλοιώσει, τοὺς δὲ ἕτερον. καὶ τίνες οἱ τῆς δόξης ἑκατέρας προστάται προστίθησιν. 45

p. 314a8 Ὅσοι μὲν γὰρ ἕν τι τὸ πᾶν εἶναι λέγουσι καὶ πάντα ἐξ ἑνὸς γεννῶσι.

Ὁ σκοπὸς αὐτῷ τὰς τῶν παλαιοτέρων περὶ γενέσεως καὶ ἀλλοιώσεως δόξας ἐκθέσθαι. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. τῶν παλαιῶν, φησίν, οἱ μὲν ἓν ὑπέθεντο τῶν πάντων στοιχεῖον, οἱ δὲ πλείονα. οἱ μὲν οὖν ἓν ὑποθέμενοι εἰς ταὐτὸν ἄγουσι γένεσιν καὶ ἀλλοίωσιν· τίνα δὲ τρόπον ῥητέον. ἐπειδὴ γὰρ τὸ πρώτιστον στοιχεῖον ἓν ὑπετίθεντο, ἐξ οὗ τὰ ἄλλα πάντα γίνεσθαι, ἀνάγκη πᾶσα τὸ αὐτὸ μένον κατ' οὐσίαν ποιεῖν τὰ ἄλλα· εἰ γὰρ μεταβληθείη κατ' οὐσίαν, οὐκ ἔσται πρῶτον στοιχεῖον, ἀλλ' ἕξει πρὸ αὐτοῦ περὶ ὃ γέ|γονεν ἡ μεταβολὴ τὸ αὐτὸ μένον καὶ ἀμετάβλητον, οἷαν ἡμεῖς 3r ὑποτιθέμεθα τὴν ἀνείδεον ὕλην. εἰ τοίνυν εἰδοποιημένον ὑπάρχον τὸ στοιχεῖον (τοιοῦτον γὰρ αὐτοὶ ὑπετίθεντο) ἀμετάβλητόν ἐστι κατ' οὐσίαν, ἐπεὶ οὐκέτ' ἔσται πρῶτον στοιχεῖον, λείπεται τὴν μεταβολὴν μηκέτι εἶναι τὴν κατ' οὐσίαν, καθ' ἣν μεταβάλλον ποιεῖ τἆλλα. εἰ δὲ τοῦτο, πρόδηλον ὅτι οὐκ ἔσται γένεσις, ἀλλὰ ἀλλοίωσις· ἔστι γάρ, ὡς εἶπον, γένεσις μὲν μεταβολὴ κατ' οὐσίαν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἀλλοίωσις δὲ μεταβολὴ περί τι εἰδοποιημένον κατά τι τῶν περὶ αὐτὸ συμβεβηκότων. σκόπει δὲ μὴ οὐκ ἀναγκαίως αὐτοῖς τοῦτο ἐπάγομεν. ἡ γὰρ γένεσις οὐ τοῦ ὑποκει-

1 νέον] ἐὼν R 2 ὁ — μεταβληθέντα delevi μεταβληθέντα ὑπὸ τῆς ἀθηνᾶς tr. Z σκώπτει R 8 ἡ om. R¹ ἀλλ' om. GTa ἁπλῶς Z 11 αὐτῷ libri (ἑαυτῷ S) 13 προτίθησιν Z 14 γὰρ om. Z λέγουσιν εἶναι Aristotelis libri (praeter FH); at cf. infra p. 10,25 17. 18 μὲν ἐνυπέθεντο Z: μὲν ὑπέθεντο GT 19 ἄγουσι] λέγουσι T γένεσιν om. Z δὲ καὶ τρόπον Z 21 μὲν (sed in mrg. m. rec. μένον) R 22 αὐτοῦ F: αὐτοῦ cett. 23 ἄλλο περὶ R 25 αὐτὸ (G)a 26 οὐκ ἔσται Z τὴν μὲν μεταβολὴν Z 28 εἶπον p. 8,29 31 ἀναγκαῖος αὐτοῖς τοῦ Z ἐπάγωμεν T²Z (item V)

μένου ἐστὶ καὶ τῆς ὕλης, κἂν τε ἀμετάβλητος μένῃ κἂν τε μή, ἀλλὰ τοῦ 3r
ἐξ αὐτῆς καὶ τοῦ εἴδους συγκειμένου. καὶ ἡμεῖς οὖν τὴν γένεσιν περὶ τὴν
πρώτην ὕλην φαμὲν συνίστασθαι ἀμετάβλητον οὖσαν (δεῖ γὰρ ἀεὶ μένειν τὸ
πρῶτον ὑποκείμενον), ἀλλ' ὅμως ἐξ αὐτῆς καὶ τῶν ἐπιγινομένων ποιοτήτων 10
5 τὰ στοιχεῖα ποιοῦμεν. τί οὖν κωλύει καὶ αὐτοὺς τὸ πρῶτον στοιχεῖον ποιεῖν
ἀμετάβλητον, καὶ μὴ διὰ τοῦτο γένεσιν ἀναιρεῖν; ἔστω οὖν τὴν συνδρομὴν
τῶν τοιῶνδε καὶ τοσῶνδε ποιοτήτων περὶ τὸ πρῶτον στοιχεῖον ποιεῖν τὰ
πράγματα, περὶ ταῦτα δὲ λοιπὸν γίνεσθαι τὴν ἀλλοίωσιν, πλὴν εἰ μὴ ἐκεῖνο
φήσαιμεν, ὅτι ἡμεῖς μὲν ἀνείδεον τὸ πρῶτον ποιοῦμεν ὑποκείμενον καὶ τῇ
10 συνόδῳ τῶν ποιοτήτων εἰδοποιοῦντες αὐτὸ ποιοῦμεν τὰ πράγματα, αὐτοὶ δὲ
εἰδοπεποιημένον αὐτὸ ὑποτιθέμενοι καὶ ἀμετάβλητον * * * ἐπεὶ καὶ πρῶτον 15
ἄλλο τι γεννᾶν ἐξ αὐτοῦ εἶδος μένοντος ἀμεταβλήτου οὐ δύναται, πλὴν εἰ
μὴ περὶ τὰ συμβεβηκότα αὐτῷ δοῖεν τὴν μεταβολήν.

Οὕτω μὲν οὖν οἱ ἓν ὑποτιθέμενοι στοιχεῖον ἀναγκάζονται τὴν γένεσιν
15 εἰς ταὐτὸν ἄγειν τῇ ἀλλοιώσει, ὅσοι δὲ πλείω τὰ στοιχεῖα ὑποτίθενται,
δύνανται χωρίζειν γένεσιν ἀλλοιώσεως, συγκρίσει μὲν καὶ διακρίσει τὴν γέ-
νεσιν καὶ τὴν φθορὰν ὑποτιθέμενοι, τῇ μεταθέσει δὲ καὶ τῇ μετατάξει τὴν 20
ἀλλοίωσιν, καθάπερ οἱ περὶ Δημόκριτον καὶ Λεύκιππον ὑπέθεντο. ὅμως
φησὶ καὶ περὶ πάντων τῶν πλείω στοιχεῖα ὑποθεμένων δυναμένων σῴζειν
20 καὶ γένεσιν καὶ ἀλλοίωσιν· οὐ πάντες ἔσωσαν. ἀμέλει τοι Ἐμπεδοκλῆς
τέσσαρα ὑποθέμενος τὰ στοιχεῖα ἀλλοίωσιν ἀνεῖλεν, ἀπαθῆ εἰπὼν τὰ στοι-
χεῖα καὶ τὰς ἐν αὐτοῖς ποιότητας ἀμεταβλήτους, ὡς γένεσιν μόνην εἰσά-
γεσθαι διὰ τῆς τούτου ὑποθέσεως, εἰ καὶ κατ' ἄλλον τρόπον ἢ ὥσπερ
ἡμεῖς ὑποτιθέμεθα, καθάπερ ἐν τοῖς ἐφεξῆς δειχθήσεται. 25
25 Ὅσοι μὲν γὰρ ἕν τι τὸ πᾶν εἶναι λέγουσι. ἐξηγούμενος τί ἐστι
τὸ ἓν τὸ πᾶν λέγειν ἐπήγαγε τὸ πάντα ἐξ ἑνὸς γεννῶσι, τουτέστι τὸ
ἓν πάντων ὑποτίθεσθαι στοιχεῖον.

p. 314a10 Καὶ τὸ κυρίως γινόμενον ἀλλοιοῦσθαι.

Ὅπερ ἀνωτέρω εἶπεν "ἁπλῆν γένεσιν", τοῦτο νῦν σαφέστερον κυρίως
30 γινόμενον εἶπεν.

1 μένῃ om. add. T² 5 αὐτοὺς V et mrg. T³: αὐτῆς ex corr. T²: αὐτοῖς cett.
6 τοῦ Z 8 περὶ δὲ ταῦτα Z 11 post ἀμετάβλητον interpolat οὐκέτι ἡμῖν συμφέρονται a: exciderunt plura (lacunam non indicant libri) 12 αὐτοῦ (G)a: αὐτοῦ cett. εἴδους Z εἰ om. add. T² 13 δοῖε R¹ 15 πλείω om. Z
18 περὶ superscr. R τὸν δημόκριτον Z 19 περὶ V: παρὰ cett. 20 καὶ prius om. Z fort. ⟨ὅτι⟩ οὐ 21 ἀλλοίωσιν—στοιχεῖα om. add. mrg. T²
22 μόνον a 25 πᾶν (om. εἶναι) λέγουσι καὶ πάντα ἐξ ἑνὸς γεννῶσι a 26 πάντα] πάντ' (ex πᾶν corr.) R: πᾶν τῷ Z 28 γενόμενον T: γιγνόμενον a

p. 314ᵃ11 Ὅσοι δὲ πλείω τὴν ὕλην ἑνὸς τιθέασιν. 3r

Ὅσοι, φησίν, ἑνὸς πλείω τὴν ὕλην τιθέασιν, ὕλην καλέσας τὰ πρῶτα παρ' αὐτοῖς στοιχεῖα (κατὰ γὰρ ἐκείνους ὕλη ταῦτα, ἀμετάβλητα καὶ ἀναλλοίωτα αὐτὰ ὑποτιθεμένους), κατὰ τούτους, φησίν, ἕτερον γένεσις ἀλλοιώσεως. οὐκ εἰπὼν δὲ τίνες ἓν τὸ στοιχεῖον ὑπέθεντο, τοὺς πλείω λέγοντας προσέθηκεν, εἰπὼν Ἐμπεδοκλέα (οὗτος γὰρ τέσσαρα στοιχεῖα ὑπέθετο, πῦρ καὶ ἀέρα καὶ ὕδωρ καὶ γῆν), καὶ Ἀναξαγόραν ἀπείρους ὁμοιομερείας ὑποθέμενον, καὶ Λεύκιππον· οὗτος γὰρ καὶ Δημόκριτος ἄπειρα ὑπέθεντο σώματα, ἄπειρα δὲ καὶ πλήθει καὶ τῇ τῶν σχημάτων διαφορᾷ. εἰσὶ δὲ καὶ οἱ ἓν τὸ ὑποκείμενον ποιοῦντες, ὡς Θαλῆς μὲν τὸ ὕδωρ, Ἀναξιμένης δὲ καὶ Διογένης τὸν ἀέρα, Ἀναξίμανδρος δὲ τὴν μεταξὺ φύσιν ἀέρος καὶ ὕδατος οὖσαν ἄπειρον, Ἡράκλειτος δὲ τὸ πῦρ.

p. 314ᵃ13 Καίτοι Ἀναξαγόρας γε τὴν οἰκείαν φωνὴν ἠγνόησε.

Εἰπὼν ἕπεσθαι τοῖς πλείω τὰ στοιχεῖα λέγουσι τῶν ὄντων ἄλλο λέγειν γένεσιν ἀλλοιώσεως, μέμφεται Ἀναξαγόραν μὴ κυρίως κατὰ τῆς γενέσεως τῷ τῆς ἀλλοιώσεως χρώμενον ὀνόματι. οὗτος γὰρ στοιχεῖα ποιῶν τὰ ὁμοιομερῆ, ἄπειρα ὄντα καὶ ἀμετάβλητα κατ' αὐτόν, καὶ τῇ τούτων συγκρίσει καὶ διακρίσει καὶ ἐκκρίσει ποιῶν τὴν γένεσιν, τὸ γίνεσθαι καὶ φθείρεσθαι ἀλλοιοῦσθαι ἐκάλεσεν.

p. 314ᵃ15 Πολλὰ δὲ λέγει τὰ στοιχεῖα, καθάπερ καὶ ἕτεροι.

Ἑξῆς λέγει τοὺς πλείω τὰ στοιχεῖα ὑποθεμένους, ὧν ἐστιν Ἐμπεδοκλῆς ὑλικὰ μὲν καὶ οἷον παθητικὰ τὰ τέσσαρα σώματα ὑποτιθέμενος, ποιητικὰ δὲ καὶ κινητικὰ νεῖκος καὶ φιλίαν. Ἀναξαγόρας δὲ καὶ οἱ περὶ Λεύκιππον ἄπειρα ὑπετίθεντο σώματα· ἀλλ' ὁ μὲν Ἀναξαγόρας τὰ ὁμοιομερῆ (τί δέ ἐστιν ὁμοιομερές, αὐτὸς προσέθηκεν εἰπὼν ὧν ἑκάστου συνώνυμον τὸ μέρος ἐστί· σαρκὸς γὰρ τὸ μέρος σάρξ, καὶ ὀστοῦ καὶ νεύρου πάλιν ὁμοίως,

---

3. 4 ἀναλοίωτα G: ἀλοίωτα T¹ 5 δέ τινες GZa 6 ἐμπεδοκλέα τε· | οὕτως γὰρ R 8 γὰρ καὶ Ra et corr. T: καὶ om. GZT¹ 10 θάλις R¹: θαλλῆς Z 12 Ηράκλητος a 13 γε] τε Z ἠγνόησεν (ὁ ex ὡ corr.) R 14 τῶν ὄντων λέγουσι Z 16 τῷ] τὸ GT¹ οὗτος Za: οὕτως GRT 17 κατ' αὐτὸν] καὶ ταυτὸν T 18 ποιῶν καὶ ἐγκρίσει tr. Z: καὶ ἐκκρίσει om. V 20 λέγει τὰ om. Z 21 τοὺς] τὰ R 23 δὲ prius om. Z, qui νίκος καὶ φιλία 23 p. 12,3 Ἀναξαγόρας δὲ, ἄπειρα καὶ Λεύκιππος, καὶ Δημόκριτος. ὁ μὲν γὰρ, τὰ ὁμοιομερῆ στοιχεῖα τίθησιν, οἷον ὀστοῦν, καὶ σάρκα. καὶ μυελόν. καὶ τῶν ἄλλων, ὧν ἑκάστου τὸ μέρος, συνώνυμόν ἐστι. | Ἀλλ' ὁ μὲν Ἀναξαγόρας φησὶ τά ὁμοιομερῆ — τῆς χειρὸς χεῖρες. | Δημόκριτος δὲ καὶ Λεύκιππος, ἐκ σωμάτων ἀδιαιρέτων τἄλλα συγκεῖσθαί φασι. ταῦτα δὲ, ἄπειρα καὶ τὸ πλῆθος εἶναι καὶ τὰς μορφάς. | Ὁ δὲ Δημόκριτός φησιν ὑπέθετο σώματα, οὐ μόνον τῷ πλήθει etc. lemmata inesse ratus ex Aristot. interpolavit a 25 — p. 12,1 ἑκάστου τὸ μέρος συνώνυμα (omissis ἐστί· σαρκὸς γὰρ — συνώνυμα) Z

χειρὸς δὲ καὶ τῶν ἄλλων ἀνομοιομερῶν τὰ μέρη οὐκ ἔστι συνώνυμα τῷ 3v
ὅλῳ· οὐ γὰρ λέγεται τὰ μέρη τῆς χειρὸς χεῖρες), ὁ δὲ Δημόκριτος καὶ
Λεύκιππος ἄτομα ὑπετίθεντο σώματα οὐ μόνον τῷ πλήθει ἄπειρα, ἀλλὰ 5
καὶ τῇ τῶν σχημάτων διαφορᾷ, ὡς συμβαίνειν ἐκ τῶν τούτου λόγων τοῦ
5 ἀπείρου εἶναί τι ἀπειρότερον· ἕκαστον γὰρ τῶν σχημάτων οὐκ ἐν μιᾷ ἀτόμῳ,
ἀλλ' ἐν πλείοσι τιθέασιν. οἱ δὲ περὶ Ἐπίκουρον, ὥς φησιν Ἀλέξανδρος,
οὐκέτι κατὰ τοῦτο συνεφώνησαν Δημοκρίτῳ· ἐκεῖνοι μὲν γὰρ κατὰ μὲν τὸ
πλῆθος ἀπείρους τὰς ἀτόμους ὑποτίθενται, κατὰ δὲ τὰ σχήματα ἀπεριλήπ-
τους μὲν οὐκ ἀπείρους δέ. καὶ τούτους δὲ πολλαπλασιάζειν τὸ ἄπειρον 10
10 ἀνάγκη. ἔστω γὰρ πεπερασμένα εἶναι τὰ τῶν ἀτόμων σχήματα, ἀνάγκη
δὲ πᾶσα ἕκαστον τῶν σχημάτων ἢ ἐν πεπερασμέναις εἶναι ἀτόμοις ἢ ἐν
ἀπείροις. εἰ μὲν οὖν ἕκαστον σχῆμα πεπερασμένας ἀτόμους μορφοῖ, καὶ
τὸ ἐκ πάντων συναγόμενον πλῆθος πεπερασμένον ἔσται. ἢ οὖν οὐ πάσας
ἐσχηματίσθαι τὰς ἀτόμους ἀνάγκη, ἢ εἰ πᾶσαι ἐσχηματισμέναι εἰσί, πεπε-
15 ρασμέναι ἔσονται. ἀλλ' ὑπόκειται ἀπείρους αὐτὰς εἶναι· ὥστε ἀδύνατον
τῶν σχημάτων ἕκαστον ἐν πεπερασμέναις εἶναι ἀτόμοις. οὐκοῦν ἢ ἕκαστον 15
ἐν ἀπείροις, ἢ τὰ μὲν τῶν σχημάτων ἐν ἀπείροις τὰ δὲ ἐν πεπερασμέναις.
εἰ μὲν οὖν πάντα ἐν ἀπείροις, πολλαπλασιασθήσεται τὸ ἄπειρον· εἰ δὲ τινὰ
μὲν ἐν ἀπείροις τινὰ δὲ οὔ, ἢ πάλιν πολλαπλασιασθήσεται τὸ ἄπειρον, εἰ
20 καὶ τρία μόνα εἴη σχήματα ἐν ἀπείροις ἀτόμοις ἢ δύο, ἢ πάντως μεῖζόν
τι τοῦ ἀπείρου ἔσται, κἂν ἓν μόνον εἴη ἐν ἀπείροις. τὸ γὰρ ἐκ πάντων
συναγόμενον πλῆθος τῶν ὑπὸ τὸ ἓν σχῆμα ἀτόμων πλεῖόν ἐστιν. εἰ οὖν
τούτων ἕκαστον ἀδύνατόν ἐστιν, ἀνάγκη δὲ πᾶσα ἓν τούτων ἀκολουθῆσαι 20
τῶν ἀτόμων ἀπείρων εἶναι ὑποκειμένων, ψευδὴς ἄρα ἡ περὶ τοῦ ἄτομα εἶναι
25 ἄπειρα ὑπόθεσις.

p. 314a23 Αὐτὰ δὲ πρὸς αὐτὰ διαφέρειν τούτοις ἐξ ὧν εἰσί.

Αὐτὰ πρὸς αὐτὰ οὐ τὰ στοιχεῖα λέγει, ὡς ἄν τῳ δόξειεν ἐκ τῆς λέξεως, ἀλλὰ τὰ ἐκ τῶν στοιχείων· ἔστι γὰρ ἡ ἀπόδοσις οὐ πρὸς τὸ προσεχές, ἀλλὰ πρὸς τὸ ἀνωτέρω, λέγω δὲ πρὸς τὸ "τἆλλα", ὅπερ ἐδήλου 25
30 τὰ σύνθετα. ταῦτα οὖν, φησί, τὰ σύνθετα κατὰ τρεῖς τρόπους ἀλλήλων διαφέρει κατὰ Δημόκριτον, καθ' ἕνα μὲν τῷ ἐκ διαφόρων ἀτόμων συγκεῖσθαι κατὰ τὸ σχῆμα, ὅπερ αὐτῷ σημαίνει τὸ τούτοις ἐξ ὧν εἰσίν· οὐ

3 ὑπετίθεντο RT et ut vid. G: ὑπετίθετο Z: de a vide supra 5 εἶναι] τῆς Z τι] τε ut vid. GT¹ 6 πλείωσι G et fort. T¹ 8 ὑπετίθεντο R 11 δὲ] δή R 11 et 16 πεπερασμένοις R 12 πεπερασμένους Z 13 πάσαις R 16 ἢ om. T¹ 18. 19 εἰ δὲ—τὸ ἄπειρον om. add. mrg. R² 19. 20 εἰ καὶ] ἢ καὶ G¹T 20 πάντα R 21 ἐν ἀπείροις εἴη Z πάντων] μόνου Z 24 ὑποκείμενον corr. T² τοῦ ἀτόμου Z 26 et 27 αὐτὰ] αὐτὰ R et fort. alii 26 διαφ ερ Z 27 αὐτὰ δὲ πρὸς GT 29 ἀνώτερον Z τἆλλα R: τὰ ἄλλα T: τἆλλα cett. 31 τῷ] τὸ Z 32 αὐτὸ Z

γὰρ ἐκ τῶν αὐτῶν ἀτόμων πῦρ καὶ γῆ, ἀλλὰ πῦρ μὲν ἐκ σφαιρικῶν σύγ- 3v
κειται ἀτόμων, γῆ δὲ οὐκ ἐκ τοιούτων, κυβικῶν δὲ τυχόν. ἀλλά, φησί,
καὶ θέσει καὶ τάξει τῶν ἀτόμων διενήνοχεν ἀλλήλων τὰ σύνθετα. πολ-
λάκις γὰρ δύο τινῶν ἐκ τῶν αὐτῶν ἀτόμων συγκειμένων ἡ διαφορὰ ἔσται 30
5 παρὰ τὴν τάξιν τῶν ἀτόμων, τῷ ἐπὶ τοῦδε μὲν λόγου χάριν πρώτας μὲν
τὰς σφαιρικὰς ἀτόμους τελευταίας δὲ τὰς πυραμοειδεῖς τετάχθαι, ἐπὶ δὲ
τοῦ ἑτέρου ἔμπαλιν πρώτας μὲν τὰς πυραμοειδεῖς ὑστέρας δὲ τὰς σφαιρικάς,
καθάπερ ἐπὶ τῆς ΩΣ καὶ ΣΩ συλλαβῆς ἔχει· τῶν γὰρ αὐτῶν στοιχείων
ἡ τάξις τὴν διαφορὰν ἐργάζεται. ὡσαύτως δὲ καὶ παρὰ τὴν θέσιν τῶν
10 ἀτόμων ἡ τῶν συνθέτων διαφορὰ γίνεται, ποτὲ μὲν πλαγίων, ποτὲ δὲ ὀρ-
θῶν, ἐπ' ἄλλων δὲ ὑπτίων οὐσῶν· τοῦ γοῦν Z στοιχείου ὡς πρὸς τὸ N 35
κατὰ τὴν θέσιν μόνον ἡ διαφορά, καὶ τοῦ Γ πρὸς τὸ Λ. εἰδέναι δὲ χρὴ
ὅτι τῶν εἰρημένων τριῶν διαφορῶν ἡ μὲν προτέρα, καθ' ἣν ἐκ τοίων ἢ
τοίων σύγκειται ἀτόμων, ἄλλα ποιεῖ τὰ σύνθετα καὶ παντάπασιν ἕτερα, ἡ
15 δὲ παρὰ τὴν θέσιν καὶ τὴν τάξιν ἑτεροῖα μὲν οὐχ ἕτερα δέ.

p. 314a24 Ἐναντίως δὲ φαίνονται λέγοντες οἱ περὶ Ἀναξαγόραν τοῖς περὶ Ἐμπεδοκλέα.

Ἐναντίως, φησίν, Ἀναξαγόρας ἐδόξασε τοῖς περὶ Ἐμπεδοκλέα περὶ τῶν
στοιχείων. ὁ μὲν γὰρ Ἐμπεδοκλῆς πρῶτά φησιν εἶναι καὶ ἄπλούστατα τὰ
20 τέσσαρα στοιχεῖα, ἐκ τούτων δὲ συγκρινομένων γεννᾶσθαι τὰ ὁμοιομερῆ, 45
ὀστοῦν καὶ σάρκα, Ἀναξαγόρας δὲ ἔμπαλιν σύνθετα φάσκων εἶναι τὰ τέσσαρα
στοιχεῖα ἐκ τῶν ὁμοιομερῶν· καὶ γὰρ ὀστοῦ καὶ νεύρου καὶ τῶν ἄλλων
ἑκάστου ὁμοιομερείας ἔλεγεν ὑπάρχειν τῷ πυρὶ καὶ τῷ ὕδατι καὶ τοῖς
ἄλλοις, ἐπειδὴ πάντα ἐκ τούτων ἑώρα γινόμενα. ἀλλ' ὥσπερ ὀστοῦ καὶ
25 σαρκὸς ὁμοιομερείας ἔλεγεν καὶ τῶν λοιπῶν. ἅπερ ἡμεῖς σύνθετά φαμεν.
οὕτω καὶ πυρὸς καὶ ἀέρος καὶ ὕδατος καὶ γῆς· καὶ πάντα μὲν εἶναι ἐν
πᾶσι, φαίνεσθαι δὲ ἕκαστον καὶ ὀνομάζεσθαι κατὰ τὸ ἐπικρατοῦν. ὥστε 50
οὐκ ἐναντίως ἔλεγε τοῖς περὶ Ἐμπεδοκλέα· οὐδὲ γὰρ συνθετώτερα ἔλεγε
τὰ στοιχεῖα σαρκὸς καὶ ὀστοῦ καὶ τῶν λοιπῶν. διαφέρουσι δὲ ὅτι ὁ μὲν
30 Ἐμπεδοκλῆς ἀρχὰς ἔλεγε τῶν λοιπῶν τὰ στοιχεῖα, Ἀναξαγόρας δὲ πάντων
τὰς ὁμοιομερείας ἀρχάς, φαίνεσθαι δὲ καὶ λέγεσθαι ἕκαστον κατὰ τὸ ἐπι-
κρατοῦν, εἴπερ δεῖ ἄρα ἐκ τῶν ἀρχῶν | εἶναι τὰ ἀνομοιομερῆ. 4r

---

2 φησί mut. in φύσει R 4 αὐτῶν Ra: om. GTZ 5 τὸ ἐπὶ R: τὸ δὲ ἐπὶ Z 7 πάλιν a 9 παρὰ] πρὸ ut vid. T¹ 12 δὲ om. T¹ 13. 14 τοίων ἢ τοίων corr. R: τοιῶν ἢ τοίων R¹: τοιῶν ἢ τοιῶν cett. 14 ἀλλὰ R¹TZ ἑτέρα Za 15 ἑ . . . . . μὲν οὐχ ἑτέρα δέ Z 18 δέ φησιν Z 19 εἶναι om. add. mrg. Z τὰ om. R 21 num ἔφασκεν? 22 ὁμοιομεριῶν R; sim. 23 ὁμοιομερίας R¹ etc. 24 γιγνόμενα a ὀστᾶ a 27 δὲ om. GT κατὰ τὸ] καὶ τὰ T 30 ἀναξαγόρας δὲ GTa: δημόκριτος δὲ RZ: lacuna XII litter. in V 32 εἴπερ δὴ ἄρα (ἄρα om. Z) RZ

p. 314b1 Τοῖς μὲν οὖν ἐξ ἑνὸς πάντα κατασκευάζουσιν. 4r

Πῶς κατὰ μὲν τοὺς ἓν στοιχεῖον ὑποθεμένους ταὐτὸν ἀλλοίωσις καὶ γένεσις, κατὰ δὲ τοὺς πλείονα ἕτερον, σαφῶς ἐπεξέρχεται. ἀνωτέρω δὲ αὐτὸ τοῦτο εἰπὼν μόνον, τί ἕπεται ἑκατέρᾳ τῶν ὑποθέσεων ἀπήγγειλε, νυνὶ δὲ αὐτὸ τοῦτο ἀποδείκνυσιν.

p. 314b3 Ἀεὶ γὰρ μένει τὸ ὑποκείμενον ταὐτὸ καὶ ἕν.

Διότι, ὡς εἰρήκαμεν, δεῖ τὴν πρώτην ὕλην ἀμετάβλητον εἶναι.

p. 314b3 Τὸ δὲ τοιοῦτον ἀλλοιοῦσθαί φαμεν.

Τὸ μεταβάλλειν τοῦ αὐτοῦ καὶ ἑνὸς μένοντος, τοῦ ὑποκειμένου δηλονότι.

p. 314b4 Τοῖς δὲ τὰ γένη πλείω ποιοῦσι.

Γένη καλεῖ τὰ στοιχεῖα. κατὰ τούτους δέ, φησί, τοὺς πλείω στοιχεῖα ὑποτιθεμένους διαφέρει γένεσις ἀλλοιώσεως, εἴπερ συγκρίσει φασὶ τὴν γένεσιν ἀποτελεῖσθαι. οὐ γὰρ ταὐτὰ τὰ ἐκ διαφόρων συντεθέντα· οὐκ ἄρα ἀλλοίωσις ἡ σύγκρισις δύναται εἶναι. μαρτυρεῖ δὲ καὶ Ἐμπεδοκλῆς τὸ κατὰ σύγκρισιν γενέσθαι τὴν γένεσιν, λέγων φύσιν μὲν ἰδίαν μηδενὸς εἶναι τῶν συνθέτων, ἀλλὰ ταῦτα πάντα ἐν τῇ συγκρίσει τῶν συμμιγέντων τὴν οὐσίαν ἔχειν· φύσις γάρ, ἔφη, οὐδενός ἐστιν,

ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων.

p. 314b8 Ὅτι μὲν οὖν οἰκεῖος ὁ λόγος αὐτῶν τῇ ὑποθέσει οὕτω φάναι, δῆλον.

Ὅτι, φησί, τῇ ὑποθέσει τὰ πλείονα στοιχεῖα λεγούσῃ οἰκεῖον φάναι

2 τοὺς] τὸ Z 3. 4 τοῦτο αὐτὸ Z: αὐτὸ deleverim 6 Ἀεὶ — ἕν om. t; nimirum continuaverat solito more superius lemma usque ad ἀλλοιοῦσθαί φαμεν μένειν Arist. αὐτὸ Z 7 Διότι] ἐπειδὴ γὰρ a 8 Τὸ δὲ — φαμεν om. hic a, qui pergit τὸ δὲ μεταβάλλειν τοῦ κτλ. τοιοῦτο R 9 τοῦ (post μένοντος) om. a δηλονότι] ἀλλοιοῦσθαι φαμὲν, οὐδ' ἂν διαφέροι γενέσεως ἀλλοίωσις interpolat a 12 φασὶ om. Z 13 ταῦτα R τὰ om. T 14 ἡ] ἢ R: ὡς Z 15. 16 τῶν συνθέτων εἶναι Z 16 μιγέντων G 16. 18 τὴν οὐσίαν — μιγέντων om. Z 17. p. 15,2 φύσις γάρ, ἔφη — τουτέστιν] ἡ γὰρ μίξις καὶ ἡ διάλλαξις αὐτῷ τὴν σύγκρισιν σημαίνει. φανερὸν οὖν ὅτι τῇ ὑποθέσει τῇ πλείονα στοιχεῖα λεγούσῃ οἰκεῖον φᾶναι, ἕτερον εἶναι γένεσιν ἀλλοιώσεως. ἀλλὰ καὶ ὅτι τόνδε τὸν τρόπον λέγουσι, δῆλον. τουτέστιν a, qui superius lemma usque ad v. τὸν τρόπον τοῦτον continuaverat 17 φύσις] ἀντὶ τοῦ κρᾶσις adn. mrg. T² 18 ἀλλὰ κτλ. Empedocl. v. 38 St. 79 K. διάλλαξίς V: διάλεξις GRT 19. 21 οὕτω φάναι — τῇ ὑποθέσει om. Z

ἕτερον εἶναι γένεσιν ἀλλοιώσεως, δῆλον· δῆλον δὲ καὶ ὅτι τὸν τρόπον τοῦτον 4r
λέγουσι, τουτέστιν ὅτι τὰ στοιχεῖα πλείονά ἐστιν. ὁ μέντοι Ἀλέξανδρος 20
προσφυέστερον τοῦτο ἐξηγήσατο. τῇ γὰρ ὑποθέσει, φησί, τῇ πλείονα στοι-
χεῖα ὑποτιθεμένῃ οἰκεῖος ὁ λόγος ὁ φάσκων τοῦτον τὸν τρόπον γίνεσθαι
5 τὴν γένεσιν καὶ τὴν φθοράν, τουτέστι κατὰ διάκρισιν καὶ σύγκρισιν, διότι
ἀναγκαῖόν ἐστιν αὐτοῖς χωρίζειν γένεσιν ἀλλοιώσεως. σαφῶς δὲ καὶ Ἐμ-
πεδοκλῆς εἴρηκε συγκρίσει τὴν γένεσιν γίνεσθαι "φύσις οὐδενός ἐστιν"
εἰπὼν "ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων". καὶ οἱ περὶ Δημό- 25
κριτον δὲ τῇ συγκρίσει τῶν ἀτόμων τὴν γένεσιν ἔλεγον γίνεσθαι, τῇ δια-
10 κρίσει δὲ τὴν φθοράν. ἀλλὰ δὴ καὶ Ἀναξαγόρας ἐκκρινομένας τὰς
ὁμοιομερείας καὶ συνιούσας ἀλλήλαις δηλονότι ἢ σάρκα ποιεῖν ἢ ὀστοῦν,
οὐ γινομένης τῆς σαρκὸς φύσεως, ἀλλὰ φαινομένης, τῷ πλείονας σαρκὸς
ὁμοιομερείας εἰς ταὐτὸν συνελθεῖν.

p. 314b10 Καὶ ὅτι λέγουσι τὸν τρόπον τοῦτον.

15 Δῆλον, φησί, καὶ ὅτι οὕτως λέγουσι, τουτέστι κατὰ τὸν εἰρημένον τρό-
πον, τὴν γένεσιν γίνεσθαι, ἔκ τε τῆς Ἐμπεδοκλέους ῥήσεως λεγούσης "ἀλλὰ 30
μόνον μίξις τε διάλλαξίς τε μιγέντων", κἀξ ὧν ὁ Δημόκριτος ἔφη τὰ σύν-
θετα "διαφέρειν τούτοις ἐξ ὧν εἰσίν".

p. 314b10 Ἀναγκαῖον δὲ καὶ τούτοις τὴν ἀλλοίωσιν εἶναι μέν τι
20 φάναι.

Δείξας αὐτοὺς ἄλλο τὴν γένεσιν λέγοντας παρὰ τὴν ἀλλοίωσιν διὰ τοῦ
κατὰ σύγκρισιν γίνεσθαι φάσκειν αὐτήν, ἐφεξῆς δείκνυσιν ὅτι ἀναγκαῖον μὲν 35
καὶ τούτοις εἶναι τὴν ἀλλοίωσιν λέγειν καὶ μὴ τὴν αὐτὴν τῇ γενέσει, ἀδύ-
νατον μέντοι κατὰ τοὺς ἐκείνων λόγους ἀλλοίωσιν εἶναι. τοῦτο δὲ οὐκέτι
25 κοινὸν πρὸς πάντας τοὺς κατὰ σύγκρισιν τὴν γένεσιν ποιοῦντας, ἀλλ' ἰδίως
πρὸς Ἐμπεδοκλέα. πρῶτον μέντοι δείκνυσιν ὅτι ἀναγκαῖον λέγειν εἶναί τι
τὴν ἀλλοίωσιν ἕτερον οὖσαν παρὰ τὴν γένεσιν, εἶθ' ὅτι ἀναιροῦσι τοῖς ἑαυ-
τῶν λόγοις τὴν ἀλλοίωσιν.

p. 314b12 Τοῦτο δὲ ὅτι λέγομεν ὀρθῶς, ῥᾴδιον συνιδεῖν. 40

30 Ὅτι ἀναγκαῖον αὐτοῖς λέγειν τὴν ἀλλοίωσιν, καὶ ταύτην ἄλλην παρὰ

---

ζ'
3 του Z 5 καὶ σύγκρισιν om. a 6 καὶ om. Z 8 διάλεξίς GR¹T
10 φθοράν] διαφορὰν GT 13 ταυτὸ Z 14. 15 τοῦτον — τὸν εἰρημένον τρόπον om. T, ubi verba τουτέστι — τρόπον in mrg. suppl. T² 15 οὕτω GTa 16 γίνεσθαι τὴν γένεσιν Z 17 διάλλαξίς τε om. add. T² διάλεξίς G καὶ ἐξ ὧν GTa ὁ om. a 18 διαφέρειν κτλ. p. 314a23 19. 20 μέντοι φάναι R 21 περὶ Z 23 εἰ καὶ μὴ R: εἰ μὴ καὶ Z 26 εἶναι λέγειν τι Z 29 δ' ὅτι a 30 p. 16,20 αὐτοῖς λέγειν τὴν ἀλλοίωσιν — ῥᾴδιον om. Z 30 λέγει a

τὴν γένεσιν, καὶ διὰ τί ἀναγκαῖον δείκνυσι, καὶ ὅτι ἀδύνατον τοῖς παρ' 4r
ἐκείνων λεγομένοις συστῆναι ἀλλοίωσιν. δείκνυσι δὲ οὕτως. ὥσπερ γὰρ 45
ὁρῶμεν, φησί, καὶ ἐναργές ἐστι σῳζομένης τῆς οὐσίας μεταβολὴν κατὰ
ποσὸν γίνεσθαι, οὕτως ἐναργὲς τὸ σῳζομένης τῆς οὐσίας γίνεσθαι κατὰ
5 ποιὸν μεταβολήν, ὅπερ ἐστὶν ἀλλοίωσις. ὥστε διὰ τὸ ἐναργὲς ἀναγκαῖον
αὐτοῖς λέγειν εἶναι ἀλλοίωσιν. ὅτι δὲ ἀδύνατον κατὰ τοὺς λόγους τῆς παρὰ
τοῦ Ἐμπεδοκλέους λεγομένης, ἐφεξῆς δείκνυσιν. οὕτως μὲν οὖν ὁ Ἀλέξαν-
δρος ἐξηγήσατο, ἔστι δὲ καὶ κατ' ἄλλον τρόπον τὴν ἐξήγησιν ἀποδοῦναι
τοῦ ῥητοῦ ⟨τοῦ⟩ "ἀναγκαῖον δὲ καὶ τούτοις τὴν ἀλλοίωσιν εἶναι μέν τι 50
10 φάναι" καὶ τὰ ἑξῆς. οἱ πλείονα, φησί, στοιχεῖα ὑποθέμενοι διὰ μὲν τῆς
ὑποθέσεως ἀναγκαίως εἰσάγουσι τὴν ἀλλοίωσιν, ἑτέραν οὖσαν γενέσεως καὶ
φθορᾶς, τῷ ταύτας μὲν κατὰ σύγκρισιν καὶ διάκρισιν θεωρεῖσθαι, καθὼς
προείρηται, τὴν δὲ ἀλλοίωσιν κατ' ἄλλο τι τῶν περὶ τὴν σύγκρισιν θεω-
ρουμένων, τὴν θέσιν ἢ τὴν τάξιν· ὅμως, | φησί, καίπερ τῆς ὑποθέσεως 4v
15 χωρούσης ἀμφότερα καὶ γένεσιν καὶ ἀλλοίωσιν, τοιούτους ἀποδεδώκασιν ἔνιοι
λόγους, ὧν ἐστιν Ἐμπεδοκλῆς, ἐξ ὧν ἀδύνατον ἀλλοίωσιν σῴζεσθαι. τὰς
γὰρ ποιότητας, περὶ ἃς ἡ κατ' ἀλλοίωσιν μεταβολὴ θεωρεῖται, εἰδοποιοὺς
διαφορὰς τῶν στοιχείων εἴρηκεν. ἄφθαρτα καὶ ἀμετάβλητα τὰ στοιχεῖα
ὑποθέμενος.

20 Τοῦτο δὲ ὅτι λέγομεν ὀρθῶς, ῥᾴδιον συνιδεῖν. τοῦτο ὅτι
καίπερ τῆς ὑποθέσεως αὐτῶν καὶ γενέσεως καὶ ἀλλοιώσεως ἔννοιαν ὑπαγο- 5
ρευούσης, αὐτὸς τοῖς λόγοις ἀνεῖλε τὴν ἀλλοίωσιν. εἶτα λοιπὸν μέλλων
δεῖξαι ὅτι ἀναιρεῖ δι' ὧν λέγει τὴν ἀλλοίωσιν ὁ Ἐμπεδοκλῆς, πρῶτον ἀνα-
μιμνήσκει τί ἐστιν ἀλλοίωσις, ὅτι μεταβολὴ περὶ τὴν οὐσίαν ἀκίνητον μέ-
25 νουσαν. παραδείγματι δὲ κέχρηται τῇ αὐξήσει, δι' ὧν φησιν ὥσπερ γὰρ
ὁρῶμεν ἠρεμούσης τῆς οὐσίας καὶ τὰ ἑξῆς. τὴν δὲ αὔξησιν ὡς ἐν-
αργῆ καὶ παρὰ πάντων ὁμολογουμένην παρέλαβεν. πρὸς μὲν γὰρ τὴν ἀλ- 10
λοίωσιν ἴσως ἄν τις καὶ κακομαχεῖν δύναιτο. ὡς Πρωταγόρας. οὐκ εἶναι
φύσιν ὡρισμένην οὐδενὸς λέγων, ἀλλὰ πρὸς τὴν σχέσιν τοῦ αἰσθητικοῦ τὴν
30 διαφορὰν τῶν αἰσθητῶν ποιοτήτων γίνεσθαι· πρὸς μέντοι τὴν αὔξησιν οὐ-
δεὶς ἂν ἀντείποι, ὡς ἔστι κατὰ ποσὸν μεταβολὴ τῆς ὑποκειμένης οὐσίας
ἀμεταβλήτου μενούσης. ἐξ ἧς ἄν τις καὶ τὰ περὶ τῆς ἀλλοιώσεως συλλο-
γίσαιτο.

3 ἐστι om. add. T² 4 σωζόμενον R 6. 7 τῆς—λεγομένης (scil. ὑποθέσεως?) GRT: τοὺς—λεγομένους a (item V, si silentio fides) 7 οὕτω (G)a οὖν om. a 8 ἔτι δὲ (G)a 9 ⟨τοῦ⟩ addidit a μέντοι GT: μέν τινα R¹ 11 οὖσαν] εἶναι T 12 ταύτης GT τὴν σύγκρισιν a 15 τοιοῦτος R¹ 15. 16 ἔνιοι λόγους scripsi: εἶναι λόγους RV: λόγους εἶναι GT¹a: λόγους ἔνιοι εἶναι T³ 16 ἀλοίωσιν R 20 τοῦτο (ante ὅτι) om. a 21 καίπερ] καὶ περὶ RTZ¹ 22 μέλλων] μετ' ἄλλων R 23 δείξειν a ὁ om. Z 24 κίνητον (sic) a 26 ὡς om. a 30 τῶν αἰσθητικῶν ποιοτήτων a 31 ἂν om. RZ τὸ ποσὸν GTa 32 ἑξῆς R¹a

p. 314ᵇ15 Οὐ μὴν ἀλλ' ἐξ ὧν λέγουσιν οἱ πλείους ἀρχὰς ποιοῦν- 4ᵛ
τες μιᾶς. 15

Ἄρχεται διδάσκειν πῶς οἱ πλείους ἀρχὰς ὑποθέμενοι διὰ τῶν λόγων ἀναιροῦσι τὴν ἀλλοίωσιν δι ὧν λέγουσι. φασὶ γὰρ τὰ πάθη, καθ' ἃ φαμεν
5 τὴν ἀλλοίωσιν γίνεσθαι, εἴδη εἶναι τῶν στοιχείων, εἴδη δὲ ὄντα ἀεὶ τοῖς 25
αὐτοῖς τὰ αὐτὰ μένει· ἀμετάβλητα γὰρ καὶ ἀπαθῆ κατ' αὐτοὺς τὰ εἴδη. οὐ πάντες δὲ οἱ πλείους ἀρχὰς ὑποθέμενοι ἀναιροῦσι τὴν ἀλλοίωσιν, ἀλλ' ὁ Ἐμπεδοκλῆς. καὶ παραθέμενος δι' ὧν ταῦτά φησιν ὁ Ἐμπεδοκλῆς, ἀποδιδοὺς τῷ πυρίῳ σώματι καὶ τῷ ἡλίῳ (πύρια γὰρ τὰ οὐράνια ᾤετο) τὴν
10 λευκότητα καὶ τὴν θερμότητα, τῷ δὲ ὕδατι τὴν μελανότητα καὶ τὴν ψυχρότητα, ὁμοίως φησὶ καὶ περὶ τῶν λοιπῶν παθῶν λέγειν αὐτόν, οἷον ὑγρό- 30
τητος καὶ ξηρότητος καὶ πυκνότητος καὶ συντόμως φάναι τῶν ἄλλων παθῶν, ὁμοίως δὲ δηλονότι τῷ διαφορὰς αὐτὰ τῶν στοιχείων εἶναι καὶ εἰδοποιεῖν αὐτὰ τὰ αὐτὰ μένοντα. κατὰ μὲν οὖν Ἐμπεδοκλέα οὐκ ἔστιν ἀλ-
15 λοίωσις, ὡς δέδεικται, κατὰ δὲ Ἀναξαγόραν αἱ ὁμοιομέρειαι τούτοις εἰδοποιοῦνται τοῖς πάθεσιν, κατὰ δὲ τοὺς περὶ Δημόκριτον εἴδη τῶν στοιχείων ἐστὶ τὰ σχήματα. τῶν δὲ ἄλλων ἐστὶν ἀνεπίδεκτα παθῶν, οἷον θερμότητός τε καὶ ψύξεως, λευκότητός τε καὶ μελανίας, καὶ τῶν ἄλλων τῶν τοι- 35
ούτων, φαίνεσθαι δὲ μόνον τούτων μετέχοντα τὰ σύνθετα τῇ πρὸς ἡμᾶς
20 σχέσει. τούτων δὲ τῶν παθῶν, τῶν ἡμῖν μὲν φαινομένων φύσει δὲ μὴ ἐνυπαρχόντων τοῖς σώμασι, τὰ μὲν τῇ ἐκ τῶν τοιῶνδε ἀτόμων συγκρίσει ἕπεται, ὥσπερ ἡ θερμότης τῷ πυρὶ ἐκ σφαιρικῶν ἀτόμων συντεθεισῶν φαίνεται διὰ τὸ τῆς σφαίρας εὐκίνητον (τῷ γὰρ ῥᾳδίως διικνεῖσθαι, διότι κατὰ σημεῖον ἡ κίνησις τῇ σφαίρᾳ, τὸ θερμὸν εἶναι δοκεῖν ποιεῖ, ὥσπερ 40
25 τοὐναντίον ὁ κύβος τῇ πιλήσει καὶ τῷ δυσκινήτῳ τὸ ψυχρόν), ἔνια δὲ σῳζομένων τῶν συγκριμάτων τῇ μεταθέσει καὶ τῇ μετατάξει τῶν ἀτόμων τὴν φαντασίαν τῆς μεταβολῆς ἴσχει, ὅπερ ἔφαμεν ἀναλογεῖν τῇ ἀλλοιώσει. τὸ γὰρ αὐτὸ σῶμα ὁτὲ μὲν λευκὸν ὁτὲ δὲ μέλαν καὶ ψυχρὸν καὶ θερμὸν δοκεῖ, τῷ μετατίθεσθαι καὶ μετατάττεσθαι τὰς ἀτόμους ἐν τῷ συνθέτῳ. ἀμέλει
30 τὸ πῦρ ἀεὶ ὡσαύτως ἔχειν δοκεῖ, τῷ εἰ καὶ μετατεθεῖεν τὰ ἐξ ὧν σύγκειται ἄτομα, διὰ τὸ εἶναι σφαιρικὰ πανταχόθεν τὴν αὐτὴν ἀεὶ ἔχειν σχέσιν 45
πρὸς ἡμᾶς. τὰ γὰρ ἐκ τριγώνων φέρε οὐχ ἕξει ὁμοίως, ἔξω μὲν τῶν βάσεων οὐσῶν ἐντὸς δὲ τῶν κορυφῶν, ἢ ἔμπαλιν. πάντα δὲ ἁπλῶς τὰ

---

1. 2 ποιοῦνται a 4. 5 δι' ὧν — ἀλλοίωσιν om. GTa 4 γὰρ Z: om. R 5 ⟨τὰ γὰρ πάθη⟩ εἴδη εἶναι ⟨φασὶ⟩ τῶν a 5. 6 τὰ αὐτὰ τοῖς αὐτοῖς a 6 αὐτοὺς] αὐτὰς R¹ 10 ὕδωρ Z 11 λέγεν GT 13 τῷ a: τὸ cett. 15 δέδοικται GT¹ ὁμοιομερίαι R 16 περὶ om. superscr. R 18 ψύχεος R τε alterum om. R μανίας G 18. 19 τῶν ἄλλων τοιοῦτον Z 22 συντεθεισῶν a: συντεθέντων RZ: συνθέντων T: συνθέτων G 23 ἀκίνητον Z διικνεῖσθαι (G)a 24 τῆς σφαίρας GTa τῇ σφαίρα ἡ κίνησις Z ποιεῖν Z 28. 30 δοκεῖ — ἔχειν om. Z 31 τὰ ἄτομα Z ἔχειν a: ἔχει cett. 33 βάσεων] βία Z

πάθη, τά τε φυλαττόμενα ἀεί, ὡς ἡ θερμότης ἐν τῷ πυρί, καὶ τὰ ἄλλο- 4v
τε ἄλλως μεταλλαττόμενα, φαίνεσθαι μόνον ἡμῖν ἔφασκον, φύσει δὲ ἐνυ-
πάρχειν οὐδαμῶς.

p. 314b26 Ἢ καὶ φανερὸν ὅτι μίαν ἀεὶ τοῖς ἐναντίοις ὑποθετέον
5 ὕλην.

Ὕλην μὲν καλεῖ τὸ ὑποκείμενον καθ' ἑκάστην μεταβολήν. δείξας δὲ
πῶς οἱ πολλὰ στοιχεῖα λέ|γοντες ἀναιροῦσιν ἀλλοίωσιν, τοῦτο λοιπὸν ὥσπερ 5r
πόρισμα συνάγει. εἰ γὰρ διὰ τοῦτο οὐ δύναται λέγειν ὁ Ἐμπεδοκλῆς ἀλ-
λοίωσιν, διὰ τὸ ἀμεταβλήτους ὑποτίθεσθαι τὰς πρώτας οὐσίας, ἔστι δὲ ἐν-
10 αργὴς ἡ ἀλλοίωσις, δεῖ τοίνυν ἕν τι εἶναι ὅπερ ὑπομένει καὶ μεταβάλλει
εἰς τὰ ἐναντία. εἴτε οὖν ἔστιν ἀλλοίωσις καὶ ὅλως μεταβολή, ἓν τὸ ὑπο-
κείμενον, εἴτε ἓν τὸ ὑποκείμενον, ἀνάγκη πᾶσα μεταβολὴν εἶναι· οὐ γὰρ 5
ὁμοιοδῆ ἐστι τὰ ὄντα, ὡς ἡ ἐνάργεια μαρτυρεῖ. ἑνὸς οὖν ὄντος ὑποκει-
μένου, ἐκεῖνο δηλονότι ἐστὶ τὸ κατὰ τὰς ἐναντίας μεταβάλλον ποιότητας.
15 κοινὸν δὲ ἐπὶ πάσης μεταβολῆς ἐποιήσατο τὸν λόγον.

p. 314b28 Ἔτι δ' ὁμοίως ἀναγκαῖον εἶναι τοῦτο καὶ ἀλλοίωσιν.

Ὁμοίως, φησίν, ἀναγκαῖον κοινὸν ὑποκείμενον εἶναι καὶ ἀλλοίωσιν.
τουτέστι καθάπερ ἀναγκαῖον κοινὸν ὑποθέσθαι ὑποκείμενον, οὕτω καὶ ἀλλοί-
ωσιν ἀναγκαῖον ὑποθέσθαι, διότι ἑκάτερον θατέρῳ ἀκολουθεῖ, ἥ τε ἀλλοίωσις
20 τῷ κοινῷ ὑποκειμένῳ ἥ τε τοῦ κοινοῦ ὑποκειμένου θέσις τῇ ἀλλοιώσει. 10
τὸ δὲ τῶν ἐχόντων εἰς ἄλληλα μεταβολὴν εἶπε διὰ τὰ οὐράνια· κατὰ
τόπον γὰρ μόνον ταῦτα μεταβάλλειν νοεῖται.

p. 315a3 Ἐμπεδοκλῆς μὲν οὖν ἔοικεν ἐναντία λέγειν καὶ πρὸς τὰ
φαινόμενα καὶ πρὸς αὑτὸν αὐτός.

25 Εἰπὼν τί μὲν ἕπεται τοῖς ἓν τὸ στοιχεῖον ὑποτιθεμένοις, ὅτι τὸ μὴ
διακρίνειν γένεσιν ἀλλοιώσεως, τί δὲ τοῖς πολλά, ὅτι ἕπεται μὲν τῇ ὑπο-
θέσει αὐτῶν τὸ εἰδέναι διαφορὰν γενέσεως καὶ ἀλλοιώσεως, εἰ καὶ αὐτοὶ
τοῦτο οὐκ ἐπέστησαν οὐδὲ διέκριναν γένεσιν καὶ ἀλλοίωσιν. ἰδίᾳ μὲν

---

4 Ἢ] cf. Aristotelis libri ὑποθετέον εἶναι τοῖς ἐναντίοις a 7 οἱ πολλὰ om. R τὰ στοιχεῖα a 12 πᾶσα Ra: πᾶσι Z: πᾶσαν GT μετάβολὴ Z 13 ὁμοιειδῆ Z ἐνέργεια GRTa 13. 14 τοῦ ὑποκειμένου Z 16 lemma om. a, qui superius lemma plenius dederat 17 ὁμοίως οὖν φησιν a: ὁμοίως δέ φησιν Z ἀναγκαῖον κοινὸν ὑποκείμενον R (et V): ἀναγκαῖον ὑποκείμενον κοινὸν GTa: κοινὸν ἀναγκαῖον ὑποκείμενον Z 18. 19 οὕτως καὶ ἀλλοίωσιν ἀναγκαῖον κοινὸν ὑποθέσθαι ὑποκείμενον Z 21. 22 κατὰ τόπον in eras. T² 24 αὐτὸν RZ 27 εἰ καὶ αὐτοὶ RT: ἢ καὶ αὐτοὶ G: εἰ καὶ αὐτὸ Z: αὐτοὶ δὲ a 28 immo τούτῳ ἰδίαν Z

Ἀναξαγόρᾳ ἐνεκάλεσεν, ὅτι καὶ τὴν οἰκείαν φωνὴν ἠγνόησε τὴν γένεσιν καὶ τὴν φθορὰν ἀλλοίωσιν ὀνομάσας, ἰδίᾳ δὲ πάλιν νῦν Ἐμπεδοκλέους ἐπιλαμβάνεται ὡς καὶ τοῖς φαινομένοις καὶ ἑαυτῷ τἀναντία λέγοντος. πρὸς μὲν γὰρ τὰ φαινόμενα ἐναντία λέγει ἀναιρῶν τὴν ἀλλοίωσιν ἐναργῆ οὖσαν, πρὸς ἑαυτὸν δὲ διότι λέγει μὲν ἀμετάβλητα τὰ στοιχεῖα, καὶ αὐτὰ μὲν μὴ γίνεσθαι ἐξ ἀλλήλων τὰ δὲ ἄλλα ἐκ τούτων, πάλιν δέ φησι τῆς φιλίας κρατούσης τὰ πάντα ἓν γίνεσθαι καὶ τὸν σφαῖρον ἀποτελεῖν ἄποιον ὑπάρχοντα, ὡς μηκέτι μήτε τὴν τοῦ πυρὸς μήτε τῶν ἄλλων τινὸς σῴζεσθαι ἐν αὐτῷ ἰδιότητα ἀποβάλλοντος ἑκάστου τῶν στοιχείων τὸ οἰκεῖον εἶδος· ὡς δῆλον ὅτι ἀφαιρετὰς ὑποτίθεται τὰς εἰδοποιοὺς διαφορὰς τῶν στοιχείων. ἔτι δὲ καὶ ἐξ ὧν φησιν αὐτὰς γίνεσθαι, εἰσάγει ὅτι καὶ χωρίζονται. λέγει δὲ αὐτὰς γίνεσθαι, ἐπειδὰν τοῦ σφαίρου γενομένου καὶ πάντων εἰς αὐτὸν συνελθόντων τὸ νεῖκος κρατήσῃ πάλιν. τότε γάρ, φησίν, ἐκ τοῦ σφαίρου ἑνὸς ὄντος καὶ ἀδιαφόρου σώματος γίνεται τὰ τέσσαρα στοιχεῖα, διαφορῶν τινων δηλονότι καὶ παθῶν προσγενομένων τῷ ἑνὶ ἄλλων ἐν ἄλλῳ μέρει αὐτοῦ, αἰτίσιν ἀλλήλων διορίζονται τὰ ἐξ ἐκείνου γενόμενα στοιχεῖα. ὥστε εἰ γεγόνασι, καὶ ἀφαιρεθεῖεν ἄν, καὶ μάλιστα τοῦ νείκους καὶ τῆς φιλίας ἔτι μαχομένων. ὥστε καὶ γένοιτ' ἂν ἐξ ἀλλήλων. εἰ γὰρ μὴ διακεκριμένον μηδὲ ἀφωρισμένον ἐν τῷ σφαίρῳ τὸ τοῦ πυρὸς σῶμα ὕστερον τὰς διαφορὰς προσλαβὸν γέγονε πῦρ, καὶ αἱ διαφοραὶ αἱ τοῦ πυρός, ὡς ἐν τῷδε τῷ μέρει τοῦ σφαίρου γενόμεναι τὸ πῦρ ἐποίησαν, οὕτω καὶ ἐν ὁτῳοῦν ἄλλῳ μέρει αὐτοῦ ἠδύναντο γενέσθαι, ἐν ᾧ φέρε αἱ τοῦ ὕδατος νῦν καὶ τῆς γῆς καὶ τοῦ ἀέρος διαφοραὶ γεγόνασι. πρόδηλον ὅτι καὶ εἰς ἄλληλα πεφύκασι μεταβάλλειν. τοῦτο γάρ ἐστι τὸ δύνασθαι τὰ στοιχεῖα μεταβάλλειν εἰς ἄλληλα, τὸ ἐν ἑνὶ καὶ τῷ αὐτῷ ὑποκειμένῳ ἀνὰ μέρος ποτὲ μὲν τὰς τούτου ποτὲ δὲ τὰς ἄλλου τινὸς εἰδοποιοὺς διαφορὰς δύνασθαι γίνεσθαι. οὐδὲ γὰρ ἔστιν εἰπεῖν ὡς αὐτὸ τὸ σῶμα τοῦ πυρὸς τὸ συνελθὸν ἐν τῇ τοῦ σφαίρου γενέσει, αὐτὸ ὕστερον τὰς διαφορὰς τοῦ πυρὸς ἐδέξατο καὶ γέγονε πῦρ. ἀποκληρωτικὸν γὰρ τοῦτο· ἦν γὰρ ὁ σφαῖρος ἀδιάφορον σῶμα καὶ ὁμοειδὲς αὐτὸ ἑαυτῷ, καὶ κοινὸν πάντων ὑποκείμενον. εἰ γάρ τις εἴποι μὴ δύνασθαι ἐν ὁτῳοῦν τοῦ σφαίρου μέρει τὰς ἑκάστου στοιχείου εἰδοποιοὺς διαφορὰς ἐγγίνεσθαι, δῆλον ὅτι οὐκ ἀδιάφορον ποιεῖ τὸ τοῦ σφαίρου σῶμα οὐδὲ ἕν, ἀλλ' ἄλλας ἐν ἄλλῳ μέρει αὐτοῦ ἀποτίθεται ἰδιότητας, δι' ἃς ἐν τῷδε μὲν πῦρ καὶ οὐδὲν τῶν λοιπῶν, ἐν ἄλλῳ δὲ ἄλλο τι συνίσταται. εἰ οὖν

1 ἀναξαγόραν R οἰκείαν] ἰδίαν a φωνὴν] φ^υ (h. e. φύσιν) Z 2 ὠνομάσης a 4 λέγειν Z 5 ἀμετάβλητα μὲν Z 7 ἐνγίνεσθαι et τὸ σφαῖρον Z γίγνεσθαι a 9 ἀποβαλόντος R ὥστε fort. recte a 13 κρατήσει RZ 14 διαφόρου GT 15 προσγινομένων δηλονότι καὶ παθῶν a τῷ ἑνὶ ἄλλων ἐν R: τῷ ἐντάλλων ἐν Z: τῷ ἑνὶ GT: ἄλλων a 16 γινόμενα GTa 19 ἀφορισμένον Z 20 προσλαβὼν R¹Z¹ τῷδε R: τῷ δὲ a (cett.) 21 οὕτω R (et V): οὕτω οὖν TZ: οὕτως οὖν (G)a ἐν om. Z ὁτωουν (sic) V: τῷ οὖν R: τῷ cett. 22 νῦν om. a 25 ἓν ἑνὶ R 33 ἄλλας εἰ ἄλλω Z, qui mox ὑποτίθεται 33. 34 ἐν τῷ μὲν Z

ἀδιάφορον παντελῶς τὸ τοῦ σφαίρου σῶμα ὑποτίθεται, καὶ ἀνὰ μέρος ποτὲ 5r
μὲν ἐπικρατεῖν τὸ νεῖκος καὶ ποιεῖν τὰ στοιχεῖα, ποτὲ δὲ τὴν φιλίαν καὶ
ποιεῖν τὸν σφαῖρον, ἀνάγκη πᾶσα κατὰ ταύτας τὰς ὑποθέσεις πάντα τὰ
στοιχεῖα μεταβάλλειν εἰς ἄλληλα.

5 p. 315a18 Οὐ γὰρ δὴ πῦρ καὶ γῆ καὶ ὕδωρ ὄντα ἓν ἦν τὸ πᾶν.

Ὅτε, φησίν, ἓν ἦν τὸ πᾶν, τουτέστιν ὁ σφαῖρος, οὔτε πῦρ ἦν ἐν αὐτῷ
οὔτε τῶν ἄλλων οὐδὲν καθ' ἕξιν, ἐπεὶ οὐκέτ' | ἂν ἦν ἕν· ἀλλὰ δῆλον ὅτι 5v
ἕκαστον τῶν στοιχείων ἐξέστη τοῦ εἶναι ὅπερ ἦν. καὶ μίαν οὐσίαν πάντα
ἀπετέλεσε τὴν τοῦ σφαίρου.

10 p. 315a19 Ἄδηλον δὲ καὶ πότερον ἀρχὴν αὐτῶν θετέον.

Πάλιν πρὸς Ἐμπεδοκλέα ἀποτείνεται ὡς ἀσύμφωνα ὑποτιθέμενον.
ἄδηλον γάρ, φησί, ποίαν χρὴ τίθεσθαι ἀρχὴν ὅσον ἐκ τῶν παρ' αὐτοῦ λε-
γομένων, πότερον τὸν σφαῖρον τῶν στοιχείων ἢ ταῦτα τοῦ σφαίρου. ᾗ
μὲν γὰρ ἐκ τοῦ σφαίρου ὡς ἐξ ὕλης τινὸς ἀποίου καὶ κοινοῦ ὑποκειμένου
15 κατὰ τὴν ὑπὸ τοῦ νείκους κίνησιν μεταβάλλοντα καὶ εἰδοποιούμενα γίνεται 10
τὰ τέσσαρα στοιχεῖα, ταύτῃ δόξειεν ⟨ἂν⟩ ἐν ἀρχῆς καὶ ὕλης λόγῳ τὸν
σφαῖρον τίθεσθαι (δεῖ γὰρ τὴν πρώτην ἀρχὴν ἄποιον εἶναι)· ᾗ δὲ πάλιν
ἐκ τῆς τῶν τεσσάρων συνθέσεως τῆς φιλίας συγκρινούσης τὸν σφαῖρον ἔλεγε
γίνεσθαι, ταῦτα δὲ ἐκ τῆς ἐκείνου διαλύσεως, ἐν ἀρχῆς λόγῳ ἄν τις θείη
20 τὰ τέσσαρα στοιχεῖα· ἀρχῆς γὰρ ἴδιον τὸ ἁπλούστερον, ἁπλούστερα δὲ τὰ
στοιχεῖα τοῦ ἐξ αὐτῶν συγκειμένου σφαίρου· σύνθετος γὰρ ἐκ τούτων ὁ 15
σφαῖρος.

p. 315a26 Ὅλως τε δὴ περὶ γενέσεως καὶ φθορᾶς τῆς ἁπλῆς λεκτέον.

25 Εἰπὼν τὰς τῶν παλαιοτέρων περὶ τῆς γενέσεως δόξας, τῶν τε εἰς
ταὐτὸν ἀγόντων αὐτὴν τῇ ἀλλοιώσει καὶ τῶν διακρινόντων αὐτήν, ἐπά-
νεισιν ἐπὶ τὸ προκείμενον, λέγω δὲ τὸν περὶ γενέσεως λόγον, καὶ ζητεῖ εἰ 20
ἔστι γένεσις, καὶ τὸν τρόπον καθ' ὃν ἔστι, καὶ περὶ τῶν ἄλλων δὲ τῶν
φυσικῶν μεταβολῶν· ἀναγκαῖος γὰρ ὁ περὶ τούτων λόγος μάλιστα, διότι
30 τῶν παλαιῶν οὐδένα ἔχομεν περὶ τούτων ἀξιόλογόν τι εἰρηκότα.

Περὶ μὲν οὖν ἁπασῶν τῶν φυσικῶν μεταβολῶν οὐδεὶς εἴρηκε τῶν
προτέρων, λέγω δὲ γενέσεως καὶ αὐξήσεως καὶ ἀλλοιώσεως, Πλάτων δὲ εἴ-

---

2 δὲ om. GT 5 lemma (quo de cf. Ar. codd.) om. hic a 6 Ὅτε — πᾶν om. add. mrg. R² ὅταν Z: ὅτε οὖν a 10 καὶ τὸ πότερον a αὐτῶ R et Aristot. cod. E 11 ὑποτείνεται R ἀσύμφωνον Z 15 τοῦ] τὴν Z 16 ἂν addidit a ἐν om. Z 19 ταύτῃ ἐν ἀρχῆς V 25 παλαιοτέρων G 31 μὲν οὖν] γὰρ a 32 λέγω] ἐγὼ R
32. p. 21,2 Πλάτων — στοιχείων] lemma 315a29—b9 Πλάτων μὲν οὖν — ἀλλοίωσιν a

ρηκε μὲν ἀλλὰ περὶ μόνης γενέσεως, καὶ γενέσεως οὐ πάσης ἀλλὰ μόνης 5r
τῆς τῶν στοιχείων (ἐκ γὰρ τῶν ἐπιπέδων αὐτὰ γεννᾷ), πῶς δὲ τὰ σύνθετα
ἐκ τῆς τούτων γίνεται συνθέσεως οὐκέτι εἴρηκεν. τοῦ δὲ περὶ γενέσεως 35
λέγοντα τὸν Πλάτωνα τῆς τῶν στοιχείων μὴ εἰρηκέναι καθόλου περὶ γε-
5 νέσεως ἀπόδειξις τὸ μὴ δύνασθαι τῷ τῆς γενέσεως τῶν στοιχείων λόγῳ
ὑποτάττεσθαι τὴν σαρκῶν καὶ ὀστῶν γένεσιν. τὰ μὲν γὰρ στοιχεῖά φησιν
ἐξ ἐπιπέδων γεγενῆσθαι τριγώνων, προθέμενος δὲ εἰπεῖν περὶ ὀστῶν γε-
νέσεως οὐκέτι οὐδὲ τὴν τῶν ἐπιπέδων οὐδὲ τὴν ἐκ τῶν ἐπιπέδων γεγο-
νότων, λέγω δὲ τῶν στοιχείων, αἰτιᾶται σύνθεσιν. λέγει γὰρ ὅτι 'γῆν δια-
10 πλάσας καθαρὰν ὁ δημιουργὸς καὶ λείαν ἀνεφύρασε καὶ ἔδευσε μυελῷ, καὶ 40
μετὰ ταῦτα εἰς πῦρ αὐτὸ ἐντίθησι, μετ' ἐκεῖνο δὲ εἰς ὕδωρ αὐτὸ βάπτει,
πάλιν δὲ εἰς πῦρ, καὶ αὖθις εἰς ὕδωρ, μεταφέρων τε οὕτως πολλάκις εἰς
ἑκάτερον ὑπὸ ἀμφοῖν ἄτηκτον εἰργάσατο'· ὁ δὲ μυελός, ἐξ οὗ καὶ ἐκ τῆς
γῆς ποιεῖ τὰ ὀστᾶ, οὔτε στοιχεῖόν ἐστιν οὔτε ἐπίπεδον. ποιότητος γὰρ
15 καὶ πάθους μεταβολὴ γεννᾷ τὰ ὀστᾶ, ποιότητα δὲ καὶ πάθος οὐχ οἷόν τε
ἐκ τῶν ἐπιπέδων γεννηθῆναι. αὐτὸς γὰρ ἐρεῖ προελθὼν 'πάθος γὰρ ἐκ
τῶν ἐπιπέδων οὐδὲ ἐπιχειροῦσι γεννᾶν', διότι τὰ στοιχεῖα αὐτῶν τοῖς σχή- 45
μασιν ἀλλ' οὐ ποιότησιν οὐδὲ πάθεσιν εἰδοποιεῖται. καταλιπὼν δὲ πρὸς
ταῦτα ἀντιλέγειν ὁ Ἀριστοτέλης ὄντα ἄτοπα, οὐδὲν ὅλως εἰρηκέναι περὶ
20 ὀστῶν γενέσεως αὐτόν φησι· παντάπασι γὰρ ἀπίθανά ἐστιν ὡς πρὸς τὸ
φαινόμενον, εἰ οὕτως ἔλεγεν ὁ Πλάτων. εἰ γὰρ μυελὸς ἦν τοῦ ὀστοῦ πρό-
τερον, καὶ ὀστοῦν ἦν ἐξ ἀνάγκης· ὀστογενῆ γοῦν καὶ αὐτὸς ὁ Πλάτων
καλεῖ τὸν μυελόν, ὡς ἐν ἐκείνῳ τὸ εἶναι ἔχοντα. ὥστε πρὶν ὀστοῦν γένη- 50
ται, ἦν ὀστοῦν. ἔτι εἰ καὶ ὅτι μάλιστα ἐκεῖνο τὸ πρῶτον ὀστοῦν ἐποίησεν
25 οὕτως ὁ δημιουργός, ἀλλ' οὐχ οὕτως γίνεται τὰ ἐν τοῖς ζῴοις φύσει γινό-
μενα. ὁ μὲν οὖν Πλάτων τοσοῦτον μόνον περὶ γενέσεως εἴρηκεν, οὐδὲ τῶν
ἄλλων δὲ οὐδεὶς εἴρηκέ τι παρὰ τὰ ἐπιπολῆς ἔξω Δημοκρίτου· οὗτος
γάρ, φησί, παρὰ τοὺς ἄλλους φαίνεται πάντων πεφροντικὼς καὶ ἀρχὰς
ὑποθέμενος εἰς πάντα αὐτῷ ἁρμόττειν δυναμένας.

30 p. 315a27 Καὶ περὶ τὰς ἄλλας κινήσεις.

Κινήσεις εἶπεν ἀντὶ τοῦ μετα|βολάς· ἡ γὰρ γένεσις, ὡς αὐτὸς ἔφη ἐν 6r

---

1. 2 μόνης τῆς τῶν R (et V): μόνης τῶν GT: μόνων τῶν Z 3 τοῦ] τὸν R
4. 5 περὶ γενέσεως om. R 7 γίνεσθαι Z 9. 13 cf. Plat. Tim. p. 73 E 10 ὁ δημιουργὸς καθαρὰν a λείαν RT¹a: λίαν GT²Z 11 ἀντίθησι a 12 οὕτω (G)a 13 εὔτικτον R ἐκ om. R (et V) 15 μεταβολῆ a γεννᾶται ὀστᾶ Z 16 γενηθῆναι GTa αὐτὸς γὰρ κτλ.] cf. Ar. p. 316a4 17 οὐδὲν libri αὐτῷ a
20 αὐτῶν GT 22 ἦν om. Z Πλάτων] ap. Arist. Top. Z 2 p. 140a5 (cod. A)
23 ἐν om. (G)a πρὶν ⟨ἂν⟩ a 24 εἰ om. GT ἐκεῖν et οὗτος ὁ δημ. Z 25 οὐχ οὕτω (G)a 26 τοσοῦτο a μόνος Z 26. 27 οὐδὲ — οὗτος γάρ] ὁ δὲ Δημόκριτος a 27 ἐπὶ πολῆς R 28 περὶ Z πεφορτικὼς GT¹ 29. 31 δυναμένας καὶ πρὸς τὰς ἄλλας κινήσεις, κινήσεις δὲ εἰπὼν ἀντὶ a, qui lemma non agnovit
30 καὶ περὶ κτλ.] cf. Ar. cod. H 31 ἔφησεν ἐν Z

τῇ Φυσικῇ, μεταβολὴ μὲν οὐ μέντοι κίνησις. πτώσει δὲ ἀντὶ πτώσεως 6r
ἐχρήσατο, αἰτιατικὴν εἰπὼν ἀντὶ γενικῆς· ἔδει γὰρ εἰπεῖν 'περὶ τῶν ἄλλων
κινήσεων'. ἔστι δὲ τοιοῦτον σχῆμα παρὰ τοῖς παλαιοῖς, καὶ παρὰ τῷ ποιητῇ

θρήνους ἐξάρχους, οἵ τε στονόεσσαν αὐτήν

ἀντὶ τοῦ θρήνων ἐξάρχους. καὶ Ἀριστοφάνης ἐν Ἐκκλησιαζούσαις

ὦ χρυσοχόε, τὸν ὅρμον ὃν ἐσκεύασας,
ὀρχουμένης μου τῆς γυναικὸς ἑσπέρας
ἡ βάλανος ἐκπέπτωκεν ἐκ τοῦ τρήματος.

τὸν ὅρμον γὰρ αἰτιατικὴν εἶπεν ἀντὶ τοῦ ὅρμου· ἡ βάλανος ἐκ τοῦ τρήματος τοῦ ὅρμου ἐκπέπτωκεν.

p. 315a35 Ἤδη δὲ ἐν τῷ πῶς διαφέρει.

Ἐν τῷ πῶς φησὶ κατὰ τὸν τρόπον. εἰ γὰρ καὶ γένεσιν καὶ ἀλλοίωσιν ὑποτίθεται, ἀλλ' οὐχ ὅνπερ ἡμεῖς τρόπον, συγκρίσει μὲν καὶ διακρίσει οἰόμενος εἶναι τὴν γένεσιν, μεταθέσει δὲ καὶ μετατάξει τὴν ἀλλοίωσιν. καὶ περὶ αὐξήσεως δὲ οἱ μὲν ἄλλοι τοσοῦτον εἰρήκασιν, ὅσονπερ ἂν λέγοι καὶ ὁ τυχών, ὅτι προσιόντος τινὸς γίνεται αὔξησις (πῶς δὲ πρόσεισιν, ἆρα διὰ πόρων ἢ σῶμα διὰ σώματος διιόν, οὐκέτι προστεθείκασι· ταῦτα γὰρ πάντα ἔχει ἀπορίαν· καὶ περὶ τοῦ ποιεῖν δὲ καὶ πάσχειν αἱ αὐταὶ ἀπορίαι, πῶς τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει), ὅτι δὲ Δημόκριτος περὶ αὐξήσεως ἀπεφήνατο ὑποκατιὼν προστίθησιν.

p. 315b4 Οὐδὲ περὶ μίξεως.

Ἡ μίξις ἢ ταὐτόν ἐστι τῇ κράσει (κρᾶσις δέ ἐστιν ὡς ἡ τῶν ὑγρῶν, ὅταν τῶν ὄγκων παρακειμένων δράσασαι εἰς ἀλλήλας αἱ ποιότητες δι' ἀλλήλων διαβῶσιν) ἢ ἐπὶ πλέον τῆς κράσεως ἡ μίξις· τῶν γὰρ μίξεων ἡ μέν ἐστι κρᾶσις ὡς ἐπὶ τοῦ οἰνομέλιτος, ἡ δὲ παράθεσις ὡς ἐπὶ τῆς πανσπερμίας, ἡ δὲ διαπλοκὴ ὡς ἐπὶ τῆς ὕλης καὶ τοῦ εἴδους. δεῖ δὲ τῷ περὶ γενέσεως διαλεγομένῳ καὶ τοῦ περὶ τούτων λόγου, εἰς τὸ εἰδέναι τίνι τρόπῳ τὸ γινόμενον γίνεται καὶ εἴτε δεῖ τούτων τινὸς εἰς τὴν γένεσιν εἴτε οὐ δεῖ.

---

1 Φυσικῇ] cf. E 1 p. 225a20 sqq. μὲν] μέντοι Z, qui mox ἀντὶ τοῦ πτώσεως
2 ἔδει κτλ.] cf. Arist. vulg. 3 τὸ τοιοῦτον GT: τὸ τοιοῦτο a 3. 4 τῷ ποιητῇ] Hom. Ω 721 (cf. λ 383) 5 αὐτὴν libri 6 Ἐκκλησιαζούσαις] immo Lysistr. 408—410 7 ἐσκεύασας] cf. codd. Aristoph. 9 et 10 πρήματος et πρήματος a 10 ⟨ἐν' ᾗ⟩ ἡ βάλανος a 12. 13 τὸ δὲ ἐν τῷ πῶς διαφέρει, ἀντὶ τοῦ κατὰ a 12 διαφέρειν Z 13 τὸν om. Z καὶ (post γὰρ) om. Z
14 μὲν] δὲ GT καὶ om. Z 16 δὲ οἱ μὲν ἄλλοι] δέ φησι a 17 ἆρα R
18 διὸν T¹ 19 δὲ] τὲ (?) G 20. 23 ἀπεφήνατο οὐδὲ περὶ μίξεως, ὑποκατιὼν προστίθησιν. ἰστέον δὲ ὅτι ἡ μίξις ἢ a 23 ἡ δὲ μίξις Z 24 ὄγκων RT: ὄντων (GZ)a
25 διαλαβῶσιν Z 26 παμπερμίας Z 27 δεῖ γὰρ τῷ Z τῷ ex corr. T²
28 διαλεγομένων G: διαλεγομένας a

p. 315b9 Ἐπεὶ δὲ ᾤοντο τἀληθὲς ἐν τῷ φαίνεσθαι. 6r

Ἐπειδή, φησί, πᾶσαν φαντασίαν ἀληθῆ λέγουσι, καὶ ἕκαστον ὡς φαίνεται οὕτως καὶ εἶναι, φαίνεσθαι δὲ πολλάκις τἀναντία περὶ τοῦ αὐτοῦ τισι, τὸ ταῦθ' οὕτως περὶ τοῦ αὐτοῦ φαινόμενα ἀληθῶς ἔχειν δύνανται ἐκ τῶν οἰκείων ἀρχῶν σῴζειν οἱ περὶ Δημόκριτον, ὑποθέμενοι ἄπειρα εἶναι τῶν στοιχείων τὰ σχήματα. ταῦτα γὰρ τήν τε τάξιν ἀμείβοντα καὶ τὴν θέσιν μεταλλάττοντα, ἐκ τῆς πρὸς τοὺς ὁρῶντας σχέσεως καὶ τοῦ διαστήματος ἄλλοτε ἄλλην καὶ ἐν τῷ αὐτῷ ἄλλῳ ἄλλην φαντασίαν παρέχεται. οὕτω γοῦν ὁ τῆς περιστερᾶς τράχηλος, προσβαλλούσης αὐτῷ τῆς τοῦ ἡλίου ἀκτῖνος, διαφόρων χρωμάτων φαντασίαν παρέχεται· πρὸς ἄλλην γὰρ καὶ ἄλλην τοῦ ὄμματος θέσιν τοῖς μὲν κυανὸς φαίνεται, τοῖς δὲ χρυσίζων, τοῖς δὲ μέλας, καὶ ἄλλοις ἀλλοῖος. καὶ τὰ τετράγωνα δὲ τῶν σχημάτων κυκλοτερῆ πόρρωθεν φαίνεται, καὶ κύκλον δὲ πόρρωθεν κείμενον, εἰ κατὰ τοῦ κροτάφου θεασώμεθα, εὐθεῖαν ὁρῶμεν, καὶ τὸ μέλι τῷ μὲν ἰκτεριῶντι πικρὸν φαίνεται τῷ δὲ ὑγιαίνοντι γλυκύ, καὶ τὸ Z γοῦν πρὸς ἄλλην καὶ ἄλλην τοῦ ὁρῶντος σχέσιν ἢ N ἢ Z ὁρᾶται.

p. 315b11 Ὥστε ταῖς μεταβολαῖς τοῦ συγκειμένου.

Συγκειμένου λέγει οὐ τοῦ συνθέτου, ἀλλὰ τοῦ συντιθέντος τὸ σύνθετον.

p. 315b13 Καὶ μετακινεῖσθαι μικροῦ ἐμμιγνυμένου, καὶ ὅλως ἕτερον [,φησί,] φαίνεσθαι ἑνὸς μετακινηθέντος. 36

Οὐ μόνη ἡ μετάθεσις καὶ μετάταξις τῶν ἀτόμων ἀμείβει τὴν φαντασίαν τῶν ὁρωμένων, ἀλλὰ καὶ παρὰ τὰς ἀπορρεούσας ἀτόμους τῶν συνθέτων καὶ προσπιπτούσας τοῖς ὁρῶσιν ἑτέρα τις γίνεται σχέσις καὶ διάφορος φαντασία. οὕτω μὲν ὁ Ἀλέξανδρος ἐξηγήσατο, ἴσως δὲ ἄν τις εἴποι ὅτι τοῦτο τῇ κατὰ αὔξησιν μεταβολῇ ἁρμόττει· κατὰ γὰρ τὴν ἀπορροὴν καὶ εἴσκρισιν τῶν ἀτόμων τὴν αὔξησιν καὶ φθίσιν ἔφασκον γίνεσθαι οἱ περὶ Δημόκριτον, ταύτην δὲ οὐ φαινομένην ἔλεγον τὴν μεταβολὴν καθάπερ τὴν ἀλλοίωσιν. καὶ ἐν τῇ ἀπορροῇ δὲ μικροῦ ἀπορρέοντος ἀλλοῖον τὸ ὅλον γίνεται. εἰ γοῦν ἐκ τοῦ 'ἀδυνάτου' ἀφέλῃς τὸ ᾱ μόνον, τὸ 'δυνατὸν' ποιεῖς. ὥστε μικρὰ ἀπορροὴ ἐναντίον τῷ ἐξ ἀρχῆς τὸ καταλειφθὲν ἐποίησεν.

1 δ' ᾤοντο τὸ ἀληθὲς Ga 3 οὕτω a 4 οὕτω (G)a δύναται RT¹ 6 post τάξιν addit τῶν στοιχείων Z 8 ἄλλῳ] ἄλλην T 11 φαίνεται om. Z 14 τὸ Za et corr. R: τῷ GR¹T 18 δὲ λέγει a οὐ τοῦ ἀσυνθέτου Z post σύνθετον addit καὶ ἡ μεταβολὴ τοῦ συνθέτου συμβαίνει a 20 φησὶ del. a ἑνὸς] γένος Z 21 Οὐ μόνον φησὶν ἡ a καὶ ἡ μετάταξις (om. τῶν ἀτόμων) Z τὴν om. Ta 24 οὕτω μὲν οὖν Z (et V): καὶ οὕτω μὲν a δέ τις ἂν R (et V) εἴπη Z 26 εἰς κρίσιν R 27 ἔλεγε Z 29 ἀφέλης GT: ἀφέλη RZ: ἀφέλοις a ποιεῖν Z 30 τῷ Ra: τὸ GTZ τὸ om. Z κἀταληφθὲν GRa

p. 315b14 Ἐκ τῶν αὐτῶν γὰρ κωμῳδία καὶ τραγῳδία γίνεται γραμμάτων. 6r

Παράδειγμα τῶν προειρημένων ἐστὶ τοῦτο. τὰ γὰρ αὐτὰ στοιχεῖα μεταταττόμενα τοίως ἢ τοίως τὰ πολὺ ἀλλήλων διεστῶτα, τραγῳδίαν φημὶ καὶ κωμῳδίαν, ἐργάζεται.

p. 315b15 Ἐπεὶ δὲ δοκεῖ πᾶσι σχεδὸν ἕτερον εἶναι γένεσις καὶ ἀλλοίωσις. |

Ἐπειδή, φησίν, οἱ πλείους (καὶ γὰρ Δημόκριτος καὶ Λεύκιππος, Ἀναξαγόρας τε καὶ Ἐμπεδοκλῆς) ἐδόξασαν γένεσιν καὶ φθορὰν κατὰ διάκρισιν εἶναι καὶ σύγκρισιν, καὶ ταύτην ἐχώρισαν τῆς ἀλλοιώσεως, ὥσπερ οἱ περὶ Δημόκριτον, περὶ τούτων διαλαβεῖν χρή· ἔχει γὰρ πολλὰς ἀπορίας ὁ λόγος. καὶ γὰρ συγκρίσει ὑποθεμένοις τὴν γένεσιν ἕψεται πολλὰ ἄτοπα· καὶ γὰρ καὶ τὰ πάθη ἀναιρήσομεν καὶ τὴν τῶν σωμάτων συνέχειαν. οἵ τε δεικνύντες λόγοι ὡς οὐκ ἐνδέχεται ἄλλως ἔχειν, εἰ μὴ συγκρίσει, τὴν γένεσιν εἶναι, οὐ ῥᾴδιοι διαλυθῆναι. ἔτι δὲ πρὸς τῷ ἰσχυροὺς καὶ δυσλύτους εἶναι τοὺς λόγους, καθ' οὓς σύγκρισις ἡ γένεσις δοκεῖ, εἴπερ καὶ ὑποτεθῇ μὴ εἶναι σύγκρισις ἡ γένεσις, ἄδηλον μήποτε οὐκ ἔστιν ὅλως γένεσις, ἢ ἔστι μὲν ταὐτὸν δὲ τῇ ἀλλοιώσει. καὶ τοῦτο οὖν δυσδιάλυτον ὂν ἐξεταστέον. 6v

p. 315b24 Ἀρχὴ δὲ τούτων ἁπάντων.

Ἀρχή, φησί, τῆς προτεθείσης ζητήσεως, τοῦ εἴτε ἐστὶ σύγκρισις ἡ γένεσις εἴτε μή, τὸ ἐξετάσαι εἰ οἷόν τέ ἐστιν ἄτομα σώματα εἶναι. εἰ μὲν γὰρ ἔστι τοιαῦτα σώματα ἄτομα καὶ ἀπαθῆ, ἀνάγκη συγκρίσει εἶναι τὴν γένεσιν· εἰ δὲ μὴ δυνατὸν ἄτομα σώματα ὑποθέσθαι, ἀναιρεθήσεται μὲν τὸ ἐξ ἀνάγκης κατὰ σύγκρισιν εἶναι τὴν γένεσιν, οὐ μὴν εἰσάγεται τὸ ἀδύνατον οὕτως ἔχειν. ἀτόμων μὲν γὰρ ὄντων ἐξ ἀνάγκης κατὰ σύγκρισιν ἡ γένεσις, μὴ ὄντων δὲ τῶν ἀτόμων οὐ πάντως ἀνῄρηται ἡ σύγκρισις· δυνατὸν γὰρ μὴ ὄντων ἀτόμων στοιχείων κατὰ σύγκρισιν εἶναι τὴν γένεσιν, ὡς δηλοῖ ἡ Ἐμπεδοκλέους δόξα. μὴ ὄντων οὖν ἀτόμων σωμάτων μόνον

---

1 τραγῳδία γίνεται καὶ κωμῳδία a; cf. Aristot. 3 προηρημένων (G)a 4 alterum τοίως om. Z πολλὰ T 6 ἐπειδὴ δοκεῖ R σχεδὸν πᾶσιν (Z)a 8 ἐπεὶ δὲ GT 9 τε om. GTa ἔδοξαν Z 10 ἐχώρισαν R: ἐχώρησαν Z: ἐχώρησεν GT: ἐχώρισεν a 15 τῷ] τὸ a 16 εἴπερ] εἰ δὴ a ὑποτεθείη a 17 ἢ] καὶ a 18 δὲ] δὲ ἄρα (immo δὲ ἔσται, ut est in V) R οὖν] ὂν Z 20 πάντων R; cf. Aristot. 25 τὸ (ante ἐξ) om. a σύγκρισιν] σύγκρισιν, γένεσιν a 26 ἔχειν] ἔχειν· ὄντων ἐξ ἀνάγκης κατὰ σύγκρισιν οὐ μὴν εἰσάγεται τὸ ἀδύνατον GT μὲν om. R ἐξ ἀνάγκης om. Z 27 τῶν om. Z

τὸ ἐξ ἀνάγκης κατὰ σύγκρισιν εἶναι τὴν γένεσιν ἀναιρεῖται. τοῦ δὲ ἐξ 6v
ἀνάγκης ἀναιρεθέντος χώραν λοιπὸν ἕξει τὸ εὐλογώτερον. ἐπειδὴ τοίνυν
τῇ μὲν θέσει τῶν ἀτόμων ἕπεται τὸ κατὰ σύγκρισιν εἶναι τὴν γένεσιν, τῇ
δὲ ἀναιρέσει τῶν ἀτόμων οὐκ ἀκολουθεῖ ἡ ἀναίρεσις τῆς κατὰ σύγκρισιν
5 γενέσεως, εἰκότως πλεῖστον καὶ οὐ παντί φησι διαφέρειν πρὸς τὸ προκεί-
μενον τὴν περὶ τῶν ἀτόμων ἐξέτασιν.

p. 315b28 Καὶ πάλιν εἰ μεγέθη, πότερον ὡς Δημόκριτος. 25

Εἰς τὴν περὶ τῆς γενέσεως σκέψιν ἀναγκαῖον τὸ ζητῆσαι εἰ ἔστιν
ἄτομα μεγέθη, καὶ εἰ τοῦτο, ἐφεξῆς ζητητέον πότερον, ὡς Δημόκριτος,
10 σώματά ἐστιν, ἤ, ὡς Πλάτων, ἐπίπεδα. εἶθ' ὑπομνήσας τῆς ἀτοπίας ταύ-
της τῆς δόξης (ἐπὶ πλέον γὰρ ἐν τῷ λόγῳ τῆς Περὶ οὐρανοῦ περὶ αὐτῆς
εἴρηκεν) ἐπὶ τὸ ζητεῖν εἰ οἷόν τε εἶναι σώματα ἀδιαίρετα μεταβαίνει, ὡς 30
ἔφασκε Δημόκριτος. φησὶ δὲ καὶ ταύτην τὴν δόξαν πολλὴν ἔχειν ἀτοπίαν,
ὅμως πρὸς τὴν Πλάτωνος συγκρινομένη δόξαν πολλῷ καὶ πιθανωτέρα καὶ
15 φυσικωτέρα τυγχάνει. εἴπερ ἡ μὲν Δημοκρίτου δύναται καὶ γένεσιν σῶσαι
καὶ ἀλλοίωσιν, ἡ δὲ τὰ ἐπίπεδα ἀρχὰς σωμάτων ποιοῦσα γένεσιν μέν πως
δοκεῖ σῴζειν, ποιότητα δὲ καὶ πάθος οὐδὲ τὴν ἀρχὴν ἐπιχειρεῖ γεννᾶν.
καὶ τὰς αἰτίας δὲ προστίθησι, δι' ἃς πιθανωτέρας τῶν περὶ Τίμαιον ὁ Δη- 35
μόκριτος ἀρχὰς ὑπέθετο. οἱ μὲν γάρ, φησίν, ὑπὸ τῆς περὶ τὰ μαθήματα
20 σχολῆς ἄπειροι τῶν φυσικῶν ὑπῆρχον, τῇ δὲ 'ἀπειρίᾳ' τὸ 'ἐνῳκηκέναι
τῇ φύσει' ἀντέθηκεν, τουτέστι τὸ ἐν πείρᾳ αὐτῆς γεγονέναι· οἱ γὰρ περὶ
Δημόκριτον ἐγγυμνασθέντες τοῖς φυσικοῖς πράγμασιν ἀρχὰς ὑπέθεντο ἐπὶ
πολὺ δυναμένας σῴζειν ὁμολογίαν πρὸς τὰ φύσει γινόμενα. πρὸς πίστιν
δὲ τῶν εἰρημένων γυμνάζει τοὺς ἑκατέρων λόγους, οἷς χρώμενοι πειρῶνται
25 δεῖξαι ὅτι ἔστι μεγέθη ἀδιαίρετα, καὶ δείκνυσι πολλὴν οὖσαν ὑπεροχὴν 40
τῶν Δημοκρίτου λόγων πρὸς τοὺς Πλάτωνος κατὰ τὸ πιθανόν, καὶ τῶν
μὲν προφανῆ τὴν ἀτοπίαν εἶναι, τοὺς δὲ Δημοκρίτου χαλεπὴν ἔχειν τὴν
λύσιν.

p. 315b30 Τοῦτο μὲν οὖν αὐτό, καθάπερ καὶ ἐν ἄλλοις εἰρήκαμεν,
30 ἄλογον μέχρι ἐπιπέδων διαλῦσαι.

Ἢ τοῦτό φησιν ὅτι ἄτοπον τὸ μέχρι τοσούτου διαλύειν τὰ σώματα,
μέχρι τοῦ εἰς ἐπίπεδα καταντῆ|σαι (ἀδύνατον γὰρ εἰς τοσοῦτον χωρῆσαι 7r

---

5 οὐ] τῷ a παν Z: πάντῃ V διαφέρει R 7 μεγέθη ἄτομα, πότερον a
10 ὡς ὁ πλάτων GTa ἀτόπου Z 11 τῆς (ante δόξης) om. Z fort. τῷ ⟨γῳ'⟩ λόγῳ Περὶ οὐρανοῦ Γ 1 Δ 2 etc. 12 εἰ om. R 14 συγκρινομένην TZ 14. 15 καὶ φυσικωτέρα καὶ πιθανωτέρα a 15 ἡ] εἰ Z 18 τῶν] τ'' R ὁ om a 20 τῇ] τῆς GT 21 ἀντέθεικεν R¹a 22 γεγυμνασθέντες a 24 γυμνάζειν T 30 ἄλογον γὰρ R

τὴν διαίρεσιν τῶν σωμάτων), ἢ ὅτι ἄλογον τὸ ἀναλύοντας εἰς ἐπίπεδα ἄχρι 7r
τούτου ἵστασθαι, καὶ μὴ ταῦτα ἀναλύειν εἰς γραμμάς, καὶ ταύτας εἰς σημεῖα. ὃν γὰρ λόγον ἔχει πρὸς τὸ σῶμα ἡ ἐπιφάνεια, τοῦτον καὶ πρὸς τὴν ἐπιφάνειαν ἡ γραμμὴ καὶ πρὸς ταύτην τὸ σημεῖον. ἔσονται οὖν οὕτως
5 πάντα ἐκ σημείων. πρὸς δὲ τὴν δόξαν ταύτην καὶ ἐν τῷ τρίτῳ τῆς Περὶ 5
οὐρανοῦ ὑπήντηκε.

p. 315ᵇ35 Τροπῇ καὶ διαθιγῇ.

Ῥυσμὸς τροπὴ διαθιγὴ λέξεις εἰσὶν Ἀβδηρικαί, αἷς ἐχρᾶτο Δημόκριτος, ῥυσμὸν μὲν καλῶν τὸ σχῆμα, τροπὴν τὴν θέσιν (οἷον εἰ ἡ βάσις
10 μὲν τῆς πυραμίδος κάτω εἴη, ἡ κορυφὴ δὲ ἄνω· ἢ ἔμπαλιν), διαθιγὴν δὲ τὴν τάξιν (ὅτι αἵδε μὲν εἰ τύχοι πρῶται, ἕτεραι δὲ ὕστεραι). ὅτι δὲ κατ' αὐτὸν τὰ σχήματα συγκρινόμενα μὲν τὴν γένεσιν, μετατιθέμενα δὲ καὶ μεταταττόμενα τὰ πάθη τὰ φαινόμενα ἐργάζεται, εἴρηται πρότερον. οὐδὲν γὰρ ἔφασκε φύσιν εἶναι χρωμάτων ἢ τῶν ἄλλων παθῶν· τροπῇ 10
15 γάρ φησι χρωματίζεσθαι.

p. 316ᵃ7 Αἷς ἐπὶ πολὺ δύνανται συνείρειν.

Αἷστισιν ἀρχαῖς χρώμενοι πολλὰ συνείρειν καὶ ἀποδοῦναι τῶν φύσει γινομένων δύνανται. εἰ δὲ ἐκτὸς τοῦ σ̄ εἴη γεγραμμένον τὸ ᾱι, πρὸς τὰς ἀρχὰς εἴη ἂν ἀποδεδομένον τὸ δύνανται, τουτέστιν αἱ ἀρχαὶ ἐπὶ πολὺ
20 δύνανται συνείρειν.

p. 316ᵃ8 Οἱ δ' ἐκ τῶν λόγων.

Λόγους καλεῖ τὰ μαθήματα, διότι ἐν τῇ ἐπινοίᾳ μόνῃ τὸ εἶναι ἔχουσιν. οἱ οὖν τοῖς μαθήμασι, φησίν, ἐνασχοληθέντες, ἀπειρίᾳ τῶν ὑπαρ- 15
χόντων, τουτέστι τῶν ἐν ὑποστάσει καὶ ὑπάρξει ὄντων οἷα τὰ φυσικά, ῥα-
25 δίως περὶ τῶν ἀρχῶν αὐτῶν ἀπεφήναντο, ὅθεν καὶ ῥαδίως ἐλέγχονται.

2. 3 καὶ ταύτας—ἐπιφάνεια om. GT: κἀκείνας εἰς σημεῖα. ὃν γὰρ λόγον ἔχει ἐπιφάνεια πρὸς σῶμα a 4 οὕτω (G)a 6. 8 ἀπήντηκε. τὸ δὲ τροπὴ καὶ διαθιγὴ καὶ ῥυσμὸς λέξεις εἰσὶν et mox ἐχρῆτο a 7 διαθηγῇ T: διαθήκη R¹ 8 διαθηγὴ GRTZ δωρικαὶ Z: αὐδηριτικαὶ V; at cf. Philop. Phys. p. 117,11 9 τροπὴν δὲ τὴν (G)a θέσιν Fa: γένεσιν cett. εἰ ἡ GR²TZ: ἡ ἡ R¹: εἰ om. a, qui μὲν βάσις traicit 10 διαθιγὴν a: διαθηγὴν T: διαθηγὴ GRZ 11 ⟨αἱ ἄτομοι⟩ πρῶται, αὗται δὲ δεύτεραι F 14 οὐδὲ γὰρ R ἔφασκον GTa τροπὴ T 15 γὰρ φήσ R χρηματίζεσθαι Z 16 τὸ δὲ αἷς a αἷς Aristotelis codd. F et pr. E: αἳ ceteri Aristotelis libri 17 ἀντὶ τοῦ αἷς τισιν a 18 τοῦ σίγμα R 20 δύνανται om. R 20. 22 συνείρειν. λόγους δὲ καλεῖ a: lemma omittit, si silentio fides, etiam Z 21 τῶν πολλῶν λόγων vel τῶν ἄλλων λόγων Aristot. 22 παθήματα GT¹ 23 οἱ] εἰ GT

p. 316a12 Οἱ μέν φασι, διότι τὸ αὐτοτρίγωνον πολλὰ ἔσται. 7r

Τούτοις χρώμενος τοῖς λόγοις ὁ Πλάτων ἐδείκνυεν εἶναι ἄτομα μεγέθη. εἰ πᾶν, φησί, μέγεθος διαιρετόν ἐστιν, ἔσται καὶ τὸ αὐτοτρίγωνον διαιρετόν, ὅπερ ἐστὶν ἡ ἰδέα τοῦ τριγώνου· καὶ οὕτως ἔσται τινὰ πρότερα τοῦ αὐτοτριγώνου εἰς ἃ διαιρεῖται, ὅπερ ἀδύνατον, εἶναι τῆς ἰδέας τι πρότερον. εἰ τοίνυν τὸ αὐτοτρίγωνον οὐκ ἔστι διαιρετόν, οὐκ ἄρα πᾶν μέγεθος διαιρετόν. εἰ οὖν μὴ πᾶν μέγεθος διαιρετόν, ἔστιν ἄρα τινὰ μεγέθη ἀδιαίρετα. ταῦτα δὲ οὐδαμοῦ λέγων ὁ Πλάτων φαίνεται, ὅτι ἔστιν ἄτομα μεγέθη, ἀλλ' ἢ ἐκ τῶν ἀγράφων αὐτοῦ συνουσιῶν ταῦτα ἱστορεῖ ὁ Ἀριστοτέλης, ἤ, ὅπερ καὶ μᾶλλον, τινὲς τῶν ἀξιούντων Πλατωνικῶν εἶναι τοὺς λόγους τούτους προέφερον. οὐδὲ γὰρ εἰκὸς οὕτω τοῖς μαθήμασιν ἐσχολακότα Πλάτωνα, καὶ εἰδότα ὡς ἐνδέχεται πᾶσαν τὴν δοθεῖσαν εὐθεῖσαν δίχα τεμεῖν, ἀδιαίρετα λέγειν εἶναι μεγέθη, εἰ μὴ οὕτως ἔλεγεν ἀδιαίρετα εἶναι τὰ τρίγωνα, ἐξ ὧν συνετίθει τὰ σώματα, ὡς εἰς ἕτερα μὴ δυνάμενα μεταβληθῆναι καὶ διαλυθῆναι σχήματα. πάντα μὲν γὰρ τὰ εὐθύγραμμα εἰς τρίγωνα ἀναλύεται (τὸ μὲν γὰρ τετράγωνον τῇ διαγωνίῳ εἰς δύο τέμνεται τρίγωνα , τὸ δὲ πεντάγωνον εἰς τρία , καὶ τὰ λοιπὰ ὡσαύτως), αὐτὸ μέντοι τὸ τρίγωνον εἰς ἕτερα σχήματα οὐ διαιρεῖται, ἀλλ' εἰς εὐθείας. ἴσως οὖν ταύτῃ ἔλεγεν εἶναι μεγέθη ἀδιαίρετα. ῥητέον δὲ πρὸς ταῦτα λέγοντας, ὅτι ἡ ἰδέα τοῦ τριγώνου ὅλως οὐδὲ μέγεθός ἐστιν, ἀλλὰ λόγος μεγέθους. ὥστε οὗτος μὲν εὐλόγως ἀδιαίρετος, ἡμεῖς δὲ τὰ μεγέθη φαμὲν εἶναι διαιρετά. οὐκ ἀνάγκη δέ, εἰ ὁ λόγος τοῦ μεγέθους ἀδιαίρετος, καὶ μέγεθός τι εἶναι ἀδιαίρετον· οὐ γάρ, ὡς οἱ λόγοι ἔχουσιν, οὕτως ἀνάγκη ἔχειν καὶ τὰ πράγματα ἀπαραλλάκτως, ἐπεὶ καὶ ἡ ἔννοια τῆς οἰκίας καὶ ὁ λόγος καθ' ὃν αὐτὴν ποιεῖ ὁ οἰκοδόμος ἀσώματός ἐστιν, ἡ δὲ οἰκία οὐκ ἀσώματος.

p. 316a14 Ἔχει γὰρ ἀπορίαν, εἴ τις θήσει σῶμά τι εἶναι καὶ μέγεθος πάντῃ διαιρετόν.

Ὑφ' ὧν κινηθεὶς λόγων ὁ Δημόκριτος ἄτομα ἔθετο σώματα παρατίθεται, καὶ συμμαχεῖ τῷ τῆς δόξης πιθανῷ τε καὶ εὐλόγῳ, καὶ τίθεται ἐξ ἀρχῆς ταὐτὸν εἶναι ἐπ' ἄπειρον λέγων γίνεσθαι τὴν τομὴν τοῦ συνεχοῦς

1 φασὶν ὅτι (cum Arist.) et αὐτοτρίγονον a τὸ om. R 3 διαιρετέον G¹TZ 3. 4 ἄρα utrobique pro ἔσται R 3 τὸ om. GTZ 5 εἰς ἀδιαιρεῖται a οὐ δυνατὸν R: fort. ἀδύνατον, ⟨εἴπερ ἀδύνατον⟩ 6 οὐκ ἔστιν ἀδιαίρετον R 7 εἰ — διαιρετόν om. GT 10 ⟨ὅτι⟩ τινὲς a πλατωνικ'' R 11 τούτοις a 12 δοθεῖσαν om. (G)a 13 μεγεθη εἶναι Z 15 διαληθῆναι a 17 figuras om. Za 19 μεγέθη om. Z 19. 20 πρὸς τοὺς ταῦτα a 20 λέγοντες T 21 οὗτος V: οὕτως cett. μὲν οὕτως Z ἀδιάιρετα Z 22 εἶναι ἀδιάιρετα R¹ 25 καθ' ὃν Z (et V): καθ' ὃ vel καθὸ cett. 27 θεὶη a et Aristotelis libri (praeter E, qui φήσει) σώματι εἶναι R 31 immo λέγειν

καὶ τὸ ἅμα πάντῃ δύνασθαι διαιρεῖσθαι τὸ συνεχές, ἐξ οὗ τὸ ἄτοπον συνά- 7r
γεται τὸν τρόπον τοῦτον. εἰ γὰρ ἕκαστον τῶν ἐκ τῆς τομῆς ἀεὶ γινομένων 30
μονάδων δυνατὸν πάλιν ἐπιδιελεῖν, δῆλον ὡς πάντῃ διαιρετόν ἐστι τὸ σῶμα.
εἰ οὖν πάντῃ, φησίν, ἐστὶ διαιρετὸν τὸ σῶμα, τουτέστιν εἰ δυνατὸν πάντῃ
5 διαιρεθῆναι, καὶ ἅμα πάντῃ δυνατὸν διαιρεθῆναι. πᾶν δὲ ὅ ἐστι δυνάμει,
τοῦτο ὑποθέσθαι ἐνεργείᾳ ἐκβεβηκὸς οὐκ ἄτοπον· καθόλου γὰρ τοῦ δυ-
νάμει | ὑποτεθέντος ἐνεργείᾳ ἐκβεβηκέναι ψεῦδος μὲν ἕψεται, οὐ μὴν ἀδύ- 7v
νατον. εἰ οὖν μὴ ἀδύνατον, ὑποκείσθω ὅτι πάντῃ διῃρημένον. ἀλλ' εἰ
πάντῃ διῄρηται, οὐκ εἰς μεγέθη ἔσται διῃρημένον τὸ μέγεθος, ἀλλ' ἢ εἰς
10 στιγμὰς ἢ εἰς οὐδέν. εἰ γὰρ εἰς μεγέθη, οὐκέτι ἂν εἴη πάντῃ διῃρημένον·
εἰ δὲ πάντῃ, ἢ εἰς στιγμὰς ἢ εἰς οὐδὲν ἔσται διῃρημένον, καὶ ἐκ τούτων
ἔσται συγκείμενον. πᾶν γὰρ εἰς ἃ διαιρεῖται, ἐκ τούτων καὶ σύγκειται. 5
ἔσται ἄρα ἐξ οὐδενὸς ἢ ἐκ στιγμῶν τὸ μέγεθος συγκείμενον, ὅπερ ἄτοπον.
οὐκ ἄρα πάντῃ δυνατὸν τὸ μέγεθος διαιρεθῆναι. εἰ δὲ τοῦτο, ἔστιν ἄρα
15 τινὰ ἄτομα μεγέθη. ἡ μὲν ἀγωγὴ τοῦ λόγου τοιαύτη. ἑπομένου δὲ τῷ
φάσκειν εἰς οὐδὲν ἢ εἰς ἄτομα διαιρεῖσθαι τὸ μέγεθος τοῦ ἐξ οὐδενὸς ἢ
στιγμῶν συγκεῖσθαι τὸ μέγεθος, δείκνυσι παντοίως ὂν τοῦτο ἀδύνατον, τὸ
ἐκ στιγμῶν γίνεσθαι ποσόν. αἱ γὰρ στιγμαὶ τῷ ποσῷ προστιθέμεναι οὔτε
μεῖζον οὔτε ἔλαττον ἀπεργάζονται· ὁρῶμεν γὰρ ὅτι ποσοῦ τινος εἰς πλείονα 10
20 διαιρεθέντος, ὡς ἐνεργείᾳ γενέσθαι στιγμὰς πλείους (στιγμαὶ γὰρ τὰ πέρατα
τοῦ διῃρημένου), καὶ πάλιν συντεθέντος μηδὲν μεῖζον ἐν τῇ συνθέσει γινό-
μενον τὸ πᾶν μηδὲ ἔλαττον ἐν τῇ διαιρέσει οὗ ἦν ἐξ ἀρχῆς πρὶν διαι-
ρεθῇ. εἰ δὲ αἱ τοσαῦται οὐ συναύξουσι τὸ μέγεθος προστεθεῖσαι, τῷ μὴ
φύσιν ἔχειν τὸ ἀμερὲς καὶ ἀμέγεθες ποιεῖν μέγεθος, δῆλον ὡς οὐδὲ ἂν
25 πᾶσαι ἐν τῷ μεγέθει, εἰς ἃς ὑπόκειται διῃρῆσθαι, συντεθῶσι, ποιήσουσί τι 15
μέγεθος. καὶ ὅλως ἀδύνατον σημεῖον σημείῳ συντεθὲν ποιῆσαί τι ποσόν·
ἀνάγκη γὰρ ἤτοι καθ' ὅλα ἑαυτὰ τὰ συντιθέμενα σημεῖα ἅπτεσθαι ἀλλή-
λων, ἢ κατά τι μὲν ἅπτεσθαι κατά τι δὲ μὴ ἅπτεσθαι. εἰ μὲν οὖν καθ'
ὅλα ἐφαρμόσουσιν ἀλλήλοις, ἔσται πάλιν πάντα ἓν σημεῖον. εἰ δὲ κατά τι μὲν
30 μέρος ἁψάμενα ἑνωθεῖεν, κατά τι δὲ μὴ ἅψωνται, μέρος ἕξει τὸ σημεῖον

1 πάντα διαιρεῖσθαι δύνασθαι Z 2 τοῦτον τὸν τρόπον Z 3 immo μορίων 7 ὑποτιθέντος T 8. 9 ἀλλ' εἰ—διῃρημένον om. GT 8 διείρηται a 9. 10 τὸ μέγεθος—διῃρημένον om. Z 11 ἢ εἰς οὐδὲν ἢ εἰς στιγμὰς Z ἔσται] ἄρα R, solito in hoc codice errore, quem hinc adnotare supersedebo 12 καὶ om. Z 13 ἔσται om. R 14 εἶναι διαιρεθῆναι Z 16 ἢ εἰς οὐδὲν ἢ εἰς ἄτομα λογισθήσεται διαιρεῖσθαι Z 18 παρατιθέμεναι R 19 ἀπεργάζεται R¹ 20 ἐνέργεια GT¹ πλείονας R 23 συναύξουσι scripsi: συνάξουσι RZ: συναίξουσι (GT)a παρατεθεῖσαι R 24 φύσει GT ἀμεγέθες (Z)a ποιεῖν μέγεθος om. R οὐδὲν (om. ἂν) R 25 πᾶσαι GTa: αἱ πᾶσαι RZ: αἱ πᾶσαι αἱ V; cf. Ar. p. 316ᵃ33 26 συντεθῶσιν] συντεθῶσιν GT¹ ποιῆσαι ποσόν τι Z 27 ἤτοι] εἴτι R¹ καθ' ὅλα a: λ′ καθο R: καθόλου GTZ λ′ 28. 29 καθ' ὅλα V: καθο R: καθ' ὅλου cett. 29 ἐφαρμόττουσιν GT ἔσται Z: ἄρα R: ἅμα GTa 30 ἁψάμεναι T ἅψονται GTa

καὶ οὐκ ἔσται ἀμερές, ὅπερ ἀδύνατον· ἀναιρήσομεν γὰρ τὴν ἔννοιαν τοῦ 7v
σημείου. τούτων οὕτως εἰρημένων τῇ λέξει ἐπέλθωμεν. 20

p. 316a17 Εἰ γὰρ πάντῃ διαιρετόν, καὶ τοῦτο δυνατόν, κἂν ἅμα εἴη πάντῃ διῃρημένον.

Εἰ ἐστί, φησί, πάντῃ δυνάμενον διαιρεθῆναι, διαιρεθείη ἄν ποτε πάντῃ ἅμα. τὸ μὲν οὖν ὑποθέσθαι τὸ δυνάμενον γενέσθαι εἰς ἐνέργειαν ἐκβεβηκὸς οὐκ ἄτοπον· οὐκ ἔχει γὰρ ἑπόμενον τὸ ἀδύνατον, ὥσπερ φησὶν ὑποκατιών, ὅτι ἐὰν ὑποθώμεθα εἰς μυρία μυριάκις διῃρημένον τὸ μέγεθος, κἂν μήπω διῄρηται μηδὲ δυνατὸν ἴσως διαιρεθῆναι διὰ τὴν τοῦ διαιροῦντος ἀσθένειαν, οὐκ ἀδύνατος οὐδὲ ἄτοπος ἡ ὑπόθεσις. τὸ μὲν οὖν τοῦτο ὑπο- 25 θέσθαι οὐκ ἄτοπον. τῷ δὲ πάντῃ διαιρετῷ ὡς ἀκολουθοῦν ἔλαβε τὸ ἅμα πάντῃ διαιρετὸν εἶναι. καὶ εἰδέναι χρὴ ὅτι κατὰ τοῦτο γίνεται ἡ παραγωγὴ τοῦ λόγου, ὡς ἐφεξῆς δείκνυται. τῷ γὰρ λόγῳ τῷ φάσκοντι τὸ συνεχὲς ἐπ' ἄπειρον εἶναι διαιρετὸν οὐκ ἀκολουθεῖ τὸ ἅμα πάντῃ διῃρῆσθαι· ὅλως γὰρ ἐπὶ τοῦ φάσκοντος λόγου τὴν τομὴν τοῦ μεγέθους μὴ ἐπιλείπειν, ἀλλ' ἐπ' ἄπειρον αὔξεσθαι, οὐ δοκεῖ ἔχειν χώραν τὸ ἅμα πάντῃ διῃρῆσθαι· διαιρεθέντος γὰρ ἐπιλείπειν ἀνάγκη τὴν ἐπ' ἄπειρον τομήν. 30 ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ἐφεξῆς ἀκριβέστερον ἐξετασθήσεται, ἔνθ' αὐτὸς τὴν τῆς λύσεως ἀπορίαν ἐκτίθεται.

p. 316a19 Καὶ κατὰ μέσον ὡσαύτως.

Καὶ ὅλως, φησίν, εἰ πάντῃ διαιρετόν τε καὶ κατὰ μέσον ὡσαύτως. τοῦτο δὲ δηλωτικόν ἐστι τοῦ πάντῃ γενέσθαι τὴν διαίρεσιν· ἑκάστου γὰρ ἀεὶ μορίου ἐκ τῆς διαιρέσεως γινομένου δυνατὸν πάλιν κατὰ τὸ μέσον ἐπιδιαίρεσιν γενέσθαι. διὰ τοῦτο σαφηνίζων καὶ περιληπτικώτερον ἑρμηνεύων ἐπήγαγε καὶ ὅλως εἰ πάντῃ διαιρετόν, ἐὰν διαιρεθῇ, οὐδὲν ἔσται 35 ἀδύνατον γεγονός· τῷ γὰρ δυνατῷ ὑποτεθέντι ψεῦδος μὲν ἴσως ἀκολουθεῖ, ἀδύνατον δὲ οὐδέν. οἷον δυνατὸν ἐν θέρει ὕσαι· εἰ οὖν ὑποθώμεθα ἐν θέρει ὕειν, ψεῦδος μὲν ἴσως ὑποτιθέμεθα, οὐκ ἀδύνατον δέ. εἰ δὲ μὴ ἀδύνατον, ἐνδέχοιτ' ἂν γίνεσθαι· εἰ δὲ ἐνδέχεται γίνεσθαι, κἂν γένοιτο τῷ μακρῷ χρόνῳ.

p. 316a29 Ὁμοίως δὲ κἂν ἐκ στιγμῶν σύγκειται, οὐκ ἔσται ποσόν.

Ὥσπερ τὸ ἐκ μὴ ὄντων συγκείμενον οὐχ ἅμα ὄν, οὕτω καὶ εἴ τι ἐκ

---

2 τὴν λέξιν a 3 lemma om. hic a 4 εἴη τοῦτο πάντῃ Ar. 5 εἰ γάρ ἐστι φησὶ a 8 μύρια a 9 κἂν εἰ μήπω a 18 ἔνθα R 19 εὐπορίαν a 19. 22 ἐκτίθεται. τόγε μὴν καὶ κατὰ τὸ μέσον ὡσαύτως δηλονότι διαιρετὸν, δηλωτικόν a 20 τὸ μέσον GT Arist. (praeter cod. E) 25 καὶ ὅλως κτλ.] cf. Ar. 26 γεγονὼς Z 27 ὕσαι R 29 εἰ δὲ ἐνδέχεται γίνεσθαι γίνεσθαι om. R 31 κἂν εἰ ἐκστιγμῶν (om. σύγκειται) a; cf. Aristot. 32 οὐχ ἅμα] οὐκ ἂν εἴη a: οὐκ ἔσται V

στιγμῶν, ταὐτὸ δὲ εἰπεῖν ἐξ ἀμερῶν, σύγκειται, οὐκ ἔσται ποσόν· αἱ γὰρ 7ᵛ
στιγμαὶ οὐ ποσόν. ὁπότε γὰρ ἅμα ἦσαν ἐν τῷ μεγέθει ἀδιαιρέτῳ ὄντι 45
καὶ ἥνωντο, ὅπερ ἐκάλεσεν 'ἅπτεσθαι', οὐδὲν παρ' αὐτὰς τὸ μέγεθος
μεῖζον ἐγίνετο. καὶ εἰς ἀπόδειξιν τούτου παρατίθεται τὸ ἐφεξῆς.

5 p. 316ᵃ31 Διαιρεθέντος γὰρ εἰς δύο ἢ καὶ πλείω.

Τοῦ συνεχοῦς, φησί, διαιρεθέντος εἰς πλείω καὶ πάλιν συντεθέντος
οὔτε μεῖζον ἔσται τὸ πᾶν ἐν τῇ συνθέσει τῶν σημείων συνελθόντων, οὔτε
ἔλαττον ἐν τῇ διαιρέσει. ἀληθὲς δὲ καὶ ἀμφότερα ἐφ' ἑκατέρου λέγων·
οὔτε γὰρ συντιθεμένου μεῖζον ἢ ἔλαττον τὸ πᾶν γίνεται οὔτε διαιρουμένου,
10 ᾧ δηλονότι οὐδὲν ἡ πρόσθεσις τῶν στιγμῶν συμβάλλεται εἰς αὔξησιν τοῦ 50
μεγέθους, οὐδὲ ἡ ἀφαίρεσις εἰς μείωσιν. οὐκ ἄρα οὐδὲ συντεθεῖσαι ἐργά-
σαιντο ποσὸν ἢ μέγεθος.

p. 316ᵃ34 Ἀλλὰ μὴν καὶ εἴ τι διαιρουμένου οἷον ἔκπρισμα γί-
νεται.

15 Ὥσπερ ἐν τοῖς πριζομένοις ξύλοις γίνεται ἐκπρίσματα, σωμάτια μὲν 8ʳ
ὄντα, μὴ δυνάμενα δὲ πάλιν πρισθῆναι, καὶ γίνεται τὸ πᾶν ἔλαττον διὰ τὴν
τούτων θρύψιν, εἰ οὕτως τις ὑπόθοιτο καὶ ἐπὶ τῶν διαιρουμένων, ὡς τὸ 5
διῃρημένον λέγειν εἰς ἐκπρίσματα καταναλίσκεσθαι, ὁ αὐτὸς ἁρμόσει λόγος.
τὸ γὰρ ἔκπρισμα, εἴπερ μὴ ἔστι στιγμὴ ἀλλὰ μέγεθος, διαιρεθήσεται καὶ
20 αὐτό. εἴπερ πάντῃ διαιρετὸν τὸ μέγεθος· εἰ δὲ μὴ διαιρεθήσεται. ὁ Δη-
μοκρίτου λόγος ἀληθής, τὸ εἶναι σώματα ἄτομα ὧν τῇ συγκρίσει τὰ ἄλλα
γίνεσθαι ἔλεγε, καὶ οὐ πάντῃ διαιρετὸν τὸ μέγεθος.

p. 316ᵇ2 Εἰ δὲ μὴ σῶμα ἀλλ' εἶδος οὐ χωριστόν.

Ἢ χωριστόν· γράφεται γὰρ ἑκάτερον. καὶ σημαίνει τὸ μὲν οὐ χω-
25 ριστὸν τὸ μὴ δυνάμενον αὐτὸ καθ' αὑτὸ ὑποστῆναι χωρὶς ὑποκειμένου, 10
ἀλλ' ἀεὶ ἐν τῷ συνθέτῳ ὄν, ὡς πάντα τὰ ἔνυλα εἴδη· εἰ δὲ χωριστὸν
εἴη γεγραμμένον, σημαίνοι ἂν τὸ πεφυκὸς καὶ δυνάμενον χωρισθῆναι τοῦ
ὑποκειμένου φθαρέντος. καὶ ἔστι ταὐτὸ τῇ δυνάμει ἑκάτερον καὶ ἐπὶ τοῦ
αὐτοῦ λεγόμενον. διαφέρει δὲ ἡ ἐπιχείρησις αὕτη τῶν πρὸ αὐτῆς, ὅτι ἄνω

2 ἦσαν ἅμα Z 4 ἐγένετο a 4. 6 ἐφεξῆς λέγων. τοῦ συνεχοῦς διαιρεθέντος εἰς δύο καὶ πλείω, καὶ πάλιν a 5 ἢ καὶ] ἢ T: καὶ Arist. 8 ἀληθῆ a ἀμφοτέρως a λέγων om. a: fort. λέγειν 9 συντιθεμένων a γίνεται Z: γίγνεται R: γίνεσθαι GTa 10 πρόθεσις R 13 Οὐ μὴν ἀλλὰ καὶ a 15 ἐν om. GT περιζομένοις a ἔκπρισμα τὰ GT 16 πρισθῆναι GT: προσθῆναι R¹: προσθεῖναι Z et corr. R: περισθῆναι a 17 οὕτω (G)a ὑπόθειτο corr. T: ὑποθοῖτο GRa 18 ἔκπρισμα R¹ 19. 20 διαιρεθήσεται — εἰ δὲ μὴ om. add. mrg. R² 22 ἔλεγεν a 22. 24 μέγεθος. τὸ δὲ οὐ χωριστὸν, γράφεται καὶ χωριστὸν, καὶ σημαίνει a 23 εἶδος RZ (et V): εἶδος τί GT: εἰδός τι Ar.

μὲν τὸ μέγεθος ἐλάμβανε καὶ διαιρῶν ηὕρισκε στιγμὰς καταλειπομένας, ἐξ 8r
ὧν οὐκ ἦν δυνατὸν συντεθεισῶν μέγεθός τι γενέσθαι, ἐνταῦθα δέ φησιν
εἰ ὑπόθοιτό τις μέγεθος μὴ ἐκ μεγεθῶν συγκεῖσθαι ἀλλ' ἐκ στιγμῶν εἶδός 15
τι καὶ πάθος προσλαβουσῶν ἐν τῇ συνθέσει καὶ ποιουσῶν οὕτως τὸ μέγε-
5 θος, ὅπερ εἶδος ἢ πάθος ἐν τῇ διαιρέσει χωρίζεται ὡς καταλιμπάνεσθαι
τὰς στιγμάς, τὰ αὐτὰ ἄτοπα ἕψεται, τὸ ἐκ μὴ μεγεθῶν ποιεῖν τι μέγεθος.
εἰ δέ τις ἀπορεῖ πῶς τοῦτο ὡς ἄτοπον συνάγει, τὸ ποιεῖν ἐκ μὴ μεγέθους
μέγεθος (καὶ γὰρ καὶ οἱ τὴν πρώτην ὕλην λέγοντες προσλαβοῦσαν τὸ εἶδος
ἀποτελεῖν τὸ σῶμα, ἐκ μὴ σωμάτων σῶμα γεννῶσι), γινωσκέτω ὁ τοιοῦ-
10 τος ὅτι εἰ καί φαμεν ἐξ ὕλης καὶ εἴδους συγκεῖσθαι τὰ σώματα, οὐκ ἐκ 20
προϋπαρχούσης τῆς ὕλης καθ' αὑτήν φαμεν γίνεσθαι τὸ σῶμα. λόγῳ γὰρ
μόνῳ χωρίζοντες τοῦ εἴδους αὐτὴν καθ' αὑτὴν θεωροῦμεν, μηδέποτε αὐτὴν
καθ' αὑτὴν δυναμένην ὑποστῆναι· ἀεὶ γὰρ τοῦ τοιοῦδε σώματος εἰς τὸ
τοιόνδε μεταβάλλοντος γίνεται ἡ γένεσις καὶ ἡ φθορὰ τῶν σωμάτων, καὶ
15 ὅλως τῶν πρός τι ἡ ὕλη καὶ τὸ εἶδος καὶ οὐδέτερον χωρὶς ἑτέρου εἶναι
δύναται. οἱ δὲ ἐκ τῆς διαιρέσεως ὑπολιμπάνεσθαι φάσκοντες τὰς στιγμὰς 25
τοῦ εἴδους χωρισθέντος, καὶ ἐξ ἀμεγεθῶν ἐνεργείᾳ προϋπαρχόντων ἀμεγε-
θῶν γεννῶσι τὸ μέγεθος καὶ εἰς ἀμεγέθη ἐνεργείᾳ ὑφεστῶτα αὐτὰ καθ'
αὑτὰ ἀναλύουσι τὸ μέγεθος, ὅπερ ἐστὶν ἄτοπον. καὶ ἄλλως εἰ καὶ ἀσώ-
20 ματος τῷ ἰδίῳ λόγῳ ἡ ὕλη, ἀλλὰ πάντῃ οὖσα ἀνείδεος δυνάμει ἐστὶ σῶμα,
τὰ δὲ σημεῖα οὐκ ἔστιν ἀνείδεα οὐδὲ δυνάμει μεγέθη, οὐδὲ ὑποκείμενον
ἑτέρῳ εἶναι δύναται αὐτὰ δεόμενα ἑτέρου εἰς ὕπαρξιν· ἐν γραμμῇ γὰρ
τὸ εἶναι ἔχουσιν αὐτὰ καθ' αὑτὰ ὕπαρξιν οὐκ ἔχοντα. πῶς οὖν ἐν τού- 30
τοις τὸ μέγεθος ὑπάρξαι δυνήσεται;

25 p. 316ᵇ5 Ἔτι ΔΕ ΠΟΥ' ἔσονται καὶ ἀκίνητοι ἢ κινούμεναι.

Ὁ λόγος οὗτος δύναται καὶ ἐρωτηματικῶς καὶ ἀποφαντικῶς προφέρε-
σθαι, ἐρωτηματικῶς μὲν οὕτως· ποῖον γὰρ ἀφορίσεις τόπον ἢ ποίαν κίνησιν
ταῖς στιγμαῖς; οὔτε γὰρ τὸν ἄνω (οὐ γὰρ πῦρ εἰσιν ἢ ἀήρ) οὔτε τὸν
κάτω, ὅτι οὐχ ὕδωρ οὐδὲ γῆ. οὕτως δὲ οὐδὲ κίνησιν ἢ ἀκινησίαν αὐταῖς
30 ἀφορίσεις· ἀκίνητοι μὲν γὰρ οὖσαι οὐκ ἂν συνέλθοιεν διῃρημέναι εἰς τὸ 35
ποιῆσαι γένεσιν, κινουμένας δὲ εἴπερ ὑποθώμεθα, πρῶτον μὲν ἄτοπον κι-
νούμενόν τι μὴ εἶναι σῶμα, ἔπειτα δὲ ποίαν κίνησιν ἀφωρισμένην ἕξουσιν;
ὁ αὐτὸς γὰρ λόγος τῷ περὶ τόπου. εἰ δὲ ἀποφαντικῶς ἀκούοις τοῦ λόγου,

1 ἔλαβεν T καὶ δι' ὧν εὕρισκε R 2 ἐνταῦτα a 3 ὑποθοῖτό GRT¹
4 οὕτω (G)a 6 ἐκ μὴ Z: ἐκ μὴ R: μὴ ἐκ GTa 8 παραλαβοῦσαν R 9 γινωσκέτω
γὰρ ὁ Z 13 γὰρ τοῦτο οὐδὲ σώματος R 16 οἱ δὲ] οὐδὲ R 17 ἀμεγέθων GTa
ὑπαρχόντων Z 17. 18 ἀμεγέθων Ta: μεγέθων G 19 ἀναβλύουσι R 22 εἰς]
πρὸς Z 25 δὲ ποῦ libri 26 ἀποφατικῶς T 27 οἷον γὰρ Z
ποιὰν Z 29 οὕτως RZ: οὕτω GTa 30 ἀπορίσεις a 33 περὶ τοῦ τόπου a
ἀκούεις GTa

ἐρεῖς ὅτι ἀνάγκη αὐτάς που εἶναι· εἰ γὰρ μὴ καθέξουσι τόπον ἐκ σώματος 8r
ἀναλυθέντος γενόμεναι, ἔσται κενὸν ὃ ἐπεῖχε τὸ σῶμα τὸ εἰς αὐτὰς διαλυθέν. ἀλλὰ καὶ τοῦτο πάλιν ἀδύνατον· πῶς γὰρ αἱ ἀσώματοι καὶ ἀδιάστατοι παντελῶς τοπικὸν καθέξουσι διάστημα;

p. 316b 6 Ἁφή τε ἀεὶ μία δυοῖν τινων.

Πᾶσα μὲν ἁφὴ πέρας, οὐ πᾶν δὲ πέρας ἤδη καὶ ἁφή. εἴτε οὖν πέρατα καλεῖς τὰ σημεῖα καὶ τὰς στιγμάς, ἀδύνατον πέρας εἶναι μὴ ὄντος τοῦ περατουμένου· εἴτε ἁφάς, ἁπτομένων ἔσονται ἁφαί. ὅτι δὲ ἕτερα τὰ ἁπτόμενα παρὰ τὴν ἁφὴν ἢ τὴν στιγμὴν ἢ τὴν διαίρεσιν (ταὐτὸν γὰρ πάντα σημαίνει), δηλοῖ τὸ μίαν μὲν εἶναι τὴν ἁφήν, δύο δὲ τὰ ἁπτόμενα. δυνατὸν μὲν οὖν οὕτως ἀκούειν τοῦ λόγου, δηλοῦντος ὅτι ἀδύνατον εἰς στιγμὰς διαλυθῆναι τὸ σῶμα. δυνατὸν δὲ καὶ πρὸς τὸ μὴ δύνασθαι τὰς στιγμὰς συντεθείσας ποιεῖν μέγεθος ἀκούειν τοῦ λόγου· πῶς γὰρ ὅλως συντίθενται μὴ δυνάμεναι ἀλλήλων ἅπτεσθαι; τὰ γὰρ ἁπτόμενα κατά τι μέρος αὐτῶν ἅπτεται ὡς εἶναί τινα αὐτῶν παρὰ τὴν ἁφήν. τὰς δὲ στιγμὰς οὐ δυνατὸν κατά τι ἀλλήλων ἅπτεσθαι.

p. 316b 9 Ἔτι ἐὰν διελὼν συνθῶ τὸ ξύλον. |

Ἔτι κατασκευάζει ταῦτα οἷς ἐχρήσατο ἀνωτέρω, τὸ 'εἰς ἃ διαιρεῖται 8v
τὸ μέγεθος, ἐκ τούτων συντιθεμένων γίνεται'· ἔλαβε γὰρ ἀνωτέρω ὅτι εἴπερ εἰς στιγμὰς γίνοιτο ἡ διαίρεσις τῶν σωμάτων, ταύτας πάλιν συντιθεμένας ποιεῖν τὸ μέγεθος. ὅτι οὖν τοῦτο οὕτως ἔχειν ἀνάγκη, παρίστησι καὶ δι' ὑποδείγματος. ὥσπερ γὰρ ἐὰν λαβὼν ξύλον ἤ τι ἄλλο μέγεθος διέλω κατά τι μέρος ἔπειτα συνθῶ, ἴσον γίνεται τῷ πρόσθεν τὸ ἐκ τῆς τῶν διῃρημένων συνθέσεως γενόμενον, οὕτως κἂν πάντῃ διέλω τὸ ξύλον (ἔχει γὰρ οὕτως ὡς δύνασθαι πάντῃ διαιρεῖσθαι) ὡς μηδὲν ἕτερον εἶναι ἢ στιγμάς (διαίρεσιν γὰρ καλεῖ τὰς στιγμάς, καθ' ἃς γέγονεν ἡ διαίρεσις καὶ ἡ τομή), δεήσει ὥσπερ ἐπὶ τῆς προτέρας τομῆς τὰ μέρη εἰς ἃ διῃρέθη συντεθέντα ἴσον πεποίηκε τῷ ἐξ ἀρχῆς, οὕτως κἂν πάντῃ διέλω ὡς μηδὲν ἄλλο καταλιπεῖν ἢ στιγμάς, ἀνάγκη τὰς στιγμὰς συντεθείσας ποιεῖν ἴσον

2 γενόμενον R ὃ a: ὃν cett. 5 ἁφῇ R¹ αἰεὶ a δυεῖν corr. R²
6. 7 ἤδη—πέρας V: om. GRTZ: ἁφή· τὸ μὲν γὰρ πέρας suppleverat a, qui mox dederat ἔστι (pro εἶναι), μὴ ὄντως τοῦ περατουμένου ἁπτομένου. αἱ δὲ ἁφαὶ τῶν ἁπτομένων μόνον ἔσονται ἁφαί 7 καλεῖς scripsi: καὶ εἰς V 11 οὖν om. T 14 δυνάμενα Ra 15 αὐτῶν scripsi: αὐτῶν libri ἕπεται R τὴν φωνὴν ἁφὴν R¹ 18 τὸ] ὅτι fort. recte a 20 γένοιτο a 22 ἢ ἄλλο τι T 23 τῷ] τὸ GR¹TZ
24 οὕτω (G)a 24. 26 τὸ ξύλον, ὡς μηδὲν ἕτερον εἶναι ἢ στιγμάς, καὶ γὰρ οὕτως ἔχει ὡς δύνασθαι πάντῃ διαιρεῖσθαι, διαίρεσιν γὰρ a 27 τὰ μέρη R²Za: τῶ μέρη GT: τῶ μέρει R¹ 27. 28 διῃρέθησαν (διαιρ— T) τεθέντα GT 28 συντεθῆναι R τῷ] τὸ T οὕτω (G)a 29 ἴσον Za: ἴσην GRT ἀνάγκη] v. Ind.

τῷ ἐξ ἀρχῆς τῷ διαιρετῷ μεγέθει τὸ ἐξ αὐτῶν συντεθέν. τοῦτο δὲ ἀδύνατον 8v
δέδεικται· οὐδὲ γὰρ ἄπειρα ἀμερῆ συντιθέμενα τὸ τυχὸν μέγεθος ποιῆσαι
δύνανται. οὐκ ἄρα εἰς σημεῖα ἐνδέχεται τὰ μεγέθη διῃρῆσθαι. εἰ δὲ τοῦτο, 15
οὐ πάντῃ εἰσὶ τὰ μεγέθη διαιρετά· τούτῳ γὰρ εἴπετο τὸ εἰς σημεῖα αὐτὰ
5 διῃρῆσθαι. εἰ δὲ μὴ πάντῃ διαιρετά, ἔστιν ἄρα σώματα ἀδιαίρετα.

p. 316b11 Πάντῃ ἄρα διῄρηται δυνάμει.

Διὰ περίνοιαν συντόμως πέφρασται. φησὶ δὲ τοῦτο ὅτι εἰ δυνάμει τὸ μέγεθος πάντῃ ἐστὶ διαιρετόν, καὶ διῃρήσθω μὲν ἐνεργείᾳ· οὐ γὰρ ἀδύνατος ἡ ὑπόθεσις, καθὼς προείρηται καὶ ὅτι τὸ δυνατὸν καὶ εἰς ἐνέργειαν
10 ἐκβαίη ποτέ. τούτου δὲ δοθέντος ἕπεται τὸ εἰρημένον ἄτοπον, τὸ ἐκ σημείων τὰ μεγέθη συγκεῖσθαι. 20

p. 316b12 Εἰ γὰρ καὶ ἔστι τι πάθος.

Πάλιν τὸ προειρημένον ἀναλαμβάνει. εἰ γάρ, φησίν, ἔστι τι πάθος ἐν τῷ συνεχεῖ, ἀλλὰ πῶς, φησί, διαλύεται εἰς ταῦτα τὸ μέγεθος, εἰς πάθος
15 φημὶ καὶ στιγμάς; καὶ πῶς ἐκ τούτων συντίθεται; πῶς δὲ δυνατὸν χωρισθῆναι ταῦτα ἐξ ἀλλήλων, ὡς ἐκτὸς τοῦ πάθους ὑφίστασθαι τὰς στιγμάς; κἂν γὰρ ὕλης λόγον πρὸς τὸ πάθος ἐπέχωσι, καὶ τοῦτο αὐταῖς εἴη τὸ εἶναι, ὡς ἡ ὑπόθεσις βούλεται ἡ ἐκ στιγμῶν καὶ παθῶν τὰ μεγέθη ὑποτιθεμένη, ἀλλ' οὖν [ὅτι] ἡ ὕλη καθὸ ὕλη ἐστὶ πρός τι οὖσα χωρὶς τοῦ 25
20 εἴδους οὗ ἐστιν ὕλη εἶναι οὐ δύναται, ὡς ἔμπροσθεν εἴπομεν· ὥστε ἀδύνατον τὰς στιγμὰς καθ' αὑτὰς χωρὶς εἴδους εἶναι.

p. 316b16 Ἀλλὰ μὴν καὶ ταῦτα θεμένοις οὐχ ἧττον συμβαίνει ἀδύνατα· ἔσκεπται δὲ περὶ αὐτῶν ἐν ἑτέροις.

Περὶ τοῦ πολλὰ ἕπεσθαι ἄτοπα τῇ ὑποθέσει τῇ ὑποτιθεμένῃ ἄτομα

---

1 τῷ (ante διαιρετῷ) del. (G)a 3 δύναται a διῃρῆσθαι τὰ μεγέθη a 3 et 5 διαιρεῖσθαι Z 4 τούτω RZ: τοῦτο GTa τὸ om. T¹: τῷ a 5 πάντα διαιρετὰ Z 6 τὸ δὲ πάντῃ ἄρα a 8 καὶ om. Z; fort. recte διῃρήσθω μὲν] διῄρηται δυνάμει. εἰ δὲ τοῦτο, καὶ a 8. 9 ἀδύνατον R 9 καὶ (ante ὅτι) om. Za; fort. recte 10 ⟨ἂν⟩ ἐκβαίη a; et sane desit hic particula librariorum potius quam Philoponi culpa 12 τὸ δὲ εἰ γὰρ (G)a 13 ἐπαναλαμβάνει a 14 φησί om. a 17 αὐταῖς V: αὐτοῖς cett. 18 βούληται T 19. 21 ἀλλ' οὖν ὅτι—εἴδους εἶναι dedi dubitanter codicem V secutus (ubi tamen deest ἡ, et pro εἴδους εἶναι exstat εἶναι εἴδους): ὅτι ἡ ὕλη καθὸ ὕλη (haec duo verba om. GT) ἐστὶ πρός τι οὖσα χωρὶς αὐτὰς καθ' αὑτὰς (αὐτὴν καθ' αὑτὴν Z, qui tria sequentia verba in lac. om.) χωρὶς εἴδους εἶναι GRTZ: ἐπειδὴ ἡ ὕλη καθὸ ὕλη ἐστὶ πρός τι ἐστίν, οὐχ οἷόν τε αὐτὰς καθ' αὑτὰς χωρὶς εἴδους εἶναι a 20 ἔμπροσθεν p. 31,11 sqq. 22. 23 Ἀλλὰ—ἀδύνατα om. R 22 Ἀλλὰ μὴν] cf. Ar. codd. 23 ἀδύνατα GTZ et Ar. codd. EH: τὸ ἀδύνατον a δὲ καὶ περὶ GTa φησιν ἐν a ἐν om. T¹

μεγέθη εἴρηται μὲν κἀν τῷ τρίτῳ βιβλίῳ τῆς Περὶ οὐρανοῦ, εἴρηκε δὲ 8r
κἀν τῷ Ζ τῆς Φυσικῆς ἀκροάσεως, ἀλλὰ μὴν κἀν τῷ ἐπιγραφομένῳ
Περὶ ἀτόμων γραμμῶν, ὅ τινες εἰς Θεόφραστον ἀναφέρουσι. νῦν δέ, φησί,
τὰς ἀπορίας Δημοκρίτου λυτέον, δι' ὧν τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν 30
5 τομὴν ἀναιρεῖ. σημειωτέον οὖν ὅτι νῦν οὐ πρόκειται αὐτῷ προηγουμένως
δεῖξαι μὴ εἶναι ἄτομα μεγέθη (ἐν γὰρ τοῖς εἰρημένοις βιβλίοις αὐτὸ καθ'
αὐτὸ τὸ δόγμα τοῦτο ὡς ἀδύνατον ἤλεγξεν), ἀλλὰ λῦσαι τοὺς εἰσάγοντας
τὰ ἄτομα μεγέθη λόγους. ἀναλαμβάνει οὖν τὸν τοῦ Δημοκρίτου λόγον ἐν
συντόμῳ καὶ διαρθροῖ μᾶλλον, καὶ οὕτως τὸν ἔλεγχον ἐπιφέρει.

10 p. 316b19 Τὸ μὲν οὖν ἅπαν σῶμα αἰσθητὸν εἶναι διαιρετὸν καθ' 31
ὁτιοῦν σημεῖον καὶ ἀδιαίρετον οὐδὲν ἄτοπον.

Προτίθεται μὲν ὡς ἐν βραχεῖ τὴν εἰρημένην διὰ πλειόνων ἀπορίαν
ἀναλαβεῖν, ἵνα οὕτως τὰς λύσεις ἐπαγάγῃ. διορίζει δὲ πρῶτον πῶς μὲν
τεθέντι τῷ λόγῳ τῷ φάσκοντι τὸ σῶμα πάντῃ διαιρετὸν εἶναι ἕπεται τὰ
15 ἄτοπα τὰ προειρημένα, πῶς δὲ νοηθέντι οὐδὲν ἀκολουθεῖ ἄτοπον. καὶ εἰ-
κότως τοῦτο πρῶτον διαρθροῖ, ἵνα δείξας καθ' ὃ σημαινόμενον τοῦ πάντῃ 40
διαιρετοῦ τὸ ἄπορον ἕπεται, κατὰ τοῦτο καὶ τὴν λύσιν ἐπαγάγῃ. ἔστι δέ,
ὡς ἐν κεφαλαίῳ συνελόντι φάναι, τὰ διὰ τῆς λέξεως πάσης δηλούμενα τοι-
αῦτα. δύο ἐστὶ τὰ σημαινόμενα τοῦ πάντῃ διαιρετὸν εἶναι τὸ συνεχὲς
20 φάσκοντος λόγου, ἓν μὲν τὸ καθ' ὁτιοῦν μόριον αὐτὸ διαιρετὸν εἶναι δη-
λοῦν, τουτέστιν οὐ κατὰ τουτὶ μὲν τὸ μόριον τὴν τομὴν ἐπιδέχεσθαι δυνα-
τὸν κατ' ἄλλο δὲ μὴ δυνατόν, ἀλλ' ἀδιαφόρως πανταχοῦ· οὐδὲν γάρ ἐστιν 45
ἐν τῷ συνεχεῖ ὃ τὴν τομὴν κωλύσει. εἰ γὰρ καὶ κατ' ἐνέργειαν ἐν τῷδε
τῷ μορίῳ πρώτῳ τὴν τομὴν ἐδέξατο, ἡ καθ' ἕτερον μόριον δυνάμει ἐν-
25 υπάρχουσα διαίρεσις καὶ μήπω γεγονυῖα οὐδὲν ἧττον πρὸ τῆς ἤδη γενο-
μένης ἐδύνατο γενέσθαι. καὶ συντόμως φάναι κατὰ τοῦτο τὸ σημαινόμενον
πάντῃ διαιρετὸν τὸ σῶμα λέγεται τὸ πάσας τὰς τομὰς οἷόν τε ὂν ἀναδέξα-
σθαι, πάσας δὲ οὕτως ὡς ἐκ πασῶν ἡντιναοῦν, οὐχ ὡς πάσας ἅμα· ὡς
ἂν εἰ λέγοι τις τὸν ἄνθρωπον πάσης ἐπιστήμης εἶναι δεκτικόν, οὐχ ὅτι 50
30 πάσας ἅμα κατορθοῖ, ἀλλ' ὅτι πασῶν ἡντιναοῦν καὶ οὐκ ἀφωρισμένως
ταύτην ἢ ταύτην. κατὰ τοῦτο μὲν τὸ σημαινόμενον οὐδέν φησιν ἄτοπον
ἀκολουθεῖν, ἐὰν τὸ ἀδιαίρετον ἐνεργείᾳ πάντῃ διαιρετὸν ὑποθώμεθα ὡς καθ'

1 εἴρηκε μὲν γὰρ κἀν (sic, ut saepe) τῶ τρίτῳ οὐ (sic) βυβλίῳ a Περὶ οὐρανοῦ Γ 4 p. 303a3 sqq. εἴρηκε] εἴρηται Z 2 Z Ra: ἑβδόμω cett. Φυσικῆς ἀκρ. Z 1 3 Περὶ ἀτόμων γραμμῶν ex gr. p. 969b29 sqq. τῶν ἀτόμων GT 4 ἀπορείας a 9 et 13 οὕτω GTa 12 προστίθεται T 13 πῶς om. R 15 προειρημένα T¹ 17 ἄτοπον a 21 τουτὶ GTa: τοῦτο R: τὶ Z τὸ om. Z 22 ἀλλὰ GZa 23 ὃ τὴν] ὅταν GT κωλύσῃ T: συνλύσει Z 24 πρώτως R 24. 25 ἐν ὑπάρχουσα (TZ)a 25 καὶ] κἀν a πρὸς T 26 ἠδύνατο TZ 29 λέγει T 30 ἀφωρισμένῳ R 31 μὲν οὖν τὸ a

ὁτιοῦν μόριον τὴν διαίρεσιν ἐπιδέξασθαι δυνάμενον· οὐδὲ γὰρ τῷ τοιούτῳ 8v
σημαινομένῳ ἕπεται τὸ ἅμα πάντῃ διαιρετὸν εἶναι τὸ μέγεθος. τοῦτο γὰρ
τὸ δεύτερόν ἐστι σημαινόμενον τοῦ πάντῃ διαιρετοῦ, λέγω δὲ | τὸ ἅμα πάντῃ 9r
διαιρετὸν εἶναι τὸ σῶμα δυνάμει, ὅπερ ἐστὶν ἀδύνατον· οὐ γὰρ οἷόν τέ
5 ἐστιν ἐνεργείᾳ γενέσθαι ἅμα πάντῃ διῃρημένον, ᾧ δὲ κατ' ἐνέργειαν ὑπο-
τεθέντι ἀδύνατον ἕπεται, τοῦτο οὐδὲ δυνάμει τὴν ἀρχὴν ὑπῆρχεν. ὅτι δὲ
ἀδύνατον εἶναί τι ἅμα ἐνεργείᾳ πάντῃ διῃρημένον, ἐκεῖθεν δῆλον· εἰ γὰρ
ἡ διαίρεσις κατὰ σημεῖον καὶ στιγμὴν γίνεται, οὐκ ἔστι δὲ στιγμὴ στιγμῆς
ἐχομένη, ἀλλ' ἀεὶ δύο σημείων λαμβανομένων μεταξὺ μέγεθός ἐστι, πρό- 5
10 δηλον ὡς ἀδύνατον ἅμα πάντῃ διαιρετὸν εἶναι. κατὰ τοῦτο τοίνυν τὸ ση-
μαινόμενον ἐκλαβὼν τὸ πάντῃ διαιρετὸν ὁ Δημόκριτος, εἰς ἄτοπον ἀπάγει
τὸν λόγον, πρὸς τὴν οἰκείαν ὑπόληψιν ἀπορῶν, οὐ τὸ κείμενον ἐξελέγχων.

Τούτων οὕτως εἰρημένων ἴσως τις ἀπορήσειε, πῶς ποτέ φαμεν τὸ
μέγεθος δυνάμει ἐπ' ἄπειρον εἶναι διαιρετόν· ἐντεῦθεν γὰρ καὶ τὸ πάντῃ
15 διαιρετὸν εἶναι εἴληπται, ὡς κἀν τοῖς προλαβοῦσιν εἴπομεν. εἰ γὰρ δυνά-
μει ἐπ' ἄπειρον διαιρεῖται, δυνατόν ἐστιν αὐτὸ διαιρεθῆναι ἐπ' ἄπειρον, 10
τὸ δὲ δυνατὸν γενέσθαι, ὑποθέσθαι ἐκβεβηκέναι οὐκ ἀδύνατον. εἰσάξομεν
οὖν ἐνεργείᾳ τὸ ἄπειρον, ὅπερ ἄτοπον. οὐκ ἄρα ἐπ' ἄπειρον πρόεισι τῶν
συνεχῶν ἡ τομή, ἀλλὰ στήσεταί που· ἔσται οὖν ἄτομα μεγέθη. ἔστι δὲ
20 ἡ τοῦ ἀπόρου λύσις ῥᾳδία προδιελομένοις ἐκεῖνο, ὅπερ κἀν τῇ Φυσικῇ
ἀκροάσει εἴρηται, ὅτι καθάπερ τὴν ἡμέραν ἐνεστηκέναι φαμὲν οὐ τῷ
πᾶσαν ἅμα παρεῖναι ἀλλὰ τῷ ἀεὶ μέρος αὐτῆς ἐνεστηκέναι, καὶ τὸν ἀγῶνα
δὲ ἐνεργείᾳ παρεῖναί φαμεν οὐ τῷ ἅμα καὶ πάλην καὶ πυγμὴν καὶ στάδιον 15
καὶ ἅλμα καὶ τὰ λοιπὰ ἐπιτελεῖσθαι, ἀλλὰ τῷ μέρος τι αὐτοῦ παρεῖναι
25 ἢ ἅλμα τυχὸν ἢ πάλην ἢ τῶν ἄλλων τι, οὕτω καὶ τὸ μέγεθος ἐπ' ἄπειρόν
φαμεν τέμνεσθαι οὐ τῷ δύνασθαι ἄπειρα τμήματα αὐτοῦ ὑφεστῶτα ἅμα
γενέσθαι, ἀλλὰ τῷ λαμβάνεσθαι τῶν ἀπείρων τμημάτων τινὰ καὶ μέρη
τοῦ ἀπείρου. τὰ μὲν οὖν λαμβανόμενα ἀεὶ τμήματα ἐκ τῆς διαιρέσεως
τοῦ συνεχοῦς πεπέρανται, τῷ δὲ τὰ ληφθέντα πάλιν δύνασθαι τέμνεσθαι
30 ἐπ' ἄπειρον λέγεται γίνεσθαι ἡ διαίρεσις, διὰ τὸ μὴ ἐπιλείπειν τὴν 20
διαίρεσιν μηδὲ εἶναί τι μόριον ληφθὲν ὅπερ οὐ δυνατόν ἐστι τὴν τομὴν
ἐπιδέξασθαι. οὕτω καὶ τὸν ἀριθμόν φαμεν ἐπ' ἄπειρον αὔξεσθαι οὐ τῷ
δύνασθαι αὐξόμενον ἄπειρον κατ' ἐνέργειαν γενέσθαι (ἀεὶ γὰρ ὁ λαμβανό-
μενος ἀριθμὸς περερασμένος ἔσται), ἀλλὰ τῷ μὴ ἐπιλείπειν αὐτοῦ τὴν

---

1 ἐπιδείξασθαι GT 2 τὸ ἅμα] τῷ ἅμα G post μέγεθος addit ἀλλὰ τῷ οὕτω πάντῃ διαιρετὸν λέγοντι, ὡς ἅμα πάντῃ et pergit τοῦτο δὲ δεύτερον a 6 τούτω RZ 8 ἡ om. R 11 ἐπάγει ut vid. G, itemque ex μετάγει corr. T 12 πρὸς] περὶ compend. R: om. V, qui mox ὑπόθεσιν ἀναιρῶν οὐ τὸ] αὐτὸ GT 13 ἴσως ἄν τις V 15 κἀν τοῖς κτλ.] p. 29,5 sqq. εἴπομεν GT¹Z 17 ὑποθέσθαι Za: ὑποθέσεως GRT 19 ἔστι] ἔτι (GTZ)a 20 ἀπείρου R προδιελομένης compend. R 20. 21 Φυσικῇ ἀκρ. Γ 6. p. 206a21 sq. (cum Philop. comment. p. 459,12 sqq.) 24 ἅλμα] ἅμα T 25 τὸ om. R 26 ἄπειρον Ta 29 πεπέρασται libri 31 τι] τὸ T 32 ὑποδέξασθαι Z ἐπ' ἄπειρόν φαμεν Z 34 ἐστὶν Z: ἄρα R τὸ T

αὔξησιν ἀλλ' εἶναι τοῦ λαμβανομένου ἀεὶ ἄλλον πλείονα λαμβάνειν. καὶ 9r
ἵνα σαφῶς διορίσαντες εἴπωμεν, εἰς ἄπειρα μὲν διαιρετὸν τὸ μέγεθος
οὐκ ἔστιν οὐδὲ δυνάμει, τῷ μηδὲ δύνασθαι εἰς ἄπειρα διαιρεθῆναι (ἐπεὶ
μηδὲ στιγμὴν στιγμῆς ἐφεξῆς εἶναι ἐνδέχεται· ἀεὶ γὰρ δύο στιγμῶν τὸ 25
5 μεταξὺ μέγεθός ἐστιν), ἐπ' ἄπειρον μέντοι, τῷ μὴ ἐπιλείπειν ποτὲ δυνάμει
τὴν τομήν. οὕτως γοῦν καὶ πάντῃ διαιρετὸν ἐλέγομεν τὸ μέγεθος, τῷ
καθ' ὁτιοῦν μόριον δύνασθαι διαιρεθῆναι καὶ μὴ εἶναί τι ληφθὲν μόριον
ὅπερ ἄτμητον ἔσται δυνάμει. διὰ τοῦτο γὰρ ὁπηοῦν ἀδιαφόρως δυνατόν ἐστι
διαίρεσιν γενέσθαι, τῷ μηδὲν εἶναι μόριον δυνάμει ἀδιαίρετον. τὸ δ' ἅμα
10 πάντῃ διαιρετὸν καὶ τὸ εἰς ἄπειρα διαιρετόν, ψευδῆ ἄμφω· τῷ μὲν γὰρ
ἕπεται εἰς στιγμὰς διαιρεῖσθαι τὸ μέγεθος καὶ ἐκ στιγμῶν συγκεῖσθαι, τῷ 30
δὲ εἰς ἄπειρα διαιρετῷ καὶ ἐνεργείᾳ τὸ ἄπειρον ὑφίστασθαι, ὅπερ ἄτοπον·
τὸ γὰρ ἄπειρον ὡς μὲν γινόμενον ἐστίν, ὡς δὲ ὑφεστὼς οὐκέτι. καὶ
ἄλλως ἐν τῇ Φυσικῇ αὐτὸς εἶπεν ὅτι οὐκ ἔστι λίνον λίνῳ συνάπτειν, τὸ ὅλον
15 καὶ πᾶν τῷ ἀπείρῳ. τὸ μὲν γὰρ ὅλον καὶ πᾶν τέλειον. τὸ δὲ τέλειον
τέλος ἔχει, τοῦ δὲ ἀπείρου οὐκ ἔστι τέλος· καὶ ὅλον μέν ἐστι καὶ πᾶν
οὗ μηδὲν τῶν μερῶν ἐστιν ἔξω, ἄπειρον δέ ἐστιν οὗ ἀεί τί ἐστιν ἔξω·
οὐ ταὐτὸν ἄρα τὸ πᾶν καὶ τὸ ἄπειρον. ὥστε ὅταν λέγωμεν 'πάντῃ 35
διαιρετόν', δι' αὐτῆς τῆς φωνῆς ἐνδεικνύμεθα ὅτι οὐκ εἰς ἄπειρά φαμεν
20 τὰ μεγέθη κατατέμνεσθαι, ἀλλ' εἰς πεπερασμένα, καὶ ἑκάστου πάλιν τῶν
μερῶν πάντῃ διαιρετοῦ ὄντος. δοκοῦμεν δέ, φησίν, ὅταν λέγωμεν 'πάντῃ
διαιρετόν', οὕτως λέγειν τὸ 'πάντῃ' ὡς μηδὲν μεῖναι ἐκ τῆς διαιρέσεως
ἀδιαίρετον, ὅπερ ἐστὶ ψεῦδος καὶ ἐναντίον τῷ παρ' ἡμῶν λεγομένῳ. ἐπ'
ἄπειρον γὰρ διαιρετόν φαμεν εἶναι τὸ μέγεθος, καὶ ταύτῃ πάντῃ διαιρετὸν
25 ὡς πᾶν τὸ ληφθὲν μόριον δύνασθαι τέμνεσθαι καὶ μηδέποτε τοῦτο ἀπο- 40
λείπειν. ὥστε εἰ οὕτω διαιρεθείη ὡς ἐπιλείπειν τὴν τομὴν τῷ μηδὲν
εἶναι λεῖπον τὸ δυνάμενον διαιρεθῆναι, οὐκέτι ἂν ἐπ' ἄπειρον εἴη διαιρετόν·
τὸ γὰρ ἐπ' ἄπειρον οὐκ ἐπιλείπει ποτέ. ὥστε εἰ ἐπιλείποι, οὐκ ἐπ'
ἄπειρον, οὐδ' οὕτω πάντῃ ὡς ἀεὶ τὸ διαιρεθὲν μόριον δύνασθαι διαι-
30 ρεῖσθαι.

Τὸ μὲν οὖν ἅπαν σῶμα αἰσθητὸν εἶναι διαιρετὸν καθ' ὁτιοῦν σημεῖον καὶ ἀδιαίρετον οὐδὲν ἄτοπον. αἰσθητὸν μὲν 46
εἶπεν ἢ τὸ φυσικόν, οὐχ ὡς μὴ καὶ τῶν ἄλλων σωμάτων διαιρετῶν
ὄντων (καὶ γὰρ τὸ μαθηματικὸν τοιοῦτον), ἀλλ' ὡς περὶ τούτου ὄντος τοῦ
35 λόγου· ἢ αἰσθητόν φησι τὸ ἐνεργείᾳ ὄν. τὸ γὰρ μὴ ὂν ἐνεργείᾳ, οὐδὲ
διαιρετόν ἐστι. τοιοῦτον δὲ ἡ ὕλη κατὰ τὸν ἴδιον λόγον· σῶμα μὲν γὰρ
καὶ αὐτή, ἀλλ' οὐκ αἰσθητόν, ἀλλὰ δυνάμει σῶμα. προθέμενος δὲ ὡς
ἐν κεφαλαίῳ τὴν Δημοκρίτου ἀπορίαν ἀναλαβεῖν, πρῶτον διορίζεται ποίῳ 50

---

2 ἄπειρον libri 6 οὕτω (G)a γοῦν] γὰρ Z τῷ] τὸ GT 9 διαίρεσις Z
μηδὲν GRT: μὴ δεῖν (Z)a 10 ψεύδη Z 13 τότε γὰρ GT 14 Φυσικῇ Γ 6
p. 207a17 τῶν ὅλον G¹: τὸν ὅλον G²T 16 οὐκ ἔστι Z: οὐκ ἄρα R: οὐκ ἔσται GTa
22 οὕτω (G)a τὸ] τῷ GT¹ 24 γάρ φαμεν διαιρετὸν Z 26 τῷ a: τὸ cett.
32 μὲν om. a 34 ὄντος] ὄντως GT¹ 37 προσθέμενος R

μὲν σημαινομένῳ τοῦ πάντῃ διαιρετοῦ οὐδὲν ἄτοπον ἀκολουθεῖ, ποίῳ δὲ 9r
ἕπεται ὅσα παρὰ Δημοκρίτου ἄτοπα συνῆκται. καί φησιν ὅτι τὸ μὲν λέγειν πάντῃ διαιρετὸν τὸ καθ' ὁτιοῦν ⟨μόριον⟩ δυνάμενον διαιρεθῆναι, εἰ καὶ μήπω διῄρηται, ἀληθὲς καὶ οὐδὲν ἔχει ἄτοπον ἑπόμενον (καὶ γὰρ τὸ ἐνεργείᾳ
5 ἀδιαίρετον δυνατὸν οὕτω λέγειν πάντῃ διαιρετόν· τῷ γὰρ δύνασθαι ἐπὶ τοῦ συνεχοῦς ὁπηοῦν σημεῖον λαμβάνεσθαι δῆλον ὅτι καὶ διαίρεσις ἔσται ἐν ἑκάστῳ μέρει τοῦ συνεχοῦς), τὸ δὲ λέγειν πάντῃ διαιρετὸν ὡς ἅμα πάντῃ δυνάμενον διαιρεθῆναι, | ἄτοπον. πῶς δὲ καὶ διὰ τί ἄτοπον, πάλιν 9v
προστίθησιν ἀναλαμβάνων τὴν Δημοκρίτου ἀπορίαν· καὶ τότε ὕστερον τὴν
10 λύσιν ἐπιφέρει, φάσκων παραλογίζεσθαι τὸν Δημόκριτον οὐ τὸν λόγον ἐλέγχοντα τὸν φάσκοντα πάντῃ διαιρετὸν τὸ μέγεθος, ἀλλὰ σημαινόμενόν τι τοῦ πάντῃ διαιρετοῦ κατὰ τὴν ἐκείνου ὑπόληψιν λαμβανόμενον.

p. 316b23 Εἰ γὰρ δυνατόν, κἂν γένοιτο, οὐχ ὥστε ἅμα εἶναι 5
ἄμφω.

15 Ἐκεῖνο, φησίν, ἄτοπόν ἐστι, τὸ λέγειν πάντῃ ἅμα διαιρετὸν εἶναι δυνάμει. εἰ γάρ ἐστι δυνάμει, γένοιτ' ἂν καὶ ἐνεργείᾳ, γένοιτο δὲ οὐχ ὥστε κατὰ τὸ αὐτὸ καὶ δυνάμει αὐτὸ εἶναι διαιρετὸν καὶ ἐνεργείᾳ (τοῦτο γὰρ προφανῶς ἄτοπον καὶ λόγου μὴ δεόμενον, τὸ τὸ αὐτὸ ὑποτίθεσθαι ἅμα καὶ ἀδιαίρετον καὶ διῃρημένον), ἀλλὰ τοῦτο, φησίν, ἐστὶν ὃ λέγω, ὅτι εἰ 10
20 δυνάμει ἅμα πάντῃ διαιρετόν ἐστι, καὶ εἰς ἐνέργειαν ἐκβαίη ἄν, ὡς εἶναι αὐτὸ εἰς σημεῖα διῃρημένον· τοῦτο γὰρ σημαίνει τὸ 'καθ' ὁτιοῦν σημεῖον διῃρημένον'. πόσα δὲ ἕπεται ἄτοπα τῷ ὑποτίθεσθαι εἰς σημεῖα διῃρημένον τὸ μέγεθος, ἐφεξῆς ἐπιφέρει ἀναλαμβάνων τὴν Δημοκρίτου ἀπορίαν. ἔστι δὲ τὰ ἄτοπα ὅσα καὶ ἐξ ἀρχῆς προείρητο. εἰ γάρ, φησίν, ὑποτεθείη πάντῃ
25 ἅμα διῃρημένον, οὐδὲν ἔσται λοιπὸν ἀλλ' ἢ εἰς ἀσώματον τὸ σῶμα ἐφθαρμένον. καὶ ἐπειδὴ εἰς ἃ διαιρεῖταί τι ἐκ τούτων καὶ σύγκειται, ἐπιφέρει 15
ὅτι εἰ μὲν εἴη εἰς ἀσώματον, τουτέστιν εἰς στιγμάς, διῃρημένον, ἔσται καὶ ἐκ στιγμῶν συγκείμενον· εἰ δὲ εἰς μηδέν, ἔσται ἐκ μηδενός.

p. 316b28 Ἀλλὰ μὴν ὅτι γε διαιρεῖται εἰς χωριστὰ καὶ ἀεὶ εἰς
30 ἐλάττω.

Ἀπαγαγὼν εἰς ἀδυνάτον τὸν λόγον τὸν φάσκοντα πάντῃ ἅμα διῃρῆσθαι τὸ σῶμα, τῷ δεῖξαι ἑπόμενον τούτῳ τὸ ἐκ στιγμῶν ἢ ἐκ μηδενὸς συγκεῖ- 20
σθαι τὰ μεγέθη, νῦν ἐκ τῆς ἐναργείας λαμβάνει, ὡς παρὰ Δημοκρίτου

2 ὅσαι a περὶ Z 3 μόριον addidi 9 τὴν] τοῦ R¹ 10 ἐπιφέρειν Z 13 ἅμα εἶναι GRT (et Ar. FH): εἶναι ἅμα Za: ἅμα om. V 15 ἐστὶν ἄτοπον et ἅμα πάντῃ Z πάντῃ] ταύτῃ R 16 γένοιντ' ἂν GT¹Z 16. 17 γένοιτο δὲ — ἐνεργείᾳ V: om. cett. 18 τὸ τὸ] τὸ Za 20 ἅμα om. Z 21 σημεῖον om. Z 22 τῷ] τὸ GT 24 προείρηται T 27 ἀσώματα a 28 ἔσται] ἄτοπον R 31 ἐπαγαγὼν GT ἅμα πάντῃ Z διαιρεῖσθαι R 33 ἐναργείας R: ἐνεργείας cett. περὶ compend. (Z)a

ποιούμενος τὸν λόγον, ὅτι ἡ διαίρεσις ἀεὶ εἰς χωριστά, τουτέστιν εἰς 9ᵛ
ὑφεστῶτα, γίνεται μεγέθη. εἰ γὰρ καὶ εἰς ἐλάττω ἀεὶ τῷ μεγέθει τμή-
ματα γίνεται ἡ διαίρεσις, ἀλλ' οὖν εἰς ὑφεστῶτα καὶ καθ' αὑτὰ ὑποστῆναι
δυνάμενα. εἰ δὲ τοῦτο ἐναργές, πρόδηλον ὡς οὐχ ἅμα ἄπειρά ποτε τὰ
5 διαιρεθέντα οὐδὲ ἐπ' ἄπειρον ἡ διαίρεσις, διὰ τὸ μὴ εἶναι ἄπειρα χωριστὰ
μέρη ἐν τοῖς πεπερασμένοις μεγέθεσι. τὸ δὲ ἀεὶ οὐ τὸ ἐπ' ἄπειρον 25
σημαίνει ἐν τούτοις (ὡς γὰρ ἀπὸ Δημοκρίτου ὁ λόγος συμπεραινομένου
τὰ εἰρημένα), ἀλλ' ἀεὶ εἰς ἐλάττω διαιρεῖται, φησί, "μέχρι τούτου", ὡς
ἐν τοῖς ἑξῆς φησι, μέχρις οὗ καταντήσει ἡ διαίρεσις εἰς ἄτομα.

10 p. 316ᵇ29 Οὔτε δὴ κατὰ μέρος διαιροῦντι εἴη ἂν ἄπειρος ἡ θρύψις, οὔτε ἅμα οἷόν τε διαιρεθῆναι κατὰ πᾶν σημεῖον.

Διὰ τί τοῦτο ἀδύνατον προείρηται. εἰ γὰρ οὕτως διαιρεθῇ εἴτε ἅμα 31
εἴτε καὶ κατὰ μέρος, εἰς σημεῖα διαιρεθήσεται, καὶ ἔσται ἐκ σημείων,
τοῦτο δὲ ἀδύνατον. ἀδυνάτου δὲ ὄντος κατὰ πᾶν σημεῖον διαιρεθῆναι τὸ
15 σῶμα, οὐκ ἔσται ἐπ' ἄπειρον ἡ τομή. εἰ γὰρ εἰς σημεῖα διῃρεῖτο, τοῦτο
συνέβαινεν εἰκότως, τῷ ἄπειρα εἶναι δυνάμει τὰ ἐν τῷ μεγέθει σημεῖα.
μὴ προϊούσης τοίνυν ἐπ' ἄπειρον τῆς διαιρέσεως μηδὲ εἰς σημεῖα γινο- 35
μένης, καταλείπεται στῆναί που τὴν διαίρεσιν καὶ ὑπολείπεσθαι ἄτομα
σώματα μηκέτι τμηθῆναι δυνάμενα.

20 p. 316ᵇ32 Ἀνάγκη ἄρα ἄτομα ὑπάρχειν μεγέθη ἀόρατα εἴπερ ἐστὶ γένεσις καὶ φθορὰ ἡ μὲν διακρίσει ἡ δὲ συγκρίσει.

Σκοτεινότερον ἡ λέξις ἡρμήνευται. δόξει γὰρ λέγειν ὅτι εἴπερ ἐστὶ
γένεσις καὶ φθορὰ ἡ μὲν διακρίσει ἡ δὲ συγκρίσει, ἀνάγκη καὶ ἄτομα
εἶναι μεγέθη· ἔμπαλιν δὲ χρὴ ἐκ τῶν ἀτόμων πιστοῦσθαι ὅτι κατὰ σύγ-
25 κρισιν ἡ γένεσις. ἀτόμων μὲν γὰρ ὑποκειμένων ἔσται κατὰ σύγκρισιν
ἡ γένεσις, κατὰ σύγκρισιν δὲ οὔσης τῆς γενέσεως οὐκ ἀνάγκη ἄτομα 40
ὑποθέσθαι μεγέθη. ἀλλὰ δὴ καὶ ὅτι μὲν ἔστιν ἄτομα ὁ Δημοκρίτειος
λόγος δοκεῖ ἀποδεδειχέναι, οὐ μὴν ὅτι κατὰ σύγκρισιν ἡ γένεσις. ὥστε
δεῖ ἐκ τοῦ εἶναι ἄτομα συλλογίζεσθαι ὅτι καὶ ἡ γένεσις κατὰ σύγκρισιν,
30 οὐκ ἔμπαλιν ὡς ἡ λέξις δοκεῖ ὑποφαίνειν. χρὴ οὖν ἁπλούστερον ἐκλαβεῖν
τὴν λέξιν, οὕτως εἰπόντα ἀνάγκη ἄρα ἄτομα μεγέθη ὑπάρχειν, καὶ
ὑποστίξαντα ἐνταῦθα ὡς ἐξ ἄλλης ἀρχῆς εἴπερ οὖν ἐστὶ γένεσις καὶ

2 et 3 ἐφεστῶτα GRT, sed altero loco ὑφεστῶτα corr. R 4 ὡς οὐκ ἔσται ἄπειρα τότε τὰ (τὰ om. V) FV 5 οὐδ' GTa 6 μέρει a 8 φησὶ διαιρεῖται R τούτου] immo τοῦ (Ar. p. 316ᵇ32) 9 καταντήση corr. T: ἂν καταντήση a 11 τε in eras. T: τον (?) G 12 εἰ RTZ: ἡ G; ἢν a οὕτω (G)a 15 διῃρεῖτο RZ: διήρητο GTa 17 προιούσης T 20 ὥστε ἀνάγκη (om. ἄρα) a ὑπάρχειν μεγέθη RZV: μεγέθη ἐνυπάρχειν GTa; cf. Aristot. 20. 21 εἴπερ — συγκρίσει om. V; ceterum cf. Ar. 22 σκοτεινότερον δὲ ἡ a γὰρ ἡ (sic) λέγειν Z 27 δημοκράτειος Z: δημόκριτος T 29 δεῖ V: δὴ cett. 30 ἀποφαίνειν T 32 ὑποστήξαντα GR¹ ἐνταῦτα GT¹ ἄλλης εἰπεῖν ἀρχῆς a

φθορά, ἡ μὲν διακρίσει ἔσται ἡ δὲ συγκρίσει. ἢ οὕτως ἀνάγκη 9v
ἄρα ἄτομα μεγέθη ὑπάρχειν, ἐξ ὧν εἴπερ ἐστὶ γένεσις καὶ
φθορά, ὅπερ ἐναργές ἐστιν, ἡ μὲν διακρίσει ἔσται ἡ δὲ συγ- 46
κρίσει. ἀόρατα δὲ εἶπε μεγέθη τὰ ἄτομα, ἵν' ἐκφύγῃ τὸν ἐκ τῆς
5 αἰσθήσεως ἔλεγχον· οὐδὲν γὰρ τῶν φαινομένων μεγεθῶν ἀδιαίρετόν ἐστιν.
ἀόρατα οὖν ἡμῖν διὰ σμικρότητα ἔλεγεν εἶναι τὰ ἄτομα. καὶ οὐδέν γε
θαυμαστὸν εἶναι μέν, διὰ σμικρότητα δὲ μὴ ὁρᾶσθαι. ὥσπερ καὶ τὰ ἐν
τῷ ἀέρι κονιορτώδη ψήγματα πρότερον ἡμῖν ἀόρατα ὄντα, ἐπειδὰν ἀκτὶς 50
διὰ θυρίδος εἰσβάλῃ, ὁρατὰ ἐν αὐτῇ διὰ τὴν τοῦ φωτὸς λαμπρότητα
10 γίνεται.

p. 316ᵇ34 Ὁ μὲν οὖν ἀναγκάζειν λόγος δοκῶν εἶναι μεγέθη ἄτομα οὗτός ἐστιν· ὅτι δὲ λανθάνει παραλογιζόμενος, καὶ ᾗ λανθάνει, λέγωμεν. |

Θεὶς τὴν κατασκευὴν τοῦ ἄτομα εἰσάγοντος λόγου καὶ ἐνδειξάμενος 10r
15 [ὅτι] κατὰ ποῖον σημαινόμενον τοῦ πάντῃ διαιρετοῦ ἕπεται τὰ συνηγμένα
ἄτοπα, λοιπὸν τὴν λύσιν τῇ ἀπορίᾳ ἐπιφέρει ἐλέγχων τὸν παραλογισμὸν
ὡς κατά τινα ἰδίαν ἐξήγησιν τοῦ ἐπ' ἄπειρον διαιρετοῦ προϊόντα. καὶ
πάλιν τῆς 'πάντῃ διαιρετόν' φωνῆς διάφορον ἐκτίθεται τὸ σημαινόμενον,
καί φησιν ὅτι τὸ μὲν τῶν σημαινομένων ἀδύνατον συστῆναι τὸ δὲ δυνατόν· 5
20 τὸ γὰρ πάντῃ, φησί, διαιρετὸν ἔστι μὲν ὡς ὑπάρχει τοῖς μεγέθεσιν,
ἔστι δὲ ὡς οὐχ ὑπάρχει· οὐχ ὑπάρχει μέν, ὡς Δημόκριτος ἀκούσας εἰς ἄτοπον
ἀπήγαγε τὸν λόγον, κατὰ τὸ ἅμα πάντῃ διαιρετὸν εἶναι, τοῦτο δὲ ἀδύνατόν
ἐστι, διότι, φησίν, οὐκ ἔστι στιγμὴ στιγμῆς ἐχομένη. λαμβάνει γὰρ τοῦτο
Ἀριστοτέλης ὡς ἐναργές· καὶ γὰρ καὶ παρὰ τῶν περὶ Δημόκριτον ὡμο-
25 λογεῖτο. εἰς τοῦτο γοῦν ὡς ἄτοπον ἀπῆγον τὸν λόγον. εἰ δέ τις καὶ τού-
του ζητεῖ αἰτίαν, λέγω δὲ τοῦ μὴ εἶναι σημεῖον σημείου ἐχόμενον ἐπὶ 10
τοῦ συνεχοῦς, μηδ' ὅλως ἐκ σημείων συγκεῖσθαι τὸ μέγεθος, λεκτέον καὶ
πρὸς αὐτόν. ἀνάγκη γὰρ τὰ σημεῖα, ἐξ ὧν συγκεῖσθαι τὸ μέγεθος ἡ ὑπό-
θεσις ἔχει, ἢ ἀπεράντῳ μεγέθει ἐφεξῆς ἀλλήλων εἶναι ὑποτιθέμεθα, ἤτοι
30 διεστάναι ἀλλήλων, ἢ κατά τι μὲν ἀλλήλων διεστάναι κατά τι δὲ ἅπτε-
σται, ἢ καθ' ὅλα ἑαυτὰ ἀλλήλων ἅπτεσθαι. εἰ μὲν οὖν διεστήξονται
ἀλλήλων, οὐκ ἔσται ἅμα ἐχόμενα οὐδὲ ποιήσουσι μέγεθος· εἰ δὲ κατά τι
μὲν διεστήξονται κατά τι δὲ ἅψονται, μέρη ἕξει (ὑπόκειται δὲ ἀμερῆ εἶναι 15

---

2 μεγέθη a: μεγέθει cett. 6 ἔλεγε (G)a 8 ἀτμὶς Z 9 τῆς θυρίδος GTa εἰσβάλλῃ (G)a 11. 12 Ὁ μὲν — ἐστιν om. hic a 11 οὖν om. Z λόγος ἀναγκάζειν δοκῶν Z; ceterum cf. Ar. 13 λέγοιμεν corr. R² 15 ὅτι delevit a 18 διαφορὰν ἐκτίθεται σημαινόμενων a 19 ἀδύνατόν ἐστι Z 20 ὑπάρχειν (G)a 21 ὡς οὐχ ὑπάρχειν a 22 ἐπήγαγε GT κατὰ V: καὶ cett. δὲ om. GTa 23 φησίν om. Z 24 ὁ Ἀριστοτέλης GTa τῶν] τὸν R 25. 26 τοῦτο GT 28 ὡς ἀνάγκη τὰ a ἡ om. T 29 ἔχει] φησι a ἢ ἅπερ ἐν τῷ μεγέθει G ὑποτιθέμενα a 31 et 33 διαστήκονται R 32 οὐκέτι ἅμα R 33 ἕξουσιν a

τὰ σημεῖα)· εἰ δὲ καθ' ὅλα ἑαυτὰ ἀλλήλων ἅψονται, δύο σημεῖα ἐφαρ- 10r
μόσουσιν ἀλλήλοις * * * ἐφαρμοζόντων τῶν σημείων πάντων, ἐξ ὧν τὸ
μέγεθος δοκεῖ συγκεῖσθαι, ἔσται τὸ ὅλον μέγεθος σημεῖον ἕν. ἀδύνατον
ἄρα σημεῖον σημείου ἔχεσθαι, τοῦτο δὲ εἰσάγει ὁ ἅμα πάντῃ διαιρετὸν
5 εἶναι τὸ μέγεθος ὑποτιθέμενος οὕτως ὡς μηδὲν καταλειφθῆναι μόριον ἐκ
τῆς διαιρέσεως ὃ καὶ αὐτὸ διαιρεθῆναι δύναται. οὐ γάρ ἐστιν ἐχομένη
στιγμὴ στιγμῆς, ὡς δέδεικται. ἀλλὰ πάντως μεταξὺ δύο στιγμῶν μέγεθος
ἐστίν. ὥστε ταύτῃ οὐκ ἂν εἴη πάντῃ διαιρετὸν τὸ μέγεθος· ἕψεται γὰρ 20
τὰ προειρημένα ἄτοπα. πῶς οὖν καὶ διὰ τί ὑπάρξει τὸ πάντῃ διαιρετὸν
10 τῷ συνεχεῖ; διὰ τὸ ὁπηοῦν τοῦ συνεχοῦς εἶναι δυνάμει σημεῖον. εἰ δὲ
ὁπηοῦν τοῦ συνεχοῦς δυνατὸν σημεῖον λαβεῖν, δυνατὸν καὶ ὁπηοῦν τοῦ
συνεχοῦς διαίρεσιν γενέσθαι, καὶ ταύτῃ πάντῃ διαιρετὸν λεχθείη ἂν τὸ
μέγεθος, τῷ ὁπηοῦν δύνασθαι διαιρεθῆναι.

p. 317a8 Ὅτι μία ὁπηοῦν ἐστί, καὶ πᾶσαι ὡς ἑκάστη. 24

15 Τουτέστιν ἢν τέμνῃ τις μίαν τομήν, δύναται ταύτην ὁπηοῦν ποιήσα-
σθαι. μίαν δὲ εἴρηκεν, διότι οὐκ ἄλλην ἐφεξῆς δυνατὸν λαβεῖν. καὶ
πάσας δυνατὸν τὰς τομὰς ποιήσασθαι, οὐχ ὡς πάσας ἅμα, ἀλλ' ὡς πασῶν
ἡντιναοῦν· τοῦτο γάρ ἐστι τὸ πᾶσαι ὡς ἑκάστη, τουτέστιν οὐδὲν μᾶλλον
τήνδε ἢ τήνδε, ἀλλ' ὡς τήνδε τινὰ οὕτω καὶ πάσας. ἑκάστην δὲ τῶν 30
20 πασῶν ὡσαύτως δυνατὸν γενέσθαι· καὶ γὰρ καὶ ὁ ἄνθρωπος ὡσαύτως ἑκά-
στης τῶν πασῶν ἐπιστημῶν ἐστι δεκτικός.

p. 317a9 Πλείους δὲ μιᾶς οὐκ εἰσίν.

Πλείους μιᾶς οὐκ εἰσὶν ἐφεξῆς, ὡς δηλοῖ τὸ ἐπαγόμενον.

p. 317a9 Ὥστε οὐ πάντῃ.

25 Πρόσθες αὐτῷ τὸ 'ἅμα'· οὐ γὰρ ἅμα πάντῃ διαιρετόν.

p. 317a10 Εἰ γὰρ κατὰ μέσον διαιρετόν, καὶ κατ' ἐχομένην στιγμὴν ἔσται διαιρετόν.

Κατασκευὴ ὅτι οὐ πάντῃ διαιρετὸν οὕτως ὡς μηδὲν εἶναι ἀδιαίρετον.

---

2 lacunam indicavi: ⟨καὶ οὕτως⟩ inserit a 3 ἕν om. a 5 καταληφθῆναι GR¹a
6. 7 στιγμὴ στιγμῆς ἐχομένη Z 9 τῷ πάντῃ T 10 εἰ] ὁ R 12 γίνεσθαι GT
13 τῷ Za: τὸ GRT 16 ὅτι Z 18 πᾶσα a 20 δυνατὸν om. Z
21. 28 δεκτικός. πλείους δὲ μιᾶς, ἐφεξῆς δηλονότι, τοῦτο γὰρ δηλοῖ τὸ ἐπαγόμενον, οὐκ εἰσί. τῷ δὲ οὐ πάντῃ προσθετέον τὸ ἅμα. οὐ γὰρ ἅμα πάντῃ διαιρετόν. εἰ γὰρ κατὰ τὸ μέσον διαιρετόν, καὶ κατὰ τὴν ἐχομένην στιγμὴν ἔσται διαιρετόν. καὶ ἔστι κατασκευὴ τοῦτο τοῦ, ὅτι a
23 οὐκ εἰσὶν om. (G) 24 ὥστε] οὕτως R 28 ὡς μηδὲν μὴ εἶναι R

ἐνδεῶς δὲ ἡ λέξις πέφρασται. εἴη δ' ἂν σαφὴς ἅμα καὶ τέλειος ὁ λόγος 10r
οὕτως εἰποῦσιν 'εἰ πάντῃ ἅμα διαιρετὸν ἦν τὸ συνεχὲς ὡς μηδὲν αὐτοῦ 35
μένειν ἀδιαίρετον κατὰ μέσον ἢ καὶ ὁπωσοῦν ἄλλως διαιρεθέν, διῃρεῖτο ἂν
καὶ κατ' ἐχομένην στιγμήν'. καὶ λοιπὸν ἀκόλουθον ἦν ἐπαγαγεῖν 'τοῦτο
5 δὲ ἀδύνατον', ὁ δὲ μὴ ἐπενεγκὼν ὅτι ἀδύνατον, διὰ τί ἀδύνατόν ἐστι κατ'
ἐχομένην στιγμὴν διαιρεθῆναι ἐφεξῆς προστίθησι. φάσκων οὐ γάρ ἐστιν
ἐχόμενον σημεῖον σημείου, τοῦτο δ' ἐστὶ διαίρεσις ἢ σύνθεσις.
τουτέστι τὸ ὑποτίθεσθαι σημεῖον σημείου ἐχόμενον εἶναι οὐδὲν ἕτερόν ἐστιν ἢ 40
λέγειν ὅτι τὸ μέγεθος διαίρεσις μόνον ἐστὶ καὶ σύνθεσις, οὐκέτι δὲ εἰς
10 μεγέθη διαιρεῖσθαι ἢ ἐκ μεγεθῶν συγκεῖσθαι. δύναιο δ' ἂν καὶ οὕτως
ἀκούειν τῆς λέξεως ὡς πρὸς τὸ προσεχές· οὐ γὰρ δυνατόν, φησί, πάντῃ
ἅμα διαιρετὸν εἶναι. διὰ τί; ἐπειδὴ οὐκ ἔστιν ἐχόμενον σημεῖον σημείου,
τοῦτο δὲ τὸ σημεῖον καὶ κατὰ τοῦτο τὸ σημεῖον ἡ διαίρεσίς ἐστι καὶ σύν-
θεσις τῶν μεγεθῶν. καὶ δῆλον ὅτι εἰ μὴ ταῦτα εἴη ἐφεξῆς, λέγω δὲ τὰ
15 σημεῖα, οὐκ ἂν πάντῃ ἅμα διαιρεθείη.

p. 317a 12 Ὥστε ἔστι καὶ διάκρισις καὶ σύγκρισις, ἀλλ' οὔτε εἰς 45
ἄτομα καὶ ἐξ ἀτόμων.

Ἐκ τῶν εἰρημένων, φησί, δῆλον ὅτι ἔστι καὶ σύγκρισις μὴ ὄντων
ἀτόμων μεγεθῶν· ἔδειξε γὰρ ὅτι καὶ συγκρίνεται τὰ μεγέθη καὶ διακρίνε-
20 ται. οὐκ ἀνάγκη δὲ συγκρίσεως οὔσης καὶ διακρίσεως διὰ τοῦτο ἄτομα 50
ἤδη ὑπάρχειν μεγέθη, οὐδὲ εἰ ἔστι σύγκρισις καὶ διάκρισις, καὶ πάντῃ
διαιρετὸν ἔσται τὸ μέγεθος ὡς εἰς σημεῖα καταλήγειν ἢ οὐδέν· ἀλλ' ἔστιν
ἡ σύγκρισις ἐξ ἐλαττόνων εἰς μείζονα ἀεὶ καὶ ἡ διάκρισις ἐκ μειζόνων
μεγεθῶν εἰς ἐλάττονα, οὔτε δὲ εἰς ἄτομα οὔτε ἐξ ἀτόμων. πολλὰ γὰρ
25 τὰ ἄτοπα ἀτόμων ὑποτεθέντων· ἥ τε γὰρ ἀλλοίωσις ἅμα κυρίως καὶ ἡ
συνέχεια καὶ ἡ συμπάθεια ἀναιρεθήσεται.

p. 317a 17 Ἀλλ' οὐχ ἡ ἁπλῆ καὶ τελεία γένεσις συγκρίσει καὶ
διακρίσει ὥρισται, ὥς τινές φασι, τὴν δ' ἐν | τῷ συνεχεῖ 10v
μεταβολὴν ἀλλοίωσιν. ἀλλὰ τοῦτό ἐστιν ἐν ᾧ σφάλλεται πάντα.

30 Τὸ μὲν εἶναι σύγκρισιν καὶ διάκρισιν ἐναργὲς ὂν δίδωσιν, οὐ μέντοι
τὴν κυρίως λεγομένην γένεσιν συγκρίσει μόνῃ γίνεσθαι συγχωρεῖ, καθά- 5

---

1 τέλειος RTZ: τέλος (G)a 2 οὕτος R¹ ἢ GT: εἴη a 3 διῃρεῖτο Z: διῃρῆτο R: διήρητο GTa 7 σημείου, ἢ στιγμὴ στιγμῆς a Arist. δέ ἐστι R 8 τουτέστιν ὑποτίθεσθαι R ἐστιν ἕτερον Z 11. 12 ἅμα πάντῃ Z 14 εἴη ταῦτα Z 16 καὶ σύγκρισις καὶ διάκρισις a 18 ἔσται GTa καὶ om. R: immo καὶ ⟨διάκρισις καὶ⟩ 20. 21 ἤδη διὰ τοῦτο ἄτομα Z: διὰ τοῦτο ἤδη ἄτομα GTa 22 ἔσται om. R 23 ἀεὶ εἰς μείζονα Z: ἀεὶ om. R, fort. recte 25 ἥ τε a: οὔτε cett. κυρίως ἀλλοίωσις ἅμα a 26 καὶ ἡ συμπάθεια ἀναιρεθήσεται RZ: καὶ ἡ συμπάθεια om. GT: ἀναιρεθήσεται καὶ ἡ συμπάθεια a 28 τὴν δὲ ἐν R 29 σφάλεται a 31 ἐν συγκρίσει Ga: [illegible]συγκρίσει T

περ φασί τινες τιθέμενοι τὴν μὲν γένεσιν καὶ φθορὰν σύγκρισιν εἶναι καὶ διάκρισιν, ἀλλοίωσιν δὲ τὴν τοῦ συνεχοῦς μεταβολήν. κατὰ πάντα γὰρ τρόπον σφάλλονται οἱ οὕτω διορίζοντες· οὔτε γὰρ πᾶσα συνεχοῦς μεταβολὴ ἀλλοίωσίς ἐστιν, ἀλλ' ἐνδέχεται γένεσιν αὐτὴν εἶναι (καὶ γὰρ ὕδωρ εἰς ἀέρα καὶ μόλιβδος εἰς ψιμύθιον μεταβάλλει συνεχῆ ἀεὶ ὄντα ἄνευ διακρίσεως ἢ συγκρίσεως), οὔτε δὲ διακρίσει καὶ συγκρίσει πάντως ἕπεται γένεσις καὶ φθορά. ἐὰν γὰρ διακρίνῃς μόλιβδον κατακερματίσας εἰς λεπτὰ καὶ πάλιν χωνεύσας συναγάγῃς, οὔτε γένεσιν οὔτε φθορὰν πεποίηκας. τίς οὖν ἡ γένεσις καὶ τίς ἡ ἀλλοίωσις, ἐφεξῆς διδάσκει.

p. 317a23 Ἐν γὰρ τῷ ὑποκειμένῳ τὸ μέν ἐστι κατὰ τὸν λόγον, τὸ δὲ κατὰ τὴν ὕλην.

Ἔστι, φησίν, ἐν ἑκάστῳ τὸ μὲν κατὰ τὸ εἶδος, τὸ δὲ κατὰ τὴν ὕλην. ὅταν οὖν, φησί, κατὰ ταῦτα γένηται ἡ μεταβολή, γένεσις οὐκ ἀλλοίωσις. περὶ ταῦτα δὲ γίνεται ἡ μεταβολή, ὅταν ἡ ὕλη παθοῦσά τι καὶ ἀποβαλοῦσα τὸ πρότερον εἶδος εἰς ἄλλο μεταβάλῃ. ἡ μὲν οὖν κατὰ ταῦτα μεταβολὴ γένεσίς ἐστι καὶ φθορά· εἰ δὲ τούτων μενόντων κατά τι τῶν συμβεβηκότων μεταβάλῃ, ἀλλοίωσις τοῦτο.

p. 317a27 Συγκρινόμενα δὲ καὶ διακρινόμενα εὔθαρτα γίνεται.

Οὐκ ἔστι μέν, φησί, γένεσις τῇ συγκρίσει ταὐτόν, οὐδὲ διάκρισις τῇ φθορᾷ, συμβάλλονται δὲ τῇ γενέσει καὶ τῇ φθορᾷ. καὶ γὰρ διαχυθὲν καὶ διακριθὲν ὕδωρ θᾶττον ἐξαεροῦται, ὡς εἴ τις ἐπὶ τραπέζης καταχέει ὀλίγον ὕδωρ· εὐπαθέστερον γὰρ οὕτως γίνεται. καὶ ὁ ἀὴρ δὲ συγκριθεὶς καὶ πυκνωθεὶς ῥᾳδίως ἐξυδατοῦται.

p. 317a30 Ὅτι ἀδύνατον τὴν γένεσιν εἶναι σύγκρισιν, οἷαν δή τινές φασιν.

Ἀντὶ τοῦ ἐξ ἀτόμων. καὶ ἐν τοῖς ἑξῆς δὲ ἐρεῖ μηδ' ὅλως σύγκρισιν εἶναι τὴν γένεσιν.

1 μὲν om. a καὶ φθορὰν om. Z 3 συνεχὴς R 5 μόλυβδος GTa ψιμύθιον R¹: ψημύθιον GT: ψιμμίθιον (Z)a et corr. R ἀεὶ om. a 6 δὲ om. a καὶ om. GT 7 μόλυβδον GTa 12 Ἔστι] Ἔτι Ra 13 φησί om. Z 14 ὅταν οὖν ἡ ὕλη GTa ἀποβαλοῦσα GRT¹ 15 μὲν οὖν om. a 16 ἐστι om. R μὲν ὄντων R 17 τοῦτο Z: τοιοῦτο R: τὸ τοιοῦτον GT: τὸ τοιοῦτο a 18 Διακρινόμενα δὲ καὶ συγκρινόμενα a Arist. εὔφθαρτα Z: εὔφθραντα T: εὔφραντα G: ἄφθαρτα Ra 19 γένεσις φησὶ Z 20 δὲ om. GT 21 διακριθὲν] διασκορπισθὲν Z 22 ὀλίγον ὕδωρ R: ὀλίγον om. Z: ὕδωρ ὀλίγον GTa οὕτω a 23. 26 ἐξυδατοῦται. τὸ δὲ οἷαν δή τινες φασιν, ἀντὶ τοῦ a 24 σύγκρισιν εἶναι Z; cf. Ar.

p. 317a32 Διωρισμένων δὲ τούτων, πρῶτον θεωρητέον πότερον 10v
ἔστι τὸ γινόμενον ἁπλῶς καὶ φθειρόμενον.

Ἐληλεγμένων τῶν Δημοκρίτου λόγων, δι' ὧν τὸ εἶναι ἄτομα σώματα συνελογίζετο, δεδειγμένου δὲ καὶ ὅτι οὐκ ἀνάγκη συγκρίσει καὶ διακρίσει τὴν γένεσιν καὶ τὴν φθορὰν γίνεσθαι, καὶ ὅτι τούτου ἀνῃρημένου οὐ ταὐτὸν ἔσται ἀλλοίωσις καὶ γένεσις (περὶ τούτων γὰρ ἁπάντων προυβάλετο ζητῆσαι), ἐπὶ τούτοις ἀκολούθως φησὶ χρῆναι ζητῆσαι, εἰ ὅλως ἐστὶν ἡ ἁπλῆ γένεσις, τουτέστι πότερον οἷόν τε οὐσίας γένεσιν εἶναι ἢ οὔ· τὴν γὰρ κυρίως λεγομένην γένεσιν καὶ χωρὶς προσθήκης τινός, ταύτην ἁπλῶς γένεσίν φησιν εἶναι. πότερον οὖν, φησίν, ἔστιν οὐσίας γένεσις, ἢ οὐδὲν γίνεται κατ' οὐσίαν οὐδὲ ἔστιν οὐσίας γένεσις οὐδὲ φθορά, ἀλλὰ μόνον τὰ ταῖς οὐσίαις συμβεβηκότα γίνεται, ἅπερ οὐδὲ λέγεται ἁπλῶς γίνεσθαι ἀλλὰ μετὰ προσθήκης; οὕτω γὰρ καὶ τὸ ἐκ κάμνοντος ὑγιαῖνον γίνεται καὶ τὸ ἐκ μικροῦ μέγα· ἐπὶ τούτων γὰρ ἁπάντων ὑποκειμένῃ τινὶ οὐσίᾳ συμβεβηκότα τινὰ προσγίνεται καὶ ἀπογίνεται. ζητεῖ οὖν, ὅπερ εἶπον τὴν ἀρχήν, μήποτε τῶν συμβεβηκότων μόνων ἐστὶ γένεσις καὶ φθορά, οὐσίας δὲ οὐδαμῶς. τὸν γὰρ βουλόμενον διδάξαι πῶς γίνεται γένεσις καὶ φθορὰ δεῖ πρότερον δεῖξαι εἰ ὅλως ἐστὶ γένεσις· ἠλίθιον γὰρ τοῦ προτέρου ἀγνοουμένου ἐπὶ τὴν τοῦ δευτέρου διδασκαλίαν χωρεῖν, ὥσπερ ἂν εἴ τις ἀθάνατον ἡμῶν τὸ σῶμα κατασκευάζειν ἐπηγγέλλετο μὴ πρότερον δείξας εἰ ὅλως ἐστὶν ἀθανασίας δεκτικόν. οὕτως οὖν κἀνταῦθα πρὶν διδάξει πῶς ἡ τῶν οὐσιῶν γένεσις καὶ φθορὰ γίνεται, ἀπορεῖ πρότερον εἰ ὅλως ἐστὶν οὐσίας γένεσις. βουλόμενος δὲ ἡμᾶς ἐνστατικωτέρους ποιεῖν καὶ μὴ ὡς ἔτυχεν ἀβασανίστως δέχεσθαι τὰ λεγόμενα, πειρᾶται πρῶτον ἀναιρεῖν τὴν γένεσιν διά τινων πιθανῶν λόγων ὡς οὐκ ἔστι δεικνύναι πειρώμενος, εἶτα τὴν ἀπορίαν ἐπιλυσάμενος ἐξ αὐτῆς τῆς λύσεως εἰς ἑτέραν περὶ τῆς γενέσεως ἐμπίπτει ἀπορίαν, εἶτα τρίτην προσθεὶς ἀπορίαν καὶ ζητήσας πόθεν οὐκ ἐπιλείπει ἡ γένεσις ἐκ τῆς λύσεως τῆς τρίτης ἀπορίας καὶ τὴν δευτέραν ἐπιλύεται. ζητεῖ οὖν ἐξ ἀρχῆς εἰ ὅλως ἐστὶν οὐσίας γένεσις· ἔχει γὰρ ἀπορίαν. εἰ γὰρ ἐστὶ τοῦ ἁπλῶς ὄντος γένεσις, ἐπειδὴ πᾶν τὸ γινόμενον ἐξ οὗ τοιοῦδε γίνεται, ἡ τῆς οὐσίας ἄρα γένεσις (τοῦτο γάρ ἐστιν ἡ ἁπλῶς γένεσις) ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ἔσται. τοῦ δὲ ἁπλῶς δύο σημαίνοντος, ἢ τὸ πρῶτον καθ' ἑκάστην κατηγορίαν, τουτέστι τὸ καθόλου καὶ

---

1. 2 πότερον — φθειρόμενον om. a 2 τὸ] τι Aristot. (praeter cod. L); om. infra p. 45, 23 3 ἐκλεγμένων G: ἐξελεγχομένων T σώματα ἄτομα Z 4 ὅτι om. a συγκρίσει καὶ διακρίσει οὐκ ἀνάγκη Z 6 προυβάλλετο GTa 7 χρῆναι φησὶ Z 8 πρότερον GR¹T οὔ] ὄν a 10 φασὶν (priore loco) T εἶναι φησὶν et οὖν ἔστι φησὶν Z 10. 11 ἢ — γένεσις om. add. mrg. T² 11 γίνεται mrg. Z, qui ἐστι in textu 15 τινὰ] τινὶ GT 16 ante οὐσίας scripserat R δεῖ προ^τρ' δεῖξαι εἰ — ἀγνοουμένου (18. 19), sed male iterata statim delevit 20 ἐπηγγέλετο T 21 διδάξῃ corr. T: διδάξαι a 24 πρότερον Z

κοινὸν γένος ἑκάστης κατηγορίας, ἢ τὸ κοινὸν κατὰ πασῶν τῶν κατηγοριῶν, 10v
ἐπειδὰν λέγωμεν τὸ ἁπλῶς γινόμενον, τουτέστι τὴν οὐσίαν, ἐκ τοῦ ἁπλῶς 50
μὴ ὄντος γίνεσθαι, ἤτοι τὸ ἐκ μὴ οὐσίας σημαίνομεν, τουτέστιν ἔκ τινος
μὴ ἀναγομένου ὑπὸ τὸ γένος τὴν οὐσίαν, ἢ τὸ ἐκ μηδαμῇ μηδαμῶς ὄντος.
5 εἰ μὲν οὖν ἐκ μὴ οὐσίας λέγοι τις τὰ ἁπλῶς γινόμενα γίνεσθαι, δῆλον
ὡς εἴπερ οὐκ ἔστιν οὐσία, οὐδὲ ποιὸν ἔσται οὐδὲ ποσὸν οὐδὲ τῶν ἄλλων
τις κατηγοριῶν οὐδεμία· οὐδὲ γὰρ δύναται τῶν ἄλλων τις ἐκτὸς τῆς οὐσίας
ὑποστῆναι· οὐδὲν ἄρα ἔσται ἐξ οὗ ἡ τῆς οὐσίας γένεσις. εἰ δὲ ἁπλῶς μὴ
ὂν λέγοις τὸ κατὰ κοινοῦ πασῶν τῶν κατηγοριῶν ἀποφασκόμενον, ἐξ οὗ
10 ἡ τῆς οὐσίας ὑπάρχει γένεσις, ἔσται πάλιν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος
ἡ τῆς οὐ|σίας γένεσις. ὥστε καθ' ἑκάτερον τῶν σημαινομένων τοῦ ἁπλῶς 11r
μὴ ὄντος τὸ αὐτὸ ἕψεται ἄτοπον. ἀλλὰ τὸ μηδαμῇ μηδαμῶς ὂν οὔτε
ῥητόν ἐστιν οὔτε δοξαστόν, ὡς Πλάτων ἐν τῷ Σοφιστῇ φησιν· εἴτε γὰρ
ῥητὸν εἴη εἴτε δοξαστὸν εἴτε ἐν φαντασίᾳ ὑφεστήκοι μόνῃ, ὡς ἡ Σκύλλα
15 φέρε καὶ ὁ τραγέλαφος, οὐκ ἂν εἴη μηδαμῶς ὄν· ἐστὶ γὰρ ῥητὸν ἢ φαν-
ταστὸν ἢ δοξαστόν. ἐκ τοῦ οὖν οὕτως μὴ ὄντος πῶς ἄν τι γένοιτο; ἔνθεν 5
καὶ κοινὴ τῶν φυσικῶν γέγονε δόξα, τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς
ὄντος γίνεσθαι. οὕτως ἀπορήσας ἐπιλύεται λέγων ὅτι τὸ ἐξ οὗ τὸ ἁπλῶς
γινόμενον γίνεται, πῇ μὲν ἁπλῶς μὴ ὄν ἐστι πῇ δὲ ἁπλῶς ὄν, αἰνιττό-
20 μενος τὴν ὕλην· αὕτη γὰρ πῇ μὲν ἁπλῶς μὴ ὄν ἐστι πῇ δὲ ἁπλῶς ὄν.
ἡ μὲν γὰρ ἐνεργείᾳ οὐδέν ἐστιν, ἁπλῶς μὴ ὄν· ἡ δὲ δυνάμει πάντα ἡ
ὕλη ἐστίν, ἁπλῶς ὂν ἂν εἴη. καὶ οὕτως ἡ γένεσις ἐξ ὄντος. ὅταν δὲ
λέγω ἐνεργείᾳ ὄν, τὸ ἐν ὑπάρξει ἀκουστέον, ἐπεὶ καὶ ἡ ὕλη δυνάμει τἆλλα
οὖσα ἐνεργείᾳ ἐστὶν ὕλη· εἰ γὰρ καὶ ὕλη δυνάμει ἐστίν, οὐκέτ' ἂν εἴη 10
25 ὕλη. οὕτως ἐπιλύσας ταύτην τὴν ἀπορίαν, ἐκ τῆς λύσεως γεννᾷ ἀπορίαν
ἑτέραν. ἐπειδή γάρ, φησί, τὴν τῆς οὐσίας γένεσιν ἔφαμεν ἐκ δυνάμει μὲν
οὐσίας ἐνεργείᾳ δὲ μὴ οὐσίας εἶναι, ζητητέον τὸ δυνάμει οὐσία τοῦτο
ἆρα μετέχει ἐνεργείᾳ τινὸς τῶν ἄλλων κατηγοριῶν ἢ οὐδενός. εἰ μὲν οὖν
μετέχει, ἔσται χωριστὰ τὰ πάθη, τουτέστι δυνάμενα ὑποστῆναι κατ' ἐνέρ-
30 γειαν ἐκτὸς τῆς κατ' ἐνέργειαν οὐσίας· εἰ δὲ μηδενὸς μετέχει, ἔσται τι
ὑφεστὼς ὃ μηδὲν ὑπάρχει κατ' ἐνέργειαν, τουτέστιν ἔσται ἡ ὕλη ἡ ἀνεί- 15
δεος αὐτὴ καθ' αὑτὴν ὑφεστηκυῖα, ὅπερ ἄτοπον. οὕτως ζητήσας καὶ εἰς
ἀπορίαν ἀγαγὼν τὸν λόγον, πρὶν τὴν λύσιν εἰπεῖν συνάπτει ἑτέραν ἀπο-
ρίαν, ὅπερ πολλάκις εἴωθε ποιεῖν, καὶ διὰ τῆς λύσεως τῆς δευτέρας ἀπο-

1 ἑκάστης F: ἐκ τῆς cett. καὶ κατὰ GT 2 τῆς οὐσίας R 3 μὴ οὐσίαν a σημαινόμενον R 4 τῆς οὐσίας a τὸ ἐκ μηδαμῇ Za: ἐκ τὸ (τοῦ corr. T) μηδαμῇ GT: τὸ μὴ ἐκδαμῇ R 5 λέγομεν τὰ Z 8 ἔσται om. R 11 ὥστε καὶ καθ' a 13 Σοφιστῇ p. 260 C sqq. 14 ὑφεστήκοι Z: ὑφειστήκει R: ὑφεστήκει GTa σκύλα T 15 ἔσται γὰρ a 16 οὕτω a ὅθεν GT 18 prius τὸ om. (Z)a ἐξ] δι' R¹ 20 μὲν ἁπλῶς ὄν ἐστι, πῇ δὲ ἁπλῶς μὴ ὄν a 23 τὸ ἐνυπάρξει libri post ἡ ὕλη delet οὕτως ἐπιλύσας R 25. 26 ἑτέραν ἀπορίαν Z 27 τῶ GRT 28 ἢ οὐδεμιᾶς a 29 μετέχει R¹a: μετέχοι GTZ et corr. R χωρὶς GTa 31 ὑφεστὸς GT alterum ἡ om. GT¹a 32 οὕτω Za

ρίας ἐπιλύεται καὶ τὴν προτέραν. ἔστι δὲ ἡ δευτέρα ἀπορία τοιαύτη τις. 11r
πόθεν οὐδέποτε ἐπιλείπει ἡ γένεσις; εἰ γάρ, φησί, τὸ φθειρόμενον εἰς τὸ
μὴ ὂν χωρεῖ, πῶς ποτε οὐ πάλαι καταδεδαπανημένων τῶν ὄντων ἀπο-
λέλοιπεν ἡ γένεσις; δέδεικται γὰρ ἐν τῇ Φυσικῇ ὡς πάντα τὰ σώματα 20
5 καὶ ἀριθμῷ καὶ μεγέθει πεπερασμένα ἐστίν. εἰ οὖν τὸ φθειρόμενον εἰς
τὸ πάντῃ μὴ ὂν χωρεῖ, δεῖ τῷ ἀπείρῳ χρόνῳ τὸ πᾶν ἐπιλείπειν. τίς
οὖν ἡ τοῦ εἱρμοῦ αἰτία; αἰτίαν δὲ ζητεῖ τὴν ὡς ὕλην, τίς ἡ ὕλη τῶν
γινομένων δι' ἣν οὐδέποτε ἐκλείπει ἡ γένεσις. ἢ ὅτι, φησί, τὸ φθειρό-
μενον οὐκ εἰς τὸ μηδαμῇ μηδαμῶς ὂν χωρεῖ, ἀλλ' ἡ τοῦδε φθορὰ ἄλλου
10 ἐστὶ γένεσις; ἐντεῦθεν δὲ καὶ τῆς προτέρας ἔχεις τὴν λύσιν. εἰ γὰρ ἡ
ἄλλου γένεσις ἄλλου ἐστὶ φθορὰ καὶ ἡ ἄλλου φθορὰ ἄλλου γένεσις, πρό- 25
δηλον ὡς οὐκ ἀναγκαζόμεθα ἐνεργείᾳ, τουτέστιν ὑφεστηκυῖαν, τὴν ὕλην
ὑποτίθεσθαι χωρὶς παντὸς εἴδους. ἀεὶ γὰρ προκατειλημμένη εἴδει τινὶ
ἀποβάλλει μὲν τὸ πρότερον εἶδος μεταβάλλει δὲ εἰς ἕτερον, καὶ γίνεται
15 φθορὰ μὲν τοῦ προτέρου γένεσις δὲ τοῦ ἐπιγενομένου, ὥστε τὸ μὲν
ὑφεστὼς καὶ ἐν ὑπάρξει ὂν εἰδοποιημένον ἐστὶ καὶ σύνθετον ἐξ ὕλης
καὶ εἴδους, ἡ δὲ μεταβολὴ οὐ περὶ τὸ συναμφότερον· οὐ γὰρ τὸ ἐξ ὕλης
καὶ εἴδους ὑπόκειται τῇ γενέσει καὶ φθορᾷ, ἀλλ' ἡ ὕλη μόνη ἡ ἀνείδεος. 30
διὸ εὐλόγως τὴν τῆς οὐσίας γένεσιν ἐκ τῆς ὕλης τῆς δυνάμει οὐσίας
20 λέγομεν εἶναι καὶ τὸ ἁπλῶς γινόμενον ἐκ τοῦ ἁπλῶς μὴ ὄντος· ὡς ἐξ
ὑποκειμένου γὰρ τῆς ὕλης ἡ τῆς οὐσίας γένεσις. τούτων οὕτως προτεθεωρη-
μένων ἐπεξέλθωμεν τῇ λέξει.

Πότερον ἔστι γινόμενον ἁπλῶς καὶ φθειρόμενον, ἢ κυρίως
μὲν οὐδέν, ἀεὶ δ' ἔκ τινος καὶ τί. εἴρηται καὶ πρότερον ὅτι ἁπλῶς 36
25 μὲν γινόμενον λέγει τὸ κατ' οὐσίαν (τὸ γὰρ κατ' οὐσίαν γινόμενον ἄνευ
προσθήκης ἁπλῶς φαμεν γεγενῆσθαι· γέγονε γὰρ ἄνθρωπος, καὶ γέγονεν
ἵππος), τὶ δὲ γινόμενον κατὰ συμβεβηκός· οὐ γὰρ ἄνευ προσθήκης προ-
φερόμεθα τὴν τῶν συμβεβηκότων γένεσιν. ὅταν γὰρ εἰ τύχοι ὁ ἄνθρωπος
μεταβάλλῃ κατὰ χρῶμα, οὔ φαμεν τὸν ἄνθρωπον γεγονέναι, διότι τὸ γεγο-
30 νέναι ἁπλῶς καὶ ἄνευ προσθήκης τὴν κατ' οὐσίαν μεταβολὴν σημαίνει, 10
ἀλλά φαμεν αὐτὸν γεγονέναι τὶ ἢ λευκὸν φέρε ἢ μέλαν. ἡ γὰρ προσθήκη
τὴν διαφορὰν ἐνδείκνυται, οἷον ὁ ἄνθρωπος γέγονε λευκός, ὁ Σωκράτης
γέγονε μουσικός. ἐνδεικνύμενος δὲ τί αὐτῷ σημαίνει τὸ ἔκ τινος καὶ τί,
ἐπιφέρει τὸ ἐκ κάμνοντος ὑγιαῖνον καὶ κάμνον ἐξ ὑγιαίνοντος.
35 ὥστε εἰ καὶ τὸ ἔκ τινος καὶ τὶ τὴν κατὰ συμβεβηκὸς δηλοῖ γένεσιν,

---

1 τις om. Z 4 Φυσικῇ] Γ 5 sqq. 7 εἱρμοῦ G 8 ἢ] ἢ libri ὅτι] οὖν R 10. 11 ἐντεῦθεν — ἡ ἄλλου γένεσις om. add. mrg. T² 10 γὰρ καὶ ἡ a 12 ὡς om. T τουτέτι a 16 ὑφεστὸς GT ἐνυπάρξει libri 17. 18 ἡ δὲ — φθορᾷ RZ: ὑπόκειται τῇ γενέσει καὶ φθορᾷ ceteris omissis GT: ὅπερ οὐχ ὑπόκειται τῇ γενέσει καὶ φθορᾷ. ἡ γὰρ μεταβολὴ οὐ περὶ τὸ συναμφότερον a 19 τὴν τῆς] καὶ τὴν T 21 ἡ om. R οὕτω a 22 ἐπεξέλθομεν (G)a 23 ἐστί τι a Arist.; cf. supra p. 43,2 γενόμενον GT 24 καὶ τί Ra Arist.: τί GTZ 27. 28 προσφερόμεθα GT 28 τύχη Z 29 μεταβάλλει R¹Z 31 μέλανα a

πρόδηλον ὡς τὸ ἁπλῶς γινόμενον τὸ κατ' οὐσίαν σημαίνει· ἡ γὰρ κατὰ 11r
συμβηκὸς γένεσις τῆς κατ' οὐσίαν ἀντίκειται. 45

p. 317b1 Εἰ γὰρ ἁπλῶς ἔσται γένεσις, ἁπλῶς ἄν τι γίνοιτο
ἐκ μὴ ὄντος. ὥστ' ἀληθὲς ἂν εἴη λέγειν ὡς ὅτι ὑπάρχει τισὶ
5 τὸ μὴ ὄν.

Τὴν ἀπορίαν ἐκτίθεται, δι' ἣν ἄν τις εὐλόγως ὑποπτεύσειε μὴ εἶναι
τὴν ἁπλῶς γένεσιν. ἡ δὲ κατασκευὴ τῆς ἀπορίας τοιαύτη τις. εἰ τὸ 50
γινόμενον ἔκ τινος γίνεται, ἔκ τινος δὲ οὐ τοιούτου (πᾶν γὰρ τὸ γινόμενον
ἐξ οὐ τοιοῦδε γίνεται, τὸ λευκὸν ἐξ οὐ λευκοῦ καὶ τὸ θερμὸν ἐξ οὐ θερ-
10 μοῦ), καὶ ἁπλῶς εἰπεῖν εἰ ἕκαστον ἐκ τῆς ἰδίας ἀποφάσεως γίνεται, δῆλον
ὅτι καὶ τὸ ἁπλῶς γινόμενον ἐκ τῆς ἰδίας ἀποφάσεως γίνεται, τουτέστιν ἐκ
τοῦ ἁπλῶς μὴ ὄντος. εἰ δὲ τοῦτο, ἔστιν ἄρα τὸ ἁπλῶς μὴ ὂν καὶ ὑφέστηκε·
τοῦτο γὰρ δηλοῖ τὸ ὑπάρχει τισὶ τὸ μὴ ὄν. τουτέστιν ὑπάρχει τισὶ τὸ
ἁπλῶς μὴ ὄν, ὡς εἴ τις λέγοι 'ὑπάρχει ἀνθρώπῳ τὸ μὴ ζῴῳ εἶναι'. |

15 p. 317b5 Τὸ δ' ἁπλῶς ἤτοι τὸ πρῶτον σημαίνει καθ' ἑκάστην 11v
κατηγορίαν τοῦ ὄντος, ἢ τὸ καθόλου.

Τὸ ἁπλῶς μὴ ὄν, φησίν, ἐπὶ ἑκάστης κατηγορίας καὶ τὸ ἐκ τοῦ 6
ἁπλῶς μὴ ὄντος γινόμενον, ἤτοι ἁπλῶς λέγεται μὴ εἶναι τῷ μὴ ἐξ
ἐκείνης τῆς κατηγορίας τυγχάνειν ὑφ' ἣν τὸ γινόμενον τάσσεται, οἷον ἐν
20 ποιότητι ἁπλῶς μὴ ὄν ἐστι τὸ ὑπὸ τὴν ποιότητα μὴ ἀναγόμενον· τὸ γὰρ
πρῶτον καθ' ἑκάστην κατηγορίαν δηλωτικόν ἐστι τοῦ ἀνωτάτω γένους.
πρῶτον γάρ ἐστι καθ' ἑκάστην κατηγορίαν τὸ γενικώτατον· τοῦ μὲν γὰρ 10
λευκοῦ τὸ χρῶμα, τοῦ δὲ χρώματος τὸ πάθος, τούτου δὲ τὸ ποιόν, ὃ
πρῶτόν ἐστιν ἐν ταύτῃ τῇ κατηγορίᾳ. τὸ τοίνυν ἁπλῶς μὴ ὂν ἐν ποιό-
25 τητι τὸ μὴ ποιόν, καὶ τὸ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γινόμενον ἐκεῖνό ἐστιν
ὅπερ ἐκ τοῦ ποιοῦ οὐ γίνεται· οὐ γὰρ τὸ ἐκ μὴ λευκοῦ γινόμενον λευκὸν
ἐξ ἁπλῶς μὴ ὄντος (οὐ γὰρ πρῶτον τὸ λευκὸν ἐν ποιότητι), ἀλλ' ἔκ τινος
μὴ ὄντος· πάντα γὰρ τὰ ὑπὸ τὸ πρῶτον τινά. τοῦτο μὲν οὖν τὸ ἓν
σημαινόμενον τοῦ ἁπλῶς, ὅπερ ἐδήλωσε διὰ τοῦ πρώτου καθ' ἑκάστην
30 κατηγορίαν. ἕτερον δὲ σημαινόμενον τὸ πάντῃ μὴ ὂν καὶ ἀπόφασις 15
ὂν καθόλου τῶν ὄντων, ὅπερ ἐδήλωσεν εἰπὼν τὸ καθόλου. ταῦτα
τοίνυν τὰ δύο σημαινόμενα καὶ κατὰ τὴν οὐσίαν θεωρηθήσεται. τὸ γὰρ
ἁπλῶς μὴ ὂν ἐν οὐσίᾳ ἢ τὸ μὴ ἀναγόμενον ὑπὸ τὴν οὐσίαν ἢ τὸ μηδα-
μῶς ὂν καὶ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γινόμενον ἢ τὸ ἐκ μὴ οὐσίας (οὐ

---

2 τῆς GR: τῇ* T: τῇ (Z)a 3 ἂν γίνοιτο a et Arist. vulg. 4 ὥστε R
ὡς om. a; cf. Index s. v. ὅτι ὑπάρχειν GT[1] 7 τις om. Z 10 εἰ om. Z
14 λέγει Z μὴ ζῴῳ] μείζω Z 18 τῷ] τὸ GT 24. 25 μὴ ὂν—ἁπλῶς bis
GT 26 τὸ μὴ ἐκ λευκοῦ R 28 τοῦτον R 29 immo πρῶτον 33 ἐναγό-
μενον GT[1] 34 ἐκ μὴ] μὴ ἐξ R οὐσίας ἐστίν a

γὰρ εἰ ἄνθρωπος ἐκ μὴ ἀνθρώπου, ἤδη ἐκ τοῦ ἁπλῶς μὴ ὄντος· οὐ γὰρ 11v
τὸ πρῶτον ἐν τῇ οὐσίᾳ ὁ ἄνθρωπος) ἤγουν τὸ ἐκ τοῦ μηδαμῇ μηδαμῶς
ὄντος. δείκνυσι δὲ ὅτι καθ' ἑκάτερον τῶν σημαινομένων ἄτοπον ἕψεται 20
τῷ τὸ ἁπλῶς καὶ κατ' οὐσίαν γινόμενον ἐκ τοῦ ἁπλῶς μὴ ὄντος φάσκειν
5 γίνεσθαι. εἰ μὲν γάρ, φησί, τὸ ἁπλῶς τὸ πρῶτον γένος σημαίνει, εἴη ἂν
ἡ τῆς οὐσίας γένεσις ἐκ μὴ οὐσίας· ὃ δὲ μὴ ἔστιν οὐσία, οὐδὲ τῶν
ἄλλων τίς ἐστι κατηγοριῶν, διότι ἐν οὐσίᾳ τὰ ἄλλα ἔχουσι τὴν ὕπαρξιν·
ὃ δὲ μηδὲ οὐσία ἐστὶ μηδὲ τῶν ἄλλων τι, οὐδὲν ἔσται πάντῃ· ἡ ἄρα
τῆς οὐσίας γένεσις ἐκ τοῦ πάντῃ μηδαμῶς ὄντος ἔσται, ὅπερ ἄτοπον. τὸ
10 αὐτὸ δὲ ἀκολουθήσει ἄτοπον, κἂν εἰ τὸ ἁπλῶς τὴν ἀπόφασιν τῶν ὄντων 25
σημαίνει· ἔσται γὰρ πάλιν ἡ τῆς οὐσίας γένεσις ἐκ τοῦ πάντῃ μὴ ὄντος.
ἐκεῖνο μόνον ἐπισημαίνεσθαι χρή, ὅτι ἐξ ἀρχῆς λαβὼν τὸ σημαινόμενον
τοῦ ἁπλῶς τὸ δηλοῦν τὸ κυρίως (ὅταν γὰρ φημι τὸ κατ' οὐσίαν γινόμενον
ἁπλῶς γίνεσθαι, τούτῳ κέχρημαι τῷ σημαινομένῳ, καὶ αὐτὸς δὲ ἐδήλωσε
15 τοῦτο διὰ τῆς ἀντιθέσεως· τῷ γὰρ 'ἁπλῶς' τὸ 'μὴ κυρίως' ἀντέθηκεν),
εἶτα εἰπὼν ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γίνεσθαι τὸ ἁπλῶς ὄν, οὐκέτι τὸ
ἁπλῶς μὴ ὂν θεωρεῖ κατὰ τὸ πρῶτον σημαινόμενον, τὸ δηλοῦν τὸ κυρίως 30
μὴ ὄν, ἡνίκα λέγει τὸ δὲ ἁπλῶς ἤτοι τὸ πρῶτον σημαίνει καθ' ἑκάστην κατηγορίαν καὶ τὰ ἑξῆς. ἔοικε γὰρ ἐνταῦθα τὸ ἁπλῶς εἰς
20 τὸ καθόλου μεταλαβεῖν· ὅλως γὰρ τὸ κυρίως ὂν οὐ καθ' ἑκάστην κατηγορίαν θεωρεῖται ἀλλὰ μόνον κατὰ τὴν οὐσίαν, καὶ τὸ μὴ κυρίως ὂν οὐχ ἑκάστης κατηγορίας δηλοῖ ἀπόφασιν ἀλλὰ μόνης τῆς οὐσίας. ἀλλ' εἰ καὶ τὸ κυρίως μὴ ὂν μετέλαβεν εἰς τὸ ἁπλῶς μὴ ὄν, οὐδὲν ἐκ τούτου ἡ ἀπορία σαλεύεται. κἂν γὰρ τὸ κυρίως μὴ ὂν λάβωμεν, ἐξ οὗ τὴν τῆς
25 οὐσίας γένεσίν φαμεν εἶναι, ἀνάγκη πάλιν τοῦτο τὸ κυρίως μὴ ὂν ἢ ὡς 35
ἀπόφασιν τῆς οὐσίας μόνης λαβεῖν ἢ ὡς πάντων κοινῶς ἀπόφασιν τῶν ὄντων· καὶ οὕτω πάλιν δι' ἑκατέρου τὸ αὐτὸ συνάγεται, τὸ μηδαμῶς ὂν εἶναι ἐξ οὗ ἡ τῆς οὐσίας ὑφίσταται γένεσις.

p. 317b13 Περὶ μὲν οὖν τούτων ἐν ἄλλοις τε διηπόρηται καὶ
30 διώρισται τοῖς λόγοις.

Περὶ τοῦ πόθεν τῆς οὐσίας ἡ γένεσις καὶ πῶς ἐκ τοῦ μὴ ὄντος 41
ἁπλῶς ἡ ἁπλῶς γένεσις. ταύτης οὖν τῆς ἀπορίας τὴν λύσιν φησὶν ἐν

---

1 εἰ ὁ ἄνθρωπος R ἤδη καὶ ἐκ a 3 ἔπεται R 5 σημαίνει γένος a
6 ὅ] εἰ a 7 τίς ἔσται a 8 εἰ δὲ μὴ ἔστιν οὐσία μὴ δὲ τῶν ἄλλων τὶ a
11 σημ. R: σημαίνῃ Z et post ras. T 12 μόνον] μέντοι a 13 γὰρ φημὶ GRTZ: γὰρ λέγῃ a 14 κέχρηται (G)a αὐτὸ R 15 τῷ] τὸ GT¹ ἀντέθεικεν R¹a 17 θεωρεῖ τὸ κατὰ τὸ GT 19. 20 καὶ τὰ ἑξῆς — κατηγορίαν om. R
23 καὶ RZ: om. GTa 25 φαμὲν μὴ εἶναι Z 31 ἡ] ὑφίσταται (ex v. 28) R¹
32. p. 48,1 ἡ ἁπλῶς γένεσις, παραιτεῖται νῦν εἰπεῖν, εἰρῆσθαι γάρ φησιν αὐτῷ ἐν ἄλλοις τῆς δὲ τῆς ἀπορίας τὴν λύσιν. εἴρηται δὲ a

ἄλλοις αὐτῷ εἰρῆσθαι, εἴρηται δὲ ἐν τῷ πρώτῳ τῆς Φυσικῆς ἀκροάσεως. 11r
ἐκεῖ γὰρ ζητῶν πόθεν ἡ γένεσις, φησὶν ὅτι ᾗ μὲν ἡ στέρησις περὶ τὴν
ὕλην θεωρεῖται, ταύτῃ ἐκ τοῦ μὴ ὄντος· ᾗ δὲ ἡ ὕλη ἐστί τι (ἐστὶ δὲ
δυνάμει τὸ γινόμενον), ἐξ ὄντος· ὡς μὲν γὰρ ἐξ ὑπομένοντος τῆς ὕλης, 45
5 ὡς δὲ οὐκ ἐξ ὑπομένοντος τῆς στερήσεως. σύμφωνα δὲ καὶ νῦν τοῖς
ἐκεῖσε λελεγμένοις ἀποφαίνεται. τρόπον γάρ τινα, φησίν, ἐκ μὴ ὄντος
ἁπλῶς (ἡ γὰρ ὕλη, ἐξ ἧς ἡ ἁπλῆ γένεσις, μηδὲν οὖσα ἐνεργείᾳ καὶ τὴν
στέρησιν ἔχουσα ἐν ἑαυτῇ θεωρουμένην, ἁπλῶς μὴ ὂν δόξαι ἂν εἶναι),
τρόπον δὲ ἄλλον ἐξ ὄντος, τῷ ἐκ δυνάμει ὄντος· ἡ γὰρ ὕλη τοιαύτη.
10 ἰστέον δέ, ὅπερ καὶ πρότερον εἴρηται, ὅτι ἐνεργείᾳ ὄντα νῦν φαμεν τὰ ἐν
ὑπάρξει ὄντα, ἐπεὶ καὶ ἡ ὕλη, δυνάμει τἆλλα οὖσα ὅσα ὕπαρξιν ἔχει καὶ
αὐθυπόστατά ἐστιν, ἐνεργείᾳ ἐστὶν ὕλη· εἰ γὰρ δυνάμει φῇς αὐτὴν ὕλην 50
εἶναι, οὐκέτ' ἂν εἴη ὕλη. ἐκεῖνο δὲ θεωρητέον, ὅπως διὰ τῆς λύσεως
καὶ τὴν ἁπλῆν γένεσιν ἔσωσεν καὶ ἔφυγε τὸ πάντῃ μὴ ὂν εἶναι λέγειν·
15 ἐκ γὰρ τοῦ πάντῃ μὴ ὄντος ἐνεργείᾳ εἶπε τὴν τοιαύτην γένεσιν εἶναι, οὐχ
ἁπλῶς ἐκ τοῦ πάντῃ μὴ ὄντος.

p. 317b18 Ὁ δὲ καὶ τούτων διωρισμένων θαυμαστὴν ἔχει τὴν ἀπορίαν. |

Λύσας τὴν προτέραν ἀπορίαν καὶ εἰπὼν πῶς τὰ ἁπλῶς γινόμενα 12r
20 γίνεται, ὅτι ἐκ τοῦ δυνάμει μὲν ὄντος ἐνεργείᾳ δὲ μὴ ὄντος, φησὶν ἐκ τῆς 10
λύσεως ἑτέραν ἰσχυροτέραν ἀπαντᾶν ἀπορίαν. τούτῳ γὰρ τῷ δυνάμει, ἐξ
οὗ γίνεται τὸ γινόμενον, πότερον ὑπάρξει τι τῶν ἄλλων κατηγοριῶν ἐνεργείᾳ, οἷον τὸ ποσὸν ἢ τὸ ποιὸν ἢ τῶν ἄλλων τις, ἢ οὐδὲν κατ' ἐνέργειαν
ὑπάρξει τούτῳ τῷ δυνάμει οὐσίᾳ ὄντι; εἰ μὲν γὰρ μηδὲν αὐτῷ ὑπάρξει,
25 ἔσται τὸ μηδὲν ὂν κατ' ἐνέργειαν, ὅπερ ἐκάλεσε τὸ μὴ οὕτως ὄν,
τουτέστι κατ' ἐνέργειαν χωριστὸν καὶ ὑφεστώς, ὅπερ ἄτοπον. ὡς ἄτοπον
γὰρ συνάγει τὸ λέγειν τὸ μὴ οὕτως ὄν, τουτέστι καὶ κατ' ἐνέργειαν 15
μηδὲν ὂν χωριστὸν καὶ ὑφεστηκός. εἰ δέ τις τοῦτο φεύγων λέγοι μὴ
ὑπάρχειν τοῦτο μηδὲ ὑφεστάναι, εἰς ἀτοπώτερον ἐκπεσεῖται ἐκ μηδενὸς
30 προϋπάρχοντος φάσκων γίνεσθαι τὸ γινόμενον· τοῦτο γάρ, φησί, κοινῇ
πάντες οἱ φιλοσοφήσαντες εὐλαβήθησαν, τὸ ἐκ μηδενὸς προϋπάρχοντος
φάσκειν γίνεσθαι τὰ γινόμενα. ταῦτα μὲν οὖν ἕψεται, ἐὰν τῷ δυνάμει

1 δὲ om. T¹ Φυσικῆς ἀκροάσεως A 8 (cf. Philop. Phys. p. 170,22 sqq.) 2 ἡ γένεσις—μὲν ἡ bis R 4. 5 τῆς ὕλης—ὑπομένοντος om. add. mrg. T² 5 τῆς bis R 6 ἐκεῖ a λελεγμένοις RZ: λεγομένοις GTa 7 ἡ alterum om. GT 9 τῷ ἐκ] ἐκ τοῦ? an mox ὄντος ⟨εἶναι⟩? 10 δέ] δὲ ὅτι a 10. 11 ἐν ὑπάρξει R: ἐνυπάρξει cett. 12 ἐστὶν ἡ ὕλη GT φῇς G: φαίης a 17. 18 ἔχει θαυμαστὴν ἀπορίαν a Aristot. 19 ἀπορίαν om. R 20 μὲν om. a 21 ἑτέρως ἀνισχυροτέραν G 23 οὐδὲ libri 24 τῷ om. T¹ 28 ὑφεστὼς TZ λέγει TZ 28. 29 τοῦτο μὴ ὑπάρχειν Z 29 εἰς in ras. T: ὡς G 30 γίνεσθαι καὶ τὸ R

ὄντι καὶ δυνάμει οὐσίᾳ μηδὲν ὑπάρξῃ τῶν ἄλλων κατ' ἐνέργειαν· εἰ δὲ 12r
ὑπάρξει τι τῇ δυνάμει οὐσίᾳ τῶν ἄλλων κατ' ἐνέργειαν, συμβήσεται τὰ 20
πάθη χωριστὰ εἶναι τῆς οὐσίας, εἴπερ μὴ ὄντος τοῦ ὑποκειμένου ἐνεργείᾳ
οὐσίας ταῦτα ἔσται ἐνεργείᾳ, ὅπερ οὐ δυνατόν· πάθη γὰρ ταῦτα τῆς ἐνερ-
5 γείᾳ οὐσίας, τὸ δὲ πάθος χωριστὸν εἶναι οὗ πάθος ἐστὶν ἀδύνατον.

p. 317b27 Τὸ δυνάμει μόνον τόδε καὶ ὄν.

Τὸ τόδε παρὰ τῷ Ἀριστοτέλει τὴν οὐσίαν σημαίνει.

p. 317b33 Περί τε τούτων οὖν ὅσον ἐνδέχεται πραγματευτέον, καὶ τίς αἰτία τοῦ γένεσιν ἀεὶ εἶναι, καὶ τὴν ἁπλῆν καὶ τὴν
10 κατὰ μέρος.

Περὶ τῶν κινηθέντων ἀπόρων, φησί, ζητητέον πῶς ἂν λυθείη, εἶτα 25
δὲ καὶ ἑτέραν συνάπτει ἀπορίαν λέγων χρῆναι ἐπισκέψασθαι πῶς ποτε
οὐδέποτε ἐπιλείπει ἡ γένεσις, ἀλλ' ἀεὶ ἔστι καὶ ἡ ἁπλῶς καὶ ἡ κατὰ
μέρος. ἁπλῶς δὲ καὶ κατὰ μέρος ἢ τὴν τῶν οὐσιῶν καὶ τὴν τῶν συμ-
15 βεβηκότων φησίν, ἁπλῶς μὲν τὴν τῶν οὐσιῶν κατὰ μέρος δὲ τὴν τῶν
συμβεβηκότων, ἤ, ὅπερ καὶ ἀληθέστερον, καὶ τὴν ἁπλῶς καὶ τὴν κατὰ
μέρος ἐπὶ τῆς οὐσίας τάττει. καὶ τὰς διαφορὰς αὐτῶν ὀλίγον ὕστερον ἐκ-
θήσεται, ἁπλῆν μὲν γένεσιν λέγων τὴν τῆς κυριωτέρας οὐσίας, κατὰ 30
μέρος δὲ τὴν τῆς ἀντικειμένης ταύτῃ. τίς δὲ τούτων ἑκατέρα δείξει
20 προϊών.

p. 318a1 Οὔσης δ' αἰτίας μιᾶς μὲν ὅθεν τὴν ἀρχὴν εἶναί φαμεν τῆς κινήσεως, μιᾶς δὲ τῆς ὕλης.

Ἡ μὲν ζήτησις τίς αἰτία τοῦ μὴ ἐπιλείπειν τὰ γινόμενα, διαφόρων δὲ
ὄντων τῶν αἰτιῶν τοῖς γινομένοις μὴ πᾶσαν νῦν ῥητέον. ποῖαι δέ εἰσιν 40
25 αἰτίαι τῶν γινομένων; καὶ ποίαν νῦν ῥητέον; αἰτίαι μὲν οὖν ἥ τε ὑλικὴ
καὶ ἡ ποιητική· αὕτη γάρ ἐστιν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. ταύτας δὲ
μόνας τὰς αἰτίας ἐξέθετο, ὡς χρησιμευούσας μᾶλλον πρὸς γένεσιν τῷ
προϋπάρχειν· τὸ γὰρ εἶδος καὶ τὸ οὗ ἕνεκα ἐπιγίνεται. τούτων οὖν, φησί,
τῶν αἰτιῶν, τῆς ποιητικῆς φημι καὶ ὑλικῆς, τὴν ποιητικὴν νῦν μὴ λεκτέον,

---

2 ὑπάρξῃ T post ἄλλων iterat τι R 4 ὅπερ ἀδύνατον Z πάθη γὰρ om. R 5 ἐστὶν om. Z: οὐδύνατον (sic) ἐστὶ R 6. 7 τὸ δυνάμει μόνον τόδε (τὸ δὲ R) καὶ ὄν. τὸ τόδε (τότε δὲ, pro τὸ τόδε, R) παρὰ RZ: τὸ δὲ δυνάμει ὂν τόδε καὶ ὄν. τότε γὰρ παρὰ GT: τὸ δὲ δυνάμει ὂν τόδε παρὰ a 8 οὖν om. Z 9 ἁπλῶς Z 13 ἀεὶ RZ: εἰ GT: om. a 14 τὴν (post καὶ) RT: om. GZa 17 ὀλίγων T 21 δὲ αἰτίας R 21. 22 τῆς κινήσεως φαμὲν εἶναι τὴν ἀρχὴν Z 23 τίς αἰτία] τῆς αἰτίας a δὲ om. Z 24 αἰτιῶν R: αἰτίων cett. immo πάσας 25. 26 αἴτια μὲν οὖν ἥ τε ποιητικὴ καὶ ἡ ὑλική Z 27 χρησιμεύσας GT¹ τῷ] τὸ a 29 τῆς ὑλικῆς φημι καὶ τῆς ποιητικῆς a

ἀλλὰ τὴν ὑλικήν. μνησθεὶς δὲ τῆς ποιητικῆς αἰτίας, ἐπ' ὀλίγον ἅπτεται 12r
τοῦ περὶ αὐτῆς λόγου φάσκων τῶν ποιητικῶν, καθάπερ κἀν τῷ ὀγδόῳ 45
τῆς Φυσικῆς φησι, τὸ μὲν εἶναι ἀκίνητον ἀεὶ τὸ δὲ κινούμενον ἀεί, ἀκίνη-
τον μὲν τὸ πρώτως κινοῦν, ὅπερ καὶ ἀρχὴν ὠνόμασεν· ἀρχὴ γὰρ ἡ
5 κυριωτάτη ἐκεῖνο. περὶ μὲν οὖν ἐκείνου εἰπεῖν τῆς πρώτης, φησίν, ἐστὶ
φιλοσοφίας (θεολογίᾳ γὰρ οἰκεῖον καὶ τῇ Μετὰ τὰ φυσικὰ πραγματείᾳ,
μᾶλλον δὲ πρὸ τῶν φυσικῶν· πρὸς ἡμᾶς γὰρ ὕστερα τὰ τῇ φύσει πρό-
τερα· εἶπε δὲ περὶ τῆς ἀκινήτου αἰτίας καὶ ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς
ἀκροάσεως), περὶ δὲ τοῦ κυκλοφορητικοῦ σώματος, ὃ διὰ τὸ συνεχῶς κινεῖ- 50
10 σθαι τἆλλα κινεῖ, ἐν τῷ μετὰ τοῦτον λόγῳ ἐρεῖ.

p. 318a8 Τί τοιοῦτον τῶν καθ' ἕκαστα λεγομένων αἴτιόν ἐστιν.

Τῶν καθ' ἕκαστά φησι τῶν γενητῶν καὶ φθαρτῶν, ἐν τούτοις δὲ ἡ γένεσις καὶ ἡ φθορά.

p. 318a9 Νῦν δὲ τὴν ὡς ἐν ὕλης εἴδει τιθεμένην.

15 Ἐν εἴδει φησὶν ἀντὶ τοῦ ἐν γένει· γένος γὰρ ἡ ὕλη, ὑφ' ἣν καὶ ἡ τῇ οὐσίᾳ ὑποκειμένη ὕλη. καὶ ἁπλῶς πᾶν τὸ δυνάμει ὕλη τοῦ ὃ δύναται γενέσθαι. περὶ ταύτης οὖν, φησί, τῆς ὕλης εἴπωμεν. δι' ἣν φθορὰ καὶ γένεσις ἀεί ἐστιν ἐν τῇ φύσει καὶ οὐδέποτε ἐπιλείπει· ἡ γὰρ ὕλη δυνάμει οὖσα τῶν ἐναντίων δεκτικὴ ἀίδιός τε ὑπάρχουσα, ἄλλοτε ἄλλο ἐν μέρει
20 ἀναδεχομένη | τὰ ἐναντία, τοῦ μὴ ἐπιλείπειν φθορὰν καὶ γένεσιν τῇ φύσει 12v
αἰτία ἐστίν.

p. 318a10 Ἅμα γὰρ ἂν ἴσως τοῦτο γένοιτο δῆλον, καὶ περὶ τοῦ νῦν ἀπορηθέντος.

Εἴπερ, φησί, δῆλον γένοιτο τοῦτο, τὸ διὰ τί φθορὰ καὶ γένεσις οὐκ
25 ἐπιλείπει, σὺν τούτῳ φανερωθήσεται καὶ τὸ ἀνωτέρω ἀπορηθέν, εἰ τῇ δυνάμει οὐσίᾳ ὑπάρξει τι τῶν ἄλλων ἐνεργείᾳ ἢ οὔ.

1 ἐπὶ R ὀλίγον Za: ὀλίγων GRT 2 κἀν R: ἐν GT: κἀν (Z)a 2. 3 τῷ ὀγδόῳ τῆς Φυσικῆς c. 3 3 φησι a: εἶναι GTR: εἴρηκεν, ἔστι Z, qui proximum εἶναι omittit 5 πρώτοις a φησίν (Z)a: φ^η R: φημὶ GT 9 περὶ δὲ Z: περὶ RT: καὶ περὶ (G)a κυκλωφορητικοῦ a διὰ τοῦ RZ 10 κινεῖ GTZ: κινεῖν a: κινῶ R τοῦτον scripsi ex F: τούτων GTR: τοῦτο (Z)a 10. 15 λόγῳ. ἐρεῖ τὰ καθ' ἕκαστα δὲ τῶν γενητῶν καὶ φθαρτῶν φησιν. ἐν τούτοις γὰρ ἡ γένεσις καὶ ἡ φθορά. ἐν ὕλης δὲ εἴδει. ἀντὶ τοῦ ἐν γένη φησι. γένος γὰρ a, qui superius lemma continuaverat usque ad p. 318a12 φθορᾶς καὶ γενέσεως 12 δὲ om. Z 16 δύνασθαι a 17 οὖν τῆς ὕλης φησὶ Z εἴπομεν R 17. 18 φθορὰ καὶ γένεσις RZ: φθορὰ καὶ ἡ γένεσις GT: ἡ φθορὰ καὶ ἡ γένεσις a 20 τῶν ἐναντίων a 22 lemma om. a ἂν om. Z 24 εἰ οὖν φησι a 25 τὸ] τῷ GR^1T^1

p. 318a13 Ἔχει δὲ ἀπορίαν ἱκανὴν καὶ τί τὸ αἴτιον τοῦ συνείρειν ἀεὶ τὴν γένεσιν. 12v

Τὴν προηπορημένην ἀπορίαν πρὸς τὸ μὴ δύνασθαι συνεχῆ εἶναι τὴν γένεσιν δεικνὺς εὔλογον οὖσαν, τίθησι κατασκευὴν αὐτῆς τοῦτον ἔχουσαν τὸν τρόπον. εἰ γάρ, φησί, τὸ φθειρόμενον εἰς τὸ μὴ ὂν ἀπέρχεται, τὸ δὲ μὴ ὂν οὐδὲν τῶν ὄντων ἐστίν, ὡς ἔδειξεν ἐν τῇ τῶν ὄντων κατὰ γένος παραθέσει (οὔτε γὰρ τόδε, ὅπερ σημαίνει τὴν οὐσίαν, οὔτε ποσὸν οὔτε ποιὸν οὔτε τῶν ἄλλων τι), πῶς οὐκ ἐπιλείψει ἡ γένεσις; εἰ γὰρ ἀεί ⟨τι⟩ τοῦ ὄντος ἀπέρχεται, πεπερασμένον δὲ τὸ ὄν, πάλαι ἂν κατηνάλωτο τὰ ὄντα εἰς τὸ μὴ ὄν. ὅτι γὰρ πεπερασμένον τὸ ὄν, δέδεικται ἐν τῇ Φυσικῇ· οὐδὲν γὰρ ἄπειρον ἐνεργείᾳ. δυνάμει γὰρ ἐδείχθη τὸ ἄπειρον ὄν· ἡ γὰρ τοῦ συνεχοῦς τομὴ ἐπ' ἄπειρον δυνάμει. ταύτην οὖν μόνην ἔδει μὴ ἐπιλείπειν, τὴν τῶν συνεχῶν δηλονότι διαίρεσιν, ἐπειδὴ ἐν ταύτῃ τὸ ἄπειρον μόνῃ. ἐγένετο δ' ἂν τοῦτο τῷ ἀεὶ ἐλάττω γίνεσθαι τὸ προϋπάρχον μέγεθος τοῦ ὄντος, τῇ ἀφαιρέσει ἀεὶ καὶ τῇ φθορᾷ τῶν κατὰ μέρος. 11 15 20

p. 318a21 Δυνάμει δὲ ἐπὶ τὴν διαίρεσιν.

Τουτέστι δυνάμει ἐπ' ἄπειρον ἔχει τὴν διαίρεσιν· ὁ μὲν γὰρ ἀριθμὸς ἐπὶ τὴν αὔξησιν ἔχει τὸ ἄπειρον, τὸ δὲ μέγεθος ἐπὶ τὴν διαίρεσιν.

p. 318a23 Ἆρ' οὖν διὰ τὸ τὴν τοῦδε φθορὰν ἄλλου εἶναι γένεσιν.

Συντόμως λίαν τὴν ἀπορίαν ἔλυσεν. οὐ γὰρ εἰς τὸ μὴ ὄν, φησίν, ἡ φθορά, ὥσπερ ἔκειτο ἐν τῇ ἀπορίᾳ, ἀλλ' εἰς ἄλλο ὄν, καὶ ἡ ἄλλου γένεσις ἄλλου φθορά. αὕτη οὖν ἡ ἐνάλλαξις καὶ ἄμειψις τοῦ ὑποκειμένου, τουτέστι τῆς ὕλης κατὰ τὰ εἴδη μεταβαλλούσης, καὶ ὁ δίαυλος ὁ τοιοῦτος αἴτιος τοῦ συνείρειν τὴν γένεσιν. λύοιτο δ' ἂν τούτῳ καὶ ἣν ἀνωτέρω εἶπεν ἀπορίαν περὶ τῆς ἁπλῆς γενέσεως. εἰ γὰρ μηδὲν εἰς τὸ μηδαμῶς ὂν ἐνεργείᾳ φθείρεται, οὐδ' ἂν γένοιτο ἐκ τοῦ μηδαμῶς ὄντος ἐνεργείᾳ, ἀλλὰ πᾶν τὸ γινόμενον ἐξ ἐνεργείᾳ τινὸς ὄντος καὶ εἰδοποιηθέντος γίνεται. ἀλλὰ γίνεται ἐξ αὐτοῦ, οὐχ ᾗ ἐνεργείᾳ ἐστὶν ἀλλ' ᾗ δυνάμει, τὸ γινόμενον. ἐπειδὴ γὰρ τὸ δυνάμει ἀδύνατον καθ' ἑαυτὸ ὑποστῆναι, τοῦτο τὸ δυνάμει ὂν τόδε τι ἄλλο τί ἐστιν ἐνεργείᾳ ὃ πρὸς τὸ εἶναι μόνον αὐτὸ συμβάλλεται, οὐκέτι μέντοι καὶ πρὸς τὸ γενέσθαι ἐξ αὐτοῦ ἐκεῖνο ὃ δύναται· τὸ μὲν γὰρ ἐνερ- 20 25 30 30

2 ἀεὶ (cf. p. 60,1) om. a Aristot. (ut infra v. 24) 3 προειρημένην GTa 4 ἔχουσα (T)a 8 ⟨τι⟩ addidit a 10 Φυσικῇ Γ 5 11 ἡ] εἰ Z 13 τὸ ἄπειρον ἐν ταύτῃ GTa 14 μόνῃ. εἰ οὖν ἐγίνετο τοῦτο a τῷ om. GTa γίνεσθαι συνέβαινεν ἂν τὸ προϋπάρχον a προϋπάρχος GT[1] 16 τὸ δὲ δυνάμει ἐπὶ et mox ἀντὶ τοῦ (pro Τουτέστι) a 17. 18 ὁ — διαίρεσιν om. a 22 ἄλλος (sic) R αὐτὴ GTa οὖν] γὰρ a 30 τί om. R 31 γεννᾶσθαι GTa

γείᾳ εἶναι κατὰ τὸ εἶδος ἔχει, τὸ δὲ γίνεσθαι ἐκεῖνο ὃ δύναται κατὰ τὴν 12v
ὕλην.

p. 318a25 Περὶ μὲν οὖν τοῦ τὴν γένεσιν εἶναι καὶ φθορὰν ὁμοίως περὶ ἕκαστον τῶν ὄντων.

Συμπεραίνων τὸν λόγον φησὶν εἰρῆσθαι τὴν αἰτίαν τοῦ γένεσιν εἶναι καὶ φθορὰν ὁμοίως, τὸ ὁμοίως εἰπὼν ἀντὶ τοῦ ἀεί. τὸ δὲ περὶ ἕκαστον τῶν ὄντων, τουτέστι περὶ ἑκάστην οὐσίαν καὶ τὴν ἁπλῶς καὶ τὴν κατὰ μέρος. ἐφεξῆς δὲ λεχθήσεται ἡ διαφορὰ τούτων.

p. 318a27 Διὰ τί δέ ποτε τὰ μὲν ἁπλῶς γίνεσθαι λέγεται τὰ δὲ φθείρεσθαι, τὰ δ' οὐχ ἁπλῶς.

Ἀπορίαν πάλιν ἄλλην ἐκτίθεται ὁ Ἀριστοτέλης, τί δήποτε τῶν γενέσεων αἱ μὲν ἁπλαῖ γενέσεις λέγονται αἱ δὲ τινές, καὶ τῶν γινομένων τὰ μὲν ἁπλῶς γίνεσθαι λέγομεν τὰ δὲ οὐχ ἁπλῶς. ἔχει δὲ τὸ εὔλογον ἡ ἀπορία, ὡς καὶ αὐτός φησιν, ἐκ τοῦ κεῖσθαι τὴν τοῦδε γένεσιν ἄλλου εἶναι φθοράν, καὶ τὴν τοῦδε φθορὰν ἄλλου εἶναι γένεσιν. ὁμοιότης γὰρ οὕτω πᾶσι τοῖς ἐξ ἀλλήλων γινομένοις καὶ εἰς ἄλληλα φθειρομένοις ὑπάρχει, ὡς μηδὲν μᾶλλον τόδε ἢ τόδε φάσκειν γίνεσθαι. ὥστε δῆλον ἐκ τῆς κατασκευῆς ὅτι ὁ λόγος αὐτῷ περὶ τῶν οὐσιῶν ἐστι μόνων, διὰ τί τινῶν μὲν οὐσιῶν ἁπλαῖ γενέσεις λέγονται τινῶν δὲ οὐχ ἁπλαῖ ἀλλὰ τινὲς γενέσεις, καὶ οὐχ, ὥσπερ τινὲς ἐνόμισαν, περὶ τῶν συμβεβηκότων, ὡς ἁπλῶς μὲν τῶν οὐσιῶν γινομένων οὐχ ἁπλῶς δὲ τῶν συμβεβηκότων. περὶ μὲν γὰρ τούτων ἤδη καὶ προλαβὼν εἶπεν καὶ ἐν τοῖς ἑξῆς ζητήσει, τὸ δὲ νῦν περὶ τῶν οὐσιῶν ἐστιν αὐτῷ ὁ λόγος, τῶν καὶ ἐξ ἀλλήλων γινομένων, τὰ δὲ συμβεβηκότα οὐκ ἐξ οὐσιῶν οὐδὲ οὐσίαι ἐκ τούτων οὐδὲ πάντως ἐξ ἀλλήλων. τὸ γὰρ τρίγωνον οὐ πάντως ἐξ ἑτέρου σχήματος ἀλλὰ καὶ ἐξ ἀσχηματίστου, καὶ τὸ κεχρωσμένον ὡσαύτως ἐκ στερήσεως, εἰ ὡς ἐξ ὕλης τοῦ ἀέρος γένοιτο (ἄχρους γὰρ ὁ ἀήρ), καὶ τὸ ἐπιστῆ|μον πολλάκις ἐξ 13r
ἀνεπιστήμονος. ὥστε οὐ περὶ τῆς τῶν συμβεβηκότων γενέσεως ὁ λόγος, ἀλλὰ περὶ τῆς τῶν οὐσιῶν· αὗται γὰρ πάντως ἐξ ἀλλήλων, καὶ τούτων αἱ μὲν ἁπλῶς εἰσι γενέσεις καὶ λέγονται αἱ δὲ τινές. ζητεῖ οὖν τῆς τοιαύτης χρήσεως τὴν αἰτίαν, καί φησιν ὅτι κατὰ τρεῖς χρὴ διαφορὰς δια-

---

2. 5 ὕλην. εἶτα συμπεραίνων om. lemmate a 3 τὴν om. Aristot. 8 δειχθήσεται GT 9 ποτε om. Z τὰ δὲ] καὶ a et Arist. vulg. (τὰ δὲ καὶ codex E) 13 λέγομεν γίνεσθαι R 14 τὴν] τ̄ R 18 μόνον GTa ante διὰ τί iterant ὁ λόγος αὐτῷ GTR 20 καὶ om. R 21 γενομένων a δὲ] δὲ περὶ Z 23 καὶ τῶν Z 24 οὐσίαι] οὐσία Ra 25 τρίγωνον Z: Δ' GT: om. R: σχῆμα a 26 εἰ om. a 27 γίνοιτο Z: γένοιτ' ἂν a ὁ om. T ἐπιστήμων GT 30 prius αἱ om. superscr. R

στέλλεσθαι τὴν τινὰ γένεσιν πρὸς τὴν ἁπλῆν, πρώτην μὲν διαφορὰν τὴν 13r
τῆς ὑλικωτέρας οὐσίας καὶ εἰδικωτέρας, ὧν τὴν μὲν ὑλικωτέραν μὴ ὄν 5
ἐκάλουν οἱ περὶ Παρμενίδην τὴν δὲ εἰδικωτέραν ὄν· διὰ γάρ τοι τοῦτο
οὗτος ὁ ἀνὴρ τὴν μὲν γῆν μὴ ὄν ὠνόμαζεν ὡς ὕλης λόγον ἐπέχουσαν,
5 τὸ δὲ πῦρ ὄν ὡς ποιοῦν καὶ εἰδικώτερον. ὥστε εἴη ἂν κατὰ Παρμενίδην
ἡ μὲν τοῦ πυρὸς γένεσις ἁπλῆ γένεσις, ἡ δὲ τῆς γῆς γένεσις τὶς γένεσις· καὶ
φθορὰ δὲ ὡσαύτως, ἡ μὲν τοῦ πυρὸς ἁπλῆ, ἡ δὲ τῆς γῆς τὶς φθορά.
κατὰ μὲν οὖν Παρμενίδην ταῦτα ἂν εἴη παραδείγματα τῆς ἁπλῆς καὶ τῆς
τινὸς γενέσεως, τὴν μὲν γῆν τιθέμενον ὑλικὴν τὸ δὲ πῦρ εἰδικόν. εἴποις 10
10 δ' ἂν οὕτως ἔχειν καὶ τὴν τῶν ἁπλῶν στοιχείων γένεσιν πρὸς τὴν τῶν
συνθέτων. τῶν μὲν γὰρ ἁπλῶν στοιχείων ἡ γένεσις, ὡς ἂν ὑλικωτέρων
καὶ ἐν ὕλης τάξει ὑποκειμένων τοῖς συνθέτοις, τὶς γένεσις, τῶν δὲ συν-
θέτων, οἷον ἀνθρώπου καὶ ἵππου, ἁπλῆ γένεσις. ἀλλὰ δὴ καὶ κατ' αὐτὰ
τὰ ὑλικώτερα, λέγω δὲ τὰ ἁπλᾶ σώματα (ὕλη γὰρ ταῦτα, καθὼς εἴρηται,
15 τῶν συνθέτων), ἔστι τις ἑτέρα διαφορά, καθ' ἣν τὰ μὲν μᾶλλον ἢ κρεῖττον 15
οὐσία, τὰ δὲ ἧττον ἢ χεῖρον. τὰ μὲν γὰρ ἔχοντα ποιητικὰς διαφορὰς
μᾶλλον οὐσία καὶ κρεῖττον οὐσία, τὰ δὲ ἔχοντα παθητικὰς καὶ στερητικὰς
ἧττον οὐσία καὶ χεῖρον. ἔστι δὲ ἡ μὲν θερμότης δραστικὴ μᾶλλον καὶ
εἶδος, ἡ δὲ ψυχρότης παθητικὴ μᾶλλον καὶ στέρησις. οὐκοῦν ἔσται τὸ
20 μὲν πῦρ μᾶλλον οὐσία, καὶ ἡ τοῦδε γένεσις ἁπλῆ γένεσις· ἡ δὲ γῆ
ἧττον οὐσία, καὶ ἡ ταύτης γένεσις τὶς οὐχ ἁπλῆ. τοῦ οὖν πυρὸς μετα-
βάλλοντος εἰς γῆν φθορὰ μὲν ἁπλῆ ἔσται, γένεσις δὲ τὶς, τῆς δὲ γῆς
εἰς πῦρ μεταβαλλούσης ἔμπαλιν φθορὰ μὲν τὶς, γένεσις δὲ ἁπλῆ. 20
τρίτη δέ ἐστι διαφορὰ ἐκ τῆς τῶν πολλῶν ἐννοίας εἰλημμένη, οὐκ
25 ἐκ τῆς ἀληθείας. δοκεῖ γὰρ τοῖς πολλοῖς τὸ μᾶλλον αἰσθητὸν μᾶλλον
ὂν εἶναι, τὸ δὲ ἧττον αἰσθητὸν ἧττον ὂν εἶναι. ὥστε κατ' ἐκείνους
ἡ τῶν μᾶλλον αἰσθητῶν, οἷον γῆς, ἁπλῆ γένεσις, ἡ δὲ τοῦ ἀέρος τὶς
γένεσις (ἧττον γὰρ αἰσθητὸν ὁ ἀήρ), κατὰ δὲ τὴν ἀλήθειαν ἔμπαλιν·
μᾶλλον γὰρ ὂν ὁ ἀὴρ τῆς γῆς, εἴπερ ἡ θερμότης μὲν ποιητικὴ καὶ εἰδι-
30 κωτέρα, ὡς εἴρηται, ἡ δὲ ψῦξις οἷον στέρησίς τις. τρεῖς μὲν αὗται δια-
φοραὶ ἐπὶ τῶν οὐσιῶν θεωρούμεναι, ἡ μὲν κατὰ τὸ ἁπλούστερον καὶ συν- 25
θετώτερον ἤτοι ὑλικώτερόν τε καὶ εἰδικώτερον, ἡ δὲ κατὰ τὸ μᾶλλον ἢ
ἧττον εἶναι οὐσίαν ἤγουν κατὰ τὸ κρεῖττον καὶ χεῖρον, τρίτη δὲ κατὰ τὸ
μᾶλλον ἢ ἧττον αἰσθητόν, καθ' ἃς ἐπὶ τῶν ἐξ ἀλλήλων γινομένων ἡ μὲν

---

2 οὐσίαν GT 4 ὠνόμασεν a post ὠνόμαζεν iterat μὴ ὄν Z 6 γένεσις (post γῆς) om. GTa καὶ bis Z 9 τιθέμενον Z: τίθεμεν GTR: τιθεμένου a ὑλικὸν a εἴποι GT 12 γένεσιν a 13 ἵππον a 14. 15 τὰ ἁπλᾶ—καθ' ἣν om. add. mrg. Z 15 καθ' ἣν ut vid. Z: καθ' ἃ GT: καθὸ R: καθ' ὃ a 17 κρείττων (G)a 18 χείρων a 21 τὶς om. R: τὶς καὶ Z 21. 22 οὖν πβοσμεταβάλλοντος GT 23 μεταβαλούσης Z 25 γὰρ RZa: δὲ GT αἰσθητὸν δὲ μᾶλλον Z 26 prius ὄν om. R ὄν alterum Z: om. cett. 27 ἡ τῶν] ἧττον R, qui mox αἰσθητ' 29 ὄν om. R 30 ψῦξις libri μὲν οὖν αὗται a 31 θεωρούμενα a 32 ἤτοι T: ἤτοι G: ἧττον (Z)a: ἧττον ἤτοι κατὰ τὸ R τε om. a

ἁπλῆ γένεσις λέγεται ἡ δὲ τὶς γένεσις. ὕστερον δὲ ζητεῖ οὐκέτι περὶ 13r
τῶν ἐξ ἀλλήλων γινομένων, ἀλλ' ἁπλῶς καθόλου διὰ τί τῶν ὄντων τὰ
μὲν ἁπλῶς φαμεν γίνεσθαι καὶ χωρὶς προσθήκης, τὰ δὲ ἀεὶ μετὰ προσ-
θήκης ἁπλῶς δὲ οὐδέποτε, εἴ γε πάντα ὄντα ἐστί. καί φησιν ὅτι ἐν- 30
ταῦθα τὸ ἁπλῶς καὶ μὴ ἁπλῶς ταῖς κατηγορίαις ὥρισται. ἐπεὶ γὰρ τὰ μὲν
οὐσίαν σημαίνει τὰ δὲ ποιὸν τὰ δὲ ποσόν, τὰ μὲν κατ' οὐσίαν μεταβάλλοντα ἁπλῶς γίνεσθαι λέγομεν, τὰ δὲ κατὰ ἄλλην τινὰ κατηγορίαν ἀεὶ μετὰ προσθήκης. εἰκότως, ἐπειδὴ καὶ κυρίως ὂν ἡ οὐσία. ἀλλὰ δή, φησί, καὶ ἐν ταῖς ἄλλαις πάσαις κατηγορίαις τῶν συμβεβηκότων καθόλου ἡ μὲν εἰς τὰ τιμιώτερα μεταβολὴ γένεσις ἁπλῆ, οἷον ἡ εἰς λευκὸν ἀλλοίωσις, ἡ δὲ εἰς τὰ χείρω, οἷον ἡ εἰς τὸ μέλαν, οὐκέτι. 35

p. 318ᵃ31 Λέγομεν γὰρ ὅτι φθείρεται νῦν μὲν ἁπλῶς, καὶ οὐ μόνον τοδί.

Τὴν χρῆσιν νῦν μαρτύρεται διορίζουσαν τὴν ἁπλῆν γένεσιν τῆς τινὸς καὶ οὐ μόνον μετὰ προσθήκης λέγουσαν τάδε τινὰ γίνεσθαι, ἀλλ' ἔστιν ὅτε καὶ ἄνευ προσθήκης· ὥστε εὔλογον εἶναι ἐπεξελθεῖν τῇ ζητήσει.

p. 318ᵃ34 Φαμὲν γὰρ τὸν μανθάνοντα γίνεσθαι μὲν ἐπιστήμονα, γίνεσθαι δὲ ἁπλῶς οὔ.

Ἐντεῦθέν τινες ἐνόμισαν τὸν λόγον αὐτῷ εἶναι περὶ τῶν οὐσιῶν καὶ τῶν συμβεβηκότων, ἁπλῆν μὲν γένεσιν τὴν τῶν οὐσιῶν λέγοντι, τινὰ δὲ γένεσιν τὴν τῶν συμβεβηκότων. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ὁ μὲν 40
λόγος ἐστὶν αὐτῷ, καθὰ προείρηται, περὶ τῶν οὐσιῶν, ὅπως αἱ μὲν ἁπλῶς λέγονται γίνεσθαι αἱ δὲ μετὰ προσθήκης· τὸ δὲ κατὰ τὸν μανθάνοντα παράδειγμα πρὸς μαρτυρίαν ἤγαγε τοῦ τὴν χρῆσιν διορίζειν, καὶ τὰ μὲν ἁπλῶς λέγειν γίνεσθαι τὰ δὲ οὐχ ἁπλῶς ἀλλὰ μετὰ προσθήκης.

p. 318ᵇ2 Διαφέρει γὰρ εἰς ἃ μεταβάλλει τὸ μεταβάλλον, οἷον ἴσως ἡ μὲν εἰς πῦρ ὁδὸς γένεσις μὲν ἁπλῆ, φθορὰ δὲ τινός, 45
οἷον γῆς, ἡ δὲ γῆς γένεσις γένεσις τίς, φθορὰ δ' ἁπλῆ, οἷον πυρός, ὥσπερ Παρμενίδης λέγει δύο τὸ ὂν καὶ τὸ μὴ ὄν.

Ἐκτίθεται μὲν ἐνταῦθα τὴν διαφορὰν καθ' ἣν διαστέλλεται ἡ ἁπλῆ

1 alterum γένεσις om. Z 3 γίγνεσθαι a 3. 4 τὰ δὲ — προσθήκης om. R 4 ὄντα om. Z 5 ὡρίσθαι R 7 κατὰ τὴν ἄλλην τινὰ GT 8 καὶ om. GTa 11 τὸ χεῖρον R 11. 14 οὐκέτι. ταῦτα εἰπὼν μαρτύρεται τὴν χρῆσιν διορίζουσαν, om. hic lemmate, a 12 μὲν om. Arist. fort. ἁπλῆς R¹ 15 λεγούσης a τὰ δέ τινα a et fort. alii ὅτε] ὅτι T 16. 17 ζητήσει. εἰπόντος δὲ, ὅτι φαμὲν τὸν a 17 μὲν om. RZ 19 ἐνόμισαν τινὲς (om. ἐντεῦθεν) a ἐνομίσαντο T 27 δὲ τινός ἐστιν Arist. (praeter cod. L) 28 ἡ δὲ γῆς γένεσις, τίς γένεσις. γένεσις δ' οὐχ ἁπλῶς. φθορὰ δ' a; at cf. Aristotelis codd. EL ἁπλῆ] ἁπλῶς a Arist. 29 ὥσπερ Ra Arist.: ὡς GTZ

γένεσις τῆς τινὸς, τίς δὲ ἡ διαφορά ἐστι ζητητέον· δοκεῖ γὰρ ἀσυμφανῶς 13r
παρ' αὐτοῦ εἰρῆσθαι. ἴσως μὲν οὖν τις λέγει ταύτην κατὰ τὸ ἁπλούστερον
καὶ συνθετώτερον εἶναι· τῷ γὰρ τὰ ἁπλούστερα ὑλικώτερα εἶναι καὶ ἐν
ὕλης τάξει ὑποτετάχθαι τοῖς συνθέτοις, λεγοιτ' ἂν ἡ τούτων γένεσις τὶς 50
γένεσις, ἡ δὲ τῶν συνθέτων, ὡς τρανότερον τὸ εἶδος ἐχόντων. ἁπλῆ
γένεσις. κατὰ ταύτην τὴν ἔννοιαν καὶ ὁ Παρμενίδης, ἐπειδὴ γῆν καὶ πῦρ
ὑποθέμενος στοιχεῖα τὴν μὲν γῆν ὡς ὕλην ὑποκεῖσθαι τὸ δὲ πῦρ ὡς
εἰδοποιὸν ἐθεώρει, τὴν μὲν γῆν μὴ ὂν τὸ δὲ πῦρ ὂν ὠνόμασεν. τοι-
γαροῦν κατ' ἐκείνην, φησίν, ἡ μὲν τοῦ πυρὸς γένεσις ἁπλῆ γένεσις ἂν
εἴη, ἡ δὲ ⟨τῆς⟩ γῆς τὶς γένεσις καὶ οὐχ ἁπλῆ. δοκεῖ δὲ ἀντιπίπτειν πρὸς
ταύτην τὴν ἐξήγησιν | τό τε μηδαμοῦ φαίνεσθαι τὸν Ἀριστοτέλην τοῦ 13v
ἁπλουστέρου καὶ συνθετωτέρου μεμνημένον, ἔτι μέντοι κἀκεῖνο. εἰ γὰρ
τὸ ἁπλοῦν τοῦ συνθέτου τῷ ὑλικωτέρῳ καὶ εἰδικωτέρῳ διαφέρει, ἔσται ἡ
αὐτὴ διαφορὰ τῇ ἐφεξῆς καὶ δευτέρᾳ λεγομένῃ, καθ' ἣν τὴν μὲν μᾶλλον
οὐσίαν φησὶν εἶναι τὴν δὲ ἧττον· τὸ γὰρ μᾶλλον εἶναι οὐσίαν καὶ ἧττον
ἐκ τοῦ ὑλικωτέρου καὶ εἰδικωτέρου σκοπεῖ. καὶ δηλοῖ τοῦτο σαφῶς αὐ-
τὸς ἐν τῷ περὶ τῆς δευτέρας διαφορᾶς λόγῳ φάσκων "οἷον τὸ θερμὸν 5
κατηγορία τις καὶ εἶδος, ἡ δὲ ψυχρότης στέρησις", πρὸς τῷ μηδὲν
μεμνῆσθαι αὐτὸν τοῦ ὑλικωτέρου καὶ εἰδικωτέρου ἐν τῷ περὶ τῆς πρώτης
διαφορᾶς λόγῳ, ἀλλὰ μόνον τοῦ ὄντος καὶ μὴ ὄντος. διὰ τοῦτο ἀληθεστέρα
μοι δοκεῖ εἶναι καὶ τῇ λέξει σύμφωνος ἡ παρὰ Ἀλεξάνδρῳ ἐξήγησις. φησὶ
δὲ ἐκεῖνος τὴν πρώτην διαφορὰν γίνεσθαι κατά τε ὂν καὶ μὴ ὄν, οὐχ ὡς
Ἀριστοτέλει δοκοῦσαν, ἀλλ' ὅτι ὅταν ὑποθῆταί τις εἶναι τὸ ὂν καὶ τὸ μὴ
ὄν, καθάπερ ὁ Παρμενίδης ἔλεγε τὸ μὲν πῦρ ὂν τὴν δὲ γῆν μὴ ὄν, 10
ἕψεται κατὰ ταύτην τὴν ὑπόθεσιν τὴν μὲν εἰς τὸ μὴ ὂν ὁδὸν ἐκ τοῦ
ὄντος φθορὰν μὲν ἁπλῆν εἶναι γένεσιν δὲ τινὰ, κατὰ δὲ τὴν ἐκ τοῦ μὴ
ὄντος εἰς τὸ ὂν ὁδὸν τἀναντία, φθορὰν μὲν τινὰ γένεσιν δὲ ἁπλῆν. ὅλως
γὰρ κατὰ Ἀριστοτέλην οὐδεμία οὐσία εἰς τὸ μὴ ὂν μεταβάλλει. ἡ γὰρ
ἄλλου, φησί, φθορὰ ἄλλου γένεσις. ὥστε οὐδὲν μεταβάλλει ἐπὶ τῶν
οὐσιῶν εἰς στέρησιν ἁπλῶς, ἀλλὰ τὸ εἰς τὴν τοῦδε στέρησιν μεταβάλλον
εἰς ἄλλο ὂν μεταβάλλει. τὸ δὲ ἐπὶ τῶν οὐσιῶν προστέθεικα, διότι ἐπὶ
τῶν συμβεβηκότων δυνατόν ἐστι· δυνατὸν γὰρ τὸν μουσικὸν εἰς τὸ ἄμου- 15

---

1 ἀσυμφώνως R 2 ταύτην λέγει a 5 τρανώτερον GTa 7 τὰ στοιχεῖα a 8 καὶ τὴν μὲν a 9 ἐκείνους a 9. 10 ἂν — γένεσις om. R 10 τῆς γῆς a: γῆς TZ: τῆς G (?)
λ' τλ'
11 ἀριστοτέλην T: ἀριστοτε R: ἀριστο Z: Ἀριστοτέλη (G)a 14 ἑξῆς GT 15 φησὶν et τὴν δὲ — οὐσίαν om. GTa καὶ ἧττον] καὶ ἥττω GTa 17 φάσκων p. 318b16 τὸ μὲν θερμὸν Ar. 18 τῷ Z: τὸ cett. 19 ἡλικωτέρου a 20 ἀληθέστερα R¹
21 συμφώνως GTa 23 ὑπόθηταί Za 25. 26 τοῦ μὴ ὄντος R
26 ἁπλῶς R 26. 27 τινὰ (hoc om. Z, si recte enot.), κατὰ δὲ — γένεσιν δὲ RZ: om. GT: τινα, τὴν δὲ εἰς τὸ ὂν ἐκ τοῦ μὴ ὄντος, φθορὰν μέν τινα γένεσιν δὲ suppleverat a
τλ'
28 ἀριστο RZ: Ἀριστοτέλη a ἡ] εἰ R 30 στέρρησιν R¹ τοῦδε] τοῦ G
31 προστίθεικα T: immo προστέθεικε (cl. p. 59,20) 32 τὸν] τὸ a

σον καὶ εἰς τὴν στέρησιν μεταβαλεῖν, μηδὲν ἕτερον ἐν τῇ ἀποβολῇ τῆς 13ᵛ
μουσικῆς προσλαβόντα εἶδος ἢ πάθος, ἀλλ' ἢ μόνον τὴν στέρησιν, διότι
πρὸς τὸ εἶναι τὴν ὕλην ἐν ὑποστάσει οὐδὲν συμβάλλεται τὸ μουσικὸν ἢ
τὸ ἄμουσον. ἐπὶ δὲ τῶν οὐσιῶν αἱ τῶν εἰδῶν ἀπουσίαι καὶ στερήσεις
5 ἀνυπόστατον τὴν ὕλην ποιοῦσιν, ἂν μὴ εἰς ἄλλο τι ὂν ἐνεργείᾳ καὶ εἶδος
γένηται ἡ μεταβολή.

p. 318ᵇ7 Εἰ δὴ ταῦτα ἢ τοιαῦτα, διαφέρει οὐδέν. 20

Εἴτε πῦρ καὶ γῆν εἴτε ἄλλα τινά, φησίν, ὑπετίθετο ὁ Παρμενίδης,
διαφέρει οὐδέν· οὐ γὰρ ζητοῦμεν τὸ ὑποκείμενον περὶ ὃ θεωροῦνται αἱ δια-
10 φοραί, ἀλλ' αὐτὰς τὰς διαφορὰς καὶ τὸν τῆς ἀντιδιαστολῆς τρόπον, καθ' 30
ὃν ἡ τῆς γένεσις πρὸς τὴν ἁπλῆν διαστέλλεται. τὴν γὰρ διαφορὰν προέ-
θετο τῶν εἰς ἃ μεταβάλλει τὰ μεταβάλλοντα, καθ' ἃς διαφορὰς διαστέλλο-
μεν τὴν ἁπλῆν τῆς τινὸς γενέσεως.

p. 318ᵇ11 Οἷς οὖν διώρισται εἴτε πυρὶ [εἴτε] καὶ γῇ.

15 Οἵοις ποτέ, φησί, διώρισται τὸ ὂν καὶ μὴ ὄν, εἴτε πυρὶ λέγοις καὶ
γῇ διωρίσθαι εἴτε ἄλλοις τισί, τούτων αὐτῶν τὸ μὲν ἕτερον ὂν λεχθήσεται,
μὴ ὂν δὲ θάτερον.

p. 318ᵇ14 Ἄλλον δὲ τῇ ὕλῃ ὁποία τις ἂν ᾖ.

Ὕλην ὀνομάζει τὰ ἁπλᾶ σώματα, ὡς ὕλη ὑποκείμενα γενέσει καὶ
20 φθορᾷ τῶν συνθέτων. καὶ δόξει ταύτῃ τὰ σύνθετα κατὰ τὸ εἶδος χαρα- 35
κτηρίζεσθαι μᾶλλον, καὶ ἡ προειρημένη ἐξήγησις συμφωνεῖν τῷ προκειμένῳ,
καθ' ἣν ἐλέγομεν τὸν Ἀριστοτέλην τὴν πρώτην διαφορὰν ἐκτίθεσθαι κατὰ
τὸ ἁπλούστερον καὶ συνθετώτερον, διότι τὸ μὲν ὕλῃ ἀναλογεῖ τὸ δὲ σύν-
θετον εἴδει. νῦν δὲ ὡς καὶ ἐν αὐτῇ τῇ ὕλῃ. λέγω δὲ τοῖς ἁπλοῖς σώμασι.
25 θεωρουμένης διαφορᾶς ἐκτίθεσθαι ταύτην δευτέραν. ἡ δὲ διαφορά ἐστι,
καθάπερ προειρήκαμεν, τὸ τὰ μὲν τῶν ἁπλῶν μᾶλλον εἶναι οὐσίαν τὰ δὲ
ἧττον, μᾶλλον μὲν τὰ ποιητικὰ μᾶλλον ἔχοντα διαφορὰς καὶ εἴδει ἀναλο- 40

1 μεταβαλλεῖν GT¹: ἀποβαλεῖν Z¹ 3 ἐν om. R μεταβαλλεται GT 4 οὐσιῶν] συμβεβηκότων Z αἱ τῶν] αἰτιῶν R στερήσις a 7 εἰ δὴ Z: εἴδη GRT: τὸ δὴ (et mox τοιαῦτα ⟨ἕτερα ὑποτίθεσθαι⟩) ex Aristotele a ἢ R 8 ὑπέθετο a 9 θεωρεῖται R¹ 13. 15 γενέσεως. οἵαις οὖν φησι διώρισται τὸ ὂν καὶ τὸ μὴ ὂν διαφοραῖς, εἴτε a 14 οἷς GTZ: οἵοις R, qui mox καὶ om. πυρὶ et γῇ scripsi: πῦρ et γῇ libri; cf. Ar., unde alterum εἴτε delevi 15 Οἵοις scripsi: οἵαις libri πυρὶ] πυρὶ GT λέγοις RZ (sed Z tuitur καὶ γῇ διωρίσθαι λέγοις): λόγοις GT: λέγεις a 17. 19 θάτερον. ὕλην δὲ ὠνομάζει (sic) om. lemm. a 18 τῇ ὕλῃ RZ: ἡ ὕλη GT, qui τλ' ὁποῖά 22 ἀριστοτέλην T²: ἀριστο RZ: ἀριστοτέλη (G)T¹a 26 εἰρήκαμεν Z τὸ Z: τῷ cett. οὐσιῶν R 27 μᾶλλον (ante ἔχοντα) om. R εἴδη et mox οἷα R

γούσας, οἷα ἐστὶν ἡ θερμότης. τὸ γὰρ θερμόν, φησί, κατηγορία τις, 13v
τουτέστιν ὕπαρξις καὶ ἕξις, ἡ δὲ ψυχρότης οἷον στέρησις, καὶ τὰ κατ'
αὐτὴν εἰδοποιούμενα ἧττον οὐσία καὶ χεῖρον. ὥστε, φησίν, ἐπειδὴ πῦρ
καὶ γῆ διαφέρει ταύταις ταῖς διαφοραῖς, τουτέστι τῇ ἕξει καὶ τῇ στερήσει,
5 ἔσται τὸ μὲν πῦρ μᾶλλον οὐσία ἡ δὲ γῆ ἧττον, καὶ ἡ ἀπὸ γῆς εἰς πῦρ
μεταβολὴ ἔσται τὶς μὲν φθορὰ γένεσις δὲ ἁπλῆ, ἐπὶ δὲ τῆς ἐναντίας μεταβολῆς τὸ ἀνάπαλιν.

p. 318b 21 Τὸ γὰρ ὂν καὶ μὴ ὂν τῷ αἰσθάνεσθαι καὶ μὴ αἰσθάνεσθαι διορίζουσιν.

10 Εἰπὼν τὴν τρίτην διαφορὰν κατὰ τὸ τοῖς πολλοῖς δοκοῦν, τῷ τὰ μὲν μᾶλλον τὰ δὲ ἧττον αἰσθητὰ εἶναι, νῦν τὴν αἰτίαν προστίθησι δι' ἣν δοκεῖ τοῖς πολλοῖς τὸ μᾶλλον αἰσθητὸν μᾶλλον εἶναι. ἐπειδὴ γὰρ τὴν αἴσθησιν ταὐτὸν οἴονται εἶναι τῇ ἐπιστήμῃ, τῇ δὲ ἐπιστήμῃ καὶ τῇ ἀνεπιστημοσύνῃ κατὰ ἀλήθειαν διορίζεται τὸ ὂν καὶ τὸ μὴ ὄν (τὸ μὲν γὰρ ὂν ἐπι-
15 στητόν τε καὶ γνωστόν, τὸ δὲ μὴ ὂν ἄγνωστόν τε καὶ ἀνεπίστητον), νομίζουσι τῇ αἰσθήσει καὶ τῇ ἀναισθησίᾳ διορίζεσθαι τὰ ὄντα καὶ τὰ μὴ ὄντα.

p. 318b 24 Καθάπερ οὖν αὐτοὶ τῷ αἰσθάνεσθαι ἢ τῷ δύνασθαι καὶ ζῆν καὶ εἶναι νομίζουσιν, οὕτως καὶ τὰ πράγματα.

Ἑτέρα πίστις τοῦ οἴεσθαι τὰ αἰσθητὰ ὄντα εἶναι, τὰ δὲ μὴ αἰσθητὰ
20 μὴ ὄντα, ἐκ τοῦ ὑπολαμβάνειν | καὶ ἑαυτοὺς εἶναί τε καὶ ζῆν καθὸ 14r
αἰσθάνονται ἢ δύνανται αἰσθάνεσθαι. ὥσπερ γὰρ τοῖς αἰσθανομένοις τὸ ζῆν καὶ εἶναι τῷ αἰσθάνεσθαι ὁρίζουσιν, οὕτω καὶ τοῖς αἰσθητοῖς τὸ εἶναί φασι τῷ αἴσθησιν κινεῖν δύνασθαι. τὸ γὰρ οὕτως καὶ τὰ πράγματα οὐ 'τῷ αἰσθάνεσθαι' δηλοῖ, ἀλλὰ 'τῷ κινεῖν αἴσθησιν', ὥστε πάντα μὲν
25 ὡρίσθαι αἰσθήσει καὶ ἀναισθησίᾳ, ἀλλὰ τὰ μὲν ζῶντα τῷ αἰσθάνεσθαι, τὰ δὲ ἄλλα τῷ αἰσθητὰ εἶναι. 5

p. 318b 26 Τρόπον τινὰ διώκοντες τἀληθές, αὐτὸ δὲ λέγοντες οὐκ ἀληθές.

Τὸ μὲν γὰρ οἴεσθαι τὸ μᾶλλον ἐπιστητὸν μᾶλλον ὂν εἶναι, τὸ δὲ
30 ἧττον ἐπιστητὸν ἧττον ὂν εἶναι, καὶ ἁπλῶς ἐπιστήμῃ καὶ ἀγνοίᾳ ὁρίζειν

---

2. 3 τὰ κατὰ ταύτην GTa 3 ἥττων et χείρων R 8 καὶ τὸ μὴ ὂν a et Ar. vulg. τῷ RZ: τὸ GTa 8. 9 μὴ αἰσθάνεσθαι GRTZ: μὴ a; cf. Arist. 10 πολλοῖς om. R 14 τὸ μὲν] τῷ μὲν a 17 τὸ (pro τῷ) utrobique GT 18 οὕτω a 20 μὴ Ra: om. GTZ 21 αἰσθάννεσθαι a 22 καὶ (ante εἶναι) om. GTa τῷ] τὸ T 23 φησὶ GTa τῷ] τὸ GT οὕτω a τὰ] τοῖς R 26. 29 εἶναι. εὐθύνων δὲ ἐκείνους. τὸ μὲν οἴεσθαί φησι τὸ μᾶλλον, omisso hic lemmate, solito more interpolat a 30 ἐπιστήμην R[1] διορίζειν Z

τὸ ὄν τε καὶ μὴ ὄν. ἀληθές (τὸ γὰρ ἐπὶ τῇ ἑαυτοῦ φύσει ἀνεπίστητον 14r
οὐδὲ ὄν ἐστι). τὸ δὲ εἰς ταὐτὸν ἄγειν τῇ ἐπιστήμῃ τὴν αἴσθησιν ψευδές.

p. 318b27 Συμβαίνει δὴ κατὰ δόξαν καὶ κατὰ ἀλήθειαν ἄλλως τὸ γίνεσθαί τε ἁπλῶς καὶ φθείρεσθαι. 10

Ἡ μὲν ἀλήθεια ἔφασκε τοῦ μᾶλλον ὄντος τὴν γένεσιν ἁπλῆν εἶναι, 16
ἡ δὲ τῶν πολλῶν δόξα οὐ τοῦ μᾶλλον ὄντος, ἀλλὰ τοῦ μᾶλλον αἰσθητοῦ. μάχεται δὲ ταῦτα ἀλλήλοις· τὸ γὰρ πνεῦμα καὶ ὁ ἀὴρ συγκρινόμενος τῇ γῇ τοῖς μὲν πολλοῖς δόξει διὰ τὸ ἧττον αἰσθητὸν εἶναι χεῖρον εἶναι, διὸ καὶ τὰ φθειρόμενα εἰς ἀέρα εἰς μηδέν φασιν ἀναλύεσθαι. οἷον εἰ ὕδωρ φθαρείη, οὐκ εἰώθασι λέγειν ἀέρα γεγονέναι, ἀλλὰ φθορὰν ὕδατος, εἰ μέν- 20
τοι φθαρεὶς ὁ ἀὴρ ὑετὸν ποιήσει, γένεσιν ὕδατός φασιν, οὐ φθορὰν ἀέρος. ταύτῃ τοίνυν ἡ γῆ ὡς ἁπτὸν οὖσα καὶ ἀντίτυπον, τουτέστι στερεόν, μᾶλλον εἶναι δόξει, διότι μᾶλλον αἰσθητόν· κατὰ ἀλήθειαν δὲ μᾶλλον ὂν ὁ ἀὴρ τῆς γῆς, τῷ περιεκτικὸν αὐτὸν εἶναι τῆς γῆς καὶ εἰδικωτέραν ἔχοντα διαφορὰν τὴν θερμότητα.

p. 318b35 Διά τε γὰρ τὸ τὴν ὕλην διαφέρειν ἢ τῷ οὐσίαν εἶναι.

Τὰς διαφορὰς ἀναλαμβάνει, καθ' ἃς ἡ ἁπλῶς γένεσις τῆς τινὸς διωρίζετο. τὸ δὲ τὸ τὴν ὕλην διαφέρειν ὡς κοινὸν πασῶν τῶν διαφορῶν εἴρηται, ὡς εἰ λέγοι ὅτι ἡ ἁπλῆ γένεσις τῆς τινὸς διορίζεται τῷ τὴν ὕλην 25
τῶν μεταβαλλόντων διαφέρειν κατά τινα τούτων τῶν διαφορῶν. εἶτα ἐπιφέρει τὰς τρεῖς διαφοράς· ἢ γὰρ τῷ οὐσίαν εἶναι ἢ μὴ εἶναι (ἵνα εἴπῃ τὴν πρώτην διαφορὰν τὴν κατὰ τὸ ὂν καὶ μὴ ὄν), ἢ τῷ μᾶλλον ἢ ἧττον εἶναι (τὴν ὑλικωτέραν λέγων καὶ εἰδικωτέραν, ἢ ἁπλῶς καθὸ ἡ μὲν κρείττων οὐσία ἐστὶν ἡ δὲ χείρων, ἐπεὶ καὶ τὸ εἶδος τῆς ὕλης κρεῖττον, ὡς τοῦ ἕνεκά του τὸ οὗ ἕνεκα), ἢ τῷ μᾶλλον αἰσθητὸν εἶναι ἢ ἧττον.

p. 319a3 Τοῦ δὲ τὰ μὲν ἁπλῶς γίνεσθαι λέγεσθαι, τὰ δέ τι, μὴ τῇ ἐξ ἀλλήλων γενέσει. 30

Ζητήσας ἐν τοῖς προλαβοῦσιν ἐπὶ τῶν οὐσιῶν τί δήποτε τὰ μὲν 42

---

2 οὐδὲν ὄν GRT 3. 4 ἄλλως καὶ τὸ (at τῷ T¹) GT et Aristotelis cod. H 4 καὶ τὸ φθείρεσθαι a Arist. vulg. , 8 χείρων a 9 εἰ] εἰς R¹ 12 καὶ om. R 13 ὂν om. Z 14 ὁ om. T εἶναι αὐτὸν Z 15 fort. ἔχειν 16 omisso lemmate interpolat ταῦτα εἰπὼν a τε GRTZ: om. Arist. τὸ RZ: τῷ GT διαφέρει R τῷ] τὸ R οὐσιῶν Z 18 τὸ δὲ τὸ scripsi: τὸ δὲ R: τῷ δὲ τῷ G: τῷ δὲ τὸ T²: τὸ δὲ τῷ T¹Za 21 ἢ γὰρ] ἡ γὰρ (G)a εἴποι GT 22 καὶ τὸ μὴ ὄν a 24 ἐπὶ T 25 τοῦ ἕνεκά του τὸ οὗ ἕνεκα a: τὸ ἕνεκά του (ἕνεκα τοῦ R) οὗ ἕνεκα GRT: τὸ οὗ ἕνεκα τοῦ ἕνεκά του Z ἢ (ante ἧττον) om. GT: καὶ a 26 λέγεσθαι om. GT (ut Arist. cod. L) τὰ δέ τι RZ: τὸ δέ τι GT: τὰ δέ τι μόνον a Aristot.

ἁπλῶς γίνεσθαι λέγεται τὰ δὲ μετὰ προσθήκης, νῦν τὴν αὐτὴν ζήτησιν κινεῖ 14r
οὐκ ἐπὶ τῶν οὐσιῶν (οὐ γάρ, φησί, περὶ τῶν ἐξ ἀλλήλων γινομένων ποιεῖται
τὸν λόγον), ἀλλὰ καθόλου περὶ πάντων, πῶς ποτε τὰ μὲν ἁπλῶς φαμεν
γίνεσθαι τὰ δὲ οὐχ ἁπλῶς. λέγει τοίνυν ταῦτα ταῖς κατηγορίαις διωρίσθαι, 15
5 καὶ τὰ μὲν κατ' οὐσίαν γινόμενα ἁπλῶς γίνεσθαι, τὶ δὲ γίνεσθαι καὶ οὐχ
ἁπλῶς τὰ κατ' ἄλλην τινὰ τῶν συμβεβηκότων κατηγορίαν γινόμενα.

p. 319a14 Οὐ μὴν ἀλλ' ὁμοίως ⟨ἐν πᾶσι⟩.

Ἐν ἁπάσαις ταῖς κατηγορίαις. κοινόν φησιν εἶναι ἐν πάσαις ταῖς
κατηγορίαις, εἴτε ἁπλῆ γένεσις θεωροῖτο καθάπερ ἐν ταῖς οὐσίαις, εἴτε τὶς
10 γένεσις καθάπερ ἐν ταῖς λοιπαῖς κατηγορίαις, τὸ τὴν μὲν ἐπὶ τὰ τιμιώτερα
μεταβολὴν γένεσιν λέγεσθαι, τὴν δὲ ἐπὶ τὰ ἀτιμότερα καὶ χείρονα φθοράν· 50
γένεσις μὲν γὰρ ἡ τοῦ λευκοῦ, ἡ δὲ τούτου εἰς τὸ μέλαν μεταβολὴ οὐ
γένεσις μέλανος, ἀλλὰ φθορὰ λευκοῦ· οὕτως Ἀλέξανδρος ἐξηγήσατο συμ-
φώνως τοῖς ἐν τῇ Φυσικῇ εἰρημένοις.

15 p. 319a18 Καὶ ὅλως καὶ ἐν ταῖς οὐσίαις.

Ἐζήτησε γὰρ κἀπὶ τῶν οὐσιῶν τὴν διακρισιν τῆς ἁπλῶς γενέσεως
καὶ τῆς τινός· ἐζήτησε καὶ καθόλου ἐπὶ πάντων, ὅπερ δηλοῖ τὸ ὅλως.

p. 319a20 Καὶ ἔστιν ἀεὶ ἡ θατέρου γένεσις ἐπὶ τῶν οὐσιῶν
ἄλλου φθορά.

20 Εἰκότως προσέθηκε τὸ ἐπὶ τῶν οὐσιῶν, διότι οὐκ ἐπὶ πάντων τῶν
ὄντων ἐνεργείᾳ ἡ θατέρου γένεσις ἑτέρου τινὸς ὄντος ἐστὶ φθορά, ὡς ἐπὶ
τοῦ μανθάνοντος καὶ ἐπιστήμονος γινομένου· στερησις γὰρ τὸ ἀνεπιστῆμον. 14v

p. 319a22 Ἀλλὰ μὴν οὐδ' ἀπορῆσαι δεῖ διά τί γίνεταί τι ἀεὶ
ἀπολλυμένων.

25 Ἐν τοῖς προλαβοῦσιν ἀπορήσας τί δήποτε οὐκ ἐπιλείπει ἡ γένεσις, ἀλλ' 6

---

2 fort. ποιοῦμαι et 3 ἐπὶ πάντων 4 γενέσθαι GR διώρισται GTR 5 γίνεται (altero loco) libri 7 ἐν πᾶσι addidi 8 ἁπάσαις] πάσαις Z 8. 9 ἐν πάσαις ταῖς κατηγορίαις om. a 12. 13 ἡ δὲ—λευκοῦ om. add. mrg. T² 13 ὁ Ἀλέξανδρος a 14 Φυσικῇ] cf. Γ 1 p. 201a3 sqq. 15 καὶ om. a; at cf. Ar. codd. HL 16 ἁπλῆς R 17 alterum καὶ om. R 18 ἡ θατέρου γένεσις ἀεὶ (cum Arist.) et mox ἀλλ' οὐ φθορά GT: lemma om. hic a, qui pergit εἰκότως δὲ προσέθηκε 22 post ἀνεπιστῆμον addit ὥστε ἐν ἐκείνοις μόνον τοῦτο θεωρητέον, ἐν οἷς ἐναντίοις οὖσιν ὁρᾶται τὸ βέλτιον καὶ τὸ χεῖρον a. Item in margine superioris lemmatis addunt ἀλλ' οὐχ ὅταν ἐπιστήμων (sic; cf. Aristot. p. 319a16 sq.) τοῦτο οὐκ ἐν πᾶσι τοῖς ἐναντίοις δεῖ ἐπισκοπεῖν, ἀλλ' ἐν ὅσοις ὁρᾶται τὸ χεῖρον τὲ ⟨καὶ?⟩ βέλτιον GT² 23 οὐδὲ R δεῖ] χρὴ RZ; at cf. p. 60,29 τι ἀεὶ GTZ et Arist. cod. F: ἀεὶ Ra

ἀεὶ συνείρει, τὸ τῆς ἀπορίας εὔλογον ἐδείκνυεν ἐκ τοῦ ἀεὶ ἀπιέναι τι τῶν 14v
ὄντων τῶν φθειρομένων εἰς τὸ μὴ ὂν χωρούντων. δείξας οὖν ἐν τοῖς
προλαβοῦσι συντόμως πόθεν οὐκ ἐπιλείπει ἡ γένεσις, καὶ εἰπὼν ὅτι διὰ τὸ
τὴν ἄλλου φθορὰν ἄλλου εἶναι γένεσιν, καὶ διὰ τούτου λύσας πάσας τὰς
5 προβεβλημένας ἀπορίας, ὑπομιμνήσκει νῦν τοῦ λόγου τοῦ κατασκευαστικοῦ 10
τῆς ἀπορίας φάσκων μετὰ τὴν λύσιν τὴν εἰρημένην μηκέτι χώραν ἔχειν
τὸν κατασκευαστικὸν τῆς ἀπορίας λόγον, τὸν φάσκοντα μὴ δεῖν γένεσιν ἀεὶ
εἶναι ἀπολλυμένων τινῶν καὶ εἰς τὸ μὴ ὂν χωρούντων. οὐ ταυτολογῶν
δὲ ἐπαναλαμβάνει τὸν λόγον, ἀλλ' ἐπειδὴ εἶπε προσεχῶς ὅτι οἱ πολλοὶ
10 τὸ ἁπλῶς γίνεσθαι καὶ φθείρεσθαι τῷ εἰς αἰσθητὸν ἐξ ἀναισθήτου ἢ ἐξ
αἰσθητοῦ εἰς ἀναίσθητον τὴν μεταβολὴν γίνεσθαι κρίνουσι, διότι κατ' 15
αἴσθησιν ζῶντες ταύτῃ τὸ ὂν καὶ τὸ μὴ ὂν ἐξετάζουσι καὶ τὸ μὴ τῇ
αἰσθήσει ὑποπῖπτον ἢ μὴ μᾶλλον οὐδ' εἶναι οἴονται, αὐτὸ δὴ τοῦτο εἰς
ὑπόδειγμα τοῦ οἰκείου λόγου παρέλαβε, τοῦ τὴν ἄλλου γένεσιν ἄλλου
15 εἶναι φθορὰν καὶ ἔμπαλιν, καὶ τοῦ τρόπον μέν τινα ἐξ ὄντος γίνεσθαι τὰ
γινόμενα καὶ φθείρεσθαι εἰς ὄν, τρόπον δέ τινα ἐκ μὴ ὄντος γίνεσθαι καὶ
εἰς μὴ ὂν ἀναλύεσθαι. καὶ οἱ πολλοὶ γοῦν, φησί, τὴν ἁπλῶς γένεσιν τὴν
ἐξ ἀναισθήτου εἰς αἰσθητὸν μεταβολὴν κρίνουσι, καὶ φθορὰν τὸ ἐναντίον,
τοῦ ἀναισθήτου οὐ παντελῶς μὴ ὄντος. κοινῷ οὖν λόγῳ καὶ ἁπλῶς 20
20 πᾶσα γένεσις ἐκ μὴ ὄντος, διότι ἐκ τῆς ὕλης ἥτις πάντων ἔχει τὴν στέ-
ρησιν, ἡ δὲ στέρησις τὸ μὴ ὄν· ἐξ ὄντος δὲ πάλιν, διότι δυνάμει πάντα.
καὶ τὸ ἐξ οὗ δὲ προσεχῶς ὄν ἐστι καὶ μὴ ὄν, οἷον εἰ ἐξ ἀέρος γένοιτο
πῦρ. ἀλλ' εἰ καὶ ἔστι τι ὂν ὁ ἀήρ, ἀλλ' οὐκ ἔστι πῦρ, οὐδὲ ὑπομένοντος
τοῦ ἀέρος ἡ τοῦ πυρὸς γένεσις. ὥστε καὶ ταύτῃ ἐκ μὴ ὄντος. ἐξ ὄντος
25 δὲ πάλιν, καθ' αὑτὸ μὲν ἐξ ὄντος διότι ἐκ τοῦ ὑποκειμένου ὅπερ ὄν ἐστι,
κατὰ συμβεβηκὸς δὲ διότι ἐξ ἀέρος· συνέβη γὰρ τὸ ἐξ οὗ τὸ πῦρ ἢ ἀέρα 25
εἶναι ἢ ξύλον ἢ ἔλαιον ἢ ὁτιοῦν ἄλλο. τὰ αὐτὰ καὶ ἐπὶ τῆς φθορᾶς
ἀντικειμένως.

Ἀλλὰ μὴν οὐδ' ἀπορῆσαι δεῖ διὰ τί γίνεταί τι ἀεὶ ἀπολλυ-
30 μένων. οὐ δεῖ, φησίν, ἀπορεῖν διὰ τί ἀπολλυμένου τινὸς ἐν τοῖς φθειρο-
μένοις οὐκ ἐπιλείπει ἡ γένεσις· οὐ γὰρ εἰς τὸ πάντῃ μὴ ὂν ἡ φθορά,
οὐδὲ ἐκ τοῦ πάντῃ μὴ ὄντος ἡ γένεσις. καὶ παραμυθεῖται τὸν λόγον
τοῦτον διὰ τῆς τῶν πολλῶν χρήσεως, οἳ τὸ ὂν καὶ μὴ ὂν τῷ αἰσθητῷ
καὶ τῷ ἀναισθήτῳ διορίζουσιν· οὐ γὰρ τὸ μηδαμῶς ὂν μὴ ὂν καλοῦσιν,

1 ἄλογον ἐνδείκνυεν R 2 εἰς] καὶ εἰς a τὸ] τὰ GT¹ χειρούντων GT¹ 7 τὸν (priore loco)] τὸ GT¹ 7. 8 εἶναι ἀεὶ Z 11 ἀναίσθητον] αἰσθητὸν GT κρίνουσαν R 11. 12 ζῶντες κατ' αἴσθησιν Z 12 τῇ om. Z 13 ὑποπίπτον libri 14 τοῦ τὴν] τὴν τοῦ Z 15 τρόπου a et ut vid. R¹ 17 φασί GT 18 τὸ ἐναντίον om. a 21 πάλιν om. Z 23 οὐκ ἔστι (ἔστιν R) RZ: οὐκέτι GTa 25 ἐξ ὄντος om. Z, fort. recte 26 διότι] ὅτι Z 28 ἀντικειμένης compend. R 29 lemma om. et pergit δι' ὃ οὐ δεῖ a 32 ὄντος] ὄντα GT¹ 33 οἳ] ἢ T αἰσθητῷ Z: αἰσθητικῷ cett. 34 τῷ om. Z ὁρίζονται GTa μὴ om. superscr. R, ubi rursus in mrg. μὴ ὄν

ἀλλὰ τὸ αὐτοῖς ἀναίσθητον. οὐδὲν οὖν θαυμαστόν, εἰ καὶ ἡμεῖς φαμεν 14v
κατά τι ἐκ τοῦ ἁπλῶς ὄντος, κατά τι δὲ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος τὴν 30
γένεσιν καὶ τὴν φθορὰν εἰς ὄν τε καὶ μὴ ὂν κατὰ τὸν εἰρημένον τρόπον.

p. 319a25 Εἴτ' οὖν ὄντος τινὸς τοῦ ὑποκειμένου εἴτε μή.

Τουτέστιν εἴτε ἔχει ὕπαρξίν τινα τοῦτο τὸ ἀναίσθητον καὶ μὴ ὂν 35
λεγόμενον, εἴτε μὴ ἔστιν ὑποκείμενον, οὐδὲν διαφέρει πρὸς τὸν λόγον· καθόλου γὰρ εἰς οἷον χωρεῖ τὸ φθειρόμενον, ἐκ τοιούτου γίνεται τὸ γινόμενον. εἰ τοίνυν φθαρέντος τοῦ ὄντος γίνεται τὸ μὴ ὄν, δῆλον ὅτι καὶ τοῦ μὴ ὄντος φθαρέντος γίνεται τὸ ὄν. καὶ ὅρα ὅπως ἀκριβῶς ἐπὶ τοῦ μὴ ὄντος γένεσιν εἶπε, δηλῶν σαφῶς ὅτι ὅταν εἰς τὸ μὴ ὂν χωρεῖν λέγωμεν τὸ φθειρόμενον, οὐκ εἰς τὸ μηδαμῇ μηδαμῶς ὂν λέγομεν.

Εἴτε οὖν ὄντος τινὸς τοῦ ὑποκειμένου εἴτε μή. τὸ φθειρόμενον, 40
φησίν, ἔνιοι εἰς τὸ μὴ ὂν χωρεῖν λέγουσι, τῷ εἰς ἀναίσθητον μεταβάλλειν, οὐ περιεργαζόμενοι τὸ εἴτε ὄντος τινὸς ὑποκειμένου γέγονεν ἡ μεταβολὴ εἰς τὸ αἰσθητὸν εἴτε μή, τουτέστιν εἴτε ἔχοντος ὕπαρξιν τοῦ ἀναισθήτου καὶ μὴ ὄντος λεγομένου εἴτε μή. ἀλλ' οὐ διότι εἶναι ἢ μὴ εἶναί φασι τοῦτο τὸ ἀναίσθητον, διὰ τοῦτο ἢ ἔστιν ἐξ αὐτοῦ ἡ γένεσις ἢ οὐκ ἔστιν· ἀλλὰ διότι ἔστι καὶ ὑπόκειται, διὰ τοῦτο ἐξ αὐτοῦ τὸ αἰσθητὸν γίνεται. τὸ οὖν εἴτε ὄντος τινὸς τοῦ ὑποκειμένου σημαίνει εἴτε εἶναι λεγο- 45
μένου παρ' αὐτῶν εἴτε μὴ εἶναι. οὐδὲ γὰρ ἐκεῖνοι προσδιώριζον τοῦτο τὸ ἀναίσθητον, ἐξ οὗ τὴν γένεσιν ἔλεγον, εἴτε τῶν ὄντων καὶ ἐν ὑπάρξει ἦν εἴτε μή. ὅ τι γὰρ ἂν τούτων ὑπάρχῃ, οὐκ ἐπιλείψει ἡ γένεσις. εἰ μὲν γὰρ τῶν ὄντων ἐστὶ τὸ ἀναίσθητον, εἰς ὃ ἡ φθορὰ καὶ ἐξ οὗ ἡ γένεσις, δι' αὐτὸ τοῦτο οὐκ ἐπιλείψει, ἐπεὶ μὴ εἰς τὸ πάντῃ μὴ ὂν ἡ φθορά· εἰ δὲ τῶν μὴ ὄντων, ἐπειδήπερ ἡ μὲν φθορὰ τοῦ μὴ ὄντος ἐστὶ γένεσις ⟨ἡ δὲ γένεσις⟩ φθορὰ τοῦ μὴ ὄντος, πάλιν οὐκ ἐπιλείψει, διαδεχομένων 50
ἄλληλα τοῦ ὄντος τε καὶ μὴ ὄντος.

p. 319a29 Ἀλλὰ τοῦτο τὸ μὴ ὂν ἁπλῶς πότερον τὸ ἕτερον τῶν ἐναντίων ἐστίν.

Ἐν τοῖς προλαβοῦσιν ἐζήτει εἰ ἔστι τι ἁπλῶς γινόμενον, τουτέστιν κυρίως, καὶ ἔλεγεν ἐκ τοῦ ἁπλῶς | μὴ ὄντος γίνεσθαι. διὸ ἄξας οὖν 15r

---

2 δὲ om. T¹ 4 et 12 εἴτε καὶ μή Z 9 ὅρα ἀκριβῶς ὅπως Z 11 μηδαμῇ om. Z 13 εἰς prius om. T¹ μεταβάλλειν Z: μεταβάλλειν εἰς (εἰς in τὸ mutavit a) αἰσθητὸν GRTa 14 τινὸς τοῦ ὑποκειμένου Z 15. 16 τουτέστιν — εἴτε μή om. add. mrg. T² 15 ὕπαρξιν ἔχοντος Z 16 οὐ διότι a: οὐδ' ὅτι cett. 17 τὸ om. G (item T ubi verba φασι τοῦτο ἀναί— T² in ras. scripsit) 20 οὐ γὰρ Z προδιώριζον T¹: προσδιωρίζοντο a 25 εἰ] ἡ GT 26 ἡ δὲ γένεσις addidit a 28 post ἁπλῶς ex interpolato, ut opinor, Aristotele addunt ἀπορήσειεν ἄν (particulam om. a et Ar. codd.) τις GTa πότερον R¹

ἱκανῶς περὶ τῆς ἁπλῆς γενέσεως καὶ τοῦ ἁπλῶς ὄντος καὶ κατὰ πόσα 15r
σημαινόμενα λέγεται, νῦν ζητεῖ περὶ τοῦ ἁπλῶς μὴ ὄντος τί σημαίνει.
μήποτε τὸ ἕτερον τῶν ἐναντίων, τὸ κατὰ τὴν στερητικὴν διαφορὰν
χαρακτηριζόμενον, οἷον γῆς καὶ πυρός; ἆρα τὸ μὴ ὂν τὴν γῆν φαμεν
5 εἶναι ὂν δὲ τὸ πῦρ; ἢ οὐ περὶ τούτων τῶν καταχρηστικῶς λεγομένων ὁ 5
λόγος, ἀλλ' ἡ ζήτησίς ἐστι καθόλου περὶ τῶν κυρίως ὄντων καὶ κατ'
οὐσίαν, ὅταν φῶμεν αὐτὰ ἐκ μὴ ὄντος γίνεσθαι, ὁποῖόν τι τὸ μὴ ὂν
νοοῦμεν εἶναι: ὅπερ οὖν ἀνωτέρω ἔλεγε. φάσκων τὸ μὴ ὂν τοῦτο εἶναι
τὸ δυνάμει μὲν ὂν ἐντελεχείᾳ δὲ μὴ ὄν, τοῦτο σαφέστερον ἐνταῦθά φησιν.
10 ἡ ὕλη γάρ, φησίν, ἐστὶ τὸ μὴ ὄν, ἐξ ἧς καὶ τὸ πῦρ καὶ ἡ γῆ γεννᾶται.
εἰ δὲ λέγοις ὅτι ἡ ὕλη αὐτὴ καθ' αὑτὴν οὐχ ὑφίσταται, ἀλλ' ἔστιν ἀεὶ
μετά τινος εἴδους, ὡς μηδέποτε ἐκ μὴ ὄντος ἀλλ' ἐξ ὄντος γίνεσθαι τὸ
γινόμενον, ἐρῶ πρὸς τοῦτο, ὅπερ καὶ ἀνωτέρω προειρήκαμεν, ὅτι τὸ εἶδος 10
τῇ ὕλῃ πρὸς μὲν ὕπαρξιν συντελεῖ, πρὸς μέντοι γένεσιν τοῦ ὅπερ οὐκ ἔστιν
15 οὐδὲν συμβάλλεται. οὐδὲ γὰρ ὡς ἐνεργείᾳ εἰ τύχοι γῆ οὖσα μεταβάλλει
εἰς πῦρ, ἀλλ' ὡς δυνάμει οὖσα πῦρ, τοῦτο δὲ ὡς ὕλη αὐτῇ ὑπάρχει. ἐξ
ὕλης ἄρα τὸ γινόμενον. καθάπερ ὁ χαλκός, ἵνα τῷ Ἀλεξάνδρου τοῦ
ἐξηγητοῦ χρησώμεθα ὑποδείγματι, εἴπερ ἀδύνατον ἦν χωρὶς τοῦ εἴδους
τοῦ ἀνδριάντος ὑποστῆναι, μετέβαλλον δὲ εἰς ἀλλήλους οἱ ἀνδριάντες, 15
20 οὐ διὰ τοῦτο τῆς ἰδίας ἐστερεῖτο ὑπάρξεως, ἀλλ' ἦν ἕτερος τοῦ ἀνδριάντος· καὶ ὁ γινόμενος ἀνδριάς, εἰ καὶ μὴ ἐξ ἀργοῦ χαλκοῦ ἐγίνετο ἀλλ' ἐξ ἀνδριάντος, ὅμως οὐ λέγεται ἐξ ἀνδριάντος γεγονέναι ἀλλ' ἐκ τοῦ χαλκοῦ τοῦ ἀνδριάντος· οὕτως ἔχει καὶ τῆς ὕλης, ἐπειδὴ ἀεὶ μετά τινός ἐστιν εἴδους (μηδὲν γὰρ οὖσα ἐνεργείᾳ ἀνυπόστατός ἐστι), τὸ γινό-
25 μενον ἐξ αὐτῆς ἀεὶ μὲν οὔσης μετά τινος γίνεται ὃ πρὸς ὕπαρξιν αὐτῇ συντελεῖ, οὐ μὴν ἐξ ἐκείνου ὅ ἐστιν ἐνεργείᾳ ἡ ὕλη γίνεται τὸ γινόμενον, 20
ἀλλ' ἐκ τῆς ὕλης ἥτις δυνάμει ἐστὶ σῶμα.

p. 319ᵃ33 Καὶ ἆρά γε ἑτέρα ἑκατέρου ἡ ὕλη, ἢ οὐκ ἂν γίνοιντο ἐξ ἀλλήλων οὐδ' ἐξ ἐναντίων;

30 Εἰπὼν τὸ ἁπλῶς μὴ ὂν ἕτερον εἶναι τῶν γινομένων, οὐ τὸ δοκοῦν ἧττον εἶναι διὰ τὸ τὰς στερητικὰς ἔχειν διαφοράς, ἀλλὰ τὸ ὑποκείμενον ἀμφοῖν, καὶ τῷ ἧττον ὄντι καὶ τῷ μᾶλλον, νῦν ζητεῖ ἐφεξῆς εἰ ἑκατέρου 25
ἐκείνων, τῆς τε γῆς καὶ πυρὸς ὧν ἐμνημόνευσεν, ἕτερόν ἐστι τὸ ὑποκει-

5 ἢ οὔ. οὐ περὶ R καταχρηστικῶν GT¹ 7 φαμὲν R¹ ὂν om. a 8 ἀνωτέρω p. 317ᵇ16 9 ἐνδελεχείᾳ Z, qui mox τοῦτο om. 11 λέγεις T 13 ἐρεῖ corr. T²: ἐροῦμεν a 13. 14 ὅτι τῇ ὕλῃ τὸ εἶδος Z, qui proximum μὲν om. 17 χαλκὸς τοῦ ἀνδριάντος ὕλη, ἵνα τῷ τοῦ Ἀλεξάνδρου a 19 μετέβαλλον scripsi: μεταβάλλον GR(T¹?): μεταβάλλων Z: μεταβάλλουσι T²: μεταβαλλόντων δὲ εἰς ἀλλήλους τῶν ἀνδριάντων coni. a 21. 22 ἀλλ' ἐξ RZa: ἀλλ' εἰ GT¹: ἀλλ' ἢ T² 23 καὶ ἐπὶ a 24 ἀνυπόστατον R ⟨καὶ⟩ τὸ a 25 ὅ om. T¹ 28 ἆρα R: ἄρα cett. ἢ] ἢ GT γίνοιντο Z: γίγνοιντο R: γένοιντο GT: γίνοιτο a Aristot. 29 οὐδὲ ἐξ R 32 νῦν om. a 33 ἐστι] εἶναι R

μενον. τοῦτο δὲ συντόμως ἀναιρεῖ λέγων ὅτι εἰ ἕτερον ἦν ἑκατέρου καὶ 15r
μὴ ταὐτὸν τὸ ὑποκείμενον, οὐκέτ' ἂν ἐξ ἀλλήλων ἐγίνοντο ὡς ἐξ ἐναντίων·
τὰ γὰρ ἐναντία ἐξ ἀλλήλων γίνεται τοῦ αὐτοῦ ὄντος τοῦ ὑποκειμένου.
κεῖται δὲ ἐξ ἀρχῆς τὸ τὴν ἄλλου γένεσιν ἄλλου φθορὰν εἶναι· οὐχ ἕτερον
5 ἄρα τὸ ὑποκείμενον τῶν ἐναντίων, γῆς φημι καὶ πυρός. ὅτι δὲ ἐναντίωσις
ὑπάρχει γῇ καὶ πυρί, δείξει κατὰ τὸν ἐφεξῆς λόγον· ἐξ ἀλλήλων ἄρα 30
ταῦτα ὡς ἐξ ἐναντίων. εἰ δὲ τοῦτο, κοινὴ καὶ μία ἀμφοτέρων ἡ ὕλη.

p. 319b2 Ἢ ἔστι μὲν ὡς ἡ αὐτή, ἔστι δ' ὡς ἑτέρα.

Ἐπεξεργαζόμενος τὸν πρότερον λόγον ⟨λέγει⟩ ὅτι κατά τι μὲν ἡ αὐτή
10 ἐστιν ὕλη τῶν γινομένων, κατά τι δὲ ἑτέρα· πῶς δὲ ἡ αὐτὴ καὶ πῶς
ἑτέρα προστίθησι.

p. 319b3 Ὃ μὲν γάρ ποτε ὂν ὑπόκειται τὸ αὐτό, τὸ δὲ εἶναι οὐ τὸ αὐτό.

Ἡ ὕλη, φησί, καθὸ ὕλη ἐστὶ καὶ κατὰ τὴν ἰδίαν φύσιν ὅ ποτε ὄν 35
15 ἐστιν, ἡ αὐτή ἐστι πᾶσιν οἷς ὑπόκειται. τὸ γὰρ ὅ ποτε ὂν τῷ Ἀριστοτέλει
τὸ ὑποκείμενον * * * οὖν καί, ἵν' οὕτως εἴπω, τὴν αὐτῆς φύσιν μία πάντων
ἐστὶν ἡ ὕλη· ὁμοίαν γὰρ ἐπιτηδειότητα καθὸ ὕλη ἐστὶ πρὸς πάντα ἔχει.
ἐπειδὴ δὲ τὸ εἶναι καὶ ⟨ἡ⟩ ὑπόστασις αὐτῇ ἀεὶ μετά τινός ἐστιν εἴδους,
οὐχ ἡ αὐτὴ ἔσται ὕλη κατὰ τὸ εἶδος καὶ τὴν ὕπαρξιν ἅπασιν. ἡ δὲ
20 κατὰ τὸ εἶδος θεωρουμένη ἐστὶν ἡ προσεχής, οἷον ἡ μὲν πυρὶ ὑποκει-
μένη ἀήρ ἐστιν, ἡ δὲ τῷ ἀέρι ὕδωρ ἐνεργείᾳ ἂν οὕτως τύχῃ, ἡ δὲ τῷ
ὕδατι γῆ. πυρὶ οὖν καὶ ὕδατι ὑπόκειται γῆ τε καὶ ἀήρ, ταῦτα δὲ κατὰ 40
μὲν τὸν τῆς ὕλης λόγον τὰ αὐτά, κατὰ δὲ τὸ εἶδος διάφορα, οὐκέτι ὡς
πρώτη ὕλη ἀλλ' ὡς προσεχὴς θεωρουμένη. ἔστι δὲ καὶ οὕτως εἰπεῖν·
25 ἐπειδή, ὡς καὶ ἐφεξῆς μέλλει ῥηθῆναι, ἡ ὕλη κατὰ μὲν τὸ ὑποκείμενον
ἡ αὐτή ἐστι, κατὰ δὲ τὸν λόγον διάφορος, ὡς ἂν καὶ διαφόρων λόγους
ἔχουσα ἐν αὐτῇ, ἐν πυρὶ καὶ γῇ καὶ τοῖς ἄλλοις κατὰ μὲν τὸ ὑποκεί-
μενον ἡ αὐτή ἐστι, κατὰ δὲ τὸν λόγον διάφορος. οὐ γὰρ κατὰ τὸν αὐτὸν
λόγον πυρὸς καὶ γῆς καὶ τῶν ἄλλων τὰ εἴδη δέχεται· κατ' ἄλλον μὲν γὰρ 45

---

2 ἐγένοντο Z 3 τοῦ alterum om. Z 8 ἡ ἑτέρα (Z)a et Ar. vulg. 9 λέγει addidi: φησὶν Fa: om. cett. 11. 13 προστίθησι. φησὶ γὰρ ὅτι ἡ ὕλη καθ' ὅ om. hic lemm. a 12 ὂν] ὢν R 12. 13 οὐ τὸ αὐτό RZ: οὐ ταυτὸ GT 14. 15 ὁπότε (sic) ὄν ἐστιν GRTZ: om. a 16 lacunam (fere ⟨σημαίνει. κατὰ τὸ ὑποκείμενον⟩) signavi; cf. cod. F, ubi ὃ μὲν γάρ ποτε ὄν, τουτέστι κατὰ μὲν τὸ ὑποκείμενον καὶ τὴν αὐτὴν φύσιν, μία πάντων ἐστὶν ἡ ὕλη κτλ. οὖν GTR: δηλοῖ Z: νοεῖ a οὕτως om. Z αὐτῆς libri 18 ἡ addidi (habet F) αὕτη (pro αὐτῇ) R 21 ἂν οὕτω τύχῃ ἐνεργείᾳ a 24 προσεχὴς Ra: προσεχοῦς GTZ 26. 28 κατὰ δὲ τὸν—ἡ αὐτή ἐστι om. Z 27 ἐν αὐτῇ libri καὶ (ante γῇ) om. R 28 τὸν λόγον] τὸν αὐτὸν λόγον RZ

λόγον γῆς, κατ᾽ ἄλλον πυρὸς εἶδος δέχεται, κατὰ ἄλλους τε λόγους τὰ 15r
τῶν ἄλλων εἴδη.

p. 319ᵇ6 Περὶ δὲ γενέσεως καὶ ἀλλοιώσεως λέγωμεν τίνι διαφέρουσι. |

Τίνι διενήνοχε γένεσις ἀλλοιώσεως εἴρηται μὲν αὐτῷ ἐπὶ βραχὺ καὶ 15v
πρόσθεν, οὐ μὴν ἀλλὰ καὶ νῦν ἀναλαβὼν πάλιν ἐν τάξει περὶ αὐτῶν λέγει.
εἰρηκὼς γὰρ ὅσα περὶ γενέσεως ἐχρῆν ζητῆσαι, τί τέ ἐστι καὶ εἰ ἔστιν 5
ὅλως καὶ ἐκ τίνος καὶ πόθεν γίνεται τὰ γινόμενα καὶ διὰ τί οὐκ ἐπιλείπει
ἡ γένεσις, εὐκαίρως νῦν ζητεῖ τίνι διενήνοχε τῶν ἄλλων μεταβολῶν, καὶ
πρῶτον τῆς ἀλλοιώσεως, διακρίνων αὐτὰς ἀλλήλων τοῦτον τὸν τρόπον.
ἐπειδὴ γάρ, φησίν, ἔστι τὸ μέν τι ὑποκείμενον ὅπερ σημαίνει τὴν οὐσίαν,
τὸ δὲ πάθος ὅπερ καὶ συμβεβηκὸς ὀνομάζεται, ἔστι δὲ κατὰ ἀμφότερα
μεταβολή (καὶ κατὰ τὴν οὐσίαν, ὅπερ καλεῖ ὑποκείμενον, καὶ κατὰ τὸ
πάθος, τουτέστι τὸ συμβεβηκός), ἡ μὲν κατὰ τὸ ὑποκείμενον μεταβολὴ 10
γένεσίς ἐστιν, ἡ δὲ κατὰ τὰ πάθη μένοντος τοῦ ὑποκειμένου ἀμεταβλήτου
ἀλλοίωσις. ταῦτα εἰπὼν ἀπορίαν τινά, ἣν ἄν τις ἀπερισκέπτως προήγαγε
πρὸς τὰ εἰρημένα, ταύτην καὶ τίθησι γυμνάζων καὶ ἐπιλύεται. εἰ γὰρ ἡ
περὶ τὸ ὑποκείμενον αἰσθητὸν ὂν καὶ τὸ αὐτὸ μένον γινομένη μεταβολή,
τουτέστιν εἰ ἡ περὶ εἰδοποιημένον ὑποκείμενον γινομένη μεταβολὴ
ἀλλοίωσίς ἐστιν, ἐπειδὴ ἐν τῇ ἐξ ἀέρος εἰς ὕδωρ μεταβολῇ τὸ μὲν διαφανὲς καὶ ὑγρότης μένει, ἡ δὲ μεταβολὴ κατὰ τὸ θερμὸν καὶ ψυχρὸν 15
γίνεται, ἔσται ἡ τοῦ ἀέρος εἰς ὕδωρ μεταβολὴ ἀλλοίωσις· περὶ γὰρ ὑποκείμενον εἰδοποιημένον, τὸ διαφανές φημι καὶ ὑγρόν, γίνεται ἡ μεταβολή.
κατὰ τὸν αὐτὸν δὲ λόγον ἔστιν ἀπορῆσαι κἀπὶ τῶν ἄλλων στοιχείων.
πάντα γὰρ τὰ ἐφεξῆς ἀλλήλων τὴν μὲν ἔχουσι κοινὴν διαφοράν, τὴν δὲ
ἑτέραν ἐναντίαν· πῦρ μὲν γὰρ καὶ ἀὴρ κοινωνοῦντα κατὰ τὸ θερμὸν
διαφέρει κατὰ τὸ ὑγρὸν καὶ ξηρόν, ἀὴρ δὲ καὶ ὕδωρ τὴν αὐτὴν ἔχοντα
ὑγρότητα ἐναντία ἐστὶ κατὰ τὴν ἑτέραν ἀντίθεσιν. κοινὴ τοίνυν ἐπὶ τῶν
ἐφεξῆς ἀλλήλων ἡ ἀπορία. πρὸς δὲ ταύτην ἁπάντων τὴν ἀπορίαν ὁ
Ἀριστοτέλης φησὶν ὅτι εἰ μὲν πάθος ὑπῆρχε τοῦ ὑπομένοντος ὑγροῦ καὶ
διαφανοῦς τὸ θερμὸν καὶ τὸ ψυχρόν, καθ᾽ ἃ ἡ εἰς ἄλληλα μεταβολὴ
αὐτῶν γίνεται, ἀλλοίωσις ἦν ἄν, ὡς ἔχει ἐπὶ τοῦ θερμαινομένου ὕδατος 20
καὶ ψυχομένου. ἐκεῖσε γάρ, ἐπειδὴ ἡ ἐγγινομένη τῷ ὕδατι ποιότης
πάθος ἐστὶ καὶ συμβεβηκὸς μηδὲν συμβαλλομένη πρὸς τὸ εἶναι τῷ ὕδατι,

1 κατ᾽ (κατὰ R) ἄλλον GRT: κατὰ δὲ ἄλλον Z: κατ᾽ ἄλλον δὲ a 3 λέγομεν Ra τίνι] τί a Arist. 8 post ὅλως iterat ἐστὶν compend. R γίνεται] γὰρ R 9 ἀκαίρως et mox τοίνυν (pro τίνι) R 15 ἀμεταβλήτου T 16 προσήγαγε R 17 ταύτην καὶ om. Z 18 περὶ τὸ] περὶ τοῦ T 19 εἰ om. Z γενομένη Z 21 καὶ ἡ ὑγρότης R 24 τὸν αὐτὸν] ταυτ᾽ R 25 πάντων G: κατὰ πάντα a 25. 29 τὴν μὲν ἔχουσι — ἀλλήλων RZ: om. GTa 29 ἁπάντων (Z)a: ἁπάντων cett. 31 ἡ om. R¹ 33 ἐκεῖ a ἐγγενομένη Z 34 τῷ ὕδατι πρὸς τὸ εἶναι a

ἀλλοίωσίς ἐστι τὸ γινόμενον· ἐπὶ δὲ τῆς ἐξ ἀέρος εἰς ὕδωρ μεταβολῆς 15v
τὸ θερμὸν καὶ τὸ ψυχρὸν οὐκ ἔστι πάθη τοῦ ὑγροῦ καὶ διαφανοῦς, εἰ μή
τι ἄρα κατὰ συμβεβηκός, τῷ εἶναι ἀμφότερα τοῦ αὐτοῦ πάθη. ὡς ὅταν
ἐπὶ Σωκράτους τὸ φαλακρὸν ὑπάρχειν φαίημεν τῷ λευκῷ κατὰ συμβεβηκός,
5 τῷ ἀμφότερα καὶ τὸ λευκὸν καὶ τὸ φαλακρὸν τῷ αὐτῷ ὑπάρχειν· Σωκρά- 25
τους γὰρ ἀμφότερα πάθη. οὕτως οὖν κἀνταῦθα τὸ θερμὸν καὶ τὸ
ψυχρὸν τοῦ μὲν ὑγροῦ οὐκ ἂν εἴη πάθη, εἰ μὴ κατὰ συμβεβηκός, τῆς
δὲ ὕλης αὐτά τε ταῦτα, τὸ θερμὸν καὶ τὸ ψυχρόν φημι, καὶ ἡ ὑγρότης
πάθη ὑπάρχουσι τῆς ὕλης τῆς ἀνειδέου, πάθη δὲ εἰδοποιὰ καὶ τελειωτικά·
10 εἰ γὰρ πάθος καὶ συμβεβηκὸς τοῦ ὑγροῦ τὸ ψυχρόν, τὸ ὕδωρ οὐκ ἔχει
τὸ εἶναι κατὰ τὴν ὑγρότητα καὶ ψυχρότητα, ἀλλὰ κατὰ τὴν ὑγρότητα
μόνον. ὁμοίως δὲ καὶ τοῦ ἀέρος οὐχὶ ὑγρότης καὶ θερμότης, ἀλλ' ἡ 30
ὑγρότης μόνη ἐστὶ συμπληρωτική. εἰ δὲ ἡ ὑγρότης ἀμφοτέρων συμπλη-
ρωτικὴ τῆς οὐσίας ἐστί, τοῦ ὕδατος καὶ τοῦ ἀέρος, οὐχ ἕξουσι διαφο-
15 ρὰς αἷς χωρισθήσονται κατ' οὐσίαν· τὰ γὰρ πάθη οὐ ποιεῖ διαφορὰς
οὐσιώδεις. οὐκ ἄρα πάθη τὸ θερμὸν καὶ τὸ ψυχρὸν τοῦ ἀέρος καὶ τοῦ
ὕδατος, καθ' ἃ καὶ μεταβάλλουσιν ἐν τῇ ἐξ ἀλλήλων γενέσει. ἀλλ' οὐδὲ
τοῦ ὑγροῦ πάθος καὶ συμβεβηκὸς τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἐπεὶ οὐκ ἂν
συνδυασθέντα μίαν ἀπετέλεσεν οὐσίαν. εἰ δὲ μὴ πάθος, οὐδὲ ἀλλοίωσις, 35
20 ὥσπερ ἔφασκεν ἡ ἀπορία· ἀλλοίωσις γὰρ ἐρρέθη εἶναι, ὅταν πάθος καὶ
συμβεβηκὸς ὑπάρχῃ, καθ' ὃ μεταβάλλει τὸ μεταβάλλον.

Προσθείη δ' ἄν τις τοῖς εἰρημένοις καὶ τοῦτο, ὅτι οὐδὲ κυρίως ἡ
αὐτὴ ὑγρότης ἐν ἀέρι καὶ ἐν ὕδατι. οὐδὲ διαφάνεια ἀπαραλλάκτως ἡ
αὐτή· ὁ γὰρ ἀὴρ καὶ διαφανέστερός ἐστι τοῦ ὕδατος καὶ ὑγρότερος. ὥστε
25 οὐκ ἔμεινεν ἀπαθὴς ἐν τῇ εἰς ἀέρα ἐξ ὕδατος μεταβολῇ οὔτε ἡ ὑγρότης
τοῦ ὕδατος οὔτε ἡ διαφάνεια, ἐπεὶ οὐδ' ἡ ἐν ἀέρι καὶ ἐν πυρὶ θερμότης 40
κατ' εἶδος ἡ αὐτή ἐστι. καὶ ἐν τοῖς συνθέτοις δὲ πολλά ἐστι κατὰ γένος
θερμὰ τῷ εἴδει διαφέροντα· ἄλλη γὰρ ἡ ἐν οἴνῳ θερμότης, καὶ ἄλλη ἡ
ἐν πέπερι ἢ καστορείῳ ἢ βαλσάμῳ καὶ τοῖς παραπλησίοις. δεῖ οὖν εἰδέ-
30 ναι ὅτι ὥσπερ εἰ ἐξ οἴνου αἷμα γένοιτο, ὅλη ἡ τοῦ οἴνου ἰδέα φθείρε-
ται καὶ ἄλλη τις κατ' εἶδος ἡ ἐν τῷ αἵματι θερμότης γίνεται, οὕτως καὶ
ἐπὶ τῆς τῶν στοιχείων ἐξ ἀλλήλων συμβαίνει γενέσεως. καὶ εἴ τίς γε
μὴ κατ' εἶδος διάφορον εἶναι βούλοιτο τὴν ἐν πυρὶ καὶ ἀέρι θερμότητα ἢ 45
ἢ τὴν ἐν ὕδατι καὶ ἀέρι ὑγρότητα, κατ' ἐπίτασιν δὲ μόνον καὶ ἄνεσιν
35 διαφέρειν, ἐκείνῳ γοῦν ἐξ ἀνάγκης συγχωρήσει, ἀριθμῷ διαφόρους εἶναι
ταύτας. ὡς γὰρ τὸ σίνηπι ἢ τὸ πέπερι σπειρόμενον, εἰ καὶ τὴν αὐτὴν
κατ' εἶδος γεννᾷ θερμότητα ἐν τοῖς ἐξ αὐτῶν βλαστάνουσιν ὁμοειδέσιν οὖσιν,

---

1 εἰς] εἰ G 2 οὐκ ἔστι RZ: οὐκέτι GTa 7. 8 τῆς δὲ ἀνειδέου ὕλης (omissis mox τῆς ὕλης τῆς ἀνειδέου) Z 8 φησι GT 9 ὑπάρχουσα T 10 τὸ ψυχρὸν ὕδωρ, οὐκ a 12 οὐχὶ GRTa: οὐχὶ ἡ Z 13 εἰ] ἡ TZ ἡ Ra: om. GTZ 14 οὐχ] ἀλλ' GT 19 ἀπετέλεσαν Z οὐδὲ] μὴ δὲ a 21 ὑπάρχει R¹T, at ὑπάρχῃ in iteratis (v. ad p. 66,31) R 24 διαφανέστερόν GT 29 πέπερι GRT: πεπέρει Z: πιπέρει a καστορίῳ Z 30 εἰ om. GT¹ 31 αἵματι] ὕδατι Z γίνεται] γὰρ R οὕτω a 32 γε RZ: om. GTa 35 ἐξ ἀνάγκη a 36 εἰ] εἰ GT

ἀλλ' οὖν γε ἀριθμῷ διάφορος εἶναι ὡμολόγηται ἥ τε ἐν τῷ σπέρματι 15r
καὶ ἡ ἐν τῷ ἐξ αὐτοῦ γενομένῳ καρπῷ ποιότης, οὕτως ἀνάγκη καὶ
ἐπὶ τῶν στοιχείων ἐννοεῖν ὅτι πάσης τῆς τοῦ ἀέρος ἰδέας φθειρομένης 50
γίνεται τὸ ὕδωρ. εἰ οὖν καί τις συγχωρήσει καὶ ἐν τῷ ὕδατι κατ' εἶδος
5 τὴν αὐτὴν ὑγρότητα καὶ διαφάνειαν γεννᾶσθαι, ἀριθμῷ γοῦν ἑτέραν εἶναι
λέγειν ἀναγκασθήσεται. ὥστε οὐδὲν ὑπομένει τοῦ ἀέρος πλὴν τῆς ὕλης.
οὐκ ἄρα ἐξ εἰδοπεποιημένου εἰς εἰδοπεποιημένον ἡ μεταβολή, ἀλλ' ἐξ
ἀνειδέου εἰς εἰδοπεποιημένον, εἴπερ μόνον τὸ ἀνείδεον ὑπέμεινεν. ὥστε
οὐδὲ ἀλλοίωσις ἡ ἐξ ὕδατος εἰς ἀέρα μεταβολή.

10 p. 319b10 Ἀλλοίωσις μέν ἐστιν, ὅταν ὑπομένοντος τοῦ ὑποκειμένου αἰσθητοῦ ὄντος μεταβάλλῃ ἐν τοῖς ἑαυτοῦ πάθεσι.

Καλῶς προστέθεικε τὸ αἰσθητοῦ ὄντος τοῦ ὑπο|κειμένου, 16r
τουτέστι τοῦ ὑποκειμένου αἰσθητοῦ ὄντος καὶ ὑπομένοντος, καθ' ὃ αἰσθη-
τόν ἐστιν ἐνεργείᾳ τόδε τι καὶ εἰδοπεποιημένον. τοῦτο δὲ πρὸς ἀντιδιαστο-
15 λὴν εἴρηται τῆς ὕλης. καὶ γὰρ καὶ ἡ ὕλη ὑποκείμενον οὖσα ἡ αὐτὴ
ὑπομένει κατὰ τὰς γενέσεις, καὶ ὅμως οὐκ ἀλλοίωσίς ἐστι τότε, ἀλλὰ
γένεσις· οὐ γὰρ αἰσθητὸν ἡ ὕλη οὐδὲ ἐνεργείᾳ τόδε τι. ὅμοιον οὖν ὡς
εἰ ἔλεγεν· ὅταν τὸ ὑποκείμενον συναμφότερον ὄν, ὕλη καὶ εἶδος, μεῖναν τὸ 5
αὐτὸ μεταβάλλῃ κατά τι πάθος τοῦ συναμφοτέρου καὶ αἰσθητοῦ, τότε
20 ἀλλοίωσίς ἐστιν· ἐπὶ γὰρ τῆς γενέσεως τὸ ὑποκείμενον ὅπερ ὑπομένει ἡ
ὕλη ἐστὶ μεταβάλλουσα κατ' εἶδος. τὸ δὲ ἐν τοῖς ἑαυτοῦ πάθεσι πρόσ-
κειται δηλοῦν τὸ κατὰ τὰ ἐν ἑαυτῷ πάθη κινούμενον καὶ ἀλλάσσον ταῦτα
τὰ πάθη, οὐ κατὰ τὴν σχέσιν τὴν πρὸς ἄλλο· τὰ γὰρ κατά τι πάθος
ἔξωθεν μεταβάλλοντα μετέβαλλε μέν, οὐκ ἠλλοίωται δέ. οἷον τὸ δεξιὸν
25 γινόμενον ἀντὶ ἀριστεροῦ ἤλλαχε μὲν τὸ πάθος, οὐ μὴν ἠλλοίωται· οὐδὲ 10
γὰρ ἡ μεταβολὴ γέγονεν ἐν τοῖς ἐν αὐτῷ πάθεσιν ἃ ἀναδέδεκται· ἢ καὶ
ὅταν ὁ δοῦλος γένοιτο δεσπότης ἢ ὁ δεσπότης δοῦλος. δύναται δὲ τὸ ἐν
τοῖς ἑαυτοῦ πάθεσι σημαίνειν τὸ ἐφεξῆς μέλλον ῥηθῆναι, ὅπερ καὶ
ἤδη προτεθεώρηται· ἐν γὰρ τῇ εἰς ἄλληλα μεταβολῇ τῶν στοιχείων
30 κοινὸν μέν τι ὑπομένει, φησίν, αἰσθητόν, ἀλλ' εἰς ὃ καὶ καθ' ὃ ἡ μετα-
βολὴ οὐκ ἔστι πάθος τοῦ ὑπομένοντος. οἷον ἐν τῇ εἰς ὕδωρ μεταβολῇ

---

2 γινομένῳ a 5 εἶναι om. Z 6 ἀέρος] ἔαρος R 9 ἡ] ἢ T εἰς] ἡ εἰς R μεταβολὴ εἰς ἀέρα Z 10 lemma solito more om. hic a, qui pergit καλῶς δὲ προσέθηκε μέν RZ: μὲν οὖν GTa; cf. Ar. codd. 11 μεταβάλῃ T πάθεσιν R 13 τουτέστι τοῦ ὑποκειμένου αἰσθητοῦ ὄντος GRT: om. Z: δηλονότι αἰσθητοῦ ὄντος τοῦ ὑποκειμένου a 14 τὸ δέ τι libri; sim. v. 17 19 μεταβάλλει GR[1]: μεταβάλει (ά in ras.; ει in η mut. m[2]) T 20 ἐπὶ] ἐπειδὴ GT 21. 22 πρόκειται R, qui mox om. τὰ 22 ἐλάσσον R 24 μετέβαλε Z 25 οὐδὲ] οὐ Z 26 ἐν ἑαυτῷ a ἀναδέδεικται R 27 γένηται Fa ἢ ὁ δεσπότης δοῦλος om. Z 28 μέλλον a: μᾶλλον cett. 30 ὑπομένειν φησὶν a καὶ om. GT 31 οἷον ἐν τῇ [f. 59r] ἡ ἀπορία· ἀλλοίωσις γὰρ — τὸ μεταβάλλον πρ (sic, sc. iterat p. 65,20 — 22 aberrans ad initium folii 58v) ἐν τῇ εἰς ὕδωρ μεταβολῇ R[1] 31. p. 67,1 τοῦ ἀέρος μεταβολῇ Z

τοῦ ἀέρος κοινὸν μὲν ὑπομένει τὸ διαφανὲς αἰσθητὸν ὄν, οὐ μὴν τοῦ 16r
διαφανοῦς οὔτε τοῦ ὑγροῦ πάθος ἐστὶ καθ' ὃ ἡ μεταρολὴ τῷ ἀέρι εἰς τὸ 16
ὕδωρ γίνεται, κατὰ τὸ θερμὸν δὲ καὶ ψυχρὸν ἡ μεταβολή. τὸ δὲ ἐφεξῆς
εἰρημένον πρόδηλόν ἐστι. τὰ γὰρ κατὰ τὰ πάθη μεταβάλλοντα ἢ κατὰ
5 τὰ ἐναντία καὶ ἄκρα πάθη ὧν ἔχει μεταβάλλει ἢ κατὰ τὰ μεταξύ. καὶ
αὐτὰ δὲ τὰ μεταξὺ τῶν ἐναντίων μετέχοντα κατὰ τὰ ἐναντία ποιεῖται τὴν
μεταβολήν· τὸ γὰρ φαιὸν μετέχον λευκοῦ καὶ μέλανος, εἰ μεταβάλοι εἰς
μέλαν, οὐχ ᾗ μετέχει τοῦ μέλανος, ἀλλ' ᾗ τοῦ λευκοῦ μετέχει τὴν εἰς 20
τὸ μέλαν ποιεῖται μεταβολήν.

10 p. 319ᵇ14 Ὅταν δὲ ὅλον μεταβάλῃ μὴ ὑπομένοντος αἰσθητοῦ τινος.

Τὸ ὅλον μεταβάλῃ εἴρηκεν ἀντὶ τοῦ κατ' οὐσίαν καθ' ὅ τι [δὲ] ἐστί. τοῦτο δὲ γίνεται, ὅταν μηδὲν ὑπομένῃ αἰσθητὸν ὡς ὑποκείμενον. τὸ δὲ 'ἐξ ἅπαντος' καὶ 'ἐξ ἁπάσης' τοῦ αὐτοῦ ἐστι σημαντικόν, τὴν καθ' ὅλον
15 καὶ κατ' οὐσίαν δηλοῦν μεταβολήν.

p. 319ᵇ18 Μάλιστα δ' ἂν ἡ μεταβολὴ γίνηται ἐξ ἀναισθήτου εἰς αἰσθητὸν ἢ ἁφῆ.

Οὐχ ὅτι μάλιστα γένεσις τότε, ἀλλ' ὅτι δοκεῖ τοῖς πολλοῖς, οἳ τῷ αἰσθητῷ καὶ μὴ αἰσθητῷ τὸ ὂν καὶ τὸ μὴ ὂν ὁρίζονται, ὡς εἴρηκε πρὸ
20 ὀλίγου. ἁφῇ δὲ ἀναίσθητον τὸ μὴ στερεὸν μηδὲ ἀντιτυπίαν ἔχον φησίν, 25
ὥσπερ καὶ τὸ ταῦτα ἔχον αἰσθητὸν ἁφῇ, ὡς ἔχει γῇ καὶ ὕδωρ πρὸς ἀέρα.

p. 319ᵇ21 Ἐν δὲ τούτοις ἄν τι ὑπομένῃ τὸ αὐτὸ πάθος ἐναντιώσεως ἐν τῷ γενομένῳ καὶ τῷ φθαρέντι.

25 Νῦν μὲν τὴν προειρημένην ἀπορίαν γυμνάζει, ὃ δέ φησι τοῦτό ἐστι· 31
τῶν εἰς τὰ ἐναντία μεταβαλλόντων, ἐὰν κοινόν τι πάθος ὑπομείνῃ, ὡς ἐπὶ τοῦ ὕδατος καὶ ἀέρος * * * ἡ γὰρ ὕλη εἰς τὰ ἐναντία μεταβάλλει ἀὴρ

---

2 ἐστὶ om. GTa 3 ἡ om. T 4 κατὰ πάθη R 5 τἀναντία Z 7 μεταβάλλοι GTa 9 τὸ om. a 9. 12 μεταβολήν. τὸ δὲ ὅταν τὸ ὅλον μεταβάλῃ εἴρηκεν omisso hic, ut solet, lemmate a 10 et 12 μεταβάλλῃ GT (Ar. vulg.) 12 δὲ delevit a 14 ὅλον R: ὅλου (GTZ)a 15. 18 μεταβολήν. τὸ δὲ μάλιστα εἴρηκεν οὐχ ut solet a 16 γίνεται (sic) GRT: γένηται Z 17 ἢ ἁφῇ GT: ἢ ἁφῇ Z: ἡ ἁφὴ R 18. 19 οἳ τῷ αἰσθητοῦ (sic) R 19. 20 ὡς πρὸ ὀλίγου εἴρηκε Z 23 ἐάν τι a πάθος τὸ αὐτὸ Za Arist. 24 καὶ τῷ RZ: καὶ GT: καὶ ἐν τῷ a 25 Τὴν προειρημένην μὲν ἀπορίαν γυμνάζειν (sic) νῦν a τουτέστι R 26 τἀναντία Z ἐάν τι κοινὸν GTa 27 lacunam indicavi: οὐ δεῖ τοῦτο νομίζειν θατέρου μόνου πάθος supplet a

καὶ ὕδωρ γινομένη· εἰς θερμὸν γὰρ καὶ ψυχρόν, ἅπερ ἐναντία τυγχάνει. 16ᵛ
ἐναντίωσιν δὲ ἢ τὰ σώματα ὑπὸ ἐναντίων διαφορῶν εἰδοποιούμενα εἴρηκεν, 35
ἢ ἐναντίωσιν μὲν ἄκουε αὐτὰς τὰς ἐναντίας διαφοράς. πάθος δὲ ὁ θάτερόν
ἐστι μέρος τῆς ἐναντιώσεως, ὅπερ τὸ αὐτὸ μένει ἔν τε τῷ γινομένῳ καὶ
5 τῷ φθαρέντι. κοινῶς δὲ εἰπὼν ἐπὶ τοῦ ἀέρος καὶ τοῦ ὕδατος τὸ εἰ ἄμ-
φω διαφανῆ, ἐπήνεγκε τὸ ἢ ψυχρά, οὐχ ὡς τοῦ ἀέρος ψυχροῦ τὴν
φύσιν ὄντος, ἀλλ' ὡς ἐπὶ παραδείγματος τὸν λόγον προαγαγών. ἀληθέστερον
δὲ ἦν εἰπεῖν 'ἢ ὑγρά'· ἄμφω γὰρ ὑγρά. δυνατὸν δὲ τὸ ἢ ψυχρὰ ὡς
ἐν ὑποδείγματι εἰς ἕτερα στοιχεῖα τοῦ λόγου μεταβαίνοντος ἀκούειν, ὡς
10 ἐπὶ γῆς καὶ ὕδατος· ἄμφω γὰρ ψυχρά. ἐν τῇ εἰς ἄλληλα οὖν τούτων 40
μεταβολῇ ὑπομένει τὸ ψυχρόν.

p. 319ᵇ26 Εἰ μὲν οὖν τούτου μὴ πάθος ἦν καθ' αὑτὸ ἡ μουσική.

Ὃ φησι διὰ τούτων τοιοῦτόν ἐστιν. ἡ μεταβολή, φησί, τοῦ ἀέρος
εἰς ὕδωρ οὐκ ἔστιν ἀλλοίωσις, ἐπειδὴ ἐκεῖνο καθ' ὅ ἐστιν ἡ μεταβολή, 45
15 κατὰ θερμὸν δὲ καὶ ψυχρὸν δηλονότι. οὐκ ἔστι πάθος τοῦ μεταβάλλοντος
καθ' αὑτό. ἔστι δὲ τὸ μεταβάλλον τὸ διαφανές. τὸ γὰρ θερμὸν καὶ
ψυχρὸν πάθος οὐκ ἂν λεχθείη τοῦ διαφανοῦς εἶναι, εἰ μὴ κατὰ συμβεβη-
κός, τῷ αὐτά, τό τε θερμόν φημι καὶ τὸ ψυχρόν, τῇ αὐτῇ ὑπάρχειν ὕλῃ.
ὅταν γὰρ πάθος καθ' αὑτὸ ὑπάρχῃ τοῦ μεταβάλλοντος τὸ καθ' ὃ γίνεται
20 ἡ μεταβολή, ἀλλοίωσίς ἐστι τηνικαῦτα. ὡς ἔχει ἐπὶ τοῦ μουσικοῦ ἀνθρώ-
που καὶ ἀμούσου. κἀνταῦθα γάρ, εἰ μὴ τὸ μουσικὸν πάθος καθ' αὑτὸ 50
ὑπῆρχε τοῦ ἀνθρώπου, ἀλλ' ἦν κατὰ συμβεβηκὸς τῷ εἶναι ἐκείνου πάθος
οὗ καὶ ἄνθρωπος πάθος ὑπῆρχεν, ὥσπερ τὸ θερμὸν καὶ τὸ ψυχρὸν τοῦ
διαφανοῦς ἐλέγετο ὑπάρχειν, οὐκ ἦν ἂν ἀλλοίωσις ἡ ἐκ μουσικοῦ εἰς ἄμου-
25 σον μεταβολή, ἀλλὰ γένεσις, καθάπερ ἡ ἐξ ἀέρος εἰς ὕδωρ μεταβολή. νῦν
δὲ ἐπειδὴ ἀνθρώπου πάθος καθ' αὑτὸ τὸ μουσικὸν καὶ τὸ ἄμουσον, τοῦ
μὲν ἀνθρώπου ἀλλοίωσις ὑπάρχει ἡ κατὰ τὸ μουσικὸν καὶ ἄμουσον μετα-
βολή, τοῦ δὲ ὅλου τούτου τοῦ μουσικοῦ ἀνθρώπου καὶ ἀμούσου ἀνθρώ- 16ᵛ
που γένεσις καὶ φθορά· τὶς γὰρ γένεσις ἡ ἀλλοίωσις ἐλέχθη εἶναι.
30 Τὴν δὲ λέξιν ὑπερβατῶς συντεταγμένην καὶ ταύτῃ ἀσαφῆ οὖσαν
οὕτως ἀναγνωστέον 'εἰ μὲν οὖν τούτου μὴ πάθος ἦν καθ' αὑτὸ ἡ μου-
σικὴ καὶ ἀμουσία, τοῦ μὲν γένεσις ἦν ἂν τοῦ δὲ φθορά', εἶτα ἐφεξῆς τὸ
'νῦν δὲ πάθος τοῦτο τοῦ ὑπομένοντος', καὶ τότε τὸ 'διὸ ἀνθρώπου μὲν
ταῦτα πάθη, ἀνθρώπου δὲ μουσικοῦ καὶ ἀνθρώπου ἀμούσου γένεσις καὶ 5
35 φθορά', εἶθ' ὕστερον τὸ 'διὸ ἀλλοίωσις ταῦτα'. ἡ γὰρ τοῦ μουσικοῦ

2 εἰδοπεποιούμενα (sic) GT 3 ἄκου ἑαυτὰς a ἐναντίας om. Z 4 μένειν RT ἔν τε] ἐν a 5 τοῦ (post καὶ) om. (G)a 6 ἢ ψυχρά Aristot. libri 8 prius δὲ om. T¹ δύναται a 14. 15 καθ' ὃ ἡ μεταβολή ἐστι, κατὰ θερμὸν δέ ἐστι καὶ ψυχρόν, δῆλον ὅτι οὐκ a 18 αὐτά τε τὸ θερμόν libri: correxi τὸ (post καὶ) om. Z 21 εἰ om. add. T² 23 ὑπῆρχεν πάθος tr. et τὸ θερμὸν καὶ om. Z 27 καὶ τὸ ἄμουσον GTa 32 καὶ ἡ ἀμουσία a Ar. 33 τούτου τοῦ Z τὸ R: om. cett.

καθὸ μουσικός ἐστι γένεσις λεγομένη ἀλλοίωσίς ἐστιν. ἴσως δὲ καὶ κατὰ 16ᵛ γραφικὸν παῖσμα παρεντεθὲν τὸ διὸ ἀλλοίωσις ταῦτα αἴτιον ἀσαφείας γέγονε, καὶ χωρὶς αὐτοῦ τῆς διανοίας σῳζομένης.

p. 319ᵇ31 Ὅταν μὲν οὖν κατὰ ποσὸν ᾖ ἡ μεταβολή.

Διὰ τούτων νῦν ὁ Ἀριστοτέλης διδάσκει ὅτι οὐ πᾶσα ἡ κατὰ συμ- 11
βεβηκὸς μεταβολὴ τοῦ ὑποκειμένου καὶ αἰσθητοῦ ἀλλοίωσις, ὡς ἄν τις ἐκ τῶν προειρημένων ἔδοξεν ἀκούειν. καὶ γὰρ τὸ τηλικούτῳ αὐτῷ εἶναι συμβεβηκός ἐστι, καὶ ἡ κατὰ τοῦτο ἐναντίωσις μέγεθός ἐστι καὶ σμικρότης, ταῦτα δὲ τοῦ ποσοῦ, οὐ τῆς ποιότητος. εἰ οὖν κατὰ τὴν ἐν τῷ ποσῷ ἐναντιότητα μεταβάλλει τὸ ὑποκείμενον αἰσθητὸν ὄν, αὔξησις καὶ μείωσις 15
ἡ τοιαύτη μεταβολή· εἰ δὲ κατὰ πάθος καὶ κατὰ τὴν παθητικὴν ποιότητα γένοιτο ἡ μεταβολή, ἀλλοίωσις· εἰ δὲ καὶ κατὰ τόπον καὶ τὴν κατὰ τοῦτον ἐναντίωσιν, φορὰ ἡ τοιαύτη ἔσται μεταβολή. ταῦτα μὲν οὖν τὰ καθ' ἃ γέγονεν ἡ μεταβολή, ὑπομενούσης τῆς αἰσθητῆς οὐσίας ἡστινοσοῦν, συμβεβηκότα ὑπάρχει· ὅταν δέ, φησί, μηδὲν ὑπομένῃ αἰσθητὸν οὗ πάθος ἢ συμβεβηκός τί ἐστι καθ' ὃ ἡ μεταβολὴ γέγονε (τὸ γὰρ θάτερον τὸ καθ' ὃ ἡ μεταβολὴ γίνεται σημαίνει), τότε γένεσίς ἐστι καὶ φθορά. 20

p. 320ᵃ2 Ἔστι δὲ ἡ ὕλη μάλιστα μὲν κυρίως τὸ ὑποκείμενον.

Ἐνταῦθα τὴν ἀκριβῆ δόξαν Ἀριστοτέλους ἔχεις περὶ τοῦ τῆς ὕλης 25
σημαινομένου. κυρίως μὲν γάρ, φησίν, ὕλη λέγεται τὸ τῇ οὐσίᾳ ὑποκείμενον καὶ τῇ κυρίως γενέσει καὶ φθορᾷ, ἤδη δὲ καὶ πᾶν ὕλη ἐστὶν ἐκείνου ᾧτινι εἰς μεταβολὴν ὑπόκειται. ὡς γὰρ τοῦ γίνεσθαι μετέχει πάντα τὰ μεταβάλλοντα, οὕτως καὶ ὕλης· τὸ γὰρ ἐναντίων τινῶν ἐπιδεκτικὸν ὕλη ἐκείνου. ταύτῃ ἄρα καὶ ἡ κατ' ἐνέργειαν οὐσία καὶ ἡ αἰσθητή, ὕλη ἐστὶν ἀλλοιώσεως καὶ αὐξήσεως καὶ φθορᾶς, ὥσπερ προείρηται.

p. 320ᵃ8 Περὶ δὲ αὐξήσεως ἔστιν εἰπεῖν, τίνι τε διαφέρει γενέσεως καὶ ἀλλοιώσεως. 30

Εἰπὼν περὶ γενέσεως καὶ ἀλλοιώσεως, τί τε ἑκατέρα καὶ τίνι ἀλλή- 42

---

2 ταῦτα] τοιαῦτα Ar. 4 κατὰ τὸ ποσὸν e vulg. Aristotele a ἡ om. R 5 τοῦτον R¹ 7 τὸ Za: τῷ cett. αὐτῷ om. add. T² 8 μικρότης R 11 κατὰ τὸ πάθος a alterum κατὰ om. Z τὴν om. R 12 καὶ prius om. Z τοῦτον Za: τοῦτο GRT 15 ὑπάρχει Ra: ὑπάρχειν cett. οὗ τὸ πάθος GT 16 τὸ καθ'] τὸ καὶ καθ' Z 18 ἡ om. a et Ar. vulg. καὶ κυρίως GTa et Ar. vulg. 19 ἀριστοτλ' ἔχει Z 20 ὕλη R 21 ἐκείνου ἐστίν Z 23 οὕτω a ἐναντίον RT ἐπιλεκτικὸν a 25 καὶ prius om. R φορᾶς a 26 ἔστιν RZ: λοιπὸν GTa Arist. τίνι] τι Ar. (praeter cod. L) τε] τὸ R 28 Εἰπὼν—ἀλλοιώσεως om. R, et pergit τί τελ' ἑκατέρα

λων διαφέρουσι. μέτεισιν ἐπὶ τὸν περὶ αὐξήσεως λόγον. ὅσπερ ἐστὶ τρίτος 16v
τρόπος μεταβολῆς. δύο δέ ἐστιν ἃ προτίθεται ζητῆσαι, τίνι τε διαφέρει
τῶν ἄλλων μεταβολῶν ἡ αὔξησις καὶ ἡ μείωσις, καὶ πῶς αὔξεται τὰ αὐξό-
μενα· ἐν ᾧ ζητήσει τίς ἡ ὑποκειμένη ὕλη τῇ αὐξήσει, καὶ πῶς ἡ προσ- 45
θήκη γίνεται τῷ αὐξανομένῳ, καὶ τί τὸ αὐξόμενον, καὶ τί τὸ αὔξον. ἀλλὰ
πρῶτον νῦν προτίθεται εἰπεῖν πῇ διαφέρει γενέσεως καὶ ἀλλοιώσεως,
προϊὼν δὲ καὶ τῆς κατὰ τόπον μεταβολῆς διακρίνει, εἰ καὶ μὴ κατὰ πρῶ-
τον λόγον, ἀλλ' οἱονεὶ κατὰ πάρεργον. ὁ γὰρ περὶ τῆς κατὰ τόπον μετα-
βολῆς λόγος οὐκ ἴδιος τῆς Περὶ γενέσεως καὶ φθορᾶς πραγματείας, διὸ
μᾶλλον εὐκαιρότερον ἐν τῇ Περὶ οὐρανοῦ πραγματείᾳ τέλειον τὸν περὶ αὐτῆς 50
ἀποδέδωκε λόγον. ζητεῖ δὲ πότερον καθ' ἕν τι μόνον διαφέρει αὔξησις
γενέσεως καὶ ἀλλοιώσεως ἢ κατὰ πλείονα. ἵνα δὲ τοῦτο γνῶμεν, εἰδέναι
χρὴ ὡς τῶν ποιητικῶν τεχνῶν αἱ μὲν κατὰ τὴν ὕλην μόνον διαφέρουσιν
ἀλλήλων, οὐ μὴν κατ' εἶδος, ὡς χαλκευτικὴ καὶ ἀργυροχοϊκή (ὕλης γὰρ
διαφόρου οὖσαι, τῇ μὲν γὰρ χαλκὸς ὑπόκειται τῇ δὲ ἄργυρος, τοῦ αὐτοῦ
σχεδὸν εἴδους εἰσὶ δημιουργικαί· ἑκατέρα γὰρ ξέστην φέρε ποιεῖ καὶ πινά-
κιον καὶ τὰ παραπλήσια), αἱ δὲ κοινωνοῦσαι κατὰ τὴν ὕλην | διαφέρουσι 17r
κατ' εἶδος, ὡς τεκτονικὴ καὶ ναυπηγική (ὕλη μὲν γὰρ ἀμφοῖν κοινὴ τὰ
ξύλα, εἶδος δὲ ἡ μὲν τὸ τοῦ πλοίου ποιεῖ ἡ δὲ τὸ τῆς θύρας ἢ τὸ τοῦ
ἀβακίου), αἱ δὲ καὶ ὕλῃ διαφέρουσι καὶ εἴδει, αἵτινες καὶ πάντῃ κεχω-
ρισμέναι εἰσίν, ὡς τεκτονικὴ καὶ ἰατρική· ἡ μὲν γὰρ ὕλην ἔχει τὰ ξύλα
ἡ δὲ τὰ ἀνθρώπινα σώματα, καὶ ἡ μὲν τὸ τῆς θύρας ἢ τὸ τοῦ θρόνου
εἶδος ποιεῖ ἡ δὲ τὴν ὑγίειαν τῶν ἡμετέρων σωμάτων. δεῖ τοίνυν περὶ 5
γενέσεως καὶ αὐξήσεως τίνι διαφέρουσι ζητοῦντα ἰδεῖν * * * ἢ κατ'
ἄμφω διαφέρουσι καὶ κατὰ τὴν ὕλην καὶ κατὰ τὸ εἶδος. φημὶ οὖν ὅτι
πᾶσαι αἱ μεταβολαὶ καὶ κατ' ἄμφω ἀλλήλων διαφέρουσιν. ὕλῃ μὲν γὰρ
διαφέρουσι, διότι ἄλλῃ ἐν ἄλλῃ κατηγορίᾳ ὑφίσταται· ἡ μὲν γὰρ αὔξησις
καὶ μείωσις ὑπὸ τὸ ποσόν, ἡ δὲ γένεσις περὶ οὐσίαν, ἀλλοίωσις δὲ περὶ
τὸ ποιόν. ὅπερ ἐσήμανεν εἰπὼν ἐν τῷ περὶ ὅ· περὶ τοῦτο γὰρ ἕκαστον
τῶν μεταβαλλόντων μεταβάλλει. ὑφ' ὃ ὁ τρόπος τῆς μεταβολῆς ἀνάγεται. 10
οἷον τὸ γινόμενον καὶ φθειρόμενον περὶ οὐσίαν δηλονότι μεταβάλλει, ὑφ'
ἣν καὶ ἡ γένεσις καὶ ἡ φθορὰ ἀνάγεται. οὕτως δὲ κἀπὶ τῶν ἄλλων. αὕτη
μὲν οὖν προφανὴς αὐτῶν ἡ διαφορά. ὅτι δὲ καὶ κατ' εἶδος διαφέρουσι,
παντὶ δῆλον. τῆς μὲν γὰρ γενέσεως εἶδος τὸ εἰς οὐσίαν ἀγαγεῖν τὸ γινό-
μενον, τῆς δὲ ἀλλοιώσεως τὸ μεταβολὴν κατὰ τὰς παθητικὰς ἐργάσασθαι
ποιότητας, οἷον θερμᾶναι ἢ ψῦξαι ἢ ἐρυθρὸν ἢ λευκὸν ποιῆσαι ἤ τι τῶν

---

1 ὥσπερ GT 3 ἡ alterum om. Z 5 αὐξομένῳ R 8 τόπον] τὸ ποιὸν Z
12 τοῦτο] τοῦ a 14 γὰρ om. T 15 ἀργυρ̀ R 16 ξεστὴν R 17 παρα-
πλησία a 20 ἀββακίου Z φέρουσι T 23 εἶδος om. Z ὑγείαν Z 24 αὐξή-
σεως καὶ γενέσεως Z τίνι Ra: ὡς τίνι GT: ὦ τίνι Z lacunam signavi: πότερον καθ'
ἕτερον μόνον supplet a ἢ] εἰ Z 26 καὶ om. R 27 ἐν ἄλλῃ κατηγορίᾳ
ἄλλῃ Z 32 καὶ (post ἦν) om. Z οὕτω δὲ καὶ ἐπὶ a 33 ἡ om. R
34 δῆλον παντί Z 36 ποιότητα a θερμάναι R: θερμῆναι a ψῦξαι libri

παραπλησίων, τῆς δὲ κατὰ τὸ ποσὸν προσθεῖναι τῷ μεγέθει ἢ ὑφελεῖν, 17r
τῆς δὲ κατὰ τόπον τὸ ἄνω ποιῆσαι ἢ κάτω ἢ κατά τινα τῶν ἄλλων δια- 16
στάσεων. ταῦτα μὲν οὖν ὡς ὡμολογημένα παρῆκε. ζητεῖ δὲ μήποτε καὶ
ὁ τρόπος τῆς μεταβολῆς διαφέρει, ὁ τῆς αὐξήσεως τοῦ τῆς γενέσεως καὶ
5 ἀλλοιώσεως. φησὶ δὲ καὶ κατὰ τοῦτον διαφέρειν ἀλλήλων τὰς μεταβολάς,
καὶ τὴν διαφορὰν προστίθησι. τὸ μὲν γὰρ ἀλλοιούμενον οὐκ ἐξ ἀνάγκης
μεταβάλλει κατὰ τόπον· οὐ γὰρ ἐν τῷ ἀλλοιοῦσθαι μετέρχεται τόπον. τὸ
γὰρ ἐν τῇ Φυσικῇ ἀποδεδειγμένον, ὅτι χρὴ πάντως τὴν κατὰ τόπον μετα- 20
βολὴν προηγήσασθαι καὶ ἀλλοιώσεως καὶ τῶν ἄλλων μεταβολῶν, ἄλλο τί
10 ἐστι παρὰ τὸ νῦν διδασκόμενον. ἐκεῖ μὲν γὰρ ἐλέγετο ὅτι ἀνάγκη ἐπὶ
πάσης μεταβολῆς κατὰ τόπον τινὰ κίνησιν γενέσθαι, οὐ πάντως αὐτοῦ τοῦ
ἀλλοιουμένου ἢ γινομένου, ἀλλ' ἄλλου τινός, οἷον τοῦ ἀλλοιοῦντος (δεῖ
γὰρ τὸν ἥλιον κατὰ τόπον κινηθῆναι, ἵνα ἀλλοιώσῃ τὸν περὶ ἡμᾶς ἀέρα),
νῦν δὲ ὁ λόγος φησὶν ὅτι ἐν τῷ ἀλλοιοῦσθαι τὸ ἀλλοιούμενον οὐκ ἐξ
15 ἀνάγκης αὐτὸ τόπον ἐκ τόπου ἀμείβει. ὡσαύτως δὲ οὐδὲ τὸ γινόμενον καὶ 25
φθειρόμενον ἐξ ἀνάγκης μεταβάλλει κατὰ τόπον· οὐδὲ γὰρ τὸ ψιμύθιον ἐκ
μολίβδου γινόμενον μεταλλάττει τὸν τόπον, οὐδὲ τὸ γάλα ἐξ αἵματος γεννώ-
μενον, οὐδὲ ἄλλα πολλὰ τῶν τοιούτων. τὸ δὲ αὐξόμενον καὶ φθῖνον ἐξ
ἀνάγκης καὶ κατὰ τόπον ποιεῖται μεταβολήν, οὐ τῷ τόπον ὅλον ἐκ τόπου
20 ἀμείβειν, ὥσπερ τὸ φερόμενον, ἀλλὰ τῷ προσεπιλαμβάνειν ἕτερον ἐφ' ᾧ
κατεῖχεν ἐξ ἀρχῆς κατὰ τὰς αὐξήσεις, ἤγουν εἰς ἐλάττονα συστέλλεσθαι
κατὰ τὰς φθίσεις, ἐοικὸς κατά γε τοῦτο τῷ ἐλαυνομένῳ. καὶ ἔχεις ἤδη 30
τὴν αὔξησιν τῆς κατὰ τόπον μεταβολῆς διακεκριμένην. ὥσπερ γὰρ τὸ
ἐλαυνόμενον ἐπέχον ὃν ἐξ ἀρχῆς εἶχε τόπον ἐπιλαμβάνει ἕτερον, οὕτως
25 ἔοικε καὶ τὸ αὐξόμενον κατὰ τόπον μεταβάλλειν. οὐ μὴν ἀλλὰ καὶ τούτου
διαφέρει. τὸ μὲν γὰρ ἐλαυνόμενον κατὰ μίαν διάστασιν αὐξῆσαν τὸν τόπον
κατὰ τὴν ἑτέραν ἐξ ἀνάγκης μειοῖ, καὶ ἔμπαλιν ἐὰν κατὰ μίαν ἢ δύο δια-
στάσεις πλείονα ἐπιλάβῃ τόπον, κατὰ τὴν λοιπὴν ἢ τὰς λοιπὰς διαστάσεις
ἀνάγκη μεθεῖναι τοῦ προτέρου τόπου· τὸ δὲ αὐξόμενον καὶ μειούμενον 35
30 κατὰ τὰς τρεῖς διαστάσεις ὁμοίως ἔχει, ἢ ἐπιλαμβάνον ἕτερον ἢ μειοῦν
τὸν ἐξ ἀρχῆς. ἀλλ' ἆρα, φησί, μὴ τῇ σφαίρᾳ κύκλῳ κινουμένῃ ἔοικε τὸ
αὐξόμενον ἐν τῇ κατὰ τόπον μεταβολῇ; ὥσπερ γὰρ τὸ αὐξόμενον ἐν τῷ
ἐξ ἀρχῆς τόπῳ μένον μεταβάλλει κατὰ τὰ μέρη, οὕτω καὶ ἡ σφαῖρα δοκεῖ
ἔχειν. ἢ καὶ ταύτης διαφέρει; ἡ μὲν γὰρ σφαῖρα ἐν τῷ ἴσῳ τόπῳ ὅλη
35 μένουσα τὰ μόρια ἔχει μεταβάλλοντα κατὰ τόπον, τὰ δὲ τοῦ αὐξομένου

---

1 κατὰ ποσὸν R: fort. κατὰ ποσὸν τὸ ἀφελεῖν T²Z 3 οὖν om. Z 4 διαφέρη R ὁ om. add. T²; item mox καὶ (post δὲ) 5 τοῦτο a 8 Φυσικῇ Θ 7 11 καὶ κατὰ GT 13 τὸ ἥλιον a 15 ἀμοίβει GT¹ 16. 17 οὐδὲ γὰρ — τὸν τόπον om. mrg. add. T² 16 ψιμμίθιον T²Z: ψιμίθιον a 17 μολύβδου a 20 τῷ] τὸ T προεπιλαμβάνειν R 21 εἰς] εἰ T 22 φθίσις a 24 ἐπιλαμβάμένει νειν R 27 μειοῖ R: νειοῖ G 28 λοιπὰς δύο διαστάσεις a 30 τὰς om. (G)a 31 τὸν] τῶν GRT 33 κατὰ μέρος Z 34. 35 μένουσα ὅλη a

μόρια ἐπὶ πλείω τόπον ἐκτείνεται, εἰς ἔλαττον δὲ συστέλλεται τὰ τοῦ 17r
μειουμένου. δῆλον δὲ ὅτι καὶ γενέσεως καὶ ἀλλοιώσεως ἐντεῦθεν διακέ- 40
κριται. οὔτε γὰρ τὸ γινόμενον ἐξ ἀνάγκης τόπον ἀμείβει, τὸ δὲ αὐξόμενον
κατὰ τὸν εἰρημένον τρόπον διάφορον ἐπιλαμβάνει τόπον· καὶ τὸ μὲν γινό-
5 μενον ἄλλο γίνεται τὸ δὲ ἀλλοιούμενον ἀλλοῖον, τό γε μὴν αὐξόμενον ἢ
φθῖνον οὔτε ἄλλο οὔτε ἀλλοῖον, τῷ ποσῷ δὲ μόνῳ προστίθησιν. ὡς Ἀρι-
στοτέλης ἐν Κατηγορίαις ἔδειξε. τῷ γὰρ τετραγώνῳ γνώμονος περιτεθέν-
τος αὔξηται μὲν τὸ ὅλον, ἀλλοιότερον δὲ οὐ γέγονεν· ἔμεινε γὰρ πάλιν
τετράγωνον.

10 p. 320a15 Ἀμφότερα δὲ ἐκ δυνάμει ὄντων εἰς ἐντελέχειαν μεταβολὴ τῶν εἰρημένων ἐστίν.

Περὶ τριῶν εἰπὼν μεταβολῶν, τῆς γενέσεως τῆς ἀλλοιώσεως τῆς αὐξή- 45
σεως, ἐπήγαγεν ἀμφότερα, ἢ ταὐτὸν σημαίνων τῷ πάντα, ἢ ἀμφότερα
εἶπεν τό τε κατ' οὐσίαν μεταβάλλον, δι' οὗ τὸ γινόμενον σημαίνεται, καὶ
15 τὸ κατὰ συμβεβηκός, ὅπερ κοινόν ἐστιν αὐξομένου καὶ ἀλλοιουμένου. κοινὸν
οὖν φησιν ἐπὶ ἑκάστης τῶν μεταβολῶν τὸ ἐκ δυνάμει τοιούτου εἰς τὸ ἐν-
τελεχείᾳ μεταβάλλειν· ἐκ δυνάμει γὰρ οὐσίας εἰς ἐντελεχείᾳ οὐσίαν ἡ γέ-
νεσις, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. τὸ δὲ ἀλλὰ καὶ ὥς, τουτέστι τῷ
τρόπῳ τῆς μεταβολῆς.

20 p. 320a27 Περὶ δὲ ὃ ἡ μεταβολή ἐστι καὶ τῆς αὐξήσεως καὶ τῆς φθίσεως. 50

Εἰπὼν τὴν διαφορὰν ᾗ διαφέρει αὔξησις γενέσεως καὶ ἀλλοιώσεως,
ἐπὶ τὰ λοιπὰ τῶν προτεθέντων μέτεισιν. ἦσαν δὲ τρία τὸν ἀριθμόν, τίς
τε ἡ τῆς αὐξήσεως ὕλη, καὶ τί τὸ ποιητικὸν αἴτιον καὶ τὸ γινόμενον
25 (τουτέστι τί τὸ αὖξον καὶ αὐξόμενον), καὶ τίς ὁ τρόπος καὶ αὐτὴ ἡ ἐνέρ-
γεια καθ' ἣν ἡ αὔξησις γίνεται. καὶ πρότερον | ζητεῖ τί ποτέ ἐστι τὸ 17v
ποσὸν τοῦτο ὅπερ ὕλη τῆς αὐξήσεως γίνεται, πότερον δυνάμει σῶμα καὶ
μέγεθος ἐνεργείᾳ δὲ ἀσώματόν τε καὶ ἀμέγεθες, ἢ ἐνεργείᾳ σῶμα, ὅπερ
ἀκόλουθον ὂν ἐπαγαγεῖν παρῆκεν ὡς ἐξ ἀνάγκης προσυπακουόμενον. καὶ
30 δείκνυσι κατὰ πάντα τρόπον ἀδύνατον ὂν δυνάμει μὲν εἶναι σῶμα ἐντελε-
χείᾳ δὲ ἀσώματον, ὡς ὑπολείπεσθαι ἐξ ἀνάγκης τὸ ἕτερον, τὸ ἐνεργείᾳ

---

1 ἐλάττω R: fort. ἐλάττονα 6 φθεῖνον R μόνον a 6. 7 ὡς ὁ Ἀριστοτέλης a
7 ἐν Κατηγορίαις c. 8 p. 11a5 sqq. ἐν ταῖς κατηγορίαις Z 8 ἀλλοιώτερον GT¹
9. 12 τετράγωνον. εἰπὼν δὲ περὶ τῶν τριῶν μεταβολῶν a 10 ἐντελέχειαν RT²: τέλειαν
GT¹: ἐνδελέχειαν Z 11 ἐστὶ R 13 ἢ ταυτὸν T σημαινομένων R
16. 17 ἐνδελεχεία utrobique Z 20 ὃ ἡ μεταβολή ἐστι καὶ GRTZ: ὅ ἐστιν ἡ μεταβολή a; cf. Aristot. libri τῆς αὐξήσεως RZ: ἡ τῆς αὐξήσεως GTa 23 τῷ ἀριθμῷ (corr. ex τῶν ἀριθμῶν) R 25 καὶ τὸ αὐξόμενον Z 29 ὂν om. add. T²
30. 31 ἐνδελεχεία Z

εἶναι σῶμα τὴν τῆς αὐξήσεως ὕλην. εἰ γάρ, φησί, δυνάμει σῶμα ἐνερ- 17v
γείᾳ δὲ ἀσώματον λέγοιμεν εἶναι τὸ ἐξ οὗ ἡ κατὰ ποσὸν μεταβολὴ γίνεται, 6
ἀνάγκη τοῦτο ἢ αὐτὸ καθ' αὑτὸ ὑφεστηκέναι χωριστὴν ἔχον φύσιν, ἢ ἐν
ἑτέρῳ τινὶ εἶναι σώματι. εἰ μὲν οὖν ἐνεργείᾳ χωριστὸν εἴη μὴ ὂν σῶμα,
ἢ στιγμὴ ἢ κενὸν ἔσται τόπον μηδένα κατέχον, ἢ σῶμα οὐκ αἰσθητόν,
τουτέστι μηδεμίαν ἔχον αἰσθητὴν διαφοράν. τὸ μὲν οὖν στιγμὴν ἢ κενὸν
ὑποτίθεσθαι προφανὲς ἔχει τὸ ἀδύνατον. οὔτε γὰρ αὐτὸ καθ' αὑτὸ ὑπο-
σταίη ἂν σημεῖον ἢ κενόν (ἀποδέδεικται γὰρ μὴ εἶναι κενὸν ὅλως, καὶ τὸ 10
σημεῖον ἀεὶ ἐν σώματι καὶ μεγέθει ἔχει τὸ εἶναι), ἄλλως τε δὴ ἄτοπον
ἐκ σημείου φάσκειν τὸ μέγεθος αὔξεσθαι· καὶ οὕτως γὰρ πάλιν κενὸν
εἰσάξομεν. εἰ γὰρ τὸ αὐξόμενον μείζονα ἐπιλαμβάνει τόπον, δῆλον ὅτι ὁ
τόπος ὃν ἐπελάβετο αὐξηθὲν ἢ κενὸς ἦν πρὸ τούτου, καὶ οὕτως πάλιν
ἐνεργείᾳ τὸ κενὸν ἔσται, ἢ ἔσται σῶμα μὴ ὂν ἐν τόπῳ, ὧν ἑκάτερον ἀδύ-
νατον. πῶς δ' ὅλως τὸ σημεῖον τῷ αὐξομένῳ προστεθὲν μεῖζον τὸ ὅλον
ἐποίησεν; εἴπομεν γὰρ πολλάκις ὡς μυρία ἀμερῆ ἐπισυντιθέμενα ἀλλήλοις 15
μέγεθος οὐ ποιήσει. ὅλως δὲ τὸ σημεῖον δυνάμει σῶμα οὐκ ἔστι, σώ-
ματος δέ τι. οὔτε ἄρα κενὸν οὔτε στιγμὴν ἐνδέχεται εἶναι τὸ ἐξ οὗ ἡ
αὔξησις γίνεται, ὅπερ δυνάμει εἶναι σῶμα ὑπόκειται. εἰ δὲ οὐκ αἰσθητὸν
εἴη ἀλλ' ἄποιον σῶμα, ὁποῖόν ἐστι τὸ τριχῇ διαστατόν, ἀνάγκη τοῦτο ἐν
τόπῳ εἶναι· πᾶν γὰρ σῶμα ἐν τόπῳ ἐστί. καὶ ἄλλως ἐπεὶ καὶ τὸ ᾧ
προσκρίνεται τόπον τινὰ προσλαμβάνει, καὶ τὸ προσκριθὲν ἄρα τόπον τινὰ
ἐπεῖχε καὶ ἄποιον ἦν, καὶ διὰ τοῦτο ἀναίσθητον· οὐδὲ γὰρ ᾗ πεποίωται
καὶ αἰσθητά ἐστι τὰ σώματα, ἐν τόπῳ ἐστίν (ἀσώματοι γὰρ καὶ ἀμεγέθεις 20
αἱ ποιότητες), ἀλλ' ᾗ τριχῇ διαστατά ἐστιν. ὥστε κἂν μὴ αἰσθητόν τι
εἴη σῶμα μηδὲ ποιότητος μετέχῃ, ἐν τόπῳ εἶναι αὐτὸ ἀνάγκη. τῷ γὰρ
σώματι τὸ εἶναι ἐν τόπῳ παρὰ τοῦ διαστήματος ὑπάρχει· ἀπὸ μὲν γὰρ
τῆς ποιότητος ἡ τῶν τόπων διαφορὰ τοῖς σώμασιν ὑπάρχει (διὰ ταύτας
γὰρ τὰ μὲν ἄνω ἐστὶ τὰ δὲ κάτω), τὸ δὲ ὅλως ἐν τόπῳ εἶναι ἀπὸ τοῦ
διαστήματος· ἴσον γὰρ δεῖ τὸ ἐν τόπῳ σῶμα εἶναι τῷ περιέχοντι αὐτὸ
τόπῳ, τὸ δὲ ἴσον τοῦ ποσοῦ. ἀνάγκη ἄρα, κἂν ἄποιον εἴη τι σῶμα καὶ
ἀναίσθητον, ἐν τόπῳ εἶναι. πάλιν δ' αὖ εἰ ἐν τόπῳ εἴη, ἀνάγκη πᾶσα ἢ 25
ἄνω εἶναι ἢ κάτω, καὶ ἢ κατὰ φύσιν ἐν ἑκατέρῳ ἢ παρὰ φύσιν, καὶ
οὕτως ἕν τι τῶν πεποιωμένων εἶναι σωμάτων. εἶπον γὰρ ὡς ἀπὸ τῆς
ποιότητος ἔχουσι τὰ σώματα τὸ ἢ ἄνω εἶναι ἢ κάτω, καὶ ἐν ἑκατέρῳ ἢ
κατὰ φύσιν ἢ παρὰ φύσιν. ἄνω μὲν οὖν ὑπάρχον κατὰ φύσιν ἢ ἀὴρ
ἔσται ἢ πῦρ, παρὰ φύσιν δὲ ὕδωρ ἢ γῆ. ὡσαύτως καὶ εἰ κάτω εἴη,

---

3 ἔχων R 6 οὐδεμίαν Z 9 δὴ] δὲ Z 10 οὕτω a 11 μείζονα om. Z
12 ἢ om. a οὕτω Za 13 τὸ κενὸν ἐνεργείᾳ Z 19 οἷον Z 22 πεποίηται
GT[1] 25 μετέχοιτ' ἢν R 27 ἐν τοῖς σώμασιν Z 29 αὐτὸν GRT
30 κἂν] οὐκ ἂν R 31 post ἀνάγκη deleta ἄρα κἂν ἄποιον εἴη R 32 ἢ κατὰ] ἡ
κατὰ a 33 πεποιημένων GRT[1] 34 ἢ (ante ἄνω) om. Z ἢ κάτω εἶναι
traicit R 36 δὲ ἢ ὕδωρ ἢ GTa

ἢ κατὰ φύσιν ἂν γῆ ἢ ὕδωρ ἔσται, ἢ παρὰ φύσιν ἀὴρ ἢ πῦρ ὑπάρχει. 17v
εἰ δὲ τοῦτο, οὐκέτι ἄποιον ἔσται σῶμα, ἀλλ' αἰσθητόν τε καὶ τῶν τεσσάρων 30
ἕν τι. ταῦτα δὲ ὡς σαφῆ ὄντα παρῆκεν ὁ Ἀριστοτέλης. ἀδύνατον ἄρα
ἄποιον εἶναι σῶμα ὡς χωριστὸν ὂν τὸ τῇ αὐξήσει ὡς ὕλη ὑποκείμενον.
5 Ἰτέον οὖν ἐπὶ θάτερον μέρος τῆς διαιρέσεως, ζητοῦντας μήποτε δυνά-
μει ὂν σῶμά ἔν τινι ἐστὶ καὶ οὐ καθ' αὑτὸ ὑφεστηκός. τοῦτο δὲ τὸ ἔν
τινι οὐκ ἀναγκαῖον διελεῖν εἴς τε τὸ ἐν αὐτῷ ὂν τῷ αὐξομένῳ καὶ εἰς τὸ
ἐν ἄλλῳ· κοινὸν γὰρ ὁμολόγημα ὅτι τὸ αὐξόμενον προσιόντος τινὸς ἔξωθεν
αὔξεται· ὥστε ἐν ἄλλῳ καὶ οὐκ ἐν τῷ αὐξομένῳ. εἰ οὖν ἐν ἄλλῳ εἴη ἡ 35
10 τῆς αὐξήσεως ὕλη, ἥτις καὶ δυνάμει σῶμα ὑπόκειται, ἀνάγκη πάλιν ἤτοι
ὡς μηδὲν οὖσαν ἐκείνου τοῦ ἐν ᾧ ἐστι μήτε μέρος μήτε πάθος ἐν αὐτῷ
εἶναι μηδὲ συντελοῦσαν αὐτῷ τι πρὸς τὸ εἶναι, ἢ οὖσαν ἐκείνου μέρος ἢ
ἁπλῶς τι. εἰ μὲν οὖν ἕν τινι ἐνεργείᾳ ὄντι φαίη τις αὐτὴν ὑπάρχειν
μηδὲν οὖσαν τῆς ἐκείνου οὐσίας τοῦ ἐν ᾧ ἐστιν, οἷον ὡς ἐν ἀγγείῳ περιε-
15 χομένην, συμβήσεται ἐκκρινομένης ταύτης τοῦ ἐν ᾧ ἐστι γίνεσθαι τὸ γινό-
μενον ἐξ αὐτῆς, κατὰ μηδὲν μεταβάλλοντος τοῦ ἐν ᾧ ἐστιν, ὡς εἴ τις
φαίη ἐξ ὕδατος ἀέρα γίνεσθαι οὐ μεταβάλλοντος τοῦ ὕδατος, ἀλλ' ὕλης 40
τινὸς ἐκ τοῦ ὕδατος ἐκκρινομένης ἣν περιεῖχεν ἐν ἑαυτῷ ὡς ἐν ἀγγείῳ τὸ
ὕδωρ. κατὰ δὲ τοῦτον τὸν λόγον τὸν οὕτω φάσκοντα ἕν τινι τὴν ὕλην
20 εἶναι, μὴ οὖσαν ἐνεργείᾳ σῶμα μηδὲ συμπληροῦσαν τὸ ἐν ᾧ ἐστι μηδὲ
μέρος τι αὐτοῦ οὖσαν μηδὲ τόπον τινὰ τοῦ ὅλου ἀποτεμομένην, οὐδὲν
κωλύει καὶ δευτέραν ἐν τῷ αὐτῷ οὕτως ὕλην ὑποτίθεσθαι καὶ πάλιν
ἄλλην καὶ ἄλλην, καὶ οὕτως ἐπ' ἄπειρον. εἰ δὲ μηδὲν κωλύει ἀπείρους
ἐν τῷ αὐτῷ ὕλας ὑποθέσθαι, ἔσται ἐν τῷ αὐτῷ ἄπειρα κατ' ἐνέργειαν, 45
25 ὅπερ παντάπασιν ἀδύνατον. καὶ τὸ κενὸν δὲ οὐδὲν ἧττον ἐκ ταύτης τῆς
ὑποθέσεως εἰσαχθήσεται. τὸ γὰρ ἐκ τῆς ὕλης προστεθὲν τῷ αὐξομένῳ
σῶμα τόπον δηλονότι κατείληφε· πᾶν γὰρ σῶμα ἐν τόπῳ ἐστίν. οὗτος
οὖν δῆλον ὅτι κενὸς ἦν πρότερον, εἰ μή τις ὑπόθοιτο ὥσπερ ἐκ τοῦ
δυνάμει σώματος εἰς τὸ ἐνεργείᾳ σῶμα μεταβάλλειν τὴν ὕλην, οὕτως καὶ
30 ἐκ τοῦ ἐνεργείᾳ σώματος φθειρομένου εἰς τὸ δυνάμει σῶμα μεταβολὴν 50
γίνεσθαι. ἀλλ' οὐχ ὁρᾶται οὐδεμία μεταβολή, οὔτε ἐκ μὴ σώματος γινο-
μένη οὔτε εἰς μὴ σῶμα. ἀλλ' οὐδ' ὁρᾶται τὰ γινόμενα οὕτως ἐξ
ἀλλήλων γινόμενα ὡς ὑπομένειν ἐκεῖνο ἀπαθὲς ἐξ οὗ ἡ τοῦ γινομένου
ὕλη ἐκκρίνεται, ἀλλ' ὅλου ἐκείνου μεταβάλλοντος καὶ ἐπὶ γενέσεως
35 καὶ αὐξήσεως. οὐδὲ γὰρ ὑπομένοντος τοῦ ὕδατος ὁ ἀὴρ ἐξ αὐτοῦ
γίνεται, ἀλλ' ὅλου φθειρομένου, οὐδ' ὁ ἄρτος μένει ἐν τῇ ἐξ αὐτοῦ τῶν
σωμάτων τῶν ἡμετέρων αὐξήσει, οὐδὲ τοῦ ὕδατος τοῦ τρέφοντος τὰ

1 ἢ κατὰ] εἰ μὲν κατὰ a ἂν (hoc om. a) γῆ ἢ ὕδωρ ἔσται (ἄρα, pro ἔσται, ut saepe R) ἢ (εἰ δὲ a) παρὰ φύσιν ἀὴρ ἢ πῦρ GRTa: ἔσται ὡς γῆ καὶ ὕδωρ ἢ παρὰ φύσιν ὡς ἀὴρ καὶ πῦρ Z ὑπάρχει GRT: om. Z: ὑπάρξει a 7 εἴς τε] ὥστε R ὂν] ὃ GT 8 προϊόντος R 9 ἡ om. TR¹ 12 πρὸς τῷ εἶναι R¹ 16 ὡς] οἷον a 18 ἐν αὐτῷ GT 21 ἀποτεμνομένην a 25 τῆς om. GT 26 εἰσαχθείσεται a 28 ὑποθοῖτο GRT²a: ὑπόθειτο T¹ 29 οὕτω a 33 ἀλλήλων γίνεσθαι R 35 ἐπὶ αὐξήσεως R τοῦ ὕδατος ὑπομένοντος Z

φυτὰ καὶ αὔξοντος ὑπομένοντος αὔξεται ἐκεῖνα. ἀδύνατον ἄρα οὕτως 17v
εἶναι ἕν τινι τὸ αὖξον | ὡς μηδὲν αὐτοῦ εἶναι κατ' ἐνέργειαν. λείπεται 18r
ἄρα μέρος εἶναι τοῦ ἐν ᾧ ἐστι τὸ αὖξον, ἐξ οὗ ἀποτεμνόμενον καὶ προσ-
κρινόμενον τῷ αὐξομένῳ, οὕτως αὐτὸ αὔξειν. εἰ δὲ τοῦτο, ἐνεργείᾳ ἔσται
5 σῶμα καὶ μέγεθος τὸ ὑποκείμενον τῇ κατὰ αὔξησιν μεταβολῇ, ὅπερ ἔδει
δεῖξαι ἐξ ἀρχῆς ἀληθὲς ὑπάρχον. εἰ δέ τις φαίη ἕν τινι αὐτὴν εἶναι,
μήτε ὡς κεχωρισμένην καὶ μηδὲν οὖσαν ἐκείνου μήτε μέρος σωματικὸν 5
ὑπάρχουσαν, ἀλλ' οἷόν ἐστιν ἡ ἀνείδεος ὕλη τοῦ ἐνεργείᾳ σώματος καὶ
εἰδοποιημένου (καὶ αὕτη γὰρ δυνάμει μέν ἐστι σῶμα καὶ μέγεθος καὶ
10 ἐνεργείᾳ δὲ ἀσώματος, ἐν τῷ κατ' ἐνέργειαν σώματι τὸ εἶναι ἔχουσα ὡς
ὑποκείμενον αὐτοῦ καὶ ὕλη), εἰ τοῦτό τις λέγοι, γινωσκέτω ὡς οὐκ αὐξή-
σεως ὕλην εὗρεν, ἀλλὰ γενέσεως καὶ φθορᾶς. διαφέρει δὲ γένεσις αὐξή-
σεως, καθὼς προείρηται. ἡ μὲν γὰρ ὕλη τῆς γενέσεως ἡ ὄντως ἐστὶν
ὕλη ἡ ἀνείδεος καὶ ἀμεγέθης, ἡ δὲ τῆς αὐξήσεως τὸ πεποσωμένον σῶμα.
15 ὅθεν ἐπὶ μὲν γενέσεως ἐνδέχεται τὴν αὐτὴν ὕλην καὶ ἐλάττονι καὶ μεί- 10
ζονι ὄγκῳ ὑποκεῖσθαι (τὸ γὰρ ξεστιαῖον ὕδωρ φθειρόμενον πολλαπλασίονα
τῷ ὄγκῳ ποιεῖ ἀέρα), ἐπὶ δὲ αὐξήσεως οἷος ἂν ᾖ ὁ τοῦ προστιθεμένου
ἐκ τῆς τροφῆς μετὰ τὴν ἀναπλήρωσιν τοῦ διαφορηθέντος, τοσοῦτο μέγεθος
ἀνάγκη καὶ τὸ αὐξόμενον αὔξεσθαι. γίνεται μὲν γὰρ καὶ ἐπὶ τῆς αὐξή-
20 σεως γένεσις πρότερον, ὡς ὅταν τὴν τροφὴν τὴν ἐν τῇ γαστρὶ χυλοποιη-
θεῖσαν δεξάμενον τὸ ἧπαρ αἷμα ποιήσῃ, ἀλλὰ τὸ γενόμενον ἤδη αἷμα
προσκριθὲν μετὰ τοσοῦδε ὄγκου τοῖς μορίοις καὶ προσφυὲν αὐτοῖς καὶ ἐξο- 15
μοιωθὲν τῇ προσθήκῃ αὐτοῦ τὴν αὔξησιν ἐργάζεται. ὥστε πάντως πεπο-
σῶσθαι δεῖ τὴν τῆς αὐξήσεως ὕλην, κἂν προϋπάρχῃ αὐτῆς ἡ γένεσις.

25 p. 320a29 Πότερον ἐκ δυνάμει μὲν μεγέθους.

Εἰπὼν ἐκ δυνάμει μεγέθους οὐκ ἀνταπέδωκεν 'ἢ ἐξ ἐνεργείᾳ 28
μεγέθους' ὅπερ ἦν ἀκόλουθον, ἀλλὰ τὸ αὐτὸ μόριον ἐπιδιαιρεῖ. καὶ παρέ-
λιπε τοῦτο ὡς προσυπακουόμενον ἐξ ἀνάγκης.

p. 320b1 Ἢ οὐδένα καθέξει τόπον ἢ οἷον στιγμὴ ἢ κενὸν ἔσται.

30 Τὸ ἢ οἷον στιγμὴ ἀσαφὲς γέγονε τῇ παρενθέσει τοῦ 'ἤ'· δοκεῖ 30
γὰρ διαστολὴν σημαίνειν. χρὴ δὲ ἀντὶ τοῦ 'ἀλλά' ἐκλαβεῖν αὐτόν, ὡς

---

2 εἶναι ἕν] ὄν Z 4 αὐξανομένω Z αὐτῶ GT¹ 7 μήτε ὡς GT: μὴ τέως RZ: μήτε a 9 αὐτὴ RZ καὶ (post μέγεθος) om. Za 13 ἡ ὄντως Za: εἰ ὄντως GTR 14 ἢ ἀνείδεος καὶ μεγέθης R 16 ἑστιαῖον GT¹ 17 ἀέρα] ἄρα T δὲ τῆς αὐξήσεως Z fort. ὅσος 18 τοσοῦτον a 20. 21 χιλοποιηθεῖσαν Z: χειλοποιηθεῖσαν (υ superscr. R²) R 21 ποιήσει GT 22 ὄγγου GT 23 αὐτοῦ libri 23. 24 ποσῶσθαι GT¹ 26 ἢ RTZ: ἡ G: om. a 28 προϋπακουόμενον GT¹ 28. 30 ἀνάγκης. τὸ δὲ ἢ οἷον στιγμὴ, ἀσαφὲς a 29 στιγμὴ RZ et Arist. cod. E: στιγμή τις GT 30 παραθέσει R 31 χρὴ] δεῖ Z

εἶναι τὸ ὅλον· ἢ οὐδὲνα καθέξει τόπον, ἀλλ' οἷον στιγμὴ ἢ κενὸν 18r
ἔσται. τινὰ δὲ τῶν ἀντιγράφων οὕτως ἔχει· ἢ οὐδένα καθέξει τόπον· οἷον γὰρ στιγμή τις ἢ κενὸν ἔσται. τὸ δὲ καὶ σῶμα οὐκ αἰσθητόν, ἀντὶ τοῦ 'ἢ' διαζευκτικοῦ κειμένου. ἰστέον δὲ ὡς εἰπὼν
5 ἐκ δυνάμει μὲν μεγέθους καὶ σώματος, ἐντελεχείᾳ δ' ἀσωμάτου καὶ ἀμεγέθους, τοῦτο τὸ σκέλος ὑποδιαιρῶν, ἢ κεχωρισμένης τῆς ὕλης ταύτης, ἢ ἐν ἄλλῳ οὔσης σώματι. χωριστὴ μὲν γὰρ οὖσα, φησίν, ἢ 35
στιγμὴ ἔσται ἢ κενὸν ἢ σῶμα οὐκ αἰσθητόν. καὶ μὴν τοῦ ἀσωμάτου καὶ ἀμεγέθους ἦν ἡ ὑποδιαίρεσις. πῶς οὖν μόριον τούτου τὸ οὐκ αἰσθητὸν
10 σῶμα παρείληφεν, ὅπερ καὶ μέγεθός ἐστι;

p. 320ᵇ2 Τούτων δὲ τὸ μὲν οὐκ ἐνδέχεται, τὸ δὲ ἀναγκαῖον ἔν τινι εἶναι.

Τούτων. φησί. τῶν προσεχῶς εἰρημένων. εἰς ἃ τὸ χωριστὸν καὶ καθ' αὑτὸ ὑφεστὼς διείλομεν (εἰσὶ δὲ τρία· ἢ γὰρ στιγμή, φησίν, ἢ κενὸν ἔσται
15 ἢ σῶμα οὐκ αἰσθητόν). τούτων οὖν. φησί, τὸ μὲν κενὸν ἢ στιγμὴν ὑποτίθεσθαι τὴν ὕλην τῆς αὐξήσεως οὐκ ἐνδέχεται εἶναι (τὰ δύο γὰρ εἰς ἓν 40
συνεῖλε. πῶς δὲ οὐκ ἐνδέχεται; διότι οὔτε ἐκ σημείου γένοιτο ἄν τι πώποτε, καὶ τὸ μὴ εἶναι κενὸν ἐν τῇ Φυσικῇ ἀποδέδεικται), τὸ δὲ οὐκ αἰσθητὸν σῶμα ἀνάγκη ἐν τόπῳ εἶναι (τὸ γὰρ ἔν τινι εἶναι τὸ ἐν τόπῳ
20 ἀκουστέον). καὶ πῶς ἀνάγκη προστίθησιν· ἀδύνατον γὰρ τῶν γινομένων τι εἶναι ἐν τόπῳ μὴ καὶ τῶν ἐξ ὧν γίνεται ἐν τόπῳ ὄντων. δοκεῖ δὲ οὗτος ὁ λόγος μὴ ἀφωρισμένως ἀποδεικνύειν τὸ μὴ αἰσθητὸν σῶμα ἐν τόπῳ ὑπάρχον. ἀλλὰ καθόλου ἡρμόσθαι πρὸς πᾶν ὁτιοῦν ὑπόθοιτό τις 45
ὑποκείμενον εἶναι τῆς κατ' αὔξησιν μεταβολῆς. εἰ γὰρ τὸ αὐξόμενον
25 τόπον ἐπιλαμβάνει καὶ ἐν τόπῳ ἐστί, πᾶν δὲ τὸ ἐν τόπῳ γενόμενον ἔκ τινος ὑποκειμένου ἐν τόπῳ τούτου ὄντος καθ' αὑτὸ ἢ κατὰ συμβεβηκὸς γέγονεν, ἀνάγκη τὸ ὑποκείμενον ἐξ οὗ ηὔξηται τὸ αὐξόμενον ἐν τόπῳ εἶναι ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός. ἀλλ' εἰ μὲν καθ' αὑτὸ ἐν τόπῳ εἴη. σῶμά ἐστιν ἐνεργείᾳ καὶ αἰσθητόν· εἰ δὲ κατὰ συμβεβηκός. δυνάμει
30 σῶμά ἐστι καὶ ὕλη ἀνείδεος. διὰ γὰρ τὴν ὕλην προστέθεικε τὸ κατὰ 50
συμβεβηκός, ἐπειδὴ ἐκ ταύτης γίνεται σῶμα ἐν τόπῳ ὑπάρχον, αὐτῆς

1 ἢ (ante οὐδένα) om. add. T² 3 τὸ δὲ om. a καὶ] cf. Ar. codd. 4 ⟨τοῦ καὶ⟩ ἀντὶ a διαζευτικοῦ a 5 ἐνδελεχείᾳ Z 6 ἀμεγέθους] μεγέθους GT ὑποδιαιρῶν, πότερον φησὶν ἐκ κεχωρισμένης a, et sane locus lacuna laborat ἢ] ἢ καὶ R¹
7. 8 ἢ στιγμὴ Za: ἡ στιγμὴ GRT 8 καὶ μὴν] ἐπεὶ γὰρ καὶ a 9 ἦν ἡ] ἡ om. T¹: ἡ αὐτὴ ἦν a πῶς οὖν] διὰ τοῦτο a 10. 13 μέγεθός ἐστι. ταῦτα δὲ εἰπὼν, ἐπάγει ὅτι τῶν προσεχῶς a 14 ὑφεστὸς GT¹ διέλομεν GT ἢ γάρ Za: ἡ γὰρ GRT
16 τὰ γὰρ δύο Z 19 εἶναι εἰπὼν, τὸ γὰρ a 22 ἀφωρισμένων R: ἀφωρισμένος GT¹ 23 ὑπάρχειν Z ὁτιοῦν] ὅτι ἂν Za ὑπόθειτο T²: ὑποθεῖτό corr. in ὑποθοῖτό R 24 εἰ Za: ἢ GTR 25 ὑπολαμβάνει R γινόμενον a
26 τούτου] num αὐτοῦ? 29 ἐστιν ἢ ἐνεργεία R¹

μὲν οὔσης ἐν τόπῳ, οὐ καθ' αὑτὸ δὲ ἀλλὰ κατὰ συμβεβηκός, τῷ τὸ 18r
σῶμα ἐν ᾧ ἐστιν ἐν τόπῳ εἶναι. ἀλλ' ὕλην μὲν ἀνείδεον οὐ δεῖ λέγειν
ὑποκείμενον αὐξήσεως· αὕτη γὰρ γενέσει καὶ φθορᾷ ὑπόκειται καὶ οὐκ
αὐξήσει, ὡς ἐδείξαμεν· ὑπόλοιπον δὲ σῶμα ἐνεργείᾳ φάσκειν τὸ τῇ αὐξή-
5 σει ὑποκείμενον. ὥστε ἡ εἰρημένη κατασκευὴ κοινῶς ὅλον τὸ ἕτερον
μέρος τῆς διαιρέσεως ἀναιρεῖ, τὸ | φάσκον δυνάμει σῶμα καὶ μέγεθος 18v
εἶναι τὴν τῆς αὐξήσεως ὕλην, καὶ οὐκ ἰδίως πρὸς τὸ σῶμα οὐκ αἰσθητὸν
ἐπενήνεκται. διόπερ ἀμείνων ἴσως ἡ ἑτέρα ἐξήγησις, ἣν ὁ Ἀφροδισιεὺς
ἐκτίθεται Ἀλέξανδρος. δυνατὸν γάρ, φησί, τὸ λεγόμενον τοιοῦτον εἶναι·
10 τούτων δὲ τῶν δύο τρόπων (δύο γὰρ εἴρηνται τρόποι, ὅ τε κεχωρισμένην
αὐτὴν καθ' αὑτὴν ὑποτιθέμενος τὴν ὕλην καὶ ὁ ἕν τινι οὖσαν), τούτων 5
οὖν τῶν τρόπων κατὰ τὸν ἕνα τὸν κεχωρισμένην ὑποτιθέμενον τὴν ὕλην
οὐκ ἐνδέχεται αὐτὴν ἐν τόπῳ εἶναι. οὔτε γὰρ στιγμὴ οὔτε κενὸν ἐν τόπῳ
ἔσται, ἀλλ' οὐδὲ τὸ οὐκ αἰσθητὸν σῶμα, εἴπερ τὸ οὐκ αἰσθητὸν σῶμα τὸ
15 μαθηματικὸν λέγομεν· τοῦτο γὰρ ἐν ἐπινοίᾳ μόνον ἐστί. κατὰ μὲν οὖν
τὸν εἰρημένον τρόπον οὐκ ἐνδέχεται ἐν τόπῳ εἶναι, τὸ δὲ ἀναγκαῖον ἐν
τόπῳ εἶναι τουτέστι 'τὴν δ' ὕλην τοῦ αὐξομένου ἀνάγκη πάντως ἐν τόπῳ
εἶναι ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός', διὰ τὴν εἰρημένην κατασκευὴν 10
τὴν φάσκουσαν ἀεὶ γάρ που ἔσται τὸ γινόμενον ἐξ αὐτοῦ. δῆλον
20 τοίνυν ὡς οὐκ ἂν εἴη ὕλη τοῦ αὐξομένου ἡ κατὰ τὸν ἕνα τρόπον ὑποτε-
θεῖσα τὸν δυνάμει τε αὐτὴν εἶναι μέγεθος αὐτήν τε καθ' αὑτὴν κεχωρι-
σμένην φάσκοντα, διὰ τὸ μὴ δύνασθαι μὲν κατὰ ταύτην τὴν ὑπόθεσιν ἐν
τόπῳ εἶναι, χρῆναι δὲ πάντως ἐν τόπῳ εἶναι τὴν τοῦ αὐξομένου ὕλην.

p. 320b5 Ἀλλὰ μὴν εἴ γε ἕν τινι ὑπάρξει, εἰ μὲν κεχωρισμένον
25 οὕτως ὥστε μὴ ἐκείνου τι εἶναι.

Ἐπὶ τὸ ἕτερον μέρος νῦν μετῆλθε τῆς διαιρέσεως, σκοπῶν εἰ ἕν τινι
ὑφέστηκεν ἡ τοῦ αὐξομένου ὕλη. ἀνάγκη δέ, φησίν, ἕν τινι οὖσαν ἤτοι
μηδὲν εἶναι ἐκείνου τοῦ ἐν ᾧ ἐστι μήτε μέρος μήτε ἁπλῶς συμβαλλόμενόν 15
τι πρὸς σύστασιν ἐκείνου τοῦ ἐν ᾧ ἐστιν, ἢ μέρος τι εἶναι ἐκείνου σωμα-
30 τικόν, ὅπερ τέως παρῆκεν ἀντιδιελεῖν. καὶ δείκνυσιν ἄτοπα ἑπόμενα τῷ
φάσκοντι λόγῳ ἕν τινι μὲν εἶναι, μηδὲν δὲ εἶναι ἐκείνου τοῦ ἐν ᾧ ἐστι.

1 οὔσης μὲν et καθ' αὑτὴν a 4 φάσκειν ἐνεργείᾳ Z 5. 6 τὸ μέρος τὸ ἕτερον R 5 ἕτερον om. add. T² 8 ἴσως ἀμείνων Z 9 ὁ ἀλέξανδρος R: Ἀλέξανδρος om. Z 10 εἴρηται T¹ 12 κεχωρισμένον GT 13 αὐτὴν om. add. T² 17 τοῦτ' ἐστὶ, τὸ τὴν ὕλην a 18 κατασκευὴν] αἰτίαν Z 20 ἡ] ἢ R 21 αὐτήν τε καθ'] καὶ καθ' a 22 ἐν om. add. T² 23. 26 ὕλην. εἶτα ἐπὶ τὸ ἕτερον a 24 κεχωρισμένως Z 25 οὕτω R cf. Ar. cod. E 26 νῦν om. a τῆς διαιρέσεως μετῆλθε νῦν Z 31 μὲν ex μὴ ut vid. corr. T: om. Z ἐκείνου om. add. T² 31. p. 78,2 ἐν ᾧ ἐστι. τὸ δὲ συμβήσεται πολλὰ καὶ ἀδύνατα, δύναται εἰρῆσθαι a

p. 320b 7 Συμβήσεται πολλὰ καὶ ἀδύνατα. 18v

Τὸ πολλὰ καὶ ἀδύνατα δύναται εἰρῆσθαι οὐχ ὡς ἀδυνάτων τινῶν πολλῶν ἑπομένων τῇ ὑποθέσει (οὐ γὰρ εἶπε 'πολλά τινα'· ἑνὶ γὰρ μόνῳ ἐχρήσατο ἐπιχειρήματι), ἀλλ' ὡς πολλῶν δυναμένων τοιούτων ὑπο- 20
5 τίθεσθαι ὑλῶν καὶ ἀπείρων, ὅπερ ἐστὶν ἀδύνατον.

p. 320b 11 Ἔτι οὐχ οὕτως φαίνεται γινόμενος ὁ ἀὴρ ἐξ ὕδατος.

Ἀνασκευάσας τὸ μὴ δύνασθαι τὴν ὕλην τοῦ αὐξομένου ἕν τινι εἶναι οὕτως ὡς μηδὲν οὖσαν ἐκείνου τοῦ ἐν ᾧ ἐστι, δι' ἑνὸς ἐπιχειρήματος, ἐκ τοῦ ἄπειρα ἂν ἐκ τοῦ αὐτοῦ γίνεσθαι, ὡς ἐπὶ παραδείγματος τῆς
10 γενέσεως ποιησάμενος τὸν λόγον καὶ τῆς ἐξ ὕδατος εἰς ἀέρα μεταβολῆς, νῦν πάλιν δεύτερον τίθησιν ἐπιχείρημα τοῦ αὐτοῦ κατασκευαστικόν, τὴν 25 ἐνάργειαν ἐπιμαρτυρόμενος. οὐ γάρ, φησίν, ὁρᾶται ἐν τῇ ἐξ ὕδατος εἰς ἀέρα μεταβολῇ ὁ ἀὴρ οἷον ἐκκρινόμενος ἐκ τοῦ ὕδατος, μείναντος ἀμεταβλήτου τοῦ ὕδατος, ἀλλ' ὅλον τὸ ὕδωρ φθειρόμενον ἐξ οὗ γεννᾶται ὁ ἀήρ.
15 ὅρα δὲ πάλιν ὅτι περὶ τῆς ὕλης τοῦ αὐξομένου ποιούμενος τὴν ζήτησιν τὸν λόγον ὡς ἐπὶ γενέσεως καὶ φθορᾶς προφέρει, δεικνὺς τὴν ὕλην τοῦ γενομένου οὐκ οὖσαν ἕν τινι οὕτως ὡς μηδὲν οὖσαν τοῦ ἐν ᾧ ἐστιν.

p. 320b 12 Βέλτιον τοίνυν φ̓ρίειν πᾶσιν ἀχώριστον τὴν ὕλην. 30

Ἀνελὼν τὸ τὴν ὕλην ἕν τινι εἶναι οὕτως ὡς μηδὲν οὖσαν ἐκείνου
20 τοῦ ἐν ᾧ ἐστι, καὶ τὸ δύνασθαι αὐτὴν χωρίζεσθαι τοῦ ἐν ᾧ ὑπάρχει, ἐφεξῆς ὅπερ ἀκόλουθόν ἐστι προστίθησι, φάσκων βέλτιον εἶναι πᾶσιν ὑποτίθεσθαι μὴ δυναμένην χωρίζεσθαι τὴν ὕλην, διὰ τὰ ἐσόμενα ἄτοπα τοῖς χωρίζεσθαι αὐτὴν φάσκουσι μηδὲν μεταβάλλοντος τοῦ ἐξ οὗ ἐχωρίσθη. διὰ τοῦτο τοίνυν φησὶ βέλτιον πᾶσι, τουτέστι πᾶσιν οὕτως λέγειν βέλτιον, 35
25 ἢ ὅτι κατὰ πάντα τρόπον βέλτιον. ὥστε εἰ μὲν περὶ τῆς τοῦ αὐξομένου ὕλης ἐστὶν αὐτῷ νῦν ὁ λόγος, ἀχώριστον εἴρηκεν ἀντὶ τοῦ μὴ κεχωρισμένην τοῦ ἐν ᾧ ἐστιν, ἀλλ' ἐκείνου τι οὖσαν καὶ τοῦτο γεγενημένην ὅπερ ἐστὶ τὸ ἐν ᾧ εἶναι λέγεται, ὥστε μὴ τὸ ὕδωρ ὕλην περιέχειν λέγειν τοῦ ἀέρος, ἀλλ' αὐτὸ τὸ ὕδωρ ὕλην εἶναι τοῦ ἀέρος. εἴρηται γὰρ ὅτι ἡ
30 τοῦ αὐξομένου ὕλη οὐκ ἔστι δυνάμει σῶμα, ἀλλ' ἐντελεχείᾳ, καὶ ἕν τινι οὖσα οὕτως ἐστὶν ὡς ἐκείνου μέρος ὑπάρχουσα τοῦ ἐν ᾧ ἐστιν. εἰ δὲ μὴ περὶ 40

---

2 τὸ πολλὰ καὶ ἀδύνατα om. T¹ 3 τινῶν R et superscr. Z: om. GTa 6 οὐχ] δὲ οὐδ' a et Arist. vulg. οὕτω et γιγνόμενος a, qui mox ὁ om. (cum. Ar.) 7 αὐξουμένου R 11 ἐπιτίθησιν Z 12 ἐνέργειαν libri praeter R 13 μένοντος Z 15 αὐξουμένου Z 18 εἶναι τὴν ὕλην ex Ar. vulg. a 20 καὶ τῷ δύνασθαι GZ ὑπάρχει] ἐστὶν Z 22 ἐπόμενα (sic) a 23 μεταβαλλόντος GT¹: μεταβαλόντος ZT² 24 οὕτω a: οὕτω πᾶσιν tr. Z 26 μὴ] τῇ μὴ a

τῆς τοῦ αὐξομένου ὕλης ἐστὶν αὐτῷ ὁ λόγος, ἀλλὰ περὶ τῆς τοῦ γινομένου, 18v
τουτέστι περὶ τῆς πρώτης καὶ ἀνειδέου, εἴη ἂν καὶ οὕτως ἀληθὴς ὁ λόγος· ἀχώριστος γάρ ἐστι καὶ αὐτὴ μὴ δυναμένη χωρίζεσθαι τοῦ ἐν ᾧ ἐστι. σύμφωνα δὲ καὶ τὰ ἐφεξῆς ἐπιφερόμενα κατὰ ταύτην τὴν ἔννοιαν· φησὶ γὰρ ὡς οὖσαν τὴν αὐτὴν καὶ μίαν ἀριθμῷ, τῷ λόγῳ δὲ μὴ μίαν. μία γὰρ καὶ ⟨ἡ⟩ αὐτὴ κατ'. ἀριθμὸν τῷ ὕδατι ἡ ἀσώματος ὕλη, λόγῳ δὲ οὐχ ἡ αὐτή· ἄλλο γάρ ἐστιν αὐτῇ τὸ ὕλῃ εἶναι καὶ ἄλλο τὸ ὕδατι. καὶ πρὸς τὴν τοῦ αὐξομένου δὲ ὕλην ὁ αὐτὸς λόγος· ἄλλο γὰρ τὸ ὕδατι καὶ ἄλλο τὸ εἶναι ὕλῃ φυτῷ.

Βέλτιον τοίνυν πᾶσι ποιεῖν ἀχώριστον τὴν ὕλην. ἐξ ἀρχῆς προκείμενον ἦν ἀνελεῖν τὸ εἶναι δυνάμει σῶμα καὶ οὐκ ἐνεργείᾳ τὴν τοῦ αὐξομένου ὕλην. καὶ κατὰ διαίρεσιν προαγαγὼν τὴν ζήτησιν ἔδειξε πρῶτον ὅτι οὐχ οἷόν τε ταύτην δυνάμει οὖσαν σῶμα αὐτὴν καθ' αὑτὴν ὑφεστάναι, εἶτ' ἐφεξῆς προεβάλετο ζητῆσαι μήποτε ἔν τινι ὑπάρχει ἤτοι ὡς μηδὲν οὖσα τοῦ ἐν ᾧ ἐστιν ἢ ὡς οὖσά τι, καὶ ἀποδείξας ὡς οὐχ οἷόν τέ ἐστιν ἔν τινι εἶναι ὡς μηδὲν οὖσαν τοῦ ἐν ᾧ ἐστι (συμβήσεται γάρ, φησίν, αὐτὴν χωρισθῆναι μηδὲν μεταβάλλοντος τοῦ ἐν ᾧ ἐστιν, ᾧπερ πολλὰ ἕψεται ἀδύνατα), καταλέλοιπε τὸ ἕτερον μέρος ἀνεξέλεγκτον, λέγω δὲ τὸ ἔν τινι μὲν ὑπάρχειν εἶναι δέ τι τοῦ ἐν ᾧ ἐστιν, ὡς ἂν ἀληθές τε ὑπάρχον | καὶ προσυπακούεσθαι δυνάμενον. εἰ δὲ ἔν τινί ἐστιν ἡ τοῦ 19r
αὐξομένου ὕλη συντελοῦσα πρὸς σύστασιν τοῦ ἐν ᾧ ἐστιν, ἤτοι ὡς μέρος ἔσται ἐν ὅλῳ ἢ ὡς ὕλη ἀνείδεος ἐν τῷ συνθέτῳ. ἀλλ' ἡ μὲν ἀνείδεος οὐκ αὐξήσεως, καθάπερ προειρήκαμεν, ἀλλὰ γενέσεως καὶ φθορᾶς ἐστιν ὕλη, νῦν δὲ πρόκειται αὐξήσεως ὕλην ζητῆσαι. λείπεται τοίνυν ὡς μέρος εἶναι ἐν ὅλῳ. εἰ δὲ τοῦτο, ἐνεργείᾳ ἐστὶ σῶμα καὶ μέγεθος ἡ τοῦ αὐξομένου ὕλη, ὅπερ ἐξ ἀρχῆς ἐχρῆν δεῖξαι. εἰ δέ τις λέγοι 'τί δήποτε μέρος φαμὲν ἐν ὅλῳ εἶναι τὴν τοῦ αὐξομένου ὕλην; τί γὰρ μᾶλλον μέρος ἢ ὅλον λέγοιτο εἶναι;', γινωσκέτω ὡς τὸ προκείμενον ἦν δεῖξαι ἐνεργείᾳ σῶμα καὶ μέγεθος ὑπάρχουσαν τὴν τοῦ αὐξομένου ὕλην καὶ οὐ δυνάμει. τελείαν δὲ καὶ ἀνελλιπῆ ποιησάμενοι τοῦ ἔν τινι τὴν διαίρεσιν, εὕραμεν ἓν τμῆμα τῆς διαιρέσεως τὸ ὡς μέρος ἐνυπάρχον, ὅπερ ὡς ἀνέλεγκτον προσηκάμεθα, οὐ διὰ τὸ μέρος φάσκειν τοῦ ὅλου τὴν τοῦ αὐξομένου ὕλην (οὐ γὰρ τοῦτο πρόκειται διαστείλασθαι, εἴτε μέρος ἐστὶν εἴτε ὅλον), ἀλλ' ὡς ἐνεργείᾳ

---

3 αὕτη (G)a 5 τὴν om. add. T² τῷ ἀριθμῷ Z Aristoteles μὴ] οὐ Z 6 μίαι γὰρ a ἡ addidit a 7 αὐτῇ (G)a: αὐτὴ RTZ τὸ (post ἄλλο) GZ et corr. T: τῷ RT¹a 8 γὰρ τὸ] γὰρ τῶ R 9 φυτῶ RZ: φυτῶν GT: τῶν φυτῶν a 10 Βέλτιον — ὕλην] Ὡς οὖσαν τὴν αὐτὴν καὶ μίαν τῷ ἀριθμῷ. τῷ λόγῳ δὲ, μὴ μίαν a πᾶσι ποιεῖν GRT: ποιεῖν πᾶσιν Z; cf. p. 78,18 et 80,8 sqq. 11 οὐκ om. T 13. 14 ὑφιστάναι R 14 προεβάλλετο a ὑπάρχῃ R 16 οὖσα R 17 ὅπερ (G)a 19 τὸ ἕν GRT: τοῦν Z: τῷ ἕν a 20 προυπακούεσθαι T¹ 22. 23 ἐν τῷ — οὐκ αὐξήσεως om. GT 25 ἐν om. T¹ 26 ἐχρῆν ἐξ ἀρχῆς GTa 26. 27 μέρος φαμὲν GTa: φαμὲν μέρος Z: μέρος· εἰ μὲν R 28 γιγνωσκέτω G τὸ om. Z 30 εὕραμεν GRT: εὕρομεν Za 31 προηκάμεθα GTa 33 διαστείλλασθαι T

σῶμα εἰσηγούμενον καὶ οὐ δυνάμει τὴν τοῦ αὐξομένου ὕλην· τοῦτο γὰρ 19r
ἦν τὸ προκείμενον, οὐδὲν διαφέρον εἴτε ὅλον ἐστὶν εἴτε μέρος.

Ἡ μὲν οὖν πᾶσα τῶν δεικνυμένων τάξις τοιαύτη τίς ἐστι, ζητητέον δὲ τί ποτέ ἐστι τὸ νῦν ἐπιφέρομενον. δείξας γὰρ ὡς ἀδύνατόν ἐστιν ὑποθέσθαι ἔν τινι τὴν ὕλην δυναμένην χωρίζεσθαι τοῦ ἐν ᾧ ἐστι μηδὲν ἐκείνου τοῦ ἐν ᾧ ὑπῆρχε μεταβάλλοντος, ὡς ἐπὶ παραδείγματος τῆς γενέσεως καὶ τῆς εἰς τὸν ἀέρα τοῦ ὕδατος μεταβολῆς, ἐπιφέρει λέγων βέλτιον τοίνυν ποιεῖν πᾶσιν ἀχώριστον τὴν ὕλην. ὅπερ εἰ μὲν ὡς πρὸς τὸ ἐξ ἀρχῆς προκείμενον ἐκλάβοις εἰρημένον, περὶ τῆς τοῦ αὐξομένου ὕλης ἐστὶν αὐτῷ ὁ λόγος, φάσκοντι χρῆναι τὴν τοῦ αὐξομένου ὕλην ὑποτίθεσθαι μὴ δυναμένην χωρίζεσθαι τοῦ ἐν ᾧ ἐστι, διὰ τὸ αὐτὸ ἐκεῖνο ὑπάρχειν ὅπερ εἶναι λέγεται τὸ ἐν ᾧ ἐστιν, οἷον εἰ τύχοι οὐκ ἐν ὕδατι περιεχομένην, ἀλλ' αὐτὸ τὸ ὕδωρ οὖσαν τὴν τοῦ ἀέρος ὕλην, τουτέστιν ἐνεργείᾳ οὖσαν σῶμα, ὅπερ ἐστὶν ἀληθές. τῷ μὲν γὰρ ἀριθμῷ, φησίν, οὐδὲν διαφέρει ἡ τοῦ αὐξομένου ὕλη, τουτέστι τὸ ἐνεργείᾳ ὂν σῶμα, οἷον τὸ ὕδωρ τῆς ὕλης τῆς πρώτης τοῦ ὕδατος, ἥτις εἰς τὸ εἶναι ὕδωρ μεταβάλλει. ἡ αὐτὴ γάρ ἐστι τῷ ἀριθμῷ καὶ τῷ ὑποκειμένῳ, ὡς ἐν τοῖς ἑξῆς πλατύτερον ἀποδειχθήσεται, τῷ λόγῳ δέ, φησίν, οὐ μία· ἄλλος μὲν γὰρ ὁ λόγος τῆς ὕλης καθὸ ὕλη ἐστίν, ἄλλος δὲ καθὸ ὕδωρ γεγένηται. σύμφωνα δὲ τὰ νῦν τοῖς μετ' ὀλίγον ῥηθησομένοις παρ' αὐτοῦ, φάσκοντος τὴν τοῦ αὐξομένου ὕλην τῆς τοῦ γινομένου μὴ εἶναι ἑτέραν τῷ ἀριθμῷ πλὴν τῷ λόγῳ. ἔνεστι δὲ τὸ βέλτιον πᾶσι ποιεῖν ἀχώριστον οὐχ ὡς πρὸς τὸ ἐξ ἀρχῆς προκείμενον ἐκλαβεῖν, ἀλλ' ὡς πρὸς τὸ προσεχῶς εἰρημένον. ἐκθέμενος γὰρ ἐξ ἀρχῆς τὴν ὑπόθεσιν τὴν φάσκουσαν τὴν τοῦ αὐξομένου ὕλην ἔν τινι εἶναι ὡς μηδὲν οὖσαν ἐκείνου τοῦ ἐν ᾧ ἐστιν, ἐπὶ παραδείγματος τῆς γενέσεως ἐσαφήνισε τὸ λεγόμενον εἰπὼν "λέγω δὲ οἷον εἰ γίνεται ἀὴρ ἐξ ὕδατος, οὐ τοῦ ὕδατος ἔσται μεταβάλλοντος, ἀλλὰ διὰ τὸ ὥσπερ ἐν ἀγγείῳ τῷ ὕδατι τὴν ὕλην αὐτοῦ εἶναι". εἶτα μετὰ τοῦτο τὴν ἀναίρεσιν τῆς τοιαύτης ὑποθέσεως γράφων, τὸ μὴ δύνασθαι ὕλην ὑποθέσθαι ἔν τινι οὖσαν χωρίζεσθαι δυναμένην αὐτοῦ μηδὲν τοῦ ἐν ᾧ ἐστι μεταβάλλοντος, πάλιν ὡς ἐπὶ τῆς ἐξ ὕδατος εἰς ἀέρα μεταβολῆς ποιεῖται τὸν λόγον, ἥτις ἐστὶ γένεσις, ὡς πρὸς τὸ προσεχῶς εἰρημένον ὅπερ ἐν παραδείγματος τάξει ἔγκειται. καθάπερ εἴπομεν, ἐπήγαγε τὸ βέλτιον τοίνυν ποιεῖν πᾶσιν ἀχώριστον τὴν ὕλην, περὶ τῆς τῶν γινομένων ὕλης τῆς πρώτης καὶ ἀνειδέου τὸν λόγον ποιούμενος. τὴν γὰρ ὕλην, φησί, τοῦ ἀέρος τὴν ἐν τῷ ὕδατι, ἐξ ἧς ὁ ἀὴρ γίνεται, βέλτιον πᾶσιν ἀχώριστον εἶναι τοῦ ὕδατος ἐν ᾧ ἐστιν. οὐ γὰρ ἑτέρα ἐστὶ τοῦ ὕδατος

7 καὶ scripsi: ἐκ libri 9 ὡς om. Z 12 εἰ ἔτυχεν Z 15 τὸ] τοῦ R 16 ὕδωρ τῆς πρώτης ὕλης a 17 καὶ τῷ] καὶ τὸ T 19 ἐστὶν καθ' ὃ ὕλη tr. Z 20 γένηται R ὀλίγα Z 21 γενομένου GTa 22 ἔν ἐστι δὲ R 22. 23 πᾶσιν ἀχώριστον ποιεῖν (omissis οὐχ ὡς — ἐκλαβεῖν) Z 26. 27 τῆς γενέσεως — οὐ τοῦ ὕδατος om. Z 26 ἀσαφηνίζετο λεγόμενον a εἰπὼν p. 320ᵇ7 28 ἐνεῖναι (at εἶναι codd. EL) τὴν ὕλην αὐτοῦ Ar. 32 καὶ ὡς πρὸς a, fort. recte 36 ὁ om. Z 37 ἐν ᾧ] ἐξ οὗ Z

κατὰ τὸν ἀριθμόν, ἀλλ' ἡ αὐτὴ καὶ μία, ἡ διαφορὰ δὲ μόνη κατὰ τὸν 19r
λόγον· ἄλλο γάρ ἐστι τὸ ὕδατι εἶναι καὶ ἄλλο τὸ ὕλῃ.

p. 320ᵇ14 Ἀλλὰ μὴν οὐδὲ στιγμὰς οὐδὲ γραμμὰς θετέον τὴν τοῦ σώματος ὕλην.

Περὶ μὲν στιγμῶν, ὅτι οὐκ εἰσὶν ὕλη τοῦ αὐξομένου, ἀνωτέρω εἴρηκε, λαβὼν τοῦτο ὡς ἑπόμενον ταῖς ὑποθέσεσι ταῖς δυνάμει σῶμα καὶ χωριστὴν αὐτὴν καθ' αὑτὴν τὴν ὕλην τοῦ αὐξομένου ὑποτιθεμέναις. νῦν δὲ ἔοικεν ἀποτείνεσθαι πρὸς τοὺς ἐξ ἐπιπέδων γεννῶντας τὰ σώματα, οἵτινες τῷ μὲν μὴ ἐξ ἀμεγεθῶν ποιεῖν τὰ σώματα πιθανῇ ἐχρῶντο κατὰ τοῦτο ὑποθέσει (μεγέθη γὰρ καὶ τὰ ἐπίπεδα), οὐ μέντοι γε ἔφευγον τὸ ἀδύνατον. εἰ γὰρ καὶ μεγέθη τὰ ἐπίπεδα, ἀλλ' οὐκ ἐν τόπῳ. ἀποδέδεικται γὰρ ἐξ ἀρχῆς, ὅτι ὅταν τὸ γινόμενόν πού ἐστιν, ἀνάγκη καὶ τὸ ἐξ οὗ γίνεται ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκὸς ἐν τόπῳ εἶναι. οὐκ ἔστι δὲ οὐδὲ κατὰ συμβεβηκὸς τὰ ἐπίπεδα ἐν τόπῳ ὑποτίθεσθαι, τῷ προϋφεστάναι τῶν σωμάτων, εἴτε τῷ κατὰ σύνθεσιν τῶν ἐπιπέδων συγκεῖσθαι τὰ σώματα κατὰ Πλάτωνα, εἴτε τῷ ῥυϊσκομένων αὐτῶν κατ' ἐπίνοιαν γεννᾶσθαι τὰ σώματα. προκείμενον δὲ αὐτῷ πρὸς τοὺς ἐξ ἐπιπέδων ποιοῦντας τὰ σώματα ἀποταθῆναι, παρέθετο καὶ τὰς στιγμάς, ὡς ἀκόλουθον αὐτοῖς καὶ ἐκ στιγμῶν μέγεθος ποιεῖν· ὡς γὰρ ἐν τῇ Περὶ οὐρανοῦ αὐτῷ εἴρηται, 'τῆς αὐτῆς ἐστι διανοίας ἐξ ἐπιπέδων τε ποιεῖν τὰ σώματα καὶ ἐκ στιγμῶν', πλὴν δοκεῖ τοῦτο ἀτοπώτερον εἶναι, τὸ ἐκ πάντῃ ἀμεγεθῶν ποιεῖν μέγεθος. Ἀλέξανδρος δὲ τὸ ἀλλὰ μὴν οὐδὲ στιγμὰς θετέον ἀντὶ τοῦ 'οὐδὲ γὰρ στιγμὰς θετέον' ἐξέλαβεν, ὅπως συνεχὴς ἡ πᾶσα τῆς λέξεως εἴη διάνοια· 'βέλτιον γὰρ πᾶσιν ἀχώριστον ποιεῖν τὴν ὕλην· οὐδὲ γὰρ στιγμὰς οὐδὲ γραμμὰς θετέον τὴν τοῦ σώματος ὕλην'· οὐδὲ γὰρ καθ' αὑτό | τι τούτων ὑποστῆναι οἷόν τε, οὔτε ἐξ ἀδιαστάτων στιγμῶν διάστημα 19v
γενέσθαι. ὁ μὲν οὖν Ἀλέξανδρος οὕτως ἐξηγήσατο τὸ οὐδὲ γραμμὰς θετέον τὴν τοῦ σώματος ὕλην, ὡς πρὸς τοὺς ἐξ ἐπιπέδων ποιοῦντας τὸ σῶμα ὄντος τοῦ λόγου, διὰ τό, ὡς αὐτός φησι, τῆς αὐτῆς εἶναι διανοίας τὸ ἐξ ἐπιπέδων ποιεῖν τὸ σῶμα καὶ ἐκ γραμμῶν τὸ ἐπίπεδον καὶ ἐκ στιγμῶν τὰς γραμμάς. πλὴν ὅμως βίαιόν ἐστιν ὡς πρὸς τὴν λέξιν· γραμμῶν γὰρ καὶ οὐκ ἐπιπέδων ἐμνήσθη. διόπερ ῥητέον ὅτι ἀνωτέρω

---

2 ὕδωρ a ὕλη libri 3 θετέον οὐδὲ γραμμὰς a Arist.; cf. v. 22 sqq. p. 82,6. 35 5 μὲν γὰρ R ἀνωτέρω om. GTa 8 ἀποτείνασθαι GT 9 ἀμεγέθων GTa πιθανῶς R¹ 10 ἔφυγον a 12 ὅταν] ὅτε a 13 οὐκ ἔσται GTa 14 ἐν om. a τὸ T¹ 16 ῥυϊσκομένω T¹ ἐπίνοιαν GT: ἀπόῤῥοιαν a 17. 18 τὰ σώματα ποιοῦντας Z 19 ὡς γὰρ] ὥσπερ a, qui mox τῆς αὐτῆς γάρ ἐστι Περὶ οὐρανοῦ Γ 1 p. 299ᵃ6 sqq., quem locum memoriter citat 21 ἀμεγεθῶν R: ἀγαθῶν Z: ἀμεγέθων GTa 21. 22 ἀμέγεθος R 22 δὲ om. Z 24. 25 οὐδὲ—ὕλην om. R 25 fort. οὔτε γὰρ 27 γίνεσθαι a τὸ οὐδὲ] τὸ δὲ οὐ R 28 ὕλην R: om. cett. τοὺς] τοῦ T¹ 30 καὶ οὐκ ἐκ γραμμῶν R τὰ ἐπίπεδα a 31 πλὴν om. T¹ βίον ἐστὶν a 32 οὐκ om. Z

δείξας ἀδύνατον εἶναι στιγμὰς ὑποθέσθαι τὴν τοῦ αὐξομένου ὕλην, νῦν 19v
διδάσκει ὅτι οὐδὲ γραμμάς. συναναλαβὼν τὸν περὶ τῶν στιγμῶν λόγον.
διὰ τί δὲ οὐ δυνατὸν οὐδὲ γραμμὰς ὑποθέσθαι. αὐτὸς προστίθησι· διὰ
τὰς αὐτὰς γὰρ αἰτίας, διότι οὐδὲν τούτων καθ' αὑτὸ ὑποστῆναι δυνήσε-
5 ται μηδὲ κατέχειν τινὰ τόπον αὐτὰς καθ' αὑτάς.

Ἀλλὰ μὴν οὐδὲ στιγμὰς θετέον οὐδὲ γραμμὰς τὴν τοῦ σώματος ὕλην. ἐπεστήσαμεν καὶ ἔμπροσθεν ὅτι δοκεῖ ὁ Ἀριστοτέλης εἰς τὸν περὶ τῆς πρώτης ὕλης λόγον μεταβεβηκέναι, καίτοι ἐξ ἀρχῆς περὶ 10
τῆς τοῦ αὐξομένου ὕλης προθέμενος διδάξαι. ἐν μέσῳ γὰρ παραδείγματος
10 χάριν τὸν περὶ τῆς γενέσεως ἀνακινήσας λόγον, δοκεῖ τῇ συνεχείᾳ τοῦ λόγου ἀκολουθεῖν καὶ περὶ τῆς πρώτης ὕλης διαλέγεσθαι, ἥτις τῇ γενέσει ὑπόκειται, τοῦ δὲ ἐξ ἀρχῆς προκειμένου ἀποχωρεῖν. καὶ νῦν οὖν ὁ ἐξηγητὴς Ἀλέξανδρος τὴν τοῦ σώματος ὕλην τὴν πρώτην ἐξέλαβε τὴν ἀνείδεον, καὶ οὕτως τὴν ἐφεξῆς πᾶσαν ἥρμοσεν λέξιν ἐξηγούμενος·
15 ἐκεῖνο δὲ οὐ ταῦτα ἔσχατα, ἡ ὕλη. εἰπών, φησίν, ὅτι ἀδύ- 15
νατον τὰς γραμμὰς ἢ τὰς στιγμὰς ὕλην ὑποθέσθαι, λέγει νῦν τί ποτέ ἐστιν ἡ τοῦ σώματος ὕλη, φάσκων ἐκεῖνο εἶναι τὴν ὕλην, οὗτινος ἔσχατα καὶ πέρατά εἰσι στιγμαὶ καὶ γραμμαί, λέγει δὲ δηλονότι τὸ ἐνεργείᾳ σῶμα· τούτου γάρ εἰσι πέρατα γραμμαί τε καὶ στιγμαί. ἐπειδὴ δὲ αὐτὴ 20
20 καθ' αὑτὴν οὖσα ἡ ὕλη οὔτε ἐνεργείᾳ ἐστὶ σῶμα οὔτε ὑπὸ γραμμῶν περατοῦται, ἐπιφέρει πῶς ἐχούσης αὐτῆς πέρατά εἰσι καὶ ἔσχατα αἱ γραμμαί, ἵνα γνῷς διὰ τί ἔσχατα τῆς ὕλης τὰς γραμμάς φησι. διὰ τοῦτο γὰρ πέρατα αὐτῆς αἱ γραμμαί, διότι οὐδέποτε ἄνευ πάθους τινὸς καὶ εἴδους ἐστί· τὸ γὰρ εἶναι αὐτῇ σὺν τούτοις ἐστί. τῷ οὖν ἀχώριστον
25 εἶναι πάθους καὶ μορφῆς, ταύτῃ ἐνεργείᾳ σῶμά ἐστιν ἡ ὕλη, καὶ οὐχ ᾗ ἀνείδεος καὶ ᾗ πρώτη. ταὐτὸν δὲ τὸ λεγόμενον ἐνταῦθα τῷ ἐξ ἀρχῆς εἰρημένῳ ἐν τοῖς ἔμπροσθεν, ὅτι τὸ γινόμενον ἔκ τινος ἐνεργείᾳ ὄντος καὶ 25
εἰδοποιημένου γίνεται. τοιαύτη μὲν ἡ τοῦ Ἀλεξάνδρου ἐξήγησις, δι' ὧν δηλοῖ περὶ τῆς τῶν γινομένων ὕλης εἶναι τὸν παρόντα λόγον, ἥτις
30 πρὸς ὕπαρξιν μὲν δεῖται τοῦ εἴδους, καὶ ταύτῃ ἐνεργείᾳ ὑφεστηκυῖά ἐστιν, ὡς δὲ ὕλη θεωρουμένη καὶ τόδε τι καὶ τόδε δυναμένη γενέσθαι ἀνείδεός ἐστι καὶ ἀσώματος. εἰ δ' ἄρα οὐ περὶ τῆς τῶν γινομένων ὕλης ὁ λόγος ἐστὶν Ἀριστοτέλει, ἀλλὰ περὶ τῆς τοῦ αὐξομένου, ἥτις ὄντως καὶ ὡς ὕλη 30
αὐξομένου θεωρουμένη ἐνεργείᾳ ἐστὶ σῶμα, ἐν τῷ φάσκειν αὐτὸν "ἀλλὰ
35 μὴν οὐδὲ γραμμὰς θετέον οὐδὲ στιγμὰς τὴν τοῦ σώματος ὕλην" προσυπακούειν χρὴ 'τοῦ αὐξομένου', ἵνα ᾗ λέγων περὶ τῆς τοῦ αὐξομένου σώμα-

---

5 num αὐτὸ καθ' αὑτό? 6. 7 Ἀλλὰ—ὕλην] ὡς δ' a, qui mox ὅτι om. 7 ἐπέστησαν μὲν R 8 ὕλης Ra: om. GTZ 9 προσθέμενος R 10 τῆς om. a 11 διαλύεσθαι Z 14 οὕτω Za ἥρμοσεν ἅπασαν Z 15 lemma continuat usque ad v. ἐν ἄλλοις διώρισται a φησίν om. GTa 18 πέρατα εἶναι libri 20 ἑαυτὴν Z 22 διατὶ τὰ ἔσχατα Z 24 αὐτῇ] αὐτοῖς Z 25 et 26 ᾗ] ἡ libri 27 ἐνεργείᾳ ὄντος om. T¹ 30 ταύτης GTa 31 δυναμένην G 32 εἰ mut. in οὐ T² οὐ om. GT 34 ⟨ὥστε⟩ ἐν τῷ a 34 et p. 83,1 Ar. p. 320ᵇ14 et 22

τος ὕλης * * * διδάσκειν, ὅταν λέγῃ "ἐπειδὴ δέ ἐστι καὶ οὐσίας ὕλη σωματι- 19v
κῆς". τὸ δὲ ἐφεξῆς τὸ ἐκεῖνο δὲ οὗ ταῦτα ἐσχατα, ἡ ὕλη, ἁρμοδιώτερον
μᾶλλον κατὰ ταύτην τὴν ἐξήγησιν ἐπάγεται, βουλομένου αὐτοῦ τὸ ἐνερ-
γείᾳ σῶμα καὶ οὐ τὸ δυνάμει εἶναι τοῦ αὐξομένου τὴν ὕλην, ἣν οὐδέποτε
5 ἄνευ πάθους οὐδὲ μορφῆς οἷόν τε εἶναι. πρὸς τὴν προσεχῶς εἰρημένην 35
ἐξήγησιν ἁρμόσαις ἂν ταύτην τὴν ῥῆσιν, φάσκων ὑπὸ Ἀριστοτέλους εἰρῆ-
σθαι τὸ ἐνεργείᾳ σῶμα, ὅπερ κατὰ τὸ τριχῇ διαστατὸν θεωρεῖται, μηδέ-
ποτε ἄνευ πάθους καὶ μορφῆς συνίστασθαι. λέγοι δ' ἂν μορφὴν μὲν τὸ
φυσικὸν εἶδος, πάθος δὲ ἐνταῦθα σημαίνοι τὰ συμβεβηκότα.

10 p. 320b17 Γίνεται μὲν οὖν ἁπλῶς ἕτερον ἐξ ἑτέρου, ὥσπερ ἐν ἑτέροις διώρισται.

Τὸ μὲν οὖν ἁπλῶς ἢ τὸ κυρίως ἢ τὸ καθόλου ἐξακουστέον, τὸ δὲ ἐξ ἑτέρου ἀντὶ τοῦ ἐκ τινος ἐνεργείᾳ ὄντος, ἐπειδὴ κεῖται τὸ τὴν ἄλλου γένεσιν ἄλλου εἶναι φθοράν. ὥσπερ ἐν ἑτέροις διώρισται. εἶπε γὰρ 40
15 περὶ τούτων κἀν τῷ πρώτῳ τῆς Φυσικῆς ἀκροάσεως· ζητήσας γὰρ πῶς τὰ ἐναντία ἐξ ἀλλήλων γίνεται, αἰτίαν εἶπε τὸ κοινόν τι εἶναι αὐτοῖς ὑποκείμενον ἀμφοτέρων ὂν παρὰ μέρος δεκτικόν.

p. 320b19 Καὶ ὑπό τινος δὲ ἐντελεχείᾳ ὄντος ἢ ὁμοειδοῦς ἢ ὁμογενοῦς.

20 Ἐπειδὴ πᾶν τὸ γινόμενον ἔκ τινός τε γίνεται καὶ ὑπό τινος, εἰπὼν ἐκ 45
τίνος ἡ αὔξησις, ὅτι ἐξ ἐνεργείᾳ μεγέθους, νῦν λέγει καὶ ὑπὸ τίνος, τουτ-
έστιν ὑπὸ τοῦ ποιητικοῦ αἰτίου· "παντὶ γὰρ ἀδύνατον", ὥς φησι Πλάτων,
"ἄνευ αἰτίου γένεσιν ἔχειν". διὰ τοῦτο καὶ ὁ Ἀριστοτέλης, εἰπὼν περὶ τοῦ
ὑλικοῦ τῆς αὐξήσεως αἰτίου, λέγει νῦν καὶ περὶ τοῦ ποιητικοῦ, ὅσον αὐτῷ
25 πρὸς τὸ παρὸν χρησιμεύει· οὐδὲ γὰρ τὸ ἰδίᾳ τῆς αὐξήσεως ποιητικὸν
νῦν αἴτιον παραδίδωσιν, ἀλλ' ἁπλῶς πάσης γενέσεως καὶ τῆς κατ' οὐσίαν
καὶ κατ' ἀλλοίωσιν. φησὶν οὖν ὅτι πᾶν τὸ γινόμενον γίνεται ὑπὸ τοῦ 50
ποιητικοῦ αἰτίου ἐνεργείᾳ ὄντος ὁμογενοῦς ἢ ὁμοειδοῦς τῷ γινομένῳ.
τοῦ μὲν οὖν ὁμοειδοῦς αὐτὸς παρέθετο παραδείγματα, ὡς ὅταν πῦρ ὑπὸ
30 πυρὸς ἢ ἄνθρωπος ὑπ' ἀνθρώπου γίνηται· τὸ δὲ ὑπὸ ὁμογενοῦς αὐτὸς

---

1 lacunam signavi διδάσκειν RZ: διδάσκει T: om. (G)a οὐσία ὕλης T
2 ἡ om. RZ 5 οὐδὲ RZ: καὶ GTa προσεχῶς δὲ a 8 μὲν om. Z 9 post σημαίνοι addit ἂν Z: σημαίνει a 10 lemma om. a 10. 11 ὥσπερ καὶ ἐν ἄλλοις διώρισται Aristot. 12 τὰ μὲν οὖν GT: τὸ δὲ a 15 τῷ πρώτῳ τῆς Φυσικῆς ἀκροάσεως c. 7 p. 191a4 18. 19 ἢ ὁμογενοῦς om. a, qui lemma solito more continuat (usque ad v. ὑπὸ σκληροῦ γίνεται) 20. 21 εἰπὼν ἔκ τινος ἡ et ἐνεργείας R
21 ὑπό τινος libri 22 Πλάτων Tim. p. 28 A, unde scrib. παντὶ ὁ πλάτων Z
23 γένεσις a σχεῖν Plato 27 καὶ τῆς κατ' ἀλλοίωσιν Z. recte 28 ὁμοειδοῦς ἢ ὁμογενοῦς Z 29 οὖν Ra et in eras. T: ἣν G: ἢ Z παρέθετο αὐτὸς Z 30 γίνεται GT

ἐδήλωσεν ὑπὸ τίνος φησίν, εἰπὼν ἢ ὑπὸ ἐντελεχείας. εἰ γὰρ καὶ μὴ 19v
ὁμοειδὲς ἦν τὸ ποιοῦν τῷ γινομένῳ, ὁμογενὲς γοῦν πάντως ἐστὶ κατ'
αὐτὸ τοῦτο, καθ' ὃ ἐνεργείᾳ ἐστὶν ὁμοίως τῷ γινομένῳ· σκληρὸν γάρ,
φησίν, οὐχ ὑπὸ σκληροῦ γίνεται, ᾧ δῆλον ὅτι οὐχ ὑπὸ ὁμοειδοῦς, | ἀλλὰ 20r
5 ὑπὸ ψυχροῦ, ἂν οὕτως τύχῃ, τῷ πυκνοῦσθαι ὑπ' αὐτοῦ, ὅπερ ὁμογενές
ἐστι τῷ γινομένῳ, τῷ ἐνεργείᾳ ὑπάρχειν ψυχρόν, ὥσπερ ἐκεῖνό ἐστιν ἐνεργείᾳ σκληρόν. ταύτῃ οὖν ὑπὸ ὁμογενοῦς γίνεται, διότι ἐκ τοῦ ἐντελεχείᾳ ὄντος· τὸ γὰρ ποιητικὸν αἴτιον, ὅ τι ποτ' ἂν ᾖ, πάντως ἐντελεχείᾳ ἐστί. καὶ αἱ τῶν βοτανῶν δὲ αὐτομάτως φυόμεναι οὐκ ἐξ ὁμοειδοῦς τοῦ ποιητι-
10 κοῦ αἰτίου τὴν γένεσιν ἔχουσιν, ἀλλ' ἐξ ἐντελεχείᾳ ὄντος καὶ ταύτῃ 5
ὁμογενοῦς· οἱ γὰρ δημιουργικοὶ λόγοι ἐνεργείᾳ ὄντες αἴτιοι τῶν αὐτομάτως φυομένων εἰσί. καὶ τὸ λευκὸν δὲ οὐχ ὑπὸ λευκοῦ γίνεται, καὶ ἐπὶ ἄλλων μυρίων. ἀλλ' ἐξ ἐνεργείᾳ ὄντος. χρήσιμα δὲ αὐτῷ ἔσται τὰ νῦν εἰρημένα εἰς τὸν περὶ αὐξήσεως λόγον, εἰς τὸ δεῖξαι ὅτι ἔστι τι ποιητικὸν τῆς
15 αὐξήσεως αἴτιον τὸ οἰκειοῦν καὶ συγκρῖνον τὴν τοῦ αὐξομένου ὕλην τῷ αὔξοντι.

p. 320b22 Ἐπεὶ δ' ἐστὶ καὶ οὐσίας ὕλη σωματικῆς, σώματος δ' 10
ἤδη τοιουδί.

Ζητήσας περὶ τῆς τοῦ αὐξομένου ὕλης καὶ δείξας ὅτι σῶμά ἐστιν
20 ἐνεργείᾳ, ἵνα μή τις οἰηθῇ πρώτην ὕλην ταύτην εἶναι, νῦν διδάσκει ὅτι καὶ αὐτοῦ τοῦ σώματος ἔστιν ὕλη, ἥτις πρώτη καὶ ἀνείδεός ἐστι καὶ 20
ἀσώματος ἐξ ἀνάγκης· ἕτερον γὰρ ἡ ὕλη τοῦ οὗ ἐστιν ὕλη. εἴη ἄν οὖν ἡ τοῦ σώματος ὕλη οὐ σῶμα, ἀλλ' ἀσώματον. καὶ εἰ τοῖς εἴδεσιν ὑπόκειται πᾶσιν, ἀνείδεος ἄρα ἔσται. καὶ ἑτέρα ἐστὶν ἡ ὕλη ἡ τῆς σωμα-
25 τικῆς οὐσίας, καὶ ἑτέρα ἡ τῆς αὐξήσεως· δόξει γάρ, εἴπερ ἡ μέν ἐστιν ἀσώματος καὶ ἀνείδεος καὶ πρώτη, ἡ δὲ τῆς αὐξήσεως ἐνεργείᾳ σῶμα. φησὶν οὖν ὅτι ἡ αὐτή ἐστιν ὕλη τῆς οὐσίας τῇ τῆς αὐξήσεώς τε καὶ ἀλλοιώσεως· διὰ μὲν γὰρ τοῦ μεγέθους τὴν αὔξησιν, διὰ δὲ τοῦ πάθους τὰ συμβεβηκότα δεδήλωκεν. εἰ γὰρ ἄλλη μὲν εἴη σώματος ὕλη, ἄλλη δὲ 25
30 ποσοῦ καὶ ποιοῦ καὶ τῶν λοιπῶν, ἔσονται τὰ συμβεβηκότα χωριστὰ τοῦ σώματος, ὅπερ ἐστὶν ἀδύνατον. ἡ αὐτὴ ἄρα ἐστὶ καὶ γενέσεως καὶ αὐξήσεως καὶ ἀλλοιώσεως ὕλη. ἡ αὐτὴ δὲ οὐ καθ' ἅπαν, κατά τι δὲ ἡ αὐτή. καὶ πῶς ἡ αὐτὴ προστίθησι, φάσκων τῷ μὲν λόγῳ δυνατὸν εἶναι χωρισθῆναι τὴν ἑτέραν

1 ὑπό τινός φησιν libri ἐντελεχείας R Aristot.: ἐντελεχεία cett. 2. 3 καθ' αὐτὸ GT 4 ᾧ om. a 5 οὕτω a τῷ a: τὸ cett. 6 ἐστιν (post ἐκεῖνό) R: ἐστι τῷ (?) Z: ἐστὶ (hoc om. G) τῷ γινομένῳ τῷ GT: τὸ γινόμενον τῷ a 7 γοῦν R 8 ᾖ RZ: εἴη GTa 9 οὐκ ἐχ' (sic) ὁμοειδοῦς R 10 ἐντελεχείας R 13 μυρίων] πολλῶν Z ἐνεργείας R αὐτὰ a 15 τῷ] τῇ a 17 ἐπειδὴ supra p. 83,1 δέ ἐστι et mox τοιοῦδε R 20 εἶναι ταύτην Z 21. 22 ἥτις—ἐστὶν ὕλη om. R 22 ἐξ ἀνά cum lac. Z 23 ὕλη om. add. T² οὐ σῶμα bis GT¹ ἀσώματος a 24 ἔσται ἄρα Z ἡ ὕλη ἡ RZ: ἡ ὕλη GTa 25 δοκεῖ GTa 26 ἀνείδεος καὶ ἀσώματος ἡ πρώτη a 32 fort. ἅπαν. κατὰ τί δὲ ἡ αὐτὴ καὶ 33 εἶναι] ἐστι Z

ἐκ τῆς ἑτέρας, τόπῳ δὲ μηκέτι. τὸ γὰρ ἐνεργείᾳ σῶμα τὸ τῇ αὐξήσει 20r
καὶ τῇ ἀλλοιώσει ὑποκείμενον τῷ μὲν λόγῳ ἕτερόν ἐστι τῆς πρώτης καὶ
ἀνειδέου ὕλης (ἄλλος γὰρ λόγος τῆς πρώτης ὕλης καὶ ἄλλος τοῦ σώματος), 30
ἀριθμῷ δὲ καὶ τῷ ὑποκειμένῳ ἓν καὶ ταὐτὸν ἄμφω ὑπάρχει καὶ τόπον
5 τὸν αὐτὸν ἔχοντα. εἰ γὰρ λέγοις ἐν ἄλλῳ μὲν τόπῳ τὴν τῆς οὐσίας ὕλην
ὑπάρχειν ἐν ἄλλῳ δὲ τὴν τῆς αὐξήσεως καὶ τῶν παθῶν, ἔσται ἐν ἄλλῳ
μὲν τόπῳ ἡ σωματικὴ οὐσία ἐν ἄλλῳ δὲ τὰ πάθη, ὅπερ ἐστὶν ἀδύνατον,
τὰ πάθη ὑποθέσθαι ἐκτὸς τῶν σωμάτων ὑφιστάμενα αὐτὰ καθ' αὑτά.

Σώματος δ' ἤδη τοιουδί· σῶμα γὰρ κοινὸν οὐδέν ἐστιν. ἐπει-
10 δή, φησίν, ἡ γένεσις τῶν κατὰ μέρος ἐστὶ σωμάτων, καὶ τοῦδέ τινος. τοῦ 35
γὰρ κοινοῦ τοῦ κατηγορουμένου τῶν ἄλλων οὔτε γένεσις ἁπλῶς ἐστιν οὔτε
ὑπόστασις· τὸ γὰρ καθόλου ἐν τοῖς δημιουργικοῖς λόγοις ὑφέστηκε μόνοις.
ὥστε καὶ ἡ ὕλη τοῦ τινός ἐστι σώματος, καὶ οὐ τοῦ κοινοῦ· εἰ γὰρ τοῦ
κοινοῦ σώματος εἴη, οὐκέτ' ἂν ἐνεργείᾳ ἦν ὕλη ὑπάρχουσα, τοῦ κοινοῦ
15 μὴ κατ' ἐνέργειαν ὑπάρχοντος. ὥσπερ οὖν ἐστι τὸ καθόλου σῶμα ἐν
τοῖς δημιουργικοῖς ἐνυπάρχον λόγοις, οὕτω καὶ τὴν καθόλου ὕλην οἰητέον
εἶναι· οὐδὲν γάρ ἐστι καθόλου ἐν ὑποστάσει οὔτε σῶμα οὔτε σώμα- 40
τος ὕλη.

p. 320b25 Φανερὸν δὲ ἐκ τῶν διηπορημένων.

20 Ζητήσας περὶ τῆς ὕλης τῆς αὐξήσεως, καὶ δείξας ὅτι πολλὰ
ἔψονται ἄτοπα τοῖς ἐκ δυνάμει μὲν μεγέθους καὶ ⟨σώματος⟩ ἐντελεχείᾳ
δὲ ἀμεγέθους λέγουσι γίνεσθαι τὴν αὔξησιν, συμπεραίνεται νῦν τὰ δεδειγ-
μένα, ὅτι οὐκ ἐκ δυνάμει μεγέθους αὔξεται τὸ αὐξόμενον, ἀλλ' ἐξ ἐνεργείᾳ
μεγέθους φυσικοῦ. εἰ γὰρ ἐξ ἀμεγέθους τὸ μέγεθος ἐπιδίδωσι καὶ αὔξεται,
25 εἴη ἂν χωριστὸν κοινὸν ἢ κενόν· ἀμφότερα γὰρ γράφονται καὶ ἀμφότερα
λόγον ἔχοντα. εἰ μὲν γὰρ εἴη χωριστὸν κοινὸν γεγραμμένον, σημαίνει 45
μὲν διὰ τοῦ κοινὸν τὴν ὕλην· κοινὸν γάρ ἐστι πάντων ὑποκείμενον.
λέγοιτο δ' ἂν ὅτι εἰ γένοιτο αὔξησις καὶ μέγεθος ἐξ ἀμεγέθους καὶ τοῦ
δυνάμει σώματος, εἴη ἂν τὸ δυνάμει μέγεθος ὅπερ ἐστὶν ἡ ὕλη κεχωρισ-
30 μένη μεγέθους καὶ τοῦ ἐνεργείᾳ σώματος αὐτὴ καθ' αὑτὴν ὑφεστηκυῖα.
εἰ δὲ ἔχοι χωριστὸν γὰρ ἂν εἴη τὸ κενόν, εἴη ἂν λέγων ὅτι εἰ
γίνεται αὔξησις ἐκ δυνάμει μὲν μεγέθους, ἐνεργείᾳ δὲ μηδὲν ἔχοντος μέγε-

---

2 μὲν γὰρ λόγῳ T 4 ἓν καταυτὸν T τόπου R 5 ἔχουσιν a λέγεις RT¹ 9 τοιοῦδε R ἐστιν om. Ar. 12 λόγοις om. GTa ὑφεστηκομένοις (pro ὑφ. μόνοις) compend. R 14 ἂν ἦν ἐνεργεία R 16 ὑπάρχον a 17 ὑποστάσεσιν Z 19 lemma om. a, qui pergit ζητήσας δὲ φανερὸν δὴ Ar. vulg. 21 ἕψεται a σώματος addidi: contra καὶ delevit a 23 οὐκ ἐν δυνάμει GT 25 κοινὸν ἢ κενόν Z: κενὸν ἢ κενόν GT: κενὸν ἢ κοινόν Ra 26. 27 σημαίνει—ὑποκείμενον om. add. T² 27 διατοῦτο κοινὸν R 28 μέγεθος] mut. in μεγέθους T² ἐξ Ra: καὶ cett. 31 ἔχει Z: ἔχοι R γὰρ εἴη ἂν Z, qui proxima εἴη ἂν om. 32 μηδὲν RZ: μὴ GTa

θος, ἔσται κεχωρισμένον καὶ αὐτὸ καθ' αὑτὸ ὑφεστὼς τὸ κενόν. εἰ γὰρ 20r
τὸ ηὐξημένον ἐπιλαμβάνει τόπον τινὰ πλείονα μὴ κατεχόμενον ὑπὸ τοῦ
προσιόντος καὶ τὴν αὔξησιν ποιήσαντος (ἐκεῖνο γὰρ ἀμέγεθες ἦν), ἦν ἂν 51
οὗτος ὁ τόπος ὃν ἐπέλαβε τὸ ηὐξημένον κενὸς πρότερον, ὅπερ ἀδύνατον
5 ὂν δέδεικται ἐν τῷ τετάρτῳ λόγῳ τῆς Φυσικῆς ἀκροάσεως. ὅτι δὲ οὐδὲ
τὴν ὅλην χωριστὴν εἶναι παντὸς εἴδους ἐνδέχεται, πολλάκις εἴπομεν.

Εἰδέναι δὲ χρὴ ὅτι ὡς δεδομένου τοῦ μηδὲν τῶν φθειρομένων εἰς
τὸ μηδαμῇ μηδαμῶς ὂν χωρεῖν, ἀληθὴς ἡ κατασκευὴ ἡ | εἰς ἄτοπον 20v
ἀπάγουσα καὶ τὸ κενὸν εἰσάγουσα. εἰ δέ τις λέγοι φθείρεσθαί τε εἰς τὸ
10 μὴ ὂν καὶ γεννᾶσθαι ἐκ μὴ ὄντος, οὐκέτι τῇ ὑποθέσει ταύτῃ τὸ εἶναι τὸ
κενὸν ἐνεργείᾳ ἕψεται· ὂν γὰρ τὸ φθειρόμενον ἀπολείπει τόπον, τοῦτον
ἀναπληροῖ τὸ γινόμενον. οὕτω δὲ καὶ τῆς αὐξήσεως, εἴ τις λέγοι μὴ
μόνον ἐκ δυνάμει μεγέθους γίνεσθαι τὴν αὔξησιν, ἀλλὰ καὶ τὸ φθῖνον εἰς
δυνάμει μέγεθος μεταβάλλειν, οὐκέτι χώραν ἔχει τὸ κενόν. ὡς οὖν 5
15 ὡμολογημένου ὅτι τὸ φθῖνον οὐ μεταβάλλει εἰς δυνάμει μέγεθος, οὕτω
προχωρεῖ ἡ κατασκευή. εἰ δέ τις ζητοίη τί βούλεται αὐτῷ ἡ προσθήκη
τοῦ χωριστοῦ (ἤρκει γὰρ εἰπεῖν ὅτι ἔσται κενόν), ἴστω ὅτι πρὸς ἀντιδιαστολὴν τοῦ πλήρους εἴρηται· ἐδίδαξε γὰρ ἐν τῇ Φυσικῇ ὅτι τὸ πλῆρες τοῦ
κενοῦ τῇ σχέσει μόνῃ διαφέρει, καὶ οὐδὲν ἕτερόν ἐστι πλῆρες ἢ κενὸν πε-
20 πληρωμένον σώματος, καὶ κενὸν πάλιν πλῆρες ἐστερημένον σώματος. τὸ οὖν
χωριστὸν κενὸν οὐδὲν ἄλλο σημαίνει ἢ τὸ αὐτὸ καθ' αὑτὸ ὑφεστὼς κενόν. 10

p. 320b28 Ἔτι δ' ἥ γε τοιαύτη μεταβολὴ οὐκ αὐξήσεως ἴδιος ἀλλὰ γενέσεως.

Ἐντεῦθεν δόξει πρόσφορος εἶναι ἡ γραφὴ ἡ λέγουσα "χωριστὸν γὰρ
25 ἂν εἴη τὸ κοινόν", τουτέστιν ἡ ὅλη· πρὸς γὰρ τῷ ἀτόπῳ τούτῳ, φησίν,
ἡ τοιαύτη ὅλη γενέσεως μᾶλλον ἔσται, οὐκ αὐξήσεως. φησὶν οὖν ὅτι τὸ
ἐξ ἀμεγέθους μέγεθος γίνεσθαι οὐ τῆς κατὰ αὔξησιν ἴδιόν ἐστι μεταβολῆς, ἀλλὰ τῆς κατ' οὐσίαν, τουτέστι τῆς γενέσεως· ἡ γὰρ αὔξησις οὐκ
ἔστι γένεσις μεγέθους ἀλλ' ἐπίδοσις, ἡ δὲ φθίσις μείωσις. διό, φησίν, 15
30 ἔχειν τι δεῖ μέγεθος τὸ αὐξόμενον. γράφεται δὲ καὶ τὸ γινόμενον.
μέμνηται δὲ καὶ Ἀλέξανδρος ταύτης τῆς γραφῆς, λέγων χρῆναι ἔξωθεν
προσυπακούειν 'μεῖζον ἢ ἔλαττον', ἵν' ᾖ τὸ ῥητὸν 'διὸ δὴ ἔχειν τι δεῖ
μέγεθος τὸ γίνομενον, οὐ τὸ ἁπλῶς, φησί, γινόμενον, ἀλλὰ τὸ μεῖζον
ἢ ἔλαττον γινόμενον'.

1 ὑφεστὸς GT¹ 2 τινὰ τόπον GT ὑπ' αὐτοῦ τοῦ a 3 ἀμεγέθες et 4 ὑπέλαβε libri
5 δέδεκται Z ἐν τῷ τετάρτῳ κτλ. c. 6 sqq. 6 εἶναι χωριστὴν Z εἴπωμεν GT¹
8 μηδαμῇ om. GTa 10 ταύτῃ ⟨τὸ ἄτοπον⟩ a 15 ὁμολογημένου GRT¹: ὁμολογουμένου Z
16 ζητείη Z 17 ὅτι (post ἴστω) om. GTa 18 ἐνδίδαξε R Φυσικῇ Δ 1 p. 213a 16
(cl. Philop. comment. p. 611,22 sqq.) 18. 19 πεπληρωμένον τοῦ σώματος Z 21 ὑφεστὸς
GT 22 Ἔτι δ' ἥ γε] εἰ δέ γε ἡ a ἰδία R 25 τοῦτο R 26 μᾶλλον ἔσται (ἄρα
pro ἔσται solito errore R) GTR: ἔσται μᾶλλον Z: ἔσται om. a 27 μέγεθος om. Z
30 αὐξανόμενον Arist. 31 λέγων om. Z 32 δὴ RZ: δεῖ (GT)a δεῖ om. a
33 φύσει (pro φησί) R: φησί, γινόμενον om. a

p. 320b32 Ὥστε οὐκ ἐξ ἀμεγέθους * * * γένεσις γὰρ ἂν εἴη 20v
σώματος μᾶλλον, οὐκ αὔξησις.

Ὅτι μὲν οὐκ ἐκ μὴ προϋπάρχοντος μεγέθους γίνεται μέγεθος ἐπὶ τῆς αὐξήσεως, ἀλλ' ἐπίδοσις ἢ μείωσις γίνεται τοῦ προϋπάρχοντος, αὐτὴ ἡ κοινὴ ἔννοια ἡ περὶ τῆς αὐξήσεως μαρτυρεῖ· οὐ μὴν ἐπειδὴ μεταβολή 20
ἐστι προϋπάρχοντος μεγέθους ἐπὶ τὸ μεῖζον ἡ αὔξησις. ἐξ ἀνάγκης ἤδη ἡ τῆς αὐξήσεως ὕλη οὐ δυνάμει μέγεθός ἐστιν ἀλλ' ἐνεργείᾳ. τοῦτο γὰρ οὐκέτι κατεσκεύασε· τί γὰρ κωλύει ὅσον πρὸς τὴν παροῦσαν κατασκευὴν εἶναι μὲν τὴν αὔξησιν ἐπίδοσιν τοῦ προϋπάρχοντος μεγέθους. γίνεσθαι δὲ τὴν ἐπίδοσιν ἐκ δυνάμει μεγέθους, ὅπερ ὕλη ἂν εἴη τῆς αὐξήσεως; τὸ δὲ 'ὡς πρὸς τὴν παροῦσαν κατασκευὴν' εἶπον διότι ἀνωτέρω δι' ἄλλων κατεσκεύασε τὸ τὴν αὔξησιν μὴ ἐκ δυνάμει μεγέθους γίνεσθαι, ὧν ἡ κεφαλαι- 25
ωδεστέρα ὑπῆρχε τὸ μὴ δύνασθαι ἐξ ἀμεγέθους μέγεθος γίνεσθαι, ἤγουν ἐπιδοῦναι πρὸς τὸ μεῖζον· τούτῳ γὰρ δοκεῖ συνεισάγεσθαι τὸ κενόν. εἰδέναι μέντοι χρή, ὅτι ὥσπερ ἐπὶ τῶν γινομένων οὐδὲν γίνεται ἐξ οὐκ ὄντων ἢ ἐξ ἀσωμάτων, ἀλλὰ πάντα τὰ γινόμενα ἐξ ἐνεργείᾳ ὄντων σωμάτων γίνεται, δυνάμει δὲ ἐχόντων ἐκεῖνο ὅπερ ἐστὶ τὸ γινόμενον, πλὴν ὅμως τὴν ὕλην τὴν πρώτην οὐ τὸ ἐνεργείᾳ ὑφεστὼς σῶμά φαμεν, ἀλλὰ τὸ κοινὸν ὑποκείμενον περὶ ὃ ἡ μεταβολὴ θεωρεῖται, ὃ δυνάμει μὲν πάντα 30
ἐστὶν ἐνεργείᾳ δὲ ἀεὶ σὺν ἑνὶ εἴδει θεωρούμενον· οὕτω καὶ τῆς αὐξήσεως, εἰ καὶ ἐκ σώματος αὔξεσθαι τὸ αὐξόμενον ὑπόθοιτό τις, ἀλλ' οὖν τὴν ὕλην τῆς αὐξήσεως οὐδὲν κωλύει εἶναι δυνάμει σῶμα, ὥσπερ καὶ τῆς γενέσεως καὶ τῆς ἀνωτέρω διαιρέσεως, εἰ καὶ τἆλλα ἐξελήλεγκται τμήματα ταῦτα εἰσάγοντα δυνάμει σῶμα καὶ οὐκ ἐντελεχείᾳ τὴν ὕλην τοῦ αὐξο- μένου εἶναι, ἀλλ' οὖν τὸ φάσκον δυνάμει μέγεθος εἶναι τὴν ὕλην τοῦ αὐξομένου ἔν τινί τε οὖσαν, οὐχ ὡς μέρος τοῦ ἐν ᾧ ἐστιν οὖσαν σωμα- 35
τικόν, οὐ μὴν οὐδὲ ὡς μηδὲν οὖσαν παντάπασι τοῦ ἐν ᾧ ἐστιν, ἀλλ' οἷον ὕλην ἐν τῷ συνθέτῳ, οὐκ ἔστιν οὐδαμῶς τοῖς παρὰ Ἀριστοτέλους λόγοις ἐλέγξαι, πλὴν εἴ τις ἀποκληρωτικῶς φῇ ὅτι ἡ τοιαύτη ὕλη οὐκ αὐξήσεώς ἐστιν ἴδιος ἀλλὰ γενέσεως.

---

1 lacunam indicavi 1. 2 γένεσις γὰρ — αὔξησις om. a 2 σώματος om. Z οὐκ RZ: ἢ GT 4 γίνεται om. a αὐτὴ Z: αὕτη cett. 5 ἡ περὶ] ὑπὲρ R 5. 6 ἐπειδὴ ἐστι μεταβολὴ Z 8 κατεσκεύασεν. ἔν τι γὰρ R σκευὴν R¹ 10 post μεγέθους del. γίνεσθαι R 11 διότι ἀνωτέρω om. GT: ὅτι supplevérat a 12 τὸ om. GTa τὴν] τε Z 12. 13 κεφαλαιοδεστέρα RT 13 γενέσθαι R 14 πρὸς τὸν μεῖζον a συνάγεσθαι Z 18 ὑφεστὸς GT 20 εἴδει] ἔδει R καὶ ἐπὶ a 21 ὑπόθοιτό T²: ὑποθοῖτό R 23 εἰ καὶ RZ: εἰς GTa ἐξελήλεκται libri (praeter corr. T) 24 ταῦτα] τὰ Z 26 τε om. (G)a 28 ὕλη libri praeter a ἀριστοτ^λ Z: Ἀριστοτέλει a 29 φῇ GTR: φησὶν compend. Z: φαίη a

p. 320b34 Ληπτέον δὴ μᾶλλον οἷον ἁπτομένους τῆς ζητήσεως ἐξ ἀρχῆς.

Προθέμενος ζητῆσαι τίς ποτέ ἐστιν ἡ ὕλη τῆς αὐξήσεως, προήγαγε κατὰ διαίρεσιν τὸν λόγον, ὅτι ἢ δυνάμει σῶμά ἐστιν ἡ τῆς αὐξήσεως ὕλη ἐνεργείᾳ δὲ ἀσώματος, ἢ ἐνεργείᾳ ἐστὶ σῶμα. ὅτι μὲν οὖν οὐκ ἔστι δυνάμει σῶμα, οὔτε ὡς χωριστὸν καὶ καθ' αὑτὸ ὑφεστὼς οὔτε ὡς ἐν ἄλλῳ τινὶ ὑπάρχον, ἔδειξε διὰ τῶν προλαβόντων. νῦν οὖν βούλεται καὶ τὸ λοιπὸν τῆς διαιρέσεως μόριον ἐξετάσαι, λέγω δὴ εἰ ἐνεργείᾳ σῶμα αἰσθητόν ἐστιν ἡ τῆς αὐξήσεως ὕλη. ἀναλαμβάνει δὲ τὸν ὅλον λόγον, καθολικωτέραν ποιούμενος τὴν διαίρεσιν καὶ ἀπορητικώτερον ἐφ' ἑκάτερα προάγων τὸν λόγον. πρὶν δὲ τοῦτο ποιήσει, τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῇ αὐξήσει ἐκτίθεται. δεῖ γάρ, φησίν, οἷον ἐγγυτέρω γινομένους ἡμᾶς τῇ περὶ τῆς αὐξήσεως ζητήσει καὶ οἷον αὐτῆς ἁπτομένους προλαβεῖν ὁποίου ὄντος τοῦ αὐξάνεσθαι τὰ αἴτια αὐτοῦ ζητοῦμεν, λάβοιμεν δ' ἂν τοῦτο τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῷ αὐξάνεσθαι ζητήσαντες. πρὸς ταῦτα γὰρ χρὴ ἀπευθύνειν τὸν περὶ αὐτοῦ λόγον· ὅσα γὰρ μὴ συμφωνεῖ τοῖς κατὰ κοινὴν ἔννοιαν περὶ αὐτοῦ λεγομένοις, οὐκ ἂν οἰκείως περὶ αὐτοῦ ῥηθείη. ἀρχὴ δὲ ἁπάσης ἀποδείξεως αἱ κοιναὶ ἔννοιαι. τοῦτο δὲ πεποίηκε κἀν τῇ Φυσικῇ ἀκροάσει ἐν τῇ περὶ τοῦ τόπου διδασκα|λίᾳ. 21r μέλλων γὰρ περὶ αὐτοῦ διαλαβεῖν, ἐζήτησε τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῷ τόπῳ, ὅπως ἂν τὰ περὶ αὐτοῦ ἀποδιδόμενα, εἰ μὲν σύμφωνα εἴη τούτοις, ἀποδεξώμεθα, εἰ δὲ μή, ἀποσεισώμεθα· καὶ τῶν ἐπιφαινομένων κατὰ τοῦ τόπου ἀπορίων τὰς λύσεις ἀποδείξῃ ὀρθῶς ἐχούσας, τῷ συμφωνεῖν τοῖς κατὰ κοινὴν ἔννοιαν ὑπάρχουσι * * * ὑπάρχοντα τῷ αὐξομένῳ τρία ὄντα, τό τε πᾶν ὁτιοῦν μέρος αὔξεσθαι τοῦ αὐξομένου, καὶ τὸ προσιόντος τινὸς ἔξωθεν γίνεσθαι τὴν αὔξησιν, καὶ τρίτον πρὸς τούτοις (ὅπερ νῦν μὲν οὐκ ἐπιφέρει, ἐν δὲ τοῖς ἑξῆς προστίθησι) τὸ ὑπομένειν τὸ αὐξόμενον καὶ σῴζεσθαι ἐφ' οὗ πρότερον ἦν εἴδους. ταῦτα εἰπὼν λοιπὸν ἀπορεῖ περὶ τῆς ὕλης τῶν αὐξανομένων, κατὰ διαιρεσιν προάγων τὸν λόγον. ἀνάγκη γὰρ ἢ σώματι αὔξεσθαι τὸ αὐξόμενον ἢ ἀσωμάτῳ, τοῦ ἀσωμάτου νῦν καθολικωτέρου ὄντος· περιέχει γὰρ καὶ τὸ δυνάμει σῶμα. ἀλλ' εἰ μὲν ἀσωμάτῳ, ἄτοπον· εἰσοίσομεν γὰρ κενὸν χωριστὸν καὶ καθ' αὑτὸ ὑφιστάμενον, ὅπερ καὶ ἀνωτέρω εἴρηται. εἰ δὲ σώματι

---

1 ἁπτομένου R 6 ἑαυτὸ R ὑφεστὸς GT 11 ποιῆσαι a τὰ] τὸν GT 12 φησίν om. Z γενομένους Z 14 τὰς αἰτίας a ζητοῦμεν αὐτοῦ R 15 τῷ] τὸ T 16 μὴ om. R¹ 17 συμφωνῇ GT¹ 22 ἀποδεξόμεθα GT¹ ἀποσεισόμεθα R 23 ἀποδείξει RT¹a 24 ἔννοιαν ὑπάρχουσι τῶ R: ὑπάρχουσιν ἔννοιαν τῶ Z: ἔννοιαν ὑπάρχοντα τῶ GT: ἔννοιαν ὑπάρχουσι. ⟨τὰ δὴ κατὰ κοινὴν ἔννοιαν⟩ ὑπάρχοντα τῷ supplet a: equidem lacunam signavi αὐξανομένω Z 25 ὄντα] εἰσί a 27 ἑξῆς p. 321a17 προτίθησι T¹ 28 ἐξ οὗ Z ἦν RZa: νῦν GT 28. 29 λοιπὸν εἰπὼν R 32 καινὸν R 33 καὶ (ante καθ') om. GTa

γίνοιτο ἡ αὔξησις, σῶμα διὰ σώματος χωρήσει, τῷ τὸ αὔξον ὅλῳ προσ- 21r
κριθῆναι τῷ αὐξομένῳ· ᾧ γὰρ μὴ προσκρίνεται μορίῳ, τοῦτο δηλονότι
οὐδὲ αὔξεται. ⟨ὥστε⟩ ἕψεται ἐξ ἀνάγκης τὸ σῶμα χωρεῖν διὰ σώματος,
τοῦτο δὲ ὅτι ἀδύνατον δέδεικται ἐν τῇ Φυσικῇ. τούτων οὖν οὕτως εἰρη-
5 μένων χρὴ λόγους τοιούτους περὶ τῆς αὐξήσεως ἀποδοῦναι, οἵτινες
συναινέσουσι τοῖς κατὰ κοινὴν ἔννοιαν ὑπάρχουσι τῷ αὐξομένῳ καὶ τὰς 15
ἀπορίας καὶ τὰ ταύταις ἑπόμενα ἄτοπα ἐκφεύξονται.

p. 321a6 Εἰ μὲν οὖν ἀσωμάτῳ, ἔσται χωριστὸν κενόν.

Κειμένου τοῦ ὅτι προσιόντος τινὸς αὔξεται τὸ αὐξόμενον, ζητεῖ τί
10 ποτέ ἐστι τοῦτο τὸ προσιόν, πότερον σῶμα ἢ ἀσώματον, καὶ πρὸς ἀμφό-
τερα ἀπορεῖ. εἰ μὲν γάρ, φησίν, ἀσώματον, ἔσται χωριστὸν κενόν, ὅπερ
καὶ πρόσθεν εἴρηται. τὸ μὲν γὰρ αὐξόμενον ἐπιλαμβάνει τόπον ἕτερον,
τὸ δὲ ᾧ αὔξεται οὐκ ἦν ἐν τόπῳ ἀσώματόν γε ὄν· ὃν οὖν ἐπιλαμβάνει
τόπον τὸ αὐξόμενον, οὗτος πρὸ τοῦ αὐτὸν ὑπὸ τοῦ αὐξομένου κατασχε- 20
15 θῆναι ἦν δηλονότι κεχωρισμένος σώματος καὶ κενός.

p. 321a6 Ἀδύνατον δὲ μεγέθους ὕλην εἶναι χωριστήν.

Τοῦτο ὡς δεύτερον ἄτοπον τοῖς ἀσωμάτῳ λέγουσι τὴν αὔξησιν
γίνεσθαι ἐπιφέρει. οὐ γὰρ οἴεσθαι χρὴ τῶν προηγησαμένων ἠρτῆσθαι τὴν
λέξιν. ὅμοιον δέ ἐστιν ὡς εἰ ἔλεγεν 'ἔτι ἀδύνατον ὕλην μεγέθους εἶναι
20 χωριστήν'. ἔστι δὲ διττῶς ἀκοῦσαι τοῦ ῥητοῦ, ἤτοι ὅτι ἀδύνατόν ἐστι
τὴν τοῦ μεγέθους ὕλην χωριστὴν εἶναι (ἔδειξε γὰρ ἀνωτέρω ὅτι ἀδύνατον
τὴν τοῦ μεγέθους ὕλην, τουτέστι τὴν πρώτην τὴν ἀσώματον, χωριστὸν
εἶναι καὶ μὴ ἐνέργειᾳ σῶμα· οὐ γὰρ δυνατὸν αὐτὴν καθ' αὑτὴν ὑπο- 25
στῆναι), ἤγουν ὅτι τὴν ὕλην ἀδύνατον χωριστὴν εἶναι μεγέθους, οὐχ ὅτι
25 ἡ ὕλη τῷ ἰδίῳ λόγῳ μέγεθος ἔχει, ἀλλ' ὅτι οὖσα καὶ ὑφεστηκυῖα ἀχω-
ριστός ἐστι μεγέθους· δεῖται γὰρ πρὸς ὕπαρξιν τοῦ μεγέθους αὐτὴ ἀμεγε-
θης οὖσα κατὰ τὸν ἴδιον λόγον. εἰ τοίνυν, φησί, τὸ προσιὸν καὶ ποιοῦν
αὔξησιν (τοῦτο γὰρ δέδοται) ἀσώματον ἐρεῖς, ἐπειδὴ τοῦτο ὕλη ἐστὶ τῆς
αὐξήσεως, τὴν ἀσώματον ὕλην αὐθυπόστατον καὶ χωριστὴν ὑποτιθῇ. εἰ
30 μὲν οὖν ἔχοι ἡ γραφὴ ἔσται χωριστὸν κενόν, ὡς ἑτέραν ἀπορίαν 30

---

1 τῷ τὸ a: τὸ GRT: τῶ Z ὅλον R[1] 2 τοῦτο] τοῦ R 3 ὥστε addidit a
4 Φυσικῇ] cf. Philop. Phys. p. 505,21 sqq. 8 lemma om. hic a, qui pergit κειμένου τοίνυν τοῦ τὸ κενόν GT et Ar. vulg.: κοινὸν p. 90,2 12 αὐξανόμενον GRT 13 οὐκ ἦν RZ: οὐκοῦν GT: οὔκουν a 14 τόπου GT[1] 14. 15 κατασχεσθῆναι GT[1]
15 καὶ om. GTa 16 lemma om. hic a, qui pergit καὶ δεύτερον δὲ ἄτοπον ὕλην εἶναι GRT: εἶναι ὕλην Z 17 ὡς bis G 19 ἔτι] ὅτι R 21 ἀνώτερον GT
23 αὐτὴν RZ: ταύτην GTa 24 ἢ γοῦν a 26 αὐτὴ RZ: αὕτη GTa 26. 27 ἀμεγέθους GRT[1] 28 ἀσωμάτῳ GT 29 ὑποτιθῇ (cf. ad Phil. Phys. p. 463,8) GRT: ὑποτιθεῖ Z: ὑποτίθη a

ἐκληψόμεθα τὸ ἀδύνατον δὲ μεγέθους ὕλην εἶναι χωριστήν· εἰ δὲ 21r
τὸ κοινὸν ἔχοι, τουτέστιν ὕλη, συνεχὴς ἔσται ὁ λόγος. ὅτι γὰρ τὸ
κοινόν, ὅπερ ἐστὶν ἡ ὕλη, χωριστὸν εἶναι οὐκ ἐνδέχεται, προστέθεικε διὰ
τοῦ εἰπεῖν ἀδύνατον δὲ μεγέθους ὕλην εἶναι χωριστήν.

5 p. 321a7 Εἰ δὲ σώματι, δύο ἐν τῷ αὐτῷ τόπῳ σώματα ἔσται.

Ἐπὶ τὸ ἕτερον μέτεισι μέρος, καὶ ἀπορεῖ πρὸς τοὺς σώματι τὴν 35
αὔξησιν γίνεσθαι λέγοντας. ἔσται γάρ, φησί, δύο σώματα ἐν τῷ αὐτῷ
τόπῳ, καὶ σῶμα διὰ σώματος διελεύσεται. τὸ δὲ ἄτοπον ἀνακύπτει ἐκ
τοῦ ὡμολογῆσθαι πᾶν ὁτιοῦν μέρος τοῦ αὐξομένου αὔξεσθαι. εἰ γὰρ τὸ
10 αὐξόμενον αὔξεται κατὰ πᾶν μόριον, πανταχοῦ παρατεθήσεται τῷ προϋ-
πάρχοντι καὶ αὐξομένῳ τὸ προσιόν. εἰ δὲ τοῦτο, διὰ παντὸς αὐτοῦ
διελεύσεται, ἵνα πανταχοῦ αὐτὸ αὐξήσῃ. εἰ δὲ διὰ παντὸς τοῦ αὐξομένου
τὸ προσιὸν φαίης διιέναι, ἀνάγκη ἤτοι πόρον ἅπαν ὑποθέσθαι τὸ αὐξό- 40
μενον, ἢ σῶμα διὰ σώματος διιέναι, ὅπερ ταὐτὸν τῷ δύο ἐν τῷ αὐτῷ
15 τόπῳ σώματα φάσκειν. τοῦτο δὲ δέδεικται τῶν ἀδυνάτων ὑπάρχον· ἔσται
γὰρ τὸ μέγιστον ἐν τῷ ἐλαχίστῳ, οἷον ἡ θάλαττα ἐν κυάθῳ καὶ ἡ γῆ ἐν
κέγχρῳ. ὥστε τὸ αὐτὸ ἁμαρτήσονται οἵ τε σώματι λέγοντες αὔξεσθαι
καὶ σῶμα διὰ σώματος διιέναι, καὶ οἱ ἀσωμάτῳ· ἀμφότεροι γὰρ κενὸν
εἰσάγουσιν. εἴτε γὰρ σῶμα διὰ σώματος διέλθῃ, ὁ τόπος ὃν καταλέλοιπε
20 τὸ σῶμα τοῦ προσιόντος κενὸς ἔσται· εἴτε πάλιν ἀσωμάτῳ τὸ σῶμα 45
αὔξεται, ἔσται χωριστὸν κενόν, καθὼς προείρηται.

p. 321a9 Ἀλλὰ μὴν οὐδ' οὕτως ἐνδέχεται λέγειν.

Ἀπορήσας εἰς ἑκάτερον μέρος καὶ δείξας ὅτι κἄν τε σώματι φαίημεν 50
τὴν αὔξησιν γίνεσθαι, συμβήσεται δύο ἐν τῷ αὐτῷ σώματα εἶναι, κἄν τε
25 ἀσωμάτῳ, ἔσται κενὸν χωριστόν, ὥσπερ ἔνστασίν τινα παραφέρει πρὸς
ἀμφοτέρας τὰς ἀπορίας, λέγων· μήποτε οὐκ ἐξ ἀνάγκης ἕψεται ταῦτα τοῖς
τὸν αὐτὸν τρόπον τὴν αὔξησιν φάσκουσι γίνεσθαι ὅνπερ καὶ ἡ γένεσις. ἐν
γὰρ τῇ ἐξ ὕδατος εἰς ἀέρα μεταβολῇ μείζων ἀὴρ ἐξ ἐλάττονος ὕδατος
γεγένηται, καὶ ὅμως οὐκ ἔστιν εἰπεῖν οὔτε ὅτι δύο ἐν τῷ | αὐτῷ τόπῳ 21v

1 et 4 μέγεθος T¹ 1 ὕλην R 2 ἔχοι om. T¹ ὕλη corr. T: ὕλην cett. 2. 3 ὅτι γὰρ τὸ κενὸν T 3 ἡ om. GTa 4 δὲ om. Z 5 τῷ et τόπῳ om. Z τόπω σώματα GRT: σώματα τόπῳ a; cf. Ar. 6 μέρος μέτεισι R 6. 7 λέγοντας τὴν αὔξησιν γίνεσθαι Z 8 post τόπῳ addit σώματα ἔσται (sed hoc deletum) ex lemmate R
9 ὁμογ|||||(εῖ in ras.)σθαι R: ὁμολογεῖσθαι a 10 fort. προστεθήσεται (et sane προστέθεται F) 13 ἅπαν] τινὰ Z 14 ταυτὸν τὸ δύο GT ἐν ταυτῷ Z 15 τοῦτο κτλ.] cf. ad p. 89,4 17 τῷ αὐτῷ R¹ αὔξεσθαι λέγοντες Z 18 καὶ σῶμα] καὶ οἱ σῶμα a
19 γὰρ om. Z διέλθοι GTa κατέλιπε Z 20 τὸ alterum om. Z 21 καθὰ a
22 οὐδὲ R: οὐδὲν GT 24 εἶναι om. Z 25 περιφέρει Z 27 ὅπερ R ἡ om. Z γέννησις R¹ 28 μεῖζον GT 29 ὅτι οὔτε traicit R: οὔτε om. Z

σώματα ἔσται οὔτε χωριστὸν κενὸν εἶναι. μᾶλλον δ' ἂν ἁρμόττοι ἡ ἔνστασις 21v
αὕτη πρὸς τὴν ἀνασκευὴν τοῦ ἑτέρου μορίου τῆς διαιρέσεως, τοῦ ἀσωμάτῳ
τὴν αὔξησιν ὑποτιθεμένου· καθάπερ ἐν τῇ ἐξ ὕδατος εἰς ἀέρα μεταβολῇ
μείζων γεγένηται ἡ οὐσία ἐξ ἐλάττονος μηδενὸς σώματος προσελθόντος, καὶ
5 [κενὸν] ὅμως οὐκ εἰσάγεταί τι ἄτοπον, κἀπὶ τῆς αὐξήσεως τὸν αὐτὸν
τρόπον ὑποτίθεσθαι. πρὸς τοῦτο τοίνυν ἐνιστάμενος ὁ Ἀριστοτέλης δείκνυσιν 5
ὅτι ἀδύνατον κατὰ τοῦτον τὸν τρόπον ὑποθέσθαι τὴν αὔξησιν· ὅλως γάρ,
φησίν, οὐδὲ αὔξησίς ἐστιν ἡ εἰς ἀέρα τοῦ ὕδατος μεταβολή, καὶ τοῦτο ἔσται
δῆλον ἐκ τῶν κατὰ κοινὴν ἔννοιαν περὶ αὐξήσεως ῥηθέντων. ποῖον γὰρ
10 καὶ φαίημεν ηὐξῆσθαι; οὔτε γὰρ ὁ ἀὴρ ηὔξηται, διότι οὐδὲ προϋπῆρχεν
οὐδὲ ἀὴρ ὢν καὶ προσλαβών τι μείζων γεγένηται, διόπερ οὐδὲ χώραν
ἔχει ἐπὶ τούτου λέγειν ὅτι σώματι προσελθόντι ηὔξηται· ἀλλὰ μὴν οὐδὲ
τὸ ὕδωρ ηὔξηται τό γε φθαρὲν καὶ μηκέτι ὑφεστώς. εἰ τοίνυν οὔτε τὸ ὕδωρ 10
οὔτε τὸν ἀέρα δυνατὸν λέγειν ηὐξῆσθαι, πάντῃ ἄρα τῆς αὐξήσεως διενή-
15 νοχεν ἡ ἐξ ὕδατος εἰς ἀέρα μεταβολή. ἀλλ' ἐρεῖ τις πρὸς ταῦτα εὐλόγως
ἀληθὲς μὲν εἶναι τὸ διαφέρειν τὴν ἐξ ὕδατος εἰς ἀέρα μεταβολὴν τῆς
αὐξήσεως, τὴν αὐτὴν δὲ εἶναι ἀπορίαν ἐπί τε τῆς αὐξήσεως καὶ τῆς
γενέσεως. ὥσπερ ⟨γὰρ⟩ ἐπὶ τῆς αὐξήσεως τὸ αὐξόμενον εἰ φῇ τις πλείονα
τόπον καταλαβεῖν μηδενὸς προσιόντος ἐνεργείᾳ σώματος, κενὸν εἰσάγει, 15
20 οὕτω καὶ ἐπὶ τῆς γενέσεως μείζονος ἀέρος ἐξ ἐλάττονος ὕδατος γινομένου
μηδενὸς προσιόντος ἀνάγκη κατὰ τὸν αὐτὸν λόγον ἢ κενὸν ὑποθέσθαι τόπον,
ὅνπερ προσέλαβεν ὁ ἐξ ὕδατος ἀὴρ γενόμενος, ἢ σῶμα διὰ σώματος
χωρῆσαι. εἰ δέ τις λέγοι ὅτι καθάπερ ἀὴρ ἐξ ὕδατος γίνεται πλείονος
τόπου δεόμενος, οὕτως ἀλλαχοῦ πάλιν ἐξ ἀέρος ὕδωρ ἐλάττονα τόπον
25 καταλαμβάνον, ὡς μηδέποτε κενὸν γενέσθαι (ὃν γὰρ ἐνταῦθα καταλείπει
τόπον τὸ συστελλόμενον σῶμα, τοῦτον προσλαμβάνει τὸ ἀλλαχοῦ ἐπεκτεινό- 20
μενον, ἀντιμεθισταμένων ἀλλήλοις κατὰ συνέχειαν τῶν τοῦ ἀέρος μορίων
καὶ τὸν κενωθέντα τόπον ἐκ τοῦ συσταλέντος σώματος ἀναπληρούντων καὶ
τῷ γενομένῳ σώματι τὸν οἰκεῖον τόπον ἀντιπαραχωρούντων), τὰ αὐτὰ ταῦτα
30 καὶ περὶ τῆς αὐξήσεως ἀκούσεται. εἴποι γὰρ ἄν τις ὅτι ὃν ἐνταῦθα
προσελάβετο τόπον τὸ αὐξηθέν, τοῦτον καταλέλοιπε τὸ ἀλλαχοῦ φθῖνον,
καὶ οὐχὶ τὸ προσελθὸν εἰς τὴν αὔξησιν· ἐκ τοῦ δυνάμει γὰρ σώματος τὸ
αὐξόμενον αὔξεται καὶ εἰς τοῦτο τὸ φθῖνον μεταβάλλει. ἀλλ' ἐρεῖ τις πρὸς 25
ταῦτα πλασματῶδες εἶναι τὸ ἐνταῦθα αὐξήσαντός τινος ἀλλαχοῦ ὑποθέσθαι
35 πάντως φθῖνόν τι· ἀλλὰ τοῦτο καὶ ἐπὶ τῆς γενέσεως θεωρεῖται. ἀνάγκη γὰρ

---

1 εἶναι] ἔστι Z 3 et 6 fort. καθάπερ ⟨γὰρ⟩ et ὑποτίθεσθαι ⟨δυνατόν⟩ 4 μεῖζον GT προελθόντος a 5 κενὸν delevit a 6 ἀνιστάμενος Z 11 μεῖζον libri praeter a 12 λύειν Z 13 ὑφεστὸς GT¹ 18 γὰρ addidit a; possis ὡς γὰρ φαίη a 19 προϊόντος R 20 καὶ ἐπὶ GTa 22 ὁ ἐξ ὕδατος ἀὴρ γενόμενος προσελαβεν Z 23 λέγει R¹ ὁ ἀὴρ ἐκ (hoc del.) ἐξ Z 25. 26 τόπον καταλείπει | τόπον Z 27 ἀλλήλων a 28 συσταλέντος GT¹ 29 γινομένῳ GT 31, 32, 35 etc. φθίνον R 33 αὐξανόμενον Z

καὶ ταύτης, εἰ μὴ μέλλοι κενὸν γενέσθαι, ὕδατος ἐνταῦθα εἰς ἀέρα μετα- 21v
βάλλοντος ἀλλαχοῦ ὑποθέσθαι τὸν ἀέρα εἰς ὕδωρ ἀντιμεταβάλλοντα. ὥστε
κοινὴ ἂν εἴη ἡ τοιαύτη ἀπορία. ἢ γὰρ κενὸν ἔσται, ἢ ἀναποδείκτως ὑπο-
τίθεσθαι δεῖ ὅτι ὅσον ἐνταῦθα μεταβάλλει ὕδωρ, ἀλλαχοῦ τοσοῦτος ἀὴρ 30
5 μεταβάλλει. καὶ οὐ μόνον ὅταν ὑπὸ φύσεως ἡ τῶν στοιχείων μεταβολὴ
γίνηται, ἀλλὰ καὶ ὅταν ὑπὸ τέχνης, οἷον ὅτι ἐμοῦ ὕδωρ ἐξατμίζοντος,
ἀλλαχοῦ ἢ ὑπὸ τέχνης ἢ ὑπὸ φύσεως ὁ ἴσος ἀὴρ εἰς ὕδωρ μεταβάλλει·
καὶ δῆλον ὅτι ὅσον ἐγὼ ἐνταῦθα ὕδωρ ἐξήτμισα, τοσοῦτον ἀνάγκη ὑποθέσθαι
ἀλλαχοῦ γίνεσθαι. τοῦτο δὲ πάνυ γελοῖον ἂν δόξειεν εἶναι, πρῶτον μὲν τὸ
10 οὕτως ἄλλως ὑποτίθεσθαι, εἰ τῷδέ τινι δόξει ἢ ὕδωρ ἐξατμίσαι ἢ ξύλα ἢ ἄλλο
τι ἐκπυρῶσαι, ἀλλαχοῦ τοσοῦτον ἐκ λεπτομερεστέρας οὐσίας εἰς παχύτερον 35
μεταβάλλεσθαι σῶμα, ἵνα μὴ ἢ κενὸν γένηται ἢ σῶμα διὰ σώματος
χωρήσῃ· ἔπειτα καὶ ἀτοπωτερόν τι συμβαίνει. ἀνάγκη γὰρ πᾶσα βραχείας
μεταβολῆς γινομένης, οἷον ὕδατος ἐνταῦθα μικροῦ ἐξατμιζομένου, πολύν
15 τινα καὶ ἐπὶ πολὺ τῆς οἰκουμένης κινεῖσθαι ἀχρόνως ἀέρα, ἵνα ἀνταναπ-
λήρωσις τῶν τόπων γένηται, κατὰ συνέχειαν ἀντιπαραχωρούντων ἀλλήλοις
τῶν τοῦ ἀέρος μορίων. ἐπὶ μείζονος δὲ ὑποδείγματος σαφὴς ὁ λόγος 40
γινέσθω. εἰ γὰρ ἐν χειμῶνι φέρε ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ ἢ ἐν τῇδε
τυχὸν τῇ πόλει πυκνούμενος ὁ ἀὴρ μεταβάλλει εἰς ὕδωρ, τὸν δὲ τόπον ὃν
20 καταλέλοιπεν ἐνταῦθα ὁ ἀὴρ γενόμενος ὕδωρ, τοῦτον ἀναπληρώσει ὁ ἐν τῇ
ἀντοικουμένῃ γεννώμενος ἀὴρ ἐξ ὕδατος (διὸ ὅτε παρ' ἡμῖν χειμών, παρ'
ἐκείνοις ἐστὶ θέρος), ἀνάγκη πᾶσα ἅμα τῷ γεννηθῆναι ἐνταῦθα τὸ ὕδωρ
ἀχρόνως ἐκεῖσε ἀντιμεταβληθῆναι τὸ ὕδωρ εἰς ἀέρα ἴσον τῷ ἐνταῦθα
φθαρέντι, καὶ τὸν μεταξὺ πάντα ἀέρα κινηθῆναι ὠθούμενον ἐκ τοῦ ἐν τῇ 45
25 ἀντοικουμένῃ γενομένου ἀέρος, ἵνα τῶν μεταξὺ μορίων τοῦ ἀέρος ἀντι-
παραχωρούντων ἀλλήλοις τὸ ἐνταῦθα γενόμενον κενὸν ἀναπληρωθῇ. τὸ
αὐτὸ δ' ἂν συμβαίη ἐξ ἀνάγκης καὶ εἰ λεβήτιον ὕδατος ἐξατμισθείη. τοῦτο
δὲ πρὸς τῷ ἀτόπῳ καὶ τὸ πλασματῶδες καὶ τὸ ἀδύνατον ἔχει. τὸ γὰρ
ἀχρόνως τοσοῦτον κινηθῆναι ἀέρα τῶν ἀδυνάτων ἐστί, καὶ ὅλως κίνησιν
30 ἄχρονον εἶναι ἀδύνατον. ὁρῶμεν γοῦν καὶ πνεύματος πολλαχοῦ σφοδροτάτου
κινουμένου ἔν τινι τόπῳ τὰς οὐ πολὺ περιξ διεστώσας χώρας πολλάκις ἐν 50
νηνεμίᾳ οὔσας καὶ οὐκ ἐπαισθανομένας τῆς οὕτω σφοδρᾶς ἐν ταῖς πλησιο-

---

1 ἐξ ὕδατος GTa  εἰς ἀέρα ἐνταῦθα Z  3 κενὸν Ta et corr. G²: κοινὸν cett.
4 δεῖ ὅτι] διότι R  6 γίνεται GR et corr. T  8 ὕδωρ ἐνταῦθα ἐγὼ Z
ἐξήτμησα R¹  9 γενέσθαι a  δόξειεν Z  10 ἄλλως] ἀλόγως εἰσάγουσα
(sed hoc del.) R, ubi in mrg. λύσις ἄτοπον εἰσάγουσα  12 μεταβαλέσθαι Za
14 μικροῦ ἐνταῦθα Z  15 εὐχρόνως (G)a  17 σαφῶς GT  19 τυχὸν
om. Z  μεταβαλεῖ Z  τὸν δὲ R: τόνδε si silentio fides GTZ: τόνδε
τὸν a  20 ἀναπληρώσει Ra et corr. Z: ἀναπληρώσῃ GTZ¹  21 γενό-
μενος a  21. 22 διὸ—θέρος] ἀντοικουμένην δέ φημι, ἐν ᾗ χειμῶνος ὄντος παρ' ἡμῖν
θέρος ἐν ἐκείνῃ ἐστίν a, qui pergit ἀνάγκη οὖν πᾶσα  21 διὸ ὅτε Z: δι' ὅτε R: διότι
GT  22 γενηθῆναι GT¹a  23 ἐκεῖ a  24 ὠθούμενος T  24. 25 ἐκ τοῦ
ἀντϊκουμένη R  27 λέβης Z  29 κινηθῆναι τοσοῦτον Z  30 γοῦν] γὰρ Z
31 πολὺ περιδιεστώσας GTa  32 ταῖς RZ: τοῖς GTa

χώροις τοῦ ἀέρος κινήσεως. καὶ ἐν βραχεῖ δὲ πολλάκις ὥρας μέρει φαίνεται 21v
πυκνούμενός τε λίαν καὶ ἐξαίφνης μανούμενος ὁ ἀήρ, καὶ τοῦτο πλειστάκις
ὑπομένων. οὐκοῦν τὰ αὐτὰ πάθη ἀντιστρόφως καὶ ἐν τῇ ἀντοικουμένῃ
γίνεσθαι ἀναπλασόμεθα, ἢ ἁπλῶς ἐν ἑτέρῳ τόπῳ. ἀντιστρόφως δὲ εἶπον,
5 οἷον ὅτε ἐνταῦθα πυκνοῦται ὁ ἀήρ, ἀλλαχοῦ μανοῦ|σθαι, καὶ ὅτε ἐν- 22r
ταῦθα μανοῦται, ἀλλαχοῦ πυκνοῦσθαι, καὶ τοῦτο τῆς αὐτῆς ὥρας πολλάκις
γίνεσθαι.

Ἐπεὶ οὖν οὐκ ἀληθῆ ταῦτα ἐδείξαμεν, ἀληθὲς δὲ καὶ τὸ μήτε σῶμα
χωρεῖν διὰ σώματος μήτε κενὸν εἶναι, πῶς ἡμεῖς τὴν ἀπορίαν ἐπιλυόμεθα;
10 φαμὲν οὖν ὅτι πέφυκεν ὁ ἀὴρ αὐτὸς εἰς ἑαυτὸν συνιζάνων πυκνοῦσθαι καὶ
ἐκ μείζονος ὄγκου ἐλάττων γίνεσθαι καὶ ἔμπαλιν μανούμενος ἐξ ἐλάττονος 5
μείζων γίνεσθαι, πέφυκε δὲ πυκνοῦσθαι καὶ εἰς ἑαυτὸν συνιζάνειν οὐ μόνον
ψυχόμενος ἀλλὰ καὶ ὠθούμενος καὶ πιλούμενος. οὕτω γοῦν ἀποδέδειχεν ὁ
Ἀριστοτέλης ἐν θέρει ἐν τῇ Αἰθιοπίᾳ τοὺς ὑετοὺς γινομένους· ὠθουμένης
15 γὰρ τῆς ἐκ τῶν βορείων ἀτμίδος ὑπὸ τῶν ἐτησίων πνευμάτων καὶ τοῖς
Ἀραβικοῖς προσπιπτούσης ὄρεσι μεγίστοις οὖσι καὶ συνθλιβομένης ἀεὶ ὑπὸ
τῆς ἐπιγινομένης, τῇ πιλήσει πυκνοῦσθαι καὶ εἰς ὕδωρ μεταβάλλειν. ἔστι
γοῦν τὸν τῶν ἐτησίων χρόνον ἐν τῇ Αἰθιοπίᾳ κατὰ συνέχειαν ὁρᾶν 10
κρουνηδὸν τοὺς ὑετοὺς καταφερομένους ψύξεως ἁπάσης χωρίς. τὸ αὐτὸ δὲ
20 καὶ ἐν τοῖς βαλανείοις γίνεται· ἡ γὰρ ἀνιοῦσα ἀτμὶς καὶ τῇ ὀροφῇ πλησιά-
ζουσα διέξοδον οὐκ ἔχουσα συμπιλεῖται εἰς ἑαυτήν, καὶ πυκνουμένη γίνεται
ὕδωρ καὶ τῇ συμφύτῳ βαρύτητι καταρρεῖ. ὥσπερ δὲ πυκνούμενος τῇ
πιλήσει, οὕτως καὶ μανούμενος τῇ ἕλξει φαίνεται· ἐνδέχεται γὰρ ἔκ τινος
ληκύθου στενὸν ἐχούσης στόμιον πολὺν ἀθρόον τῷ στόματι ἐκμυζῆσαι ἀέρα,
25 μηδαμόθεν ἄλλου ἀέρος ἀντεισιόντος. καὶ δῆλον ὅτι οὔτε ὅλον τὸ μεταξὺ 15
οὔτε μέρος κενὸν γέγονεν· τοῦτο γὰρ ἀδύνατον. οὐκοῦν ὁ ὑπολελειμμένος
ἀὴρ μανωθεὶς τὸν ὅλον ἐπέλαβε τόπον. εἰ τοίνυν ἐνδέχεται τὸν ἀέρα καὶ
πιλούμενον εἰς ἑαυτὸν συνιζάνειν καὶ πάλιν μανοῦσθαι, εἰδέναι χρὴ ὡς
ἐπειδὰν ἐξατμίζηται ἐνταῦθα ὕδωρ, ἢ ἑψόμενον ἢ ὁπωσοῦν ἄλλως, ὁ
30 γενόμενος ἀὴρ ὠθεῖ τὸν παρακείμενον, κἀκεῖνος τὸν συνεχῆ, ἕως οὗ τῇ
πιλήσει πυκνωθείς τις ἀὴρ τοσοῦτον ὑπολείπει τόπον, ὅσον ἐπέλαβεν ὁ
γινόμενος. καὶ οὐ πάντως ἀνάγκη εἰς ὕδωρ ἄλλον τοσοῦτον ἑτέρωθί που 20
μεταβληθῆναι ἢ τοῦ παντὸς ἀέρος γενέσθαι κίνησιν (πλάσμα γὰρ τοῦτο
καὶ ἀποκλήρωσις), ἀλλὰ μόνον τοσοῦτον ἀέρα τῇ ὥσει τοῦ γενομένου

---

2 τε λίαν scripsi: τελείαν GRT: om. Z: τέλεον a ἀμαιρούμενος (sic) a 3 ἀντικουμένῃ a 4 ἀναπλαττόμεθα Z 7 γίγνεσθαι a 8. 9 χωρεῖν σῶμα Z 10 συνιζάνον T 12 μεῖζον GT¹ 13 ψυχούμενος R ὁ om. Z 14 Ἀριστοτέλης fr. 236 Rose (ed. Berol.) 16 ἀρραβικοῖς T ἔρεσι (G)a 16. 17 ὑπὸ τῆς om. Z 18 τὸν om. GT αἰτησίων χρόνων χρόνον Z 20 καὶ prius om. Z ὀρόφῃ R 23 οὕτω Za τῇ ἐλέγξει R 24 ἐκμιζῆσαι R 29 ἐξατμίζεται GT¹ ἄλλως RZa: ὅλως GT¹: ὅλος T² 30 γινόμενος T² τὸν] τὸ GT περικείμενον Z οὗ] οὐ a 31 ὅσον ἐπέλαβεν om. Z 32 γενόμενος R ἑτέροθί GT¹ 34 γινομένου T

πιληθῆναι, ὥστε τὸν ἴσον ὑπολιπεῖν τῷ γενομένῳ τόπον. τὸ αὐτὸ καὶ 22r
εἰ πυκνωθεὶς εἰς ὕδωρ μεταβαλεῖ· ἀνάγκη γὰρ τὸν παρακείμενον τῷ
πυκνωθέντι τῇ τοῦ κενοῦ βίᾳ συνέπεσθαι τῷ συσταλέντι, καὶ τὸν ἐκείνῳ
πάλιν παρακείμενον τῷ ἐφεξῆς, ἕως οὗ ἀήρ τις ἕτερος ἐπὶ τοσοῦτον μανωθῇ,
5 ὅσον ἀναπληρῶσαι τὸν καταλελειμμένον ὑπὸ τοῦ πυκνωθέντος τόπον, οὐ 25
μὴν πάντως ὅσος ἐνταῦθα ἀὴρ εἰς ὕδωρ μετέβαλε, τοσοῦτον ἀνάγκη ἀλλαχοῦ
που ἐξ ὕδατος ἀέρα γενέσθαι.

p. 321a14 Ἀλλ' ἢ οὐδενὸς ἢ εἴ τι κοινὸν ἀμφοῖν ὑπάρχει, τῷ φθαρέντι καὶ τῷ γενομένῳ.

10 Εἰπὼν ὅτι οὐδέτερον ηὔξηται, οὔτε τὸ εἰς ὃ ἡ μεταβολὴ γέγονεν οὔτε 37
τὸ ἐξ οὗ, νῦν φησιν ὅτι λείπεται ἢ μηδὲν εἶναι τὸ ηὐξημένον ἐπὶ τῆς
τοιαύτης μεταβολῆς τῆς ἐξ ὕδατος εἰς ἀέρα, ἢ ἔστι τι ηὐξημένον ὃ κοινὸν
ὑποκείμενόν ἐστι τοῦ γενομένου καὶ τοῦ φθαρέντος, τοῦτο δέ ἐστι τὸ σῶμα.
εἶτα ἐφεξῆς κατασκευάζει ὅτι οὐδὲ τοῦτο δυνατὸν λέγειν ηὐξῆσθαι, διότι 40
15 οὐ σῴζεται ἐπ' αὐτοῦ τὰ κοινῶς ὑπάρχοντα τῷ αὐξομένῳ, λέγω δὲ τό τε
πᾶν μόριον μεῖζον γεγονέναι τοῦ αὐξομένου καὶ τὸ προσιόντος τινός, καὶ
πρὸς τούτοις τὸ ὑπομένειν τὸ αὐξόμενον. τούτων γὰρ τὸ ὑπομένειν οὐκ
ἔστιν ἐπὶ τοῦ σώματος· οὐ γὰρ ὑπομένει, ἀλλὰ ἄλλο ἐξ ἄλλου γίνεται
μανότερόν τε ἐκ πυκνοτέρου καὶ μεῖζον ἐξ ἐλάττονος. τὸ δὲ λέγειν τὸ
20 καθόλου εἶναι τὸ ὑπομένον, ἄλογον· τὸ γὰρ καθόλου οὔτε γεννᾶται οὔτε
φθείρεται οὔτε ὅλως ὑφέστηκεν ἰδίαν ἔχον ὕπαρξιν, ἀλλ' ἔστιν ἀεὶ 45
τὸ μερικὸν καὶ τόδε τι τὸ σῶμα τὸ γινόμενον καὶ φθειρόμενον, ὅπερ
ἐστὶ καὶ τὸ ἐνεργείᾳ ὑφεστώς. εἰ τοίνυν τόδε μέν τι τὸ σῶμα φθείρεται,
ἕτερον δὲ ἐξ ἑτέρου γεννᾶται, πρόδηλον ὡς οὐδὲν αὐτοῖς ἐστι κοινὸν
25 σῶμα ὑπομένον πλὴν τῆς πρώτης ὕλης, περὶ ἣν μίαν καὶ τὴν αὐτὴν
οὖσαν ἡ μεταβολὴ θεωρεῖται· ταύτῃ γὰρ καὶ διενήνοχε γένεσις αὐξήσεώς
τε καὶ ἀλλοιώσεως, τῷ ἐπὶ μὲν τῆς γενέσεως μὴ ὑπομένειν τὸ μεταβάλλον,
ἐπ' αὐξήσεως δὲ καὶ ἀλλοιώσεως ὑπομένειν τὸ αὐτὸ κατὰ τὴν οὐσίαν, 50
μεταβάλλειν δὲ κατὰ τὰ συμβεβηκότα. ἐπὶ μὲν αὐξήσεως κατὰ μέγεθος,
30 ἐπὶ δὲ τῆς ἀλλοιώσεως κατὰ πάθος. εἰ δέ τις εἴποι ὡς ἐν τῇ ἐξ ὕδατος
εἰς ἀέρα μεταβολῇ ὑπομένει τὸ τριχῇ διαστατὸν ἤ τοιοῦτόν ἐστι καὶ μόνον
ἐξ ἐλάττονος μεῖζον γίνεται, ἴστω ὡς εἰ καὶ τοῦθ' οὕτως εἶχεν, οὐκέτι
καὶ προσιόντος τινὸς ἔξωθεν ηὔξηται. ἔπειτα εἰ μὲν αὐτὸ καθ' αὑτὸ τὸ
τριχῇ διαστατὸν ὑπάρχον ἄνευ τινὸς εἴδους ἐξ ἐλάττονος μεῖζον ἐγίνετο,

---

1 πιληθῆναι a τῶ αὐτῶ Z¹ 2 μεταβαλλεῖ Z: μεταβάλη R 4 περικείμενον Z: πυκνούμενον a τὸ ἐφεξῆς T τοσοῦτο G 6 μετέβαλλε T 6. 7 ἀλλαχοῦ om. Z: ἀλλαχοῦ που om. a 8 ἄμφω GT et Aristot. codd. EL 8. 9 τῷ γινομένῳ καὶ τῷ φθαρέντι a; cf. Ar. 10 ἤξηται R 12 ἔστι] fort. εἶναί 16 τὸ] τοῦ R 19 μανώτερον GTa 23 ὑφεστὸς GT τι] τοι GT 24 ἔστιν αὐτοῖς Z 26 οὖσα (GZ)a 27 τῷ Za: τὸ cett. μεταβάλον Z 29 μεταβάλλον GT¹a 30 τῆς om. a 33 ἔξοθεν Z ἔπειτα ἀεὶ μὲν a τὸ om. GT

ἴσως ἂν εἰ καὶ μὴ εὐλό|γως συγχωρεῖν ἦν αὔξησιν εἶναι τὸ τοιοῦτο· νῦν 22v
δὲ εἰ τὸ αὐξόμενον φυλάττειν δεῖ τὸ πρότερον εἶδος, ὡς ἐπὶ σαρκὸς καὶ
ὀστοῦ καὶ τῶν ὁμοίων, τὸ δὲ τριχῇ διαστατὸν εἰδοποιημένον τῷ τοῦ
ὕδατος εἴδει ἐν τῇ εἰς μεῖζονα ὄγκον μεταβολῇ, λέγω δὴ τὴν τοῦ ἀέρος,
5 οὐκ ἐφύλαξε τὸ πρότερον εἶδος, λέγω δὴ τὸ τοῦ ὕδατος, πρόδηλον δήπου
ὡς οὐκ ἂν εἴη τὸ τοιοῦτον αὔξησις. οὐδὲ γὰρ τὸ ὑπομένειν τὸ τριχῇ
διαστατόν, τοῦτο ἴδιόν ἐστιν ἐπὶ τῆς ἐξ ὕδατος εἰς ἀέρα μεταβολῆς, ἀλλ' 5
ἁπλῶς ἐπὶ πάσης γενέσεως καὶ πάσης μεταβολῆς· πολλάκις γὰρ δέδεικται,
ὡς δεῖ ἐπὶ πάντων τῶν μεταβαλλόντων τὸ πρῶτον ὑποκείμενον ἀμετάβλητον
10 εἶναι. ἐπὶ δὲ τῆς αὐξήσεως τὸ αὐτὸ εἶδος ὑπομένειν δεῖ ὅπερ εἶχε τὸ
αὐξηθὲν καὶ πρὶν αὐξηθῇ· τοῦτο δὲ οὐ γίνεται ἐπὶ τῆς ἐξ ὕδατος εἰς ἀέρα
μεταβολῆς. οὐκέτι αὔξησις τὸ τοιοῦτο.

p. 321a26 Εἰ δὲ ἔσται ἡ εἰρημένη αὔξησις.

Εἴπερ, φησί, λέγοιμεν αὔξησιν εἶναι τὴν εἰρημένην, τουτέστι τὴν ἐξ
15 ὕδατος εἰς ἀέρα μεταβολήν, διὰ τὸ μεῖζονα τὸν ὄγκον γεγονέναι, ἀναγκα- 10
σθησόμεθα μήτε ὑπομένειν τὸ αὐξόμενον λέγειν μήτε προσιόντος τινὸς
τὴν αὔξησιν γίνεσθαι, καὶ ἀναιρήσομεν τὰ κατὰ κοινὴν ἔννοιαν περὶ
αὐξήσεως λεγόμενα· εἰ δὲ ταῦτα φυλάξαι χρή, ὥσπερ οὖν χρή, οὐκ ἂν
εἴη αὔξησις ἡ ἐξ ὕδατος εἰς ἀέρα μεταβολή.

20 p. 321a29 Ἀπορήσειε δ' ἄν τις καὶ τί ἐστι τὸ αὐξόμενον, πότερον 14
ᾧ προστίθεταί τι.

Πάσας ἃς ἄν τις περὶ τῆς αὐξήσεως ἐκίνησεν ἀπορίας τε καὶ ζητήσεις
τίθησι καὶ ταύταις διαιτᾷ, πρὶν τὴν προσήκουσαν ἀποδῶ περὶ αὐτῆς διδα- 20
σκαλίαν· τῶν γὰρ ἀπορίων προκαταβληθεισῶν καὶ τῆς προσηκούσης λύσεως
25 τυχουσῶν ῥᾷον ὁ περὶ αὐτῆς ἀπευθύνεται λόγος. νῦν γοῦν ζήτησιν κινεῖ
οἰκείαν τῷ περὶ αὐξήσεως λόγῳ, ζητῶν πότερον ἄρα ἀμφότερά ἐστι τὰ
αὐξόμενα, τό τε προστεθὲν καὶ ᾧ προστίθεται, ἢ μόνον τὸ ᾧ προστίθεται.
δοκεῖ μὲν γὰρ ἀμφότερα μεῖζονα γεγονέναι καὶ τὸ προστεθὲν καὶ ᾧ
προσετέθη, ὡς ἐπὶ τοῦ οἴνου ἔχει καὶ τοῦ ὕδατος· ὅταν γὰρ μίξῃς οἴνῳ
30 ὕδωρ, ἑκάτερον δοκεῖ πλέον γεγονέναι καὶ τὸ ὕδωρ καὶ ὁ οἶνος. φησὶν οὖν 25
ἐπικρίνων τὴν ἀπορίαν, ὅτι τὸ ᾧ προστίθεται μόνον χρὴ λέγειν ηὐξῆσθαι,

---

3 τὴν ὁμοίαν Z δὲ R: om. cett. 5 οὐκ] εἰ οὐκ a τὸ (post δὴ) om. GTa δήπου om. Z 6 γὰρ om. Z 12 οὐκέτι] ὥστε οὐκ ἔστι a τοιοῦτον a 13 lemma om. hic a, qui pergit δι' ὅ φησιν εἴπερ λέγομεν δὲ] δὴ Ar. 14 τὴν εἰρημένην αὔξησιν εἶναι Z 15 μεῖζον αὐτὸν γεγονέναι R 16 μήτε (priore loco) RZ: μήποτε G: μή||||||τε T: μὴ a 17 post αὔξησιν delet λέγει Z 20 τί ποτε ἐστὶ Z αὐξανόμενον (G)a Ar. 21 ὃ GTZ¹ 22 πάσας ἃς RZ: ὅσας GTa 23 ταύτης Z 25 γοῦν] οὖν R 26 οἰκείαν] οἵαν Z ζητῶν λόγῳ πότερα ἄρα τὰ αὐξόμενά ἐστι (om. ἀμφότερα) Z 27 παρατίθεται altero loco R; item p. 96,1 30 οὖν] οὖν ὅτι Z

οἷον εἰ κνήμη εἴη ᾗ προστίθεται, ἡ δὲ τροφὴ ἡ ταύτῃ προστιθεμένη, * * * 22v
οὐκ ἂν λέγοιτο αὔξεσθαι. καὶ τὴν αἰτίαν ἐπιφέρει. ἐπειδὴ γὰρ προείληπται
δεῖν τὸ αὐξόμενον ὑπομένειν, ὑπομένει δὲ ἡ κνήμη, οὐ τὸ προσιόν (τοῦτο
γὰρ μεταβάλλει κατὰ τὴν οὐσίαν), εὐλόγως ἂν ἡ κνήμη λέγοιτο αὔξεσθαι
5 μόνως, οὐ τὸ προσιόν. ἀλλὰ δὴ καὶ τῆς μίξεως τοῦ ὕδατος καὶ τοῦ
οἴνου, ὅταν ὀλίγον ὕδωρ πλείονι οἴνῳ μίξῃ τις, τὸν οἶνον μόνον φαμὲν 30
ηὐξῆσθαι, διότι μένει τὴν τοῦ οἴνου δύναμιν ἐπιδεικνύμενος. οὕτω δὲ καὶ
ὕδατι πλείονι ἐὰν μίξῃς οἶνον ὀλίγον ὡς κρατηθῆναι ὑπὸ τοῦ ὕδατος, οὐ
τὸν οἶνόν φαμεν ηὐξῆσθαι, διότι οὐ σῴζει τὴν οἰκείαν δύναμιν, ἀλλὰ τὸ
10 ὕδωρ τὸ σῷζον τὴν οἰκείαν δύναμιν καὶ τὴν τοῦ ὕδατος ἰδιότητα. καθόλου
γὰρ οὐ τὸ φθειρόμενον οὐδὲ τὸ κρατούμενόν φαμεν ηὐξῆσθαι, ἀλλὰ τὸ
κρατοῦν καὶ ὑπομένον. εἰ δὲ καὶ ἰσοσθενὴς ἡ μίξις γένοιτο, οὐ τῷ ποσῷ
ἀλλὰ τῇ δυνάμει ὡς ὁμοίως ἑκάτερον ὑπὸ τοῦ ἑτέρου παθεῖν, εἴποις ἂν 35
οὕτως ἑκάτερον ηὐξῆσθαι. τάχα δὲ ἀληθέστερον εἰπεῖν ἐφθάρθαι· οὐδετέρου
15 γὰρ ἔτι ἡ δύναμις καὶ ἡ ἐνέργεια εἰλικρινὴς σῴζεται. δῆλον ⟨δ'⟩ ὅτι καὶ
τὴν αὔξησιν ἐπὶ τῶν μιγνυμένων καταχρηστικώτερον εἴρηκεν· οὐδὲ γὰρ
εἰλικρινῶς τὸ αὐτὸ εἶδος ὑπομένει οὐδὲ πᾶν μόριον αὐτοῦ ἐπιδίδωσιν, ἀλλὰ
μόνον τῇ προσθέσει τὸ ὅλον μεῖζον γέγονεν.

p. 321b2 Ὁμοίως δὲ καὶ ἐπ' ἀλλοιώσεως, εἰ μένει σὰρξ οὖσα.

20 Προθέμενος δεῖξαι ὅτι αὔξησις ἐκείνου ἐστὶν ᾧ προσθήκη γίνεται, οὐ 41
τοῦ προστιθεμένου, πρῶτον μὲν ἔδειξεν ἐκ τοῦ τὸ μὲν ὑπομένειν ᾧ προστί-
θεται τὸ δὲ προστιθέμενον μεταβάλλειν, νῦν δὲ καὶ τὴν ἀλλοίωσιν παρέθετο
[ἐξέθετο] σαφηνίζων τὰ κατὰ τὴν αὔξησιν. ὥσπερ γὰρ ἐπὶ τῆς αὐξήσεως
ἔστι τὸ αὐξόμενον, ἔστι καὶ τὸ ᾧ αὔξεται, ἔστι καὶ ἡ αὐξητικὴ δύναμις ἐν
25 τῷ αὐξομένῳ τὴν ὕπαρξιν ἔχουσα, οὕτω καὶ τῆς ἀλλοιώσεως ἔστι τὸ 45
ὑποκείμενον, τουτέστι τὸ ἀλλοιούμενον, ἔστι δὲ καὶ τὸ ᾧ ἀλλοιοῦται, ἔστι
δὲ καὶ ἡ δύναμις ὑφ' ἧς ἡ ἀλλοίωσις ἐπιτελεῖται. ὥσπερ οὖν ἐπὶ τῆς
αὐξήσεως τὸ ὑποκείμενόν φαμεν ηὐξῆσθαι μόνον (ἐν αὐτῷ γὰρ ἡ αὐξητική
ἐστι καὶ θρεπτικὴ δύναμις). οὕτω καὶ τῆς ἀλλοιώσεως τὸ ὑποκείμενόν
30 φαμεν ἠλλοιῶσθαι, οἷον τὴν σάρκα, ὅταν σῴζουσα τὸ εἶδος μεταβάλλῃ
κατά τι πάθος. τὸ δὲ ᾧ ἠλλοίωται ἔστι μὲν ὅτε οὐδὲν πάσχει οὐδὲ μετα-
βάλλει, ὡς ὅταν πυρὸς παρακειμένου θερμαίνηται τὰ ἡμέτερα σώματα τοῦ 50
πυρὸς οὐδὲν ἐξ ἡμῶν ἀντιπάσχοντος, ἀλλὰ μένει ἀναλλοίωτον τὸ ἀλλοιοῦν

---

1 προτιθεμένη Z lac. indicavi 2 αὔξεσθαι RZ: τὸ αὔξεσθαι GT: ἡ τροφὴ αὔξεσθαι, ἀλλ' ἡ κνήμη a 3 ὑπομενεῖ δὲ R 5 δὴ T: δεῖ cett. 6 πλείωνι Z post πλείονι iteraverat ὕδωρ R¹ μόνον εἶναι φαμεν Z 7 οἴνου] ὕδατος Z 9. 10 ἀλλὰ — δύναμιν om. GTa 12 ἰσθενὴς Z ποσῶ Z: ποτῷ cett. 13 ὡς RZ: om. GT: διὰ τὸ a ὑφ' ἑκατέρου a 15 εἰλικρινὴς R et mox εἰλικρινῶς Ra δ' addidit a (δὲ F) 19 ἐπὶ R 23 ἐξέθετο] ἐξε . . . . R¹: om. FZa 24 αὐξανόμενον Z ἔστι (ante utrumque καὶ) om. a 25 οὕτω καὶ ἐπὶ a 29 οὕτω καὶ ἐπὶ GTa 30 ἠλλοιοῦσθαι GT: ἠλοιῶσθαι et mox ἠλοίωται etc. Z μεταβάλλει R¹ 32 θερμαίνη (η ex ει corr.) τὲ τὰ R

ἀναλόγως τῷ προστεθέντι, ἐπεὶ μηδὲ τοῦτο αὔξεται· ἔστι δὲ ὅτε πάσχει 22v
τι καὶ αὐτὸ καὶ ἀλλοιοῦται, ὡς ὁ ἐν τοῖς βαλανείοις ἀὴρ θερμαίνων ἡμᾶς
καὶ ἀντιπάσχων ὑφ' ἡμῶν. καὶ ταύτῃ διενήνοχε τοῦ προστιθεμένου καὶ
αὔξοντος τὸ ἀλλοιοῦν, διότι τὸ αὔξον οὐδέποτε αὔξεται, τοῦ ἀλλοιοῦντος
5 ποτὲ μὲν καὶ αὐτοῦ ἀλλοιουμένου ποτὲ δὲ οὔ. καίτοι καὶ τὸ προστιθέμενον
δόξει ποτὲ ἴσως | αὔξεσθαι, ὅταν ἡ προσελθοῦσα τροφὴ εἰς πνεῦμα μετα- 23r
βληθεῖσα μείζων γένηται. τὸ δὲ ἀληθὲς οὐχ οὕτως ἔχει. οὐ γάρ ἐστιν
αὕτη αὔξησις, ἀλλὰ φθορά· οὐδ' ἂν φαίημεν τὴν ἐμπνευματωθεῖσαν τροφὴν
ηὐξῆσθαι οὐδὲ ἐν αὐτῇ εἶναι τὴν αὐξητικὴν δύναμιν, ἀλλ' ἐν τῷ αὐξομένῳ.
10 ἀλλ' οὐδὲ τὸ ᾧ ἠλλοίωται, εἰ καὶ πάσχει τι καὶ αὐτὸ πολλάκις καὶ ἀλλοι-
οῦται, ὅμως τὴν δύναμιν ὑφ' ἧς ἡ ἀλλοίωσις ἐπιτελεῖται οὐκ ἔχει, φησίν, 5
ἐν ἑαυτῷ· ἐν τῷ ὑποκειμένῳ γὰρ καὶ ἀλλοιουμένῳ φησὶ ταύτην εἶναι,
τῷ καὶ σῳζομένῳ καὶ ὑπομένοντι, ὥσπερ οὖν καὶ ἐν τῷ αὐξομένῳ τὴν
αὐξητικὴν δύναμιν.

15 Ἀπορίας δὲ ἄξιον πῶς ἐν τῷ ἀλλοιουμένῳ φησὶν εἶναι τὴν ἀρχὴν
τῆς κατὰ τὴν ἀλλοίωσιν κινήσεως, οὐκ ἐν τῷ ἀλλοιοῦντι. ἐπὶ μὲν γὰρ
τοῦ αὐξομένου φανερὸν ὅτι ἐν αὐτῷ ἡ ἀρχή ἐστι τῆς κινήσεως· ἐν γὰρ
τῷ αὐξομένῳ ἐστὶν ἡ αὐξητικὴ καὶ θρεπτικὴ δύναμις, ἡ μεταβάλλουσα τὴν
τροφὴν καὶ οἰκειουμένη. σαφὲς δὲ τοῦτο καὶ ἐκ τοῦ τὴν μὲν τροφὴν 10
20 φθείρεσθαι, τὸ δὲ τρεφόμενον καὶ αὐξόμενον μένειν ἀεὶ τὴν αὐξητικὴν καὶ
θρεπτικὴν δύναμιν ἔχον. εἰ τοίνυν δεῖ φθαρῆναι τὴν τροφήν, ἵνα οὕτω
θρέψῃ καὶ αὐξήσῃ, τῶν δὲ ὑποκειμένων φθαρέντων φθείρεται καὶ ἡ ἐν
αὐτοῖς δύναμις, εὔδηλον ὡς οὐκ ἔστιν ἐν τῇ τροφῇ οὔτε ἡ θρεπτικὴ οὔτε
ἡ αὐξητικὴ δύναμις, εἰ μὴ ἡ ὡς ὅλη θεωρουμένη· ἡ μέντοι ποιητικὴ
25 αἰτία τῆς αὐξήσεως καὶ θρέψεως ἐν τῷ αὐξομένῳ ἐστὶ καὶ τρεφομένῳ·
τοῦτο γὰρ ὑπομένει καὶ τὴν τροφὴν εἰς ἑαυτὸ μεταβάλλει. ἐπὶ δὲ τῆς 15
ἀλλοιώσεως ἄλογον δοκεῖ εἶναι τὸ μὴ ἐν τῷ ἀλλοιοῦντι ἀλλ' ἐν τῷ
ἀλλοιουμένῳ ἀποτίθεσθαι τὴν ἀρχὴν τῆς κινήσεως, ἥτις ἀεὶ σημαίνει παρὰ
Ἀριστοτέλει τὴν ποιητικὴν αἰτίαν. εἴπερ οὖν ἐν τῷ ἀλλοιουμένῳ φαίημεν
30 τὴν ποιητικὴν αἰτίαν ὑπάρχειν, αὐτὸ ὑφ' ἑαυτοῦ ποιήσομεν ἀλλοιοῦσθαι,
ὅπερ ἄτοπον. μάχεται δὲ τῷ λόγῳ καὶ ἡ τῶν πραγμάτων ἐνάργεια.
θερμαινόμεθα γὰρ ὑπὸ πυρὸς καὶ ψυχόμεθα ὑπὸ χιόνος, καὶ οὐδεὶς ἂν
αἰσθήσει χρώμενος τὸ ποιητικὸν τῆς θέρμης ἢ τῆς ψύξεως αἴτιον ἐν τῷ 20
σώματι ἡμῶν τῷ ἀλλοιουμένῳ εἶναι λέξειε, καὶ οὐκ ἐν τῷ πυρὶ καὶ τῇ
35 χιόνι· καὶ ὁ κηρὸς δὲ ἀλλοιοῦται ἐκ κύβου φέρε σφαῖρα γινόμενος, καὶ
παντὶ δῆλον ὡς ἡ ἀλλοιωτικὴ δύναμις οὐκ ἐν τῷ κηρῷ ἐστιν, ἀλλ' ἐν τῷ
διαπλάσαντι. πῶς οὖν ἐν τούτοις ὁ Ἀριστοτέλης τὴν αἰτίαν τῆς ἀλλοιώσεως

1 τῷ] τῷ κατὰ τὴν αὔξησιν a  προστιθέντι Z  ὅτι Z  2 καὶ (ante ἀλλοιοῦται) om. R  ὁ superscr. R: om. Z  βαλανίοις Z  4 τοῦ δὲ ἀλλοιοῦντος R
7 γίνεται T¹  13 ἐν om. R  15 τὴν ἀρχὴν om. Z, qui mox κατ' ἀλλοίωσιν
17 ἐστιν ἡ ἀρχὴ Z  20. 21 θρεπτικὴν καὶ αὐξητικὴν Z  23 ἄδηλον TZ  24 ἡ ὡς RZ: ὡς ἡ GT: ἡ om. a  26 ὑπομένει εἰ καὶ T  28 ὑποτίθεσθαι Za
31 ἐνέργεια RT¹a  35 γενόμενος a  36 δήλω Z  37 ἐν τούτοις om. Z

οὐκ ἐν τῷ ἀλλοιοῦντί φησιν εἶναι, ἀλλ' ἐν τῷ ἀλλοιουμένῳ; πρὸς τοῦτο 23r
τοίνυν ἐνιστάμενός φησιν ὁ Ἀλέξανδρος, ὅτι οὐ περὶ τοῦ ποιητικοῦ αἰτίου
ἐστὶν αὐτῷ ὁ λόγος. οὐδὲ γὰρ τοῦ ἀλλοιοῦν τὴν ἀρχὴν καὶ τὴν δύναμίν 25
φησιν εἶναι ἐν τῷ ἀλλοιουμένῳ, ἀλλὰ τοῦ ἀλλοιοῦσθαι, ἥτις τρόπον τινὰ
5 αἰτία γίνεται τῷ ποιοῦντι τοῦ ἀλλοιοῦν· οὐ γὰρ ἀλλοιοῖ τὰ ποιοῦντα, εἰ
μὴ μόνα τὰ ἔχοντα τὴν δύναμιν τοῦ ἀλλοιοῦσθαι. οὕτω μὲν οὖν Ἀλέξανδρος
τὴν ἀρχὴν τῆς κινήσεως ἀξιοῖ μὴ ἀκούειν περὶ τοῦ ποιητικοῦ αἰτίου. ἔστι
δὲ ἐπί τινων ἀλλοιώσεων εὑρεῖν τὴν ἀρχὴν τῆς κινήσεως, τὴν ὡς ποιητικὴν
ἐν τῷ ἀλλοιουμένῳ ὑπάρχουσαν, οἷον ὡς ἐπὶ τῶν ἀλλοιώσεων τῶν γινο-
10 μένων περὶ τὰ τῶν ζῴων σώματα ὑπὸ τῶν φαρμάκων, τῶν ἐνεργείᾳ μὲν 30
μήτε ψύξιν μήτε θερμότητα ἐναργῆ κεκτημένων, δυνάμει δὲ θερμαινόντων
ἢ ψυχόντων. τὰ γὰρ τοιαῦτα πάντα, οἷόν ἐστι πέπερι πύρεθρον κώνειον
καὶ ὅσα τοιαῦτα, τοῖς μὲν ἀψύχοις προσφερόμενα σώμασιν οὐδεμίαν ἐπι-
δείκνυται δύναμιν οὐδὲ ἀλλοιοῖ αὐτά, τοῖς δὲ τῶν ζῴων προσπελάσαντα
15 σώμασιν ἀλλοιοῖ ταῦτα τῷ ἀντικινεῖσθαι ὑπὸ τῆς ἐν τῷ σώματι φύσεως
καὶ ζωῆς καὶ κινηθέντα τὴν ἑαυτῶν ἐπιδείκνυσθαι δύναμιν. ἐπὶ τῶν 35
τοιούτων ἄρα πάντων ἡ ἀρχὴ τῆς κινήσεως ἐν τῷ ἀλλοιουμένῳ σώματι
εἰκότως ἂν λέγοιτο ὑπάρχειν.

Ἡ μὲν οὖν ἐνδεχομένη ἐπινοηθῆναι παραμυθία τοῖς ἐν τῷ προκειμένῳ
20 χωρίῳ διηπορημένοις τοιαύτη τίς ἐστιν, ἀεί τε ἀμφιβαλλομένῳ καὶ πρὸς
τῶν ἐξηγητῶν μὴ πρὸς ἀκρίβειαν κατορθουμένῳ. τάχα δ' ἄν τις καὶ
ταύτην λύσειεν. οὐδὲ γὰρ ἀληθές ἐστι τὸ ἐπὶ τῶν εἰρημένων ἀλλοιώσεων
ἐν τῷ ἀλλοιουμένῳ τὴν ἀρχὴν εἶναι τῆς κινήσεως, ἀλλ' ἡ μὲν ἐν τοῖς
φαρμάκοις δύναμις ὑπὸ τῶν ἡμετέρων σωμάτων εἰς ἐνέργειαν ἄγεται, 40
25 ἀχθεῖσα δὲ εἰς ἐνέργειαν οὕτω λοιπὸν ἀντιδρᾷ εἰς τὰ ἡμέτερα σώματα
καὶ ἀλλοιοῖ αὐτά. ὥστε τοῦ μὲν τὸ δυνάμει τῶν φαρμάκων εἰς ἐνέργειαν
ἀχθῆναι τὸ αἴτιον ἐν τοῖς ἡμετέροις ἐστὶ σώμασι, τοῦ δὲ τὰ ἡμέτερα
σώματα ὑπὸ τῶν φαρμάκων ἀλλοιωθῆναι ἡ ποιητικὴ αἰτία ἐν τοῖς φαρμάκοις
ἐστίν, ἐνεργείᾳ λοιπὸν φέρε θερμῶν ἢ ψυχρῶν γενομένων· τὸ γὰρ μὴ
30 γενόμενον ἐνεργείᾳ θερμὸν οὐκ ἂν ἄλλο τι θερμᾶναι δυνήσεται καὶ ποιῆσαι 45
ἐνεργείᾳ θερμόν. ὡς γὰρ αὐτὸς εἶπε μικρῷ πρόσθεν, δεῖ τὸ ποιοῦν πάντως
ἐντελεχείᾳ εἶναι ἢ ὁμοειδὲς ἢ ὁμογενές. ὅμοιον οὖν ἐστι τὸ ἐπὶ τῶν
φαρμάκων τούτων γινόμενον, ὥσπερ εἰ ἐν οἰκίσκῳ πλείστων ἀνθρώπων

2 ὅτι om. T 3 γὰρ om. Z τοῦ ἀλλοιοῦν Z: τῷ ἀλλοιοῦν GT: τοῦ ἀλλοιοῦντος R: τοῦ ἀλλοιοῦν τι a 3. 4 φησι ante τὴν ἀρχὴν ponit R 4 ἀλλὰ τῷ ἀλλοιοῦσθαι T 6 οὖν om. TZ 7 ἀξιοῦ a 8 δὲ καὶ ἐπί Z 9 οἷαν Z 10 μὲν om. Z 11 ψύξιν constanter libri δὲ bis R[1] 12 πάντα om. Z 15 σώματα (pro σώμασιν) R 19 παραμυθία ἐπινοηθῆναι τῆς ἐν Z 20 ἀμφιβαλλομένη T[2] 20 et 21 πρὸς] ἐπ R 21 κατορθουμένων GT 23 ἐν (post μὲν) om. Z 24 δύναμιν a σωμάτων om. R 25 σώματα om. add. T[2] 26 αὐτά RT: ταῦτα G(Z)a ὥστε] ὡς T[1] 29. 31 λοιπὸν — ποιῆσαι ἐνεργείᾳ om. Z 29 λοιπὸν φέρε θερμῶν ἢ ψυχρῶν R: λοιπὸν, θερμῶν φέρε ἐκ ψυχρῶν GTa 30 γινόμενον T θερμᾶναι GT: θερμάναι R: θερμῆναι a 31 μικρῷ πρόσθεν] p. 320b19 sq. μικρὸν πρόσθε GT 33 εἰ R et corr. Z: ἢ T: ἤν (G)a

ὄντων ὁ ἐν αὐτῷ ἀὴρ ὑπ' αὐτῶν θερμανθεὶς ἀντιθερμαίνει αὐτούς. καὶ 23r
τούτων γὰρ τοῦ μὲν τὸν ἀέρα θερμανθῆναι αἰτία ἐστὶν ἡ τῶν σωμάτων
ἐπαφή, θερμανθεὶς δὲ ἅπαξ ὁ ἀὴρ καὶ αὐτὸς πάλιν ἀντιθερμαίνει τὰ
θερμάναντα. ὥστε καὶ τούτων τὸ προσεχὲς τῆς ἀλλοιώσεως αἴτιον ἐν 50
τῷ ἀλλοιοῦντί ἐστι καὶ οὐκ ἐν τῷ ἀλλοιουμένῳ.

Καὶ ἄξιον ζητῆσαι τί δήποτε τεσσάρων οὐσῶν κατὰ γένος πασῶν τῶν
μεταβολῶν, ὡς πολλάκις εἴρηται, τῆς κατ' οὐσίαν τῆς κατὰ ποσὸν τῆς κατὰ
ποιὸν τῆς κατὰ τόπον, ἐπὶ μὲν τῆς κατ' οὐσίαν μεταβολῆς, φημὶ δὴ φθορᾶς καὶ
γενέσεως, καὶ ἐπὶ τῆς κατὰ ποιότητα, τουτέστι τῆς ἀλλοιώσεως, τὸ αἴτιον
τῆς μεταβολῆς ἐν τῷ ποιοῦντί ἐστι καὶ οὐκ ἐν τῷ γινομένῳ ἢ πάσχοντι, ἐπὶ
δὲ τῶν λοιπῶν δύο, τῆς τε κατὰ ποσὸν καὶ | τῆς κατὰ τόπον, ἐν τῷ πάσχοντί 23v
ἐστιν ἡ ποιητικὴ αἰτία. τό τε γὰρ γινόμενον οὐκ αὐτὸ τὴν ποιητικὴν
αὐτοῦ ἔχει αἰτίαν, ἀλλὰ τὸ δημιουργοῦν, οἷον εἰ ὁ οἰκοδόμος ἢ ὁ πατὴρ
ἢ ὁτιοῦν ἄλλο εἴη τὸ ποιοῦν, καὶ τὸ φθειρόμενον πάλιν ἑτέρωθεν ἔχει τῆς
φθορᾶς τὴν αἰτίαν· οὐδὲν γὰρ αὐτὸ ἑαυτοῦ φθαρτικόν ἐστι· πάντα γὰρ
φυσικῶς τοῦ εἶναι ἐφίεται. ἐδείξαμεν δὲ ὅτι οὐδ' ἐν τοῖς ἀλλοιουμένοις ἡ
αἰτία ὑπάρχει τῆς ἀλλοιώσεως, ἀλλ' ἐν τοῖς ἀλλοιοῦσιν. ὅτι δὲ ἐν τοῖς 5
αὐξομένοις τὸ ποιητικὸν αἴτιόν ἐστι τῆς αὐξήσεως, καὶ τοῦτο ὡμολόγηται·
ἡ γὰρ ἐν ἑκάστῳ μορίῳ φυσικὴ δύναμις τὴν προσκριθεῖσαν τῷ μορίῳ
τροφὴν ἑνώσασα τῷ ὑποκειμένῳ ἐξομοιοῖ αὐτό. καὶ τὰ κατὰ τόπον δὲ
κινούμενα τῆς ἐν τούτῳ μεταβολῆς αὐτὰ ἑαυτοῖς ἐστιν αἴτια· εἰ γὰρ ἡ κί-
νησις αἰτία τῆς κατὰ τόπον γίνεται μεταβολῆς, τῆς δὲ κινήσεως τῶν σωμάτων
ἡ ἐν αὐτοῖς φύσις ἐστὶν αἰτία (κινήσεως γὰρ καὶ ἠρεμίας αἰτία ἡ φύσις),
τῆς ἄρα κατὰ τόπον μεταβολῆς αὐτὰ ἑαυτοῖς ἐστι τὰ μεταβάλλοντα αἴτια. 10

Τούτων δεδειγμένων τὴν αἰτίαν ζητῆσαι ἄξιον, τί δήποτε τῆς μὲν κατ'
οὐσίαν καὶ κατὰ ποιότητα μεταβολῆς τὰ αἴτιά ἐστιν οὐκ ἐν τοῖς μεταβάλ-
λουσιν ἀλλ' ἔξωθεν, τῆς δὲ κατὰ ποσὸν καὶ κατὰ τόπον αὐτὰ ἑαυτοῖς ἐστι
τὰ μεταβάλλοντα αἴτια. φημὶ οὖν ὡς εἰ τὸ γινόμενον μήπω ἐστί, πῶς
οἷόν τέ ἐστι τὸ μήπω ὂν αὐτὸ ἑαυτῷ τοῦ εἶναι ὑπάρχειν αἴτιον; τὸ γὰρ
αἴτιόν τινος, ὡς πολλάκις εἴρηται, ἐνεργείᾳ δεῖ εἶναι, τὸ δὲ μήπω ὂν οὐκ
ἔστιν ἐνεργείᾳ. ὅτι δὲ οὐδὲ φθορᾶς οὐδέν ἐστιν ἑαυτῷ φυσικῶς αἴτιον, 15
εἴρηται· πάντα γὰρ φυσικῶς τοῦ εἶναι ἐφίεται. ἀλλὰ δὴ καὶ ἡ ἀλλοίωσις
πάθος οὖσα τοῦ ὑποκειμένου, ὅτε ἐπιτεταμένη γίνεται, φθείρει τὸ σῶμα·
ἐπιτεινομένη γὰρ ἡ θερμότης ἢ ἡ ψύξις ξηρότης τε καὶ ὑγρότης φθείρει
τὰ σώματα. εἴπομεν δὲ ὡς οὐδέν ἐστιν αὐτὸ ἑαυτοῦ φθαρτικόν. λεύκανσις

---

1 ἀντιθερμαίνη Ra αὐτοῖς GRT[1] 3. 4 ἀντιθερμαίνη τὰ θερμανθέντα a
4 ὥσπερ ut videtur Z[1] 7 τῆς (post οὐσίαν) om. GT 10 ἐπὶ] ἐστὶ T 12 ἡ αἰτία
ἡ ποιητική a τε om. R[1] 13 αὐτοῦ libri αἰτίαν ἔχει Z εἰ Z: om. cett.

14 ἑτέρῳ R: ἑτέρωθεν GT[1] 15 αὐτὸ ἐφ' ἑαυτοῦ Z 16 οὐδὲ ἐν ex οὐδὲν corr. R
20 αὐτῷ Z τὰ om. GT 22 τῆς (pr. loco)] τοῖς R γίνεται om. GTa
24 τῆς om. add. T[2] ἑαυτά ἐστιν ἑαυτοῖς αἴτια τὰ μεταβάλλοντα Z 29 post
ἑαυτῷ iterat αἴτιον Z 32 ἀφίεται Z 33 ἐπιτεταγμένη a 35 αὐτὸ ἑαυτοῦ
ἐστι Z λεύκασις T[1]

δὲ καὶ μελανία, καὶ ὅσαι τῶν ἀλλοιώσεων μήτε βλάπτουσι μήτε ὠφελοῦσι 23ᵛ τὸ ὑποκείμενον, δι᾽ αὐτὸ τοῦτο τὴν αἰτίαν εἰκότως ἂν ἕξωθεν ἔχοιεν. τὰ γὰρ ὑπὸ τῶν φυσικῶν ἑκάστου δυνάμεων γινόμενα πάντως εἰς τὸ εἶναι τῷ ὑποκειμένῳ λυσιτελεῖ. οὐδὲν γὰρ οὔτε ἐπὶ κακῷ οὔτε μάτην οὔτε ἐκ περιττοῦ ἡ φύσις ἐργάζεται, εἰ μή τι ὡς παρεπόμενον τῇ φυσικῇ κράσει γίνοιτο, οἷον εἰ τῇ θερμῇ καὶ ξηρᾷ κράσει παρέποιτο τὸ οὔλας ἔχειν τὰς τρίχας. ἀλλ᾽ εἰ μὲν ἐκ τῆς κατ᾽ ἀρχὴν συστάσεως τοῦτο γίνοιτο, οὐδὲ ἀλλοίωσις δηλονότι τὸ τοιοῦτόν ἐστιν ἀλλὰ γένεσις· εἰ μέντοι ἐκ κράσεως φέρε ξηρᾶς εἰς ὑγρὰν μεταβάλοι, καὶ ταύτῃ ἀλλοιωθείη ἢ τὸ χρῶμα ἢ τὸ τῶν τριχῶν συνεστραμμένον καὶ ἀπηυθυσμέναι γίνονται, δῆλον ὅτι τὸ τῆς μεταβολῆς τῆς κράσεως αἴτιον τοῦτο καὶ τῆς ἀλλοιώσεως τοῦ χρώματος ἢ τῶν τριχῶν γέγονεν αἴτιον, εἴτε τὸ περιέχον εἴη εἴτε τὰ προσφερόμενα εἴτε ὁτιοῦν ἄλλο. περὶ μὲν οὖν γενέσεως καὶ ἀλλοιώσεως τοσαῦτα. διὰ τί δὲ τὸ αὐξόμενον ἐν ἑαυτῷ ἔχει τὴν ποιητικὴν αἰτίαν τῆς αὐξήσεως, ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν. εἰ γὰρ τὸ τρέφον καὶ αὔξον ἐξομοιοῦσθαι θέλει τῷ τρεφομένῳ καὶ αὐξομένῳ, δῆλον ὅτι δυνάμει ἐστὶν οἷον τὸ αὐξόμενον, δυνάμει δὲ ὂν οὐκ ἂν εἴη ἑαυτῷ τῆς ⟨εἰς⟩ ἐκεῖνο μεταβολῆς αἴτιον. εἴρηται δὲ ὡς ὅτι τὸ ποιοῦν ἢ ὁμοειδές ἐστι τῷ γινομένῳ ἢ ὁμογενές. εἰκότως οὖν τὸ αὐξόμενον καὶ τρεφόμενον αἴτιόν ἐστι τῆς εἰς αὐτὸ τοῦ τρέφοντος καὶ αὔξοντος ἐξομοιώσεως. εἰ δὲ τῆς κατὰ τόπον μεταβολῆς αἰτία ἡ κίνησις, τῆς δὲ κινήσεως τῆς ἑκάστου ἡ ἐν αὐτῷ φύσις αἰτία, εἴπερ ἀρχή ἐστι κινήσεως καὶ ἠρεμίας ἡ φύσις ἐν ᾧ ὑπάρχει πρώτως καθ᾽ αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός, εἰκότως ἄρα τῆς κατὰ τόπον μεταβολῆς αὐτὰ ἑαυτοῖς ἐστι τὰ μεταβάλλοντα αἴτια.

25 p. 321ᵇ3 Εἰ μένει σὰρξ οὖσα καὶ τὸ τί ἐστι, πάθος δέ τι ὑπάρχει τῶν καθ᾽ αὑτό.

Ὅταν, φησί, τὸ τί ἐστι, τουτέστι τὸ εἶδος, φυλάττουσα καὶ σὰρξ μένουσα μεταβάλλῃ κατά τι πάθος τῶν καθ᾽ αὑτὸ ὑπαρχόντων αὐτῇ, τό-

2 δι᾽ αὐτὸ a 4 primum οὔτε et mox ὡς om. add. T² 6 γένοιτο GTa εἰ RT²a: ἐν GT¹Z οὔλασιν GT 7 ἀρχὴν Za: ἀρχῆς GT: ἀρχὰς R γένοιτο GT 8 τὸ τοιοῦτον (τοιοῦτο a) δῆλον ὅτι ἐστὶν Za 9 μεταβάλλοι GTR²a 10 ἀπηυθυσμέναι a: ἀπηυθησμέναι G: ἀπηυθισμέναι (sed prius ι in ras. T²) T: ἀπευθυσμέναι Z: ἀπηνθϊσμ R γίνονται RTZ: γένοιντο G: γίνοιντο a 11 αἴτιον τοῦτο GRT: τοῦτο αἴτιον Z: om. a 11. 12 τοῦτο καὶ—αἴτιον bis GT 12 γέγονεν αἴτιον] αἴτιον γέγονεν οὐχ ἡ φυσικὴ κρᾶσις. ἀλλ᾽ a, qui mox delet εἴη et post ἄλλο addit καὶ τοῦτό ἐστιν ἀλλοίωσις τὸ om. GT 14 ἐν om. Z τῆς αὐξήσεως om. Z 17 εἰς addidit a ἐκεῖνο GTa: ἐκείνου RZ 18 δὲ] οὖν Z 19 αὐξόμενόν τε καὶ Z τοῦ] τοῦτο T 22. 23 ἀρχή—συμβεβηκός] cf. Ar. Phys. B 1 p. 192ᵇ21 sq. al. 22 ἠρεμίας καὶ κινήσεως Z 24 αἰτία a 25 lemma hic om. a, qui pergit λέγοντος δὲ, ὅτι ὅταν τὸ τί ἐστι μένει GT: μὲν ἡ Z: μὲν οὖν ἡ R 27. 28 Ὅταν—καθ᾽ αὑτὸ om. R 27 τουτέστι γὰρ εἶδος Z 28 μὲν οὖσα T μεταβάλλ* T¹

τε, φησί, λέγεται ἠλλοιῶσθαι. πάθη δέ φησιν ἐνταῦθα καθ' αὐτὸ 23v
ὑπάρχοντα οὐ κατὰ τὸ σημαινόμενον τοῦ καθ' αὐτὸ δ ἐν τῇ Ἀπο-
δεικτικῇ παραδέδωκε, τὸ πρώτως καὶ μόνῳ καὶ ἀεί τινι ὑπάρχον,
ὥσπερ τῷ τριγώνῳ τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας, δ καὶ
ἀναιρουμένου τοῦ ἔχοντος συναναιρεῖται, ἀλλὰ καθ' αὐτό φησιν ἐνταῦθα τὸ
ἐν αὐτῷ τῷ σώματι γινόμενον, οἷον λευκότητα θερμότητα, καὶ μὴ ἔξωθεν
καὶ κατὰ σχέσιν τὴν πρὸς ἄλλο αὐτῷ ἐπιγινόμενον, ὡς εἴ τι ἐξ ἀριστεροῦ
δεξιὸν γένοιτο ἢ ἐκ τῶν κάτω ἄνω, καὶ ἐπὶ τῶν παραπλησίων.

p. 321b8 Ἐπεὶ καὶ τὸ εἰσελθὸν γένοιτ' ἄν ποτε μεῖζον, καὶ τὸ ἀπολαῦσαν αὐτοῦ σῶμα.

Ἐπειδὴ εἶπεν ὅτι τὸ ποιητικὸν αἴτιον οὐκ ἐν τῷ αὐξοντί ἐστιν ἀλλ' ἐν τῷ αὐξομένῳ καὶ ἀλλοιουμένῳ, καὶ ὅτι τὸ "ᾧ ἠλλοίωται ὁτὲ μὲν οὐδὲν πέπονθεν οὐδὲ ἠλλοίωται ἡ οὐσία, ὁτὲ δὲ κἀκεῖνο", δοκεῖ δὲ καὶ ἡ τροφὴ ἔστιν ὅτε αὔξεσθαι, ὅταν εἰς πνεῦμα μεταβάλῃ, ὥσπερ καὶ τὸ ἀλλοιοῦν ἔστιν ὅτε ἀλλοιοῦσθαι, καὶ ἔνθεν δόξει καὶ ἐν αὐτῷ εἶναι ἡ αὐξητικὴ δύναμις, ἥπερ ἐν τῷ αὐξομένῳ, ὡς εἴρηται, θεωρεῖται, διὰ τοῦτο νῦν τίθησι τὸ τῆς πλάνης αἴτιον καὶ ἐλέγχει ὅτι οὔτε αὔξεται ἡ τροφὴ οὔτε διὰ τοῦτο ἐν αὐτῇ ἕξει τὴν αὐξητικὴν δύναμιν. φθείρεται γὰρ ἡ τροφὴ καὶ οὐ μένει ὅπερ ἐστὶν ἐν τῇ εἰς πνεῦμα μεταβολῇ. δῆλον οὖν ὅτι οὐδὲ αὔξεται, εἴπερ δεῖ τὸ αὐξόμενον μένον ἐπὶ τοῦ προτέρου εἴδους τὴν κατὰ μέγεθος ποιεῖσθαι ἐπίδοσιν. εἰ δὲ μὴ αὔξεται ἡ τροφή, οὐδὲ τὴν αὐξητικὴν δύναμιν ἐν αὐτῇ ἕξει.

p. 321a29 Ἀπορήσειε δ' ἄν τις καὶ τί ἐστι τὸ αὐξόμενον. |

Τριῶν ὄντων τούτων ἐφεξῆς, τοῦ αὐξομένου, ᾧ αὔξεται, τῆς αὐξητικῆς 24r
δυνάμεως, ἀπορήσας περὶ τοῦ πῶς αὔξεται τὰ αὐξόμενα, πότερον σώματι
ἢ ἀσωμάτῳ, ἀπορεῖ νῦν καὶ περὶ τοῦ ᾧ αὔξεται. ἐπεὶ γὰρ μεταβάλλουσα
ἡ τροφὴ ἐν τῷ τρεφομένῳ μείζων δοκεῖ γεγονέναι, καὶ δόξειεν ἂν ταύτῃ
καὶ αὐτὴ αὔξεσθαι, διὰ τοῦτο καὶ τὸν περὶ ταύτης διευθύνει λόγον, ὅτι
κἂν μείζων γίνηται, οὐκ αὔξεται. οὐδὲ γὰρ φυλάττεται ἐπ' αὐτῆς τὰ

---

1 φησί om. a  λέγεται om. Z  ἠλλοιῶσθαι R: ἠλλοιοῦσθαι (ἡ mut. in ἀ T) GTZ: ἀλλοιοῦσθαι a  δέ φησιν ἐνταῦθα om. a  2 ὑπάρχοντα ⟨ἀκουστέον⟩ (G)a
2. 3 Ἀποδεικτικῇ] cfr. Bonitzii Index s. v. ἑαυτοῦ p. 212a3 sqq.  3 περιδέδωκε Z
7 καὶ om. TZ  8 τὰ ἄνω a  9 lemma om. hic a, qui pergit ἐπειδὴ δὲ εἶπεν
13 ἡ οὐσία delevit a; at cf. p. 102,7  14 μεταβάλλη GTa  15 ἠλλοιοῦσθαι G
δόξειεν ἂν ἐν a  16 εἴπερ R  18 et 22 αὐτῇ scripsi: αὐτῇ codd.: ἑαυτῇ a
19 αὔξηται T  20 εἴπερ δὴ R: ὅπερ δὴ Z, qui mox ποιεῖται  μένον scripsi: μὲν GT: om. RZa, sed μένον post εἴδους inserit a  τὸ μέγεθος a  23 Ἀπορήσειε — αὐξόμενον GRTZ: Ὧ δ' ἠλλοίωται — ἐν τούτῳ (sc. Ar. p. 521b5—10) a; turbatam seriem quomodo corrigam non habeo  25 αὐξανόμενα Z  27 μεῖζον GR¹T

κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῇ αὐξήσει, καὶ πρό γε τῶν ἄλλων τὸ 24r
δεῖν ὑπομένειν τὸ αὐξόμενον· φθείρεται γὰρ τὸ εἰσιὸν καὶ οὐχ ὑπομένει.
ἃ δὲ περὶ τῆς ἀλλοιώσεως ἐπάγει, παραδείγματος ἕνεκεν τίθησιν ἐξομοιῶν
τοῖς ἐπὶ τῆς ἀλλοιώσεως γινομένοις τὰ ἐπὶ τῆς αὐξήσεως, ἐπεὶ μηδὲ δίχα
5 τῆς ἀλλοιωτικῆς δυνάμεως τὴν αὐξητικὴν ἐνεργῆσαι δυνατόν.

p. 321b5 Ὧι δὲ ἠλλοίωται, ὁτὲ μὲν οὐδὲν πέπονθεν οὐδὲ ἠλλοίωται ἡ οὐσία, ὁτὲ δὲ κἀκεῖνο.

Ἐντεῦθεν λοιπὸν περὶ τῆς ποιητικῆς αἰτίας τῆς αὐξήσεώς φησιν, ὡς
ἐπὶ παραδείγματος τῆς ἀλλοιωτικῆς δυνάμεως ποιούμενος τὸν λόγον. ἃ 10
10 γὰρ ὑπάρχει ταύτῃ, ταῦτα δήπου καὶ τῇ αὐξητικῇ δυνάμει ὑπάρχει.
ὥσπερ οὖν ἐπὶ τῆς ἀλλοιωτικῆς δυνάμεως, εἰ μὲν σύμμετρον ἦ τῷ
ἀλλοιοῦντι τὸ ἀλλοιούμενον, ὁρᾷ εἰς αὐτὸ τὸ ἀλλοιοῦν αὐτὸ ἀπαθὲς μένον,
οἷον εἰ σύμμετρος εἴη ἡ εἰσιοῦσα τροφὴ τῇ πεπτικῇ τῆς φύσεως δυνάμει,
πάσχει ὑπ' αὐτῆς ἡ τροφὴ τῆς δυνάμεως ἀπαθοῦς μενούσης, εἰ μέντοι
15 εἴη ἀσύμμετρα πλήθει ἢ ποιότητι τὰ εἰσιόντα, πάσχει μᾶλλον ὑπ' αὐτῶν 15
ἡ ἀλλοιωτικὴ δύναμις καὶ ἀσθενεστέρα γίνεται ἢ ποιεῖ εἰς αὐτά· τὰ αὐτὰ
καὶ ἐπὶ τῆς αὐξητικῆς δυνάμεως λεκτέον, ὅτι ἔστ' ἂν μὲν συμμέτρως ἔχῃ
ἡ αὐξητικὴ δύναμις τῇ ὕλῃ τῆς αὐξήσεως, ὁρᾷ εἰς αὐτὴν καὶ αὔξει τὸ
αὐξόμενον, ἔστ' ἂν δὲ ἀσυμμέτρως ἔχῃ, πάσχει μᾶλλον ὑπ' αὐτῆς. τὸ δὲ
20 ἀσύμμετρον διὰ πολλὰ γίνεται, ἢ διὰ τὸ ποσὸν ἢ διὰ τὸ ποιὸν ἢ διὰ τὸν
χρόνον. ἐπεὶ γὰρ ὥρισται τὰ ἔργα τῆς φύσεως, ὅταν εἰς τὸ σύμμετρον
μέγεθος ἔλθῃ τὰ σώματα, τότε λοιπὸν ἀνεπιτηδείου ὄντος τοῦ ὑποκειμένου, 20
διὰ ξηρότητα φέρε καὶ ψυχρότητα ἢ ἁπλῶς ἀσυμμετρίαν τῆς κράσεως,
ἐξασθενεῖ ἡ αὐξητικὴ δύναμις καὶ πάσχει μᾶλλον ἐκ τοῦ ὑποκειμένου ἤπερ
25 ποιεῖ εἰς αὐτό. ἰστέον δὲ ὅτι εἰ λέγει ὁτὲ μὲν οὐδὲν πάσχειν τὸ ἀλλοιοῦν
ὁτὲ δὲ πάσχειν, οὐκ ἐναντιοῦται τοῖς ἀλλαχοῦ αὐτῷ εἰρημένοις, ὅτι τῶν
ὁμοίων τὰ ποιοῦντα πάντως καὶ ἀντιπάσχει. κατὰ γὰρ τὸ ἐπικρατοῦν ἢ
πάσχειν ἢ μὴ πάσχειν αὐτὰ νῦν φησιν· ἐνίοτε γὰρ πλεῖον ὁρᾷ ἢ πάσχει,
ἐνίοτε δὲ ἐναντίον.

30 p. 321b10 Ἐπειδὴ διηπόρηται περὶ αὐτῶν ἱκανῶς. 25

Εἰπὼν ὅσα κατὰ κοινὴν ἔννοιαν ὑπάρχει τῇ αὐξήσει, καὶ γυμνάσας

1 τῇ αὐξήσει ὑπάρχοντα Z 3. 4 ἃ δὲ—γινομένοις τὰ codices mss., sed verba ἐπάγει—ἀλλοιώσεως exciderunt in omnibus praeter RZ: τὰ δὲ παραδείγματα τῆς ἀλλοιώσεως ἕλκει refinxit a 3 ἐξομοιῶν Z: ἐξ ὁμοιῶν R 6 lemma om. hic a, qui pergit ὅτ' ὁ περὶ τῆς ποιητικῆς 6. 7 οὐδὲ ἠλλοίωται ἡ οὐσία om. Arist.; at cf. p. 101,13 11 σήμερον T¹ ἦ] εἶναι Z: εἴη a 13 σύμμετρον T τροφὴ om. Z 15 ἀσύμμετρον a 16 ποιεῖν a 17 ἔχει GT¹ 19 ἔχει GT 20. 21 ἢ καὶ διὰ τὸν χρόνον R 24 ἤπερ R: εἴπερ TZ 25 λέγει ὅτι μὲν R 26 ἀλλαχοῦ] c. 7 (cf. Philop. 32v12 sqq.) τῶν om. Z 27 post ποιοῦντα iterant τοῖς εἰρημένοις GT 29 τοὐναντίον a 30 ἐπειδὴ δὲ GT: ἐπεὶ δὲ a; cf. Ar.

πάσας τὰς εἰς τὸν περὶ αὐτῆς λόγον συντεινούσας ἀπορίας, νῦν λοιπὸν 24r
ἐκθέσθαι βούλεται τὴν ἰδίαν περὶ αὐξήσεως δόξαν, τοιαύτην ὀφείλουσαν
ἀποδοθῆναι, ἥτις τοῖς τε κατὰ κοινὴν ἔννοιαν ὑπάρχουσι τῇ αὐξήσει συνά-
σεται καὶ τὰς δοκούσας φέρεσθαι κατ' αὐτῆς τῆς αὐξήσεως ἀπορίας ἐκ- 30
5 φεύξεται. ἦν δὲ τὰ μὲν κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῇ αὐξήσει τρία
τινά, τό τε ὑπομένειν καὶ τὸ προσιόντος τινὸς τὴν αὔξησιν γίνεσθαι καὶ
τὸ πᾶν ὁτιοῦν μόριον τοῦ αὐξομένου μεῖζον γίνεσθαι ὥσπερ καὶ τοῦ
φθίνοντος ἔλαττον. αἱ δὲ ἀπορίαι αἱ δοκοῦσαι φέρεσθαι πρὸς τὰ περὶ τῆς
αὐξήσεως λεγόμενα ὑπῆρχον αὗται, τό τε κενοῦ ὑπόστασιν εἰσάγειν καὶ τὸ
10 σῶμα διὰ σώματος λέγειν διιέναι· τῷ μὲν γὰρ φάσκοντι λόγῳ ἀσωμάτῳ 35
τὴν αὔξησιν γίνεσθαι εἵπετο τὸ ὅλην εἶναι χωριστὴν μεγέθους καὶ κενὸν
ὑφεστηκός, τῷ δὲ διὰ σώματος ὑποτιθεμένῳ τὴν αὔξησιν γίνεσθαι, προει-
λημμένου τοῦ πᾶν μόριον μεῖζον γίνεσθαι ἐκ τῆς τοῦ προσιόντος προσθήκης,
ἕπεται ἤτοι πόρον καὶ κενὸν ὅλον εἶναι τὸ αὐξόμενον, εἴπερ δέοι δι'
15 ὅλου διελθὸν τὸ προσιὸν ἑκάστῳ μορίῳ τοῦ αὐξομένου προστεθῆναι, ἢ
σῶμα διὰ σώματος διιέναι καὶ δύο ἐν τῷ αὐτῷ τόπῳ σώματα ὑπάρχειν.

Τοιαῦτα μὲν οὖν τὰ προδιδαχθέντα, οἷς σύμφωνον ἀποδοθῆναι χρὴ 40
τὴν περὶ αὐξήσεως διδασκαλίαν, ὥστε τὰ μὲν κατὰ τὴν κοινὴν ἔννοιαν
ὑπάρχοντα τῇ αὐξήσει σῴζειν, τὰς δὲ κατ' αὐτῆς φερομένας ἀπορίας
20 ἐκφυγεῖν. ἀρχόμενος δὲ τοῦ περὶ αὐξήσεως λόγου, προλαμβάνει δύο τινὰ
χρήσιμα αὐτῷ πρὸς τὰ μέλλοντα, ἓν μὲν τὸ μὴ εἶναι τὰ ἀνομοιομερῆ τὰ
πρώτως αὐξόμενα ἀλλὰ τὰ ὁμοιομερῆ, τῷ δὲ ταῦτα αὔξεσθαι καὶ τὰ ἐξ
αὐτῶν συγκείμενα ἀνομοιομερῆ αὔξειν λέγεσθαι (οὐ γὰρ πρόσωπον ἢ χεὶρ
ἡ τροφὴ γινομένη προστίθεται τῷ αὐξομένῳ, ἀλλ' ἢ σὰρξ ἢ ὀστοῦν ἢ τῶν 45
25 ἄλλων τι τῶν ὁμοιομερῶν· ὥστε τὰ πρώτως αὐξόμενα ταῦτά ἐστιν). ἕτερον
δὲ ὅτι ἕκαστον τῶν ἐνύλων πραγμάτων διττῶς λέγεται, ποτὲ μὲν κατὰ
τὴν ὕλην ποτὲ δὲ κατὰ τὸ εἶδος. σάρκα γὰρ λέγομεν ποτὲ μὲν τὸ εἶδος
τῆς σαρκὸς ποτὲ δὲ τὴν ὕλην, ποτὲ δὲ τὸ συναμφότερον, ὅπερ παρῆκεν
ὡς γνώριμον καὶ μηδὲν αὐτῷ πρὸς τὸ παρὸν συμβαλλόμενον. ὅταν μὲν
30 γὰρ εἴπωμεν ῥευστὴν εἶναι τὴν σάρκα καὶ ἐν ἐπιρροῇ καὶ ἀπορροῇ ἔχειν
τὸ εἶναι ἢ σύνθετον ἐκ τῶν τεσσάρων εἶναι στοιχείων, σάρκα φαμὲν τὴν 50
τῆς σαρκὸς ὕλην· ὅταν δὲ ἀκμάζειν τὴν σάρκα ἢ δυσκράτως ἔχειν ἢ
μαλακὴν εἶναι ἢ σκληράν, σάρκα φαμὲν τὸ εἶδος· ὅταν δὲ διαιρετὴν εἶναι
ἢ τριχῇ διαστατὴν ἢ πολλὴν ἢ ὀλίγην, κατὰ τὸ συναμφότερον. ζητητέον

---

2 αὐξήσεως τοσαύτην δόξαν ὀφείλουσαν Z  3. 4 συνάσεται scripsi: συνέσεται libri
4 κατὰ ταύτης τῆς Z  5 τὰ om. Z  8 πρὸς] π̣ R  11 τὸ RZ: τὴν GT: om. a  χωριστὴν ὕλην εἶναι Z  12 ὑφεστηκὼς R  13 τοῦ alterum om. Z
14 εἶναι ὅλον a  16 τόπῳ σώματα] σώματι a  18 τὴν alterum recte om. GTa
19 κατὰ ταύτης Z  20 δύο τινὰ προλαμβάνει Z  21 τὸ] τῷ G  22 ἀλλὰ τὰ] ἀλλὰ τῷ GT¹  24 γενομένη RT  ἢ (ante ὀστοῦν) om. R  25 αὐξομένη (G)a  26 ὅτι om. Z  29 πρὸς] παρὰ R  31 τεσσάρων εἶναι] δευτέρων Z
33 εἶναι prius om. Z  33. 34 διαιρετὴν ἔχει εἶναι ἢ τριχὴν Z  34 ἢ (ante ὀλίγην) om. Z  τὸ om. T

οὖν κατὰ τί τούτων αὔξεσθαι λέγεται τὰ ὁμοιομερῆ, πότερον κατὰ τὴν 24r
ὕλην ἢ κατὰ τὸ εἶδος. εἰ μὲν γὰρ τὴν ὕλην φαίη τις εἶναι τὴν αὐξομένην,
οὔτε τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῇ αὐξήσει σώσει, οὔτε τὰ ὑπο-
πίπτοντα ἄπορα ἐπιλύσεται. οὔτε γὰρ τὸ ὑπομένειν ἐπὶ ταύτης σώσει (ἡ 24v
5 γὰρ ὕλη οὐχ ὑπομένει ἡ αὐτή, ἀλλ' ἡ μὲν ἀπορρεῖ ἡ δὲ εἰσρεῖ), οὔτε τὸ
πᾶν ὁτιοῦν μόριον μεῖζον γίνεσθαι δυνατὸν ἐπὶ τῆς ὕλης λέγειν, πρῶτον
μὲν διότι οὐχ ὑπομένει (πῶς γὰρ ἂν ἀπορρέουσα καὶ ἄλλη ἐξ ἄλλης ἀεὶ
γινομένη κατὰ πᾶν μόριον μεῖζον γένοιτ' ἄν;), ἔπειτα δὲ καὶ εἰς τὰ
εἰρημένα ἄτοπα ἐμπεσούμεθα. εἰ γὰρ ἡ τροφὴ ἡ προσιοῦσα σῶμα
10 τυγχάνουσα παντὶ μορίῳ τῆς ὕλης προστίθεται, δεήσει δι' ὅλης διελθεῖν· 5
ἐπεὶ πῶς ἂν παντὶ μορίῳ αὐτῆς προστεθήσεται; ᾧ γὰρ μὴ προστίθεται
μορίῳ, τοῦτο οὐκ αὔξεται· δεῖ γὰρ προσιόντος τινὸς πᾶν τὸ αὐξόμενον
αὔξεσθαι. δι' ὅλης ἄρα τῆς ὕλης τοῦ αὐξομένου τὸ προστιθέμενον διελεύ-
σεται. τὸ δὲ δι' οὗ ἔρχεται κενὸν ἢ πόρον ἀνάγκη εἶναι. δι' ὅλου ἄρα
15 διιούσης κενὸν ὅλον ἢ πόρον ἀνάγκη εἶναι τὸ αὐξόμενον σῶμα. ἢ εἰ μὴ
τοῦτο, σῶμα διὰ σώματος διελεύσεται καὶ δύο ἐν τῷ αὐτῷ τόπῳ σώματα
ἔσται. δῆλον οὖν ὅτι κατ' οὐδένα τρόπον δυνατὸν τὴν ὕλην λέγειν εἶναι 10
τὴν αὐξομένην. εἰ δὲ τοῦτο, οὐδὲ τὸ συναμφότερον ἄρα ἐστὶ τὸ αὐξόμενον·
εἰ γὰρ τὸ συναμφότερον ηὔξητο, πάντως ἂν καὶ ἡ ὕλη ηὔξητο. λείπεται
20 τοίνυν τὸ εἶδος εἶναι τὸ αὐξόμενον· τοῦτο γάρ ἐστι τὸ μόνον ὑπομένον,
καθὼς ἀπεδείξαμεν, οὐ χωρὶς ὕλης (τοῦτο γὰρ ἀδύνατον), ἀλλ' ἀεὶ τὸ
αὐτὸ σῳζόμενον περὶ τὴν ὕλην πλείονά τε καὶ ἐλάττονα γινομένην καὶ
ἄλλοτε ἄλλην, τὴν μὲν ἀπορρέουσαν τὴν δὲ εἰσκρινομένην. ὅταν δὲ
λέγωμεν τὸ εἶδος εἶναι τὸ αὐξόμενον, μὴ νομίσῃς αὐτὸ τὸ εἶδος κατὰ τὸν 15
25 οὐσιώδη καὶ ἀίδιον λόγον τὴν μεταβολὴν ἴσχειν (ἀσώματον γὰρ τῷ ἰδίῳ
λόγῳ τὸ εἶδος καὶ ἀμέγεθες), ἀλλὰ κατὰ τὸ ποσόν· τοῦτο γάρ ἐστι καὶ
τῆς αὐξήσεως τὸ σημαινόμενον. κατὰ δὲ τὸ ποσὸν λέγεται μεταβάλλειν
τὸ εἶδος, τῷ ἐν πλείονι ἢ ἐν ἐλάττονι ὑποκειμένῳ γίνεσθαι· οὕτω γὰρ χεὶρ
καὶ πρόσωπον φαίνεται αὐξόμενον, οὐ τοῦ εἴδους τοῦ προσώπου μετα-
30 βάλλοντος ἢ τῆς χειρός, ἀλλὰ μείζονος τοῦ μορίου γινομένου, τῷ τὸ εἶδος
τὸ αὐτὸ μένον ποτὲ μὲν ἐν ἐλάττονι ποτὲ δὲ ἐν μείζονι γίνεσθαι ὑποκειμένῳ. 20

Πῶς δὲ τοῦτο λέγοντες εἶναι τὸ αὐξόμενον τὰ κοινῶς ὑπάρχοντα τῇ αὐ-
ξήσει σώσομεν καὶ τὰ ἄπορα ἐπιλυσόμεθα, σκεπτέον ἐφεξῆς. πρῶτον μὲν γὰρ

---

1 κατά τι libri 3 et 4 σώζει T¹ 4 γὰρ τὰ R 5 ἀπορεῖ RT 6 γίγνεσθαι a 7 ἀπορέουσα T¹ 9 εἰ] ἢ GT¹Z¹ 10. 11 τῆς — μορίῳ om. add. mg. T² 11 μὴ παρατίθεται compend. et mox παρατιθέμενον R 14 πόρος a
14. 15 δι' ὅλου — εἶναι om. GT 15 ἀνάγκη] ἀναστάσεως Z 17 εἶναι λέγειν τὴν ὕλην Z 18 ἐστὶ] ἔσται a 19 καὶ om. GTa 20 αὐξανόμενον Z
21 ὑπεδείξαμεν GTa 22 καὶ alterum om. Z 24 τὸ εἶδος λέγωμεν Z 25 ἀσωμάτων GT 26. 27 γὰρ καὶ τῆς αὐξήσεώς ἐστι Z 28 ἐν (post ἢ) om. Z
29 τὸ αὐξόμενον Z 30 μίζονος a γενομένου T 33 σώσομεν Za; σώσωμεν GRT
ἐπιλυσόμεθα Za; ἐπιλυσομεθα G; ἐπιλυσώμεθα RT

τὸ ὑπομένειν τὸ αὐξόμενον ἀληθὲς ἐπὶ τοῦ εἴδους λεγόμενον, καθάπερ 24ᵛ
προείρηται. εἰ γὰρ ἡ μὲν ὕλη προφανῶς οὐχ ὑπομένει ἡ αὐτή, ὑπόθοιτο
δέ τις μηδὲ τὸ εἶδος τὸ αὐτὸ κατ' ἀριθμὸν ὑπομένειν, οὐδ' ἄρα τὸ ἐξ
ἀμφοῖν τὸ αὐτὸ κατ' ἀριθμὸν ἔσται. ὥστε Σωκράτης οὐχ ὁ αὐτὸς ἦν ἀεὶ 25
5 κατ' ἀριθμόν. εἰ οὖν ἔστ' ἂν ᾗ τὰ σύνθετα, τὰ αὐτά ἐστι κατ' ἀριθμόν,
τούτων δὲ ἡ ὕλη οὐχ ἡ αὐτὴ ἀεὶ ὑπομένει, λείπεται ἄρα τὸ εἶδος τὸ
αὐτὸ ὑπομένειν, καθ' ὃ καὶ ἕκαστον τῶν ὄντων τὸ εἶναι ἔχει καὶ λέγεται,
ὅθεν καὶ τὰ αὐτὰ εἶναι κατ' ἀριθμὸν λέγεται, τοῦ εἶδος καθ' ὃ τὸ εἶναι
ἔχει τοῦ αὐτοῦ ὄντος. καὶ τὸ πᾶν δὲ μόριον ἐκ τοῦ προσιόντος
10 αὔξεσθαι ἐπὶ τούτου μόνως λεγόμενον προχωρεῖ. ἐπὶ μὲν γὰρ τῆς
ὕλης εἰ λέγοιμεν παντὶ μορίῳ τὴν τροφὴν προστίθεσθαι, ἕψεται τὰ
εἰρημένα ἄτοπα· ἢ γὰρ ὅλον πόρος ἢ κενὸν ἔσται, ἢ σῶμα διὰ 30
σώματος διελεύσεται. ἀλλ' οὐδὲ ὑπομένει ἡ ὕλη οὐδέ ἐστι μία καὶ ἡ
αὐτὴ τῷ ἀριθμῷ, ἀλλὰ ἄλλοτε ἄλλη γίνεται ἐν ἐπιρροῇ ἔχουσα τὸ εἶναι,
15 τὸ μέντοι εἶδος ἀεὶ ἓν καὶ τὸ αὐτὸ μένει, τό τε οὐσιῶδες καὶ τὸ κατὰ τὸ
σχῆμα καὶ τὴν μορφήν. καὶ γὰρ τὸ Σωκράτους εἶδος καὶ τὸ τῆς σαρκὸς
καὶ τὸ τοῦ ὀστοῦ καὶ ἐν μείζονι καὶ ἐν ἐλάττονι ὑποκειμένῳ ἀεὶ τὸ αὐτὸ
ὑπάρχει. ὁμοίως δὲ καὶ τὸ κατὰ τὸ σχῆμα καὶ τὴν μορφήν. ὥσπερ γὰρ
εἰ θόλακός τις εἴη, εἰς τοῦτον δὲ ἄλλοτε ἄλλα εἴη τὰ ἐμβαλλόμενα, ὁ μὲν 35
20 ὁριστικὸς ὢν τῶν ἐμβαλλομένων καὶ οἷον εἶδός τι αὐτῶν ὁ αὐτὸς ἀεὶ μένει,
τὰ μέντοι ὑπ' αὐτοῦ περιοριζόμενα ἄλλοτε ἄλλα ἐστί· καὶ ἵνα ἐγγυτέρω
τοῦ προκειμένου τὸ παράδειγμα γένηται, εἰ διὰ σωλῆνος δερματίνου διίοι
ὕδωρ ποτὲ μὲν ἔλαττον ποτὲ δὲ πλεῖον, τὸ μὲν σχῆμα τοῦ σωλῆνος ποτὲ
μὲν συστελλόμενον ποτὲ δὲ ἐκτεινόμενον ὅμως ἕν ἐστι καὶ τὸ αὐτό, τὸ
25 μέντοι ὕδωρ, ἐφ' οὗ ἐφήπλωται ὡς ἐν ὕλῃ τὸ σχῆμα, οὐκ ἔστιν ἓν καὶ
τὸ αὐτὸ (ἀεὶ γὰρ ἄλλο μὲν ἀπορρεῖ, ἄλλο δὲ ἐπεισέρχεται)· οὕτω δεῖ νοεῖν 40
καὶ ἐπὶ τῶν αὐξομένων, ὅτι ἡ μὲν ὕλη οὐδέποτέ ἐστιν ἡ αὐτή. τὸ μέντοι
εἶδος τὸ ἐνυπάρχον αὐτῇ ἓν ὂν καὶ τὸ αὐτὸ ἐπιδίδωσιν εἰς μείζονα ὄγκον
οὐχ ᾗ εἶδός ἐστιν αὐξόμενον, ἀλλ' ᾗ μετέχει ποσοῦ. εἰ μὲν γὰρ ὁ
30 ὁριστικὸς λόγος προσελάμβανεν ἢ διαφοράν τινα ἢ γένος, ηὔξετο δηλονότι
τὸ εἶδος ᾗ εἶδός ἐστι· νῦν δὲ τοῦτο οὐ συμβαίνει. ὥστε οὐχ ᾗ εἶδός ἐστιν
ἴσχει τὴν αὔξησιν, ἀλλ' ᾗ πεπόσωται. καὶ ἄλλως εἰ καθὸ εἶδός ἐστιν
ηὔξε, πολλῷ πρότερον τὸ χωριστὸν εἶδος ηὔξετο ἄν· μὴ γὰρ ἐκείνου 45
αὐξηθέντος οὐδ' ἂν τὸ ἔνυλον ηὐξήθη. ὥστε οὐ καθὸ ζῷον αὔξει
35 οὐδὲ καθὸ κύκλος οὐδὲ καθὸ σάρξ, ἀλλὰ καθὸ πηχυαία σὰρξ ἢ

---

2 εἰ] ἢ R  προφανοῦς a  ὑποθοῖτο GRT¹: ὑπόθειτο corr. T  4 ἀεὶ ἦν Z
5 εἰ—ἀριθμόν om. GT  ᾗ Ra: εἴ (del.) ᾗ Z  12 προειρημένα Z  15 τὸ (ante αὐτὸ) om. GRT  μένει om. Z  16 τὸ τοῦ σωκράτους Z  19 εἰς τοσοῦτον δὲ Z  ἐμβαλόμενα et mox ἐμβαλομένων G  22 εἰ δὲ διὰ a  διίη R
26 ἀπορεῖ TZ  27 καὶ om. Z  29 εἶδος τί ἐστιν Z  30 ηὔξετο corr. T: ηὔξητο GT¹a: ηὔξαιτο RZ  31 νῦν—ᾗ εἶδός ἐστιν om. R  33 ηὔξε GRTZ: ηὔξηται a  ηὔξετο R et corr. T: ηὔξαιτο GZ: ηὐξήθη a  34. 35 ζῶον αὔξει οὐδὲ καθὸ RZ: om. GT: ζῶον, ἢ suppleverat a

πηχυαῖον ὀστοῦν, καὶ ἁπλῶς πεποσωμένον τι εἶδος. τῷ γὰρ ἐν μείζονι 24v
ὑποκειμένῳ ἐφαπλοῦσθαι, ταύτῃ αὔξεσθαι λέγεται.

Ἀπορήσειε δ' ἄν τις ἴσως, μήποτε οὐ μόνον ἡ ὕλη τῶν αὐξομένων οὐχ
ἡ αὐτὴ ἀεὶ διὰ τὸ ἐπίρρυτον αὐτῆς καὶ ἀπόρρυτον, ἀλλὰ καὶ τὸ εἶδος αὐτό. εἰ
γὰρ τὸ εἶδος ἐν ὑποκειμένῳ τῇ ὕλῃ τὸ εἶναι ἔχει, ἀδύνατον δὲ τοῦ ὑποκειμένου 50
φθειρομένου τὸ ἐν ἐκείνῳ τὸ εἶναι ἔχον σῴζεσθαι (οὕτω γὰρ ἂν χωριστὸν
ἦν καὶ οὐκ ἀχώριστον ὕλης), ἀνάγκη ἄρα μηδὲ τὸ εἶδος τοῦ αὐξομένου
τὸ αὐτὸ σῴζεσθαι. λύοντες δὲ τὴν ἀπορίαν φαμὲν ὡς ὅτι εἰ μὲν ἀθρόον
ἅμα πᾶσα ἡ ὕλη ἐφθείρετο, ἀληθὴς ἂν ἦν ὁ εἰρημένος λόγος· νῦν δὲ
κατὰ μέρος ὑπεκρεῖ, καὶ εὐθὺς ἕτερον ἀντεισφέρεται· ὅθεν ἓν καὶ τὸ αὐτὸ
κατ' ἀριθμὸν ὑπομένει εἶδος. σαφὴς δὲ ἡμῖν δι' ὑποδείγματος ὁ λόγος
γινέσθω. ὥσπερ γὰρ εἴ τις ἐν ποταμῷ παραρρέοντι | σκιὰν ἀπό τινος 25r
σώματος γινομένην ἐπινοήσειεν, ἡ μὲν σκιὰ ἐν ὑποκειμένῳ τῷ ὕδατι οὖσα
μία ἐστὶ καὶ ἡ αὐτὴ κατ' ἀριθμόν, τὸ μέντοι ὕδωρ οὐ τὸ αὐτὸ ὑπομένει, ἀλλὰ
κατὰ μέρος τὸ μὲν ὑπεκρεῖ τὸ δὲ ἀντεισέρχεται, οὕτως ὑπονοεῖν δεῖ κἀπὶ
τοῦ εἴδους, τῆς μὲν ὕλης κατὰ μέρος ἀμειβομένης, αὐτοῦ δὲ ἀεὶ ὑπομένοντος
τοῦ αὐτοῦ κατ' ἀριθμόν. ἐπεὶ καὶ τὰ χρώματα τὰ αὐτὰ πολλάκις ὑπομένει,
τῆς ὕλης οὐχ ὑπομενούσης· οὐδὲ γὰρ οὕτω κατὰ μέρος ἡ ὕλη ἀμείβεται ὡς 5
συναφαιρεῖσθαί τι καὶ τοῦ εἴδους, οἷον ὡς εἰ ἀνδριάντος νῦν μὲν ποὺς
ἀμειφθείη ἄλλοτε δὲ χεὶρ ἄλλοτε δὲ κεφαλή· συμβαίνει γὰρ οὕτω τῷ
χρόνῳ τὸν ὅλον ἀνδριάντα ἄλλον ἐξ ἄλλου κατ' ἀριθμὸν γενέσθαι, οὐ μόνον
κατὰ τὴν ὕλην καὶ τὸν χαλκόν, ἀλλὰ καὶ κατὰ τὸ σχῆμα τὸ ἄτομον καὶ
τὴν μορφήν. οὐχ οὕτως οὖν ἐπὶ τῆς αὐξήσεως ἡ κένωσις τῆς ὕλης γίνεται
(οὕτω γὰρ ἂν κολοβὸν τὸ ὅλον ἔμελλε γίνεσθαι, ὅπερ οὐχ ὁρῶμεν γινό-
μενον), ἀλλ' ὥσπερ ἐπὶ τοῦ εἰρημένου ὑποδείγματος τοῦ ποταμοῦ ποτὲ 10
μὲν πλεῖόν ἐστι τοῦ ἀπιόντος τὸ ἐπερχόμενον ὕδωρ ποτὲ δὲ ἔλαττον τὸ
ἐπιγινόμενον πλείονος ὄντος τοῦ ἀπορρέοντος, ὁ μέντοι ποταμὸς ὅλος ὡς
ὅλος αὐτὸς ἑαυτῷ συνεχὴς ὑπάρχει, ἀντιμεθισταμένων ἀλλήλοις κατὰ
συνέχειαν τῶν τοῦ ὕδατος μορίων καὶ ἀναπληρούντων ἀδιακόπως τὸν
ἀπορρέοντα τόπον καὶ διάλειμμα μηδὲν μεταξὺ καταλιμπανόντων, οὕτω δὴ
ἐπὶ τοῦ ἡμετέρου συμβαίνει σώματος, διαφορήσεως λεπτομερῶς πανταχόθεν 15
τῆς ὕλης γινομένης, καὶ εἴ ποθεν πλείων γένηται ἐπανισουμένης εὐθὺς κατὰ
συνέχειαν ἐκ τῶν πέριξ συνιόντων, εἴπερ καθ' Ἱπποκράτην "σύρροια μία,
σύμπνοια μία, πάντα συμπαθέα". ὥστε τὸ εἶδος οὐδὲν πάσχει τῆς ὕλης
ἐπιρρύτου οὔσης καὶ ἀπορρύτου. εἰ γὰρ τῆς ὕλης μὴ ὑπομενούσης οὐδὲ
τὸ εἶδος ὑπέμενεν, ἀλλ' ἄλλοτε ἄλλο κατ' ἀριθμὸν ἐγίνετο, οὐδὲ τὸ ἐξ

1 τῷ] τὸ RT 5 ὑποκειμένῃ a 12 παραρεόντι GT[1] 13 ὕδατι] σώματι Z
16 μέρου Z 23 καίνωσις coniecit nescio quis in margine exempli Aldini quo utor
24 ἤμελλεν GT 25 παραδείγματος Z 29 ἀδιακόπτως a 31. 32 πανταχόθεν τῆς ὕλης λεπτομερῶς Z 31 λεπτομεροῦς R 32 πλείων Z: πλείω cett.
γένοιτο a 33 πέριξ] περὶ a Ἱπποκράτην] de Alim. IX 106 n. 23 Littr.
34 σύμπνια a 35 ἀπομενούσης Z[1] 36 ἀλλ' om. a 36. p. 107, 1 ἐγίνετο — εἰ οὖν RZ: ἐπέμενεν. εἰ οὖν T: εἰ οὖν G: ὁ Σωκράτης ἐγένετ' ἄν, εἰ δ' a

ἀμφοῖν συγκείμενον τὸ αὐτὸ κατ' ἀριθμὸν ὑπέμενεν. εἰ οὖν ἔστ' ἂν εἴη 25r
ὅδε ὁ ἄνθρωπος, οἷον Σωκράτης, ὁ αὐτός ἐστι κατ' ἀριθμόν, ἡ δὲ ὕλη
οὐχ ἡ αὐτή, ἀνάγκη ἄρα τὸ εἶδος τὸ αὐτὸ εἶναι. ἀλλ' οὐδὲ τὴν ὕλην 20
νομιστέον ὕλην καθ' ὕλην αὐτὴν τῷ χρόνῳ ἀμείβεσθαι, κατὰ μέρος ὑπεκρέου-
5 σαν, ὥστε μηδὲν εἶναι σῶμα ἐν ἡμῖν γηράσασι τοῦ ἐξ ἀρχῆς ἐκ τῆς πρώτης
συμπήξεως ὑποκειμένου ἐν ἡμῖν. εἰ γὰρ τοῦτο ἦν, δυνατὸν ἦν καὶ ἀθάνατα
εἶναι τὰ ζῷα, ἀεὶ τῆς ὕλης ἀκμαζούσης. νῦν γὰρ διὰ τὸ κάμνειν τῷ
χρόνῳ οὐ δύναται δι' ὅλου σῴζειν τὸ εἶδος ἡ ὕλη, τῶν συναρμοσθέντων
διὰ τὸ πάσχειν ἀπὸ τῶν ἐναντίων δυνάμεων τὴν ἁρμονίαν καὶ σύγκρασιν
10 δι' ὅλου σῴζειν μὴ δυναμένων. οὐκοῦν οὐ πᾶσαν ὑπονοητέον διαφορεῖσθαι, 25
ἀλλὰ ταύτης τὰ στερεώτερα μάλιστα ἀεὶ τὰ αὐτὰ κατ' ἀριθμὸν ὑπομένειν.
ὅθεν καὶ ἐν σαρξὶ καὶ ὀστοῖς τὰς ἐκ τραυμάτων οὐλάς, τὰς ἐκ νεότητος
εἰ τύχοι γενομένας, μέχρι θανάτου μενούσας ὁρῶμεν. ὥστε καὶ διὰ τοῦτο
καὶ τὸ εἶδος τὸ αὐτὸ κατ' ἀριθμὸν μένειν ἀνάγκη. ὅτι μὲν οὖν τὸ ὑπο-
15 μένειν τὸ αὐξόμενον ἐπὶ μὲν τῆς ὕλης οὐ σῴζεται, ἐπὶ δὲ τοῦ εἴδους,
δῆλον ἐκ τούτων. καὶ τὸ ὁτιοῦν δὲ μόριον ηὐξῆσθαι τοῦ αὐξομένου ἐπὶ
μὲν τῆς ὕλης ἀδύνατόν ἐστι σωθῆναι, ἐπὶ δὲ τοῦ εἴδους δυνατόν· τῆς μὲν 30
γὰρ ὕλης παντὶ μορίῳ προσθήκην γενέσθαι ἀδύνατον, ἐπειδὴ καὶ σῶμα
διὰ σώματος χωρῆσαι ἀδύνατον, τοῦ μέντοι εἴδους πᾶν ὁτιοῦν μόριον
20 μεῖζον γίνεται. ἰσοτίμως γὰρ ὅλον δι' ὅλου ἕκαστον τῶν μορίων μεῖζον
γίνεται. καὶ γὰρ τὸ πρόσωπον ὅλον δι' ὅλου ὁμοτίμως αὔξεται καὶ τὰ
τούτου μόρια, ὀφθαλμὸς λέγω καὶ ῥὶς καὶ τὰ λοιπά· καὶ γὰρ ὁτιοῦν
μόριον τοῦ ὀφθαλμοῦ καὶ τῶν λοιπῶν μορίων ἰσοτίμως εἰς μέγεθος ἐπι-
δίδωσι. καὶ τὰ ἄτοπα δὲ πάντα ἐκφεύγει, καὶ τὸ μὲν μὴ ἀσωμάτῳ 35
25 αὔξεσθαι προφανές, ἀλλὰ καὶ σώματι γινομένης τῆς αὐξήσεως οὔτε κενὸν
ἔσται οὔτε σῶμα διὰ σώματος χωρήσει· οὐ γὰρ ὅλον δι' ὅλου χωρεῖ τὸ
προσιόν, ἀλλὰ παρατίθεται μόνον τῇ προτέρᾳ ὕλῃ ἡ ἐπεισοῦσα. καὶ ὥσπερ
ἐπὶ τοῦ δερματίνου σωλῆνος τοῦ μὲν ὕδατος προσθήκη γίνεται καὶ τὸ
ἐπεισιὸν παρατίθεται μόνον τῷ ὑπάρχοντι καὶ προωθήσαντος τούτου τὰ
30 πρὸ αὐτοῦ οὕτως ἰσοτίμως πανταχοῦ ὁ πλεονασμὸς τοῦ ὕδατος γίνεται, 40
καὶ οὕτω πᾶν μόριον ὁτιοῦν τοῦ σωλῆνος ὁμοτίμως ἐκτείνεται, οὕτω καὶ
ἐπὶ τῆς αὐξήσεως συμβαίνει. τῆς γὰρ ἐξαιματωθείσης τροφῆς διὰ τῶν
φλεβίων πανταχοῦ ἑλκομένης καὶ περιχεομένης ἐν ἑκάστῳ τῶν ὁμοιομερῶν,

---

3 ἄρα καὶ τὸ a 4 αὐτὴν libri 5 μηδὲ Z ἀρχῆς καὶ ἐκ R 6 ἐν om. T[1] ἦν alterum om. Z 9 διὰ τὸ πάσχειν ἀπὸ] κάμνει δὲ διὰ τὸ συγκεῖσθαι ἐκ a σύγκρῖσιν post ras. R 11 μᾶλλον GTa 12 σαρκὶ Z 13. 14 ὥστε καὶ τὸ εἶδος αὐτὸ τὸ αὐτὸ κατ' a 15 δὲ om. Z 16 τούτου a 17 ἐστι om. R 18. 19 ἐπειδὴ — ἀδύνατον om. GT 20 ἰσοτόμως hic et infra GT, qui bis habent verba ἰσοτόμως γὰρ — μορίων 21 ὁμοτόμως hic et infra GT

29 ἐπιθέμενον τῷ προϋπαρχοντι Z 31 πᾶν μόριον ὁτιοῦν RZ: μόριον πᾶν (om. ὁτιοῦν) GTa 32 ἐξαιμαχθείσης GTa 33 περιχεομένη T: περιεχομένης R, qui ἐν recte om.

καὶ τῆς ἐν ἑκάστῳ τῶν μορίων φύσεως συμπεπτούσης τοῦτο καὶ μετα- 25r
βαλλούσης εἰς τὴν τοῦ ὑποκειμένου οὐσίαν, οὕτω τὴν αὔξησιν συμβαίνει
γίνεσθαι. ἔστι γὰρ καὶ ἐν τῇ τῶν ὀστῶν οὐσίᾳ καὶ ἐν τῇ τῆς σαρκὸς καὶ
τῶν λοιπῶν ὑγρότης τις πανταχοῦ ἐγκατεσπαρμένη, καὶ μάλιστα ἐν τῇ 45
5 τῶν αὐξομένων· ὑγρότερα γὰρ ταῦτα. τὸ οὖν αἷμα περιχεόμενον ἔξωθεν
ἑκάστῳ τῶν μορίων παρατίθεται τῇ ὑγρότητι ταύτῃ καὶ προωθοῦν αὐτήν,
μᾶλλον δὲ πανταχόθεν ὑπὸ τῶν μορίων ἑλκόμενον, κατὰ πᾶσαν διάστασιν
πλείονα ποιεῖ, ἥτις συμπεφθεῖσα ὑπὸ τῆς θρεπτικῆς δυνάμεως μεταβάλλει
εἰς τὴν τοῦ ὑποκειμένου οὐσίαν. ἐπεὶ οὖν φροντίζει ἡ φύσις καὶ τοῦ
10 σχήματος τῶν μορίων, πλείονος τῆς ὑποκειμένης ὕλης γενομένης ἐφαπλοῖ
ἐπὶ ταύτην ὁμοτίμως ἕκαστον τῶν εἰδῶν, καὶ οὕτως ὁτιοῦν μόριόν φαμεν 50
ηὐξῆσθαι τῷ ἰσοτίμως τὴν ἐπέκτασιν τῶν σχημάτων γεγενῆσθαι. ὥσπερ
οὖν ἡ περιφέρεια τοῦ σωλῆνος πλεονάσαντος τοῦ ἐντὸς ὕδατος κατὰ πᾶν
ἑαυτῆς μόριον ἰσοτίμως τὴν ἐπέκτασιν δέχεται, οὕτω δὴ καὶ ἐπὶ τῶν
15 αὐξομένων συμβαίνει τῆς ὕλης πλείονος γενομένης τὰ εἴδη ὁμοτίμως ἐπ'
αὐτὴν ἐφαπλοῦσθαι. καὶ ἐπεὶ ἡ παράθεσις τοῦ αἵματος κατὰ τὰς τρεῖς
διαστάσεις γίνεται, διὰ τοῦτο καὶ ἡ αὔξησις κατὰ πᾶσαν γίνεται διάστασιν.

Τί μὲν οὖν ἐστι τὸ αὐξόμενον καὶ πῶς ἡ αὔξησις γίνεται κατὰ
Ἀριστοτέλην, εἴρηται. | ἀπορήσειε δ' ἄν τις πρὸς τὰ εἰρημένα πρῶτον μὲν 25v
20 πῶς σῴζεται τὸ δεῖν τὸ αὐξόμενον προσιόντος τινὸς αὔξεσθαι. εἰ γὰρ μὴ
δι' ὅλου τοῦ αὐξομένου χωρεῖ τὸ ᾧ αὔξεται, λέγω δὴ τὸ αἷμα, ἀλλὰ
μόνον παρατίθεται τῷ προϋπάρχοντι, αὔξεται δὲ πᾶν ὁτιοῦν μόριον, οὐκ
ἄρα παντὶ αὐξομένῳ πρόσεισιν· οὐδὲ γὰρ παντὶ μορίῳ παρετέθη τὸ αἷμα.
καὶ ἔτι εἰ μὴ ἔστιν ἡ ὕλη ἡ αὐξομένη ἀλλὰ τὸ εἶδος, οὐκ ἄρα τῷ
25 αὐξομένῳ ἡ πρόσοδος γίνεται, ἀλλὰ πρόσεισι μὲν ἡ τροφὴ ἄλλῳ, αὔξεται 5
δὲ ἄλλο. πρὸς ταῦτα δέ φημι, ὡς οὐδὲν ἐναντία ταῦτα τοῖς παρὰ Ἀριστο-
τέλους εἰρημένοις. ἁπλῶς γὰρ οὕτως εἶπεν ὅτι δεῖ τὸ αὐξόμενον προσιόντος
τινὸς αὔξεσθαι, καὶ οὐκ εἶπε δεῖν τῷ εἴδει προσιέναι· ὥστε πρόσεισι μὲν
τῇ ὕλῃ τὸ προσιόν, αὔξεται δὲ τὸ εἶδος. τῆς προσθήκης οὖν γενομένης
30 τῇ ὕλῃ καὶ προωθήσεως γινομένης συμβαίνει ὑφ' ἕκαστον μόριον τοῦ
εἴδους τὸν πλεονασμὸν τῆς ὕλης γενέσθαι. αὐτὸ δὲ τοῦτο πάλιν ἀπορίας
ἄξιον, πῶς ἡ προώθησις γίνεται ἢ ἕλξις, ἢ τί ποτέ ἐστιν ὅλως τὸ προω- 10
θούμενον ἢ ἑλκόμενον. αὐτὴν μὲν γάρ τὴν σάρκα ἕλκεσθαι ἢ προωθεῖσθαι
ἀμήχανον, λέγω δὴ τὸ σύνθετον· οὕτω γὰρ συνέβαινε τὴν τῆς πτέρνης
35 σάρκα τῆς χειρὸς γενέσθαι σάρκα ἢ μηροῦ ἢ ἄλλου τινός. εἰ δὲ τὴν κατε-

---

1 φύσεως om. T  συμπεττούσης R  3 τῶν σαρκῶν Z  4 κατεσπαρμένη Za
5 γὰρ] δὲ Z  περιεχόμενον Z  6 ἐν ἑκάστῳ a  7 πᾶσαν δὲ διάστασιν R
8 πεπτικῆς Z  12 τὸ (scripsi τῷ) ἰσοτίμως—γεγενῆσθαι RZ: om. GTa  14 ἰσοτόμως
GT  δέξεται GT  18 οὖν ἐστιν ἡ αὔξησις τὸ αὐξόμενον Z¹  19 et 26 πρὸς]
παρὰ R  24 alterum ἡ om. T¹  25 γίνεται] γίνεται αὔξεται Z  25. 26 αὔξεται δὲ ἄλλο
Ra: om. T¹: αὔξεται δὲ ἄλλω GT²Z  28 παρϊέναι R: προσεῖναι a  30 γενομέ-
νης T  32 πῶς ἡ RZ: πῶς ἢ GT: πῶς ποτε ἡ a  πρόθεσις GT  ἢ ἕλξις GTZ:
ἡ λέξις R: ἢ ἡ ἕλξις a  32. 33 ἐστιν post ἑλκόμενον traicit Z

σπαρμένην ἐν τῇ σαρκὶ ἢ τοῖς ὀστοῖς ὑγρότητα τὴν αὐτὴν ὑπὸ τοῦ παρα- 25v
τιθεμένου αἵματος προωθεῖσθαί φασιν, ἐρήσομαι ποία ποτ' ἂν ᾖ ἡ ὑγρότης
αὕτη. εἰ μὲν ἡ οὐσιώδης τῆς σαρκὸς ὑγρότης στοιχεῖον αὐτῆς ἐστι, πῶς
οὖν οἷόν τε μὴ τῆς ὅλης σαρκὸς προώθησιν ὑπομενούσης τὸ στοιχειῶδες 15
5 αὐτῆς ὑγρὸν καὶ συμπληρωτικὸν τῆς οὐσίας προωσθῆναι μὴ φθαρείσης
πρότερον αὐτῆς; εἰ δὲ μὴ οὐσιῶδες αὐτῆς εἴη τὸ ὑγρὸν τοῦτο, ἀλλὰ οἷον
τὸ ᾧ τρέφεται καὶ ὅπερ ἐκ τῆς τροφῆς προσγίνεται, ἀδύνατον τοῦτο δι'
ὅλης εἶναι τῆς σαρκός. ἐπεὶ γὰρ σῶμά ἐστι τοῦτο καὶ οὐ ποιότης, ἀδύνατον
αὐτὸ δι' ὅλης χωρῆσαι τῆς σαρκός· σῶμα γὰρ ἂν οὕτω χωροίη διὰ
10 σώματος. ἔνθεν δὲ συμβήσεται μηδ' ὁτιοῦν μέρος ηὐξῆσθαι. εἰ γὰρ
παρατίθεται κατά τινα μόρια τὸ αἷμα, εἶτα οὕτω μεταβληθέντι αὐτῷ 20
ἐφαπλοῦται τὸ εἶδος, ὅλον μὲν ὡς ὅλον μεῖζον γένοιτ' ἄν, οὐ μὴν ὁτιοῦν
αὐτοῦ σημεῖον αἰσθητόν, ὡς αὐτός φησιν. ὥσπερ γὰρ εἰ θύρᾳ ἢ ἀβακίῳ
ἔξωθεν προστεθείη ξύλα, τὸ μὲν ὅλον μεῖζον γέγονεν, οὐ μέντοι ἕκαστον
15 τῶν μορίων τοῦ ἀβακίου αὔξησιν ἐδέξατο, καὶ ὥσπερ τῷ τετραγώνῳ ὁ
γνώμων περιτιθέμενος τὸ μὲν ὅλον τετράγωνον ὡς ὅλον ηὔξησεν, οὐ μέντοι
τῶν μορίων τοῦ προϋπάρχοντος ὁτιοῦν μεῖζον ἐποίησεν, ἀλλ' ἔμεινε τὸ χωρίον
ἀμετάβλητον, οὕτω δηλονότι καὶ ἐπὶ τῶν αὐξομένων εἰ παράθεσις τῆς 25
ὅλης γίνεται κατά τινα μόρια, ὁμοιοτρόπως τοῖς εἰρημένοις συνέβαινεν
20 αὔξεσθαι τὰ αὐξόμενα. τοῦτο δὲ παρὰ τὴν ἐνάργειάν ἐστιν· ὁρῶμεν γὰρ
τῷ ὄντι ὁτιοῦν μόριον τοῦ αὐξομένου μεῖζον γινόμενον. καὶ ἴσως τὴν μὲν
κατὰ τὰς ἄλλας διαστάσεις αὔξησιν δυνατὸν σῶσαι, τὴν δὲ κατὰ μῆκος
οὐκέτι. ἔστω δὲ παραδείγματος ἕνεκεν ὡς ἐπὶ ἑνὸς μορίου ὁ λόγος, οἷον
ὀστοῦ. τούτῳ οὖν τοῦ αἵματος ἔξωθεν περιχεθέντος οὐ μόνον, ἀλλὰ καὶ ἐν
25 τῷ βάθει παρεσπαρμένως χωρήσαντος, ἡ φύσις ὅλην πλείονα λαβοῦσα ἐξαπλοῖ 30
τὸ σχῆμα τοῦ ὀστοῦ καὶ φυλάττει τὸ αὐτὸ ἐν μείζονι ὄγκῳ. ὥσπερ εἰ
αὐλοειδῆ κηρὸν νοήσεις, εἶτα τούτῳ ἔξωθεν κηρὸν περιχεόμενον ἢ καὶ ἐν
τῷ βάθει ὅπῃ καὶ τύχοι, εἶτα τὴν τέχνην ἢ πνεύματι ἢ ἑτέρῳ τινὶ τρόπῳ
ἐξογκοῦσαν τὸν αὐλὸν καὶ εὐρύτερον ποιοῦσαν, δῆλον δὴ οὖν ὅτι ἐν τούτῳ
30 ἡ μὲν προσθήκη οὐ κατὰ πᾶν μόριον γέγονεν, ἡ μέντοι τοῦ σχήματος
αὔξησις οὐχ ὥσπερ ἐπὶ τοῦ τετραγώνου ᾧ περιετέθη ὁ γνώμων ἀπετελέσθη, 35
ἀλλ' ὅλος δι' ὅλου κατὰ πᾶν μόριον ὁ αὐλὸς εἰς μείζονα ὄγκον ἐπιδέδωκεν.

---

1 ἢ om. GT 2 φησὶν a ἡ om. T¹Z 3 ἡ om. T¹ 5. 6 ὑγρὸν—οὐσιῶδες αὐτῆς om. R 5 προωθῆναι (sic) Z: προωθηθῆναι (GT)a 6 εἴη αὐτῆς Z 7 προγίνεται T¹ 9 τῆς σαρκὸς χωρῆσαι Z 10 ἐνθένδε συμβήσεται Z 11 οὕτω] οὐ τῶ RT 12 μεῖζον om. R 13 εἰ] ἡ GR¹T 15 ἀββακίου Z τῶ τριγώνω RZ 16 τὸ μὲν ἄλλον τετράγωνον Z οὐ μέν τι R 17 ἔμενε T: ἔμηνε Z 18 εἰ in ras. T²: ἡ R 19 γίνεται RZ: γένηται GT: γένοιτο a μόριον R¹ 20 ἐναργείαν (sic) margo exempli Aldini quo utor: ἐνέργειάν libri 22 κατὰ τὸ μῆκος GT 24 τούτῳ scripsi: τοῦτο GRT: τοῦ Z: τούτου a τοῦ om. Z ἔξω a περιχυθέντος a 25 παρεσπαρμένης compend. R ἐξαπλοῖ] cf. p. 110,2 26. 27 εἰ αὐλοειδῆ a: ἐν αὐλοειδῆ GR¹T¹: ἐν αὐλοειδεῖ corr. RT: εἰ ἐναυλοειδῆ Z 27 τοῦτο GT 28 ὅποι a 29 δὴ om. a 31 τῶ τετραγώνω Z 32 ὅλος a: ὅλον cett.

τοιοῦτον οὖν τι δεῖ νοεῖν καὶ ἐπὶ τῆς φύσεως, ὅτι πλείονος ὕλης τῷ ὀστῷ 25v
περιχεθείσης ἐξήπλωσεν ἡ φύσις ὅλον δι' ὅλου τὸ σχῆμα καὶ οὐκ ἔξωθεν
αὐτῷ προσθήκην εἰργάσατο. ἡ μὲν οὖν κατὰ τὸ πλάτος αὔξησις οὕτως
ἂν ἐπινοηθῆναι δυνηθείη, τὴν δὲ κατὰ μῆκος οὐκέτι ὁμοίως δυνατόν. ἐπεὶ
5 γὰρ τὰ αὐλοειδῆ ὀστᾶ ναστὰς ἔχει τὰς ἀποτελευτήσεις, ἔνθα καὶ οἱ
σύνδεσμοι τῶν μερῶν γίνονται, πῶς ἐπιδίδωσιν εἰς μῆκος τὸ αὐλοειδὲς τοῦ 40
ὀστοῦ; εἰ μὲν γὰρ κατὰ τὴν ἀποπεράτωσιν τοῦ μήκους ἡ προσθήκη γίνοιτο
τοῦ αἵματος, εἰς τὸ ὁμοειδὲς δηλονότι τῷ ὑποκειμένῳ ἡ μεταβολὴ γένοιτ'
ἄν· ὥστε τὰ ναστὰ μόρια τῶν ὀστῶν αὐξηθήσεται, οὐ μέντοι τὰ αὐλοειδῆ.
10 εἰ δὲ τῆς προσθήκης κατὰ βάθος τῶν ὀστῶν γινομένης οὕτως ἐπιδίδωσιν
εἰς μῆκος· ἢ κατὰ πᾶσαν τὴν περιφέρειαν τοῦ ὀστοῦ χωρήσει εἰς τὸ βάθος
τὸ αἷμα ἢ οὐ κατὰ πᾶσαν. εἰ μὲν οὖν κατὰ πᾶσαν, διαμπὰξ διαιρεθήσεται
τὸ ὀστοῦν, καὶ πάλιν ἡ αὔξησις οὐκ ἔσται παντὸς μορίου κατὰ μῆκος· ἀλλ' 45
ὥσπερ εἰ τετραγώνῳ τετράγωνον ἕτερον ἐπιθείη τις, ποιεῖ τὸ ὅλον ἑτερό-
15 μηκες, οὐκ αὐξηθέντος κατὰ μῆκος τοῦ προϋποκειμένου, ἀλλ' οἷον συμφύσεως
αὐτῷ γενομένης ἄλλου ὁμοειδοῦς, τοῦτο δὴ καὶ ἐπὶ τῶν ὀστῶν συμβήσεται.
πῶς δὲ καὶ τὰ κατὰ τὰ πέρατα τῶν ὀστῶν ναστὰ μόρια τὴν ἐπίδοσιν
λήψεται; εἰ δὲ μὴ πάσῃ τῇ τοῦ ὀστοῦ περιφερείᾳ κατὰ βάθος ἡ προσθήκη
γίνοιτο, ἀλλὰ κατά τινα μόρια, οὐκ ἂν δι' ὅλου ἡ αὔξησις γίνοιτο τοῦ
20 μήκους, ἀλλὰ τινῶν μορίων· τοῦτο δὲ ἀδύνατον. διασπασθήσεται γὰρ τὸ 50
ὅλον τινῶν μὲν μορίων τοῦ ὀστοῦ κατὰ μῆκος αὐξομένων, τινῶν δὲ μή·
οὐδὲ γὰρ δυνατὸν τὴν φύσιν κατὰ μῆκος ἰσοτίμως ἐκτεῖναι τὸ αὐλοειδὲς
τοῦ ὀστοῦ μὴ προϋποκειμένης τῆς ἐπεκτεινομένης ὕλης. ἄλλως τε πῶς
ὅλως δυνατὸν πᾶν ὁτιοῦν μόριον τοῦ ὀστοῦ κατὰ μῆκος αὔξεσθαι λέγειν;
25 τῷ μὲν γὰρ ἐκ μᾶλλον κυρτοῦ ἧττον κυρτὸν γίνεσθαι τὸ αὐλοειδὲς τοῦ
ὀστοῦ αὔξοιτο ἂν πᾶν μόριον ἰσοτίμως κατὰ πλάτος, κατὰ δὲ | μῆκος 26r
πῶς ἂν σωθείη τὸ πᾶν ὁτιοῦν μόριον αὔξεσθαι; ἔστω γὰρ δι' ὅλου κατὰ
μῆκος περιχεῖσθαι τὸ αἷμα καὶ μεταβάλλεσθαι εἰς τὴν τοῦ ὀστοῦ φύσιν.
δῆλον δήπου ὅτι τὸ μεταβληθὲν τοῦτο προσετέθη συμφυὲν τῷ ἐξ ἀρχῆς
30 καὶ ἐποίησε τὸ ὅλον μεῖζον κατὰ μῆκος, οὐ μέντοι παντὶ ᾧτινιοῦν μορίῳ
ἐπίδοσις γέγονε κατὰ μῆκος. τὰ αὐτὰ καὶ περὶ βάθους εἴποιμι ἄν· εἰ
γὰρ μὴ δι' ὅλου τοῦ βάθους ἡ προσθήκη τοῦ αἵματος γίνεται, ἀλλὰ κατά 5
τινα μόρια παρατίθεται, πῶς ἂν ὁτιοῦν κατὰ βάθος αὔξοιτο μόριον; ἔστω
γὰρ σάρξ τις δακτύλου τὸ βάθος ἔχουσα καὶ προσίτω ταύτῃ αἱμά τι καὶ
35 περιχεῖσθω καὶ κατεσπάρθω ἐν αὐτῇ. δῆλον δήπου ὅτι οὐ παντὶ μορίῳ
αὐτῆς παρετέθη, ἀλλὰ τισίν. μεταβληθέντος οὖν τοῦ αἵματος εἰς τὴν

---

1 τοσοῦτον R¹ οὖν τι R: τι Z: οὖν GTa τῷ] τὸ GT 2 περιχυθείσης a
6 et 7 μεῖκος et μείκους a 8. 9 γένοιτο (om. ἄν) R 10 κατὰ τὸ βάθος R
11 ἢ εἰ κατὰ Z εἰς βάθος a 14 εἰ τῶ τετραγώνω Z, qui mox ἕτερον om.
16 γινομένης Za 17 τὰ (post καὶ) om. GTa 18 περιφέρεια a 19 γίνοιτο
(post αὔξησις) GTZ: γένοιτο Ra 22 et 26 ἰσοτόμως GT 23 ἐκτεινομένης Z
27 αὔξεσθαι μόριον a 28 περικεῖσθαι libri 31 εἴποιμ' ἂν a 34 προσϊτῶ R
αἵματι GRT 35 περικεχύσθω et κατεσπέρθω et mox παρατέθη a

τῆς σαρκὸς οὐσίαν, ὅτι μὲν τὸ ὅλον μεῖζον γέγονε, πρόδηλον· ἄρα δ' ἐὰν 26r
λάβω μόριά τινα τῆς σαρκὸς ὡς ἐπὶ τὸ βάθος, οἷς μὴ παρετέθη αἷμα,
μεῖζον ἐρῶ καὶ τοῦτο γεγονέναι; οὐ δήπου. οὐδὲ γὰρ προσετέθη αὐτῷ 10
ὅλη τις ἐφ' ἣν τὸ εἶδος ἐφήπλωται, ἀλλ' ἡ αὐτὴ ἔμεινεν ἥπερ ἦν καὶ
5 ἐξ ἀρχῆς. ὡσαύτως κἂν ἐπὶ τὸ μῆκος ληφθεῖεν μόριά τινα οἷς μὴ
παρετέθη τὸ αἷμα, τὸ αὐτὸ δήπου συμβήσεται. οὐδὲ γὰρ ἂν αὔξοιτό τι
ᾧ μηδεμία προσθήκη γέγονεν, ἀλλ' ὅσων μὲν τὰ σχήματα εἰς μείζονα
ὄγκον αἴρεται σφαιρικὰ ὄντα ἢ ἁπλῶς περιφερῆ, ταῦτα τῷ μᾶλλον
κυρτοῦσθαι ἢ ἧττον λέγοιτ' ἂν κατὰ πᾶν μόριον αὔξεσθαι ἢ μειοῦσθαι,
10 ὡς ἤδη εἴρηται, διὰ τὸ μηδὲν εἶναι μόριον ὃ μὴ γέγονε μᾶλλον κυρτὸν ἢ 15
ἧττον· ἐφ' ὧν δὲ μή ἐστι τὸ σχῆμα περιφερές, οὐκ οἶδα ὅπως δυνατὸν
τὸ λέγειν ὁτιοῦν μόριον τούτων αὔξεσθαι τῆς προσθήκης μὴ παντὶ ᾧτινιοῦν
μορίῳ γινομένης.

p. 321 b 14 Ἔτι δὲ τὸ ὁτιοῦν σημεῖον αἰσθητὸν ἢ μεῖζον ἢ ἔλαττον
15 γεγονέναι.

Ἐπειδὴ εἶπε σημεῖον, καλῶς προσέθηκε τὸ αἰσθητόν, ἀντὶ τοῦ οὐκ
ἔστιν οὕτω μικρὸν μόριον ὡς σημείου λόγον ἐπέχειν πρὸς τὸ σῶμα ὃ μὴ 25
μεῖζον γέγονεν· γίνεται δὲ μεῖζον μὲν αὐξόμενον, ἔλαττον δὲ μειούμενον.

p. 321 b 16 Ληπτέον δὴ τὸ αἴτιον διορισαμένοις πρῶτον.

20 Τὸ αἴτιον τῆς λύσεως τῶν περὶ τῆς αὐξήσεως ἀποριῶν. εἰπὼν γάρ
τί τέ ἐστι τὸ αὐξόμενον καὶ πῶς αὔξεται, ἐπιλελυμένας ἔχει τὰς περὶ
αὐξήσεως ἀπορίας. τὸ οὖν αἴτιον, φησί, τῆς αὐξήσεως λυτικὸν ἔσται τῶν
περὶ αὐτῆς ἀπορι ῶν· ἀλλὰ πρὶν τοῦτο εἰπεῖν, φησί, δεῖ πρότερον προδιορίσαι
τινὰ ἃ χρήσιμα ἡμῖν ἔσται εἰς τὸν περὶ αὐξήσεως λόγον.

25 p. 321 b 17 Ἓν μὲν ὅτι τὰ ἀνομοιομερῆ αὐξάνεται τῷ τὰ ὁμοιομερῆ
αὐξάνεσθαι· σύγκειται γὰρ ἐκ τούτων.

Οὐ γὰρ προσώπου προσθήκη τὸ πρόσωπον αὔξεται οὐδὲ χειρὸς ἡ 31
χείρ, ἀλλὰ τῷ τὴν σάρκα αὔξεσθαι καὶ ὀστοῦν καὶ νεῦρον καὶ πάντα
ἁπλῶς τὰ ὁμοιομερῆ οὕτω συμβαίνει τούτων αὐξομένων καὶ τὰ ἀνομοιομερῆ

---

1 ἐὰν δ' ἄρα a 2. 3 μεῖζον αἷμα tr. Z 3 προετέθη T¹ 4 ἦν] ἧς Z
7 ὅσων Z: ὅσον cett. 9 λέγοιτ' a: λέγοι GRT: λέγοιεν Z 17 πρὸς] παρὰ R
19 lemma om. hic a, qui pergit εἶτα τὸ αἴτιον φησὶ ληπτέον τῶν περὶ δὴ] δὲ Arist. (praeter cod. F) διωρισαμένοις GT 21 ἕξει a 21. 22 περὶ τῆς αὐξήσεως Z 22 λυπτικὸν GT¹: ληπτικὸν corr. T 23 πρότερον δεῖ Z διορίσαι T¹Z 24 ἔσται ἡμῖν GTa 25 lemma om. hic a, qui interpolat πρῶτον οὖν προδιορίζεται, ὅτι τῇ τῶν ὁμοιομερῶν αὐξήσει αὔξεται τὰ ἀνομοιομερῆ. οὐ γὰρ προσώπου etc. μὲν RZ: μὲν οὖν GT αὐξάνεται RZ: αὔξεται GT

αὔξεσθαι. ὥσπερ γὰρ ὕλη ἐστὶ τὰ ὁμοιομερῆ τῶν ἀνομοιομερῶν· ἡ γὰρ 26r
τοιάδε τῶν ὁμοιομερῶν σύνθεσις ποιεῖ τὰ ἀνομοιομερῆ. εἰκότως οὖν τῶν
ὁμοιομερῶν αὐξομένων συμβαίνει καὶ τὰ ἐκ τούτων συγκείμενα αὔξεσθαι.
καλῶς δὲ τοῦτο προδιωρίσατο. ἐπεὶ γὰρ δεῖ τὸ αὐξόμενον ὑπομένειν, δεῖ 35
5 πρῶτον εἰδέναι ποῖα αὔξεται κυρίως, ἵνα περὶ τούτων ζητῶμεν εἰ τῷ ὄντι
ὑπομένει καὶ πῶς ὑπομένει. καὶ γὰρ εἰ ὅμοιον γινόμενον τὸ αὔξον τῷ
αὐξομένῳ προσκρίνεται, ὡς ἐρεῖ, τὸ δὲ αὐξανόμενον εἴη πρόσωπον, καὶ ἡ
τροφὴ ἂν πρόσωπον γινομένη προσκρίνοιτο. τοῦτο δὲ ἄτοπον, ὀστοῦν δὲ
καὶ σάρκα γίνεσθαι λέγειν τὴν τροφὴν οὐδὲν ἄτοπον.

10 p. 321b19 Ἔπειθ' ὅτι σὰρξ καὶ ὀστοῦν καὶ τὰ ἑξῆς.

Δεύτερόν ἐστιν ὧν προδιορίζεται τὸ ἕκαστον τῶν ἐνύλων διχῶς
λέγεσθαι, ποτὲ μὲν κατὰ τὴν ὕλην ποτὲ δὲ κατὰ τὸ εἶδος· τὴν γὰρ σάρκα 40
ποτὲ μὲν κατὰ τὸ ὑποκείμενον καλοῦμεν ποτὲ δὲ κατὰ τὸ εἶδος. καλοῦμεν
δέ ποτε καὶ τὸ συναμφότερον σάρκα καὶ ὀστοῦν, ὡς ὅταν φῶμεν πεπονθέναι
15 τὴν σάρκα ἢ κεκλᾶσθαι τὸ ὀστοῦν, δῆλον δήπου τὸ ἐξ ὕλης καὶ εἴδους
συγκείμενον λέγοντες· ἀλλὰ τοῦτο ὡς γνώριμον καὶ μηδὲν αὐτῷ λυσιτελοῦν
πρὸς τὸ παρὸν παρῆκε. τοῦτο δὴ αὐτῷ πᾶσαν ἐπιλύσεται ἀπορίαν. εἰ
γὰρ μάθοιμεν, ὅτε φαμὲν τὴν σάρκα ηὐξῆσθαι, ποίαν φαμέν, ὅτι τὴν κατὰ 45
τὸ εἶδος καὶ οὐχὶ τὴν κατὰ τὴν ὕλην, εὑρήσομεν τὰς ἀπορίας πάσας ἐπι-
20 λελυμένας. εἰ μὲν γὰρ τὴν ὕλην, φησίν, εἴποιμεν αὔξεσθαι, οὔτε τὰς
ἀπορίας ἐκφευξόμεθα οὔτε τὰ ὑπάρχοντα τῇ αὐξήσει σώσομεν· οὔτε γὰρ
μένει ἡ αὐτὴ ὕλη, οὔτε ὁτιοῦν αὐτῆς μεῖζον γίνεται. εἰ δὲ τὸ εἶδος
εἴποιμεν αὔξεσθαι, πάντα σώσομεν· ὑπομένει γὰρ τὸ αὐτὸ εἶδος· οὐ γάρ
ἐστι τῇ κατὰ τὸ εἶδος σαρκὶ τὸ εἶναι ἐν τῷ τοσήνδε εἶναι, ἀλλ' ἐν τῷ
25 τοιάνδε. εἴπομεν δὲ καὶ περὶ τῶν λοιπῶν. οὐ τὸ εἶδος δὲ χωρὶς ὕλης 50
σῴζεσθαι λέγει (τοῦτο γὰρ ἀδύνατον), ἀλλ' ἐπειδὴ τὸ εἶδος τὸ αὐτὸ
σῴζεται, ἄν τε πλείων ἡ ὕλη ᾖ ἄν τε ἐλάττων, ἡ δὲ ὕλη οὐκέτι ἡ αὐτὴ
μένει, εἰ ποτὲ μὲν πλείων ἐστὶ ποτὲ δὲ ἐλάττων.

p. 321b24 Δεῖ γὰρ νοῆσαι ὥσπερ εἴ τις μετροίη τῷ αὐτῷ μέτρῳ
30 ὕδωρ. |

Τὸ μὲν μέτρον ἀπεικάζει τῷ εἴδει, τὴν δὲ ὕλην τῷ μετρουμένῳ. οὐ 26v
πρὸς τὴν αὔξησιν δὲ ἔλαβε τὸ ὑπόδειγμα, ἀλλ' ὑπὲρ τοῦ δεῖξαι τί μέν 6

1 τῶν ἀνομοιομερῶν τὰ ὁμοιομερῆ Z 4 προσδιωρίσατο GRT ἐπειδὴ γὰρ a 7 τὸ δὲ αὐξόμενον GTa 10 lemma om. hic a, qui pergit τοῦτο μὲν οὖν πρῶτον. δεύτερον δέ (δέ habent, si silentio fides, etiam GT) ἐστιν ὧν 11 προσδιορίζεται Z 13. 14 καλοῦμεν δέ ποτε καλοῦμεν δὲ (sic) Z 14. 15 φῶμεν — ὀστοῦν om. add. mrg. T² 15 ante δῆλον iterant ὡς ὅταν GT² 17 παρῆκε. τό γε μὴν διορισθὲν πᾶσαν αὐτῷ ἐπιλύσεται τὴν ἀπορίαν a ἐπιλύεται R 21 ἐκφευξούμεθα a 23 post αὔξεσθαι iterat οὔτε τὰς ἀπορίας ἐκφευξόμεθα Z 24 prius ἐν om. T¹ τοσῆδε et mox τοιάδε Z 25 εἴπομεν p. 103,25 sqq. 28 πλείω GT¹

ἐστι τὸ μένον, τί δὲ τὸ ῥέον. ὡς οὖν ἐπὶ τῶν μετρουμένων κατὰ μὲν τὸ 26v
μέτρον τὰ αὐτά ἐστι τὰ μετρούμενα, κατὰ δὲ τὸ ὑποκείμενον καὶ τὴν ὕλην
οὐ τὰ αὐτά, οὕτως ἔχει καὶ ἐπὶ τῶν τρεφομένων τε καὶ αὐξομένων· κατὰ
μὲν τὸ μετροῦν καὶ ὁρίζον, τοῦτο δέ ἐστι τὸ εἶδος, τὰ αὐτά ἐστι, κατὰ
5 δὲ τὴν ὕλην ἄλλοτε ἄλλα. εἰ δὲ νοήσεις ἐπεκτεινόμενον τὸ μέτρον, καὶ
ποτὲ μὲν ἔλαττον δεχόμενον ποτὲ δὲ πλεῖον τὸ μετρούμενον, ἁρμόσει καὶ 10
ἐπὶ τῆς αὐξήσεως τὸ παράδειγμα.

p. 321b25 Οὕτω δὲ αὐξάνεται ἡ ὕλη τῆς σαρκός, καὶ οὐχ ὁτῳοῦν παντὶ προσγίνεται, ἀλλὰ τὸ μὲν ὑπεκρεῖ τὸ δὲ προσέρχεται.

10 Τὸ οὕτως ἀντὶ τοῦ οὐχ ὑπομένουσα ἡ αὐτή, ὥσπερ οὐδὲ τὸ ἐν τῷ
μέτρῳ ὕδωρ τὸ αὐτό ἐστιν, ἀλλ' ἡ μὲν ἀπορρέουσα ἡ δ' ἐπεισιοῦσα· καὶ
οὐ πάσῃ τῇ προϋπαρχούσῃ ἐπεισκρινομένης τῆς ἐπεισιούσης (οὐδὲ γὰρ
ὑπομένει), ἀλλὰ κατά τι μόριον παρακειμένης. ὅταν οὖν πλείων ἢ τῆς 15
ἀπορρευσάσης ἡ ἐπεισελθοῦσα, τότε, φησίν, ηὐξῆσθαι λέγεται ἡ τῆς σαρκὸς
15 ὕλη. δῆλον δὲ ὅτι κατεχρήσατο τῷ τῆς αὐξήσεως ὀνόματι. προσθήκη γὰρ
τὸ τοιοῦτόν ἐστιν, οὐκ αὔξησις· οὐδὲ γὰρ φυλάττει τὰ τῆς αὐξήσεως ἴδια.

p. 321b27 Τοῦ δὲ σχήματος καὶ τοῦ εἴδους ὁτῳοῦν μορίῳ.

Τῆς μὲν ὕλης, φησίν, οὐ παντὶ μορίῳ ἡ πρόσκρισις γίνεται, τοῦ μέντοι
σχήματος καὶ τοῦ εἴδους παντὶ μορίῳ ἡ πρόσκρισις γίνεται· δι' ὅλου γὰρ
20 ἐξογκοῦται ἡ σάρξ. τοῦ δὲ σχήματος εἶπεν ἤτοι διὰ τὸ μέτρον (τούτῳ
γὰρ ὑποδείγματι καὶ εἰκόνι τῆς κατὰ τὸ μέτρον αὐξήσεως ἐχρήσατο, σχηματίζεται δὲ τὸ μέτρον τῷ μετρουμένῳ ὡς ἐπεκτείνεσθαι ἐν τῇ τῆς πλείονος
ὕλης διόδῳ ὁμοίως), ἢ σχήματος εἶπεν ὅτι ἕκαστον τῶν αὐξομένων ὄντων 20
ὁμοιομερῶν φύσει τι σχῆμα οἰκεῖον ἔχει. οὕτω γὰρ καὶ μετὰ τούτων τὸ
25 εἶναι αὐτοῖς· ἄλλο μὲν γὰρ σχῆμα ἀστραγάλου, ἄλλο δὲ κνήμης. ὡς
οὖν γίνεται ἐξ ἀρχῆς μετὰ σχήματος οἰκείου, οὕτως καὶ ὅταν αὔξηται, μετὰ
τοῦ φυλάσσειν τὸ σχῆμα αὔξεται· οὐχ οἷόν τε δὲ ἄλλως ἐν τῇ αὐξήσει
τὸ αὐτὸ σχῆμα φυλάττεσθαι, εἰ μὴ πάντῃ ὁμοίως αὔξοιτο.

---

5 καὶ ἐπεκτεινόμενον Z 8 δὲ RZ: καὶ GT: γὰρ καὶ a; cf. Ar. οὐχ οὕτω οὖν T: οὐχ οὕτως οὖν R 9 ἔρχεται Z 9. 10 προσέρχεται, καὶ οὐχ ὑπομένει ἡ αὐτὴ etc. a, qui mox ἡ μὲν ἀπορρέει, ἥδ' ἐπεισέρχεται et ἐπεισκρίνεται ἡ ἐπεισιοῦσα et παράκειται 10 τοῦ FZ: om. GRT 11 ἡ δ'] εἰ δ' T[1] 12 ἐπεισιούσης scripsi (cf. a supra): ἐπιούσης GRTZ 13 πλείω GRT[1] ἢ] ἦν GRT[1] 15. 16 γάρ ἐστι τὸ τοιοῦτον Z, qui alterum γὰρ om. 16 φυλάττεται τὰ a 17 lemma om. hic a, qui pergit τῆς μὲν οὖν ὕλης φησὶν 18. 19 τοῦ μέντοι — γίνεται R: om. cett. 20 ἡ σὰρξ ἐξογκοῦται Z 22 τῷ μετρουμένῳ τὸ μέτρον Z ὑπεκτείνεσθαι (G)a 23 αὐξανομένων Z 26 οὕτω a 28 φυλάσσεσθαι R

p. 321ᵇ28 Ἐπὶ τῶν ἀνομοιομερῶν δὲ τοῦτο μᾶλλον δῆλον, οἷον χειρός, ὅτι ἀνάλογον ηὔξηται. 26ᵛ

Ὅτι τῶν αὐξομένων ὁτιοῦν μόριον τοῦ εἴδους αὔξεται, πιστοῦται σαφέστερον ἐπὶ τῶν ἀνομοιομερῶν. δοκοῦσι γὰρ τὰ ἀνομοιομερῆ τρανοτέραν φαίνειν τὴν κατὰ τὴν ὕλην καὶ τὸ εἶδος διαφοράν, καὶ μᾶλλον χαρακτηρίζεται κατὰ τὸ εἶδος τὰ ἀνομοιομερῆ (τρανεστέρας γὰρ ἔχει τὰς τῶν εἰδῶν ἐνεργείας), τὰ μέντοι ὁμοιομερῆ οὐχ οὕτω σαφῆ τὴν διάκρισιν ἔχει τῆς ὕλης ἀπὸ τοῦ εἴδους. καὶ πιστοῦται τοῦτο ἀπὸ τῶν τεθνεώτων. τὴν γὰρ χεῖρα τοῦ τεθνεῶτος οὐδεὶς ἂν εἴποι κυρίως χεῖρα εἶναι, εἰ μὴ οὕτως ὡς καὶ τὴν λιθίνην ἢ τὴν γεγραμμένην (οὐ γὰρ ποιεῖ τὸ τῆς χειρὸς ἔργον), τὴν μέντοι σάρκα καὶ τὸ ὀστοῦν ἔτι δοκοῦμεν τὴν αὐτὴν εἶναι, οἵα ἦν καὶ ἡ τοῦ ζῶντος, ἐπειδὴ μὴ τρανεῖς αἱ τούτων ἐνέργειαι. ἐπεὶ οὖν τρανέστερα τὰ εἴδη ἐπὶ τῶν ἀνομοιομερῶν, σαφέστερόν ἐστιν ἐπ' αὐτῶν ἰδεῖν καὶ ὅτι τὸ εἰδός ἐστι τὸ αὐξόμενον καὶ ὁτιοῦν αὐτοῦ μόριον ἰσοτίμως αὔξεται. ὅταν γὰρ εἴπωμεν τὴν χεῖρα ηὐξῆσθαι ἢ τὸ πρόσωπον, οὐ τὴν ὕλην τῆς χειρὸς εἴπομεν, ἀλλὰ τὸ εἶδος· ἡ γὰρ χεὶρ καὶ τὰ λοιπὰ τοῦ εἴδους μᾶλλόν εἰσι παραστατικὰ ἢ τῆς ὕλης. καὶ τὸ πρόσωπον λέγοντες ηὐξῆσθαι, οὐ μᾶλλον τὴν ῥῖνά φαμεν τοῦ ὀφθαλμοῦ, ἀλλ' ὁμοτίμως ἕκαστον τῶν μορίων τοῦ προσώπου αὔξεται. ἀλλὰ καὶ ἑκάστου μορίου ἰσοτίμως τὰ μόρια αὔξεται· ὁμοτίμως γὰρ ἡ πᾶσα ῥὶς αὔξεται. ὁμοίως καὶ τῆς χειρὸς ἕκαστος δάκτυλος, καὶ ἑκάστου δακτύλου σκυταλὶς ἑκάστη. 25 30 35 45

p. 321ᵇ32 Ὥστε ἔστι μὲν ὡς ὁτιοῦν τῆς σαρκὸς ηὔξηται, ἔστι δὲ ὡς οὔ.

Ἐπεὶ γὰρ ἡ σὰρξ διχῶς λέγεται καὶ κατὰ τὴν ὕλην καὶ κατὰ τὸ εἶδος, κατὰ μὲν τὴν ὕλην οὐχ ὁτιοῦν ηὔξηται τῆς σαρκός, κατὰ δὲ τὸ εἶδος ὁτιοῦν ηὔξηται.

p. 321ᵇ35 Μεῖζον μέντοι τὸ ὅλον γέγονε προσελθόντος μέν τινος, ὃ καλεῖται τροφὴ καὶ ἐναντίον. 39

Εἰπὼν περὶ τοῦ αὐξομένου τί ποτέ ἐστιν, ὅτι οὐχὶ ἡ ὕλη ἀλλὰ τὸ εἶδος, νῦν βούλεται εἰπεῖν καὶ περὶ τοῦ αὔξοντος τί ποτέ ἐστιν. ἀνάγκη

1 lemma om. hic a, qui pergit ὅτι δὲ τῶν αὐξομένων  δὲ post ἐπὶ collocant Aristotelis libri praeter E  3 αὐξανομένων Z  5 καὶ κατὰ τὸ εἶδος a  5. 6 καὶ μᾶλλον — ἀνομοιομερῆ om. mg. add. T²  6 τρανο$^{\text{τρ'}}$ Z  7 ἐνεργείας] διαφοράς Z  8 τεθνεότων et mox τεθνεότος GT  12 ἐπεὶ μὴ Za  τραναὶ αἱ Z  14 ὅτι ὁτιοῦν Z  ἰσοτόμως GT  15 αὐξῆσθαι a  ἢ πρόσωπον Z  16 εἴπομεν] λέγομεν a  19 αὔξεται induxerim  20 ἰσοτόμως T  22 lemma om. hic a  24 γὰρ] οὖν a  καὶ κατὰ τὸ εἶδος καὶ κατὰ τὴν ὕλην tr. Z  25 κατὰ μὲν] καὶ κατὰ μὲν GT: κατὰ μὲν οὖν Z  29 οὐχ Z

δὲ τοῦτο ἢ σῶμα εἶναι ἢ ἀσώματον. ὅτι μὲν οὖν ἀσώματον οὐκ ἔστιν 26v
ἀλλὰ σῶμα, ἤδη ἔδειξε· νῦν δὲ ζητεῖ ποῖον σῶμα, πότερον ὅμοιον τῷ
αὐξομένῳ ἢ ἀνόμοιον καὶ ἐναντίον. καί φησιν ὅτι κατά τι μὲν ὅμοιόν
ἐστι τῷ αὐξομένῳ τὸ αὖξον, κατά τι δὲ ἀνόμοιον καὶ ἐναντίον· δυνάμει
5 μὲν γὰρ ὅμοιον, ἐνεργείᾳ δὲ ἐναντίον. ἐπειδὴ γὰρ τὸ αὐξόμενον προσθήκῃ
τινὸς ὁμοίου αὔξεται (τὴν γὰρ σάρκα σαρκὶ δεῖ αὐξηθῆναι καὶ τὸ ὀστοῦν
ὀστῷ), διὰ τοῦτο ἀνάγκη ὅμοιον εἶναι τὸ αὖξον τῷ αὐξομένῳ· ἀλλ' 50
ἐπειδὴ πάλιν τὴν τροφὴν δεῖ παθεῖν ὑπὸ τρεφομένου καὶ αὐξομένου, πάσχει
δὲ οὐ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀλλὰ τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου, διὰ
10 τοῦτο πάλιν δεῖ τὸ τρέφον καὶ αὖξον ἐναντίον εἶναι τῷ τρεφομένῳ καὶ
αὐξομένῳ. ὥστε εἰ δεῖ παθεῖν τὸ αὖξον ὑπὸ τοῦ αὐξομένου καὶ οὕτω
μεταβάλλειν εἰς τὴν ἐκείνου οὐσίαν, ἀνάγκη δυνάμει μὲν ὅμοιον εἶναι,
ἐνεργείᾳ δὲ ἐναντίον. δυνάμει οὖν οὖσα ἡ τροφὴ ὁμοία τῷ τρεφομένῳ τε
καὶ αὐξομένῳ, προσκριθεῖσα αὐτῷ καὶ παθοῦσα ὑπ' αὐτοῦ, | ὅπερ ἦν 27r
15 δυνάμει (ἦν δὲ ὁμοία), τοῦτο ἐνεργείᾳ γενομένη καὶ ἐξομοιωθεῖσα τρέφει
τε καὶ αὔξει τὴν σάρκα καὶ τὸ ὀστοῦν καὶ τῶν ἄλλων ἕκαστον. μεταβάλλει
δὲ ἡ τροφὴ οὐκ αὐτὴ καθ' αὑτήν, οὐδὲ χωρὶς οὖσα τοῦ τρεφομένου καὶ
αὐξομένου. οὐ γὰρ σὰρξ προσελθοῦσα τῇ σαρκί, οὕτω τρέφει αὐτὴν καὶ
αὔξει. εἰ μὲν γὰρ πρὶν προσκριθῆναι τὴν τροφὴν τῷ τρεφομένῳ μετέβαλεν
20 εἰς τὴν ἐκείνου οὐσίαν, γένεσις μᾶλλον ἦν τὸ τοιοῦτον, οὐκ αὔξησις· ἀλλὰ 5
δεῖ τὴν τροφὴν πρότερον μιχθῆναι τῷ τρεφομένῳ, εἶτα παθοῦσαν ὑπ'
ἐκείνου μεταβαλεῖν εἰς τὴν αὐτοῦ οὐσίαν. ὥσπερ γὰρ εἰ τῷ καιομένῳ
πυρὶ ὑποθείημεν ξύλα, εἶτα παθόντα αὐξήσουσι τὴν φλόγα, τότε φαμὲν
αὔξησιν πυρὸς γεγενῆσθαι· εἰ δὲ ἔξωθεν ὑφάψωμεν τὸ ξύλον, εἶτα ἐπιθῶμεν
25 ἡμμένον τῇ ἑτέρᾳ φλογί, γένεσιν καὶ προσθήκην ἂν εἴποιμεν γεγενῆσθαι
πυρός, οὐκ αὔξησιν· οὕτω δὲ καὶ ἐπὶ τῶν αὐξομένων κυρίως ἔχει. εἰ μὲν
μεταβάλλουσα ἡ τροφὴ εἰς σάρκα οὕτω προσετίθετο τῇ σαρκί, γένεσις ἂν 10
ἦν σαρκὸς καὶ πρόσθεσις, οὐκ αὔξησις· νῦν δὲ οὐ τοῦτο γίνεται, ἀλλὰ
πρότερον προσκρίνεται ἡ τροφὴ τῷ ὑποκειμένῳ, εἶτα μεταβάλλει εἰς τὴν
30 ἐκείνου οὐσίαν ὑπὸ τῆς ἐν αὐτῷ φύσεως.

p. 322a4 Ἀπορήσειε δ' ἄν τις καὶ ποῖόν τι δεῖ εἶναι τὸ ᾧ αὐξάνεται.

Τὸν δέ ἀντὶ τοῦ γάρ ἀκουστέον· ὡς γὰρ ἤδη λελυκὼς τὴν ἀπορίαν, οὕτως ἐπήγαγε τοῦτο. εἰπὼν γὰρ ὅτι τὸ αὖξον πῇ μὲν ὅμοιόν ἐστι τῷ

1 ἢ alterum om. Z 5 γὰρ (post μὲν) om. Z 6 τὴν μὲν γὰρ GT 8 δεῖ τὴν τροφὴν Z ὑπὸ τοῦ τρεφομένου a 10 τὸ αὖξον καὶ τρέφον et mox τῷ αὐξομένῳ καὶ τρεφομένῳ a 12 μεταβαλεῖν R 13 οὖν] μὲν Z 14 προσκριθῆναι GT 15 τούτω R 19 τρεφομένω RZ: αὐξομένῳ GTa 20 ἦν μᾶλλον Z 23 αὐξήσουσι RZ: αὐξήσωσι GT: αὐξήσαιεν a 24 ὑπάψωμεν Z: ὑφάψαι μὲν (sic) a ἐπιθείημεν a 27 fort. μεταβαλοῦσα 31 lemma om. hic a, ubi ἐν δὲ τῷ ἀπορήσει ⟨sic⟩ δ' ἄν τις, ὁ δ̄ ἀντὶ τοῦ γᾱρ ἀκουστέος etc. καὶ om. Ar.; cf. p. 116,3 33 τὸν (τ') R: τὸ GTZ λέλυκε R 34 ποῖ Z

αὐξομένῳ πῇ δὲ ἀνόμοιον, δυνάμει μὲν ὅμοιον ἐνεργείᾳ δὲ ἀνόμοιον, καὶ 27r
τὸ ζητούμενον λύσας. οὕτως ἐπήγαγε τὴν ἀπορίαν. ὡσανεὶ ἔλεγε 'καὶ γὰρ 15
ἀπορήσειεν ἄν τις ποῖόν τι δεῖ εἶναι τὸ αὔξον, πότερον ὅμοιον τῷ αὐξομένῳ
ἢ ἀνόμοιον'. εἶτα ὡς ἐκ τῶν ἤδη εἰρημένων προεπιλελυκὼς τὴν ἀπορίαν,
5 ἐπήγαγεν φανερὸν δὴ ὅτι δυνάμει ἐκεῖνο, τουτέστι φανερὸν ἐκ τῶν
ἤδη εἰρημένων. εἰ δὲ δυνάμει ἐκεῖνό ἐστιν, εὔδηλον ὅτι ἐντελεχείᾳ ἄλλο
τι ἔσται, ἄλλο δὲ οὐ τὸ τυχόν· οὐ γὰρ πάσχει τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος,
ἀλλὰ τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου. ᾗ γὰρ μετέχει ἐναντίου τῷ ὑποκει-
μένῳ ἡ τροφή, ταύτῃ πάσχει ὑπ' αὐτοῦ. 20

10 p. 322a6 Φθαρὲν δὴ τοῦτο σὰρξ γέγονεν.

Τὸ γὰρ δυνάμει ὅμοιόν τινι, ἵνα γένηται ἐνεργείᾳ ὅμοιον, δεῖ φθαρῆναι
καὶ ἀποβαλεῖν μὲν ὃ πρότερον ἦν ἐνεργείᾳ, γενέσθαι δὲ τοῦτο ἐνεργείᾳ
ὅπερ ἦν τότε δυνάμει.

p. 322a7 Οὐκοῦν οὐ τοῦτο αὐτὸ καθ' αὑτό· γένεσις γὰρ ἂν ἦν,
15 οὐκ αὔξησις.

Εἰ δεῖ τὸ αὔξον φθαρὲν γενέσθαι τῷ αὐξομένῳ ὅμοιον, οὐ δεῖ
αὐτὸ καθ' αὑτὸ φθαρῆναι· γένεσις γὰρ τὸ τοιοῦτον, οὐκ αὔξησις. καὶ
ἅμα διὰ τούτων διαφορὰν γενέσεως ἡμῖν καὶ αὐξήσεως παραδίδωσιν, ὅτι
ἡ μὲν γένεσις αὐτῆς καθ' αὑτήν ἐστι μεταβολὴ τῆς ὕλης, ἡ δὲ αὔξησις
20 μεταβολή ἐστι τῆς ὕλης τοῦ αὐξομένου, οὐκ αὐτῆς καθ' αὑτὴν ἀλλ' ἐν τῷ 25
αὐξομένῳ μεταβαλλούσης.

p. 322a8 Ἀλλὰ τὸ αὐξόμενον τούτῳ.

Τουτέστιν 'ἀλλὰ τὸ αὐξόμενον τούτῳ μεταβάλλει'· ἐπὶ μὲν γὰρ τῆς
γενέσεως αὐτὴ καθ' αὑτὴν ἡ ὕλη μεταβάλλει ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἐπὶ
25 δὲ αὐξήσεως τὸ αὐξόμενον τῇ ὕλῃ προσκριθείσῃ μεταβάλλει. παθούσης δηλον-
ότι ὑπὸ τῆς φυσικῆς αὐτοῦ δυνάμεως καὶ γενομένης τοῦτο ὅπερ ἐκεῖνό ἐστιν.
ἅμα τε οὖν ἥ τε ὕλη παθοῦσα ὑπ' αὐτοῦ μεταβέβληκεν εἰς αὐτό, κἀκεῖνο ταύτῃ
μεταβέβληκεν εἰς μεῖζον μέγεθος. οὐκ ἄνευ οὖν γενέσεως οὐδὲ ἡ αὔξησις. ἀλλ' 30
ἐπειδὴ μὴ καθ' αὑτὴν ἡ ὕλη μεταβάλλει. ἀλλ' ἐν ἐκείνῳ γενομένη ἐξομοιοῦται

1 ποῖ Z 5 ἐκεῖνος T: om. a 7 ἄλλο δὲ] ἀλλ' οὐδὲ R 8 ὑπὸ τοῦ ἐναντίον Z ἐναντίου Za: ἐναντίον GRT 9. 11 αὐτοῦ. εἶτα φησιν, ὅτι τὸ δυνάμει a φθαρὲν RZ: φανερὸν GT 11 τινι—ὅμοιον om. Z 14 lemma om. hic a, ubi εἰ οὖν δεῖ etc. οὐ τοῦτο αὐτὸ RZ: οὐ GT: cf. Arist. ἂν om. R 17 καθ' ἑαυτὸ Z 18. 19 ὅτι—μεταβολὴ τῆς ὕλης om. add. mg. T² 22. 23 lemmate hic omisso pergit αὐτὸ οὖν φησι τὸ αὐξόμενον τούτῳ μεταβάλλει a 22 αὐξανόμενον Arist. 27 ἥ τε] ἡ a 28 μεῖζω GT

αὐτῷ, ἐπίδοσις μᾶλλον τοῦ εἴδους καὶ αὔξησις, οὐ γένεσις λέγεται· οὐ γὰρ 27r
τὸ μὴ ὂν γίνεται, ἀλλὰ τὸ ὂν εἰς μεῖζον ἐπιδίδωσι μέγεθος.

p. 322a8 Τί οὖν παθὸν ὑπὸ τούτου ηὐξήθη; ἢ μιχθέν, ὥσπερ εἰ οἴνῳ ἐπιχέοι τις ὕδωρ, ὁ δὲ δύναιτο οἶνον ποιεῖν τὸ μιχθέν. 31

Εἰπὼν περὶ τοῦ αὐξομένου τί ποτέ ἐστιν, ὁμοίως δὲ καὶ περὶ τοῦ αὐξοντος, λέγει καὶ τὸν τρόπον καθ' ὃν γίνεται ἡ αὔξησις. δεῖ γάρ, φησί, μιχθῆναι τὸ αὐξον καὶ τὸ αὐξόμενον. μιχθὲν γὰρ τὸ αὐξον τῷ αὐξομένῳ, καὶ μεταβαλὸν ὑπὸ τῆς ἐν τῷ αὐξομένῳ φυσικῆς δυνάμεως εἰς τὴν τοῦ αὐξομένου οὐσίαν, οὕτω ποιεῖ τὴν αὔξησιν, ὥσπερ ἂν εἴ τις εἰς πίθον οἴνου, δύναμιν ἔχοντος πᾶν τὸ ἐπιχεόμενον μεταβάλλειν εἰς αὐτὸν καὶ ἐξομοιοῦν, ἐπιχέῃ ὕδωρ· μιχθὲν γὰρ τὸ ὕδωρ καὶ μεταβαλὸν ὑπὸ τῆς τοῦ οἴνου δυνάμεως εἰς τὴν αὐτοῦ οὐσίαν, ηὔξησε τὸ τοῦ οἴνου ποσὸν καὶ εἰς μείζονα ὄγκον μετέβαλε. καὶ ὥσπερ τὸ πῦρ ἁψάμενον τοῦ καυστοῦ μετέβαλεν αὐτὸ εἰς τὴν ἑαυτοῦ οὐσίαν καὶ ταύτῃ μεῖζον ὑπ' ἐκείνου γέγονεν, οὕτω δὴ καὶ ἐπὶ τῶν αὐξομένων ἔχει. ἅμα δὲ διὰ τούτων καὶ τὸ ποιητικὸν τῆς αὐξήσεως αἴτιον παραδέδωκεν, λέγω δὴ τὴν θρεπτικήν τε καὶ αὐξητικὴν τῆς ψυχῆς δύναμιν. δῆλον δὲ ὅτι οὐκ ἐπειδὴ πᾶν ὁτιοῦν μόριον αὔξεται τοῦ αὐξομένου, δεῖ καὶ τὸ αὐξον παντὶ μιχθὲν διελθεῖν (ἢ γὰρ κενὸν ἔσται τὸ ὅλον, ἢ σῶμα διὰ σώματος χωρήσει), ἀλλ' ἱκανὸν κατά τινα μόρια τῆς προσκρίσεως γενομένης κατὰ πᾶν τὴν αὔξησιν γενέσθαι, ὥσπερ καὶ τὸ κενούμενον πάντῃ ῥυτιδούμενον ὁρᾶται καίτοι κενουμένων τῶν πλησίον μορίων οὐχ ἅμα πάντων, ὥσπερ ἐπὶ τῶν φλεβοτομουμένων ἔχει διὰ τὸ συνεφέλκεσθαι τῷ κενουμένῳ μορίῳ τὸ τοῦ ὅλου σώματος αἷμα. οὕτω δήπου καὶ ἐπὶ τῶν αὐξομένων κατά τινα μόρια τῆς προσκρίσεως γινομένης ἡ πρόσθεσις πάντῃ γίνεται τοῦ προσγινομένου ἀεὶ τὸ πρὸ αὐτοῦ προωθοῦντος, οὐ διαδυομένου δι' αὐτοῦ, ὡς ἐπὶ τοῦ σωλῆνος ἔχει τοῦ τῷ πλείονι ὕδατι συνεκτεινομένου· ἐν παντὶ γὰρ τῷ σώματι συγκατέσπαρταί τις ὑγρότης θρεπτικὴ τοῦ ὑποκειμένου καὶ πεφυκυῖα μεταβάλλειν εἰς τὴν ἐκείνου οὐσίαν. τῆς οὖν τροφῆς ὑγρᾶς οὔσης καὶ μιγνυμένης τῇ προϋπο- 27v
κειμένῃ ἐν τῷ σώματι ὑγρότητι συμβαίνει κατὰ ἀναλογίαν πάντῃ αὐτὴν ἐπιδιδόναι, οὐ διιούσης ἐκείνης πάντῃ, ἀλλὰ προωθούσης τὴν πρὸ αὐτῆς, κἀκείνης πάλιν τὴν πρὸ αὐτῆς. καὶ οὕτω τῆς ὅλης πλείονος γινομένης πανταχοῦ εἰς μείζονα ὄγκον τὸ εἶδος ἐπιδίδωσιν· ἑκάστῳ γὰρ τῶν μορίων

---

2 εἰς μεῖζον om. Z 3 παθὼν Ra 4 εἰ οἴνω RZ: οἴνῳ GTa ἐπιχέοι τις scripsi: ἐπιχέει τις R: ἐπήχθη τι Z: ἐπιχέη τις GT: εἴ τις ἐπιχέοι a δύναται Z; ceterum cf. Ar. 5 εἴπωμεν R 7 τῷ] τὸ T 8 μεταβαλὼν Z¹: μεταβαλλὸν T¹; sim. 11 μεταβαλλὸν et 13 μετέβαλλε GT¹ 10 οἴνου, δύναμιν RZ: οἶνον GTa ἔχοντα libri μεταβάλλειν ⟨δυνάμενον⟩ a αὐτὸν a: αὐτὸν cett. 11 ἐπιχέει R 13. 14 τοῦ καυστοῦ κατέβαλεν GT¹ 16 αἴτιον τῆς αὐξήσεως Z 20 προκρίσεως et 25 πρόθεσις R 21 κενόμενον Z 22 ὥσπερ καὶ ἐπὶ GTa 25 γενομένης Z 26 οὐ διὰ δύο μὲν οὐ δι' R 31 πάντϊ et τὰ (pro τὴν) R 32 κἀκείνης—αὐτῆς om. R οὕτως T

μετ' οἰκείου σχήματος ὑπάρχει τὸ εἶναι, ὅπερ πανταχοῦ τῆς ὕλης πλεονα- 27v
ζούσης εἰς μείζονα ἐπιδίδωσιν ὄγκον. ὡς γὰρ ἐξ ἀρχῆς μετὰ τοῦ οἰκείου
σχήματος ἕκαστον τῶν μορίων ὑπεστήσατο ἡ φύσις, οὕτω μετὰ τούτου καὶ 6
αὐτῶν πρόνοιαν καὶ φυλακὴν ποιεῖται. ὅτι μὲν οὖν τὸ εἶδος τὸ κατὰ τὸ
5 σχῆμα κατὰ πᾶν ὁτιοῦν μόριον ἰσοτίμως ποιεῖται τὴν τροφὴν καὶ τὴν
αὔξησιν, τροφῆς μὲν οὔσης τῆς τοῦ εἴδους διαμονῆς, αὐξήσεως δὲ τῆς εἰς
μεῖζον ποσὸν ἐπιδόσεως, οὕτως ἂν προβαίνων ὁ λόγος εὐοδοίη. ἐπὶ δὲ τοῦ
οὐσιώδους εἴδους, οἷον τοῦ τῆς σαρκὸς ὡς σαρκὸς ἢ τοῦ ὀστοῦ ⟨ὡς ὀστοῦ⟩,
πῶς ἂν σωθείη τὸ τρέφεσθαι τὰ εἴδη ταῦτα ἢ τὸ αὔξεσθαι; εἰ γὰρ πᾶν μὲν 10
10 ὁτιοῦν τῆς σαρκὸς μόριον εἰδοποιεῖται, τὸ δὲ τρεφόμενον καὶ αὐξόμενον
σώματι τρέφεταί τε καὶ αὔξεται, πῶς ἂν σωθείη τὸ ὅλην δι' ὅλης τρέφε-
σθαι τὴν σάρκα; εἰ γὰρ δεῖ τρεφομένῳ προσκρίνεσθαι τὸ τρέφον, τὰ μόρια
ἄρα οἷς μὴ προσκριθῇ οὐ τραφήσονται. ἀδύνατον δὲ παντὶ προσκριθῆναι.
οὐδὲ πᾶν ἄρα μόριον τραφήσεταί τε καὶ αὐξηθήσεται. πῶς δ' ἂν πᾶν
15 ὁτιοῦν μόριον τοῦ τῆς σαρκὸς εἴδους αὐξηθήσεται; ὅλον μὲν γὰρ ὡς ὅλον 15
οὐκέτι. οὐδὲ γὰρ παντὶ μορίῳ τῆς σαρκὸς ἡ προσθήκη μείζων γέγονεν,
ἕκαστον μέντοι μόριον τῆς ὕλης γέγονεν· ἐν ᾧ δὲ προσθήκη μὴ γέγονεν
ὕλης, οὐδὲ μεταβολὴ εἰς τὸ ὅμοιον. ὥστε οὐδὲ εἰς μείζονα ὄγκον ἐπίδοσις.

Μήποτε δὲ οὐδ' ὅλως τρέφεσθαι οὐδ' αὔξεσθαι τοιοῦτον εἶδος ⟨δεῖ⟩
20 λέγειν, ἀλλὰ μόνον πλεῖον γεγονέναι. εἰ γὰρ τρέφεται μὲν καὶ αὔξεται
σώματι μεταβάλλοντος αὐτοῦ εἰς τὴν ἐκείνου οὐσίαν, σῶμα δὲ διὰ σώματος
χωρῆσαι ἀδύνατον, ἄλλο ἔσται δήπου τὸ γινόμενον ὅμοιον αὐτῷ καὶ συμ- 20
φυόμενον, οὐ μέντοι τὸ προϋπάρχον προσέλαβέ τι παρὰ τοῦ ἐπεισελθόντος,
οὔτε εἶδός τι οὔτε μέγεθος. καὶ εἰ ἕκαστον τῶν τῆς σαρκὸς μορίων ἐξ
25 ὕλης ἐστὶ καὶ εἴδους, τοῦ εἴδους ἐν τῇ ὕλῃ τὸ εἶναι ἔχοντος, εὔδηλον δή-
που ὅτι τῆς ὕλης ἀπορρεούσης τῆς σαρκὸς συναπέρχεται καὶ τὸ εἶδος τὸ ἐν
ἐκείνῃ τὸ εἶναι ἔχον· οὐ γὰρ δὴ τῆς ὕλης χωρισθείσης ἐναπομένει τὸ
ἄτομον εἶδος, ὅπερ ἐν ἐκείνῃ ὑφειστήκει. εἰ δὲ συναπέρχεται τῇ ὕλῃ τὸ
εἶδος, καὶ ἕκαστον τῶν τῆς σαρκὸς μορίων καὶ τῶν λοιπῶν τοιοῦτόν ἐστι, 25
30 τὸ μὴ μένον ἄρα οὔτε τρέφοιτο ἂν οὔτε αὔξοιτο, τῷ δὲ μένοντι προσε-
τέθη τὸ γενόμενον, εἰ μή τις κατὰ ποιότητα τρέφεσθαι λέγοι τὴν
σάρκα καὶ τὰ λοιπά, τῆς τροφῆς τῇ παραθέσει δρώσης κατὰ τὰς ποι-
ότητας καὶ ὑγραινούσης καὶ θερμαινούσης τὰ παρακείμενα σώματα. ἀλλὰ
ταύτῃ θρέψις μὲν σῴζοιτο ἂν σαρκὸς καὶ τῶν λοιπῶν, αὔξησις δὲ

3 τούτου] τοῦτο a 4 ὅτι εἰ μὲν GT 4. 5 τὸ κατὰ σχῆμα T 5 ἰσοτόμως GT 7 ἐπὶ scripsi: περὶ libri 8 ἢ R: ἡ ⟨GTZ⟩a ὡς ὀστοῦ addidi 11 ὅλην Za: ὅλον GRT 12 δεῖ] δὴ GT τὸ τρέφον, τὰ μόρια RZ: τὸ τρέφοντα μόρια T: τὰ τρέφοντα μόρια (G)a 16 οὐκέτι — προσθήκη ponit post μέντοι μόριον (v. 17) R προσθήκης a μεῖζον R 18 μεταβλὴ a 19 τρέφεσθαι καὶ αὔξεσθαι Z τὸ τοιοῦτον a δεῖ addidit a: λέγειν χρὴ Z 21 αὐτοῦ om. Z 22 ἄλλο δήπου ἐστὶ Z: ἄρα pro ἔσται solito errore R ὅμοιον om. Z 26 συναπέρχεται R: συνείχεται G: συνέρχεται ex corr. T²: συνέχεται (Z)a 29 εἶδος τὲ καὶ GT 30 τὸ μὴ νέμον ἄρα G: τὸ μὴ ον' οὔτε μ/ γὰρ μέγεθος||||| τρέφοιτο etc. T² in eras. 31 λέγει et 34 ἂν σώζοιτο Z

οὐκέτι. τὸ γὰρ ποιότητι μόνῃ ὑγραῖνον ἢ θερμαῖνον οὐ μεῖζον ποιεῖ 27ᵛ
κατὰ μέγεθος τὸ πάσχον ὑπ' αὐτοῦ, ἀλλὰ κατὰ ποιότητα μόνον ἀλλοιοῖ 30
αὐτό. ὥστε οὐκ ἂν σῴζοιτο ἐπὶ τοῦ οὐσιώδους τὸ πᾶν ὁτιοῦν μόριον
ηὐξῆσθαι λέγειν. τὸ μὲν γὰρ ὅλον μεῖζον γέγονεν, πᾶν δὲ μόριον οὐκέτι·
5 οὐδὲ γὰρ παντὶ προσθήκη γέγονε καὶ μεταβολή, μᾶλλον δὲ ἐν οὐδενί, ἀλλὰ
παράθεσις μόνον καὶ ἕνωσις, ὥσπερ εἰ ὕδωρ ὕδατι ἑνωθείη. μήποτε οὖν
τὸ λέγειν πᾶν μόριον μεῖζον γίνεσθαι καὶ τρέφεσθαι οὐκ ἀληθές ἐστιν οὕτω
λεγόμενον, ὡς αὐτοῦ καθ' αὑτὸ παντὸς ἐλαχίστου μορίου τρεφομένου καὶ ἐπι-
διδόντος· ἀλλ' ὥσπερ οὐ παντὶ μορίῳ πρόσθεσις γίνεται τροφῆς, διὰ δὲ τὴν 35
10 τοῦ ὅλου συνέχειαν ὅλως προστίθεσθαι λέγεται, καὶ οὕτω τοῦ ὅλου μείζονος
γενομένου διὰ τὸ ὅλον εἶναι τὸ ἐκ πάντων συγκείμενον τῶν μερῶν εἰκότως
καὶ μέρος ἕκαστον τῇ ὁλότητι συνεπεκτείνεσθαι λέγεται, οὕτω καὶ τοῦ
ὅλου τρεφομένου καὶ τὴν ἑαυτοῦ σῴζοντος ἰδέαν [καὶ ὅτι] καὶ μόριον τῆς
σαρκὸς καὶ τῶν λοιπῶν τρέφεσθαι λέγεται συμφυλασσόμενον τῷ ὅλῳ.

15 p. 322ᵃ16 Ποσὸν δὲ τὸ μὲν καθόλου οὐ γίνεται, ὥσπερ οὐδὲ 40
ζῷον ὃ μήτ' ἄνθρωπος μήτε τι τῶν καθ' ἕκαστα.

Ἐπειδὴ ἡ αὔξησις ποσοῦ ἐστι γένεσις, εἶπε δὲ τὴν αὔξησιν σώματι
γίνεσθαι καὶ οὐκ ἀσωμάτῳ, ἵνα μή τις εἴποι ὅτι εἰ πᾶν τὸ γινόμενον ἐξ
οὐ τοιοῦδε γίνεται, ἔδει καὶ τὸ ποσὸν ἐκ μὴ ποσοῦ γίνεσθαι, νῦν δὲ συμ-
20 βαίνει ποσὸν ἐκ ποσοῦ γίνεσθαι (ἡ γὰρ ὕλη τοῦ αὐξομένου ἐνεργείᾳ ἐστὶ 45
ποσή), φησὶν οὖν πρὸς τοῦτο ὅτι εἰ μὲν ἦν τῶν καθόλου γένεσις, ἔδει
τῷ ὄντι τὸ γινόμενον ποσόν τι ἐκ μὴ ποσοῦ γεγονέναι, ἐπειδὴ δὲ οὔτε
ποσοῦ καθόλου γένεσίς ἐστιν οὔτε ἄλλου τινὸς τῶν καθόλου, οὐδὲν ἄτοπον
τὸ γινόμενον ποσὸν ἐκ ποσοῦ γεγονέναι. τὶ γὰρ ποσὸν ἐκ τινὸς ποσοῦ
25 γίνεται, ὥσπερ καὶ τὶ ζῷον ἐκ τινὸς ζῴου· οὐδενὶ γὰρ τῶν καθόλου τὸ
εἶναι καθ' αὑτό, ἀλλ' ἐν τοῖς καθ' ἕκαστα τὸ εἶναι ἔχουσι. τὸ οὖν γινόμενον
ποσὸν τὶ ποσόν ἐστιν, οἷον σὰρξ ποσὴ ἢ ὁστοῦν ποσόν. οὐδὲν οὖν θαυμαστὸν 50
ποσὴν σάρκα ἐκ ποσοῦ αἵματος γενέσθαι καὶ ἄλλου ἄλλο. καὶ ὅτι μὲν
τῶν καθόλου οὐδὲν γίνεται, ἐπειδὴ μηδὲ ὑφέστηκέ τι καθ' αὑτὸ τῶν
30 καθόλου, πρόδηλον· νῦν δὲ οὐ διὰ τοῦτο ἐκ μὴ ποσοῦ ποσὸν οὐ γίνεται. καὶ
γὰρ τοῦ καθόλου ἀνθρώπου μὴ γινομένου καὶ τοῦ καθόλου ζῴου, ὅμως
γοῦν ἐξ οὐκ ἀνθρώπου γίνεται ἄνθρωπος καὶ ἐξ οὐ ζῴου ζῷον· οὐ ζῷον
γὰρ τὸ σπέρμα οὐδὲ ἄνθρωπος. καὶ οὐ δήπου ἐκ τινὸς μὲν οὐκ ἀνθρώπου

---

2 ἀλλὰ κατὰ] ἀλλ' ἡ (ἢ T) μετὰ GT 5 μᾶλλον] μένον ὂν G: μ̄ (h. e. μὲν) ὂν T
6 εἰ om. Za ὕδωρ φέροντι ἑνωθείη T ὕδατι ὕδωρ Z (β α) 7 τὸ] τῷ] GT
8 αὐτοῦ] αὐτοῦ παντὸς ἐλαχίστου R¹ 9 πρόθεσις et 10 προτίθεσθαι T¹
10 ὅλως] ὅλω R 13 σώζοντας Z καὶ ὅτι καὶ] καὶ τὸ a, qui mox συμφυλασσομένου τοῦ ὅλου: equidem delevi καὶ ὅτι et codicum τὸ ὅλον mutavi in τῷ ὅλῳ
16 μήτε ἄνθρωπος R τι om. a (at cf. Aristotelis cod. H) 18 ἀσωμάτων a
εἴπη a 20 ἐνέργεια R 21 φησὶν οὖν] φησὶ a 23 οὐδὲ ἄτοπον T¹ 29. 30 τι τῶν καθόλου καθ' αὐτὸ Z 32 ἐξ (post γοῦν) om. GT

τινὸς δὲ ἀνθρώπου, ἀλλ' ἁπλῶς ἐξ οὐκ ἀνθρώπου καὶ ἁπλῶς | ἐξ οὐ 28r
ζῴου. οὐχ οὕτω δὲ καὶ ἐπὶ τοῦ ποσοῦ ἔχει· οὐ γὰρ ἐξ ἁπλῶς μὴ ποσοῦ
ποσὸν γίνεται, ἀλλ' ἐκ τινὸς ποσοῦ τὶ ποσόν. ὥστε ἔχει διαφορότητα πρὸς
τὰ λοιπά. τὸ μὲν γὰρ σπέρμα μὴ ὂν ζῷον γίνεται ζῷον, καὶ μὴ ὂν
5 ἄνθρωπος γίνεται ἄνθρωπος, οὐ μέντοι μὴ ὂν ποσόν τι γίνεται ποσόν,
ἀλλὰ πάντως τὶ ποσὸν ὂν ἄλλο γίνεται ποσόν. τούτου δὲ αἴτιον τὸ τὸ μὲν
ζῷον ὡς ζῷον μὴ εἶναι ἀμετάβλητον μηδὲ τῶν ἄλλων τῶν τοιούτων 5
μηδέν, τὸ μέντοι ποσὸν ἀμετάβλητον εἶναι, ἐπεὶ καὶ τὸ σῶμα ὡς σῶμα
ἀμετάβλητόν ἐστιν· οὐδὲ γὰρ ὡς σῶμα μεταβάλλει, ἀλλ' ὡς ἀὴρ ἢ πῦρ
10 ἢ ἄλλο τι τῶν τοιούτων. τούτου δὲ πάλιν αἴτιον, ὅτι ὡς ὕλη προσεχεστέρα
ὑπέστρωται τοῖς εἴδεσι πᾶσι τὸ τριχῇ διαστατόν.

p. 322a19 Σὰρξ δὲ ἢ χεὶρ ἢ ὀστοῦν καὶ τούτων τὰ ὁμοιομερῆ. προσελθόντος δή τινος ποσοῦ, ἀλλ' οὐ σαρκὸς ποσῆς.

Τουτέστι σὰρξ ποσὴ γίνεται καὶ ὀστοῦν ποσόν, οὐχ ἁπλῶς δὲ ποσόν.
15 γίνεται δὲ ποσὴ σὰρξ τινὸς ποσοῦ προσελθόντος ὅπερ δυνάμει ἐστὶ σάρξ,
οὐ μέντοι σαρκὸς ποσῆς· οὐ γὰρ ἔξωθεν σὰρξ γίνεται εἶτα προσκρίνεται, 10
ἀλλὰ προσκριθὲν πρότερον οὕτω γίνεται σάρξ.

p. 322a20 Ἧι μὲν οὖν δυνάμει τὸ συναμφότερον, οἷον ποσὴ σάρξ, ταύτῃ μὲν αὔξει· καὶ γὰρ ποσὴν δεῖ γίνεσθαι καὶ σάρκα·
20 ᾗ δὲ μόνη σάρξ, τρέφει ταύτῃ.

Εἰπὼν πῶς αὔξησις γίνεται καὶ τί ἐστι τὸ αὐξόμενον καὶ τίνι αὔξεται, 17
νῦν διαφορὰν τροφῆς καὶ αὐξήσεως βούλεται παραδοῦναι καὶ τί δήποτε
τρεφόμεθα μὲν ἀεὶ ἔστ' ἂν ὦμεν κἂν φθίνωμεν, αὐξόμεθα δὲ οὐκ ἀεί.
φησὶν οὖν ὅτι ἡ προσιοῦσα τροφή, εἴτε ἄρτος εἴη εἴτε κρέας εἴτε ἄλλο
25 ὁτιοῦν, ἔστι μὲν καὶ δυνάμει τοῦτο ᾧ πρόσεισιν, οἷον εἰ τύχοι σάρξ, ἔχει 20
δὲ καὶ ποσόν τι. ἔστιν οὖν καὶ δυνάμει σὰρξ καὶ δυνάμει ποσὴ σάρξ.
οὖσα οὖν ἄμφω δυνάμει, ὅταν μεταβάλῃ εἰς τὸ ἐνεργείᾳ, καθὸ μὲν
σὰρξ ἐνεργήσει, τότε ἔθρεψε μόνον, ηὔξησε δὲ οὔ. ἔστι γὰρ τροφὴ ἡ
τοῦ εἴδους φυλακή, αὔξησις δὲ ἡ τούτου εἰς μεῖζον μέγεθος ἐπίδοσις.
30 ὥστε ἡ τροφὴ καὶ ἡ αὔξησις τῷ μὲν ὑποκειμένῳ τὸ αὐτό (ἓν γάρ ἐστι
τῷ ὑποκειμένῳ τὸ τρέφον τε καὶ αὐξον), τῷ δὲ λόγῳ διάφορον· ἄλλο γάρ
ἐστιν αὐτῷ τὸ δυνάμει σαρκὶ εἶναι ἢ ὀστῷ, καὶ ἄλλο τὸ τοσῷδε εἶναι.

---

3 διαφερότητα R: διαφορὰν Z 5 τι om. T¹ 6 τὸ τὸ] τὸ τὸν R: τὸ a
8 ἀμετάβλητόν ἐστιν Z 9 οὐδὲν γὰρ R 10. 11 προσεπροσεχεστέρα ὑπέστρωται R
11. 14 διαστατὸν, δι' ὅ φησι σὰρξ ποσὴ γίνεται omisso hic lemmate a 12 ἢ ὀστοῦν ἢ χεὶρ et mox μὲν δή Aristot. 15 ποσοῦ τινὸς Z 17 ἀλλὰ] καὶ a 19 γενέσθαι Ra; cf. Ar. 20 μόνον a Ar. τρέφει· ταύτῃ γὰρ διαφέρει etc. a 23 κἂν RZ: καὶ GTa 25 δυνάμει μέν ἐστι Z 27 μεταβάλῃ R: μεταβλ' Z: μεταβάλλῃ GTa
28 ἐνεργήσασα a 32. p. 121,2 τοσῶδε εἶναι. τροφὴν δὲ καὶ om. hic lemm. a

p. 322a23 Καὶ γὰρ διαφέρει τροφὴ καὶ αὔξησις τῷ λόγῳ. 28r

Τροφὴν καὶ αὔξησιν λέγει τὸ θρεπτικόν τε καὶ αὐξητικόν. τοῦτο οὖν ἓν ὂν τῷ ὑποκειμένῳ ἄμφω τὰς δυνάμεις ἔχει, καὶ ὅταν μὲν κατ' ἀμφοτέρας ἐνεργῇ, καὶ τρέφει καὶ αὔξει, ὅταν δὲ κατὰ θατέραν, τρέφει μόνον αὔξει δὲ οὔ. διό, φησί, τρέφεται μὲν ἔστ' ἂν ᾖ καὶ ὅταν φθίνῃ, αὔξεται δὲ οὐκ ἀεί, διότι τότε ὡς μὲν δυνάμει σὰρξ ἐνεργεῖ ἡ τροφή, ὡς δὲ ποσὴ οὐκέτι· ὅταν γὰρ πλεῖον ᾖ τὸ ἀπορρέον τοῦ ἐπεισιόντος, οὐκέτι κατὰ τὸ ποσὸν ἐνεργεῖ. οὐ τοῦτο δέ φημι ὅτι οὐ προστίθησί τι κατὰ ποσὸν ἀεὶ ἡ τροφὴ τῷ τρεφομένῳ (οὐ γὰρ ποιότητι τρέφει ἀλλ' οὐσίᾳ· ὥστε ἀεὶ ποσόν τι δίδωσιν ἡ τροφὴ τῷ τρεφομένῳ μετὰ τοῦ εἴδους), ἀλλὰ τοῦτό φησι τὸ μὴ ἐνεργεῖν κατὰ ποσόν, τὸ μὴ δύνασθαι τῷ ὅλῳ μεγέθει προσθήκην τινὰ ποιῆσαι πολλῆς οὔσης τῆς ἀπορροῆς ἢ καὶ ἴσης. ὅταν μὲν γὰρ ἴσον ᾖ τὸ ἀπορρέον τῷ ἐπεισιόντι, τροφὴ μόνον γίνεται, οὔτε δὲ αὔξησις οὔτε μείωσις· ὅταν δὲ πλεῖον εἴσεισι τοῦ ἐξιόντος, τροφὴ καὶ αὔξησις· ὅταν δὲ ἔλαττον, τροφὴ καὶ μείωσις. καὶ γὰρ μειουμένου τοῦ ποσοῦ τὸ εἶδος φυλάττεται, ἐπεὶ μὴ ἔστιν ἐν τῷ τοσῷδε εἶναι τὸ τῆς σαρκὸς εἶδος, ἀλλ' ἐν τῷ τοιῷδε.

p. 322a25 Καὶ ἡ τροφὴ τῇ αὐξήσει τὸ αὐτὸ μέν, τὸ δὲ εἶναι ἄλλο.

Ἓν γὰρ οὖσα κατὰ τὸ ὑποκείμενον ἔχει τι καὶ εἶδος, ἔχει δὲ καὶ ποσόν· ἔστι γὰρ δυνάμει σάρξ. ᾗ μὲν οὖν δυνάμει σάρξ ἐστι, ταύτῃ τρέφει· ᾗ δέ ἐστι ποσή, ταύτῃ αὔξει.

p. 322a26 Ἧι μὲν γάρ ἐστι τὸ προσιὸν δυνάμει ποσὴ σάρξ.

Οὐ τοῦτό φησιν ὅτι ποσὸν δυνάμει ἔχει, ἀλλ' ὅτι ὡς ποσὴ σὰρξ τὸ ὅλον τοῦτο δυνάμει ἐστί.

p. 322a28 Τοῦτο δὲ τὸ εἶδος ἄνευ ὕλης οἷον ἄυλός τις δύναμις ἐν ὕλῃ ἐστίν.

Ἐπειδὴ τὴν τροφήν, ὅταν τρέφῃ μόνον αὔξῃ δὲ μή, κατὰ μόνον

---

1 καὶ γὰρ] cf. supra p. 120,20 et Ar. codd. 4. 5 τρέφῃ et αὔξῃ utrobique R 6 αὔξει δὲ οὐκ ἀεί, διότι τὸ τέως μὲν Z 7 πλέον ἢ τὸ ἐπιρρέον τοῦ ἐπισιόντος Z 8 φησιν a ὅτι οὐδὲ Z 9 τὸ ποσὸν Za 9. 10 οὐ γὰρ — τρεφομένῳ om. GTa 11 ποσόν, τὸ] ποσὸν τῶ GT: ποσὸν γίνεται, τῷ a 13 ᾗ] εἴη GTa μόνον] μὲν a 14. 15 ὅταν δὲ πλεῖον — μείωσις om. Z 14 ὅταν δὲ RT: ὅτε δὲ (G)a 18 lemma om. a, qui pergit ἓν οὖν οὖσα 19 ἡ σὰρξ addit ante ἔχει a 21 τρέφῃ et αὔξῃ Z 22 lemma om. hic a, qui pergit οὐ τοῦτο οὖν φησιν 23. 25 δυνάμει ἔχει — ἄυλός τις om. Z 23 δυνάμει Ra: δύναμιν GT 25 ὕλης. ὥσθ' οἷον a 27 τρέφει T[1] αὔξει GT

τὸ εἶδος ἐνεργεῖν ἔφη, κατὰ ποσὸν δὲ οὐκέτι, ἐν ᾧ καὶ τὸ εἶναι 28ʳ
ἔχει (τὸ γὰρ μέγεθος ὑπέστρωται ὡς ὕλη τοῖς εἴδεσιν), ἵνα μὴ ὑπο- 40
νοήσῃς ὅτι τῷ ὄντι χωριζόμενον τῆς ὕλης οὕτως ἐνεργεῖ, ὅπερ ἀδύνα-
τον, αὐτὸ τοῦτο διαρθροῖ, ὅτι τῷ ἰδίῳ λόγῳ ἄυλος οὖσα δύναμις ἐν ὕλῃ
5 τὸ εἶναι ἔχει. μεθ' ὕλης οὖν ὑπάρχον οὐκ ἐνεργεῖ κατὰ τὴν ὕλην, ὅταν
τρέφῃ μὲν αὔξῃ δὲ μή. ἤ, ὡς ὁ Ἀλέξανδρός φησι, τὸ τοῦτο δὲ τὸ
εἶδος ἄνευ ὕλης ἴσον ἐστὶ τῷ 'ἡ τροφή, ὅταν τρέφῃ μέν, μὴ αὔξῃ δέ,
τὸ εἶδος τηρεῖ ἄνευ προσθήκης ὑλικῆς'.

p. 322ᵃ29 Ἐὰν δέ τις προσίῃ ὕλη.

10 Ἐνταῦθα ὑποστικτέον.

p. 322ᵃ29 Οὖσα δυνάμει ἄυλος, ἔχουσα καὶ τὸ ποσὸν δυνάμει, οὗτοι ἔσονται μείζους ἄυλοι.

Πάλιν πότε τὸ προσιὸν αὔξει φησί. λέγει οὖν ὅτι ἐὰν ὕλη τις 45
προσίῃ, τουτέστι τροφή τις δυνάμει ἄυλος ὑπάρχουσα, τουτέστι δυνάμει
15 ἔχουσα τὸ τῆς σαρκὸς εἶδος ἢ τὸ τοῦ ὀστοῦ ἢ ἁπλῶς τοῦ τρεφομένου,
ἔχουσα δὲ καὶ τὸ ποσὸν δυνάμει, τουτέστι δυναμένη προσθεῖναί τι κατὰ
τὸ ποσὸν τῷ τρεφομένῳ, τὸ τηνικαῦτα οἷς πρόσεισιν ἡ τοιαύτη ὕλη μεί-
ζους ἄυλοι ἔσονται, τουτέστιν αὔξονται κατὰ τὸ εἶδος καὶ εἰς μεῖζον ἐπι-
διδόασι μέγεθος, ὅπερ ἐστὶ καὶ τρέφονται ἅμα καὶ αὔξονται. ἀντὶ γὰρ
20 τοῦ εἰπεῖν ὅτι μείζους ἔσονται κατὰ τὸ εἶδος (τοῦτο γάρ ἐστι τὸ αὐξό- 50
μενον), εἶπεν ὅτι ἔσονται μείζους ἄυλοι. δυνάμει δὲ τὸ ποσὸν εἶπεν
ἀντὶ τοῦ τὸ τηλικοῦτον καὶ αὐξητικὸν δυνάμει· πάντως μὲν γὰρ ἡ προσι-
οῦσα τροφὴ ποσή ἐστιν ἐνεργείᾳ, ὡς ἔδειξεν, οὐ πάντως δὲ τοσαύτη ὡς
ἔχειν τὸ αὐξητικόν.

25 p. 322ᵃ31 Ἐὰν δὲ μηκέτι ποιεῖν δύνηται, ἀλλ' οἷον οἴνῳ ὕδωρ ἀεὶ πλέον μιγνύμενον τέλος ὑδαρῆ ποιεῖ καὶ ὕδωρ, τότε φθίσιν ποιήσει τοῦ ποσοῦ, τὸ δ' εἶδος μένει. |

Εἰπὼν τί ἐστιν αὔξησις, λέγει οὖν καὶ τί ἐστι φθίσις. φησὶν οὖν 28ᵛ
ὅτι ὅταν ἡ εἰσιοῦσα τροφὴ πλεονεκτοίη τὴν αὐξητικὴν δυνάμιν, ἡ δὲ μει-

---

2 ἵνα δὲ μὴ a 4 αὐτῶ GT ἀΰλως Z 5 ὑπάρχων Z 6 αὔξει GT ὁ om. Z 7 αὔξει T¹ 8. 13 ὑλικῆς. ἐν δὲ τῷ, ἐὰν δέ τις προσίῃ ὕλη, ὑποστικτέον. βούλεται δὲ καὶ διὰ τούτων δηλῶσαι, ποῦ ποτὲ τὸ προσιὸν αὔξει λέγει οὖν ὅτι a 13 πότε RZ: πώποτε GT αὔξῃ Z 16 δυναμένη scripsi: δυνάμει libri, praeter a qui δυναμένην προσθῆναί GZ 17 τῶ (ante τηνικαῦτα) ex corr. T² 20 κατ' εἶδος Z 22 ἀντὶ τοῦ — γὰρ ἡ om. Z τὸ] τοῦτο R 25 ὕδωρ οἴνῳ a; at cf. Ar. codd. EL 26 πλεῖον a et Aristotelis libri ὑδαρεῖ a 27 ποιήσει (cf. Ar. cod. H) RZ: ποιεῖ GT: ποιεῖται a 28 prius οὖν om. Za 29 πλεονεκτοίη RZ: πλεονεκτικὴ GT: πλεονεκτῆ a

οἷτο κατισχυομένη ὑπὸ τῆς προσιούσης ὕλης, ὡς ἐπὶ τῶν ἀπεπτούντων, 28v
τότε μείωσις ἔσται τοῦ ποσοῦ τῷ τὴν μὲν ὕλην φύσει ῥεῖν, τὴν δὲ προσιοῦσαν τροφὴν μὴ ἴσον τοῦ ἀπορρέοντος προστιθέναι διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, ἐπικρατεστέρας γινομένης τῆς τροφῆς ἢ ὥστε παθεῖν ὅσον 5
5 δεῖ ὑπὸ τῆς δυνάμεως τῆς ἀλλοιωτικῆς τε καὶ ἐξομοιωτικῆς τοῖς ὑποκειμένοις. διὸ θρέψις μὲν γίνεται (διαμένει γὰρ τὸ εἶδος), τῷ δὲ πλεῖον εἶναι τὸ ἀπορρέον τοῦ προστιθεμένου συμβαίνει καὶ μείωσιν γενέσθαι. σαφεῖ δὲ παραδείγματι ἐχρήσατο τῷ τοῦ ὕδατος τοῦ ἐπιχεομένου εἰς τὸν οἶνον, καὶ τὴν μὲν ἀρχὴν πάσχοντος μᾶλλον ὑπὸ τοῦ οἴνου ἢ ποιοῦντος
10 εἰς αὐτόν, τέλος δὲ πλεονάζοντος τοῦ ὕδατος ἐξασθενούσης τῆς τοῦ οἴνου δυνάμεως καὶ μᾶλλον πασχούσης ὑπὸ τοῦ ὕδατος ἤπερ ποιούσης εἰς αὐτό. 10
οὐ κατὰ πάντα δὲ ἐοικὸς τὸ παράδειγμα. κατὰ μὲν γὰρ τὴν τῆς δυνάμεως ἐλάττωσιν εἴη ἂν τῇ μειώσει ἐοικός· μειουμένης γὰρ κἀκεῖ τῆς θρεπτικῆς δυνάμεως καὶ ἧττον προσκρινούσης τοῦ ἀπορρεύσαντος ἡ φθίσις γίνεται·
15 καθὸ μέντοι ἐπιχεομένου τῷ οἴνῳ τοῦ ὕδατος πλεῖον γίνεται τὸ ποσόν, κατὰ τοῦτο οὐκ ἔοικε τὸ παράδειγμα τῷ ἐπὶ τῆς φθίσεως· ἐκεῖ γὰρ μετὰ τῆς δυνάμεως καὶ τὸ ποσὸν μειοῦται. μόνης οὖν τῆς ἀσθενείας τῆς δυνάμεως ἔστω παράδειγμα. κάμνει δὲ τῇ συνεχεῖ ἐνεργείᾳ (μετὰ σώμα- 15
τος γὰρ ἡ ἐνέργεια τῆς δυνάμεως, ἐν ᾧ καὶ τὸ εἶναι ἔχει), κάμνουσα δὲ
20 οὐκέτι δύναται κατὰ ποσὸν προσθήκας ποιεῖν τῷ τρεφομένῳ ὀλίγης γινομένης τῆς ἀλλοιώσεως, ἀλλὰ τρέφει μόνον. πλείονος οὖν γινομένης τῆς ἀπορροῆς μείωσις γίνεται, καὶ μάλιστα τοῦ ἐν ᾧ πρώτῳ ἐστὶν ἡ δύναμις αὕτη, λέγω δὴ τοῦ θερμοῦ ὑγροῦ. τὸ γὰρ πρῶτον ἀπολαῦον τῆς αὐξήσεως ἐν τῇ ἐπιδόσει, διὰ τὸ ἐν αὐτῷ τὸ τρέφον ἔχειν καὶ τῆς ἀσθενείας
25 ἀπολαύει αὐτοῦ πρῶτον καὶ κρατεῖται μειούμενον διὰ τὴν ἐλάττονα τῆς 20
τροφῆς πρόσκρισιν ὑπὸ τῶν ἐναντίων δυνάμεων, τῆς τε ψυχρᾶς καὶ ξηρᾶς, ὧν κατ' ἐπικράτειαν τὸ γῆρας γίνεται.

p. 322b1 Ἐπεὶ δὲ πρῶτον δεῖ περὶ τῆς ὕλης καὶ τῶν καλουμένων στοιχείων εἰπεῖν, εἴτε ἔστιν εἴτε μή, καὶ πότερον ἀίδιον ἕκα-
30 στον ἢ γίνονταί πως.

Ἐλέγξας τὰς ψευδεῖς τῶν παλαιῶν περὶ γενέσεως δόξας, καὶ εἰπὼν 27
καθόλου περὶ γενέσεως, καὶ διακρίνας αὐτὴν καὶ ἀλλοιώσεως καὶ τῆς κατὰ τόπον μεταβολῆς, καὶ εἰπὼν τί τέ ἐστιν αὔξησις καὶ τί τὸ αὐξόμενον καὶ τίνι αὔξεται καὶ τίς ὁ τρόπος καθ' ὃν αὔξεται τὰ αὐξόμενα, λοιπὸν ἐν-

---

1 κατισχυομένην R 2 τῷ] τὸ R 2. 3 προϊοῦσαν Z 4. 5 ὅσον δεῖ GRT: ὅσον δὴ Z: om. a 5 τε om. T¹ 6 τῷ a: τὸ cett. 7 προτιθεμένου Z 8 σαφῆ Z παραδείγματα a τοῦ alterum om. Z 11 αὐτὸν Z¹a 12 ἐοικὼς GT: ἐοικός ἐστι a 14 ἀπορρέοντος GTa 15 μέντι R¹ 16 τῷ a: τὸ cett. 18 συνεχῆ R 23 ἀπολάβον R¹ 24 αὐτῷ a: αὐτῶ cett. 25 ἀπολαύειν T τὴν] τὸ Z 28 πρῶτον δεῖ om. Z, qui mox πρῶτον εἰπεῖν δὴ εἴτε ἔστιν 30 γίνεταί a; at cf. Aristot. cod. E 31 ψευδεῖ T

τεῦθεν ἀκόλουθον μὲν ἦν εἰπεῖν περὶ τῆς γενέσεως τῶν καθ' ἕκαστα γινο- 28v
μένων, οἷον περὶ τῶν ἐν μετεώρῳ γινομένων περὶ φυτῶν περὶ ζῴων 31
περὶ μετάλλων· ἀλλ' ἐπεὶ τὸν περὶ τῆς τῶν καθ' ἕκαστα γενέσεως δια-
λεξόμενον δεῖ πρότερον περὶ τῆς προσεχοῦς ἑκάστῃ γενέσει ὕλης διαλα-
5 βεῖν, οἷον τίς ἡ τοῖς μετεώροις ὑποβεβλημένη ὕλη, τίς ἡ τοῖς μετάλλοις,
καὶ τοῖς λοιποῖς ὡσαύτως· ὡς γὰρ τοῦ λόγου τοῦ περὶ τῶν φυσικῶν πάν-
των προηγεῖται ὁ περὶ τῆς ἁπλῶς ὕλης λόγος τῆς πᾶσι τοῖς φυσικοῖς
κοινῶς ὑποκειμένης, περὶ ἧς ἐν τῇ Φυσικῇ ἐδίδαξεν, οὕτω καὶ τῆς τῶν 35
κατὰ μέρος γενέσεως καὶ τῆς ἑκάστῳ αὐτῶν ὑποκειμένης ὕλης προηγεῖ-
10 σθαι δεῖ τὸν περὶ τῆς ὕλης καθόλου τῶν ἁπλῶς γινομένων. ταῦτα δέ ἐστι
τὰ στοιχεῖα· οὐκοῦν ἀναγκαῖον ἦν προλαβεῖν τὸν περὶ τῶν στοιχείων. μὴ
γὰρ ἐγνωκότα τίνα ποτέ ἐστι καὶ πόσα καὶ ποῖα τὰ στοιχεῖα ἀδύνατον
τὴν ἰδιάζουσαν ἑκάστου ὕλην εὑρεῖν· κοινῶς γὰρ ταῦτα μετὰ τὴν πρώ-
την ὕλην πᾶσιν ὑποβέβληται, καὶ ἔστι σωματικὴ ὕλη κοινῶς πάντων τῶν 40
15 γινομένων. διὰ τοῦτο πρῶτον τὸν περὶ αὐτῶν προχειρίζεται λόγον, εἴτε
ἔστι στοιχεῖα τῶν γινομένων τὰ τέσσαρα ταῦτα τὰ πολυθρύλλητα εἴτε μή
ἔστι, καὶ πότερον γενητά ἐστι ταῦτα ἢ ἀγένητα καὶ ἀμετάβλητα, ὡς
ἐδόκει Ἐμπεδοκλεῖ, καὶ εἰ γενητά, πότερον ἐξ ἀλλήλων ἢ ἐξ ἄλλου τινός,
καὶ εἰ ἐξ ἀλλήλων. πότερον ὁμοίως πάντα εἰς πάντα μεταβάλλει ἢ ἔστι
20 τι αὐτῶν πρῶτον ἐξ οὗ τὰ ἄλλα πάντα μεταβάλλει, οἷον ὕλη τοῖς λοιποῖς
ὑποκείμενον. ὡς δοκεῖ Θαλῇ μὲν τὸ ὕδωρ, ἀὴρ δὲ Ἀναξιμένει. πῦρ δὲ 45
Ἡρακλείτῳ. ζητήσει δὲ καὶ εἰ τέσσαρα τὸν ἀριθμὸν ἢ πλείονα, καὶ
δείξει ὅτι τέσσαρα μόνα. καὶ ἐν τούτοις περατοῦται πᾶσα ἡ προκειμένη
πραγματεία. καὶ οὕτως λοιπὸν ἐν ταῖς ἑξῆς πραγματείαις περὶ τῶν καθ'
25 ἕκαστα γινομένων ποιεῖται τοὺς λόγους, ἐν μὲν τῇ τῶν Μετεώρων πραγ-
ματείᾳ περὶ τῶν ἐν τοῖς μετεώροις, ἐν δὲ τῇ Περὶ ζῴων περὶ τῆς τῶν
ζῴων γενέσεως, καὶ περὶ τῶν λοιπῶν ὡσαύτως. ἤδη μὲν οὖν καὶ ἐν τῇ
Περὶ οὐρανοῦ πραγματείᾳ ἐζήτησε περὶ τῶν στοιχείων, καὶ ἔδειξεν ὅτι τῇ 50
τάξει πρῶτος ὁ περὶ τῶν στοιχείων λόγος, καὶ ἔτι ὅτι οὔτε ἀγένητά ἐστιν
30 οὔτε ἄφθαρτα, καὶ ὅτι οὐκ ἐξ ἄλλου τινὸς ὑποκειμένου γίνονται, καὶ ὅτι
οὐκ εἰσὶν ἄπειρα ἀλλὰ πεπερασμένα· πόσα μέντοι ταῦτα ἢ πῶς ἐξ ἀλλή-
λων γίνονται, ἐν ἐκείνοις ὑπερέθετο εἰπεῖν, ὡς ἐρῶν ἐνταῦθα περὶ τούτων.

Ἔστιν οὖν τὸ προκείμενον δεῖξαι περὶ τῶν στοιχείων ποῖά τε καὶ
πόσα τὸν ἀριθμόν, καὶ ὅτι ἐξ ἀλλήλων αὐτοῖς ἡ γένεσις καὶ εἷς ὁ τρόπος
35 τῆς ἐξ ἀλλήλων γενέσεως. ὄντων δέ τινων | προηγουμένων τοῦ περὶ 29r
τῶν στοιχείων λόγου, ὧν ἀδιαρθρώτων ὄντων ἀδύνατον εὐμαρῶς προελθεῖν

---

2 γινωμένων et παθῶν (pro περὶ φυτῶν) Z 3 ἐπεὶ] ἐπὶ T² τὸν a: τῶν cett. τῶν Z: om. cett. 4 ὕλης γενέσει Z 7 τοῖς πᾶσι τοῖς R φυσικῶς Z 9 ἑκάστῳ τῶν ὑποκειμένων ὕλης RZ 11 τὸν om. T¹ στοιχείων ⟨λόγον⟩ a 14 ὑποβέβληται πᾶσιν Z 16 τὰ (post ταῦτα) Z: om. cett. 19 ἀλλήλων Za: ἄλλων GRT 21 ὑποκειμένοις R 22 εἰ τέσσαρα scripsi: εἰ τέτταρα Ra, ubi nihil enot. ex cett. 23 δόξει GT et fort. R¹ περαιοῦται libri 24 οὕτω a ἑξῆς] ἓξ TZ 28 ἔδειξεν ὅτι τέσσαρα μόνα τῇ Z 29 ἔτι om. a 34 εἷς] τίς a 36 διελθεῖν Z

τὸν περὶ τῶν στοιχείων λόγον, περὶ ἐκείνων προτίθεται πρῶτον εἰπεῖν. 29r
ἔστι δὲ τρία ταῦτα, τί ἐστι μίξις, τί ἐστι τὸ ποιεῖν καὶ πάσχειν, τί ἐστιν
ἁφή. ὅτι δὲ ἀναγκαῖος ὁ περὶ τούτων λόγος τῷ περὶ τῶν στοιχείων
διαλεξομένῳ, κατασκευάζει καὶ ἐκ τῶν παλαιοτέρων. πάντες γάρ, φησί,
5 καὶ οἱ ἓν καὶ οἱ πλείω τὰ στοιχεῖα λέγοντες εἶναι, κέχρηνται τῷ ποιεῖν 5
πάσχειν, καὶ συγκρίσει καὶ διακρίσει. καὶ γὰρ οἱ ἓν λέγοντες τὸ στοιχεῖον,
συγκρίσει δὲ τούτου καὶ διακρίσει τἆλλα λέγοντες γίνεσθαι, τῷ ποιεῖν καὶ
πάσχειν κέχρηνται· τὸ γὰρ συγκρίνεσθαι καὶ διακρίνεσθαι πάσχειν τί ἐστιν.
εἰ δὲ ἔστι τὸ πάσχον, ἀνάγκη πᾶσα εἶναι καὶ τὸ ποιοῦν. ὡσαύτως δὲ
10 καὶ οἱ πλείω λέγοντες, καὶ οἱ μεταβλητὰ αὐτὰ λέγοντες καὶ οἱ ἀμετάβλητα.
καὶ οἱ μὲν μεταβλητὰ αὐτὰ λέγοντες, προφανὲς ὡς κέχρηνται τῷ ποιεῖν 10
καὶ πάσχειν· δρῶντα γὰρ εἰς ἄλληλα καὶ πάσχοντα ὑπ' ἀλλήλων, οὕτω
τὴν εἰς ἄλληλα ποιεῖται μεταβολήν. καὶ Ἐμπεδοκλῆς δὲ ἀμετάβλητα
λέγων κέχρηται τῷ ποιεῖν καὶ τῷ πάσχειν· εἰ γὰρ καὶ μὴ κατὰ μετα-
15 βολὴν οὐσίας πάσχουσιν, ἀλλ' οὖν σύγκρισιν ὑπομένουσι καὶ διάκρισιν,
ποιοῦντος ταῦτα τοῦ νείκους καὶ τῆς φιλίας. ὥστε ἀναγκαῖος τῷ περὶ τῶν
στοιχείων διαλεχθησομένῳ ὁ περὶ τοῦ ποιεῖν καὶ πάσχειν λόγος. πῶς
γὰρ ὅλως εἰσόμεθα πότερον ἀπαθῆ ἐστιν ἢ οὔ, αὐτὸ τοῦτο ἀγνοοῦντες τί 15
ἐστιν ὅλως τὸ ποιεῖν καὶ τὸ πάσχειν; ἀλλ' εἰ περὶ τοῦ ποιεῖν καὶ πάσχειν
20 εἰπεῖν ἀνάγκη, δῆλον, φησίν, ὡς ἀνάγκη καὶ περὶ μίξεως διαλεχθῆναι.
τὰ γὰρ ποιοῦντα καὶ πάσχοντα δεῖ πρότερον μιχθῆναι ἀλλήλοις· οὐδὲ γὰρ
σώματα ὄντα καὶ διεστηκότα ἀλλήλων δράσειαν ἂν ἢ πάθοιεν ὑπ' ἀλλή-
λων. καὶ ὅτι ἀνάγκη τοῖς συγκρίσει καὶ διακρίσει τὴν γένεσιν λέγουσι
γίνεσθαι μίξιν παραλαμβάνειν· ἡ γὰρ σύγκρισις μίξις τίς ἐστιν. εἰ οὖν περὶ
25 μίξεως δεῖ διαλαβεῖν, δεῖ δήπου καὶ περὶ ἁφῆς· τὰ γὰρ μιγνύμενα ἀλλή- 20
λοις δεῖ πρότερον ἅψασθαι ἀλλήλων· πῶς γὰρ ἂν μιχθείη τὰ μὴ ἁψάμενα;
ὥστε πρὸς τὸν περὶ στοιχείων λόγον ἀναγκαῖος ὁ περὶ τοῦ ποιεῖν
καὶ πάσχειν, καὶ πρὸς τοῦτον ὁ περὶ μίξεως (δεῖ γὰρ τὰ ποιοῦντα καὶ
πάσχοντα μιχθῆναι ἀλλήλοις), καὶ πρὸς τοῦτον ὁ περὶ ἁφῆς· πῶς γὰρ
30 ἂν μιχθείη ἀλλήλοις τὰ μὴ ἁψάμενα; ὥστε ἀναγκαῖος ὁ περὶ ἁφῆς καὶ
περὶ μίξεως καὶ περὶ τοῦ ποιεῖν καὶ πάσχειν λόγος. καὶ ἄλλως δὲ ἀναγ-
καίως, φησί, τὸν περὶ τούτων διοριζόμεθα λόγον, διότι χρησάμενοι τούτοις 25
οἱ πρὸ ἡμῶν φυσικοὶ οὐδένα λόγον περὶ αὐτῶν ἐποιήσαντο, τί ποτε σημαί-
νει ἕκαστον αὐτῶν, ἀλλ' εἴασαν αὐτὰ οὕτως ἀδιορίστως. περὶ τούτων
35 οὖν πρῶτον ποιεῖται τὸν λόγον, καὶ πρότερον περὶ ἁφῆς.

---

1 εἰπεῖν πρῶτον Z 2 τὸ om. R 3 ἀναγκαίως G 5 εἶναι λέγοντες εἶναι a 7 τὰ ἄλλα R γίγνεσθαι a 7. 8 καὶ τῷ πάσχειν Z 8 καὶ iterat initio et exitu versus T πάσχει τί R 9 εἰ δὲ τὸ πάσχον ἐστὶ Z 10. 11 μετάβλητα ter (pro μεταβλητὰ et ἀμετάβλητα) R 16 ἀναγκαῖος a: ἀναγκαίως cett. 17 ὁ] ὅ a 19 ὅλως om. Z 21 δεῖ] δὴ TZ et fort. R[1] 22 δράσειεν libri 23 καὶ ὅτι καὶ Z: καὶ ὅτι καὶ R: num καὶ ἔτι? τοῖς] τῇ Z λέγουσι iterat ante τὴν Z 24 παραλαμβάνει R τίς R: om. cett. 27 ἀναγκαίως GT[1] 30. 31 καὶ περὶ μίξεως bis G 31 περὶ (ante τοῦ ποιεῖν) om. Z 32 διοριζόμεθα τὸν περὶ τούτων Z 33 οἱ πάλαι φυσικοὶ οὐδένα τούτων ἐποιήσαντο λόγον Z

Ἐπεὶ δὲ δεῖ πρῶτον περὶ τῆς ὕλης καὶ τῶν καλουμένων 29r
στοιχείων εἰπεῖν. ἐπειδὴ εἶπε περὶ τῆς ὕλης, ἵνα μὴ νομίσωμεν περὶ τῆς πρώτης ὕλης τῆς ἀσωμάτου λέγειν αὐτόν, περὶ ἧς ἤδη ἔφθη διαλεχθεὶς ἐν τῇ Φυσικῇ, διὰ τοῦτο προσέθηκε καὶ τῶν καλουμένων στοι-
5 χείων, ὡσανεὶ ἔλεγε 'περὶ τῆς ὕλης ἥτις ἐστὶ τὰ καλούμενα στοιχεῖα'. 30
καλούμενα δὲ διὰ τοῦτο ἴσως εἶπεν, ἐπειδὴ μήπω ἀπέδειξεν ὅτι ταῦτά ἐστι τὰ στοιχεῖα. εἴτε ἔστιν εἴτε μή. τουτέστιν εἰ στοιχεῖα τῶν γινομένων εἰσίν. οὐ γὰρ ἁπλῶς εἰ ἔστι· τοῦτο γὰρ ἐναργές. ἢ γίνονταί πως. τὸ πως προσέθηκεν ἀντὶ τοῦ κατά τινα τρόπον· οὐ γὰρ καθ'
10 ὅλα γίνονται, ἀλλὰ κατὰ μόρια.

p. 322b 5 Ἀνάγκη πρότερον εἰπεῖν περὶ ὧν ἀδιορίστως λέγεται νῦν.

Ἐνταῦθα ἡ ἀπόδοσις τοῦ ἐπεὶ δέ συνδέσμου· ἐπεὶ δὲ πρῶτον δεῖ περὶ τῆς ὕλης καὶ τῶν καλουμένων στοιχείων εἰπεῖν,
15 ἀνάγκη πρότερον εἰπεῖν περὶ ὧν ἀδιορίστως λέγεται νῦν. λέγει 35
δὲ περὶ ἁφῆς καὶ μίξεως καὶ τοῦ ποιεῖν καὶ πάσχειν, ὡς συμβαλλομένων μὲν αὐτῷ εἰς τὴν περὶ τῶν στοιχείων διδασκαλίαν, μὴ τυχόντων δὲ διορισμοῦ τινος καὶ διαρθρώσεως παρὰ τῶν προγενεστέρων.

p. 322b 6 Πάντες γὰρ οἵ τε τὰ στοιχεῖα γεννῶντες καὶ οἱ τὰ ἐκ
20 τῶν στοιχείων διακρίσει χρῶνται καὶ συγκρίσει καὶ τῷ ποιεῖν καὶ πάσχειν.

Διὰ τούτων συνίστησιν ὅτι ἀναγκαῖος ὁ περὶ τῶν εἰρημένων λόγος, εἴ γε πάντες ὅσοι περὶ γενέσεως διέλαβον συγκρίσει καὶ διακρίσει καὶ τῷ ποιεῖν καὶ πάσχειν γίνεσθαί φασι τὰ πράγματα. ἄξιον δὲ ἀπορίας πῶς
25 εἶπε πάντας διακρίσει καὶ συγκρίσει χρῆσθαι καὶ τῷ ποιεῖν καὶ πάσχειν. 40
ὅτι μὲν γὰρ διακρίσει καὶ συγκρίσει πάντες κέχρηνται, πρόδηλον· οὐκέτι μέντοι τῷ ποιεῖν καὶ πάσχειν πάντες χρῶνται, ἀλλὰ μόνοι οἱ κατὰ τροπὴν τοῦ ὑποκειμένου γεννῶντες τὰ πράγματα, ἐπεὶ οἵ γε ἀμετάβλητα οἰόμενοι

---

1 2 Ἐπεὶ—εἰπεῖν om. a: cf. v. 13 et p. 123,28 1 ἐπεὶ δὲ δεῖ Z: ἐπειδὴ δὲ δεῖ R: ἐπειδὴ δὲ GT πρῶτον GRT: πρότερον Z 2 ἐπειδὴ δὲ εἶπε a 7. 8 τὸ δὲ εἴτε ἔστιν εἶπεν, ἀντὶ τοῦ εἰ ἔστι στοιχεῖα τῶν γινομένων, οὐ γὰρ a 7 τουτέστιν εἰ στοιχεῖα Z: τουτέστι στοιχεῖα R: τουτέστιν εἰ ἔστι στοιχεῖα (?) GT 8. 9 ἐναργές. τὸ δὲ πῶς ἐν τῷ γίνεταί πως προσέθηκεν a 8 ἢ] ἢ εἰ Z 10 κατὰ τὰ μόρια GTa 10. 13 μόρια. ἐν δὲ τῷ ἀνάγκη πρότερον, τὴν ἀπόδοσιν ποιεῖται τοῦ a 11 ἀνάγκη δὴ Ar. (praeter cod. E) 13 ἐπίδοσις R τοῦ ἐπεὶ δὲ RZ: τοῦ ἐπεὶ GTa ἐπεὶ δὲ πρῶτον] ἐπειδὴ γὰρ πρῶτον a 16 συμβαλομένων T¹: συμβαλλόμενον Z 17 αὐτῶν corr. T² 18. 22 προγενεστέρων. δείκνυσι δὲ διὰ τούτων, ὅτι ἀναγκαῖος a 20 τῷ RZ: τὸ GT 22 διὰ τοῦτο T 23 πάντως GT καὶ (ante τῷ) om. GTa 25 et 27 etc. τὸ ποιεῖν Z 26 καὶ συγκρίσει om. R 28 τὰ πράγματα γεννῶντες GTa γενῶντες Z

τὰ στοιχεῖα οὐ κέχρηνται τῷ ποιεῖν καὶ πάσχειν, ἀλλὰ μόνον συγκρίσει 29r
καὶ διακρίσει. ἤτοι οὖν τοὺς μὲν διακρίσει λέγει χρῆσθαι καὶ συγκρίσει,
τοὺς δὲ τῷ ποιεῖν καὶ πάσχειν, καὶ οὕτω κατὰ συνεκδοχὴν πάντας ἀμφο-
τέροις χρῆσθαι λέγει, διακεκριμένως δέ (οἱ μὲν γὰρ τὰ ἐκ τῶν στοιχείων 45
5 μόνα γεννῶντες συγκρίσει καὶ διακρίσει ἐχρῶντο, οὗτοι δὲ ἦσαν οἱ περὶ
Ἐμπεδοκλέα Δημόκριτον Ἀναξαγόραν· ἀπαθεῖς γὰρ ἕκαστος τὰς οἰκείας
ἀρχὰς ὑπετίθετο· οἱ δὲ καὶ τὰ στοιχεῖα γεννῶντες, τῷ ποιεῖν καὶ πάσχειν,
οὗτοι δὲ ἦσαν οἱ ἕν τι ὑποθέμενοι ἐξ οὗ τἆλλα ἐγέννων, τὸ δὲ ἓν τοῦτο
ἢ τῶν τεσσάρων τι εἶναι ἢ ἄλλο τι παρὰ ταῦτα)· ἢ οὖν οὕτω φησὶ τὸ
10 πάντας καὶ διακρίσει καὶ συγκρίσει χρῆσθαι καὶ τῷ ποιεῖν καὶ τῷ πάσχειν,
ἢ ἕκαστον ἀμφοτέροις κεχρῆσθαι λέγει. ὅτι γὰρ τοῦτό φησιν, ἐδήλωσεν 50
ἐξ ὧν ἐπήγαγε· "καὶ γὰρ οἱ πλείω", φησί, "τὰ στοιχεῖα ποιοῦντες
γεννῶσι τῷ ποιεῖν καὶ πάσχειν, καὶ τοῖς ἐξ ἑνὸς ἀνάγκη λέγειν τὴν ποίη-
σιν". ἐνταῦθα οὖν τὸ ποιεῖν καὶ πάσχειν οὐ κατὰ τροπὴν καὶ μεταβολὴν
15 τοῦ ὑποκειμένου ἐκληψόμεθα, ἀλλ' ἁπλῶς κατὰ τὸ ἐνεργεῖν αὐτὸ τὸ
ποιητικὸν ἢ κινητικὸν αἴτιον· δεῖ γὰρ ἐν ἑκάστῳ αἴτιόν τι εἶναι συγκρί-
σεως καὶ διακρίσεως. καὶ Ἐμπεδοκλεῖ μὲν τὸ νεῖκος καὶ ἡ φιλία ἡ μὲν
συγκρίσεως τὸ δὲ διακρίσεως αἴτιον, τὸ δὲ συγκρίνειν καὶ | διακρίνειν ποιεῖν 29v
τί ἐστιν, ὥστε πάσχειν τὸ διακρίνεσθαι καὶ συγκρίνεσθαι· Ἀναξαγόρᾳ δὲ
20 ποιητικόν ἐστι συγκρίσεως καὶ διακρίσεως ὁ νοῦς. ἀλλὰ δὴ καὶ κατὰ
Δημόκριτον ποιητικὰ ἂν εἶεν αἴτια ὁ ῥυσμὸς ἡ τροπὴ καὶ ἡ διαθιγή,
πορρωτέρω δὲ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον.

p. 322b8 Πῶς δὲ μίγνυσθαι λέγομεν, οὐ διώρισται σαφῶς. 4

Πότερον κατακερματιζομένων τῶν στοιχείων εἰς μικρὰ καὶ παρακει- 12
25 μένων ἀλλήλοις καὶ τῇ σμικρότητι λανθανόντων τὴν αἴσθησιν, ὥσπερ ἂν
εἰ ἐκ πυρῶν καὶ κριθῶν τὰ λεπτομερῆ ἄλφιτα μίξαιμεν (δόξειε γὰρ ἂν ἕν
τι εἶδος εἶναι τὸ ὅλον, τῇ σμικρότητι κλεπτομένης τῆς αἰσθήσεως), ἢ ἐν
ἑκάστῳ μορίῳ πάντων ὄντων καὶ χωρούντων ὅλων δι' ὅλων τῶν μιγνυ- 15
μένων δι' ἀλλήλων· καὶ πότερον ἐν τῇ μίξει φθείρονται τὰ εἴδη τῶν
30 στοιχείων ἢ σῴζονται· καὶ εἰ σῴζονται, πότερον πάντα ἢ τινά.

---

4 διακεκριμένης compend. R 6 καὶ Δημόκριτον καὶ Ἀναξαγόραν a ἕκαστον T¹
8 τὰ ἄλλα· ἐγεννῶντο δὲ ἓν R ἐγένων GT¹ 9 εἶναι] ἐστιν Z τὸ] ἢ a
10 καὶ (post πάντας) om. Z 10. 11 καὶ τῷ ποιεῖν — κεχρῆσθαι RZ: om. GTa
12 καὶ γὰρ κτλ.] p. 322b11 τὰ στοιχεῖα φησὶ Z 13 πάσχειν RZ (et Ar. cod.
E): πάσχειν ὑπ' ἀλλήλων GTa καὶ τοῖς] ita etiam Aristotelis libri; cf. p. 128,5
14 οὖν] γὰρ a τὸ Z: τῷ cett. 19 ὥστε καὶ πάσχειν R 21 αἰτία a
ἡ (ante διαθιγή) om. GT διαθιγὴ a: διαθηγὴ TZ: διαθήγη GR (sed R¹ διαθήκη)
22 τύχη] ψυχὴ R 23 μόγνυσθαι a λέγωμεν Z 24 Πότερον φησὶ a 25 ὥσπερ
γὰρ ἂν GT 26 ἐκ] τὰ ἐκ a καὶ om. Z τὰ om. a 27 τῇ λεπτότητι Z
28 χωρούντων πάντων ὅλων Z

p. 322b 9 Ἀλλὰ μὴν οὐδὲ ἀλλοιοῦσθαι δυνατὸν οὐδὲ διακρίνε- 29v
σθαι καὶ συγκρίνεσθαι, μηδενὸς ποιοῦντος μηδὲ πάσχοντος.

Μὴ ὄντος γὰρ τοῦ ἀλλοιοῦντος, οὐκ ἂν εἴη τὸ ἀλλοιούμενον· ἀλλοιοῦσθαι δὲ πῶς οἷόν τε μὴ πάσχοντός τι τοῦ ἀλλοιουμένου ὑπὸ τοῦ ἀλλοιοῦντος;

5 p. 322b 12 Καὶ τοῖς ἐξ ἑνὸς ἀνάγκη λέγειν τὴν ποίησιν, καὶ 20
τοῦτο ὀρθῶς λέγει Διογένης, ὅτι εἰ μὴ ἐξ ἑνὸς ἦν ἅπαντα, οὐκ ἂν ἦν τὸ ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων.

Εἰ γὰρ κατ' ἀλλοίωσιν τοῦ ἑνὸς τὴν γένεσιν τῶν ἄλλων ἐποίουν πυκνουμένου αὐτοῦ καὶ μανουμένου, δῆλον ὅτι καὶ τῷ ποιεῖν κέχρηνται καὶ
10 τῷ πάσχειν· ἐν γὰρ τῇ ἀλλοιώσει ποιεῖ μὲν τὸ ἀλλοιοῦν, πάσχει δὲ τὸ ἀλλοιούμενον. ὅτι δὲ ἀνάγκη τοῖς ἓν ὑποτιθεμένοις τὸ στοιχεῖον λέγειν τὸ ποιεῖν καὶ τὸ πάσχειν, μάρτυρι χρῆται Διογένει τῷ Ἀπολλωνιάτῃ ὀρθῶς λέγοντι ὅτι εἰ μὴ ἓν ἦν τὸ ὑποκείμενον πᾶσιν, οὐκ ἂν ἦν τὸ ποιεῖν καὶ τὸ πάσχειν ὑπ' ἀλλήλων, ὡς ἀναγκαίως ἑπομένου τοῖς εἰς ἄλληλα 25
15 ποιοῦσι καὶ πάσχουσι τὸ ἓν ἔχειν τὸ ὑποκείμενον. ὅτι γὰρ μὴ ὄντος ἑνός τινος τοῦ ὑποκειμένου οὐχ οἷόν τε ἦν ὑπ' ἀλλήλων πάσχειν καὶ ποιεῖν εἰς ἄλληλα, δείκνυσιν, ὅτι Διογένης ἔλεγεν μὴ τὴν θερμότητα εἶναι τὴν εἰς ψυχρότητα μεταβάλλουσαν ἢ τοὔμπαλιν (ἀδύνατον γὰρ τὸ ἐναντίον γενέσθαι ὅπερ τὸ ἐναντίον), ἀλλὰ τὸ ὑποκείμενον κοινὸν ὂν τοῖς ἐναν-
20 τίοις καὶ πάσχον ὑπό τινος ποιοῦντος μεταβάλλει εἰς ἑκάτερον καθ' ὃ ἂν τὸ ποιοῦν ποιῇ. ταῦτα δὲ καὶ ὁ Πλάτων ἐν τῷ Φαίδωνι εἶπεν. εἰπὼν γὰρ 30 πρότερον ὅτι ἐξ ἀλλήλων γίνονται τὰ ἐναντία, τὸ λευκὸν ἐκ τοῦ μέλανος καὶ τὸ μέλαν ἐκ τοῦ λευκοῦ, καὶ τὸ ζῶν ἐκ τοῦ τεθνεῶτος καὶ ἔμπαλιν, ὕστερον εἶπεν ὅτι οὐδέποτε οἷόν τέ ἐστι τὸ ἐναντίον εἰς τὸ ἐναντίον μεταβαλεῖν·
25 οὐδὲ γὰρ ἡ λευκότης γένοιτο ἂν μελανία οὐδὲ ἡ ψύξις θερμότης. ἐπὶ τούτοις οὖν ἀπορήσαντός τινος, πῶς οὐκ ἐναντία αὐτὸς ἑαυτῷ Σωκράτης ἀπεφήνατο, εἶπεν ὡς ὅτι ἄνω μὲν ἐξ ἀλλήλων γίνεσθαι τὰ ἐναντία εἴρηκεν, οὐ τὰ μετεχόμενα, αὐτὰς λέγω τὰς ἐναντιότητας, ἀλλὰ τὰ τούτων μετέχοντα (τὸ 35
γὰρ λευκὸν σῶμα ἐκ μέλανος γίνεται σώματος), νῦν δέ, φησίν, ἔφην τὰ
30 μετεχόμενα μὴ γίνεσθαι ἐξ ἀλλήλων. ἀλλὰ μᾶλλον κυριώτερον ἂν εἴη

---

1 οὐδ' ἀλλοιοῦσθαι R φησὶ δυνατὸν a 2 καὶ συγκρίνεσθαι om. R 5. 8 ἀλλὰ καὶ τοῖς ἐξ ἑνός φησι γεννῶσιν ἀνάγκη χρῆσθαι τῷ ποιεῖν καὶ πάσχειν. εἰ γὰρ a 5 Καὶ τοῖς] cf. p. 127, 13 6 τοῦτο] τοῦ R 8. 14 εἰ γὰρ — ὑπ' ἀλλήλων om. Z 9 et 10 τὸ (pro τῷ) utrobique GT[1] 13 μὴ ἓν a: μηδὲν GRT 19 γίνεσθαι a 20 πάσχοντος Z 21 ποιῇ scripsi: ποιεῖ GRTZ: ποιοῖ a Φαίδωνι p. 70 D sqq. 103 sqq. 23 ζῶν GZ: ζῶον RTa 26 ὑπεφήνατο GTR 27 ὡς om. a 29 σώματος γίνεται GTa 30 ἀλλὰ κτλ.] cf. Philop. Phys. p. 111,31. 119,1 etc.

'μετ' ἄλληλα' αὐτὰ καλεῖν· μετὰ γὰρ τὴν λευκότητα γίνεται ἡ μελανία, 29v
αὐτῆς μὲν τῆς ποιότητος φθειρομένης τοῦ δὲ ὑποκειμένου μένοντος.

p. 322b19 Τὸ μὲν οὖν πάντα τοιαῦτα εἶναι φάσκειν οὐκ ἀληθές, ἀλλ' ἐν ὅσοις τὸ ὑπ' ἀλλήλων ἐστίν.

Τὸ λέγειν, φησί, πάντα τὰ ὄντα τοιαῦτα εἶναι † ὡς μίαν καὶ τὴν αὐτὴν ὑποκειμένην ὕλην ἔχειν, οὐκ ἀληθές. ἢ οὕτως· τὸ λέγειν ὅτι ἐπὶ 40 πάντων τῶν ποιούντων καὶ πασχόντων μία ἐστὶν ὕλη, οὐκ ἀληθές. τὸ γὰρ κυκλοφορητικὸν σῶμα ποιεῖ μὲν αὐτὸ καὶ πάσχει δέ τι ὑπ' αὐτοῦ, ταῦτα δὲ πάντα τὰ ὑπὸ σελήνην, οὐ μὴν ἐκ μιᾶς καὶ τῆς αὐτῆς ὕλης εἰσὶ τό τε ποιοῦν καὶ τὸ πάσχον. ἀλλὰ δεῖ, φησίν, οὕτω λέγειν, ὅτι ταῦτά ἐστι τὰ κοινὴν ὕλην ἔχοντα. ἅπερ ἀντιπάσχει ὑπ' ἀλλήλων· διὰ τοῦτο γὰρ καὶ ἀντιπάσχει ὑπ' ἀλλήλων, διὰ τὸ μίαν αὐτοῖς ὑπεστρῶσθαι ὕλην τῶν ἐναντίων οὖσαν δεκτικήν. διὰ τοῦτο γοῦν τὰ οὐράνια ποιοῦντα εἰς τὰ τῇδε οὐκ ἀντιπάσχει ὑπ' αὐτῶν, διὰ τὸ μὴ μίαν αὐτοῖς ὑποκεῖσθαι ὕλην. 45

p. 322b21 Ἀλλὰ μὴν εἰ περὶ τοῦ ποιεῖν καὶ πάσχειν καὶ περὶ μίξεως θεωρητέον, ἀνάγκη καὶ περὶ ἁφῆς.

Δείξας ἀναγκαῖον ὄντα τὸν περὶ τοῦ ποιεῖν καὶ πάσχειν καὶ τὸν 53 περὶ μίξεως λόγον, ἐκ τούτων δείκνυσι καὶ τὸν περὶ ἁφῆς ὄντα ἀναγκαῖον.

p. 322b22 Οὔτε γὰρ ποιεῖν ταῦτα καὶ πάσχειν δύναται κυρίως ἃ μὴ οἷόν τε ἅψασθαι ἀλλήλων, οὔτε μὴ ἁψάμενά πως ἐνδέχεται μιχθῆναι.

Ἀδύνατον, φησί, τὰ κυρίως ποιοῦντα καὶ πάσχοντα μὴ | ἅψασθαι ἀλλή- 30r
λων· ἁψάμενον γὰρ τὸ ποιητικὸν τοῦ παθητικοῦ, ἢ ἀμέσως, οἷον τὸ πῦρ τῶν ξύλων, ἢ διὰ μέσου, ὥσπερ τὸ πῦρ τοῦ ὕδατος διὰ μέσου τοῦ λέβητος, οὕτως ἀλλοιοῖ αὐτό. τὸ δὲ κυρίως προσέθηκε, διότι λεγόμεθα πάσχειν ὑπὸ τῆς λοιδορίας, ἀλλ' οὐ κυρίως ποιεῖν λέγοιτο ἂν ἡ λοιδορία, ἐπειδὴ μηδὲ ἅπτεται, εἴπερ ποιεῖν ἐστι τὸ κατὰ ποιότητα μεταβάλλειν τὰ φυσικὰ σώματα· εἰ δὲ καὶ λέγεται ἅπτεσθαι τοῦ λοιδορουμένου ἡ λοιδορία, ἀλλ' 5 οὐδὲ τοῦτο κυρίως, εἴπερ ἅπτεσθαι ταῦτα λέγονται ὧν τὰ ἔσχατα ἅμα. ὡς ἂν οὖν λέγοιτο ἅπτεσθαι ἡμῶν ἡ λοιδορία, οὕτω δὲ καὶ ποιεῖν εἰς

2. 5 μένοντος. ὅ γε μὴν Ἀριστοτέλης φησὶν, ὅτι τὸ λέγειν πάντα τὰ ὄντα a 3 τοιαῦτα εἶναι GRT² (etiam V): εἶναι τοιαῦτα Z: εἶναι om. T¹; cf. Aristotelis libri 6 ὕλην ὑποκειμένην Z οὕτω a 8. 9 ταῦτα δὴ Za: an τοιαῦτα δὲ? 10 δεῖ] δὴ GT 11. 12 διὰ τοῦτο — ἀλλήλων RZ: om. GTa 15 καὶ πάσχειν om. RZ 17 τὸν (priore loco)] τοῦ T 18. 23 ἀναγκαῖον. ἀδύνατον οὖν φησι τὰ omisso hic lemmate a 25 ὥσπερ τοῦ πῦρ τοῦ R 26 προσέθεικε a 30 λέγεται a 31 ἡμῶν ἅπτεσθαι Z

ἡμᾶς· κυρίως δὲ οὐδέτερον, ὡς εἰσόμεθα ἐν τοῖς ἐφεξῆς. οὔτε μὴ 30r
ἁψάμενά πως ἐνδέχεται μιχθῆναι πρῶτον. ὑπερβατὸς ἡ τῆς
λέξεως σύνταξις· τὸ γὰρ ἀκόλουθον οὕτως 'οὔτε μὴ ἁψάμενά πως πρῶ-
τον ἐνδέχεται μιχθῆναι'. τὸ δὲ πως προσέθηκεν, ἵνα σημάνῃ τὰ κυρίως
5 ἁπτόμενα, ἐπειδὴ καὶ ἡ λοιδορία ἅπτεσθαι λέγεται, ἀλλ' οὐ κυρίως.

p. 322b 26 Ἀρχὴν δὲ λάβωμεν τήνδε. ἀνάγκη γὰρ τῶν ὄντων
οἷς ἐστι μίξις, εἶναι ταῦτα ἀλλήλων ἁπτικά.

Πρὸς εὕρεσιν τοῦ ὅτι τὰ τέσσαρα στοιχεῖα ὕλη ἐστὶ τῶν γινομένων 10
καὶ φθειρομένων, ἔδειξεν ἀναγκαῖον ὄντα τὸν περὶ ἁφῆς καὶ μίξεως
10 καὶ τοῦ ποιεῖν καὶ πάσχειν λόγον, περὶ ὧν πρῶτον βούλεται διαλεχθῆ-
ναι, καὶ τούτων πρότερον περὶ ἁφῆς. καὶ ἤδη μὲν ἔδειξε προηγού-
μενον τῶν ἄλλων δύο τὸν περὶ ἁφῆς λόγον, καὶ νῦν δὲ πάλιν τὸ αὐτὸ
ἀναλαμβάνει πρὸ τοῦ περὶ ἁφῆς λόγου. τῶν γὰρ ὄντων, φησίν, ὡς ἂν
μίγνυσθαι πέφυκεν, ἀνάγκη ταῦτα πρότερον ἅψασθαι ἀλλήλων· οὐ γὰρ ἂν
15 μιχθείη τὰ μηδ' ὅλως ἁπτόμενα ἀλλὰ κεχωρισμένα. προηγεῖται ἄρα τοῦ 15
περὶ μίξεως ὁ περὶ ἁφῆς λόγος. ἀλλὰ δὴ καὶ τοῦ περὶ τοῦ ποιεῖν καὶ
πάσχειν· εἴ τι γὰρ τῶν ὄντων τὸ μὲν πέφυκε ποιεῖν τὸ δὲ πάσχειν κυρίως,
ταῦτα ἀνάγκη πρότερον ἅψασθαι ἀλλήλων. καὶ τοῦτο ἱκανῶς καὶ ἐν τοῖς
ἔμπροσθεν δέδεικται. κυρίως δὲ εἶπε διὰ τὴν λοιδορίαν. αὕτη γὰρ
20 ποιεῖν μὲν λέγεται εἰς τὴν ψυχήν, οὐχ ἅπτεται δὲ τῆς ψυχῆς· οὐδὲ γὰρ
κυρίως ποιεῖ, ἐπεὶ καὶ ἅπτεσθαι λέγεται οὐ κυρίως· ὡς οὖν λέγεται
ποιεῖν, οὕτω λέγεται καὶ ἅπτεσθαι. τὰ αὐτὰ δ' ἂν εἴποις καὶ ἐπὶ τῆς 20
εἰκόνος καὶ τοῦ χόρτου καὶ ἁπλῶς τοῦ ὀρεκτοῦ· οὐδὲ γὰρ ταῦτα κυρίως
ποιεῖ. ὡς δ' ἂν ποιῇ, οὕτω καὶ ἅπτεται πρότερον. πρότερον γὰρ ἅπτε-
25 ται τοῦ φανταστικοῦ καὶ τυποῖ αὐτό, ἔπειτα καὶ μεταβάλλει ἀλλοιῶσαν.
καὶ ἀδύνατόν γε παθεῖν ὑπὸ τοῦ ὀρεκτοῦ τὸν μὴ πρότερον οἷον ἁψάμενον
αὐτοῦ, τῷ ἐντετυπῶσθαι αὐτοῦ τὴν φαντασίαν. ἀναγκαίως οὖν πρῶτον
τὸν περὶ ἁφῆς προχειρίζεται λόγον. ὥσπερ δέ, φησί, πολλὰ καὶ τῶν
ἄλλων ὀνομάτων πολλαχῶς λέγεται, καὶ τῶν πολλαχῶς λεγομένων τὰ μὲν 25
30 ὁμωνύμως λέγεται (ὡς Αἴας ὁ Τελαμώνιος καὶ ὁ Ὀιλέως, καὶ κύων ὅ τε
χερσαῖος καὶ ὁ θαλάττιος) ἅπερ καὶ ἰσοτίμως μετέχουσι τοῦ ὀνόματος,

1. 2 οὔτε—πρῶτον om. hic a 2 πρῶτον (cum Ar.) V: πρότερον GRTZ ὑπερβατὸς GT: ὑπερβατῶς R: ὑπερβατὴ (Z)a, fort. recte δὲ ἡ a 3. 4 πρώτων R¹ 6 lemma om. hic a, qui pergit πρὸς δὲ εὕρεσιν λάβομεν Z 7 οἷς] cf. Ar. codd. 8 ὕλη] ἀρχή a, qui post γινομένων addit ὑλικὴ 9 ἔδειξε μὲν καὶ πρότερον ἀναγκαῖον a τὸν] τὰ R 10. 12 διαλεχθῆναι. ἔδειξε μὲν οὖν ταῦτα, καὶ ὡς προηγούμενός ἐστι τῶν ἄλλων δύο ὁ περὶ ἁφῆς λόγος. καὶ νῦν δὲ πάλιν a 11. 12 προηγουμένων et τῶν περὶ ἁφῆς λόγων Z 13 ὡς ἂν corrupta: ὅσα ἂν V: fort. ὅσα δὴ 16 δὴ Va: δεῖ cett. τοῦ (post καὶ) Fa: om. cett. 18 ἀνάγκη ταῦτα Z 23 χόρτου V: χοροῦ cett.; at cf. Philop. Phys. ind. s. v. χόρτος ἁπλῶς om. Z οὐδὲ] εἰ δὲ T 24 ποιῇ] ποιεῖ Z 25 ἀλλοιῶσαν Z et corr. V: ἀλλοιοῦσαν cett. 26 οἷον] οἶνον GT 28 τὸν om. T¹ 30 καὶ ὁ ἴλέως RTZ 31 καὶ ὁ] ὅ τε Z θαλάσσιος GTa

τὰ δὲ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ὧν καὶ τὸ μὲν κυριώτερον λέγεται τὸ δὲ 30r
ἀκυρότερον (οἷον ἐπὶ τοῦ ὄντος πρώτως μὲν καὶ κυρίως ἡ οὐσία ὄν, δευ-
τέρως δὲ καὶ τρίτως αἱ ἄλλαι κατηγορίαι· ὁμοίως κυρίως μὲν ζῷον ὁ
ἄνθρωπος ὁ ἀληθινός, τὸ δὲ γεγραμμένον ἀπὸ τοῦ ἀληθινοῦ ζῷον καλού-
5 μενον οὐ κυρίως καλεῖται ζῷον· ὁμοίως ἡ μουσικὴ ἐπιστήμη καὶ ἡ ἀπ' 30
αὐτῆς μουσικὴ γυνὴ ἢ μουσικὴ κιθάρα, πρώτως δηλονότι καὶ κυριώτατα
ἐπὶ τῆς ἐπιστήμης τὸ τῆς μουσικῆς κατηγορεῖται ὄνομα)· οὕτως οὖν καὶ
ἡ ἀφὴ τῶν πολλαχῶς ἐστι λεγομένων κατὰ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, καὶ
ἡ μέν τις κυριώτατά ἐστιν ἁφή, ἡ δὲ ἀκυρότερον ἀπ' ἐκείνης. τίς
10 οὖν ἡ κυρίως ἁφὴ καὶ τίνα τὰ κυρίως ἁπτόμενα λέγει, ὅτι ταῦτά ἐστιν
ἅ τινα καὶ θέσιν ἔχει, τουτέστι κεῖταί που. ἀλλὰ καὶ τὰ μαθηματικὰ τῶν
θέσιν ἐχόντων ἐστίν, ὥστε καὶ ταῦτα ἂν ἅπτοιτο ἀλλήλων· ἅπτεσθαι γάρ 35
φαμεν τὴν γραμμὴν τῆς γραμμῆς ἢ τοῦ ἐπιπέδου, οἷον κύκλου ἢ ἄλλου
τινός. ἀλλὰ καὶ τὸ μαθηματικὸν σῶμα πέρατα ἔχον καὶ ἅπτοιτο ἂν ἢ
15 σώματος μαθηματικοῦ ἢ γραμμῆς. ἀλλ' εἰ καὶ λέγοιντο τὰ μαθηματικὰ
ἅπτεσθαι, ἀλλ' οὐ κυρίως, ἀλλ' ὡς ἂν καὶ τὸ εἶναι ἔχῃ· ἔχει δὲ ἐν
ἐπινοίᾳ· οὕτως ἄρα καὶ θέσιν ἔχει καὶ ἅπτεται ἀλλήλων. καὶ τοῦτο δὲ
αὐτοῖς ὑπάρχει διὰ τὰ κυρίως θέσιν ἔχοντα καὶ ἁπτόμενα, λέγω δὴ τὰ
φυσικὰ σώματα, ὧν ἐξ ἀφαιρέσεώς εἰσι τὰ μαθηματικά. πῶς δὲ τὰ 40
20 θέσιν ἔχοντα, ταῦτα καὶ ἅπτεται ἀλλήλων, κατασκευάζει ἐκ τοῦ ὁρισμοῦ
τῶν ἁπτομένων, ὃν ἀποδέδωκεν ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς ἀκροάσεως·
ἐκεῖ γὰρ εἶπεν ὅτι τὸ ἅπτεσθαι τοῦτό ἐστι, τὸ τὰ ἔσχατα ἅμα ἔχειν. εἰ
δὲ τοῦτό ἐστι τὸ ἅπτεσθαι, ταῦτα ἂν ἅπτοιτο ἃ κεχωρισμένα ὄντα μεγέθη,
τουτέστι μὴ ἡνωμένα ἀλλὰ κατ' ἰδίαν ἐπιφάνειαν περιγεγραμμένα, καὶ
25 θέσιν ἰδίαν ἔχοντα, ἅμα ἔχει τὰ ἔσχατα. οὐδὲ γὰρ ὅλως ἔσχατα ἔχειν
ἐνδέχεται ἅπερ μὴ μεγέθη ἐστί, πάλιν δ' αὖ τὰ μεγέθη ἔσχατα διάφορα
ἀδύνατον ἔχειν τὰ μὴ κεχωρισμένα ἀλλὰ συμπεφυκότα. ταῦτα δὲ καὶ
θέσιν ἔχει, ταὐτὸν δὲ τοῦτο τῷ ἐν τόπῳ εἶναι. τόπου δὲ κυριώταται 45
διαφοραὶ δύο, τὸ ἄνω καὶ τὸ κάτω· ἄνω δέ ἐστι καὶ κάτω ὅσα ἢ βάρος
30 ἔχει ἢ κουφότητα. ταῦτα δὲ ποιητικὰ καὶ παθητικὰ ὑπ' ἀλλήλων.
συνάγεται ἄρα ἐκ τούτων, ὡς ταῦτα ἅπτεται ἀλλήλων ὅσα ποιητικά ἐστι
καὶ παθητικὰ ὑπ' ἀλλήλων. ταῦτα οὖν ἐστι τὰ κυρίως ἁπτόμενα, ὅσα
πέφυκεν εἰς ἄλληλα ποιεῖν καὶ πάσχειν. ἃ δὲ πρὸς τὸν λόγον ἀπορῆσαι
δεῖ, τὴν λέξιν ἐπιόντες ἐροῦμεν.

---

1 ἐφ' ἑνὸς T πρὸς ἓν ὧν· καὶ R ὧν τὸ μὲν κυριότερον Z 2 ἀκυρότερον Za: ἀκυρώτερον R: ἀκυριώτερον G: ἀκυρίωτον T ὄν ἡ οὐσία Z: ὄν om. a 5 ἀπ'] ἐπ' T τρ' 6 et 9 κυριότατα Z 8 τὰ om. RT¹ 9 ἀκυρο Z: ἀκυριώτερον TR¹: ἀκυρώτερον (G)a et corr. R 12 ἅπτοιντο Z 14 σῶμα] ἅπτεσθαι σῶμα ἀλλ' οὐ κυρίως — ἐπινοία (ex v. 16 sq.) Z¹ καὶ (ante ἅπτοιτο) om. a 17 ἐπιπνοία R 18 τὰ (post διὰ) om. GT 20 post ἔχοντα deleta καὶ ἁπτόμενα λέγω δὴ τὰ φυσικὰ σώματα Z 21 ἀπεδέδωκεν T (ἀπέδωκεν V) ἐν τῷ πέμπτῳ κτλ.] Phys. E 3 p. 226b23 22 ὅτι τὸ RZ: ὅτι τῷ GTa 22. 23 τοῦτό ἐστι — εἰ δὲ τοῦτό ἐστι τὸ ἅπτεσθαι om. GTa 25. 27 ἔχειν ἐνδέχεται — ἀδύνατον om. GT: item a, qui mox ἔχειν τὰ mutavit in ἔχει τὰ 26 δ' αὐτὰ R 29 καὶ ὅσα R 33. 34 πρὸς τὴν λέξιν ἀπορῆσαι δὴ τὴν λέξιν Z

p. 322b31 Καὶ τὰ μὲν ὁμωνύμως τὰ δὲ θάτερα ἀπὸ τῶν ἑτέρων καὶ προτέρων. 30r

Σημειωτέον ὅτι οὐκ οἴεται ὁμώνυμα εἶναι τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ἀλλὰ τῶν πολλαχῶς μὲν λεγομένων οὐχ ὁμώνυμα δέ· ἐπὶ πλέον γὰρ τὰ πολλαχῶς λεγόμενα τῶν ὁμωνύμων. εἰ δὲ ἐν Κατηγορίαις ἐν τῇ διαιρέσει τῶν ὁμωνύμων καὶ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἓν ἐμνήσθη, φαμὲν ὅτι οὐκ ἀκριβολογούμενος. ὡς ἐν ἐκείνοις. τὰ πολλαχῶς λεγόμενα ὁμώνυμα ἐκάλεσε· τῶν οὖν πολλαχῶς λεγομένων ἐκεῖσε τὴν διαίρεσιν ἐποιήσατο. ἔστιν οὖν μεταξὺ τῶν ὁμωνύμων καὶ συνωνύμων τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν.

p. 322b32 Ὅμως δὲ τὸ κυρίως λεγόμενον ὑπάρχει τοῖς ἔχουσι θέσιν. θέσις δὲ οἷσπερ καὶ τόπος. 30v

Ποῖά ἐστι τὰ κυρίως ἁπτόμενα λέγει, ὅτι τὰ θέσιν ἔχοντα, ταῦτα δὲ τὰ ἐν τόπῳ ὄντα· τοῦτο γάρ ἐστι τὸ θέσιν ἔχειν, τὸ ἐν τόπῳ εἶναι. καὶ νῦν μὲν τοσοῦτόν φησι περὶ τῶν ἁπτομένων, ἐφεξῆς δὲ συνάξει ὅτι καὶ ποιητικὰ ἀνάγκη αὐτὰ εἶναι καὶ παθητικά.

p. 323a1 Καὶ γὰρ τοῖς μαθηματικοῖς ὁμοίως ἀποδοτέον ἁφὴν καὶ τόπον, εἴτε ἐστὶ κεχωρισμένον ἕκαστον αὐτῶν εἴτε τρόπον ἄλλον.

Ἐπειδὴ εἶπε τὰ ἁπτόμενα καὶ θέσιν ἔχειν καὶ ἐν τόπῳ εἶναι, ἀντέπιπτε δὲ αὐτῷ τί οὖν; ἐπειδὴ τὰ μαθηματικὰ μεγέθη ἅπτονται ἀλλήλων. οἷον ἡ γραμμὴ τοῦ κύκλου, ἤδη που καὶ θέσιν ἔχει καὶ ἐν τόπῳ εἰσί; διὰ τοῦτό φησιν ὅτι καὶ ταῦτα ἀνάλογον τῇ ἁφῇ καὶ θέσιν ἔχει καὶ τόπον. ταύτῃ γὰρ διαφέρει τὰ φυσικὰ τῶν μαθηματικῶν, τῷ τὰ μὲν πάθους λαμβάνεσθαι [τὰ φυσικά], βαρύτητος λέγω ἢ κουφότητος καὶ τῶν ἄλλων, τὰ δὲ κατ' ἐπίνοιαν ἄνευ πάθους κατὰ μόνας τὰς διαστάσεις τὸ εἶναι ἔχειν. τὸ δὲ ἐν τόπῳ εἶναι τοῖς σώμασιν οὐ καθὸ πάθη ἔχουσιν ὑπάρχει, ἀλλὰ καθὸ διάστημα ἔχει· ἔχει δὲ διάστημα καὶ τὸ μαθημα-

---

1 lemma om. hic a 2 καὶ τῶν προτέρων GT (etiam V) et Aristotelis codices (praeter F) 3 σημειωτέον δὲ ὅτι a ἐφ' ἑνὸς GT ἕν] ἑνὸς T 4 γὰρ τα] τὰ T¹ 5 Κατηγορίαις] init. 6 ἐφ' ἑνὸς G καὶ φαμὲν Z 8 τῶν γοῦν V ἐκεῖ a 13 τὰ om. GTa 14 τοσοῦτόν] τοῦτον GT¹: τοῦτο T² 16 lemma om. hic a, qui pergit ἐπειδὴ δὲ εἶπε 17. 18 ἄλλον τρόπον in continuatione superioris lemmatis a; at v. Aristot. cod. E 20 αὐτῷ τὸ τί V ἐπειδὴ τὰ RZ: ἐπειδὴ εἶπεν τὰ ἁπτόμενα καὶ θέσιν ἔχειν καὶ τὰ GT: οὐ καὶ τὰ a, qui post μεγέθη inserit ἐστὶ καὶ ἅπτεται (Z)a 21 τοῦ om. a ἤδη που R: ἢ δήπου GTZ: ἡ δήπου a ἔχει] ita libri εἰσί] ἐστὶν a 22 θέσει T 23 τῷ τὰ] ταῦτα R 24 ἐπιλαμβάνεσθαι, omissis τὰ φυσικά et λέγω, Z καὶ βαρύτητος R

τικόν· καὶ τοῦτο ἄρα ἐν τόπῳ ἐστίν. ἀλλ' εἰ μὲν χωριστά ἐστι τὰ μαθη- 30v
ματικὰ τῶν φυσικῶν καὶ καθ' αὑτὰ ὑφεστῶτα, καθ' αὑτὰ ἂν καὶ τόπον 15
ἔχοι καὶ κυρίως ἅπτεσθαι λέγοιτο· εἰ δὲ μή ἐστι χωριστὰ τῶν φυσικῶν,
ἀλλ' ἐν τούτοις τὸ εἶναι ἔχει, ὅπερ καὶ ἔστιν ἀληθές, δῆλον δήπου ὅτι
5 ὡς τὸ εἶναι ἔχουσιν, οὕτω καὶ τὸ ἐν τόπῳ εἶναι καὶ τὸ ἅπτεσθαι ἀλλή-
λων ἕξουσιν. εἰ τοίνυν ἐν ἐκείνοις τὸ εἶναι ἔχει, δι' ἐκεῖνα δήπου καὶ τὸ
ἐν τόπῳ εἶναι ἕξει καὶ τὸ ἅπτεσθαι ἀλλήλων.

p. 323a3 Εἰ οὖν ἐστίν, ὥσπερ διωρίσθη πρότερον.

Ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς ἀκροάσεως οὕτως ὡρίσατο τὸ ἅπτεσθαι.
10 τὸ ἔχειν τὰ ἔσχατα ἅμα. καλῶς δὲ τὸ διωρισμένα μεγέθη εἶπε, διὰ 20
τὰ μόρια τοῦ συνεχοῦς· τὰ γὰρ τοῦ συνεχοῦς μόρια μὴ ὄντα διωρισμένα
μεγέθη, ἀλλὰ δυνάμει ὄντα ἐν τῷ ὅλῳ, οὐδὲ ἅπτεσθαι λέγεται, ἀλλ' αὐτὸ
τοῦτο συνεχῆ εἶναι καὶ ἕν.

p. 323a6 Ἐπεὶ δὲ θέσις μὲν ὅσοις καὶ τόπος ὑπάρχει, τόπου
15 δὲ διαφορὰ πρώτη τὸ ἄνω καὶ τὸ κάτω.

Βούλεται διαρθρῶσαι διὰ τούτων, τίνα ἐστὶ τὰ κυρίως ἁπτόμενα, ἁπτό- 27
μενα δὲ φυσικῶς (περὶ γὰρ τῶν φυσικῶς ἁπτομένων ὁ λόγος), ἅτινα, φησί,
θέσιν τε ἔχει καὶ ἐν τόπῳ ἐστὶ καὶ ποιεῖ καὶ πάσχει εἰς ἄλληλα· τὰ γὰρ
θιγγάνοντα μόνον ἀλλήλων, μαθηματικῶς οὐ φυσικῶς ἅπτεται. ἀπορήσειε
20 δ' ἄν τις ὅτι κακῶς συνήγαγεν ὅτι τὰ θέσιν ἔχοντα πάντως καὶ βάρος 30
ἔχει ἢ κουφότητα καὶ ποιεῖ καὶ πάσχει· αἱ γὰρ ἐντὸς τῆς ἀπλανοῦς
σφαῖραι καὶ θέσιν ἔχουσι καὶ ἐν τόπῳ εἰσὶ καὶ ἅπτονται ἀλλήλων, καὶ
ὅμως οὐδὲ ποιοῦσιν οὐδὲ πάσχουσιν ὑπ' ἀλλήλων, ὡς αὐτῷ δοκεῖ Ἀρι-
στοτέλει. πῶς οὖν φησι τὰ ἁπτόμενα δεῖν πάντως ποιητικὰ εἶναι καὶ
25 παθητικά; ἢ γὰρ οὐχ ἅπτονται ἀλλήλων αἱ σφαῖραι, ἀλλ' ἢ συνεχεῖς εἰσιν
ἢ διεστήκασιν, ὅπερ ἄλογον· ἢ εἰ ἅπτονται ἀλλήλων, οὐκ ἀνάγκη τὰ
ἁπτόμενα ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων. ἤτοι οὖν ὡς ἕν τι λαμβάνει 35

---

2 καθ' αὑτὰ ἂν καὶ] καὶ καθ' αὑτὰ ἂν Z 3 ἔχοι a: ἔχῃ R: ἔχει GTZ 4. 5 ὅτι ὡς ἐν τῷ εἶναι GT 6. 7 ἔχει, δι' ἐκεῖνα δήπου καὶ τὸ ἐν τόπω εἶναι ἕξει R (item V): ἔχει ceteris omissis Z: ἕξει GT: ἔχει, ἐν ἐκείνοις a, qui mox post ἀλλήλων inserit ἕξουσι 7 post ἀλλήλων iterant εἰ τοίνυν ἐν ἐκείνοις τὸ εἶναι ἔχει GT 8 lemma om. hic a, qui pergit τὸ δ' ὥσπερ διωρίσθη πρότερον, διὰ τὰ ἐν τῷ πέμπτῳ τῆς φυσικῆς ἀκροάσεως εἰρημένα περὶ τοῦ ἅπτεσθαι. οὕτω γὰρ ὡρίσατο αὐτὸ ἐκεῖ. ἅπτεσθαί ἐστι, τὸ ἔχειν τὰ ἔσχατα ἅμα, καλῶς δὲ τὰ (sic) διωρισμένα μεγέθη εἶπεν etc. 9 Ἐν τῷ πέμπτῳ κτλ.] u. supra p. 131,21 10 μεγέθει Z 12 μεγέθη V et corr. T: μεγέθει cett. 13 τοῦτο] τὸ T συνεχεῖ GT¹: συνέχειαν R 14 ἐπεὶ δὲ et καὶ τόποις ὑπάρχει R 14. 15 πρώτη δὲ διαφορὰ τόπου a 15 καὶ τό] cf. Ar. 17 τῶν φυσικῶν ἁπτομένων GRT ἅν τινα φασὶ R 18 τὲ ἔχειν, καὶ ἐν τόπῳ εἶναι a ποιεῖν καὶ πάσχειν GTa 20 τὰ] τὸ a καὶ βάρος πάντως tr. Z 23. 24 ἀριστοτέλης Z 25 ἀλλ' ἢ] ἀλλὰ a 26 ὅπερ ἄλογον. ἢ εἰ Z: ὅπερ ἄεργον· ἢ εἰ R: ὅπερ ἄλλον ἢ GT: ἀλλήλων. εἰ δὲ a

τὸ οὐράνιον σῶμα, ὅπερ οὐδὲ θέσιν ἔχει οὐδέ ἐστιν ἐν τόπῳ (οὐδὲν γὰρ 30v
αὐτὸ ἔξωθεν περιέχει, καὶ ταύτῃ οὐκ ἐν τόπῳ, κατὰ τὸν ὑπὸ τοῦ Ἀρι-
στοτέλους ἀποδοθέντα περὶ τοῦ τόπου λόγον, ὅτι ἐστὶ τόπος 'τὸ πέρας
τοῦ περιέχοντος καθὸ περιέχει τὸ περιεχόμενον'), ἢ οὐδ' ὅλως περὶ
5 τούτου νῦν ὁ λόγος, ἀλλὰ περὶ τῶν ἐν γενέσει καὶ φθορᾷ ἁπτομένων,
ἅπερ καὶ ὁμόυλα ὄντα ἐν τῷ ποιεῖν καὶ ἀντιπάσχει, καὶ ἤτοι ἄνω πάν-
τως ἐστὶν ἢ κάτω. καὶ εἰ μὲν καλῶς ὡρίσατο ἐν τῷ πέμπτῳ τῆς 40
Φυσικῆς, ἁπτόμενα εἶναι λέγων ὧν τὰ ἔσχατα ἅμα, οὐκ ἀνάγκη πάντα τὰ
ἁπτόμενα ποιητικὰ εἶναι ἀλλήλων καὶ παθητικά· ἅπτονται γὰρ αἱ ἐντὸς τῆς
10 ἀπλανοῦς σφαῖραι ἀλλήλων, ἀλλ' ὅμως ἀπαθεῖς εἰσιν. εἰ δὲ ἀνάγκη τὰ
ἁπτόμενα ἀντιπάσχειν ὑπ' ἀλλήλων, οὐ καλῶς ἀποδέδοται ἐν τῇ Φυσικῇ
ὁ τῶν ἁπτομένων ὁρισμός· πλείονα γὰρ περιλαμβάνει. καλῶς δὲ πρώτην
εἶναι τόπου διαφορὰν εἶπε τὸ ἄνω καὶ τὸ κάτω. καὶ γὰρ πρώτη καὶ 45
μόνη τῶν τόπων αὕτη διαφορά, καθ' ἣν καὶ διαφέρει ἀλλήλων τὰ φυσικὰ
15 σώματα. αἱ γὰρ ἄλλαι ἀντιθέσεις, ἔμπροσθεν ὄπισθεν, δεξιὰ ἀριστερά,
οὐκ εἰσὶ κυρίως ἀντιθέσεις κατὰ τόπον, ἀλλ' ἐν σχέσει τῇ πρὸς ἡμᾶς τὸ
εἶναι ἔχουσι. μία οὖν μόνη ἡ τοπικὴ ἀντίθεσις, ἡ κατὰ τὸ ἄνω καὶ τὸ
κάτω, ὡς καὶ ἐν τῇ Περὶ οὐρανοῦ δέδεικται. πᾶσα γὰρ εὐθυφορικὴ
κίνησις ἢ ἀπὸ τοῦ μέσου ἐστὶν ἐπὶ τὸ πέριξ, ἢ ἀπὸ τοῦ πέριξ ἐπὶ τὸ
20 μέσον· ὧν ἡ μὲν ἄνω λέγεται, [ἡ ἐπὶ τὸ πέριξ,] ἡ δὲ κάτω. αἱ δὲ λοιπαὶ 50
ἀντιθέσεις, ὡς εἶπον, ἐν σχέσει ἔχουσι τὸ εἶναι· τὸ γὰρ ἄλλῳ δεξιὸν ἄλλῳ
ἐστὶν ἀριστερόν, καὶ τὸ ἄλλῳ πρόσω ἄλλῳ ἐστὶν ὀπίσω. ἄλλως τε καὶ αὗται
αἱ κινήσεις, εἰ μὴ κύκλῳ περιίοιεν, ἀλλὰ τῷ ὄντι κατὰ τὴν αὐτὴν θέσιν
ἐπ' ἄπειρον ἐπὶ τὰ δεξιὰ ἴοιεν, φθάνουσι τὸν οὐρανόν. ὥστε καὶ τούτοις
25 εἰς τὸ πέριξ ἡ κίνησις· τοῦτο δὲ ἦν τὸ ἄνω. ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων.

p. 323a8 Βάρος ἂν ἔχοι ἢ κουφότητα, ἢ ἄμφω ἢ θάτερον.

Θάτερον μὲν γὰρ ἔχει μόνον τὰ ἄκρα, γῆ καὶ πῦρ (τὸ μὲν γάρ
ἐστι μόνως κοῦφον, ἡ δὲ μόνως | βαρεῖα), τὰ δὲ μεταξὺ ἄμφω καὶ κου- 31r
φότητα ἔχει καὶ βαρύτητα, ἀὴρ καὶ ὕδωρ, ὡς ἐν τῇ Περὶ οὐρανοῦ ἔδειξεν·
30 τῶν μὲν γὰρ κούφων ἐστὶ βαρύτερα καὶ ταύτῃ βάρος ἔχει, τῶν δὲ βαρέων

2 τοῦ om. GTa 2. 3 Ἀριστοτέλους] Phys. Δ 4 p. 212a5 sq. Cf. Diels, *Zur Textgesch. der Ar. Physik* p. 4 sq. 3 ὑποδοθέντα T 6 ἀντιπάσχει corr. Z: ἀντιπάσχειν cett.: ἀντιπάσχειν τυγχάνει a 7. 8 καὶ εἰ — φυσικῆς RZ: ἀκροάσεως ceteris omissis GT: εἰ δὲ καὶ ὁ ἐν τῷ πέμπτῳ τῆς φυσικῆς ἀκροάσεως ἀποδοθεὶς τῶν ἁπτομένων λόγος εὖ ἔχοι, ἁπτόμενα εἶναι λέγων etc. a 9. 10 ἀλλήλων — σφαῖραι om. Z 9 γὰρ καὶ αἱ R 11 ἐπιδέδοται GT¹ 12 ὁ om. GT: ante ὁρισμός ponit a 13 εἶπε τόπου διαφορὰν εἶναι Z 17 ἡ alterum om. R 18 ὡς — Περὶ om. Z ὡς καὶ R (et V): καὶ om. GTa Περὶ οὐρανοῦ] B 2 20 ἡ (ante ἐπὶ) om. TZ: ἡ — πέριξ delevi: contra post κάτω addit· ἡ ἐπὶ τὸ μέσον V 22 αὗται (bis Z) libri 23 περίοιεν (G)a: προίοιεν Z 25 εἰς V: om. cett. ἦν] ὦ Z ὡσαύτως δὲ καὶ a 25. 27 ἄλλων. τὸ δὲ ἢ ἄμφω ἢ θάτερον εἶπεν, ἐπειδὴ θάτερον ἔχει μόνον τὰ ἄκρα etc. a 28 ἄμφω om. a 29 Περὶ οὐρανοῦ] Δ 5 ἔδειξεν] ἔχει R 30 βαρύτερον Z: βαρύτατα T

κουφότερα καὶ ταύτῃ κουφότητα ἔχει. ὥστε οὐ περὶ τοῦ κυκλοφορητικοῦ 31r
σώματος ὁ λόγος· τοῦτο γὰρ οὔτε βάρος ἔχει οὔτε κουφότητα. εἰ δὲ
δεῖ, φησὶν ὁ Ἀλέξανδρος, καὶ ἐπὶ τοῦ κυκλοφορητικοῦ σώματος ἀκούειν τὰ
εἰρημένα, ἵνα ᾖ καὶ καθολικώτερος ὁ λόγος, τὸ ἢ ἄμφω ἢ θάτερον 5
5 οὐκ ἐπὶ τῆς κουφότητος καὶ τῆς βαρύτητος ἐκληπτέον, ἀλλ' ἐπ' αὐτῶν
τῶν ἁπτομένων· ἀνάγκη γὰρ πάντως δύο εἶναι τὰ ἁπτόμενα, ἅπερ ἁπτό-
μενα ἐξ ἀνάγκης ἢ ἄμφω ἢ θάτερον αὐτῶν ἢ βάρος ἔχει ἢ κουφότητα.
καὶ τὸ ὑπ' ἀλλήλων, φησίν, ἐν οἷς λέγει ὄντων κινητικῶν καὶ
κινητῶν ὑπ' ἀλλήλων, ἀντὶ τοῦ θάτερον ὑπὸ θατέρου νοητέον, ὥσπερ
10 ἐν Κατηγορίαις εἶπεν ὑπ' ἄλληλα γένη οὐχ ἑκάτερον ἑκατέρου γένος, ἀλλὰ
θάτερον θατέρου. 10

p. 323ᵃ9 Τὰ δὲ τοιαῦτα παθητικὰ καὶ ποιητικά.

Οὐκ ἐκ συλλογισμοῦ τοῦτο εἴληφεν (οὐδὲ γὰρ εἰ βάρος ἔχει καὶ κου-
φότητα τὰ ἁπτόμενα, ἤδη ἀνάγκη ποιητικὰ αὐτὰ εἶναι καὶ παθητικὰ ὑπ'
15 ἀλλήλων), ἀλλ' ἐξ αὐτῆς τῆς ἐναργείας τοῦτο συνήγαγεν, ὅτι τὰ τούτοις
τοῖς τόποις διῃρημένα παθητικά ἐστι καὶ ποιητικά, ἀντὶ τοῦ κινητικὰ καὶ
κινητά· τοῦτο γὰρ καὶ ἐπιφέρει εὐθύς. ἐναργέστερον γὰρ ὁρῶνται τὴν
τοπικὴν κίνησιν κινούμενα ὑπ' ἀλλήλων· ἐξωθεῖται γὰρ τῶν βαρέων καὶ
κούφων ἄλλο ὑπ' ἄλλου σπεῦδον ἐπὶ τὴν χώραν τὴν οἰκείαν. ἢ δυνάμει 15
20 ἔδειξεν ὅτι ταῦτα παθητικὰ καὶ ποιητικά, εἰπὼν τοὺς τόπους αὐτῶν ἐν
οἷς εἰσιν ἐναντίους· τὰ γὰρ ἐν τοῖς ἐναντίοις τόποις ὄντα, ἐναντίας δυνάμεις
ἔχοντα, παθητικὰ καὶ ποιητικὰ ὑπ' ἀλλήλων ἀνάγκη εἶναι. καὶ εἰ οὕτως
ἐκλάβοιμεν τὸ χωρίον, δῆλον ὅτι οὐ περὶ τοῦ κυκλοφορητικοῦ σώματος ὁ
λόγος, ἀλλὰ περὶ τῶν ὁμούλων. δυνατὸν δέ, ὥσπερ ἤδη εἶπον, καὶ ἐπὶ
25 τοῦ κυκλοφορητικοῦ σώματος ἐπεκτεῖναι τὸν λόγον, τὸ ὑπ' ἀλλήλων ἀντὶ 20
τοῦ θάτερον ὑπὸ θατέρου ἐκλαμβάνοντας. ἀλλ' εἰ μὲν ὡς ἕν τι τὸ οὐρά-
νιον λάβωμεν σῶμα, οὐδὲν ἔσται τὸ ἀντικείμενον· εἰ δὲ τὰς ἐντὸς σφαίρας
ἀλλήλων ἁπτομένας θεωρήσομεν, πῶς ἔτι σωθήσεται τὸ ποιητικὰς αὐτὰς
καὶ παθητικὰς ὑπ' ἀλλήλων εἶναι, ἢ ὅλως βάρος ἔχειν ἢ κουφότητα;
30 ἔστιν οὖν τὸ ἅπτεσθαι κοινότερον μέν, ὡς αὐτὸς ἐν τῇ Φυσικῇ εἶπε, τὸ
ἔχειν ἅμα τὰ ἔσχατα (καὶ οὕτως καὶ τὰ οὐράνια τῶν τῇδε καὶ ἀλλήλων
ἅπτεται), ἰδικώτερον δὲ καὶ μᾶλλον φυσικώτερον τὸ ἔχειν ἅμα τὰ ἔσχατα 25

---

3 δεῖ] δή R 5 βαρότητος T 6 γὰρ om. GT 6. 7 ἅπερ ἁπτόμενα om. Z
10 Κατηγορίαις c. 3 p. 1ᵇ20 sqq. 12. 13 τὰ δὲ τοιαῦτα λέγων παθητικὰ καὶ ποιητικά, οὐκ ἐκ συλλογισμοῦ λαμβάνει· οὐδὲ a 12 ποιητικὰ καὶ παθητικὰ R 13 ἔχοι GRT¹Z² 14 τὰ om. R 15 ἐναργείας V: ἐνεργείας cett. 16 ποιητικά ἐστι καὶ παθητικὰ Z 17 ὁρῶνται RZ: ὁρῶντες GT (item V): ὁρῶμεν a 19 ἐπὶ τὴν οἰκείαν χώραν Z 20 ὅτι R: om. Z: ὅτι ἔστι GTa ποιητικὰ καὶ παθητικὰ Za
21 ἐν om. R 22 κἀι εἰ] εἰ καὶ a 26 ἐκλαμβάνοντος GTa 27 λάβοιμεν Za ἀντικείμενον V: ὑποκείμενον cett. 28 θεωρήσομεν RZ: θεωρήσωμεν GT: θεωρήσαιμεν a
29 βάρος] μέρος G¹T 31 οὕτω (G)a

μετὰ τοῦ τὴν δραστήριόν τε καὶ παθητικὴν ἔχειν δύναμιν εἰς ἄλληλα, ὥσπερ 31r
ἐνταῦθά φησιν.

p. 323a12 Ἐπεὶ δὲ τὸ κινοῦν οὐχ ὁμοίως κινεῖ τὸ κινούμενον,
ἀλλὰ τὸ μὲν ἀνάγκη κινούμενον καὶ αὐτὸ κινεῖν, τὸ δὲ ἀκίνητον 28
5 ὄν, δῆλον ὅτι καὶ ἐπὶ τοῦ ποιοῦντος ἐροῦμεν ὡσαύτως.

Ἀποδοὺς τίνα ἐστὶ τὰ κυρίως ἁπτόμενα ἀλλήλων, ὅτι τὰ διῃρημένα μεγέθη καὶ ἐν τόπῳ ὄντα καὶ ἔχοντα ἅμα τὰ ἔσχατα, ὄντα κινητὰ καὶ καὶ κινητικὰ ὑπ' ἀλλήλων, νῦν μέτεισιν ἐπὶ τὰ ἄλλα, ἃ καὶ αὐτὰ μὲν 35
ἅπτεσθαι λέγεται, οὐκέτι δὲ κυρίως ὁμοίως ἐκείνοις. ἐπειδὴ δέδεικται ἐν
10 τῇ Φυσικῇ ὅτι οὐ πᾶν τὸ κινοῦν κινούμενον κινεῖ, τοῦτο νῦν λαβὼν ἐξ αὐτοῦ δείκνυσιν ὅτι μηδὲ πάντα τὰ ἁπτόμενα ἁπτομένων ἅπτεται, ἐφ' ὧν οὐδὲ κυρίως ἡ ἁφὴ λέγοιτ' ἄν, ἀλλὰ κοινότερον. λαβὼν δὲ τὸ μὴ πᾶν τὸ κινοῦν κινούμενον κινεῖν, ὡς ἀκόλουθον τούτῳ λαμβάνει τὸ μηδὲ πᾶν τὸ ποιοῦν πάσχειν, καὶ τοῦτο κατασκευάζει καὶ ἐκ τῆς περὶ τοῦ ποιεῖν καὶ
15 κινεῖν τινων δόξης, ἣν καὶ ἐλέγχει. τινὲς γὰρ ταὐτὸν οἴονται εἶναι τὸ 40
κινεῖν καὶ τὸ ποιεῖν, καὶ ἀντιστρέφειν γε ταῦτα, καὶ εἴ τι ποιεῖ, τοῦτο καὶ κινεῖ πάντως, καὶ ἔμπαλιν εἴ τι κινεῖ, τοῦτο πάντως καὶ ποιεῖ. ὥστε εἰ μὴ πᾶν τὸ κινοῦν κινούμενον αὐτὸ κινεῖ, τὸ δὲ κινεῖν ποιεῖν ἐστιν, οὐδὲ πᾶν ἄρα τὰ ποιοῦν ἀνάγκη πάντως πάσχειν. ἀλλ' εἰ καὶ τοῦτο ἀληθές,
20 τὸ μὴ πᾶν τὸ ποιοῦν πάσχειν, ἀλλ' οὖν ψεῦδος τὸ ταὐτὸν οἴεσθαι εἶναι τὸ κινεῖν τῷ ποιεῖν. διαφέρει γὰρ ταῦτα ἀλλήλων τῷ καθολικωτέρῳ καὶ μερικώτερῳ· ἐπὶ πλέον γὰρ τὸ κινεῖν τοῦ ποιεῖν. ὥστε εἴ τι μὲν ποιεῖ, τοῦτο πάντως κινεῖ, οὐκέτι μέντοι εἴ τι κινεῖ, τοῦτο ἀνάγκη καὶ ποιεῖν. 45
καὶ τοῦτο κατασκευάζει ἐκ τοῦ ἀντικειμένου, λέγω δὴ τοῦ πάσχειν· εἰ γὰρ
25 εἰδείημεν τί ποτέ ἐστι τὸ πάσχειν, γνωσόμεθα καὶ τί τὸ ποιεῖν ἐστι. πάσχειν οὖν ἐστι τὸ κατὰ ποιότητα μεταβάλλειν, οἷον λευκαίνεσθαι θερμαίνεσθαι καὶ ἁπλῶς ἀλλοιοῦσθαι κατὰ ποιότητα. εἰ τοίνυν τοῦτό ἐστι τὸ πάσχειν, καὶ τὸ ποιεῖν ἄρα τοῦτό ἐστι, τὸ κατὰ ποιότητα μεταβάλλειν. ὅσα ἄρα τῶν κινούντων εἰς πάθος τι ἄγει τὰ κινούμενα, ταῦτα δηλονότι
30 καὶ ποιεῖ· ὅσα δὲ τῶν κινούντων μὴ εἰς πάθος ἄγει τὰ κινούμενα, ταῦτα κινεῖ μὲν οὐ ποιεῖ δέ. τὰ γοῦν κατὰ τόπον κινοῦντα οὐκ εἰς πάθος ἄγει 50
τὰ κινούμενα· τὸ γοῦν οὐράνιον σῶμα κινεῖται μὲν κατὰ τόπον, οὐκ ἀλλοιοῦται δέ. ἐπὶ πλέον ἄρα τὸ κινεῖν τοῦ ποιεῖν. καὶ ἐντεῦθεν ἔχεις τὴν αἰτίαν, δι' ἣν οὐ φαίνεται Ἀριστοτέλης ποιητικὸν εἶναι λέγων τὸν θεὸν τοῦ

---

1 δραστικὴν καὶ Z 5 καὶ om. a 7 μεγέθει R 9 ἐπεὶ δὲ a 10 Φυσικῇ] Θ 6 τοῦτον (sic etiam Z) οὖν λάβωμεν GT 13 κινεῖ R 13. 14 τὸ ποιοῦν πᾶν Z 15 οἴοντε GT¹: ὤοντο a 17 scripserim κινεῖν πάντως et πάντως καὶ ποιεῖν καὶ (ante ποιεῖ) om. GTa ὥστ' εἰ a 19. 20 ἀλλ' εἰ — πάσχειν om. GT 23 εἴ τι που κινεῖ a τοῦτο κινεῖ tr. GT 28. 29 τοῦτό ἐστι, τὸ κατὰ — ὅσα ἄρα om. add. mg. T² 29 τὰ om. a 29. 30 ταῦτα δηλονότι — μὴ εἰς πάθος ἄγει τὰ κινούμενα RZ: om. GTa 32 τὸ γοῦν] τὸ ||| Z¹: τὸ γὰρ a

κόσμου. εἰ γὰρ ποιεῖν ἐστι τὸ κατὰ ποιότητα μεταβάλλειν, ὁ δὲ θεὸς τῆς 31r
οὐσίας τοῦ παντός ἐστι δημιουργός, δῆλον ὅτι οὐκ ἂν κυρίως λεχθείη ποιεῖν τὸν κόσμον, ἀλλὰ μᾶλλον δημιουργεῖν καὶ παράγειν.

p. 323a20 Ἐκεῖνο δ' οὖν φανερόν, ὅτι ἔστι μὲν ὡς τὰ κινοῦντα
5 τῶν κινουμένων ἅπτοιτο ἄν, ἔστι δὲ ὡς οὔ.

Δείξας ὅτι ἐπὶ πλέον | ἐστὶ τὸ κινεῖν τοῦ ποιεῖν, ἐπάνεισιν ἐπὶ 31v
τὸν περὶ τῶν ἁπτομένων λόγον, δι' ὃν καὶ τῶν κινούντων καὶ κινουμένων ἐμνήσθη. φησὶν οὖν· ἐπειδὴ τῶν κινούντων τὰ μὲν κινούμενα κινεῖ τὰ δὲ μὴ κινούμενα, φανερὸν ἐκ τούτων ὅτι τινὰ μὲν τῶν κινούντων καὶ
10 ἅπτεται τῶν κινουμένων, τινὰ δὲ οὔ. ἐφ' ὧν μὲν γὰρ τὰ κινούμενα καὶ ἀντικινεῖ, κυρίως ἐπὶ τούτων τὸ ἅπτεσθαι λέγεται· ἐπὶ δὲ τῶν κινούντων μέν, οὐκ ἀντικινουμένων δέ, οὐ κυρίως ἡ ἁφὴ λέγεται. οὔτε γὰρ ἡ εἰκὼν 5
οὔτε ἡ λοιδορία ἅπτεται κυρίως τῆς ψυχῆς, ἐπεὶ μηδὲ ἀντιπάσχει ὑπ' αὐτῆς. οὐδὲ γὰρ ἐπὶ τούτων εἴποι ἄν τις τὰ ἔσχατα ἅμα εἶναι, ὅπερ δεῖ
15 πάντως ὑπάρχειν τοῖς κυρίως ἁπτομένοις.

p. 323a22 Ἀλλ' ὁ διορισμὸς τοῦ ἅπτεσθαι καθόλου μὲν τῶν θέσιν ἐχόντων καὶ τοῦ μὲν κινητικοῦ τοῦ δὲ κινητοῦ, πρὸς ἄλληλα δὲ 9
κινητοῦ καὶ κινητικοῦ, ἐν οἷς ὑπάρχει τὸ ποιεῖν καὶ πάσχειν.

Εἰπὼν ὅτι μὴ πάντα τὰ κινοῦντα καὶ ἅπτεται τῶν κινουμένων, διο- 16
20 ρίζεται νῦν καὶ λέγει τίνα ἐστὶν ἐν τοῖς κινοῦσι τὰ ἁπτόμενα· καὶ ἀπαριθμεῖται τρία σημαινόμενα τοῦ ἅπτεσθαι, δύο μὲν κοινότερα, ἓν δὲ ἰδικώτερόν τε καὶ κυριώτερον. καθόλου μὲν οὖν ἅπτεσθαι λέγει τὰ θέσιν ἔχοντα, τουτέστι τὰ κατὰ θέσιν ἁπτόμενα, οὕτω δὲ καὶ τὰ μαθηματικὰ ἅπτεται ἀλλήλων, καὶ τὰ οὐράνια καὶ ἑαυτῶν καὶ τῶν τῇδε. καὶ γὰρ καὶ 20
25 τὴν γραμμὴν καὶ τὴν ἐπιφάνειαν αὐτὸς θέσιν ἔχειν λέγει· καὶ εἰ οἷς ὑπάρχει θέσις, τούτοις ὑπάρχει καὶ τόπος, εἴη ἂν καὶ ἡ γραμμὴ ἐν τόπῳ καὶ τὰ οὐράνια. καίτοι τίς ἂν εἴη γραμμῆς τόπος; ἀλλ', ὡς ὁ Ἀλέξανδρός φησι, θέσις ἂν εἴη κοινῶς ὑπ' αὐτοῦ λεγομένη ἡ τάξις ἡ πρὸς ἄλληλα τῶν κινεῖσθαι δυναμένων, καὶ ἡ τοῦ ἀθρόου ἅμα ὑπόστασίς τε καὶ ὑπο-
30 μονή, ὡς ἐν Κατηγορίαις λέγει. δοκεῖ δὲ ὡς τὸ εἶναι ἔχει ταῦτα, οὕτω καὶ τόπον, ὡς αὐτὸς εἶπε "καὶ γὰρ τοῖς μαθηματικοῖς ὁμοίως ἀποδοτέον 25
ἁφὴν καὶ τόπον". πρῶτον μὲν οὖν καὶ κοινότατον τοῦτο σημαινόμενον

---

4 lemma om. hic a, qui pergit δείξας δὲ ὅτι 5 κινουμένων] κινητῶν Aristot. 7 τῶν om. a δι' ὧν GT 9 καὶ om. a 12 δέ om. GT 13 ἀντιπάσχη GT: ἄν τι πάσχη R 16 τῶν RZ: ὁ τῶν GTa Arist. 17 νικητικοῦ Z 18 κινητικοῦ καὶ κινητοῦ a Arist. (praeter cod. E) καὶ τὸ πάσχειν Ra; cf. Ar. et infra p. 138,10 19. 20 διωρίζεται a 23 θέξιν RZ: om. GT: τὰ ἔσχατα a 24 et 27 ἅπτεται et ὁ om. R 30 Κατηγορίαις] cf. c. 6 p. 5b15sqq. 31 ὡσαύτως εἶπε Z καὶ γὰρ κτλ.] p. 323a1 ὁμοίοις RT

τῶν ἁπτομένων, ὥσπερ καὶ ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς ὡρίσατο, ὅτι 31v
ἁπτόμενά ἐστιν ὧν ἅμα τὰ ἔσχατα. δεύτερον δέ, ὅταν τὸ μὲν κινῇ τὸ δὲ
κινῆται· καὶ τοῦ μὲν γάρ φησι κινητοῦ, τοῦ δὲ κινητικοῦ. κατὰ
τοῦτο δὲ τὰ μὲν μαθηματικὰ οὐχ ἅπτονται ἀλλήλων, οὐδὲ ὅσων οὐκ ἔστι
5 τὸ μὲν ποιητικὸν τὸ δὲ παθητικόν, τὰ δὲ οὐράνια ἅπτεται τῶν τῇδε· τὰ
μὲν γὰρ ποιεῖ, τὰ δὲ πάσχει. τρίτον δέ, ὅπερ ἰδικώτατόν ἐστι καὶ κατ' 30
αὐτὸν κυριώτατον, ὡς ἐν τοῖς φυσικῶς ἁπτομένοις ταῦτα ἅπτεσθαι λέγει
τῶν κινούντων καὶ κινουμένων, ἐν οἷς ἐστι τὸ ὑπ' ἀλλήλων ἀντικινεῖσθαί
τε καὶ ἀντιπάσχειν. τοῦτο γὰρ σημαίνει διὰ τοῦ πρὸς ἄλληλα δὲ κινη-
10 τοῦ καὶ κινητικοῦ, ἐν οἷς ὑπάρχει τὸ ποιεῖν καὶ τὸ πάσχειν.
τὸ δὲ πρὸς ἄλληλα ἀντὶ τοῦ ὑπ' ἀλλήλων, ἐν τούτοις δὲ οὐκέτ' ἂν τὰ
οὐράνια ἀπαριθμοῖτο. ἤτοι οὖν ὡς τρία σημαινόμενα ταῦτα ἀπαριθμεῖται,
ἢ καὶ ὡς ἕν· ἀλλὰ τὴν ἀρχὴν ἀπροσδιορίστως εἰπὼν ὅτι τὰ ἁπτόμενα 35
ταὐτά ἐστι τὰ θέσιν ἔχοντα, ὧν τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει, ἐφεξῆς δὲ
15 ἀκριβέστερον προσδιοριζόμενος ἐπήγαγεν ὅτι δεῖ ταῦτα καὶ ἀντικινεῖσθαι
ὑπ' ἀλλήλων καὶ ἀντιπάσχειν.

p. 323a25 Ἔστι μὲν οὖν ὡς ἐπὶ τὸ πολὺ τὸ ἁπτόμενον ἁπτομένου ἁπτόμενον· καὶ γὰρ κινεῖ κινούμενα πάντα σχεδὸν τὰ ἐμποδών.

20 Εἰπὼν περὶ τῶν κυρίως ἁπτομένων, λέγει καὶ περὶ τῶν κοινότερον
ἅπτεσθαι λεγομένων. φησὶν οὖν ὅτι ὡς μὲν ἐπὶ τὸ πολὺ πᾶν τὸ ἁπτό-
μενον ἁπτομένου ἅπτεται, ἐν οἷς καὶ κυρίως τὸ ἅπτεσθαι· εἰ γὰρ τὰ
ἁπτόμενα κινητικά ἐστιν ἀλλήλων, ἀνάγκη ὅσα τὴν τοῦ ἀντικινεῖσθαι ἔχει
δύναμιν ἁπτομένων ἅπτεσθαι. διὰ τί δὲ ὡς ἐπὶ τὸ πολὺ τὸ ἁπτόμενον 40
25 ἁπτομένου ἅπτεται; ἐπειδὴ τὰ ἐμποδὼν [πάντα], τουτέστι τὰ ἐν γενέσει,
σχεδὸν πάντα κινοῦντα ἀντικινεῖται. καὶ καλῶς τὸ σχεδόν· οὐδὲ γὰρ ἡ
εἰκὼν ἢ ὁ ἐρώμενος ἢ ἁπλῶς τὸ ὀρεκτὸν κινοῦντα ἀντικινεῖται. τὰ δὲ
οὕτως κινοῦντα καὶ ἀντικινούμενα ἁπτομένων ἅπτεται, οὐ πᾶν δὲ τὸ ἁπτό-
μενον ἁπτομένου ἅπτεται, ἐπειδὴ μηδὲ πᾶν τὸ κινοῦν ἀντικινούμενον κινεῖ.
30 ἐφ' ὧν οὖν τὰ κινοῦντα μὴ ἀντικινεῖται ὑπὸ τῶν κινουμένων, αὐτὰ μὲν
ἅπτεται τῶν κινουμένων, τὰ δὲ κινούμενα τῶν κινούντων οὐχ ἅπτεται· 45
ὥστε τὰ μὲν οὐράνια ἅπτεσθαι τῶν τῇδε ταῦτα δὲ μὴ ἅπτεσθαι τῶν
οὐρανίων, καὶ τὴν λοιδορίαν ἅπτεσθαι τοῦ λοιδορουμένου τὸν δὲ λοιδορού-

---

2 κινεῖ GTZ[1] 3 κινεῖται GT καὶ—φησι] τοῦ μὲν ὄντος a κινητοῦ etc.] ita libri 4 οὐχ om. Z ἅπτεται a 6 εἰδικώτατόν R 7 κυρίως GTa φυσικῶς scripsi: φυσικοῖς libri ἁπτόμενα R: om. Z 9 τε om. T 12 ταῦτα σημαινόμενα Z 13 ἀπροσδιωρίστως GT[1]Z[1] ὅτα (sic) G: ὅτε (ε in eras.) T 14 δὲ delendum (an εἶπεν scrib. v. 13?) 15 δεῖ καὶ ταῦτα καὶ GTa 17 lemma om. hic a, qui pergit εἰπὼν δὲ περὶ ὡς ἐπὶ πολὺ G 18 σχεδὸν πάντα Z 20 λέγει] XXVI fere litterae erasae T; cf. G ubi post λέγει καὶ iterantur περὶ τῶν κυρίως ἁπτομένων καὶ 25 πάντα delevi 28 οὕτω a 29 κινοῦν RZ: κινούμενον GTa 33 τὸν] τὸ a

μενον μὴ ἅπτεσθαι τῆς λοιδορίας. καὶ ἐπὶ τῶν ὀρεκτῶν καὶ τῆς ὀρεκτικῆς 31v
δυνάμεως ὡσαύτως, ἐφ' ὧν κοινότερον καὶ τὸ ἅπτεσθαι λέγεται, οὐ κυρίως.
ὥστε αὖ τὰ μὲν κυρίως ἁπτόμενα ἁπτομένων ἅπτεται, ἐπειδὴ καὶ κινοῦντα
ἀντικινεῖται· τὰ δὲ μὴ κυρίως ἁπτόμενα οὐχ ἁπτομένων ἅπτεται, ἐπειδὴ 50
5 καὶ κινεῖ μὴ ἀντικινούμενα.

p. 323a27 Οἷς ἀνάγκη καὶ φαίνεται τὸ ἁπτόμενον ἅπτεσθαι ἁπτομένου.

Προσθετέον τὸ 'ὥσπερ', ἵν' οὕτως ᾖ 'οἷς ἀνάγκη τὸ ἁπτόμενον ἅπτεσθαι ἁπτομένου, ὥσπερ καὶ φαίνεται'. εἰπὼν δὲ ὅτι ἔστι δὲ ὡς
10 ἐνίοτέ φαμεν τὸ κινοῦν ἅπτεσθαι μόνον τοῦ κινουμένου, ἐπήνεγκε τὸ δὲ ἁπτόμενον μὴ ἅπτεσθαι ἁπτομένου, ὡς ἴσον ὂν τῷ 'τὸ δὲ κινούμενον μὴ ἅπτεσθαι τοῦ κινοῦντος'.

p. 323a30 Ἀλλὰ διὰ τὸ κινεῖν κινούμενα τὰ ὁμοιογενῆ, ἀνάγκη δοκεῖν εἶναι ἁπτομένου ἅπτεσθαι.

15 Ἐπειδὴ δοκεῖ τῶν πρός τι εἶναι τὰ ἁπτόμενα (τὸ γὰρ ἁπτόμενον ἁπτομένου ἅπτεται), αὐτὸς δὲ εἶπεν ὅτι οὐ πάντως τὸ ἁπτόμενον ἁπτομένου ἅπτεται, διὰ τοῦτο τὴν αἰτίαν προστίθησι δι' ἣν οἰόμεθα πᾶν τὸ ἁπτόμενον ἁπτομένου ἅπτεσθαι· διότι γάρ, ὡς εἶπεν ἀνωτέρω, "πάντα 32r
σχεδὸν τὰ ἐμποδών", τουτέστι τὰ παρ' ἡμῖν, λέγω δὲ τὰ ἐν γενέσει καὶ
20 φθορᾷ, τοιαῦτά ἐστι, διὰ τοῦτο καὶ πάντα τοιαῦτα οἰόμεθα εἶναι. ὁμογενῆ δὲ εἶπεν ἀντὶ τοῦ ὁμόυλα (πολλαχοῦ γὰρ 'γένος' τὸ ὑποκείμενον καὶ τὴν ὕλην λέγει), ἅπερ καὶ κινοῦντα ἀντικινεῖται. ἢ ἁπλῶς ὁμογενῆ λέγει τὰ σώματα. καὶ γὰρ εἰ μὴ πᾶν σῶμα κινοῦν ἀντικινεῖται ὑπὸ τοῦ κινουμένου 5
ὑπ' αὐτοῦ, ἀλλ' οὖν πάντως κινούμενον αὐτὸ οὕτω κινεῖ. διὰ τοῦτο οὖν
25 δοκεῖ καὶ τὸ ἁπτόμενον πᾶν ἁπτομένου ἅπτεσθαι. ἀλλ' εἰ καὶ κινεῖται, ἀλλ' οὖν οὐκ ἀντικινεῖται. διὰ τοῦτο οὐδὲ ἁπτόμενον ἁπτομένου ἅπτεται. ὥστε καὶ εἴ τι εἴη κινοῦν αὐτὸ ἀκίνητον ὄν, πολλῷ μᾶλλον αὐτὸ μὲν ἅπτοιτο τοῦ κινουμένου, τὸ δὲ κινούμενον ἐκείνου οὐκέτι. εἴπομεν δὲ ὅτι τὰ οὕτως ἁπτόμενα, ὡς ἅπτεσθαι μὴ ἁπτομένων, οὐδὲ κυρίως ἅπτεται· πάντα γὰρ

1 ὀρεκτικῆς Za: ὀρεκτῆς GRT 2 κοινώτερον a τὸ om. R 3 αὖ τὰ scripsi: ἁπτὰ codices: τὰ μὲν κυρίως ἁπτὰ coni. a 6 lemm. om. pergit ἐν δὲ τῷ οἷς ἀνάγκη, προσθετέον a οἷς] ὅσοις Ar. 7 τοῦ ἁπτομένου Z 9 ἁπτομένου ἅπτεσθαι a 10 μόνου Arist. (praeter codd. EL) 13 omisso hic lemmate pergit ἐπειδὴ δὲ a ὁμογενῆ cod. Laur. 85,1 14 δοκεῖν RZ: δοκεῖ GT: cf. Ar. 16. 17 αὐτὸς — ἅπτεται om. a τοῦ ἁπτομένου G 17 προτίθησι T 18 ἀνωτέρω p. 323a26 19 δὲ RZ: δὴ GTa 21 τοῦ τὰ ὁμόυλα R πολλαχοῦ κτλ.] cf. Index in Philop. Phys. p. 987a8 sq. 23. 24 ἀπὸ τοῦ κινουμένου ἀπ' αὐτοῦ GRT 24 αὐτὸ] αὐτῷ GT 27 fort. μὲν ἂν ἅπτοιτο (at cf. Ar. codd. p. 323a32)

τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται. ὥστε εἴ τι κυρίως ἅπτεται, ἁπτο- 32ᵛ
μένου ἅπτεται.

p. 323ª33 Περὶ μὲν οὖν ἁφῆς τῆς ἐν τοῖς φυσικοῖς διωρίσθω τὸν τρόπον τοῦτον.

Εἶπε γὰρ αὐτὸς ὅτι τῶν πολλαχῶς λεγομένων ἡ ἁφή, ἡ δὲ κυρίως 11
λεγομένη ἁφὴ ἐν τοῖς φυσικοῖς ἐστιν. ἐμνημόνευσε μέντοι καὶ τῆς οὐ φυσικῆς, τῆς τε ἐν τοῖς μαθηματικοῖς καὶ τῆς ἐν τοῖς ἁπτομένοις μὴ ἁπτομένων, ἅπερ οὐ φυσικῶς ἅπτεται, μᾶλλον δὲ οὐδὲ κυρίως.

p. 323ᵇ1 Περὶ δὲ τοῦ ποιεῖν καὶ πάσχειν λεκτέον ἐφεξῆς. 11

Διαλεχθεὶς περὶ ἁφῆς, νῦν διαλέγεται περὶ τοῦ ποιεῖν καὶ πάσχειν. 31
τὸ δὲ προκείμενον οὐ διακρῖναι τὸ ποιεῖν καὶ πάσχειν τῆς ἁφῆς (ἤδη γὰρ διέκρινεν), ἀλλὰ δεῖξαι πῶς γίνεται τὸ ποιεῖν καὶ πάσχειν. ὡς ἔθος δέ, καὶ νῦν τὰς τῶν παλαιοτέρων περὶ τοῦ ποιεῖν καὶ πάσχειν πρότερον ἐκτίθεται δόξας, καὶ ταύτας διελέγξας οὕτω τὴν οἰκείαν εἰσάγει. τῶν οὖν περὶ τοῦ ποιεῖν καὶ πάσχειν εἰρηκότων, φησίν, οἱ μὲν πλείους τὸ ἐναντίον εἰς τὸ ἐναντίον ποιεῖν ἔφασαν· τὸ γὰρ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθὲς εἶναι. 35
εἰ γὰρ πάσχει τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, κἂν αὐτὸ ὑφ' αὑτοῦ πάθοι. εἰ δὲ τοῦτο, οὐδὲν ἂν εἴη τῶν ὄντων ἄφθαρτον οὐδὲ ἀίδιον. ἀδύνατον ἄρα τὸ ὅμοιον εἰς τὸ ὅμοιον ποιεῖν. τί γὰρ μᾶλλον δράσει ἢ πείσεται, τῆς αὐτῆς οὔσης ἔν τε τῷ ποιοῦντι καὶ τῷ πάσχοντι δυνάμεως; νῦν δὲ ὁρῶμεν τὰ μὲν ποιητικήν τε καὶ δραστήριον, τὰ δὲ παθητικὴν μᾶλλον ἔχοντα δύναμιν. τὸ ἐναντίον ἄρα ὑπὸ τοῦ ἐναντίου πείσεται, καὶ οὐ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου. κἂν γάρ τι δοκῇ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν, 40
οἷον τὸ πολὺ πῦρ ὑπὸ τοῦ ὀλίγου (ἐὰν γὰρ εἰς πυρκαϊὰν προσενέγκῃς λύχνον, σβέννυται), οὐχ ᾗ ὅμοιον ἀλλ' ᾗ ἐναντίον πάσχει (ἐναντίον γὰρ τὸ πολὺ τῷ ὀλίγῳ), ἐκδαπανωμένης τῆς ὕλης τοῦ ἐλάττονος πυρὸς ὑπὸ τοῦ μείζονος. οἱ μὲν οὖν πλείους, ὡς ἔφθην εἰπών, τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου πάσχειν φασίν. ἰδίως δὲ παρὰ τοὺς ἄλλους ὁ Δημόκριτος τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν φησί. τὰ γὰρ πάντῃ, φησίν, ἀνόμοια καὶ ἕτερα οὐδὲν ποιεῖν εἰς ἄλληλα πέφυκεν οὐδὲ πάσχειν ὑπ' ἀλλήλων. διὰ τοῦτο

1 ἀντιστρέφοντι a 3 lemma om hic, qui pergit τὸ δὲ ἐν τοῖς φυσικοῖς προσέθηκεν, ἐπειδὴ αὐτὸς εἶπεν ὅτι τῆς] τοῖς R 4 τοῦτον τὸν τρόπον Ar. 6 λεγομένη ἁφὴ ἡ ἐν R 6. 7 οὐ φυσικοῖς GTZa 8 οὐδέ] οὐ Z 11 διακρίναι (sic) RZ: διακρίνει GTa 11. 12 τῆς ἁφῆς—γίνεται τὸ ποιεῖν καὶ πάσχειν RZ: om. GTa 14 οἰκίαν a 15 τοῦ ZR²: τὸ GR¹Ta 16. 17 ἀπαθὲς—ὁμοίου bis R 17 fort. γὰρ πάσχοι καὶ αὐτὸ ὑφ' αὑτοῦ πάθοι ἂν a αὐτοῦ Z 18 οὐδὲ ἂν εἴη TZ 19 εἰς τὸ ὅμοιον om. GTa 21 ποιητικήν a ἔχοντα] ἔσχατα T 23 δοκεῖ GT¹Z 24 οἷον τὸ ὀλίγον πῦρ ὑπὸ τοῦ πολλοῦ em. a 26 ὀλίγον Z ἐκδαπανομένης GT: ἐκδαπανουμένης Z 28 φησὶν GTa 28. 29 ἰδίως—φησί om. GT 28 ἰδίως (Ar. p. 323ᵇ10) RZ: ἰδία a 29 φησί (post πάσχειν) R: φασὶ Za 30 οὐδὲ ποιεῖν T

γοῦν γλυκύτης οὐδὲν ἂν ποιήσει εἰς μελανίαν οὐδὲ βαρύτης εἰς γλυκύτητα, 32r
ἐπειδὴ τούτοις οὐδεμία κοινωνία. δεῖ ἄρα τὰ ποιοῦντα καὶ τὰ πάσχοντα 46
μὴ εἶναι ἀνόμοια, ἀλλὰ ταὐτά· χρῶμα γὰρ εἰς χρῶμα ποιεῖ καὶ χυμὸς
εἰς χυμὸν καὶ τὰ ἄλλα ὁμοίως. τὰ ἄρα ὅμοιά ἐστι τὰ ποιητικὰ καὶ πα-
5 θητικὰ ὑπ' ἀλλήλων, καὶ οὐ τὰ ἐναντία. ἐγὼ δέ, φησί, λέγω ὅτι οὔτε
ὅμοιά εἰσι τὰ ποιοῦντα καὶ πάσχοντα, οὔτε πάντῃ ἀνόμοια καὶ ἐναντία.
ὅμοια μὲν οὐκ εἰσίν, ὅτι τὸ ὅμοιον οὐδὲν πάσχει ὑπὸ τοῦ ὁμοίου· ⟨εἰ γὰρ 50
τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου⟩ πάσχει τι, καὶ ὑφ' ἑαυτοῦ πείσεται· καὶ γὰρ
αὐτὸ ἑαυτῷ πᾶν ἐστιν ὅμοιον. εἰ δὲ τοῦτο, οὐδὲν ἔσται ἄφθαρτον καὶ
10 ἀίδιον. διὰ ταῦτα μὲν οὐκ ἔσονται τὰ ποιοῦντα καὶ πάσχοντα ὅμοια.
ἀλλὰ δὴ οὐδὲ πάντῃ διάφορα καὶ ἐναντία· οὐδὲ γὰρ γραμμὴ ὑπὸ λευκό-
τητος πείσεται, οὐδὲ γλυκύτης ὑπὸ μελανίας. οὕτως οὖν ἀνατρέψας τὰς
τῶν παλαιῶν δόξας, ἔρχεται λοιπὸν ἐπὶ τὴν αὐτῷ δοκοῦσαν.

Τὰ μὲν οὖν παρὰ τῶν παλαιοτέρων περὶ τοῦ ποιεῖν καὶ πάσχειν εἰρη-
15 μένα | ταῦτά ἐστιν. ἐοίκασι δέ, φησίν, οὗτοι ἐναντία λέγοντες εἰς ταὐτὸν 32v
ἄγεσθαι. τούτου δὲ αἴτιον ὅτι εἰς μέρος ἑκάτερος αὐτῶν ἀπέβλεψεν δέον
ὅλον τι θεωρῆσαι. τῷ γὰρ ὄντι τὰ ποιοῦντα καὶ πάσχοντα οὔτε
πάντῃ ἕτερά ἐστιν οὔτε πάντῃ ταὐτά, ἀλλὰ πῇ μὲν ὅμοια πῇ δὲ ἀνόμοια
καὶ ἐναντία. ἐπεὶ γὰρ οὐ τὸ τυχὸν εἰς τὸ τυχὸν ποιεῖ (οὐ γὰρ ποιεῖ θερ-
20 μότης εἰς γλυκύτητα ἢ εἰς γραμμήν), ἀλλὰ τὸ ἐναντίον εἰς τὸ ἐναντίον (τὸ 5
γὰρ λευκὸν εἰς τὸ μέλαν καὶ τὸ γλυκὺ εἰς τὸ πικρόν), τὰ δ' ἐναντία καὶ
γένος κοινὸν ἔχει καὶ ὑποκείμενον, δῆλον ἄρα ὅτι τὰ ποιοῦντα καὶ
πάσχοντα πῇ μὲν ταὐτά ἐστι κατὰ τὸ γένος καὶ ὑποκείμενον πῇ δ' ἐναν-
τία κατὰ τὸ εἶδος. τῶν οὖν παλαιοτέρων ὅσοι μὲν εἰς τὸ γένος ἀπέβλεψαν
25 τῶν ποιούντων καὶ πασχόντων, τὰ ὅμοια ποιεῖν εἰς ἄλληλα καὶ πάσχειν
ἔφασαν· ὅσοι δὲ εἰς τὸ εἶδος, τὰ ἐναντία.

p. 323b 4 Διὰ τὸ μηδὲν μᾶλλον ποιητικὸν ἢ παθητικὸν εἶναι θάτερον θατέρου.

Δεῖ γὰρ τὸ μὲν ποιοῦν τὴν δραστήριον ἔχειν δύναμιν, τὸ δὲ 10
30 πάσχον τὴν παθητικήν. τὰ δὲ ὅμοια ἴσην ἔχοντα καὶ τὴν αὐτὴν
δύναμιν, τί μᾶλλον ἑκάτερον αὐτῶν ποιητικὸν ἔσται ἢ παθητικόν;
ὥστε οὔτε ποιήσει οὔτε πείσεται ὑπ' ἀλλήλων, ὁμοίαν γε ἔχοντα
καὶ τὴν αὐτὴν ποιητικήν τε καὶ παθητικὴν δύναμιν. εἰ δέ τις

1 γοῦν] οὖν a ποιήσει T¹Z¹; ποιήση RT²Z²: ποιήσειεν (G)a: fort. ποιήσοι
3 ταῦτα R γὰρ] δὲ GT 4 τὰ ὅλα R: τἄλλα a 4. 5 καὶ τὰ παθητικὰ GTa
7 τὸ om. Ra οὐδὲ a 7. 8 εἰ — πάσχει τι scripsi: πάσχει τὶ GTR: εἰ δὲ πάσχει τὶ Z: εἰ γὰρ πάσχει τὶ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου a 9 πᾶν] πάντῃ a 10 ἔσεται a
13 παλαιοτέρων Z 14 παρὰ a: περὶ cett. 19 ἐπεὶ] εἰ a 23 τὰ πάσχοντα a
ταῦτα R κατὰ — ὑποκείμενον om. a κατά τε τὸ GT² post ὑποκείμενον iterant δῆλον — ταυτὰ ἐστὶν GT 24 ἀπέβλεψαν εἰς τὸ γένος Z 26 τἀναντία (G)a 28 θάτερον om. Z 29 ποιοῦν τι δραντήριον Z 30 ὅμοια RZ: ὄντα GTa τὴν αὐτὴν] ταύτην R 31 αὐτῷ T¹ 32 ποιήση a

εἴποι ὅτι οὐδὲν ἄτοπον τὸ ποιοῦντα καὶ ἀντιπάσχειν (τοιαῦτα γὰρ τὰ 32v
ὁμόυλα), φημὶ ὅτι τὸ μὲν ἀντιπάσχειν οὐκ ἄτοπον, τὸ δὲ μηδὲ μᾶλλον
ἄτοπον. τὸ γὰρ ποιοῦν εἰ καὶ ἀντιπάσχει, ἀλλὰ μᾶλλον δρᾷ ἢ πάσχει,
καὶ τὸ πάσχον εἰ καὶ ποιεῖ, ἀλλὰ μᾶλλον πάσχει ἢ ποιεῖ. ἐπὶ δὲ τῶν 15
5 ὁμοίων οὐδὲν μᾶλλον ἐν ἑκατέρῳ ἐστὶν ἢ ποιητικὴ ἢ παθητικὴ δύναμις.
ὥστε οὐ πείσεται τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου. καὶ εἰ τὸ ποιοῦν εἰς ἑαυτὸ
βούλεται μεταβάλλειν τὸ πάσχον, τὸ δὲ ὅμοιον οὐκ ἂν εἰς τὸ ὅμοιον
τραπείη (ἔστι γὰρ ἤδη καὶ πρὸ τῆς τροπῆς ἐκεῖνο εἰς ὃ καὶ μεταβάλλει),
δῆλον ἄρα ὅτι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου οὐ πείσεται.

10 p. 323b22 Οὐδὲν ἂν εἴη οὔτε ἄφθαρτον οὔτε ἀκίνητον.

Καὶ γὰρ τὸ κινεῖν ποιεῖν τί ἐστιν. ὥστε εἰ αὐτό τι ὑφ' ἑαυτοῦ 20
πάσχει, αὐτό τι πάντως ὑφ' ἑαυτοῦ πᾶν κινηθήσεται καὶ αὐτὸ ὑφ' ἑαυτοῦ
πᾶν φθαρήσεται. ὥστε οὐδὲν ἔσται ἄφθαρτον οὐδ' ἀκίνητον, ὅπερ ἀδύνα-
τον. δέδεικται γὰρ ἐν τῇ Φυσικῇ, ὅτι τε πᾶν τὸ κινούμενον ὑπό τινος
15 κινεῖται καὶ ὅτι αὐτὸ ἑαυτὸ οὐδὲν κινεῖ, εἰ μὴ κατ' ἄλλο μόριον καὶ ἄλλο,
ὡς τὸ ζῷον (ἄλλῳ γὰρ κινεῖ, τῇ ψυχῇ, καὶ ἄλλῳ κινεῖται, τῷ σώματι),
καὶ ὅτι οὐ πάντα κινεῖται, ἀλλ' εἰσὶ πρὸ τῶν κινουμένων τὰ ἀκίνητα αἴτια·
τὰ γὰρ πρώτως κινοῦντα ἀκίνητα. οὐ καλῶς δὲ συνάγειν δοκεῖ, ὅτι εἰ τὸ 25
ὅμοιον ὑπὸ τοῦ ὁμοίου παθητικὸν καὶ διὰ τοῦτο καὶ αὐτὸ εἰς ἑαυτό τι
20 ποιήσει, ἤδη μηδὲν εἶναι ἀκίνητον μηδὲ ἄφθαρτον· τί γὰρ εἰ λέγοι τις
ὅτι κινητικὸν μὲν ἔσται τι αὐτὸ ἑαυτοῦ καὶ παθητικὸν αὐτὸ ὑφ' ἑαυτοῦ,
τὸ πεφυκὸς μέντοι κινεῖσθαι καὶ πάσχειν· τὸ δ' ὅλως μὴ πεφυκὸς οὔτε
πείσεται ὑφ' ἑαυτοῦ τό γε μὴ πεφυκὸς πάσχειν πάθος οὔτε κινήσει ἑαυτὸ
ἀκίνητον ὄν; ἀλλ' ἀκριβῶς προσέθηκεν εἴπερ τὸ ὅμοιον ἢ ὅμοιον
25 ποιητικόν· εἰ γὰρ ἢ ὅμοιον ποιητικόν, καὶ πᾶν ὑφ' ἑαυτοῦ πείσεται
καὶ οὐδὲν ἔσται ἀκίνητον οὐδὲ ἄφθαρτον. 30

p. 323b28 Οὐκ ἐξίστησι γὰρ ἑαυτὰ τῆς φύσεως ὅσα μήτε ἐναντία μήτε ἐξ ἐναντίων ἐστίν.

Ὅτι οὐδὲν ποιεῖ τὸ πάντῃ ἕτερον εἰς τὸ ἕτερον, οἷον ἡ γραμμὴ εἰς
30 λευκότητα, εἰ μὴ κατὰ συμβεβηκός, τεκμήριον ποιεῖται τὸ μὴ ἐξιστᾶν
ἑαυτὰ τῆς φύσεως· τὸ γὰρ ποιοῦν εἴς τι ἐξιστᾶν αὐτὸ βούλεται τῆς αὐτοῦ

---

1 ποιοῦν GTa 6 εἰ om. GTa 8 ἤδει a εἰς ἐκεῖνο εἰς ὃ a 10 ἀλλὰ μὴν οὐδὲ ἄφθαρτον οὐδὲ ἀκίνητον φησί τι ἔσται pro lemmate a 11 ποιεῖν RZ: καὶ ποιεῖν GTa ἐστί τι Z εἰ] εἰς R 12 πάντων a ἑαυτοῦ πῶς κινηθήσεται Z 14 γὰρ] δ' Z Φυσικῇ] Θ 4 sqq. τε om. a 16 post alterum ἄλλῳ addunt τῷ (sc. τῷ) GT τῷ σώματι κινεῖται tr. Z 20 λέγει GTZ 24 προσέθηκε τὸ. εἴπερ a εἴπερ] εἴπε GT 24. 25 ἢ] ἢ utrobique R 25 εἰ γὰρ — ποιητικόν om. GTa 27 omisso hic lemmate pergit ὅτι δὲ οὐδὲν ποιεῖ a ἑαυτά] ἄλληλα Ar. (praeter codd. FH) 30 τεκμόριον T μὴ ἐξανιστᾶν Z 31 αὐτοῦ libri

φύσεως. ὅτε δὲ λέγεται τὸ μέλαν εἰς τὴν ἐν τῷ λευκῷ γραμμὴν ποιεῖν, 32ᵛ
δῆλον ὅτι κατὰ συμβεβηκὸς ἐποίησεν εἰς τὴν γραμμήν· καὶ γὰρ μετὰ τὸ
μέλαν γενέσθαι τὸ λευκὸν ἔμεινεν ἡ γραμμὴ γραμμὴ καὶ οὐκ ἐξέστη τῆς
φύσεως. δῆλον ἄρα ὅτι κατὰ συμβεβηκὸς ἐποίησε τὸ μέλαν εἰς τὴν
5 γραμμήν, διότι συνέβη τὴν γραμμὴν λευκὴν εἶναι. τῷ οὖν εἰς τὸ λευκὸν 35
ἐν τῇ γραμμῇ ὑπάρχον δρᾶσαι τὸ μέλαν, λέγεται κατὰ συμβεβηκὸς καὶ ἐν
τῇ γραμμῇ δρᾶσαι. ὡς ἐπὶ παραδείγματος δὲ εἶπεν 'τὴν γραμμὴν μέλαιναν
εἶναι', λέγε δὲ σὺ ἀντὶ τῆς γραμμῆς τὴν ἐπιφάνειαν. διὰ μὲν οὖν τοῦ
εἰπεῖν ὅσα μήτε ἐναντία τὰ ἄκρα ἐδήλωσε, τὸ λευκὸν καὶ τὸ μέλαν,
10 διὰ δὲ τοῦ μήτε ἐξ ἐναντίων τὰ μεταξύ, οἷον τὸ φαιόν.

p. 323ᵇ29 Ἀλλ' ἐπεὶ οὐ τὸ τυχὸν πέφυκε πάσχειν ἢ ποιεῖν, 40
ἀλλ' ὅσα ⟨ἢ⟩ ἐναντίωσιν ἔχει.

Μέχρι μὲν οὖν ὧδε τοὺς τῶν παλαιοτέρων ἐξέθετο λόγους, ἐντεῦθεν 51
δὲ λοιπὸν τὴν ἰδίαν δόξαν ἐκτίθεται. βουλόμενος δὲ δεῖξαι ὅτι τὸ ποιοῦν
15 καὶ τὸ πάσχον πῇ μὲν ὅμοιά ἐστι πῇ δὲ ἀνόμοια, κέχρηται συλλογισμῷ
τοιούτῳ, λαμβάνων ἐκ τῆς ἐναργείας ὡμολογημένον ὅτι τὰ ποιοῦντα καὶ
πάσχοντα ἢ ἐναντίωσιν ἔχει ἢ ἐναντία ἐστίν, ἐναντίωσιν μὲν ἔχειν
λέγων τὰ μεταξύ, οἷον τὸ φαιὸν ὅταν εἰς τὸ λευ|κὸν ποιῇ ἢ εἰς ἄλλο τι 33ʳ
χρῶμα, ἐναντία δέ, οἷον τὸ λευκὸν καὶ τὸ μέλαν. ἔστιν οὖν ὁ συλλογισμὸς
20 τοιοῦτος· τὰ ποιοῦντα καὶ πάσχοντα ἐναντία ἐστί, τὰ ἐναντία πῇ μέν ἐστι
τὰ αὐτὰ πῇ δὲ ἕτερα (γένει γὰρ τὰ αὐτά, εἴδει δὲ ἕτερα), τὰ ποιοῦντα
ἄρα καὶ πάσχοντα πῇ μέν εἰσι τὰ αὐτὰ πῇ δὲ ἕτερα.

p. 323ᵇ33 Πέφυκε γὰρ σῶμα μὲν ὑπὸ σώματος, χυμὸς δὲ ὑπὸ
χυμοῦ.

25 Παραδείγματα ὅτι ὅμοιά ἐστι τὰ ποιοῦντα καὶ πάσχοντα. σῶμα δὲ 5
ὑπὸ σώματός φησι πάσχειν οὐχ ἁπλῶς, ἀλλὰ τὸ πεποιωμένον· πάλιν δὲ

---

1 ὅτε F: ὅτι GRT: ὅταν Za λέγηται GZa τὸ μέλαν] ὅτι τὸ μέλαν ποιεῖ a
1. 2 ποιεῖν, δῆλον ὅτι—γραμμήν Z: om. GT: κατὰ συμβεβηκὸς λέγεται a: verba δῆλον ὅτι—φύσεως (4) om. R 4 ἄρα om. Z 5. 6 τὸ λευκὸν τὸ ἐν a 6. 7 καὶ εἰς τὴν γραμμὴν em. a 6 ἐν (post καὶ) om. G 7 δρᾶσαι a: δρᾶται cett. παραδείγματος Z: παραδείγματι cett. 9 εἰπεῖν ὅτι ὅσα a 11 ποιεῖν ἢ πάσχειν Z: πάσχειν καὶ ποιεῖν a Arist. 12 ἢ ἐναντίωσιν ἔχει scripsi cl. Arist. cod. E: ἐναντίως ἔχει RZ: ἐναντία ἢ ἐναντίωσιν ἔχει GT: ἢ ἐναντία ἐστὶν, ἢ ἐναντίωσιν ἔχει a; at cf. infra v. 17 13 οὖν om. GTa 14 δὲ (ante δεῖξαι) om. GT 15 πῇ μὲν οὖν ὅμοιά Z 16 ἐνεργίας Z ὁμολογημένον GT¹Z 17 καὶ (pro priore ἢ) Z ἔχειν] ἔχει R 18 ποιεῖ Z 19 οὖν om. GT: ἔστι δὲ scripsit a 20. 21 πῇ μὲν ταυτὰ (om. ἐστι) a 21 γένη Z γὰρ ταῦτα GT: γὰρ ταυτὰ a 23 lemma om. hic a μὲν om. GT 25. 26 παραδείγματα δὲ τοῦ ὅμοια εἶναι τὰ ποιοῦντα καὶ πάσχοντα, τίθησι, τὸ σῶμα ὑπὸ σώματος πάσχειν, καὶ χυμὸν ὑπὸ χυμοῦ. σῶμα δὲ ὑπὸ σώματός φησι a 25 εἰσι R 26 τὸ] τὸ μὲν T πεποιωμένον a: πεποιημένον cett.

χρῶμα ὑπὸ χρώματος λέγων πάσχειν τὸ ἐν ὑποκειμένῳ δηλονότι 33r
λέγει.

p. 324a1 Τούτου δ' αἴτιον ὅτι τὰ ἐναντία ἐν τῷ αὐτῷ γένει.

Αἴτιον, φησί, τοῦ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν, ὅτι τὰ ποιοῦντα
5 καὶ πάσχοντα ἐναντία, τὰ δὲ ἐναντία ὑπὸ τὸ αὐτὸ γένος, τὰ ποιοῦντα ἄρα
καὶ πάσχοντα ὁμοιογενῆ.

p. 324a5 Ἐπειδὴ τὸ πάσχον καὶ τὸ ποιοῦν τῷ μὲν γένει ταὐτά.

Δείξας ὅτι τὰ ποιοῦντα καὶ πάσχοντα ὁμογενῆ, λαβὼν ὡμολογημένον
ὅτι τὰ ποιοῦντα καὶ πάσχοντα ἐναντία ἐστί, νῦν βούλεται δεῖξαι ὅπερ
10 ὡμολογημένον εἴληφε, λέγω δὲ ὅτι τὰ ποιοῦντα καὶ πάσχοντα ἐναντία ἐστί. 10
δείκνυσι δὲ πάλιν τοῦτο λαβὼν ὅτι τὰ ποιοῦντα καὶ πάσχοντα πῇ μὲν
ὅμοιά εἰσι πῇ δ' ἀνόμοια· τοιαῦτα δέ ἐστι τὰ ἐναντία· τὰ ποιοῦντα ἄρα
καὶ πάσχοντα ἐναντία. ἔστι δὲ ἡ δεῖξις διάλληλος.

p. 324a8 Καὶ γὰρ ὅλως φθορὰ καὶ γένεσις ἐν τούτοις.

15 Ἐπὶ πλέον ἡ γένεσις καὶ ἡ φθορὰ τοῦ ποιεῖν καὶ πάσχειν· ἔστι γὰρ
καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν τὶς γένεσις καὶ τὶς φθορά, καὶ ἡ φθορὰ δὲ
καὶ ἡ γένεσις οὐκ ἄνευ τοῦ ποιεῖν καὶ πάσχειν. εἰπὼν οὖν ὅτι τὸ ποιεῖν
καὶ πάσχειν ἐν τοῖς ἐναντίοις, κατασκευάζει τοῦτο ἐκ τοῦ μᾶλλον. καὶ γὰρ ἡ 15
γένεσις καὶ ἡ φθορά, φησίν, ἐν τούτοις· ἐξ ἐναντίου γὰρ εἰς ἐναντίον ἡ
20 γένεσις καὶ ἡ φθορὰ ὁμοίως, ὡς δέδεικται ἐν τῇ Φυσικῇ. εἰ τοίνυν ἡ
γένεσις καὶ ἡ φθορὰ ἐν τοῖς ἐναντίοις, ἐν οἷς ἄρα οὐκ ἔστιν ἐναντίωσις, ἐν
τούτοις οὐκ ἔστι γένεσις καὶ φθορά. τοιοῦτον δέ ἐστι τὸ πέμπτον στοιχεῖον.

---

1 τὸ a: τῷ GRT: τὰ Z ἐν om. R 3 omisso hic lemmate pergit αἴτιον δέ φησι a; item 8 et 15 (δείξας δὲ et ἐπὶ πλέον δὲ) 4 τοῦ τὸ scripsi: τοῦτο libri 7 Ἐπειδὴ] ἐπεὶ δὲ vel ἐπεὶ δὲ καὶ Ar. codd. τὸ μὲν πάσχον Z ταυτὸν corr. Z 8 καὶ πάσχοντα om. GTa ὁμοιογενῆ Z ὡμολογούμενον GT[1] (ὁμολ. corr. T): ὁμολογημένον a 9 καὶ τὰ πάσχοντα T 11 τοῦτο πάλιν Z 15 ἡ φθορὰ οὖσα τοῦ ποιεῖν καὶ τοῦ πάσχειν a 16 καὶ τὶς] καὶ τῆς a 17. 18 εἰπὼν — πάσχειν RZ (sed καὶ τὸ πάσχειν R): om. GTa 18. 21 ἐν τοῖς ἐναντίοις ἐστὶν, ἐκ δὲ τούτου πρῶτον μὲν κατασκευάζει ἐκ τοῦ μᾶλλον, ὅτι τὸ ποιεῖν καὶ πάσχειν ἐν τοῖς ἐναντίοις. εἰ γὰρ ἡ γένεσις καὶ ἡ φθορὰ ἐν τούτοις, δηλονότι τοῖς ἐναντίοις, ἐξ ἐναντίου γὰρ εἰς ἐναντίον ἡ γένεσις καὶ ἡ φθορὰ, ὡς δέδεικται ἐν τῇ φυσικῇ, καὶ τὸ ποιεῖν καὶ πάσχειν ἐν τοῖς ἐναντίοις ἔσται. δεύτερον δὲ οἷόν τε συμπεραίνειν, ὅτι εἰ ἡ γένεσις καὶ ἡ φθορὰ ἐν τοῖς ἐναντίοις, ἐν οἷς ἄρα a 18 τοῦτο RT: τοὺς Z: om. (G) καὶ γὰρ] γὰρ om. Z 20. 21 ὁμοίως — ἡ γένεσις καὶ ἡ φθορὰ om. R 20 ὡς Z: om. GT Φυσικῇ] cf. supra p. 83,15 22 τοιοῦτο Ga 22 — p. 145,5 στοιχεῖον. ἑξῆς δὲ ἐπάγει, ὅτι εὔλογον τὸ θερμὸν καὶ τὸ ψυχρὸν ποιητικὰ ὄντα καὶ παθητικὰ θερμαίνουσί τε καὶ ψύχουσι, καὶ ἑαυτοῖς τὰ πάσχοντα ποιοῦσιν ὅμοια. ὅτι δὲ τὸ ποιοῦν ἐξομοιοῖ ἑαυτῷ a

p. 324a9 Διὸ καὶ εὔλογον ἤδη τό τε πῦρ θερμαίνειν καὶ τὸ 33r
ψυχρὸν ψύχειν.

Ἐναντία γὰρ ταῦτα· διὸ καὶ ποιητικὰ καὶ παθητικά.

p. 324a10 Καὶ ὅλως τὸ ποιητικὸν ὁμοιοῦν ἑαυτῷ τὸ πάσχον.

Ὅτι τὸ ποιοῦν ὁμοιοῖ ἑαυτῷ τὸ πάσχον κατασκευάζει, δεδειγμένον 21
ἔχων ὅτι ἡ γένεσις εἰς τὸ ἐναντίον ἐστὶ μεταβολὴ καὶ ὅτι τὸ ποιοῦν καὶ
τὸ πάσχον ἐναντία. ἔστιν οὖν ἡ κατασκευὴ τοῦ συλλογισμοῦ τοιαύτη· ἡ
γένεσις ἤτοι τὸ γινόμενον καὶ ἁπλῶς τὸ μεταβάλλον εἰς τὸ ἐναντίον ἑαυτῷ
μεταβάλλει, ἐναντίον δὲ τῷ γινομένῳ καὶ μεταβάλλοντι τὸ ποιοῦν, τὸ γινό-
μενον ἄρα καὶ ἁπλῶς τὸ πάσχον τε καὶ μεταβάλλον εἰς τὸ ποιοῦν μετα-
βάλλει, τὸ ἄρα ποιοῦν ὅμοιον ἑαυτῷ ποιεῖ τὸ πάσχον.

p. 324a14 Κατὰ λόγον δὲ μὴ ταὐτὰ λέγοντας ἀμφοτέρους.

Εὔλογον, φησί, τὸ λέγειν ὅτι καίπερ οὐ ταὐτὰ λέγοντες οἵ τε ὅμοια
λέγοντες εἶναι τὰ ποιοῦντα καὶ πάσχοντα καὶ οἱ ἀνόμοια, ὅμως ἀμφότεροι
τῆς φύσεως αὐτῶν ἅπτονται. πῶς δ' ἑκάτερος αὐτῶν τῆς φύσεως ἅπτεται, 35
ἐπήγαγεν. καὶ γὰρ ἡ κοινὴ χρῆσις, φησί, τῶν ἀνθρώπων ὁτὲ μὲν οὕτως
ὁτὲ δὲ οὕτως εἴωθε λέγειν. λέγομεν γάρ, φησίν, ὁτὲ μὲν ὅτι ὁ ἄνθρωπος
ὑγίανεν ἐκ τοῦ ὑποκειμένου καλοῦντες τὸ ὑγιαζόμενον, ὁτὲ δὲ ὅτι ὁ νοσῶν
ὑγίανεν ἐκ τοῦ πάθους καλοῦντες, καὶ θερμαίνεσθαι ποτὲ μὲν τὸν λίθον
ποτὲ δὲ τὸ ψυχρόν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ποιούντων ποτὲ μὲν θερμᾶναι
λέγομεν τὸν ἄνθρωπον, ὅταν δηλονότι τῇ ἁφῇ θερμάνῃ, ποτὲ δὲ τὸ θερμὸν
θερμᾶναι. ἐπεὶ οὖν τὰ ποιοῦντα καὶ τὰ πάσχοντα ποτὲ μὲν ἐκ τοῦ ὑπο- 40
κειμένου καλοῦνται ποτὲ δὲ ἐκ τοῦ πάθους, ὅσοι μὲν εἰς τὸ ὑποκείμενον
αὐτῶν ἀπέβλεψαν, τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν ἔφασαν (ὁμόυλα
γάρ ἐστιν, ὡς εἴρηται, τὰ ποιοῦντα καὶ τὰ πάσχοντα), ὅσοι δὲ εἰς τὸ
πάθος, τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου. δῆλον δὲ ὅτι, ὅταν λέγω ὁμόυλα
εἶναι τὰ ποιοῦντα καὶ τὰ πάσχοντα, οὐ κατὰ τὴν προσεχῆ ὕλην φημὶ καὶ
ἐσχάτην (δῆλον γὰρ ὅτι ἑτέρως δεῖ κεκρᾶσθαι τὸ ὑποκείμενον σῶμα τῷ
λευκῷ χρώματι, ἑτέρως δὲ τὸ τῷ μέλανι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων), 45
ἀλλὰ κατὰ τὴν πρώτην, ἥτις ἐστὶν ἡ αὐτὴ καὶ θερμοῦ καὶ ψυχροῦ δεκτικὴ

6 ἔχον GRT 10. 11 μεταβάλλοι a 11 πάσχειν compend. R 12 κατὰ λόγον δὲ μὴ ταῦτα (sic) RZ: καὶ κατὰ λόγον δὴ τὸ μὴ ταὐτὰ GTa Arist. (sed δὲ cod. E) 13 ταῦτα R 14 καὶ πάσχοντα om. R 15 αὕτη (pro priore αὐτῶν) R ἑκάτερον T¹ 16 φησί om. a 16. 17 ὅτε μὲν οὕτως ὅτε δὲ Z 16 ὅτι μὲν R 17 λεγόμενα γάρ Z ὅτι ὁτὲ μὲν Z 18 et 19 ὑγίανεν] ὑγείαν ἐν G: ὑγ*ίαν εν T 22 οὖν καὶ τὰ a καὶ πάσχοντα Z 28 κεκερᾶσθαι Z τοῦ ὑποκειμένου GT 30 ἡ αὐτὴ om. Z

καὶ λευκοῦ καὶ μέλανος. ἀλλ' εἰ τοῦτο, καὶ διὰ τὴν πρώτην ὕλην ὁμούλα 33r
φαμεν τὰ ποιοῦντα καὶ πάσχοντα, διὰ τί μὴ πᾶν ὑπὸ παντὸς πάσχει καὶ
πᾶν εἰς πᾶν ποιεῖ, καὶ λευκότης, φημί, εἰς γλυκύτητα καὶ εἰς εὐωδίαν ἢ
δυσωδίαν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως; πάντων γὰρ μία καὶ κοινὴ ὕλη
5 ἡ πρώτη. λέγω οὖν ὅτι οὐκ ἀρκεῖ μόνον εἰς τὸ ποιεῖν τινα καὶ πάσχειν
εἰς ἄλληλα τὸ εἶναι τὴν ὕλην αὐτῶν κοινήν (οὕτω γὰρ ἂν τὸ τυχὸν 50
εἰς τὸ τυχὸν ἐποίει· πάντα γὰρ ὁμούλα), ἀλλὰ δεῖ πρὸς τῷ κοινὴν εἶναι
τὴν ὕλην καὶ ἐναντία εἶναι τὰ εἴδη τῶν ποιούντων καὶ πασχόντων.

Ἀπορήσειε δ' ἄν τις ἐπὶ τούτοις· εἰ τὰ ἐναντία ἐστὶν ἅπερ καὶ κοινὴν
10 ὕλην ἔχει τὴν πρώτην τὰ ποιοῦντα καὶ πάσχοντα, διὰ τί μὴ ποιεῖ τὸ ἐν
ἵππῳ λευκὸν εἰς τὸ μέλαν τὸ ἐν ἐβένῳ, καὶ ἁπλῶς πᾶν μέλαν εἰς πᾶν
λευκόν; λέγω | τοίνυν ὅτι οὐδὲ ὁμούλα ταῦτα κυρίως. οὔτε γὰρ τὴν προ- 33v
σεχεστάτην ὕλην τῶν μεταβαλλόντων δεῖ λαμβάνειν οὔτε τὴν πρωτίστην·
ἐπὶ μὲν γὰρ τῶν ἁπλῶν στοιχείων τὸ τριχῇ διαστατὸν κοινὴ τούτων ἐστὶν
15 ὕλη. ἐπὶ δὲ τῶν συνθέτων οὐ δεῖ ταύτην λαμβάνειν κοινὴν ὕλην οὐδὲ τὴν
ἐσχάτην. ἀλλὰ τὴν μεταξύ. οἷόν τι λέγω. ἔστι τι κράσεως πλάτος, καθ'
ἣν ἡ τοῦ ἀνθρώπου γίνεται σάρξ· ἐν τῷ πλάτει τούτῳ συμβαίνει ποτὲ 5
μὲν λευκαίνεσθαι τὴν σάρκα ποτὲ δὲ μελαίνεσθαι, ἐπιτεινομένων τινῶν
ποιοτήτων ἢ ἀνιεμένων· τοῦτο οὖν τὸ πλάτος τῆς κράσεως τῆς σαρκὸς
20 κοινὴν λέγω ὕλην τῶν ἐναντίων τῶν εἰς ἄλληλα μεταβαλλόντων ἐν τῇ τοῦ
ἀνθρώπου σαρκί. τὸ αὐτὸ καὶ ἐπὶ πάντων. διὸ οὐ πᾶν ἐναντίον εἰς
πᾶν μεταβάλλει, διότι μηδὲ κοινὴ ἡ ὕλη κατὰ τὸν εἰρημένον τρόπον τῷ
ἐν γάλακτι φέρε λευκῷ καὶ τῷ ἐν τῇ ἐβένῳ μέλανι. ἄνωθεν τοίνυν φημὶ
διαρθρῶν τὸ πᾶν θεώρημα, ὅτι τὰ μὲν ποιοῦντα καὶ πάσχοντα προσεχῶς 10
25 ὁμούλα ὄντα πάντως ἐναντία ἐστίν, οὐ πάντως δὲ τὰ ἐναντία ποιεῖ καὶ
πάσχει. οὔτε γὰρ τὸ σκληρὸν εἰς τὸ μαλακὸν ποιεῖ, οὔτε τὸ ἄνω εἰς τὸ
κάτω, οὔτε ἁπλῶς τὸ λευκὸν εἰς τὸ μέλαν, οὔτε πᾶν ἐναντίον εἰς πᾶν
ἐναντίον, ἀλλὰ ταῦτα τῶν ἐναντίων ποιεῖ καὶ πάσχει εἰς ἄλληλα, ὅσα τὴν
δραστήριον ἔχει δύναμιν (τοιαῦτα δὲ μάλιστά ἐστι τὸ θερμὸν καὶ τὸ
30 ψυχρόν), ὅσα μέντοι ποιεῖ καὶ πάσχει προσεχῶς ὁμούλα ὄντα πάντως
ἐναντία ἐστί. προσέθηκα δὲ 'προσεχῶς', διότι δρᾷ ἡ ψύξις εἰς τὴν μαλα- 15
κότητα· τὸ γὰρ μαλακὸν γένοιτο ἂν ὑπὸ ψυχροῦ σκληρόν, οἷον ὁ κηρός,
ἢ ὑπὸ θερμοῦ, οἷον ὁ πηλός, καὶ οὐ δήπου ἢ τὸ ψυχρὸν ἐναντίον ἂν εἴη
τῷ ἐν κηρῷ μαλακῷ, ἢ τὸ θερμὸν τῷ ἐν πηλῷ, ἢ ὅλως τὸ θερμὸν ἢ
35 ψυχρὸν ἐναντία ἐστὶ τῷ μαλακῷ. ποιοῦσι δὲ εἰς τὸ μαλακὸν οὐ προσεχῶς·
προσεχῶς γὰρ εἰς τὰ ἐναντία ποιοῦσι. τὸ μὲν γὰρ ψυχρὸν εἰς τὸ ἐν τῷ
κηρῷ θερμὸν δρᾶσαν καὶ ἐκδιαφορῆσαν αὐτό, συνεκδιαφορουμένης δηλονότι

---

2 ὑπὸ] ἐπὶ R¹ 4. 5 ἡ ὕλη ἡ a 6 αὐτὴν Z 7 πρὸς τὸ libri, praeter corr. Z 7. 8 κοινὴν ὕλην εἶναι Z 10 καὶ τὰ πάχοντα GTa ποιῇ R 11 λευκῷ Z ἐβαίνω GT¹; item v. 23 et p. 147,32 12 ὅτι om. T¹ 13 μεταβαλόντων R 14. 15 ἐστὶν ἡ ὕλη a 19 ἀνιομένων R 20 ὕλην λέγω Z 24 ὅτι] καὶ GT 29 ἐστὶ μάλιστα Z 33 ὁ om. GT δήπου τὸ ψυχρὸν ἡ Z 37 θερμῶν R

καί τινος ὑγρᾶς οὐσίας σὺν τῷ θερμῷ, ἐν ᾗ καὶ τὸ εἶναι εἶχεν, οὕτω 33v
συμβαίνει τὸν κηρὸν παγῆναί τε καὶ σκληρὸν γενέσθαι. ὥστε προσεχῶς
ἡ ψύξις εἰς τὴν θερμότητα ἔδρασε καὶ δι' αὐτὴν εἰς τὴν ὑγρότητα, καὶ 21
οὕτω λοιπὸν κατὰ συμβεβηκὸς εἰς τὴν μαλακότητα. οὕτω καὶ ἐπὶ ὕδατος
5 ἡ ψύξις δράσασα ποιεῖ κρύσταλλον· προσεχῶς τὸ ἔμφυτον θερμὸν τὸ ἐν
αὐτῷ διαφορῆσαν ἢ καὶ παντελῶς ἔστιν ὅτε ἀποσβέσαν καὶ συνεκδιαφορῆσάν
τινα οὐσιώδη τοῦ ὕδατος ὑγρότητα, ἢ τῇ ἐπιτάσει τῆς ψύξεως τό γε ἀλη-
θέστερον πιλῆσαν τὰ μόρια τοῦ ὕδατος καὶ πυκνῶσαν, οὕτω ποιεῖ τὸ ὕδωρ 25
σκληρὸν καὶ ἀντίτυπον ἀντὶ ὑπεικτικοῦ καὶ μαλακοῦ. ὡσαύτως δὲ καὶ ἡ
10 θερμότης ἐπὶ τοῦ πηλοῦ τὴν ἐν τῷ πηλῷ ψύξιν ἀποσβέσασα, ἢ εἰς θερ-
μότητα μεταβάλλουσα καὶ ἐκδιαφορήσασα, συνεκδιαφορεῖ τῇ θερμότητι
τὴν ὑγρὰν οὐσίαν ἐν ᾗ καὶ τὸ εἶναι εἶχεν ἡ ψύξις· καὶ οὕτω τὸ κατα-
λειπόμενον σκληρὸν ἀντὶ μαλακοῦ γέγονε, τῆς θερμότητος πρώτως εἰς τὴν
ψύξιν τὴν ἐν τῷ πηλῷ δρασάσης. εἴρηται δὲ ταῦτα ἀκριβῶς ἐν τῷ
15 τετάρτῳ τῶν Μετεώρων. 30

Μήποτε δὲ οὕτω δεῖ λέγειν, ὅτι ἡ θερμὴ καὶ ξηρὰ τοῦ πυρὸς οὐσία
εἰς τὴν ψυχρὰν καὶ ὑγρὰν τοῦ πηλοῦ δράσασα, καὶ μεταβαλοῦσα ταύτην
ἢ ἐκδιαφορήσασα, οὕτω ποιεῖ σκληρὸν τὸν πηλόν· ὥστε προσεχῶς τὸ
ἐναντίον εἰς τὸ ἐναντίον ἐποίησε. τὸ μὲν οὖν 'προσεχῶς' διὰ τοῦτο προσέ-
20 θηκα, τὸ δὲ 'ὁμόυλα' διὰ τὰ οὐράνια. κἂν γὰρ ἡ πρώτη ὕλη κοινὴ τῶν
ὑπὸ σελήνην, τὸ τριχῇ λέγω διαστατόν, ἀλλ' οὐχ ἡ προσεχεστέρα, ὡς
δύνασθαι τὸ μὲν τῶν ἐναντίων ἀποβάλλειν, τὸ δὲ δέχεσθαι. ποιεῖ οὖν καὶ 35
τὰ οὐράνια προσεχῶς εἰς τὸ ὑπέκκαυμα (πρώτως γὰρ αὐτὸ κινεῖ), καὶ
πάσχει τὸ ὑπέκκαυμα ὑπὸ τῶν οὐρανίων προσεχῶς, ἀλλ' ὅμως οὐκ ἔστιν
25 ἐναντία ταῦτα· τοῦτο δὲ διότι, ὡς εἶπον, οὐδὲ ὁμόυλα. καλῶς ἄρα εἴρηται
ὅτι τὰ ποιοῦντα καὶ πάσχοντα προσεχῶς ὁμόυλα ὄντα πάντως ἐναντία
ἐστίν.

Ἀπορήσειε δ' ἄν τις καὶ τοῦτο εἰκότως ἐν τῷ περὶ τῶν ἐναντίων
λόγῳ, πῶς λέγομεν τὰ ἐναντία μεταβάλλειν εἰς ἄλληλα. εἰ γὰρ μὴ πάντα
30 τὰ ἐναντία ποιεῖ καὶ πάσχει εἰς ἄλληλα, εὔλογον μηδὲ πάντα τὰ ἐναντία 40
μεταβάλλειν εἰς ἄλληλα. οὐ γὰρ δὴ τὸ ἐν ψιμυθίῳ λευκὸν μεταβάλλοι
ἂν εἰς τὸ ἐν ἐβένῳ μέλαν ἢ εἰς τὸ ἐν κόρακι. οὐκ ἄρα πᾶν ἐναντίον εἰς
πᾶν ἐναντίον μεταβάλλει. εἰ τοίνυν ἀληθὴς ὁ λόγος ὁ λέγων τὰ ἐναντία
μεταβάλλειν εἰς ἄλληλα, οὐ μεταβάλλει δὲ τὸ ἐν ψιμυθίῳ λευκὸν εἰς τὸ μέλαν
35 τὸ ἐν ἐβένῳ, οὐδ' ἂν ἐναντίον αὐτῷ εἴη, ὅπερ ἄτοπον· καθόλου γὰρ τὸ

---

2 τὸ T 3 αὐτῆς a 4 οὕτω δὲ καὶ a τοῦ ὕδατος GT 5 κρύσταλον R fort. ⟨τὸ γὰρ ψυχρὸν⟩ προσεχῶς 6 διαφορήσασα et ἀποσβέσασα καὶ συνεκδιαφορήσασα (item mox πλήσασα et πυκνώσασα) a 7 τοῦ ψύχους a 8 πιλῆσαν RZ: πλῆσαν GT 9 καὶ μαλακοῦ om. GT ἡ om. GT 10 ἢ] ἡ R 11 μεταβαλοῦσα a 14. 15 ἐν τῷ τετάρτῳ τῶν Μετεώρων] c. 5 sqq. 16 δεῖ] δὴ GRT¹ 17 καὶ ὑγρὰν om. GT μεταβαλλοῦσα R 18 ποιεῖ a: ποιεῖν cett. 21 τῷ τριχῇ G 24 οὐνίων GRTZ: ἐναντίων a λλ' 31 ψιμιθίῳ a: sim. v. 34. p. 148,18 al. μεταβάλοι G: μεταβα Z 34. 35 τὸ μέλαν τῷ ἐν ἐβαίνω (ἐβένω T²) GT: τὸ ἐν ἐβένῳ μέλαν a

λευκὸν ἐναντίον τῷ μέλανι. ὥστε εἰ τὸ καθόλου λευκὸν τῷ καθόλου 33v
μέλανι ἐναντίον, καὶ τὸ τί ἄρα τῷ τινί. δοκεῖ οὖν ἑκατέρωθεν ὁ λόγος 45
ἀναγκάζεσθαι ἕν τι τῶν κοινῶν ὁμολογημάτων ἀναιρεῖν, ἢ ὅτι οὐκ ἔστιν
ἁπλῶς τὸ λευκὸν τῷ μέλανι ἐναντίον, εἰ μὴ πᾶν εἰς πᾶν μεταβάλλει, ἢ
5 ὅτι οὐ τὰ ἐναντία πάντα μεταβάλλει εἰς ἄλληλα. φαμὲν οὖν πρὸς ταῦτα
ὅτι καὶ τὸ πᾶν λευκὸν παντὶ μέλανι ἐναντίον εἶναι ἀληθές (ὁρᾷ γὰρ ἑκά-
τερον πάθη ἐναντία· πᾶν γὰρ μέλαν συγκριτικὸν ὄψεως καὶ πᾶν λευκὸν
διακριτικόν), καὶ τὸ τὰ ἐναντία πάλιν εἰς ἄλληλα μεταβάλλειν ἀληθές·
μεταβάλλει γὰρ εἰς τὰ κατ' εἶδος ἐναντία, οὐδὲν δὲ εἰς τὸ κατ' ἀριθμὸν 50
10 τὸ αὐτὸ ἐναντίον μεταβάλλει. οὐ γὰρ δὴ τὸ ἐν τῷδε τῷ ὕδατι ψυχρὸν
γίνεται θερμὸν τὸ ἐν τῷδε τῷ πυρί, ἢ τὸ ἐν τῷδε τῷ σώματι μέλαν
γίνεται τὸ ἐν τῷδε τῷ σώματι λευκόν. ὅλως γὰρ ἡ μεταβολὴ τὸ αὐτὸ
κατ' ἀριθμὸν εἶναι οὐ συγχωρεῖ, οὐδὲ ἐν ἑνὶ καὶ τῷ αὐτῷ πράγματι. οὐ
γὰρ δὴ ἡ αὐτή ἐστι κατ' ἀριθμὸν λευκότης ἡ πρὸ τῆς ἡλιοκαΐας τῇ
15 μετὰ τὴν ἡλιοκαΐαν, οὐδὲ ἡ ὑγίεια ἡ πρὸ τῆς | νόσου τῇ μετὰ τὴν 34r
νόσον. δέδεικται δὲ τοῦτο ἐν ἑτέροις. εἰ τοίνυν οὐδὲ ἐν τῷ αὐτῷ ἀτόμῳ
μίαν εἶναι καὶ τὴν αὐτὴν λευκότητα δυνατόν, τὴν πρὸ τῆς εἰς τὸ μέλαν
μεταβολῆς καὶ τὴν ἐκ τοῦ μέλανος, πόσῳ μᾶλλον τὸ ἐν τῷ ψιμυθίῳ λευ-
κὸν εἰς τὸ αὐτὸ κατ' ἀριθμὸν μέλαν οὐκ ἂν μεταβάλλοι τὸ ἐν ἐβένῳ·
20 ἀλλὰ μεταβάλλει τὸ ἐναντίον κατ' εἶδος τὸ λευκὸν εἰς τὸ μέλαν, οὐχ 5
ἁπλῶς εἰς τόδε τὸ μέλαν, ἀλλ' ἁπλῶς εἰς μέλαν. ὅσα μὲν οὖν τῶν
ἐναντίων τὴν δραστήριον ἔχει δυνάμιν, οἷον τὸ θερμὸν καὶ τὸ ψυχρόν,
ταῦτα πάσχοντα ὑπ' ἀλλήλων καὶ μεταβάλλοντα, εἰς τὸ αὐτὸ προσεχῶς
εἶδος μεταβάλλει, οἷον ὅταν πάσχῃ τὸ ὕδωρ ὑπὸ τοῦ πυρός, πάσχει δὲ
25 δηλονότι κατὰ γένεσιν καὶ φθοράν, μεταβάλλει προσεχῶς εἰς τὸ αὐτὸ θερ-
μὸν [ὕδωρ] οἷον ἦν καὶ τὸ ποιῆσαν, οἷον τὸ πύριον. ὅταν δὲ μηδέπω
φθείρηται, ἀλλ' οἷον ἀλλοιῶται, ὁδεῦον ἐπὶ τὴν φθορὰν τὸ ὕδωρ θερμαινό-
μενον, τότε εἰς τὸ αὐτὸ εἶδος τοῦ θερμοῦ μεταβάλλει, οὐχ ἁπλῶς τὸ 10
προσεχὲς καὶ οἷον τὸ ποιοῦν, ἀλλὰ τὸ ἐν πλάτει τοῦ θερμοῦ εἶδος θεω-
30 ρούμενον. ἴσως δὲ οὐδ' ὅταν φθείρηται τὸ ὕδωρ, προσεχῶς εἰς τὸ αὐτὸ
κατ' εἶδος τῷ ποιοῦντι εἶδος μεταβάλλει. πρῶτον γὰρ ἐξαεροῦται καὶ εἰς
ἑτέραν καὶ οὐ τὴν πυρίαν θερμότητα μετέβαλλεν· ὁ δὲ ἀήρ, ἐὰν ἄρα,
ἤτοι τὸ ἐν τῷ ἀέρι ψυχρόν, προσεχῶς εἰς τὸ ἐν τῷ πυρὶ θερμὸν μετα-

---

4 μεταβάλλει R: μεταβα Z: μεταβάλλη GT: μεταβάλλοι a 5 μεταβάλλη GT[1] 6 εἶναι ἀληθές] ἐστὶ Z 10 τὸ ἑαυτὸ Z 11. 12 τὸ (τῶ Z) ἐν τῶδε τῶ πυρί—λευκόν RZ: τὸ ἐν τῶδε τῶ σώματι λευκόν ceteris omissis GT: οὐδὲ τὸ ἐν τῷδε τῷ σώματι λευκὸν μέλαν a 15 ὑγεία Z 18 τὸ ἐν] τῶ ἐν Z 19 μεταβα Z τὸ ἐν R: τῶ ἐν GTZ: τὸ ἐν τῷ a 20. 21 οὐχ ἁπλῶς] οὐκ em. a 21 τόδε R: τὸ δὲ cett. 24 πάσχῃ] πάσχει ZT[1] πάσχει] πάσχῃ a 26 ὕδωρ delevit a οἷον καὶ τὸ ποιῆσαν ἦν GTa οἷον τὸ πύριον R: οἷον τὸ πυρί Z: τῷ πυρί GTa ὅτε δὲ Z 27 ἀλλοιοῦται libri ὁδεύων Z 30 φθείρεται T[1] 31 εἶδος alterum om. a καὶ om. GT 32 οὐ] εἰς GT πυρείαν R μετέβαλεν GTa ὁ δὲ RZa: οὐδὲ GT ἐὰν ἄρα om. a 33 προσεχῶς—μεταβάλλει bis Z

βάλλει. τῶν δὲ μὴ τὴν δραστήριον δυνάμιν ἐχόντων ἐναντίων, οἷον τοῦ 34r
λευκοῦ ἢ τοῦ μέλανος, εἰ μὲν ἀχωριστα εἴη, οἷον ὥσπερ τοῦ ψιμυθίου ἡ 15
λευκότης καὶ τῆς πίττης τὸ μέλαν, μεταβάλλει ταῦτα εἰς τὰ κατ' εἶδος
ἐναντία τὰ ἐν τῇ γενέσει καὶ τῇ φθορᾷ (γένοιτο γὰρ ἂν τὸ ἐν ψιμυθίῳ
5 λευκὸν μέλαν, φθαρέντος τοῦ ψιμυθίου· γένοιτο γὰρ ἂν ἔβενος τυχὸν ἢ
πίττα ἤ τι τοιοῦτον)· εἰ δὲ χωριστὰ εἴη, μεταβάλλει πάλιν εἰς τὰ κατ'
εἶδος ἐναντία τὰ ἐν πλάτει· γένοιτο γὰρ ἂν τὸ λευκὸν σῶμα μέλαν, οὐ
μέντοι τόδε τὸ μέλαν, οἷον τὸ ἐν ἐβένῳ, ἐπειδὴ μηδὲ πάσχει ἐξ αὐτοῦ, ἀλλ'
ἁπλῶς μέλαν. οὕτως οὖν ἀληθὲς τὸ τὰ ἐναντία μεταβάλλειν εἰς ἄλληλα. 20
10 ἄλλως τε καὶ ἡ τῆς ὕλης παχύτης κώλυμα γίνεται πολλάκις τῆς μεταβολῆς· τὸ γὰρ ἐν τῷ θόλῳ τῆς σηπίας μέλαν ἐπικρατήσει πολλάκις τῆς ἐν γάλακτι λευκότητος, τὸ δὲ ἐν ἐβένῳ οὐκέτι. δεῖ οὖν πρὸς τὴν μεταβολὴν τῶν ἐναντίων καὶ τὴν ὕλην ἐπιτηδείαν εἶναι πρὸς τὸ ποιεῖν τε καὶ πάσχειν.

15 Ἀλλ' ἐρεῖ τις· εἰ τῷ δύνασθαι φθαρὲν τὸ μέλαν σῶμα ποιεῖν ἕτερον τὸ λευκὸν σῶμα, οὕτω φῂς τὰ ἐναντία μεταβάλλειν εἰς ἄλληλα, τί μᾶλλον τὰ ἐναντία μεταβάλλειν λέγοιτ' ἂν εἰς ἄλληλα ἢ ἁπλῶς πᾶν εἰς 25
πᾶν μεταβάλλειν, διότι ἐκ παντὸς φθαρέντος δύναται πάντως ἄλλ' ὁτιοῦν γενέσθαι; φημὶ οὖν πρὸς τοῦτο, ὅτι εἴρηται ἐν τῇ Φυσικῇ ὅτι ἡ γένεσις
20 πάντως ἐξ ἐναντίου εἰς ἐναντίον ἐστί. κἂν γὰρ λέγωμεν ἐκ τῆς στερήσεως γίνεσθαι τὰ γινόμενα, πάντως ἐστὶν ἐν τῇ στερήσει τι ἐναντίον εἶδος τῷ ἐσομένῳ ἐξ οὗ ἡ μεταβολὴ γίνεται, εἰ καὶ ἀνώνυμον τοῦτό ἐστι καὶ ἄγνωστον· οὐ γὰρ ἂν ἦν μεταβολή, εἰ μὴ ἦν τις πάντως ἐναντιότης τοῦ ἐξ οὗ καὶ τοῦ εἰς ὅ. ὥστε εἰ πάντως πᾶσα γένεσις ἐξ ἐναντίου, ἀδύνατον 30
25 ἀμέσως ἐκ παντὸς πᾶν γενέσθαι· οὐ γὰρ ἂν γένοιτο ἀμέσως ἐκ γῆς ὄστρακον, ἀλλὰ δεῖ πρότερον τοιῶσδε κραθῆναι καὶ σχεῖν πρὸς τὸ γενησόμενον εἶδος ἐναντιότητά τινα, ἵνα οὕτω τὸ ποιητικὸν μεταβάλλῃ τὸ ἐναντίον εἰς τὸ ἐναντίον. οὕτως οὖν κἂν πᾶν μεταβάλλῃ διὰ τὴν κοινὴν καὶ πρώτην ὕλην τὴν πάντων τῶν εἰδῶν δεκτικήν, ἀλλὰ πρότερον ἴσχει τινὰ
30 κρᾶσιν ἐναντίωσίν τινα πρὸς τὸ γενησόμενον εἶδος ἔχουσαν, καὶ οὕτως ἐπιτηδείαν οὖσαν εἰς τὸ μεταβαλεῖν εἰς τὸ ἐναντίον. 35

---

1 ἐναντίον Z 2 οἷον om a ἡ τοῦ ψιμιθίου a 3 πίσσης R: πίπτης a
5 ἂν om. GT 6 πίσσα R τοιοῦτο a πάλιν om. Z 7 γὰρ om. GT
8 οἷον om. a ἐπεὶ a 9 οὖν] ὁ Z 11 θολῶ Z; at cf. Bonitz Ind. Arist. s. v. 13 καὶ (ante τὴν) om. Z 15 εἰ] εἰς T¹: ἐν Z 16 τὸ om. T¹
18 πάντως om. Z ἀλλοτιοῦν R: ἄλλο ὁτιοῦν Z 19 Φυσικῇ] cf. supra p. 83,15
20 λέγομεν Z 21 ἐστὶ πάντως Z 23 ἦν ἡ μεταβολὴ R 24 καὶ τοῦ] καὶ τὸ GRT 25 ἐκ παντὸς—ἀμέσως om. R 26 τοιῶδε T¹ 27 μεταβάλη R: λ' μεταβα Z 28 κἂν] εἰ καὶ a, et mox μεταβάλλει a et μεταβάλη Z 31 μεταβαλλεῖν GRT¹: μεταβάλλειν a

p. 324a24 Τὸν αὐτὸν δὲ λόγον ὑπολη πτέον εἶναι περὶ τοῦ ποιεῖν 34r
καὶ πάσχειν ὅνπερ καὶ περὶ τοῦ κινεῖσθαι καὶ κινεῖν. |

Εἰπὼν τίνα ἐστὶ τὰ ποιοῦντα καὶ πάσχοντα, ὅτι τὰ πῇ μὲν ὅμοια 34v
πῇ δὲ ἀνόμοια, ζητεῖ νῦν ὅπως ἔχουσι ταῦτα πρὸς ἄλληλα, τὰ ποιοῦντα 6
λέγω καὶ πάσχοντα, πότερον πᾶν τὸ ποιοῦν καὶ ἀντιπάσχει ἢ οὔ. φησὶν
οὖν ὅτι, ἵνα τοῦτο εὕρωμεν, ἴδωμεν ὅπως ἔχουσι τὰ κινοῦντα καὶ κινούμενα·
ὡς γὰρ ἂν ἔχωσι ταῦτα, ἀνάγκη ἔχειν καὶ τὰ ποιοῦντα καὶ πάσχοντα.
ἐπὶ πλέον γὰρ τὸ κινεῖν τοῦ ποιεῖν· πᾶν μὲν γὰρ τὸ ποιοῦν καὶ κινεῖ, οὐ
πᾶν δὲ τὸ κινοῦν ποιεῖ, εἴ γε ποιεῖν ἐστι τὸ εἰς εἶδός τι καὶ πάθος ἄγειν.
εἴρηται δὲ ἐν Κατηγορίαις, ὅτι ὅσα κατά τινος λέγεται ὡς καθ' ὑποκει- 10
μένου, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑπο-
κειμένου τούτῳ ῥηθήσεται. ὅσα ἄρα ὑπάρχει τῷ κινοῦντι καὶ κινουμένῳ,
καὶ τοῖς ποιοῦσιν ὑπάρξει καὶ πάσχουσιν. ἔστι δὲ τῶν κινούντων τὸ μὲν
πρώτως κινοῦν, τὸ δὲ ἐσχάτως καὶ προσεχῶς. τὸ μὲν οὖν πρώτως κινοῦν,
φησίν, οὐδὲν κωλύει ἐν τῷ κινεῖν ἀκίνητον εἶναι, ἐπ' ἐνίων δὲ καὶ ἀνάγ-
καῖον, τὸ δὲ ἐσχάτως καὶ προσεχῶς κινοῦν ἀνάγκη κινούμενον καὶ αὐτὸ
κινεῖν. οἷον ἡ ψυχὴ πρώτως κινεῖ τὸ ζῷον, ἀλλ' οὐκ ἀνάγκη ταύτην 15
καθάπαξ ἀκίνητον εἶναι (κινεῖται γὰρ κατὰ συμβεβηκὸς ἐν τῷ κινεῖν.
συμμεταβαίνουσα τῷ σώματι καὶ μὴ ἀπολείπουσα αὐτὸ κινούμενον), ἡ
μέντοι εἰκὼν ἀκίνητος μένει πρώτως κινοῦσα τὸ ὀρεκτικόν. ὁμοίως δὲ
καὶ ἡ λοιδορία κινοῦσα τὸν θυμὸν ἀκίνητος μένει. ταῦτα γὰρ οὐδὲ κατὰ
συμβεβηκὸς ἐν τῷ κινεῖν κινοῦνται. τὸ μέντοι ἔμφυτον θερμὸν προσεχῶς
κινοῦν τὸ ζῷον, καὶ οἱ μύες ἢ εἴ τινα ἄλλα εἴη μόρια κινητικὰ τοῦ ὅλου
ζῴου προσεχῶς, τῷ κινεῖσθαι καὶ αὐτὰ κινεῖ. ἐπεὶ οὖν ταῦτα ὑπάρχει 20
τῷ κινοῦντι, ὑπάρχει δὲ αὐτῷ οὐχ ὡς γένει, οἷον ὡς τὸ κατὰ πλειόνων
καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖσθαι, ἀλλ' ἁπλῶς ⟨ὡς⟩ πράγματι καὶ
κινοῦντι, ὑπάρχοι ἂν ταῦτα καὶ τῷ ποιοῦντι. οὐ πᾶν ἄρα τὸ ποιοῦν καὶ
ἀντιπάσχει, ἀλλὰ τὸ μὲν πρώτως ποιοῦν ἔστι μὲν ὅτε καὶ ἀντιπάσχει,
ἔστι δὲ ὅτε οὔ. οἷον ἡ ἰατρικὴ ποιοῦσα εἰς τὸν ἄρρωστον, καὶ ἁπλῶς αἱ
ἐπιστῆμαι ποιοῦσαι εἰς τοὺς μανθάνοντας πρώτως, αὐταὶ ἀκίνητοι μένουσι. 25
πρώτως δὲ ποιεῖ καὶ τὸ πῦρ εἰς τὸ ὕδωρ, ἀλλ' ὅμως καὶ ἀντιπάσχει ὑπ'
αὐτοῦ. τὰ δὲ προσεχῶς ποιοῦντα πάντως καὶ ἀντιπάσχει, οἷον τὸ φάρ-
μακον ποιοῦν εἰς τὸν ἄρρωστον καὶ ἀντιπάσχει ὑπ' αὐτοῦ, καὶ ὁ ἐν τῷ
βαλανείῳ ἀὴρ προσεχῶς ποιῶν εἰς ἡμᾶς καὶ ἀντιπάσχει ὑφ' ἡμῶν, καὶ

---

2 κινεῖν καὶ κινεῖσθαι Ar. (praeter cod. FH) κινεῖν. διχῶς γὰρ λέγεται καὶ τὸ κινοῦν GT: item a, qui continuat lemma usque ad τοῦτον τὸν τρόπον (p. 824b24) 5 οὔ] ὄν a 6 εἰδωμεν GT 7 τὰ πάσχοντα (G)a 8 πᾶν μὲν γὰρ τὸ κινοῦν καὶ ποιεῖ a 9 εἰς Z: om. cett. 10 Κατηγορίαις] c. 3 p. 1b10 13 ταῦτα καὶ τοῖς ποιοῦσιν a 13. 14 τὰ μὲν et τὰ δὲ ἐσχάτως R 22 κινοῦνται] κινεῖται a 23 et p. 151,14 μῦες R ἄλλων GT 24 τῷ] τὸ R 26 ὡς addidit a 30 πιστῆμαι T αὗται libri 32. 33 τὰ δὲ — αὐτοῦ GRT: om. Za 32 ἄν τι πάσχει GT τὸ R: om. GT 33 τὸν GR: τὸ T

ἵνα συντόμως εἴπω, τῶν ποιούντων ταῦτά ἐστι τὰ ἀντιπάσχοντα ἐν τῷ 34v
ποιεῖν, ὅσα ἐν τῇ αὐτῇ ὕλῃ ὑφέστηκε. διὰ τοῦτο ἡ μὲν ἐπιστήμη οὐκ
ἀντιπάσχει, οἷον ἡ ἰατρικὴ ὑπὸ τοῦ ἀρρώστου, τὸ φάρμακον δὲ ἀντι-
πάσχει, διότι ἡ μὲν ἐπιστήμη ἐν ψυχῇ ἔχει τὸ εἶναι, ἡ δὲ νόσος ἐν
5 σώματι τῷ ἐζωωμένῳ, ἀντιδρᾷ δὲ εἰς τὸ φάρμακον, διότι τὸ πρῶτον ὑπο-
κείμενον ἡ ὕλη κοινὴ τῶν σωμάτων ἐστὶν ἁπάντων. 30

Δοκεῖ δὲ τὴν παραβολὴν τῶν κινούντων πρὸς τὰ ποιοῦντα μὴ ὀρθῶς
ποιήσασθαι. ἐπιζητῶν γὰρ ποῖα τῶν ποιούντων ἐν τῷ ποιεῖν ἀντιπάσχει
ὑπὸ τῶν πασχόντων, καὶ εἰπὼν ὅτι ὡς ἔχει τὰ κινοῦντα οὕτως ἔχει καὶ
10 τὰ ποιοῦντα, παρήγαγέ τινα ποιοῦντα οὐκ ἐν τῷ κινεῖν ἀντικινούμενα ὑπὸ
τῶν κινουμένων, ἀλλ' ἁπλῶς κινούμενα καὶ αὐτὰ ἐν τῷ κινεῖν καὶ δεό-
μενα κινήσεως εἰς τὸ κινῆσαι, οὐ μέντοι ἀντικινούμενα ⟨ἐν⟩ τῷ κινεῖν· τοι-
αῦτα γάρ ἐστι πάντα τὰ προσεχῶς κινοῦντα, οἷον τὸ ἔμψυτον θερμὸν ἢ οἱ 35
μύες, ὁμοίως δὲ καὶ ἡ βακτηρία. οὐ τοῦτο δὲ ἦν τὸ ζητούμενον, ἀλλ' εἰ
15 ἐν τῷ κινεῖν ἀντικινοῦνται. λέγω οὖν ὅτι εἰ καὶ μὴ πρὸς ἅπαν τὸ παρά-
δειγμα ἔοικεν, ἀλλ' οὖν τοσοῦτον ἀρκεῖ μόνον, ὅτι ὥσπερ τῶν κινούντων
ἔστι τινὰ οὐκ ὄντα ἀκίνητα, οὕτω καὶ τῶν ποιούντων, ὁπότε τὸ τῆς
ψυχῆς καὶ σῴζει τὴν ἀναλογίαν· ἡ γὰρ ψυχὴ κινοῦσα ἀντικινεῖται, εἰ
καὶ κατὰ συμβεβηκός. ὅλως δὲ ἐπειδὴ ἡ κίνησις οὐχ ὡς γένος εἰς εἴδη
20 διαιρεῖται, ἀλλ' ὡς ὁμώνυμος φωνὴ εἰς διάφορα σημαινόμενα (οὐ γάρ 40
ἐστιν ἐν μιᾷ κατηγορίᾳ ἀλλ' ἐν πλείοσιν, οὐκ ἔστι δὲ τῶν κατηγοριῶν
γένος), διὰ τοῦτο οὐδ' ἀπαιτητέον καθόλου ὡς ἔχει ἐπὶ κινήσεως οὕτως
ἔχειν καὶ ἐπὶ ποιήσεως, ἀλλ' ἀρκεῖ καὶ εἰ μέχρι τινὸς σῴζεται ἡ ἀνα-
λογία.

25 p. 324a28 Καὶ πάλιν τὸ ἔσχατον πρὸς τὸ κινούμενον καὶ τὴν γένεσιν.

Τουτέστι τὸ ἔσχατον τῶν κινούντων ἢ ποιούντων οὐ πρὸς τὸ ἄνω,
ἀλλὰ πρὸς τὸ κινούμενον ἢ γινόμενον, τουτέστι τὸ προσεχὲς τῷ κινουμένῳ
ἢ γινομένῳ, ὥσπερ τῷ ἀρρώστῳ τὸ σιτίον ἢ τὸ φάρμακον· τοῦτο γὰρ
30 ἔσχατον ὡς πρὸς τὸ πάσχον. 45

p. 324b6 Τὴν μὲν γὰρ ὅλην λέγομεν ὁμοίως ὡς εἰπεῖν τὴν αὐτὴν εἶναι τῶν ἀντικειμένων ὁποτερουοῦν, ὥσπερ γένος ὄν.

Τὸ ὡς εἰπεῖν προσέθηκεν, ὅτι ἡ προσεχεστάτη τῶν ἀντικειμένων ὕλη

1 ἐστι καὶ τὰ Z 5 ἐζωωμένω GT¹ 12 κινῆσαι] ἀντικινεῖσθαι a ἐν addidi 13 κινούμενα GTa 15 μὴ om. Z 17 ὁπότε] lac. VIII litt. Z 22. 23 κινήσεως—ἐπὶ bis G 23 ἔχειν] ἔχει Z: post ἔχειν ras. XVIII litt. T ἀρκεῖ κἂν εἰ a σώζηται GT¹: σώζοιτο a 25 et 31 lemmata om. a, qui pergit (27) ἔσχατον δέ φησι τῶν κινούντων et (33) τὸ δὲ ὡς εἰπεῖν προσέθηκεν 32 ὁποτέρου οὖν libri 33 προσεσχεστάτη GT¹

οὐκ ἔστιν ἀπαραλλάκτως ἡ αὐτή· ἄλλως γὰρ δεῖ κεκρᾶσθαι τὰ στοιχεῖα τὰ 34v
τὸ λευκὸν χρῶμα δεξόμενα, καὶ ἄλλως τὰ τὸ μέλαν. ὁμοίως καὶ ἐπὶ τῶν
ἄλλων. εἶπε δὲ τὴν ὕλην τῶν ἀντικειμένων ὥσπερ γένος εἶναι, διότι ὡς
ἓν καὶ τὸ αὐτὸ γένος ἐστὶ τῶν ἐναντίων, οὕτω καὶ μία ὕλη· καὶ ὡς
5 τὰ ἐναντία οὐδὲν διαφέρουσι κατὰ τὸ γένος, οὕτως οὐδὲ κατὰ τὸ ὑποκεί-
μενον.

p. 324b7 Τὸ δὲ δυνάμενον θερμὸν εἶναι καὶ τὰ ἑξῆς.

Ἐπειδὴ ἡ αὐτή ἐστι τῶν ἀντικειμένων ὕλη, διὰ τοῦτο τὸ δυνάμενον 50
θερμὸν εἶναι (τοῦτο δέ ἐστι τὸ μὴ ὂν μήπω θερμόν, τοῦτο δέ ἐστι
10 τὸ ψυχρόν), διὰ τὸ ἐν ὕλῃ εἶναι πεφυκυίᾳ καὶ τὸ θερμὸν δέχεσθαι, ὅταν
πλησιάσῃ αὐτῷ τὸ θερμαντικόν, θερμαίνεται. καλῶς ἄρα εἴρηται, ὅσα
τῶν ποιούντων καὶ πασχόντων ἐν τῇ αὐτῇ ὕλῃ πέφυκεν εἶναι, ταῦτα
ἐν τῷ ποιεῖν ἀντιπάσχειν, διὰ τὸ τὴν ἑκατέρου ὕλην ⟨τὴν⟩ αὐτὴν οὖσαν
πεφυκέναι τὸ τοῦ ἀντικειμένου εἶδος δέχεσθαι, τούτου πλησιάζοντος εἰκό-
15 τως πάσχει ὑπ' αὐτοῦ.

p. 324b14 Τὸ δὲ οὗ ἕνεκα, οὐ ποιητικόν. | διὸ ἡ ὑγίεια οὐ ποιη-
τικόν, εἰ μὴ κατὰ μεταφοράν. 35r

Κατὰ μεταφορὰν εἶπεν ἀντὶ τοῦ καταχρηστικῶς, ἢ ὅτι ὡς τὸ ποιητι-
κὸν αἴτιον τῷ σώματι παρὸν γίνεται τοῦ ὑγιαίνειν, οὕτω καὶ ἡ ὑγεία. ὅτι δὲ ἡ
20 ὑγεία καὶ ἁπλῶς τὸ τέλος καὶ τὸ οὗ ἕνεκα οὐ ποιητικόν, δι' ὧν ἐπήγαγε κατε-
σκεύασε· καὶ γὰρ τοῦ μὲν ποιοῦντος, φησίν, ὅταν ὑπάρχῃ, γίνε-
ταί τι τὸ πάσχον, τῶν δὲ ἕξεων παρουσῶν οὐκέτι γίνεται, ἀλλ'
ἔστιν ἤδη. ὅτι, φησί, τὸ οὗ ἕνεκα οὐκ ἔστι ποιητικόν, δῆλον ἐντεῦθεν.
τοῦ μὲν γὰρ ποιητικοῦ παρόντος ἔτι γίνεταί τι τὸ μεταβάλλον, καὶ εἰς τὸ 5
25 εἶδος ὁδεύει μήπω τελείως αὐτὸ ἀπειληφός (ἕως γὰρ ἂν ποιῇ τὸ ποιοῦν,
οὔπω ἀπείληφε τὸ εἶδος τὸ γινόμενον), τῶν δὲ τελῶν καὶ τῶν ἕξεων
παρουσῶν οὐκέτι γίνεται, ἀλλ' ἤδη ἐστίν· οὐκ ἄρα τὸ οὗ ἕνεκα ποιητικόν.
διὰ τοῦτο ἄρα οὐδαμοῦ φαίνεται τὸν θεὸν ποιητικὸν αἴτιον λέγων τοῦ
κόσμου. ἐπειδὴ γὰρ τὸ ποιητικὸν τοῦτό φησιν εἶναι, τὸ διὰ ὁδοῦ τινος
30 καὶ γενέσεως ἄγον εἰς τὸ εἶναι τὰ γινόμενα, ὁ δὲ θεὸς οὐκ ἐν χρόνῳ
ποιεῖ οὐδὲ ἀτελῆ, διὰ τοῦτο οὐ ποιητικὸν αὐτόν φησιν, ἀλλ', εἰ ἄρα,

1 ἀπαραλάκτως GT¹Z τὰ alterum om. GTa 2 δεξάμενα Z 3 ὥσπερ om. a
5. 8 ὑποκείμενον. ἐπειδὴ δὲ ἡ αὐτή a 8 τὸ R: om. GTZa 9 εἶναι φησί a
μὴ ὂν μήπω] μήπω ὂν a 10 καὶ διὰ τὸ a καὶ om. a ὅταν γὰρ a 11 αὐτὸ
GT¹: αὐτῇ a 13 ἀντιπάσχει. διὰ γὰρ τὸ a; an deest particula in proximis (ex. gr.
τούτου ⟨ὄν⟩?) τὴν alterum addidit a 16 ἕνεκα φησιν οὗ a διότι ἡ ὑγεία Z
18 εἶπεν] δέ φησιν a τὸ om. GT 19. 20 ὑγεία utrobique a: priore loco R¹
20 καὶ τὸ οὗ ἕνεκα καὶ ἁπλῶς τὸ τέλος tr. a 20. 23 ποιητικόν. δήλωσε δι' ὧν ἐπήγαγε
λέγων, ὅτι δὲ τὸ οὗ ἕνεκα οὐκ ἔστι ποιητικόν a 21 ὑπάρχει Z 24 ἔτι om. T¹
25 μήπω] μὴ GT ἀπειληφὼς libri praeter a 28 τὸν] τὸ R 31 αὐτό GT¹

προαγωγὸν αὐτὸν δεῖ καλεῖν. λέγεται δὲ καὶ τελικὸν αἴτιον, διὰ τὸ πρὸς 35r
αὐτὸν πάντα ἐπεστράφθαι καὶ αὐτοῦ ἐφίεσθαι. 11

p. 324b17 Τὰ δὲ εἴδη καὶ τὰ τέλη ἕξεις τινές.

Ἐπειδὴ εἶπε "τῶν ἕξεων", ἐπεξηγούμενος τίνα εἶπεν ἕξεις προσέ-
5 θηκεν ὅτι τὰ τέλη καὶ τὰ εἴδη. ἡ δὲ ὕλη παθητικόν· αὕτη γάρ ἐστιν
ἡ πάσχουσα καὶ ποιουμένη καὶ μεταβάλλουσα κατὰ τὰ εἴδη. διὰ τοῦτο
οὖν φησιν, ὅσα τῶν εἰδῶν ἐν ὕλῃ ἔχει τὸ εἶναι, ταῦτα ἂν πάσχοι, διότι
τὸ ὑποκείμενον οὐκ ἀμετάβλητον ἔχει οὐδὲ ἀπαθές· τοιοῦτο δέ ἐστι τὸ πῦρ
καὶ τὸ ὕδωρ καὶ τὰ ὅμοια. εἰ δέ τινα εἶεν εἴδη χωριστὰ ὄντα τῆς ὕλης, 15
10 ταῦτα ἂν εἶεν καὶ ἀπαθῆ.

p. 324b22 Τί μὲν οὖν τὸ ποιεῖν καὶ τὸ πάσχειν.

Ὅτι ποιεῖν ἐστι τὸ εἰς πάθος ἄγειν, πάσχειν δὲ τὸ εἰς πάθος ἄγεσθαι·
καὶ ὅτι ποιεῖν ἐστι τὸ ὁμοιοῦν ἑαυτῷ τὸ πάσχον, πάσχειν δὲ τὸ ὁμοιοῦ-
θαι τῷ ποιοῦντι. καὶ τίσιν ὑπάρχει. ὅτι τοῖς ἐναντίοις. καὶ διὰ τί.
15 διὰ τὸ κοινὴν ὕλην ἔχειν δεκτικὴν τῶν ἐναντίων παθῶν. καὶ πῶς. ὅτι
προσιόντος τοῦ ποιοῦντος καὶ πλησιάζοντος τῷ πάσχοντι.

p. 324b25 Πῶς δὲ ἐνδέχεται τοῦτο συμβαίνειν, πάλιν λέγωμεν. 20

Εἰπὼν τί ἐστι τὸ ποιεῖν καὶ τὸ πάσχειν, καὶ τίνα ἐστὶ τὰ ποιοῦντα 52
καὶ πάσχοντα, νῦν βούλεται εἰπεῖν ποίῳ τρόπῳ γίνεται τὸ ποιεῖν καὶ τὸ
20 πάσχειν. πρότερον δὲ πάλιν ἐκτίθεται τοὺς τρόπους, καθ' οὓς οἱ παλαι-
ότεροι ἔλεγον γίνεσθαι τὸ ποιεῖν καὶ τὸ πάσχειν, καὶ διελέγχει τούτους,
καὶ οὕτω τὸν ἀληθῆ | τρόπον ἐκτίθεται. οἱ μὲν γάρ, φησί, διὰ πόρων 35v
ἔλεγον γίνεσθαι τὸ ποιεῖν καὶ τὸ πάσχειν, ὧν ἦν καὶ ὁ Ἐμπεδοκλῆς·
εἶναι γὰρ πόρους ἐν τοῖς σώμασιν, ἐν οἷς εἰσιὸν τὸ ποιοῦν οὕτω ὁρᾶν
25 εἰς τὸ πάσχον. οὕτω δὲ καὶ τὸ ὁρᾶν ἔλεγον γίνεσθαι· εἶναι μὲν γὰρ ἐν
πᾶσι τοῖς σώμασι πόρους, ἐν δὲ τοῖς διαφανέσι πυκνοτέρους μᾶλλον καὶ
κατὰ στοῖχον, δι' ὧν διιούσας τὰς ὄψεις οὕτω προσβάλλειν τοῖς ὁρατοῖς·
ἐν δὲ τοῖς μὴ διαφανέσι σώμασι διὰ τὸ μὴ εἶναι κατὰ στοῖχον τοὺς 5
πόρους μὴ δύνασθαι δι' ὅλου διιούσας τὰς ὄψεις προσβάλλειν τοῖς ὁρατοῖς.
30 τῷ αὐτῷ δὲ τρόπῳ καὶ ταῖς ἄλλαις αἰσθήσεσιν αἰσθάνεσθαι, οἷον ἀκούειν

---

1 δεῖ αὐτὸν GT 2 ἐπιστράφθαι GT[1] καὶ αὐτοῦ ἐφίεσθαι om. Z
2. 4 ἐφίεσθαι. ἐπειδὴ δὲ εἶπε a 5 ὕλη ἢ ὕλη Ar. 7 ταῦτα ἀντιπάσχοι Z
10 ἀπαθῆ] πάθη R 10. 12 ἀπαθῆ. εἶτα συμπεραίνων, εἴρηται ἤδη φησὶ, τί ἐστι τὸ ποιεῖν, ὅτι τὸ εἰς πάθος ἄγειν a 11 τὸ alterum om. Ar. (praeter cod. H) 17 λέγομεν R
18 τὸ alterum GT 19 τίνα τρόπον a 20 post πάσχειν expuncta καὶ τίνα ἐστὶ τὰ ποιοῦντα καὶ πάσχοντα R, ubi πότερον δὲ 23 ὧν ἦν] ὦ νῦν GT ὁ om. a
27 στίχον R[1] 28 μὴ (ante διαφανέσι) om. Z[1]

ἢ ὀσφραίνεσθαι. διὰ πόρων διιούσης τῆς ποιότητος τῆς εὐώδους ἢ τοῦ 35v
ῥόφου. οἱ δὲ περὶ Δημόκριτον καὶ Λεύκιππον διὰ τοῦ κενοῦ τὸ ποιεῖν
καὶ τὸ πάσχειν γίνεσθαι ἔλεγον· κενῷ γὰρ διαλαμβάνεσθαι τὰς ἀτόμους,
ἐν ᾧ γινόμενον τὸ ποιοῦν οὕτως ἀλλοιοῦν μετατιθὲν τῇ κινήσει ἢ μετα-
5 τάττον τὰς ἀτόμους ἢ προστιθέμενον αὔξειν. διαφέρουσι δὲ τοῦ κενοῦ οἱ 10
πόροι, διότι οἱ τοὺς πόρους εἰσάγοντες κενὸν εἶναι οὐκ ἔλεγον; πεπορο-
ποιῆσθαι μὲν γὰρ σώματα, πλήρεις δὲ εἶναι τοὺς πόρους τούτους ἑτέρου
σώματος, οἷον ἀέρος ἤ τινος τοιούτου. ἐπαινεῖ δὲ μᾶλλον τοὺς περὶ
Δημόκριτον Ἐμπεδοκλέους καὶ τῶν ἄλλων, ὅτι τοιαύτας ἀρχὰς ἐφεῦρον,
10 αἵτινες ἀρκέσουσιν αὐτοῖς πρὸς τὴν πάντων τῶν ἐκ φύσεως γινομένων
ἀπόδοσιν. οἱ μὲν γὰρ τοὺς πόρους εἰσάγοντες ἀπεδίδοσαν μὲν εἰ τύχοι
τοῦ ποιεῖν καὶ τοῦ πάσχειν δι' αὐτῶν τὴν αἰτίαν, ἴσως δὲ καί τινων 15
ἄλλων, οἷον μίξεως (ἔλεγον γὰρ διὰ πόρων μίγνυσθαι τὰ σώματα· ὅταν
γάρ, φησίν, οὕτως ἔχωσιν οἱ πόροι ὡς σύμμετροι εἶναι δέξασθαι τὸ ἐμμι-
15 γνόμενον σῶμα, τότε γίνεσθαι μίξιν). κινήσεως μέντοι τὴν αἰτίαν οὐκέτι
ἀποδοῦναι ἐδύναντο. ποίῳ τρόπῳ διὰ τῶν πόρων γίνεται τὸ κινεῖσθαι, ἢ
αὐξήσεως· εἰσιὸν γὰρ τὸ αὖξον τοὺς μὲν πόρους ἀναπληρώσει, μεῖζον δὲ
οὐ ποιήσει. οἱ δὲ περὶ Δημόκριτον, φησί, τοιαύτας ἀρχὰς ἐπενόησαν, αἵ-
τινες ἁρμόσουσιν αὐτῷ πρὸς τὸ ἀποδοῦναι τὰς αἰτίας πάντων τῶν φυσικῶς 20
20 γινομένων, αὗται δέ εἰσι τὰ ἄτομα καὶ τὸ κενόν. προτίθησι δὲ αὐτοῦ τὰς
ὑποθέσεις καὶ τῶν ὑποθέσεων ὧν οἱ περὶ Παρμενίδην * * * ⟨οἱ γὰρ περὶ
Παρμενίδην,⟩ φησίν, ἀρχὰς ἀφανεῖς καὶ ἀναποδείκτους λαβόντες, δι' αὐτῶν τὰ
ἐναργῆ καὶ ὁμολογούμενα ἀνελεῖν ἐπεχείρησαν· οἱ δὲ περὶ Δημόκριτον ἀρχὰς
ὁμολογουμένας τῇ αἰσθήσει λαβόντες, δι' αὐτῶν τὰ ἄδηλα κατεσκεύασαν. ὁ
25 μὲν γὰρ Παρμενίδης, θέλων δεῖξαι ὅτι οὐκ ἔστι πλῆθος ἐν τοῖς πράγμασιν οὐδὲ 25
κίνησις, ὅπερ ἦν τῇ αἰσθήσει μάχεσθαι καὶ τὰ ἐναργῆ ἀναιρεῖν, λαμβάνει
ὡς ἀξίωμα τὸ μὴ εἶναι κενόν, ὅπερ οὐκ ἔστι τῇ αἰσθήσει ὁμολογούμενον,
ἀλλὰ πολλῆς δεόμενον ἀποδείξεως. τοῦτο οὖν λαβών, πρόεισι διὰ συλλο-
γισμοῦ οὕτως· εἰ μὴ ἔστι κενόν, οὐκ ἔστι κίνησις· ἀλλὰ μὴν οὐκ ἔστι
30 κενόν· οὐκ ἄρα ἐστὶ κίνησις. ἔλαβεν οὖν τὸ συνημμένον ὁμολογούμενον,
ὅτι κενοῦ μὴ ὄντος οὐκ ἂν εἴη κίνησις (διὰ κενοῦ γὰρ ἂν μόνως γενέσθαι
τὴν κίνησιν), ὁμοίως δὲ καὶ τὴν πρόσληψιν, τὸ ἀλλὰ μὴν οὐκ ἔστι κενόν. 30

2 κατνοῦ Z¹ 3 τὸ om. Z τοὺς ἀτόμους R 4 ἀλλοιεῖ Z μετατεθὲν R 4. 5 μετατάττων GRT¹ 5 τοῦ] τὸ R 6. 7 οὐκ — εἶναι om. R πεπορωποιεῖσθαι GT¹: πεπορωποιεῖσθαι Z 7 πλήρη GT δὲ εἶναι] δεῖναι a 14 οἱ πόρω GT¹ σύμμετρον GT 15. 16 ἀποδοῦναι οὐκέτι εἰδύναντο Z 16 ποίω γὰρ τρόπω a 19 τῶν om. GT 21 ὧν] αἷς a lacunam signavi et partim supplevi: ἐχρήσαντο. οἱ μὲν γάρ supplet a 23 ἐναργεῖ Z: ἐνεργῆ GT¹ ὡμολογούμενα GT¹ (sim. v. 27. 30. p. 155,1. 2. 8 etc.) ὑπεχείρησαν R 24 δι' αὐτῶν om. Z τὰ δῆλα GRTZ¹ 27 ὡς om. a post ὅπερ expuncta ἦν τῇ αἰσθήσει R 28 πολλοῖς a 28. 29 διὰ συλλόγου et p. 155,3 σύλλογον Z 29 οὐκ ἔσται κίνησις GT: item auctor codicis R, ubi solito errore οὐκ ἄρα κίνησις 30 ὡς ὁμολογούμενον a 31 μόνου Z 32 δὲ καὶ ἐπὶ τὴν GT

λαβὼν οὖν ταῦτα ὁμολογούμενα, ἅπερ ἀφανῆ ἐστι καὶ ἀμφίβολα, δι' αὐτῶν ἀνεῖλε τὸ ὁμολογούμενον, λέγω δὴ τὴν κίνησιν. μᾶλλον δὲ οὕτω δεῖ τὸν συλλογισμὸν εἰπεῖν· εἰ ἔστι κίνησις, ἔστι κενόν· ἀλλὰ μὴν οὐκ ἔστι κενόν· οὐκ ἔστιν ἄρα κίνησις. τῷ αὐτῷ δὲ τρόπῳ καὶ τὸ πλῆθος ἀναιρεῖ. εἰ ἔστι γάρ, φησίν, ἐν τοῖς πράγμασι διαίρεσις, ἔστι κενόν (κενῷ γὰρ μόνως τὴν διαίρεσιν γίνεσθαι)· ἀλλὰ μὴν οὐκ ἔστι κενόν· οὐκ ἔστιν ἄρα διαίρεσις· συνεχὲς ἄρα τὸ πᾶν καὶ ἕν. πάλιν οὖν τό τε συνημμένον καὶ τὴν πρόσληψιν ἔλαβεν ὁμολογούμενα ἄδηλα ὄντα, καὶ δι' αὐτῶν τὰ ὁμολογούμενα ἀνεῖλεν. ὁ μὲν οὖν Παρμενίδης οὕτως τὰ ἐναργῆ ἐκ τῶν ἀφανῶν ἀναιρεῖ, ὁ μέντοι Δημόκριτος ἀρχὰς λαβὼν ἐκ τῆς αἰσθήσεως μαρτυρουμένας, ὅτι διαίρεσις καὶ πλῆθος ἐστὶν ἐν τοῖς πράγμασι καὶ κίνησις, ἐκ τούτων εἰσάγει τὸ κενόν. τὸ ἀφανὲς διὰ τῶν φανερῶν κατασκευάζων. εἰ γὰρ ἔστι διαίρεσις, φησί, καὶ πλῆθος ἐν τοῖς πράγμασιν, ἔστι κενόν· ἀλλὰ μὴν ἔστι διαίρεσις καὶ τὸ πλῆθος· ἔστιν ἄρα τὸ κενόν· τὸ μὲν συνημμένον ὡσαύτως λαμβάνων τῷ Παρμενίδῃ, τὴν μέντοι πρόσληψιν οὐκέτι. ὁ μὲν γὰρ ἔλεγεν 'ἀλλὰ μὴν οὐκ ἔστι κενόν', ὅπερ ἦν ἄδηλον, ὁ δὲ 'ἀλλὰ μὴν ἔστι πλῆθος καὶ διαίρεσις'. ὁμοίως καὶ ἐπὶ κινήσεως· εἰ ἔστι κίνησις, ἔστι κενόν· ἀλλὰ μὴν ἔστι κίνησις· ἔστιν ἄρα κενόν· κἀνταῦθα τὸ συνημμένον μὲν τὸ αὐτὸ τῷ Παρμενίδῃ λαμβάνων, τὴν πρόσληψιν δὲ οὐκέτι. τῷ αὐτῷ τρόπῳ ὁ Παρμενίδης καὶ τὸ ἄπειρον εἰσῆγεν. εἰ γάρ ἐστι πεπερασμένον τὸ πᾶν, τῷ κενῷ δηλονότι, φησί, περαίνεται· ἀλλὰ μὴν οὐκ ἔστι κενόν· οὐκ ἄρα τὸ πᾶν πεπερασμένον ἐστί. διὰ ταῦτα ἀποδέχεται τὸν Δημόκριτον, ὡς καὶ τῇ αἰσθήσει ὁμολογουμένας ἀρχὰς εἰληφότα, καὶ τοιαύτας ἐξ αὐτῶν ὑποθέσεις καὶ ἀρχὰς τῶν φυσικῶν πραγμάτων κατασκευάσαντα, δι' ὧν πάντα ἀποδοῦναι ἠδύνατο τὰ ἐκ φύσεως γινόμενα.

p. 324b26 Εἰσιόντος τοῦ ποιοῦντος ἐσχάτου καὶ κυριωτάτου.

Εἰσιέναι γὰρ τὸ ποιοῦν ἐν τοῖς πόροις καὶ οὕτω ποιεῖν οὐ τὸ πρώτως ποιοῦν, οἷον τὴν ἰατρικήν, ἀλλὰ τὸ προσεχῶς, οἷον τὸ φάρμακον ἢ τὸ σιτίον.

p. 324b31 Καὶ μᾶλλον ἔχειν τὰ διαφανῆ μᾶλλον.

Διὰ τοῦτό φησι μᾶλλον ὁρᾶσθαι τὰ ὁρατὰ διὰ τῶν μᾶλλον διαφανῶν,

2 λέγω δὲ et οὕτω δὴ τὸν Z 5. 6 κενῷ — γίνεσθαι om. a 6 γίνεσθαι RZ: γενέσθαι GT 8 ἐλάβομεν Z 9 οὕτω a 10 μέντοι] δὲ Z 11 διαιρέσεις GT¹ 12 τὸ κενόν om. Z φανερῶν] ἀφανῶν a 12. 13 φησὶ διαίρεσις Z 14 τὸ μὲν RZ: ἀλλὰ τὸ μὲν GT: τὸ μὲν οὖν a 15 μέντοι om. a 17 ὁμοίως δὲ καὶ a 19 δὲ om. a τρόπῳ καὶ ὁ Z 23 τοιαύτης (G)a 25 εἰδύνατο Z τὰ om. a 25. 27 γινόμενα. περί γε μὴν Ἐμπεδοκλέους λέγων, εἰσιέναι φησὶ λέγειν αὐτὸν τὸ ποιοῦν εἰς τοὺς πόρους καὶ οὕτω a 27 ποιεῖν οὐ τὸ πρώτως RZ: ποιεῖ εἰ τὸ πρώτως GT: ποιεῖν. οὐχ ὡς τὸ πρώτως δὲ a, qui mox ἀλλ' ὡς τὸ προσεχῶς 29. 31 σιτίον. καὶ διατοῦτο δέ φησιν ἔλεγε μᾶλλον ὁρᾶσθαι a 31 τῶν] τὸ a

διότι τὰ μᾶλλον διαφανῆ μᾶλλον ἔχει καὶ πυκνοτέρους καὶ κατὰ στοῖχον 35v
τοὺς πόρους.

p. 324b32 Οἱ μὲν οὖν ἐπί τινων οὕτω διώρισαν.

Τουτέστιν οὐκ ἐξαρκούσας ἔλαβον ἀρχὰς πρὸς πάντα τὰ φυσικά, ἀλλ'
5 εἴς τινα μόνον αὐτοῖς ἁρμοζούσας, οἷον εἰς τὸ πῶς γίνεται τὸ ποιεῖν καὶ
πάσχειν, ἢ πῶς μίγνυται τὰ μιγνύμενα· οὐκέτι μέντοι πῶς ἡ κίνησις γίνεται
ἢ ἡ διαίρεσις ἐκ τούτων ἀποδοῦναι δύνανται, ἢ τῶν λοιπῶν ἕκαστον.

p. 324b35 Ὁδῷ δὲ μᾶλλον καὶ περὶ πάντων διωρίκασιν Λεύ-
κιππος καὶ Δημόκριτος.

10 Τουτέστι τοιαύτας διωρίσαντο ἀρχάς, αἵτινες εὐοδήσουσιν αὐτοῖς περὶ
τὰς πάντων τῶν γινομένων ἀποδείξεις.

p. 325a1 Ἀρχὴν ποιησάμενοι κατὰ φύσιν ἥπερ ἐστίν.

Διὰ τοῦ|το, φησίν, εὐοδεῖ αὐτοῖς τὰ ἐφεξῆς, ὅτι τοιαύτην ἀρχὴν εἰλή- 36r
φασιν ἥτις ἔστι τε καὶ ὁμολογεῖται ὑπὸ τῆς φύσεως, λέγω δὴ τὸ εἶναι
15 πλῆθος καὶ κίνησιν ἐν τοῖς πράγμασιν. ἔδοξε γάρ, φησί, τισὶ τῶν ἀρχαίων
μήτε εἶναι πλῆθος μήτε κίνησιν, ὅπερ ἦν τῇ ἐναργείᾳ μάχεσθαι. οὐκ
ἀνεῖλεν οὖν ὁ Δημόκριτος τὰ ἐκ τῆς ἐναργείας μαρτυρούμενα, ἀλλὰ ταύταις
ἀρχαῖς ἐχρήσατο.

p. 325a3 Τὸ μὲν γὰρ κενὸν οὐκ ὄν.

20 Μόνως γὰρ τὸ πλῆρες ὄν. ζήτησον μὴ δυνατὸν ἐνταῦθα ⟨τὸ⟩ τὸ
μὲν γὰρ κενὸν οὐκ ὂν λαμβάνειν ἀντὶ τοῦ οὐκ ἔστιν ἐν τοῖς οὖσι τὸ 5
κενόν, ἵν' ᾖ οὕτως· εἰ μὴ κινηθῆναι δυνατὸν ἄνευ κενοῦ, οὐκ ἔστι δὲ τὸ
κενόν, οὐκ ἔστιν ἄρα κίνησις. ἐν δὲ τοῖς περὶ Δημοκρίτου λόγοις ἐφεξῆς
οὐκέτι οὕτως δυνατὸν ἐκλαβεῖν λέγεσθαι τὸ κενὸν οὐκ ὄν, ὡς μὴ ὑπάρχον
25 ὅλως, ἀλλὰ μόνως πρὸς ἀντιδιαστολὴν τοῦ πλήρους· ὡς γὰρ μὴ ἔχον

---

2. 4 τοὺς πόρους. οὗτος οὖν φησιν οὐκ ἐξαρκούσας a  3 ἐπί τινων om. Z
4 ἔλαβον Z: ἔλαβεν cett.  5 μόνοις αὐτὰς Z  5. 6 καὶ τὸ πάσχειν Z
6 ἢ (ante κίνησις) corr. T  6. 7 γίνεται ἢ διαίρεσις RT  7 δύναται a
7. 10 ἕκαστον. οἱ δὲ περὶ Δημόκριτον φησι τοιαύτας a  8 μάλιστα et ἑνὶ λόγῳ διωρίκασι Ar. (sed v. ἑνὶ λόγῳ omittit cod. E)  10 εὐοδήσουσιν R: εὐοδωήσουσιν a
11 τῶν om. GT  12 lemma om. a et pergit διὰ τοῦτο οὖν φησιν  13 εὐοδεῖ Z: εὐωδεῖ R: εὐοδοῖ GTa  16 ἐνεργεία T  17 ἐνεργείας GT  18. 22 ἐχρήσατο. ἐν τῷ λέγειν δὲ τὸ κενὸν οὐκ ὄν, ἐνταῦθα μὲν ἀντὶ τοῦ οὐ δυνατὸν νοεῖ, δηλονότι μὴ εἶναι ἐν τοῖς οὖσιν ὅλως τὸ κενόν. ἵν' ἦ a  20 τὸ (ante τὸ) addidi  23 δημόκριτον GT  24 οὕτω a  λέγεσθαι] γενέσθαι Z  ὑπάρχων Z  25 ἔχον corr. T: ἔχων cett.

οὐσίαν τινὰ ὑπετίθετο εἶναι τὸ κενὸν ὁ Δημόκριτος. εἰπὼν δὲ μὴ ὄντος 36r κενοῦ προσέθηκε κεχωρισμένου. εἴρηται γὰρ ἐν τῇ Φυσικῇ ὅτι τὸ 10 κενὸν καὶ ὁ τόπος καὶ τὸ πλῆρες τῷ μὲν ὑποκειμένῳ ταὐτά ἐστι, τῇ δὲ σχέσει διάφορα· κενὸν γὰρ οὐδέν ἐστιν ἢ τόπος ἐστερημένος σώματος, 5 πλῆρες δὲ τόπος πλήρης σώματος, τόπος δὲ κενὸν δεκτικὸν σώματος ἢ διάστημα περιεκτικὸν σώματος.

p. 325a6 Τοῦτο δὲ οὐδὲν διαφέρειν, εἴ τις οἴεται μὴ συνεχὲς εἶναι τὸ πᾶν.

Ἔτι ὡς ἀπὸ Παρμενίδου ὁ λόγος. τοῦτο δέ φησιν οὐ τὸ εἰρημένον 10 ἤδη, ἀλλὰ λεχθησόμενον. ἐπεὶ γὰρ ἀνεῖλεν ὁ Παρμενίδης, μὴ εἶναι κενὸν ὑποθέμενος, τό τε πλῆθος καὶ τὴν κίνησιν, τῷ μὴ δύνασθαι λέγειν μήτε 15 διαίρεσιν μήτε κίνησιν εἶναι ἄνευ κενοῦ, ὁ δὲ ἀληθὴς λόγος ἔχει ὅτι καὶ κενοῦ μὴ ὄντος οὐδὲν κωλύει καὶ διαίρεσιν εἶναι καὶ κίνησιν, τῶν πραγμάτων διῃρημένων μὲν ἁπτομένων δὲ ἀλλήλων καὶ κενῷ μὴ διειργομένων. 15 τοῦτο ἀναιρῶν ὁ Παρμενίδης φησὶν ὅτι τὸ οὕτως ὑποτίθεσθαι οὐδὲν διαφέρει τοῦ ἄτομα καὶ κενὸν εἰσφέρειν. πότερον γάρ, φησί, τὸ ὂν πάντῃ ἐστὶ διαιρετὸν ἢ οὔ; εἰ μὲν γὰρ πάντῃ ἐστὶ διαιρετόν, οὐ μόνον πολλὰ οὐκ ἔσται τὰ πράγματα, ἀλλ' οὐδὲ ἕν (διαιρεθὲν γὰρ πάντῃ οὐδὲν ἔσται 20 λοιπόν, ἀλλὰ μόνον κενόν), εἰ δὲ μὴ πάντῃ διαιρετόν, πεπλασμένῳ τὸ 20 τοιοῦτον ἔοικεν· διὰ τί γὰρ πῇ μέν ἐστι διαιρετὸν πῇ δ' οὔ; οὕτω δὲ καὶ ἡ τῶν ἀτόμων εἰσκωμάσει δόξα, ἥτινι ἕπεται καὶ τὸ κενὸν εἶναι.

p. 325a12 Ἔτι δὲ ὁμοίως ἀναγκαῖον μὴ εἶναι κίνησιν.

Τῷ αὐτῷ λόγῳ, φησί, δείκνυσι κίνησιν μὴ εἶναι, μήτε τὸ κενὸν εἰσφέρων μήτε κίνησιν εἶναι λέγων ἄνευ κενοῦ.

25 p. 325a13 Ἐκ μὲν οὖν τούτων τῶν λόγων, ὑπερβάντες τὴν αἴσθησιν.

Μέμφεται τοὺς περὶ Παρμενίδην, ὅτι ἐνόμισαν δεῖν τῇ μὲν ἐναργείᾳ

---

1 ὑποτίθετο T 2 Φυσικῇ] Δ 6 p. 213a12 sqq. 3 ταῦτά RTZ 4 οὐδὲν ἄλλο ἐστὶν a 6. 11 περιεκτικὸν σώματος. ἐν δὲ τῷ τοῦτο δ' οὐδὲν διαφέρει, τὸ, τοῦτο οὐ πρὸς τὸ ἤδη εἰρημένον ἀλλὰ πρὸς τὸ λεχθησόμενον ἀναφέρειν δεῖ. ἔτι δὲ ὡς ἀπὸ Παρμενίδου τὸν λόγον ποιεῖται. ὑποθέμενος γάρ φησιν ὁ Παρμενίδης μὴ εἶναι κενὸν, ἀνεῖλε τό, τε πλῆθος a, qui v. 15 τοῦτο δὲ ἀναιρῶν 7 τούτου δὲ GT εἴεται R¹ 11 τῷ] τὸ Z: τῶν GT 14 κενῶν R διῃργομένων R¹: διειργωμένων Z 17 ἢ οὔ;—διαιρετόν om. GT: ἢ οὐ πάντη. εἰ μὲν γὰρ πάντη suppleverat a 21 εἴτινι Z 21. 27 καὶ τὸ κενὸν εἶναι. τῷ δ' αὐτῷ λόγῳ δείκνυσι φησὶ καὶ κίνησιν μὴ εἶναι, κενὸν μὲν μὴ εἶναι ὑποθέμενος, κίνησιν δὲ ἄνευ κενοῦ μὴ εἶναι λαμβάνων. ἔπειτα μέμφεται a 22 Ἔτι δὲ] cf. Ar. codd. ὁμοίως RZ (cf. Ar. cod. E): ὁμοίως φησὶν GT 23 μήτε] μὴ T¹ 27 ἐναργία Z: ἐνεργεία GRT

τῶν πραγμάτων μὴ δεῖν ὅλως προσέχειν, μόνῃ δὲ τῇ τῶν λόγων ἀκο- 36r
λουθίᾳ, ὅπερ πεπονθότες ἓν τὸ πᾶν ἔλεγον εἶναι καὶ ἀκίνητον καὶ ἄπειρον.

p. 325a17 Ἔτι δὲ ἐπὶ τῶν λόγων μὲν δοκεῖ ταῦτα συμβαίνειν.

Εἰ δοκεῖ, φησί, συμβαίνειν ταῦτα, λέγω δὴ τὸ εἶναι τὸ πᾶν ἓν καὶ 26
ἄπειρον καὶ ἀκίνητον, ὅσον ἐκ τῆς τῶν λόγων ἀκολουθίας, καὶ πιθανὴ εἶναι ἡ ἐπιχείρησις, ἀλλ' οὖν ἐπ' αὐτῶν τῶν πραγμάτων μανίας οὐδὲν διαφέρει τὸ τοιοῦτον, μᾶλλον δὲ καὶ μανίας ἐστὶν ἐπέκεινα. οὐδεὶς γὰρ τῶν μαινομένων πρὸς τὴν αἴσθησιν πεπλάνηται, οὐδὲ τὸ πῦρ νενόμικεν εἶναι ταὐτὸν τῷ κρυστάλλῳ, ἀλλ' ἡ πλάνη τοῖς μαινομένοις περὶ τὰ καλὰ 30
καὶ μὴ καλά, καὶ συμφέροντα καὶ μὴ συμφέροντα· αἱρεῖται γὰρ διὰ τὴν μανίαν τὸ ἀσύμφορον ἀντὶ τοῦ συμφέροντος. οὗτοι μὲν οὖν τοιοῦτοι. οἱ δὲ περὶ Λεύκιππον καὶ Δημόκριτον, ὁμολογούμενα τῇ αἰσθήσει λέγοντες, οὐκ ἀνεῖλον οὔτε τὸ πλῆθος οὔτε τὴν κίνησιν.

p. 325a25 Ὁμολογήσας δὲ ταῦτα μὲν τοῖς φαινομένοις.

Τοῖς μὲν οὖν φαινομένοις, φησίν, ὁ Λεύκιππος σύμφωνος ὢν κατὰ τοῦτο, εἶτα δεξάμενος ἐκ τῶν τὸ ἓν εἰσαγόντων καὶ συμφωνήσας αὐτοῖς κατὰ τὸ μὴ εἶναι κίνησιν ἄνευ κενοῦ, καὶ ὅτι τὸ κενὸν οὐκ ὄν ἐστι, 35
τουτέστιν οὐ πλῆρες οὐδὲ οὐσία τις καὶ σύστασις, οὕτω τὰ ἑξῆς κατεσκεύασεν, λέγω δὴ ὅτι ἄτομα ἐστὶ καὶ τὸ κενόν. εἰ γάρ ἐστι πολλὰ τὰ ὄντα καὶ διῃρημένα, διαίρεσιν δὲ ἄνευ κενοῦ γενέσθαι ἀδύνατον, ἔστιν ἄρα κενόν. οὕτω μὲν οὖν τὸ εἶναι κενὸν κατεσκεύασεν, τὸ δὲ ἄτομα εἶναι πάλιν οὕτως· ἔστιν ἕκαστον τῶν ὄντων κυρίως ὄν, ἐν δὲ τῷ ὄντι οὐδέν ἐστιν οὐκ ὄν, οὐδὲν ἄρα ἐν τοῖς οὖσι κενόν (τὸ γὰρ κενὸν οὐκ ὄν)· εἰ δὲ οὐδὲν κενὸν ἐν αὐτοῖς, τὴν δὲ διαίρεσιν ἄνευ κενοῦ ἀδύνατον γενέσθαι. ἀδύνατον ἄρα αὐτὰ διαιρεθῆναι.

p. 325a32 Ποιεῖν δὲ καὶ πάσχειν ᾗ τυγχάνουσιν ἁπτόμενα.

Τουτέστι διὰ τοῦ κενοῦ· τούτῳ γὰρ ἅπτονται ἀλλήλων. οὐ γὰρ 40
κυρίως τὴν ἁφὴν ἔλεγεν ὁ Δημόκριτος, λέγων ἅπτεσθαι ἀλλήλων τὰς

---

2 ὅπερ πεποιθότες GT: ᾗ τινι πεποιθότες a 3 lemma om. a et pergit ἐδόκει (ad hoc nihil enotatum ex G) γάρ φησι Ἔτι] ἐπεὶ Bekkeri Aristoteles ἐπὶ μὲν τῶν λόγων Ar. (praeter cod. E) 5. 6 καὶ πιθανὴ ἐφαίνετο ἡ ἐπιχείρησις εἶναι a 7 ἐστὶν om. GT 9 κρυστάλω GT¹Z 10 γὰρ] γὰρ ὁ μαινόμενος F 12 λεύκιππον φησι R 14 lemma om. a ταῦτα μὲν RZ: μὲν om. GT 15 μὲν om. (G)a 17 καὶ ὅτι κενὸν R 18 τουτέστιν post οὐ πλῆρες traicit Z 19 δὴ] δὲ GT: δεῖ Z ὅτι τὰ ἄτομα Z τὰ om. T 20 διακρινόμενα GTa 22 ἕκαστον τῶν ὄντων ἔστι tr. a 23 οὐδὲν ἄρα—οὐκ ὄν om. GT: ὥστε οὐδὲ κενὸν suppleverat a 25. 27 διαιρεθῆναι. ἁπτόμενα δ' ἔλεγε ποιεῖν καὶ πάσχειν, τουτέστι a 28 τὴν κυρίως ἁφὴν a ἀλλήλων ἅπτεσθαι Z, qui mox ἥτις—ἀτόμους om.

ἀτόμους, ἥτις γίνεται τῶν ἐπιφανειῶν ἐφαρμοζουσῶν ἐπ' ἀλλήλας τῶν 36r
ἁπτομένων, ἀλλὰ ⟨τὸ⟩ πλησίον εἶναι ἀλλήλων τὰς ἀτόμους καὶ μὴ πολὺ
διεστάναι, τοῦτο ἁφὴν ἐκάλει· κενῷ γὰρ πάντως διείργεσθαι αὐτάς.

p. 325a34 Καὶ συντιθέμενα δὲ καὶ περιπλεκόμενα γεννᾶν.

Συντιθέμενα, φησίν, ἀλλήλοις τὰ ἄτομα καὶ περιπλεκόμενα τὰ πάθη
γεννῶσιν, ὡς πολλάκις εἴρηται. δηλοῖ δὲ διὰ τῆς συνθέσεως αὐτῶν καὶ
περιπλοκῆς τὴν θέσιν καὶ τὴν τάξιν.

p. 325a34 Ἐκ δὲ τοῦ κατὰ ἀλήθειαν ἑνὸς οὐκ ἂν γενέσθαι πλῆθος.

Οὔτε, φησί, τὸ κυρίως ἓν πλῆθος ἂν ποιήσοι, τοῦ μὲν πλήθους
κατὰ διαίρεσιν γινομένου τῆς δὲ διαιρέσεως διὰ τοῦ κενοῦ (τὸ οὖν κυρίως
ἓν οὐκ ἔχον ἐν ἑαυτῷ κενὸν οὐκ ἂν διαιρεθείη), οὔτε ἐκ τῶν κατ' ἀλή-
θειαν πολλῶν ἓν οὐκ ἂν γένοιτο· οὐδὲ γὰρ δύνανται συγκριθῆναι αἱ ἄτομοι
κενῷ διειργόμεναι καὶ ἑνωθῆναι μὴ δυνάμεναι.

p. 325b5 Σχεδὸν δὲ καὶ Ἐμπεδοκλεῖ ἀναγκαῖον λέγειν, ὥσπερ
καὶ Λεύκιππός φησιν. |

Περιάγεται, φησίν, ἡ Ἐμπεδοκλέους δόξα εἰς τὴν Δημοκρίτειον, ὅσον 36v
ἐξ ὧν ὑποτίθεται ὁ Ἐμπεδοκλῆς ἀνάγκη αὐτὸν ἄτομα εἰσάγειν σώματα.
εἰ γὰρ διὰ πόρων ὑποτίθεται τὸ ποιεῖν καὶ πάσχειν, ἀνάγκη πᾶσα εἰσιόντος
εἰς τοὺς πόρους τοῦ ποιοῦντος τὰ περιέχοντα τοὺς πόρους σώματα ἀπαθῆ
εἶναι καὶ ἀδιαίρετα. εἰ γὰρ πάσχοιεν, ἐπειδὴ τὸ ποιεῖν καὶ τὸ πάσχειν
οὐκ ἄλλως ἢ διὰ πόρων φησὶ γίνεσθαι, ἀνάγκη κἀκεῖνα πόρους ἔχειν, καὶ
πάλιν τὰ σώματα τὰ περιέχοντα τοὺς πόρους ἐκείνους. ὥστε ἢ τὸ ὅλον
πόρος ἔσται, ἢ εἰ τοῦτο ἀδύνατον, ἀνάγκη εἶναί τινα ἔσχατα ἀπαθῆ καὶ
ἀδιαίρετα σώματα. καὶ τοῦτο δὲ καὶ ὁ Δημόκριτος ἔλεγεν. ὥστε τὰ
αὐτὰ ὁ Ἐμπεδοκλῆς Δημοκρίτῳ καὶ Λευκίππῳ ὅσον ἐκ τῶν ἰδίων ὑπο-
θέσεων λέγειν ἀναγκασθήσεται.

---

2 τὸ addidit a 4 ἀλλὰ καὶ pro lemmate a 5 τὰ (ante πάθη) om. GTa
7 θέσιν] σύνθεσιν R 7. 9 τάξιν. ἀλλὰ καὶ ἐκ τοῦ κατὰ ἀλήθειαν καὶ κυρίως φησὶν
ἑνὸς πλῆθος οὐκ ἂν γένοιτο, τοῦ μὲν πλήθους a 9 ποιήσοι R: ποιήσει T¹Z: ποιήση G
et corr. T 10 γενομένου TZ¹ 11 ἔχων a οὔτε] ἀλλ' οὐδ' αὖ a 12 γέ-
νηται Z: γένοιτ' ἂν ἓν (om. οὐκ) a δύναται GT αἱ om. GT 13 διειργό-
μενα a 16 δημοκρίτιον Z: Δημοκρίτου a 16 ὅσον] νόσον R: om. (G)a
17 ἐξ ὧν γὰρ a 18 εἰσιόντα GTa 19 τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος a
23 εἰ om. Z 24 καὶ (ante τοῦτο) recte om. Fa 25 ὁ Ra: om. Z: καὶ ὁ GT
26. p. 160,3 ἀναγκασθήσεται. τοῦτο δὴ αἰνίττεται λέγων, εἶναι γὰρ ἄττα στερεά. ἤγουν ἀναγ-
καῖον τῷ Ἐμπεδοκλεῖ λέγειν a

p. 325ᵇ6 Εἶναι γὰρ ἄττα στερεά, ἀδιαίρετα δέ, εἰ μὴ πάντῃ πόροι συνεχεῖς εἰσι. τοῦτο δὲ ἀδύνατον. 36ᵛ

Ἀναγκαῖον, φησί, τῷ Ἐμπεδοκλεῖ λέγειν εἶναί τινα στερεὰ καὶ ἀδιαίρετα, διὰ τὸ μὴ εἶναι πάντῃ τοῦ σώματος πόρους συνεχεῖς. τοῦτο γὰρ ἀδύνατον· πόρος γὰρ ἂν εἴη τὸ πᾶν σῶμα καὶ κενόν. ὥστε εἰ τοῦτο ἄτοπον, ἀνάγκη τὰ μὲν ἁπτόμενα μόρια τοῦ σώματος στερεὰ εἶναι ἀδιαίρετα, τὰ δὲ μεταξὺ αὐτῶν κενά, οὓς Ἐμπεδοκλῆς πόρους ἐκάλεσεν. τὰ αὐτὰ δὲ καὶ οἱ περὶ Λεύκιππον ὑπετίθεντο, τὰ μὲν ἄτομα ἅπτεσθαι ἀλλήλων, διαλαμβάνεσθαι δὲ τῷ κενῷ, δι' οὗ τὸ ποιεῖν καὶ πάσχειν γίνεται, πλὴν ὅτι τὴν ἁφὴν οἱ περὶ Λεύκιππον οὐ κυρίως ἔλεγον, ὡς εἴρηται ἀνωτέρω.

p. 325ᵇ12 Οἱ μὲν οὖν τρόποι καθ' οὓς τὰ μὲν ποιεῖ τὰ δὲ πάσχει, σχεδὸν οὗτοι λέγονται.

Ἐκθέμενος τοὺς τρόπους, καθ' οὓς ὅ τε Ἐμπεδοκλῆς καὶ οἱ περὶ Δημόκριτον ὑπετίθεντο τὸ ποιεῖν καὶ τὸ πάσχειν, ἐν τούτοις ἀποδέχεται μᾶλλον τοὺς περὶ Δημόκριτον, ὅπερ ἤδη ἐποίησεν, ὡς ἀρχὰς τοιαύτας ὑποθεμένους, αἵτινες αὐτοῖς ἤρκεσαν καὶ πρὸς γένεσιν καὶ φθορὰν καὶ πρὸς ἀλλοίωσιν καὶ πρὸς τὰς ἄλλας φυσικὰς μεταβολάς, Ἐμπεδοκλέους μὴ δυναμένου διὰ τῶν οἰκείων ἀρχῶν πάντων τοὺς λόγους ἀποδοῦναι. πρῶτον μὲν γὰρ ἀπαθῆ λέγων τὰ τέσσαρα στοιχεῖα καὶ εἰδοποιοὺς αὐτῶν εἶναι διαφορὰς τὰ πάθη, ἀλλοίωσιν σῴζειν οὐ δύναται· γένεσιν δὲ τῶν μὲν συνθέτων τῇ συγκρίσει τῶν στοιχείων εἶναι λέγει, αὐτῶν δὲ τῶν στοιχείων γένεσιν οὐκέτι λέγειν δύναται, μὴ ὑποτιθέμενος καὶ αὐτῶν τούτων ἁπλούστερα στοιχεῖα· ὁρῶνται δὲ τὰ στοιχεῖα φθειρόμενα καὶ γινόμενα. οἱ μέντοι περὶ Δημόκριτον καὶ αὐτοὶ λέγοντες τὰ σύνθετα πάντα ἐκ τῶν τεσσάρων στοιχείων ἔχειν τὴν γένεσιν, καὶ αὐτῶν τῶν στοιχείων τὸν λόγον τῆς γενέσεως ἐκ τῶν οἰκείων ἀποδιδόασι· γίνεσθαι γὰρ αὐτὰ καὶ φθείρεσθαι τῇ τῶν ἀτόμων συγκρίσει καὶ διακρίσει. καὶ τὴν ἀλλοίωσιν δὲ ἔσῳζον τῇ μεταθέσει καὶ τῇ μετατάξει τῶν ἀτόμων· μὴ γὰρ ἀποτιθέμενοι τὰ πάθη ἐν ταῖς ἀτόμοις, ἀλλ' ἀπαθεῖς αὐτὰς εἶναι λέγοντες, τῇ θέσει αὐτῶν καὶ τῇ τάξει τὰ πάθη γίνεσθαι δοκεῖν ἔλεγον. ὁ μέντοι

1 ἄττα] αὐτὰ τὰ GRTZ 6. 7 εἶναι καὶ ἀδιαίρετα a 7 οὓς] ἅπερ ὁ a 7. 8 τὰ αὐτὰ RZ: τοιαῦτα GTa 10. 11 οὐ κυρίως εἰρήκασιν, ὡς ἔλεγον (ἔλεγεν a) ἀνωτέρω GTa 12 lemma καὶ περὶ μὲν τούτων — καὶ αἱ διακρίσει (p. 325ᵇ13—30) a, qui superius lemma (p. 159,14) usque ad λέγονται (p. 325ᵇ13) continuaverat τὰ μὲν GT: τὰ RZ 14 ἐκθεμένους GT¹ 16 ὡς RZ: εἰς GT: ὅπερ — ὡς om. et τοιαύτας ἀρχὰς traicit a 20. 21 διαφορὰς εἶναι Z 21 δύνανται R 24 ὁρῶντα Z 27 ἐκ τῶν] αὐτῶν Z 28 συγκράσει Z 29 τῇ alterum om. Z 29. 30 ὑποτιθέμενοι Z 30 ἀπαθεῖς αὐτὰ λέγοντες Z

Ἐμπεδοκλῆς ἐν τοῖς στοιχείοις ἐναποτιθέμενος τὰ πάθη καὶ ἀμετάβλητα 36v
αὐτὰ εἶναι λέγων, ἀλλοίωσιν σῴζειν οὐ δύναται.

Σχεδὸν οὗτοι λέγονται. παρὰ τῶν ἀρχαιοτέρων δηλονότι. εἰσὶ 41
δὲ τρόποι δύο, ὅ τε διὰ τῶν πόρων καὶ ὁ διὰ τοῦ κενοῦ.

5 p. 325b 13 Καὶ περὶ μὲν τούτων.

Τῶν περὶ Λεύκιππον καὶ Δημόκριτον. δῆλον δὲ ἐκ τῶν ἐφεξῆς.

p. 325b 14 Καὶ πρὸς τὰς αὐτῶν θέσεις αἷς χρῶνται σχεδὸν ὁμολογουμένως φαίνεται συμβαῖνον.

Ἀκόλουθα, φησί, καὶ συμβαίνοντα ταῖς ἀρχαῖς αὐτῶν τὰ ἐφεξῆς εἰρή- 45
10 κασιν, ἐν οἷς καὶ τὸν περὶ τοῦ ποιεῖν καὶ πάσχειν λόγον.

p. 325b 15 Τοῖς δὲ ἄλλοις ἧττον.

Τοῖς περὶ Ἐμπεδοκλέα, φησίν, ἧττον ἀκόλουθα καὶ συμβαίνοντα ταῖς ἀρχαῖς τὰ ἐφεξῆς, λέγω δὲ τὰ περὶ γενέσεως καὶ φθορᾶς καὶ ἀλλοιώσεως καὶ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν.

15 p. 325b 17 Τοῖς μὲν γάρ ἐστιν ἀδιαίρετα τὰ πρῶτα τῶν σωμάτων.

Τοῖς περὶ Δημόκριτον, φησί, τὰ πρῶτα σώματα, ἐξ ὧν γίνεται πάντα πρώτων καὶ εἰς ⟨ἃ⟩ ἔσχατα διαλύονται, τὰ ἀδιαίρετά ἐστι· εἰς ταῦτα γὰρ καὶ ἡ τῶν τεσσάρων στοιχείων ἀνάλυσις. τῷ δὲ Ἐμπεδοκλεῖ τὰ μὲν 50
ἄλλα, τουτέστι τὰ σύνθετα, μέχρι τῶν τεσσάρων στοιχείων ἔχει τὴν ἀνά-
20 λυσιν· πρῶτα γὰρ στοιχεῖά εἰσιν αὐτῷ τὰ τέσσαρα. καὶ διὰ τοῦτο τῶν συνθέτων τῆς γενέσεως ἔχοι ἂν λόγον τὴν τῶν στοιχείων σύγκρισιν, τίνα δὲ τρόπον καὶ αὐτὰ τὰ στοιχεῖα γίνεται καὶ φθείρεται οὐκ ἔχει λέγειν, μὴ λέγων καὶ αὐτῶν τῶν τεσσάρων στοιχείων ἁπλούστερά τινα στοιχεῖα. τὸ δὲ σωρευόμενον μέγεθος τοῦτό ἐστι, τὸ ἐκ τῆς γενέσεως αὐτῶν σω-
25 ρευόμενον, οἷον ὕδωρ ἢ ἀὴρ ἢ πῦρ, ἅπερ ἐν τῇ γενέσει αὐτῶν κατὰ |

---

2 εἶναι om. a δύνανται Z 3. 4 σχεδὸν οὖν φησιν οἱ παρὰ τῶν ἀρχαιοτέρων λεχθέντες τρόποι οὗτοι οἱ δύο εἰσίν. ὅ, τε a 4 ὁ om. GT 5. 12 καὶ περὶ μὲν τούτων φησὶ τῶν περὶ Λεύκιππον δηλονότι καὶ Δημόκριτον. δῆλον δὲ τοῦτο ἐκ τῶν ἐφεξῆς, καὶ πῶς ἤγουν τίνι τρόπω λέγουσι, δῆλον. ἀλλὰ καὶ πρὸς τὰς θέσεις αὐτῶν φησιν, αἷς — συμβαῖνον. δηλονότι ἀκόλουθα καὶ συμβαίνοντα — εἰρήκασι τά τε ἄλλα καὶ τὸν — λόγον. τοῖς δὲ περὶ Ἐμπεδοκλέα a 7 ὑποθέσεις GT 9 αὐτῶν libri 13 λέγω δὴ a 15 lemma om. hic a, qui pergit τοῖς μὲν γὰρ περὶ Δημόκριτον 16. 17 ἐξ ὧν γὰρ πρῶτον πάντα Z 17 ἃ addidit a ἀναλύονται a τὰ om. a διαιρετά GT 17. 18 καὶ εἰς ταῦτα καὶ et ἀνάλυσις γίνεται a 19 μέρει R 20 ἐστὶν GT: αὐτῷ εἰσιν traicit Z 21 συγχώρησιν Z 24. 25 et p. 162,1 σορευόμενον utrobique et σορεύεται GT[1] 24 τουτέστι libri

μικρὸν σωρεύεται καὶ αὔξεται, ὡς τὸ ἐκ τοῦ ὑετοῦ ὕδωρ, ἢ ὁ ἐκ τοῦ 37r
ἐξατμιζομένου ὕδατος ἀήρ, ἢ τὸ ἐκ τῆς φλογουμένης ὕλης πῦρ.

p. 325ᵇ24 Ὁμοίως καὶ τῶν ἄλλων ἁπάντων.

Ὕδατος δηλονότι καὶ ἀέρος καὶ γῆς.

5 p. 325ᵇ24 Ὥσπερ ἐν τῷ Τιμαίῳ γέγραφεν ὁ Πλάτων.

Καὶ γὰρ τῶν τεσσάρων στοιχείων ὁ Πλάτων στοιχεῖα εἶναί φησι τὰ ἐπίπεδα, ταῦτα δέ ἐστι τρίγωνα ἰσόπλευρα καὶ ὀρθογώνια. τὴν δὲ πυρα- 5
μίδα οὐ στοιχεῖον πυρὸς ἔλεγεν ἀλλὰ σπέρμα, ὁμοίως καὶ τῆς γῆς τὸν κύβον καὶ τῶν ἄλλων ὁμοίως, ὕδατος μὲν τὸ ὀκτάεδρον, ἀέρος δὲ τὸ εἰκο-
10 σάεδρον· τὸ γὰρ δωδεκάεδρον τῷ παντὶ κόσμῳ ἀφώρισεν. τὰ δὲ τρίγωνα, τουτέστι τὰ πρῶτα στοιχεῖα, ἀδιαίρετα ἔλεγεν· οὐκέτι γὰρ διαιρεῖσθαι ταῦτα εἰς ἕτερα ἀρχοειδέστερα. ἡ οὖν Πλάτωνος, φησί, δόξα τῆς Λευκίππου καὶ Δημοκρίτου ταύτῃ διαφέρει, ὅτι οἱ μὲν περὶ Λεύκιππον τὰ ἀδιαίρετα, ἃ καὶ πρῶτα στοιχεῖα ἐποίουν, στερεὰ εἶναι ἔλεγον, Πλάτων δὲ 10
15 τὰ ἀδιαίρετα, ἐπίπεδα· καὶ ὁ μὲν Δημόκριτος ἀπείροις σχήμασιν ἐσχηματίσθαι ἔλεγε τὰς ἀτόμους, ὁ δὲ Πλάτων ὡρισμένοις, μᾶλλον δὲ ἑνί. τρίγωνα γὰρ εἶναι τὰ πρῶτα στοιχεῖα, τὰ δὲ πρώτως ἐκ τῶν στοιχείων ὡρισμένοις ὡρίσθαι σχήμασι (πέντε γάρ), πυραμίδι κύβῳ ὀκταέδρῳ δωδεκαέδρῳ εἰκοσαέδρῳ.

20 p. 325ᵇ27 Καὶ ὁ μὲν ἀπείροις ὡρίσθαι σχήμασι τῶν ἀδιαιρέτων στερεῶν ἕκαστον.

Οὐ τοῦτο λέγει, ὅτι ἑκάστη ἄτομος ἄπειρα σχήματα ἔχει (ἓν γὰρ ἑκάστη εἶχεν), ἀλλ' ὅτι αἱ ἄτομοι ἄπειρα σχήματα εἶχον μεριζόμενα καθ' 15
ἑκάστην. ἢ ἀντιστρόφως νοητέον· καὶ ὁ μὲν τῶν σχημάτων ἕκαστον
25 ἀπείροις ἀδιαιρέτοις ὡρίσθαι, τουτέστιν ἕκαστον σχῆμα ἐν ἀπείροις ἐστὶν ἀτόμοις, οἷον τὸ σφαιρικὸν τὸ κυβικὸν καὶ τῶν ἄλλων ἕκαστον, ὥστε καὶ τὰ σχήματα ἄπειρα εἶναι καὶ τὰ ὑφ' ἕκαστον σχῆμα ἄτομα.

---

1 ὡς] ὥστε T ὁ Ra: τὸ Z: ὅτι GT ἐκ (post ὁ) om. R 3 ὁμοίως δὲ καὶ περὶ τῆς γῆς. μὴ λέγοντι οὖν φησι πυρὸς στοιχεῖα μὴ δὲ τῶν ἄλλων ἁπάντων a ὁμοίως δὲ καὶ Ar. 4. 6 καὶ γῆς, οὐχ οἷόν τε ἀποδοῦναι τὴν γένεσιν αὐτῶν. διʼ ὃ καὶ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ τῶν τεσσάρων στοιχείων στοιχεῖα a 5 ὁ om. Arist. 7 εἰσι R ὀρθογόνια a 8 εἶναι ἔλεγεν Z 9 ἄλλων ὁμοίων ὕδατος (G)a 15 τὰ διαίρετα GT 18. 19 εἰκοσαέδρῳ. δωδεκαέδρῳ (sic!) Z 20 lemma om. hic a
α β
22 λέγει RZ: φησιν GT: δέ φησιν a ἔχει] εἶχεν Z 23 εἶχον] ἔσχον a 24. 26 νοητέον. ἀπείροις ὡρίσθαι σχήμασιν ἕκαστον τῶν στερεῶν. ἀντὶ τοῦ ἕκαστον σχῆμα ἐν ἀπείροις στερεοῖς τουτέστιν ἀτόμοις ὡρίσθαι. οἷον a 25 ἐστὶν] ἐστὶν ἀδιαιρέτοις Z: εἶναι F 27 εἶναι] ἐστι Z 27. p. 163,3 ἄτομα. τὸ δὲ ὡρίσθαι, ἀντὶ τοῦ a

p. 325b28 Ἐπεὶ ἀδιαίρετά γε ἀμφότεροι λέγουσι καὶ ὡρισμένα σχήμασιν. 37r

Τὸ ὡρισμένα ἐνταῦθα ἀντὶ τοῦ περιγεγραμμένα ἕκαστον τῶν στερεῶν ὑπό τινος σχήματος.

p. 325b30 Λευκίππῳ μὲν δύο τρόποι ἂν εἶεν, διά τε τοῦ κενοῦ καὶ διὰ τῆς ἁφῆς· ταύτῃ γὰρ ἀδιαίρετον ἕκαστον.

Δοκεῖ διὰ τούτων ἐναντιοῦσθαι τοῖς ἀνωτέρω εἰρημένοις αὐτῷ. φησὶ γὰρ ἐν ἐκείνοις τὸ πάσχειν τοῦτον γίνεσθαι τὸν τρόπον, διὰ τοῦ κενοῦ γινομένης τῆς διαλύσεως, ὁμοίως δὲ καὶ τῆς αὐξήσεως καὶ γενέσεως καὶ φθορᾶς καὶ τῶν ἄλλων μεταβολῶν· νῦν δέ φησι δύο τρόπους εἶναι γενέσεως, τὸν διὰ τοῦ κενοῦ καὶ τὸν διὰ τῆς ἁφῆς. ἔοικεν οὖν ἐνταῦθα κοινότερον τὴν γένεσιν εἰρηκέναι, ἐπί τε τῆς ὄντως γενέσεως, λέγω δὲ τῆς τῶν οὐσιῶν, καὶ ἐπὶ τῆς τῶν συμβεβηκότων, καὶ τὸν μὲν ἕτερον τρόπον, τὸν διὰ τοῦ κενοῦ, τῆς γενέσεως εἶναι, τὸν δὲ διὰ τῆς ἁφῆς τῆς ἀλλοιώσεως· ἁπτόμεναι γὰρ ἀλλήλων αἱ ἄτομοι καὶ προσκρούουσαι ἀλλήλαις μετατίθενται καὶ μετατάττονται, καὶ οὕτω τὴν ἀλλοίωσιν ποιοῦσιν, ἅπτονται δὲ δηλονότι διὰ τοῦ κενοῦ. ὥστε οὐκ ἐναντία ταῦτα ἐκείνοις. δύναται δὲ τὸ δύο τρόποι μὴ κατ' ἄλλον καὶ ἄλλον τρόπον λέγειν γίνεσθαι τὴν γένεσιν, ποτὲ μὲν τούτῳ ποτὲ δὲ τούτῳ, ἀλλ' ἑκάστην γένεσιν διὰ τῶν δύο τρόπων, καὶ δεῖσθαι ἕκαστον τῶν γινομένων τῶν δύο τρόπων ἵνα γένηται, τοῦ τε κενοῦ φημι καὶ τῆς ἁφῆς· διὰ γὰρ τοῦ κενοῦ καὶ ἡ ἁφὴ γίνεται, κἂν τὴν κυρίως εἴπῃς ἁφήν, κἂν τὴν οἷον πλησίασιν. ἀμέλει καὶ ἀνωτέρω κοινῶς τὸ ποιεῖν καὶ πάσχειν διὰ τῆς ἁφῆς εἶπε γίνεσθαι, φησὶ δὲ οὕτως· "καὶ συνιστάμενα μὲν γένεσιν ποιεῖν, διαλυόμενα δὲ φθοράν· ποιεῖν δὲ καὶ πάσχειν ᾗ τυγχάνουσιν ἁπτόμενα." ποιεῖ δὲ καὶ πάσχει δηλονότι οὐ μόνον τὰ ἀλλοιούμενα, ἀλλὰ καὶ τὰ γινόμενα. οὕτως οὖν τῷ μὲν Δημοκρίτῳ, φησί, δύο τρόποι γενέσεώς εἰσι, Πλάτωνι δὲ εἷς, ὁ διὰ τῆς ἁφῆς. οὐ φησι γὰρ εἶναι κενὸν ὁ Πλάτων, ἀλλὰ τὰ μὲν ἐπίπεδα, ἁπτόμενα ἀλλήλων κατὰ τὸ κυρίως τῆς ἁφῆς σημαινόμενον, ποιεῖν τὰς

2 σχήματα Z 3 ὡρισμένον GT περιγεγραμμένον GT: περιγεγράφθαι a στερεῶν] στοιχείων Z 6 διαιρετὸν a Arist. (praeter cod. H) 7 τοῦτο Z 9 γινομένοις RZ τῆς διαλύσεως] τῆς φθορᾶς καὶ τῆς διαλύσεως Z ὁμοίως—γενέσεως om. GTa 10 τῆς φθορᾶς GTa 11 τὸν alterum om. Z 12 ὄντος GT 13 τῆς om. GT καὶ τὸν] καὶ τοῦ GT¹ 14 κινοῦ a 17 ἐν ἐκείνοις GT: τοῖς ἐν ἐκείνοις a 18 τὸ] τὰ GT 19 τοῦτο utrobique Z 20 post prius δύο addit τούτων a καὶ δεῖσθαι—τρόπων om. GT: haec et proxima ἵνα γένηται om. a, qui eorum loco γίνεσθαι inseruit et mox τε delevit 21 φημι om. Z(?) 22 εἴποις GT 22. 23 ἀνωτέρω p. 325a31 24 οὕτω a γένεσιν] γίνεσθαι GT 27 πλάτων GRT

πυραμίδας ἢ τοὺς κύβους καὶ τὰ λοιπὰ στερεὰ τῶν σχημάτων, ταῦτα δὲ 37r
πάλιν ἁπτόμενα ἀλλήλων ποιεῖν τὰ στοιχεῖα.

p. 325b33 Περὶ μὲν τῶν ἀδιαιρέτων ἐπιπέδων εἰρήκαμεν ἐν τοῖς πρότερον λόγοις.

Ἀνεῖλε γὰρ αὐτὰ καὶ ἐν τῇ Περὶ οὐρανοῦ καὶ ἐν τούτῳ μέντοι τῷ λόγῳ, ὅτι ἄλογόν τε μέχρις ἐπιπέδων ἀναλύειν (τῷ γὰρ αὐτῷ λόγῳ καὶ μέχρι σημείων ἔσται ἡ ἀνάλυσις) καὶ ὅσα ἄλλα εἴρηται.

p. 325b34 Περὶ δὲ τῶν ἀδιαιρέτων στερεῶν τὸ μὲν ἐπὶ πλέον θεωρῆσαι τὸ συμβαῖνον ἀφείσθω τὸ νῦν.

Ἡ τῶν ἀτόμων σωμάτων ἀνασκευὴ εἴρηται μὲν αὐτῷ καὶ ἰδίᾳ ἐν τῷ Περὶ ἀδιαιρέτων μεγεθῶν βιβλίῳ, εἴρηται δὲ αὐτῷ καὶ ἐν τῇ Περὶ οὐρανοῦ. δεῖ δὲ ἡμᾶς εἰπεῖν διὰ πόσων καὶ ποίων ἐπιχειρημάτων ἐν τῇ Περὶ οὐρανοῦ τὴν ἀνασκευὴν ἐποιήσατο αὐτῶν. ἐν μὲν οὖν τῷ τρίτῳ λόγῳ ἕξ τινα τίθησιν ἐπιχειρήματα, ἐν δὲ τῷ τετάρτῳ ἓν ἁρμόζον τῇ περὶ τοῦ βαρέος καὶ κούφου θεωρίᾳ. ἔστιν οὖν τὸ μὲν πρῶτον τῶν ἐπιχειρημάτων, ὅτι οὐ πρεπούσας ἐπιστήμονι ἀρχὰς ὑποτίθενται οἱ τὰς ἀτόμους ὑποτιθέμενοι, ἀπείρους αὐτὰς εἶναι λέγοντες· τὸ γὰρ ἄπειρον τῇ ἑαυτοῦ φύσει ἄγνωστον, ἡ δὲ ἐπιστήμη ὡρισμένων ἐστὶ καὶ ὡρισμένη γνῶσις. τοῦτο δὲ τὸ ἐπιχείρημα οὐ πρὸς τὸ ἀδιαίρετον τῶν ἀτόμων, ἀλλὰ πρὸς τὸ ἄπειρον εἴρηται. δεύτερον ὅτι ἀναιροῦσιν οἱ ταῦτα λέγοντες τὰς ἀκριβεστάτας τῶν ἐπιστημῶν. τὰς μαθηματικὰς λέγω. ἐκεῖνοι γὰρ πᾶν μέγεθος καὶ τὸ κατ' ἐπίνοιαν λαμβανόμενον διαιροῦσι δίχα, οὗτοι δὲ οὐδὲ τὸ φυσικόν· τὸ γὰρ ἐκ περιττῶν ἀτόμων συγκείμενον δίχα διαιρεθῆναι οὐ δύναται. ὥστε μάχονται ταῖς ἀκριβεστάταις τῶν ἐπιστημῶν. τρίτον ὅτι ἀναιροῦσι τὴν συναίσθησιν καὶ τὰ πάθη. ὡς γὰρ εἴρηται πολλάκις, ὅταν κεντήσῃ τὸ σῶμα βελόνη τις, ἀνάγκη πᾶσα ἢ ἐν τῷ κενῷ χωρῆσαι αὐτὴν ἢ τῆς ἀτόμου * * * ἅψεται,

2 στοιχεῖα RZ: σχήματα GT: σώματα a 3. 7 Περὶ μὲν — εἴρηται] προτέρους δὲ λόγους τοὺς περὶ οὐρανοῦ φησι, ἀντεῖπε γὰρ ἐν ἐκείνοις Πλάτωνι τὰ ἐπίπεδα ἀρχὰς λέγοντι a 3 καὶ περὶ μὲν Ar. 5 τῇ] τῷ GT¹ Περὶ οὐρανοῦ] v. ad p. 25,11 ἐν τούτῳ κτλ.] De gen. A 2 p. 315b31 (cum Philop. comm. p. 25,31 sqq.) 6. 7 καὶ μέχρι σημείων RZ: ὅτι ἄλογόν (ἄλλογόν G) τε μέχρις ἐπιπέδων GT 9 θωρῆσαι a τονῦν GRTa: τὰ νῦν Z 11 περὶ τῶν RT βυβλίῳ a αὐτῷ om. Z 12. 13 τὴν ἀνασκευὴν αὐτῶν ἐν τῇ περὶ οὐρανοῦ ἐποιήσατο Z 12 Περὶ Οὐρανοῦ Γ 1. Δ 2 14 τετάρτω ἐναρμόζον R ἓν om. T¹ 14. 15 κούφου καὶ βαρέως Z 18 ὡρισμένων RZ: ὡρισμένω GT: ὡρισμένου a 20 δεύτερον δὲ ὅτι Z ἀκριβεστάτων Z 21 ἐπίννοιαν GT¹ 22. 23 οὐδὲ τὸ φυσικόν· τὸ γὰρ ἐκ περιττῶν ἀτόμων (ἀτόμων om. R) συγκείμενον δίχα διαιρεθῆναι οὐ δύναται (δύνανται Z, si recte enot.) RZ: τὸ φυσικόν· τὸ γὰρ ἐκ περιττῶν ἀτόμων συγκειμένων δίχα. οὗτοι δὲ οὐδὲ τὸ φυσικὸν οὐ δύνανται GT: τὸ φυσικὸν οὐ διαιροῦσιν a 25 βολόνη T: βελώνη Z 26 χωρίσαι et ἢ εἰ τῆς Z lacunam signavi: ἅψασθαι. εἰ μὲν οὖν ἐν τῷ κενῷ χωρήσει, οὐκ αἰσθήσεται. ἢν (sic) δὲ τῆς ἀτόμου suppl. a ἅψηται GTa

διὰ τὸ ἀπαθῆ εἶναι πάλιν οὐκ αἰσθήσεται. ὥστε ἀνῄρηται ἡ αἴσθησις καὶ 37r
οὐδὲν ἔσται αἰσθητόν. εἰ γὰρ τὸ αἰσθάνεσθαι τῷ πάσχειν τι ὑπὸ τῶν |
αἰσθητῶν τὴν αἴσθησιν λέγεται, οὐκ ἔστι δὲ συναίσθησις οὐδὲ πάθος, 37v
οὐδ᾽ ἄρα αἰσθητόν τι ἂν εἴη κυρίως. εἰ δέ τις εἴποι ὅτι φύσει οὐδέν
5 ἐστιν αἰσθητόν, θέσει δὲ καὶ τῇ πρὸς τὰς αἰσθήσεις ποιᾷ σχέσει (τῷ
γὰρ τοίως ἢ τοίως προσβάλλειν τὰς ἀτόμους, ταύτῃ εἶναι δοκεῖν τὰ
αἰσθητά), ἴστω ἐληλεγμένον τὸν λόγον τοῦτον ἱκανῶς ὑπὸ τοῦ Πλάτωνος
ἐν τῷ Θεαιτήτῳ. τέταρτον ὅτι ἀναιροῦσι συνέχειαν καὶ διαίρεσιν· οὐδὲν 5
γὰρ ἔσται συνεχὲς καὶ διὰ τοῦτο οὐδὲ διαιρετόν. καίτοι ὅτι ἐστὶ συνεχῆ
10 τὰ σώματα, δῆλον ἐξ ὧν ἑνὸς μορίου πάσχοντος ἀχρόνως σχεδὸν τὸ ὅλον
συναισθάνεται σῶμα τοῦ πάθους κατὰ συνέχειαν διαβαίνοντος. εἰ δὲ μὴ
ἦν τὸ σῶμα συνεχές, πῶς ἂν ἔμελλεν ἑνὸς μορίου πάσχοντος, οἷον ποδὸς
προσπταίσαντος, ἡ συναίσθησις κατὰ τὸ συνεχὲς διήκειν εἰς τὸ ὅλον; οὐδὲ
γὰρ εἰ ἱστάμεθα δέκα ἐφεξῆς, εἶτα πληγῇ εἷς, γίνεται εἰς τοὺς λοιποὺς
15 συναίσθησις, διὰ τὸ μὴ εἶναι αὐτοὺς συνεχεῖς ἀλλὰ διῃρημένους. πέμπτον 10
ὅτι ἀναιροῦσι γένεσιν καὶ φθοράν. πῶς γὰρ ἂν γίνοιτο ἐξ ὕδατος ὁ ἀὴρ
ἐξατμιζομένου; δῆλον ὅτι ἐροῦσιν ἐκκρινομένων τῶν ἀτόμων ἐξ ὧν ὁ ἀὴρ
καὶ συγκρινομένων συνίσταται. ἀλλ᾽ εἰ τοῦτο ἦν, οὐκ ἔδει οὐδέποτε ἅπαν
τὸ ὕδωρ ἐξατμίζεσθαι, ἀλλ᾽ ἀεὶ ἀπολιμπάνεσθαι ἐξατμιζομένου. οὐ γὰρ
20 αἱ αὐταὶ ἄτομοι πάντων εἰσὶ τῶν στοιχείων ποιητικαί, ἀλλ᾽ ἄλλαι ἄλλων.
ὥστε εἰ μὴ τῆς οὐσίας τοῦ ὕδατος τρεπομένης οὕτως ἀὴρ γίνεται, ἀλλ᾽
ἐκκρινομένων ἐξ αὐτοῦ τῶν τοῦ ἀέρος ἀτόμων, ἔδει μηδέποτε ὅλον τὸ 15
ὕδωρ ἐξατμίζεσθαι. ὥστε ἢ οὐδ᾽ ὅλως ἐστὶ γένεσις, ἢ ψευδὴς ἡ τῶν
ἀτόμων ὑπόθεσις· ἀδύνατον γὰρ σωθῆναι ἐπὶ τῇ ὑποθέσει ταύτῃ τὴν ἐξ
25 ἀλλήλων γένεσιν τῶν στοιχείων. καίτοι καὶ αὐτοὶ λέγουσι, φησίν, ἐξ ἀλλή-
λων γίνεσθαι τὰ στοιχεῖα. ὥστε αὐτοὶ ἑαυτοῖς ἐναντιωθήσονται, λέγοντες
μὲν ἐξ ἀλλήλων γίνεσθαι τὰ στοιχεῖα, ὅσον δὲ πάλιν ἐπὶ ταῖς οἰκείαις
ὑποθέσεσιν ἀναιροῦντες τὴν ἐξ ἀλλήλων γένεσιν. ἕκτον ἐπὶ τούτοις, ὅτι
εἰ διαφέρουσι τοῖς σχήμασιν αἱ ἄτομοι, ἄπειρα δὲ τὰ σχήματα, ἄπειροι 20
30 ἄρα αἱ τῶν ἀτόμων φύσεις. εἰ δὲ ἄπειροι αἱ φύσεις, ἄπειροι καὶ αἱ κινή-
σεις, ἄπειροι καὶ οἱ τόποι· νῦν δὲ οὔτε αἱ κινήσεις οὔτε οἱ τόποι ἄπειροι.
εἰ δέ τις εἴποι 'ἀλλὰ πάσας βαρείας εἶναι ἔλεγεν, ὥσπερ καὶ ἔλεγε, καὶ
ἐπὶ τὸ κάτω κινεῖσθαι, τὴν δ᾽ ἐπὶ τὸ ἄνω κίνησιν ἐκθλιβομένων τινῶν
ἀτόμων, οἷον τῶν σφαιρικῶν, γίνεσθαι', ἐροῦμεν ὅτι τὰ παρὰ φύσιν βίᾳ

---

1 ἡ om. R 2 τὸ RZa: τῷ GT 4. 5 οὐδὲ ἐστὶν R 5 ποία R 6 τοιῶς ἢ τοιῶς GTa 7 ἴστω] ἴσως T 7. 8 τοῦτον τὸν λόγον ἱκανῶς ἐν τῷ τοῦ πλάτωνος θεαιτήτῳ Z 7 τοῦ om. R Πλάτωνος] v. ad p. 168,11 9 οὐδὲ] οὐ T 10 τὸν ὅλον a 12 ἔμελεν T οἷον] ἢ Z 14 ἑστάμεθα R: στάμεθα T εἶτα πληγέντος ἑνός, ἐγίνετ᾽ ἂν εἰς τοὺς λοιποὺς ἡ a 16 ἂν (Z)a: om. cett. 18 καὶ delet a 19 ὑπολιμπάνεσθαι a ἐξατμιζόμενον (Z)a 19. 20 γὰρ αὐτὰ R 22 ἔδει RZ: εἰ δὲ GT: om. a; qui mox οὐδέποτε τὸ ὅλον ὕδωρ ἐξατμιθήσεται 23 ἢ prius om. R 25 τῶν στοιχείων γένεσιν Z αὐτοί φησι λέγουσιν a ἐξ om. GT 28 ὑποθέσιν et 29 οἱ (pro αἱ) (GTZ)a

τινί ἐστιν εἰς τὸν παρὰ φύσιν τόπον κινούμενα, καὶ ὅσῳ μείζονά ἐστι, 37v
τοσούτῳ βραδύτερον τὴν παρὰ φύσιν κινεῖται κίνησιν· τὴν γὰρ μεγάλην γῆν 25
βραδύτερόν τις ῥίψας ἐπὶ τὸ ἄνω κινήσει ἢ τὴν μικρὰν βῶλον. ἔδει οὖν καὶ
τὸ πῦρ τὸ μὲν μέγα βραδύτερον ἐπὶ τὸ ἄνω κινεῖσθαι, τὸ δὲ μικρότερον
5 θᾶττον, νῦν δ' ἔμπαλιν ὁρῶμεν· ὅσῳ γὰρ μεῖζόν ἐστι τὸ πῦρ, τοσούτῳ
ταχύτερον τὴν ἐπὶ τὸ ἄνω κινεῖται.

Ταῦτα μὲν οὖν ἐν τῷ τρίτῳ τίθησι τὰ ἐπιχειρήματα. ἐν δὲ τῷ τετάρτῳ φησὶν ὅτι οὐχ ἕξουσι τὴν αἰτίαν ἀποδοῦναι τοῦ βαρύτερα εἶναι ἄλλα ἄλλων ἢ κουφότερα οἱ τὰ ἄτομα ὑποτιθέμενοι καὶ τὸ κενόν. διὰ τί
10 γὰρ τῶν σωμάτων τὰ μὲν βαρύτερά ἐστι τὰ δὲ κουφότερα; ἀνάγκη γὰρ 30
πᾶσα ἢ διὰ τὸ πλῆρες μόνον ἢ διὰ τὸ κενὸν μόνον ἢ δι' ἀμφότερα. οἷον διὰ τὸ πλῆρες μόνον, ἵνα λέγωσιν ὅτι τὰ μὲν πλεῖον ἔχοντα πλῆρες βαρύτερα τὰ δὲ ἔλαττον πλῆρες ἔχοντα κουφότερα, τοῦ κενοῦ μηδὲν συντελοῦντος· εἰ δὲ διὰ τὸ κενόν, ἵνα τὰ πλείονος κενοῦ μετέχοντα κουφότερα ᾖ, τὰ δὲ
15 ἐλάττονος βαρύτερα· εἰ δὲ διὰ τὴν ἀναλογίαν τοῦ κενοῦ πρὸς τὸ πλῆρες, ἵνα λέγωμεν ὅτι ἐν οἷς μείζονα λόγον ἔχει τὸ κενὸν πρὸς τὸ κενὸν ἢ τὸ πλῆρες πρὸς τὸ πλῆρες, ταῦτα κουφότερά ἐστι, τὰ δὲ ἕτερα βαρύτερα, ἵνα 35
φέρε εἰπεῖν δύο ὄντων σωμάτων μείζονα λόγον ἔχῃ τὸ ἐν τῷ ἑτέρῳ κενὸν ⟨πρὸς τὸ τοῦ ἑτέρου κενὸν⟩ ἢ τὸ πλῆρες πρὸς τὸ πλῆρες τὸ τοῦ ἑτέρου,
20 ἵνα τὸ μὲν κενὸν ᾖ διπλάσιον φέρε εἰπεῖν τοῦ ἐν τῷ ἑτέρῳ κενοῦ, τὸ δὲ πλῆρες ἡμιόλιον ἢ ἴσον. εἰ μὲν οὖν διὰ τὸ πλῆρες μόνον τὰ μὲν ἦν βαρύτερα τὰ δὲ κουφότερα, ἔδει τὴν ὀλίγην γῆν κουφοτέραν εἶναι τοῦ πολλοῦ πυρός· πλεῖον γὰρ πλῆρές ἐστιν ἐν τῷ πολλῷ πυρὶ ἤπερ ἐν τῇ 40
ὀλίγῃ γῇ. εἰ δὲ διὰ τὸ κενὸν μόνον, ἔδει τὴν πολλὴν γῆν κουφοτέραν
25 εἶναι τοῦ ὀλίγου πυρός· πλεῖον γὰρ κενόν ἐστιν ἐν τῇ πολλῇ γῇ ἢ ἐν τῷ ὀλίγῳ πυρί. εἰ δὲ διὰ τὴν ἀναλογίαν ἀμφοτέρων, καὶ κουφότερα ταῦτα ἦν ἐν οἷς μείζων ἐστὶν ὁ λόγος τοῦ κενοῦ πρὸς τὸ κενὸν ἢ τοῦ πλήρους πρὸς τὸ πλῆρες, δῆλον ὅτι ἐν οἷς ἴσοι εἰσὶν οἱ λόγοι τοῦ κενοῦ καὶ τοῦ πλήρους, ταῦτα ὁμοίως ἔσονται κοῦφα ἢ βαρέα. ἔδει οὖν τὴν μεγάλην
30 γῆν ὁμοίως εἶναι κούφην ἢ βαρεῖαν τῷ μορίῳ ἑαυτῆς· ὁ αὐτὸς γὰρ ἐστιν 45
ἐν τῷ ὅλῳ καὶ ἐν τῷ μορίῳ τοῦ κενοῦ καὶ τοῦ πλήρους λόγος. ἔδει οὖν τὸν ταλαντιαῖον λίθον καὶ τὴν ὀλίγην γῆν τοῖς βραχυτάτοις ἑαυτῶν μορίοις ἰσόρροπα εἶναι. ὅπερ ἀδύνατον.

Τὰ μὲν οὖν ἐπιχειρήματα τὰ ἐν τῇ Περὶ οὐρανοῦ ταῦτά ἐστι. τίθησι
35 δὲ καὶ ἐνταῦθα ἕτερά τινα.

1 ἐστί τινι tr. GT: om. a καὶ Z: om. cett. ὅσον GT 4 βραδύτερον om. Z 5 τοσοῦτο Z 9 κουφότερον T 12 πλεῖονα GRT 13 post κουφότερα expuncta η τὰ δὲ ἐλάττονα, βαρύτερα R 18 φέρει G σωμάτων ὄντων Z 19 πρὸς τὸ τοῦ ἑτέρου κενὸν addidit a πρὸς alterum RZ: ὡς GT: ὡς πρὸς a 21 ἦν RZ: οὖν GT: om. a 22 κουφοτέραν] κουφότερα a 26 καὶ βαρύτερα καὶ κουφότερα a 27 ἦν] ἐστὶν a μεῖζον ὁ λόγος ἐστὶν Z πλήρους] πλῆρες T 28 εἰσιν ἴσοι a 29 καὶ κοῦφα T 34 τοιαῦτά Z καὶ om. Z 35 ἕτερ' ἄττα a

p. 325b36 Ὡς δὲ μικρὸν παρεκβᾶσιν εἰπεῖν, ἀναγκαῖον ἀπαθές 37v
τε ἕκαστον λέγειν τῶν ἀδιαιρέτων (οὐ γὰρ οἷόν τε πάσχειν ἀλλ'
ἢ διὰ τοῦ κενοῦ) καὶ μηδενὸς ποιητικὸν πάθους. |

Ἀνάγκη, φησί, τοὺς ὑποθεμένους τὰς ἀτόμους ἀπαθεῖς αὐτὰς ὑπο- 38r
5 τίθεσθαι. ἐπειδὴ γὰρ τὸ πάσχειν οὐκ ἄλλως γίνεσθαι λέγουσιν εἰ μὴ διὰ 8
τοῦ κενοῦ, κενὸν δὲ οὐκ ἔστιν ἐν ταῖς ἀτόμοις, οὐδ' ἄρα πάθος τι. ἀλλ'
εἰ ἀπαθεῖς αἱ ἄτομοι, οὐδ' ἂν δράσωσιν εἰς αὐτάς· ὃ γὰρ μὴ ἔχουσι
πάθος, οὐκ ἄν ποτε οὔτε ἄλλῳ οὔτε αὐταῖς μεταδοῖεν. εἰ δὲ μὴ δράσουσιν 10
εἴς τι, οὐδὲν ἔσται ποιοῦν οὐδὲ πάσχον, ὅπερ ἄτοπον καὶ τῇ ἐναργείᾳ
10 αὐτῇ μαχόμενον. ὥστε οὐδὲν ἔσται οὔτε σκληρὸν ἐκ μαλακοῦ οὔτε ψυχρὸν
ἐκ θερμοῦ οὔτε τῶν τοιούτων οὐδέν. καίτοι, φησίν, αὐτοὶ τοῖς ἑαυτῶν
μάχονται λόγοις. φασὶ γὰρ τὰς σφαιρικὰς τῶν ἀτόμων θερμὰς εἶναι, καὶ
προσέτι τὰ ὑπερέχοντα τῶν ἀτόμων βαρύτερα εἶναι. ὥστε, φησίν, εἰ τὰ
μείζω ἄτομα βαρύτερα, δῆλον ὅτι καὶ τὰ μείζω σφαιρικὰ θερμότερα.
15 θερμότεραι δὲ οὖσαι καὶ βαρύτεραι πῶς οἷαί τε μὴ ποιεῖν καὶ πάσχειν 15
εἰς ἀλλήλας; τὸ γὰρ ἠρέμα θερμὸν πάσχει ὑπὸ τοῦ σφόδρα θερμοῦ. ὥστε
πάλιν ποιήσουσι καὶ πείσονται ὑπ' ἀλλήλων. ἄτοπον δὲ καὶ τὸ τὰ σφαιρικὰ
θερμὰ μὲν λέγειν, μὴ ἀποδιδόναι δὲ καὶ τὸ ἐναντίον τῷ θερμῷ τὸ ψυχρὸν
ἑτέρῳ τινὶ σχήματι. ἄτοπον δὲ καὶ τὸ λέγειν θερμότητα μὲν καὶ βαρύ-
20 τητα ὑπάρχειν ταῖς ἀτόμοις, τὰ δ' ἐναντία τούτοις καὶ ἁπλῶς τὰ ἄλλα
πάθη μὴ λέγειν ὑπάρχειν· εἰ γὰρ ὑπάρχει τὸ σκληρὸν ταῖς ἀτόμοις,
φησί, διὰ τί μὴ καὶ τὸ μαλακὸν ὑπάρξει; εἰ δὲ ὑπάρξει τὸ μαλακόν, τὸ 20
δὲ μαλακὸν ὑπεικτικόν, ὑπείκει δὲ τῷ πάσχειν τι, οὐκ ἀπαθεῖς ἄρα καὶ
κατὰ τοῦτο.

25 p. 326a14 Ἀλλὰ μὴν ἄτοπον καὶ εἰ μηδὲν ὑπάρχει, ἀλλὰ μόνον
σχῆμα.

Δεῖ ἡμᾶς ἐκθέσθαι ἐκ διαιρέσεως ὅσα δυνατὸν ἂν ἦν ὑπάρξαι ταῖς
ἀτόμοις, ἵνα ταῦτα διελέγξαντες δείξωμεν οὐδαμῇ οὐδαμῶς δυναμένην
συστῆναι τὴν τῶν ἀτόμων ὑπόθεσιν. αὐτὸς μὲν οὖν ὁ φιλόσοφος οὐ
30 τελείως ἅπασιν ἐπεξέρχεται τοῖς τμήμασι τῆς διαιρέσεως, ἡμεῖς δὲ τελείως

---

1 παρέκβασιν RZ 2 διαιρετῶν et mox πάθους ποιητικὸν R 3 ποιητικοῦ GT 4 ὑποτιθεμένους T 5 γίγνεσθαι a 7 ἂν δράσουσιν GT; v. Index s. v. ἄν αὐτάς libri praeter a 8 αὐταῖς RZ, sed R traicit μεταδοῖεν post ποτε δράσωσιν GTa 12 φησὶ GTa 13 τὰ ὑπάρχοντα R¹ 14 βαρύτερα εἶναι GTa δῆλον ὅτι om. a 15 οἷόν τε GTa 15. 16 εἰς ἀλλήλας μὴ ποιεῖν καὶ πάσχειν Z 17 καὶ ποιήσονται R δὲ om. Z τὸ om. GTa 17. 18 τὰ μὲν σφαιρικὰ θερμὰ Z: τὰ σφαιρικὰ μὲν θερμὰ R 18 λέγειν εἶναι Z 22 καὶ om. GT τὸ μαλακόν (post εἰ δὲ ὑπάρξει) om. GTa 23 δὲ prius om. GT ὑπείκειν δὲ GTa τῷ RZ: τὸ GTa 25 ἀλλ' ἢ μόνον Arist. (praeter cod. E) 27 δεῖ δ' ἡμᾶς a 29 οὖν] γὰρ a 30 στήγμασι G¹T¹

αὐτὴν ἐκθώμεθα. ἀνάγκη οὖν τὰς ἀτόμους ἢ μηδὲν ἔχειν πάθος ἢ ἔχειν· 38r
καὶ εἰ ἔχοιεν πάθος, ἢ ἓν ἑκάστην ἔχειν ἢ ἑκάστην πλείονα ἢ πλείους ἓν ἢ 25
πλείους πλείονα· τῷ δὲ τμήματι τῷ ὑποτιθεμένῳ πλείους συμπεριειλήφθω καὶ
πάσας. εἰ μὲν οὖν μηδὲν ἔχοιεν πάθος, οὐδ' ἂν τὰ ἐξ αὐτῶν συγκεί-
5 μενα σχοίη ἄν τι πάθος. πῶς γὰρ ὃ μὴ ἔχουσι τοῖς ἐξ αὐτῶν συγκει-
μένοις δοῖεν ἄν; ἀλλ' εἰ μηδὲν ἕξουσι τὰ ἐξ αὐτῶν πάθος, ἀναιρεθήσεται
ἡ αἴσθησις καὶ τὰ αἰσθητά. ἡ γὰρ αἴσθησις τῷ πάσχειν τι ὑπὸ τῶν
αἰσθητῶν λέγεται, ταῦτα δέ ἐστι τὰ πάθη. ὥστε οὐδὲν ἔσται φύσει 30
αἰσθητόν. αἰσθητοῦ δὲ μὴ ὄντος οὐδὲ αἴσθησις ἔσται· ταῦτα γὰρ τῶν πρός
10 τί ἐστιν. ὅτι δὲ οὐδὲ ἐν τῇ σχέσει τῇ πρὸς τὰς αἰσθήσεις τὰ αἰσθητὰ τὸ
εἶναι ἔχουσι, καὶ Πλάτων ἐν τῷ Θεαιτήτῳ ἔδειξε καὶ αὐτὸς πολλαχοῦ ὁ
Ἀριστοτέλης. ὥστε συμβήσεται παντελῶς ἀναιρεῖσθαι καὶ τὸ αἰσθητὸν καὶ
τὴν αἴσθησιν. ἀδύνατον ἄρα μηδὲν αὐτὰς ἔχειν πάθος. εἰ δὲ ἔχοιεν, ἓν
δὲ ἔχοι ἑκάστη, λέγω δὲ ἓν ἑκάστην ἔχειν, ἵνα μηδεμία τὸ αὐτὸ τῇ ἑτέρᾳ
15 ἔχῃ ἀλλ' ἑκάστη ἰδιάζον παρὰ τὰς λοιπάς. εἰ τοίνυν ἓν ἑκάστη ἔχοι 35
πάθος, οὐκ ἔσονται τῆς αὐτῆς φύσεως. εἰ γὰρ μὴ πέφυκεν ἡ ἑτέρα τὸ
τῆς ἑτέρας δέχεσθαι πάθος, οὐκ ἄρα μιᾶς εἰσι φύσεως. καίτοι γε καὶ
τοῦτο λέγουσιν. εἰ δὲ μὴ τῆς αὐτῆς εἶεν φύσεως, οὔτε ποιοῦσιν εἰς
ἀλλήλας οὔτε πείσονται. ὥστε ἀναιρεθήσεται τούτῳ τὸ ποιεῖν καὶ τὸ
20 πάσχειν, καὶ μάτην ἔσονται ἐν αὐταῖς τὰ πάθη μὴ δρῶντα μηδὲ πάσχοντα
μηδὲν ὑπ' ἀλλήλων· οὐδὲν δὲ μάτην ὑπὸ τῆς φύσεως γίνεται· οὐκ ἄρα
δυνατὸν μίαν ἑκάστην ἓν ἔχειν πάθος. εἰ δὲ ἑκάστη πλείονα ἔχοι, ἑκάστην 40
δὲ λέγω πλείονα ἔχειν οἷον εἰ χίλιαι εἶεν ἄτομοι, ἵνα ἑκάστη αὐτῶν ἔχοι
φέρε εἰπεῖν πέντε τινὰ πάθη, μὴ ταὐτὰ μέντοι τῶν λοιπῶν μηδεμιᾷ, ἀλλ'
25 ἑκάστην σωρείαν τινὰ ἰδιάζουσαν ἔχειν παθῶν· εἰ οὖν οὕτως ἑκάστη ἔχοι
πλείονα, ἐρήσομαι 'πῶς ἔχει ταῦτα καὶ κατὰ τίνα λόγον;' ἤτοι κατὰ τὴν
τῶν μερῶν σύνθεσιν, ἢ ὡς εἶδος ἐν ὕλῃ· λέγω δὲ κατὰ τὴν τῶν μερῶν
σύνθεσιν οὐχὶ ὡς κατ' ἐνέργειαν ἐκ μερῶν διῃρημένων συγκειμένης τῆς
ἀτόμου, ἀλλ' ὅτι διὰ τὴν τοιάνδε τῶν κατ' ἐπίνοιαν λαμβανομένων 45
30 μερῶν ἁρμονίαν τὰ πάθη ἐν ἑκάστῃ ὑπάρχει. εἰ τοίνυν διὰ τὴν τῶν
μερῶν σύνθεσιν ὑπάρχει ἐν αὐταῖς τὰ πάθη, συμβήσεται τὸ αὐτὸ καθ' ὃ
δρᾷ κατὰ τοῦτο πάσχειν. οἷον εἰ ἔχοι ἡ ἄτομος καὶ θερμότητα καὶ ὑγρό-
τητα, ἔπειτα δρᾷ μὲν κατὰ τὴν θερμότητα πάσχει δὲ κατὰ τὴν ὑγρότητα,
ἐπειδὴ καθ' ὅ ἐστιν ὑγρὰ κατὰ τοῦτό ἐστι καὶ θερμή, πάσχουσα ἄρα

---

5 ἄν τις G 7 ἡ (ante αἴσθησις) om. T¹: καὶ τὰ αἰσθητὰ καὶ ἡ αἴσθησις tr. Z τῷ] τὸ Z 10 οὐδὲ om. a ἐν Za: ἓν GRT 11 Θεαιτήτῳ p. 152 sqq. 12 ἀνῃρῆσθαι Z 13 τὴν] τὸ T αὐταῖς GT 14 ἔχοι a: ἔχει cett. ἓν] ἐν a ἔχειν] ἔχει T 15 altero loco ἔχῃ G: ἔχοι corr. T² 16 αὐτῆς om. GT 17 καὶ om. R 19 ποιήσονται GT 21 γίνεται] γάρ Z 22 ἔχειν ἓν Z 23 χίλιοι GT εἶεν] εἰ ἐν a ἔχοι GRT: om. Z: ἔχει a 24 ταῦτα libri praeter a: μέντοι ταῦτα traicit Z μηδεμιᾷ a: μηδὲν μία GRT: μηδ' ἐν μιᾷ Z 24. 25 fort. ἀλλ' ὡς ἑκάστην 25 ἑκάστη] ἑκάστης a 27 τῶν (altero loco) om. T 28 οὐχ' R 29 τοιάδε a 32 τοῦτο] τοῦ R 33 μὲν καὶ κατὰ Z

κατὰ τὴν ὑγρότητα πάσχοι ἂν καὶ κατὰ θερμότητα. ὥστε ποιοῦσα κατὰ 38r
τὴν θερμότητα πάσχοι ἂν κατὰ θερμότητα, ὅπερ ἄλογον· θερμαίνουσα γὰρ θερμανθήσεται ἣν θερμαίνει θερμότητα. οὐκ ἄρα κατὰ τὴν τῶν μερῶν σύνθεσιν ἔχοι ἂν τὰ πάθη. τὸ αὐτὸ δ' ἂν ἄτοπον ἀκολουθοῦν δόξῃ τοῖς τε τῶν κράσεων ἀποτελέσματα τὰ εἴδη λέγουσιν εἶναι, οἷοί εἰσιν οἱ ἰατροί, τοῖς τε μὴ τῶν κράσεων μὲν ἀποτελέσματα λέγουσι, τῇ μέντοι ἐπιτηδειότητι τῆς κράσεως ἔξωθεν ἐκ τῆς ὅλης δημιουργίας ἐπιγίνεσθαι τὰ εἴδη, ὡς καὶ ὁ ἀληθὴς ἔχει λόγος. εἴτε γὰρ τῶν κράσεων ἀποτελέσμα|τα 38v
εἶεν τὰ εἴδη, ἐπειδὴ τῇ τοιᾷδε συμμετρίᾳ τῆς πρώτης κράσεως, τῶν ξηρῶν φημι καὶ ὑγρῶν, θερμῶν τε καὶ ψυχρῶν, πλείους ἕπονται ποιότητες (καὶ χρῶμα γὰρ τοιόνδε καὶ χυμὸς καὶ μαλακότης ἢ σκληρότης καὶ τὰ ὅμοια), δῆλον ἄρα ὅτι κατὰ τὸν αὐτὸν λόγον καὶ γλυκὺ ἔσται καὶ ἐρυθρὸν καὶ ὑγρὸν καὶ θερμὸν καὶ τὰ λοιπά· ὥστε εἰ κατὰ τὸν αὐτὸν λόγον πάντα ἐστί, πάσχον ἄρα κατὰ τὸ ἕτερον πάθοι ἂν καὶ κατὰ τὸ λοιπόν· ὥστε εἰ ποιεῖ μὲν κατά τι πάσχει δὲ κατ' ἄλλο, κατὰ τὸ αὐτὸ ἄρα καθ' ὃ ποιεῖ καὶ πείσεται· κατὰ γὰρ τὸν αὐτόν ἐστι λόγον ἀμφότερα. εἰ δὲ καὶ μὴ τῶν κράσεών εἰσιν ἀποτελέσματα τὰ εἴδη, ἕπονται μέντοι ἔξωθεν τῇ τῶν κράσεων ἐπιτηδειότητι, δῆλον ὅτι κατὰ τὴν αὐτὴν πάλιν ἐπιτηδειότητα τὰ διάφορα ἐπιγέγονε πάθη. εἰ δὲ κατὰ τὸν αὐτὸν τῆς ἐπιτηδειότητος λόγον ἐπιγεγόνασι τὰ διάφορα πάθη, τὸ αὐτὸ πάλιν ἀκολουθήσει ἄτοπον, εἰ τῷ μὲν ποιεῖ τῷ δὲ πάσχει· καθ' ὃ γὰρ πάλιν ποιεῖ, κατὰ τοῦτο καὶ πείσεται. ὥστε τὸ αὐτὸ καὶ τῷ ἀληθεῖ λόγῳ ἠκολούθησεν ἄτοπον.

Ζητήσεως οὖν ἄξιον καὶ αὐτὸ καθ' αὑτὸ ἂν εἴη τὸ θεώρημα, πῶς ὑπὸ τῆς αὐτῆς κράσεως ἢ τὰ διάφορα ἀποτελεῖται εἴδη ἤγουν, ὡς ὁ ἀληθέστερος ἔχει λόγος, ἐπιγίνονται τῇ αὐτῇ ἐπιτηδειότητι διάφοροι ἰδέαι· ὅτι γὰρ οὐχ ἁπλῶς ἀποτελέσματα τῶν κράσεων τὰ εἴδη, πρόδηλον. ἔστω γὰρ τὸ θερμὸν καὶ ψυχρὸν τῆς πρώτης κράσεως ἀποτέλεσμα ἢ τὸ ξηρὸν καὶ ὑγρὸν ἢ τὸ βαρὺ καὶ κοῦφον. πόθεν δὲ τὸ εὐῶδες καὶ τὸ δυσῶδες καὶ τούτων αἱ ἄπειροι διαφοραί; πόθεν τῶν χυμῶν τὰ πλήθη καὶ τῶν χρωμάτων αὐτά τε τὰ οὐσιώδη εἴδη, σαρκός φημι καὶ ὀστοῦ καὶ τῶν ἀπείρων εἰδῶν; καὶ εἰ κατὰ τὸν αὐτὸν λόγον τῆς πρώτης κράσεως τὰ διάφορα ἀποτελεῖται ἐν τοῖς ὁμοιομερέσιν εἴδη, οἷον τὸ γλυκὺ καὶ ξανθὸν καὶ γλίσχρον ἐν τῷ μέλιτι, τί δήποτε μὴ παθόντος τοῦ ἑνὸς συμπάσχει

---

1 θερμότητα] τὴν θερμότητα GTa 1. 2 ποιοῦσα κατὰ τὴν ὑγρότητα GTa 2 ἂν κατὰ τὴν θερμότητα a 5 δόξῃ RZ: δόξει GT: δόξειε em. a; cf. ad p. 167,7 7 ἐπιγίγνεσθαι a 8. 9 ὡς — εἴδη om. add. mrg. T² 8 γὰρ τὰ τῶν Z 10 καὶ τῶν ὑγρῶν a 12 αὐτὸν] ἀληθῆ a 14 πάσχοντα ἄρα GTa καὶ om. GTa 15 εἰ ποιεῖ] εἴποι εἰ GT 15. 16 μὲν — ποιεῖ om. Z 17 καὶ om. GTa ἀποτελέσματά εἰσι Z 19 τὰ διάφορα ἐπιγέγονε RZ: τὸ διάφορα ἐπιγεγονέναι GT: διάφορα ἐπιγεγόνασι a 21 τὸ μὲν et τὸ δὲ Z 24 πῶς om. GT: εἰ a 25 ἢ τὰ scripsi: ἢ τὰ GRTZ: om. a ἤγουν, ὡς] ὡς γοῦν a ὁ superscr. R 26 ἐπιγίνονται corr. T²: ἐπιγίνεται cett. 27. 28 ἔστω — ἀποτέλεσμα om. add. mrg. T²

καὶ τὸ ἕτερον; πάσχει μὲν γὰρ τὸ χρῶμα τὸ τοῦ μέλιτος καὶ ἐκ ξανθοῦ 38ᵛ γίνεται λευκόν, ἡ μέντοι γλυκύτης εἰ τύχοι οὐ πέπονθεν οὐδέν. δῆλον δὲ 20 ὅτι εἰ μὴ μετέβαλεν ἡ τοῦ μέλιτος κρᾶσις, οὐκ ἂν τὸ χρῶμα μετέβαλε. πῶς οὖν οὐ συμμετέβαλε καὶ ὁ χυμός, εἴπερ καὶ τὴν ἀρχὴν κατὰ τὸν λόγον τὸν αὐτὸν τῆς κράσεως ὑπέστησαν; ὁμοίως δὲ καὶ τοῦ οἴνου ὀξίσαντος ὁ μὲν χυμὸς μετέβαλε, τὸ χρῶμα δὲ οὐκέτι. καίτοι ἔδει ἄμφω συμπάσχειν τῆς κράσεως παθούσης, ἐπεὶ κατὰ τὸν αὐτὸν συνυπέστησαν τῆς κράσεως λόγον. καὶ μυρία ἐστὶ τοιαῦτα εὑρεῖν παραδείγματα. εἰ δὲ ἐπί τινων συμμεταβάλλουσιν αἱ ποιότητες, οἷον ὡς ἐπὶ τοῦ ἑψομένου οἴνου, λέγω δὴ τοῦ καλουμένου ἑψήματος ἢ σειραίου (τούτου γὰρ ἐν τῇ ἑψήσει μετὰ τοῦ χυμοῦ καὶ τὸ χρῶμα συμμεταβάλλει), ἀλλ' οὖν ἐφ' ὧν οὐ τοῦτο συμβαίνει 25 ζητήσεως ἄξιον καὶ ἀπορίαν οὐκ εὐδιάλυτον ἔχει τὸ θεώρημα. τί οὖν πρὸς ταῦτά φαμεν; ἑκάστη ποιότης ἐν πλάτει τινὶ θεωρεῖται, καὶ οὐκ ἔστιν ἄτομος αὐτῆς ἡ οὐσία. ἥ τε γὰρ λευκότης ἐν πλάτει ἐστίν (οὐ γὰρ εὐθὺς τὸ τοῦ ἄκρως λευκοῦ ἐκστὰν ἤδη καὶ τοῦ λευκὸν ὅλως εἶναι ἐξέστη), ὁμοίως δὲ καὶ ἡ γλυκύτης ἐν πλάτει θεωρεῖται (πολὺ γάρ ἐστι τῶν γλυκέων τὸ πλάτος). ὁμοίως δὲ καὶ ἐπὶ πάντων ἔχει. εἰ τοίνυν πλάτος ἔχουσιν αἱ ποιότητες, δῆλον ὅτι καὶ αἱ τῶν κράσεων ἐπιτηδειότητες, 30 αἷς ἐγγίνεσθαι πεφύκασιν, πλάτος ἂν ἔχοιεν. ἔστι μέντοι τις ἔσχατος κράσεως λόγος, ἐν ᾧ οὐκέτι πέφυκεν ἑκάστη ἐγγίνεσθαι, ἀλλ' εὐθὺς κατ' ἐκεῖνο τὸ τῆς κράσεως ἄτομον ἡ ὅλη τῆς ποιότητος φύσις ἠλλοίωται. οἷον, ἵνα ὡς ἐπὶ παραδείγματος γυμνάσω τὸν λόγον, ἔστω δέκα τυχὸν θερμοῦ μέρη ψυχροῦ δὲ τὰ ἴσα καὶ ξηροῦ καὶ ὑγροῦ, καθ' ἃ τὸ ἄκρον τῆς γλυκύτητος ἐγγίνεσθαι πέφυκε εἶδος. ἐὰν οὖν μειωθῇ τῆς ἑτέρας ἀντιθέσεως ἓν μόριον, οὐχ οὕτω μὲν ἔσται γλυκύ, οὐ μέντοι οὐδαμῶς 35 γλυκύ, ἀλλ' ἧττον γλυκύ· ἐὰν μέντοι πέντε μοῖραι μειωθῶσιν (ἔστω γὰρ μέχρι τούτου σῴζεσθαι τὴν γλυκύτητα), δῆλον ὅτι παντελῶς τὸ εἶδος οἰχήσεται. ὅταν οὖν τῇ αὐτῇ κράσει διάφοροι ἕπωνται ποιότητες, οὐ πάντως πᾶσαι κατὰ τὸν ἴσον ἀλλήλαις ἐγγίνονται λόγον, ἀλλ' ἡ μὲν φέρε εἰπεῖν γλυκύτης κατὰ τὸ τέλειον εἶδος ἐγγίνεται, τὸ δὲ λευκὸν ἢ τὸ ξανθὸν ἢ τὸ γλίσχρον οὐ κατὰ τὸν τέλειον ἑαυτοῦ λόγον, ἀλλὰ πολλάκις κατὰ τὸν ὑφειμένον. διὰ τοῦτο οὖν ὀλίγον τῆς κράσεως παρατετραμμένης τὸ μὲν γλυκὺ 40 οὐχ ὅλον παρατέτραπται, τὸ δὲ χρῶμα πολλάκις ἐτράπη ὅλον, ἐγγὺς οὔσης τῆς ἐξ ἀρχῆς κράσεως ἐκείνης τῆς προσεχοῦς καὶ ἀτόμου, καθ' ἣν οὐκέτι ἐπέφυκεν τὸ τοιοῦτον χρῶμα γίνεσθαι. ὅτι γὰρ κἂν ὀλίγον παρατραπῇ

3 οὐκ ἂν μετέβαλε τὸ χρῶμα R 4 συμμετέβαλεν T: συμμετέβαλλεν G 4. 6 καὶ ὁ χυμός — μετέβαλε RZ: om. GTa 6 τὸ χρῶμα δὲ οὐκέτι RTZ: τὸ χρῶμα (mrg. G² χυμὸς) οὐκέτι G: τῷ χρώματι a 7 συνεπέστησαν libri praeter R 9 συμβάλλουσιν GTa ἀλλήλαις αἱ R 15 λευκὸν] λευκοῦ GT 18 καὶ τῶν κράσεων αἱ a 19 μέντοι] μέν GT 21 ἡ ὅλη R ἀλλοίωται a 22 ὡς om. add. T² δέκα RZ: [illegible] κατὰ τὸ GTa 23 ψυχροῦ δὲ RZ: ψυχρὸν δὲ GT: δέκα. καὶ ψυχροῦ a ἃ τὸ RZ: αὐτὸ GT: ἕ τὸ a 26 ἐὰν] ἂν (G)a 28 ἕπωνται R: ἕπονται Z: ἕσονται GT: ὦσι a 29 τὸν] τὸ GT¹ 35 τοιοῦτο Ra

τῆς ἐξ ἀρχῆς κράσεως, οὐδεμία ποιότης ὡς εἶχεν ἐξ ἀρχῆς ἀπαραλλάκτως 38v
μένει, πρόδηλον. οὔτε γὰρ ἡ τοῦ μέλιτος γλυκύτης, ὅταν ὑπὸ τῆς ἑψήσεως
ἢ τῆς τρίψεως συμπαγῇ, ἡ αὐτὴ μένει, οὔτε τὸ χρῶμα τοῦ οἴνου ὅταν
δέῃ, ἀλλ' ὡς πρὸς τὴν αἴσθησιν καὶ ὡς ἐν πλάτει τὸ αὐτὸ δοκεῖ μένειν. 45
5 ἀλλ' ἐπειδὴ ξηροτέρου γινομένου τοῦ μέλιτος ὑπὸ τῆς ἑψήσεως ἢ τῆς
τρίψεως ἡ μὲν γλυκύτης ὡς ἐν πλάτει τῆς κράσεως ἔτι ἐπεφύκει μένειν
τὸ κυρίως ὂν τὸ αὐτὸ † τὸ δὲ παντελῶς ἠμεῖφθαι. ἔστι μὲν οὖν ἐν τῷ
μέλιτι καὶ τὸ ἐναπολαμβανόμενον πνεῦμα τοῦ χρώματος τοῦ λευκοῦ αἰτιά-
σασθαι καὶ οὐχ ἁπλῶς τῆς τοῦ μέλιτος φύσεως αὐτὸ εἶναι λέγειν, ἀλλ'
10 ἐπειδὴ προφανῶς ἐπὶ τοῦ ὄξους καὶ ἐπί τινων ἄλλων τὸ μὲν χρῶμα ὡς
ἐν πλάτει μένει, ὁ δὲ χυμὸς οὐδ' ὅλως, διὰ τοῦτο οὐδὲ ἐπὶ τοῦ μέλιτος 50
προσφιλονεικήσομεν.

Ταῦτα μὲν οὖν περὶ τοῦ μὴ συμπάσχειν ἀλλήλαις τὰς ποιότητας
κατὰ τὸν αὐτὸν λόγον τῆς πρώτης κράσεως γεγενημένας. ἀλλ' εἰς τὸ ἐξ
15 ἀρχῆς ἐπανέλθωμεν. εἰ μὲν οὖν κατὰ τὴν τῶν μερῶν σύνθεσιν τὰ διά-
φορά ἐστι πάθη ἐν ἑκάστῃ τῶν ἀτόμων, τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ ποιήσει
καὶ πείσεται. εἰ δέ τις εἴποι ὅτι οὐκ ἐκ τῆς τῶν μερῶν συνθέσεως ἁπλῶς
ὑπάρχει τῇ ἀτόμῳ τὰ πάθη, ὥστε κατὰ τὸν αὐτὸν | λόγον εἶναι ἅπαντα, 39r
ἀλλ' ὅτι διάφορα τὴν ὅλην συμβέβηκεν ἔχειν τῷ ἕκαστον μόριον ἰδιάζον
20 τι ἔχειν πάθος, ἐροῦμεν πρῶτον μὲν περὶ ἑκάστου τῶν μερῶν τὸν αὐτὸν
λόγον ὅνπερ ἐλέγομεν ἐν τῇ ὑποθέσει τῇ λεγούσῃ ἓν ἕκαστον ἔχειν πάθος,
ἔπειτα, εἰ ἄλλα μόρια ἄλλα ἔχουσι πάθη, δῆλον ὅτι διὰ τὸ ἄλλης τινὸς
ἕκαστον τῶν μορίων εἶναι φύσεως, εἴ γε μὴ πᾶσα πέφυκε δέχεσθαι τὸ
τοῦ ἑτέρου μέρους πάθος. εἰ γὰρ πέφυκεν, ἢ δέξεταί ποτε καὶ μεταβαλεῖ 5
25 καὶ οὕτως οὐκ ἀμετάβλητοι ἔσονται, ἢ εἰ μὴ δέξεται, μάτην ἕξει τὴν
δύναμιν. εἰ δὲ ἑτέρας φύσεως τὰ μόρια, τί τὸ συνάψαν; καὶ πῶς τὰ
πάντῃ κεχωρισμένα συνῆπται; καὶ οὐκέτι ὁμοιομερεῖς αἱ ἄτομοι οὐδὲ πρῶται
ἀρχαί, ἀλλ' ἐκεῖνα ἐξ ὧν αὗται σύγκεινται. ἀλλ' οὐδὲ κυρίως ἄτομοι
διαιρούμεναί γε εἰς τὰ ἐξ ὧν σύγκεινται. εἰ δὲ ὡς εἶδος ἐν ὕλῃ, τὸν
30 ἡμέτερον καὶ ἀληθῆ λόγον ἐροῦσι. κοινῆς οὖν ὑποκειμένης τῆς τῶν ἀτό- 10
μων οὐσίας δεκτικὴ ἔσται ἑκάστη τῶν ἐν ταῖς ἄλλαις ἀτόμοις παθῶν.
ὥστε καὶ ποιήσουσι καὶ πείσονται ὑπ' ἀλλήλων. δέδεικται γὰρ ὅτι τὰ
κοινὴν ὕλην ἔχοντα ποιητικά εἰσι καὶ παθητικὰ ὑπ' ἀλλήλων, ἐναντία γε
πάθη ἔχοντα. ὥστε εἰ μὲν πᾶσαι αἱ ἄτομοι τὰ ἕτερα τῶν ἐναντίων μόνα
35 ἕξουσι, χωλεύσει ἡ φύσις καὶ μάτην ἔσονται. εἰ δὲ ἐν τῇ αὐτῇ τὰ ἐναν-

---

1 ἀπαραλάκτως GT 4 μένειν] βαίνειν TG¹ (corr. mrg. G²) 6. 7 μένειν, οὐ κυρίως οὖσα ἡ αὐτὴ a 7 τὸ κυρίως—ἠμεῖφθαι corrupta τὸ δὲ] τόδε R ἠμείφθαι R 8 ἐναπολαμβάνον GT 9 μέλανος GTa 11 οὐδὲ om. T¹ 14 εἰς] εἰ T¹ 15 τὴν om. GRT¹ 16 καὶ om. Z 18 λόγον εἶναι R: εἶναι λόγον Z: εἶναι om. GTa post ἅπαντα inserit καὶ ποιεῖν καὶ πάσχειν a 19 ὕλην R: ὅλην cett. τὸ Z 20 μὲν om. T 24. 25 καὶ μεταβαλεῖ—ἔσονται om. Z 24 μεταβάλλει R 25 μάτην om. R 26 εἰ δὲ] οὐδὲ R τί τὰ συνάψαντα Z 27 πάντῃ om. Z: πάντα a 27. 28 οὐδὲ πρῶται—ἄτομοι om. Z 29 διαιρούμενοί R γε om. Z 35 χολεύσει GTa ἔσονται τὰ ἕτερα a

τία, ἄτοπον ἅμα εἶναι τὰ ἐναντία. εἰ δὲ τὰς ἀντιθέσεις τῶν ἐναντίων 39r
παθῶν ἐμερίσαντο, κοινοῦ ὄντος τοῦ ὑποκειμένου ἀδύνατον μὴ ποιεῖν καὶ 15
πάσχειν εἰς ἀλλήλας· τούτῳ γὰρ ἡ τῶν ἐναντίων φύσις γνωρίζεται. εἰ
δὲ πλείους ἄτομοι ἓν ἔχοιεν πάθος, λέγω δὲ πλείους ἓν ἔχειν πάθος.
5 τουτέστιν ἢ πάσας ἓν ἢ κατὰ συμμορίαν ἕν, οἷον δέκα μὲν τὸ λευκὸν ἄλλας
δὲ δέκα τὸ μέλαν, εἰ μὲν οὖν τὸ πρότερον, ἔδει πάντα τὰ ἐξ αὐτῶν τῆς
αὐτῆς εἶναι φύσεως καὶ μηδεμίαν εἶναι διαφοράν, νῦν δὲ ἄπειροί εἰσιν αἱ
ἰδέαι κατὰ ποιότητα· εἰ δὲ τὸ δεύτερον, εἰ μὲν ἐν πάσαις ταῖς συμμορί-
αις τὰ ἕτερα μόνον ὑπάρχει τῶν ἐναντίων, χωλεύσει πάλιν ἡ φύσις καὶ 20
10 ἀναιρεθήσεται τὸ ποιεῖν καὶ τὸ πάσχειν (ποιοῦσι γὰρ καὶ πάσχουσι τὰ
ἐναντία), εἰ δὲ διενείμαντο αἱ ἄτομοι τὰ ἐναντία πάθη, δῆλον ὅτι κοινοῦ
ὄντος τοῦ ὑποκειμένου ποιήσουσι καὶ πείσονται καὶ μεταβαλοῦσιν εἰς ἀλλήλας
ἢ μάτην ἔσονται τὰ ἐναντία μὴ ποιοῦντα καὶ πάσχοντα. εἰ δὲ πλείους πλείονα
ἔχοιεν, λέγω δὲ πλείους πλείονα ἢ πάσας πάντα ἢ πάλιν κατὰ συμμορίαν, ἵνα
15 δέκα μὲν ἔχωσι τοσάδε πάθη ἄλλαι δὲ δέκα ἕτερα, πάλιν κοινῶς μὲν οὖν ἐπ' 25
ἀμφοῖν ἐροῦμεν ὅτι εἰ μὲν ἀμφότερα ἕξουσι τὰ ἐναντία αἱ αὐταί, ἄτοπον ἅμα
εἶναι καὶ κατὰ ταὐτὸν τὰ ἐναντία, εἰ δὲ τὰ ἕτερα τῶν ἐναντίων πᾶσαι, χωλεύ-
σει πάλιν ἡ φύσις· ἰδίᾳ δὲ ἐπὶ μὲν τοῦ προτέρου, ὅτι ἔδει πάντα ὁμοούσια
εἶναι, ἐπὶ δὲ τοῦ δευτέρου ἐροῦμεν τά τε εἰρημένα ἐπὶ τῆς ὑποθέσεως
20 τῆς λεγούσης ἐν ἑκάστῳ πλείονα εἶναι (τὸ αὐτὸ γὰρ καὶ ἐπὶ τούτων ἁρμό-
σει) καὶ ἔτι τὰ ἐπὶ τῆς ὑποθέσεως τῆς λεγούσης ἐν πλείοσιν ἕν.

Ἀλλὰ μὴν ἄτοπον καὶ εἰ μηδὲν ὑπάρχει, ἀλλὰ μόνον σχῆμα.
καίτοι καὶ αὐτὸ τὸ σχῆμα ποιότης ἐστίν. τίς οὖν ἡ ἀποκλήρωσις τοῦτο 30
μὲν τὸ εἶδος τῆς ποιότητος ὑπάρχειν ἄλλο δὲ μή; εἰπὼν δὲ ὅτι ἄτοπον
25 ἕπεται τῇ ὑποθέσει τῇ λεγούσῃ μηδὲν ἔχειν πάθος τὰ ἄτομα, ἐσίγησε τὸ
ἄτοπον ὡς προφανές, εἴπομεν δὲ αὐτὸ ἡμεῖς.

p. 326a16 Καὶ εἰ ὑπάρχει. ἓν δὲ μόνον. οἷον τὸ μὲν σκληρὸν τὸ δὲ θερμόν.

Τὸ δεύτερον τμῆμα ἐξέθετο τὸ λέγον μίαν ἑκάστῃ ἀτόμῳ ποιότητα
30 ὑπάρχειν ἢ μὴ τῇ ἑτέρᾳ ὑπάρχει. ἄτοπον δὲ τὸ μὴ μιᾶς αὐτὰς εἶναι
φύσεως.

---

1 ἅμα τὰ ἐναντία εἶναι R 2 ἐμερίσατο T¹ 4 λέγει GT 5 ἓν ἢ] ἐν ἢ GRT 8 ἰδίαι T 9 χολεύσει T¹ 15 τόσα δὲ GRT ἄλλαι om. T¹: ἄλλα RZ δὲ δέκα] δώδεκα GT οὖν om. a 16 ὅτι om. GTa 17 πᾶσαν a 21. 23 πλείοσιν ἕν. ἐπεὶ δὲ καὶ τὸ σχῆμα ποιότης ἐστὶν, ἄτοπον φησὶ τοῦτο μόνον αὐταῖς ἀποδιδόναι. τίς γὰρ ἡ ἀποκλήρωσις a 23 τοῦτο] τοῦ T 26 εἴπωμεν R ψυχρόν 26. 29 ἡμεῖς. εἶτα τὸ δεύτερον ἐκτίθησι τμῆμα τὸ λέγον a 27 σκληρὸν R; cf. Ar. libri 29 τὸ (ante λέγον) om. T¹ 29. 30 ποιότητα ὑπάρχει ἢ μὴ R 30 αὐτὰς Za: αὐτὰ GRT 31. p. 173,3 φύσεως. ἀλλ' οὐδὲ πλείονα πάθη φησὶν ἔχειν a

p. 326ᵃ17 Ὁμοίως δὲ ἀδύνατον καὶ εἰ πλείω τῷ ἑνί. 39r

Ὅτι οὐδὲ πλείονα πάθη ἔχειν ἕκαστον ἄτομον δυνατόν. μέχρι δὲ τῶν ἐνταῦθα ἐκθέμενος τὴν διαίρεσιν τὰ λοιπὰ τμήματα παρῆκεν, ἅπερ ἡμεῖς ἐξεθέμεθα.

p. 326ᵃ18 Ἀδιαίρετον γὰρ ὂν ἐν ταὐτῷ ἕξει τὰ πάθη.

Εἰ οὕτως ἐκλάβοιμεν αὐτὸν λέγειν ἀδιαίρετον, οἷον τὸ μὴ πεφυκέναι τέμνεσθαι, δόξει οὐκ εὐλόγως συνάγειν τὰ ἑξῆς· οὐδὲ γὰρ εἰ μὴ πέφυκε διαιρεῖσθαι, ἤδη καὶ ἐν τῷ αὐτῷ ἔσονται τὰ πάθη (δυνατὸν γὰρ ἄλλο ἐν ἄλλῳ μορίῳ εἶναι). ἀλλὰ τὸ ἀδιαίρετον κατὰ δύναμιν· οὐδὲ γὰρ εὔλογον ἐν ἄλλῳ μορίῳ ἄλλην δύναμιν ἀποτίθεσθαι. οὔτε γὰρ ἔλεγον τοῦτο οἱ τὰς ἀτόμους ὑποτιθέμενοι, εἴτε καὶ λέγοι τις, οὐκέτι σώσει τὴν τῶν ἀτόμων καὶ ἔννοιαν καὶ ὑπόθεσιν. οὔτε γὰρ ἂν πρῶται ἀρχαὶ εἶεν ἔτι, ἀλλ' ἐκεῖνα (λέγω δὴ τὰ μόρια ἐξ ὧν καὶ αὗται ἑτέρων ὄντων κατὰ τὴν οὐσίαν σύγκεινται, ἕτερα δὲ κατ' οὐσίαν τὰ δυνάμεως ἑτέρων μετειληχότα), οὔτε κυρίως ἂν εἶεν ἔτι ἄτομοι· τέμνονται γὰρ ταῖς διαφόροις δυνάμεσιν, εἰ καὶ μὴ τῷ τόπῳ. ἐπεὶ οὖν δεῖ τὰς ἀτόμους καὶ κατὰ δύναμιν ἀτόμους εἶναι, συμβήσεται κατὰ τὴν αὐτὴν δύναμιν τὰ πλείονα ἔχειν πάθη. ὥστε ἑνὸς παθόντος ἀνάγκη καὶ τὰ λοιπὰ συμπάσχειν. καὶ εἰ ἔχοι καὶ ποιητικὰ πάθη καὶ παθητικά, ἐπειδὴ κατὰ τὴν αὐτὴν ἄμφω ὑπάρχει δύναμιν, καθ' ὃ ποιεῖ κατὰ τοῦτο καὶ πείσεται, ὥσπερ εἴπομεν ἀνωτέρω.

p. 326ᵃ20 Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων παθημάτων.

Ἐπειδὴ ὡς ἐπὶ ψόξεως ἐγύμνασε τὸν λόγον, φησὶν ὅτι ὁμοίως ἂν ἔχοι καὶ ἐπὶ τῶν λοιπῶν ποιοτήτων. ποιοῦν γὰρ κατὰ θερμότητα ποιήσει καὶ κατὰ μανότητα, εἰ μανὸν εἴη. καὶ εἰ πάσχοι κατὰ ὑγρότητα ὂν θερμὸν καὶ ποιοῦν κατὰ τὸ θερμόν, πείσεται ἅμα κατ' αὐτό· κατὰ ταὐτὸν γάρ ἐστιν ὑγρὸν καὶ θερμόν.

p. 326ᵃ21 Τοῦτο γὰρ καὶ τοῖς στερεὰ καὶ τοῖς ἐπίπεδα λέγουσιν ἀδιαίρετα συμβαίνει τὸν αὐτὸν τρόπον.

Ὑποθέμενος ὅτι εἰ ἔχοιεν πάθος αἱ ἄτομοι, ἢ ἓν ἕξουσιν ἢ πολλά,

1 εἰ GT: om. RZ (et Ar. cod. F) 2 δυνατόν (G)a: ἀδύνατον RTZ 4. 6 ἐξεθέμεθα. τὸ δὲ ἀδιαίρετον, εἰ οὕτως ἐκλάβοιμεν αὐτὸν λέγειν, τὸ οἷον μὴ a 5 ὂν RZ: om. GT 8 καὶ om. GTa 9 ἄλλο] ἄλλω GR¹T 10 ὑποτίθεσθαι GTa 11 καὶ om. GTa λέγει T 13 αὗται R 14 σύγκειται RT¹ δυνάμεων Z ἑτέρας a 18 εἰ om. T¹ ἔχει R¹ et corr. T 19 ποιητικὰ] παθητικὰ R πάθη om. GTa 22 ἐγύμνωσε R 27 lemma om. et pergit ὑποθέμενος δὲ ὅτι a, qui superius lemma plenius dederat

καὶ ἀνελὼν ἑκάτερον ὅτι οὔτε πολλὰ δυνατὸν ἔχειν αὐτὰς οὔτε ἕν, ὡς 39r
συνάγεσθαι δηλονότι ὡς οὐκ ἐνδέχεται | αὐτὰς πάθος τι ἔχειν, ἐπήγαγεν 39v
ὅτι τοῦτο αὐτὸ ἀκολουθεῖ οὐ μόνον τοῖς στερεὰ διαιρετὰ ὑποτιθεμένοις,
ἀλλὰ καὶ τοῖς ἐπίπεδα, τουτέστι τὸ μὴ δύνασθαι μήτε ἓν ἔχειν πάθος
5 μήτε πλείονα. εἶτα τοῦτο κατασκευάζων ἐπήγαγεν οὔτε γὰρ μανότερα
οὔτε πυκνότερα οἷόν τε γίνεσθαι κενοῦ μὴ ὄντος ἐν τοῖς διαι-
ρέτοις. τὸ γὰρ μανὸν καὶ πυκνὸν τῇ τοῦ κενοῦ παρεμπλοκῇ γίνεσθαι
ἔλεγον οἱ περὶ Δημόκριτον· μανότερα γὰρ εἶναι τὰ πλείονος κενοῦ μετέ- 5
χοντα, πυκνότερα δὲ τὰ ἥττονος. εἰ τοίνυν ἐν ταῖς ἀτόμοις κενὸν οὐκ
10 ἔστιν, οὐκ ἂν εἴεν μανότεραι ἢ πυκνότεραι. τοῦτο δὲ ἐπήγαγεν οὐχ ὡς
τῇ τούτου ἀναιρέσει συναναιρουμένων καὶ τῶν ἄλλων παθῶν (οὐ γὰρ εἰ
μὴ εἴεν μανότεραι ἢ πυκνότεραι, οὐδ' ἄλλο τι πάθος ἔχοιεν ἄν), ἀλλ'
ἤδη μὲν τὸ μὴ δύνασθαι πάθος ἔχειν αὐτὰς κοινῶς ἀνεῖλεν, καὶ ὡς ἐπί
τινων δὲ ἰδίᾳ παθῶν τοῦτο γυμνάζων ἐπήγαγεν. οἱ δὲ τὰ ἐπίπεδα λέγον-
15 τες κενὸν μὲν οὐκ ἔλεγον εἶναι, ἴσως δὲ κἀκεῖνοι τὸ μανότερον καὶ πυκνό- 10
τερον ἔλεγον γίνεσθαι τῷ πλείονας ἢ ἐλάττονας πόρους ἔχειν. ἄλλως τε
αὐτὸς ἀλλαχοῦ περὶ τούτων εἶπεν ὅτι "πάθος οὐδὲ ἐπιχειροῦσι γεννᾶν". ἤτοι
οὖν τοῦτο σημαίνει τὸ τοῦτο γὰρ καὶ τοῖς στερεὰ καὶ τοῖς ἐπίπεδα
λέγουσι συμβαίνει τὸν αὐτὸν τρόπον, λέγω δὲ τὸ μὴ δύνασθαι ἔχειν
20 πάθος μηδέν, ἢ ὅτι πλείονα ἔχοντα πάθη, ἐπειδὴ κατὰ τὸν αὐτὸν αὐτὰ
ἔχει λόγον, διαιρετά γε ὄντα κατὰ δύναμιν, ὡς εἴρηται, καθ' ἓν καὶ τὸ
αὐτὸ ἅμα συμβήσεται αὐτὰ καὶ ποιεῖν καὶ πάσχειν· ἃ γὰρ ἂν εἴποιμεν ἐπὶ 15
τῶν στερεῶν ἀτόμων, τοῦτο λέξομεν καὶ ἐπὶ τῶν ἐπιπέδων. τὸ δὲ ἐφε-
ξῆς, τὸ οὔτε γὰρ μανότερα οὔτε πυκνότερα οἷόν τε γίνεσθαι
25 κενοῦ μὴ ὄντος ἐν τοῖς διαιρέτοις, πρὸς τὴν δευτέραν ἐξήγησιν
οὕτως νοητέον. ἐπειδὴ γὰρ διὰ τοῦ καθ' ἕνα καὶ τὸν αὐτὸν λόγον εἶναι
ἐν ταῖς ἀτόμοις τὰ πλείονα πάθη, οὕτως ἀνεῖλεν τὸ ὅλως ἔχειν αὐτὰς
ἅμα πλείω πάθη, εἶπε δὲ ἄν τις, ὅπερ ἤδη καὶ ἡμεῖς προηπορήσαμεν,
ὅτι οὐκ ἀνάγκη καθ' ἕνα εἶναι καὶ τὸν αὐτὸν λόγον, ἀλλ' ἐν ἄλλῳ μορίῳ
30 ἄλλο ἐστὶ τῶν παθῶν, διὰ τοῦτο ἐπήγαγε τὸ οὔτε γὰρ μανότερα οὔτε
πυκνότερα οἷόν τε εἶναι. εἰ γὰρ κατὰ τὰς αὐτῶν ὑποθέσεις τῇ τοῦ 20
κενοῦ παρεμπλοκῇ τὸ μανὸν καὶ τὸ πυκνὸν γίνεται, κενὸν δὲ οὐκ ἔστιν ἐν
ταῖς ἀτόμοις, δῆλον ἄρα ὅτι οὔτε πυκνότερα αὐτὰ οἷόν τε εἶναι οὔτε μανό-
τερα οὔτε ἄλλα ἄλλου οὔτε αὐτὰ ἑαυτῶν ἄλλοις καὶ ἄλλοις μορίοις. ὥστε
35 εἷς καὶ ὁ αὐτὸς ἔσται αὐτῶν λόγος καὶ μία ἡ δύναμις. εἰ γὰρ ὁμοιομερής

2 ἐνδέχεσθαι a 4 ἔχειν ἓν R 5. 7 et 24. 25 μανότερα — διαιρέτοις] μανώτερα καὶ τὰ ἑξῆς a 8 μανώτερα (G)a γάρ ἐστι Z 9 ταῖς R: τοῖς cett. 10 et 12 μανώτεραι GTa 11 συναιρουμένων GT¹ 13 μὲν om. T¹ 14 τοῦτο παθῶν Z οἱ] εἰ Z 15 τὸ om. GTa μανώτερον GTa 17 ἀλλαχοῦ κτλ.] c. 2 p. 316a4 19 λέγουσι] ita hic libri συμβαίνειν a 20 πάθος om. Z 22 εἴποιεν T¹ 23. 24 ἑξῆς a 26 οὕτω a 30 μανώτερα a 31 ὑποθέσει a 33 ταῖς Za: τοῖς cett. 33. 34 μανώτερα GTa 34 ἄλλα ἄλλου Z: ἄλλα ἄλλ' GRT: πρὸς ἄλλα a

ἐστιν ἑαυτῇ ἡ ἄτομος καὶ διαφορὰν μηδεμίαν ἔχουσα, δῆλον ὅτι καὶ εἷς 39v
ὁ τῆς συνθέσεως τῶν μερῶν αὐτῆς λόγος, καὶ μία καὶ ἡ αὐτὴ δὲ ἁπάσης 25
ἡ δυνάμις· ὥστε οὐ δυνατὸν κατὰ ἄλλο μὲν εἶναι μόριον θερμόν, κατὰ
ἄλλο δὲ ἄλλο τι.

5 p. 326a24 Ἔτι δὲ ἄτοπον καὶ τὸ μικρὰ μὲν ἀδιαίρετα εἶναι, μεγάλα δὲ μή.

Ἕτερον ἐπιχείρημα. εἰ φύσει, φησίν, ἀδιαίρετα τὰ ἄτομα καὶ μὴ
διὰ τὴν σμικρότητα (οὕτω γὰρ οὐκ ἂν εἶεν φύσει ἄτομα· καὶ γὰρ οἱ μὴ 30
ἄτομα ὑποτιθέμενοι οὐκ εἰς ἄπειρον διαιροῦσιν, ἀλλ' ἱστᾶσι διὰ τὴν σμι-
10 κρότητα τὴν τομήν, οὐ μέντοι φύσει ἀδιαίρετα αὐτὰ λέγουσιν, ἀλλὰ κατὰ
δύναμιν ἐπ' ἄπειρον διαιρετά), εἰ τοίνυν φύσει ἀδιαίρετα ὑποτίθενται τὰ
ἄτομα, ἀποκληρωτικόν, φησίν, ἂν εἴη μικρὰ μὲν ὑποτίθεσθαι μὴ διαιρεῖ-
σθαι, μεγάλα δέ. διὰ τί γὰρ καὶ κατὰ τίνα λόγον τοῖς μικροῖς μὲν
ὑπάρχει τὸ ἀδιαίρετον, τοῖς δὲ μεγάλοις οὔ; ἡμεῖς μὲν γὰρ εὐλόγως εὐδιαί-
15 ρετα τὰ μεγάλα σώματα τῶν μικρῶν εἶναι λέγομεν, ἐπειδὴ φύσει διαιρετὰ 35
πάντα ἐπ' ἄπειρον ὑποτιθέμεθα (διαιρετῶν οὖν ὄντων συμβαίνει τὰ
μεγάλα μᾶλλον εἶναι διαιρετὰ διὰ τὸ προσπταίειν μᾶλλον τοῖς διαιροῦσι,
τὰ μικρὰ δὲ ἐκφεύγει διὰ τὴν σμικρότητα τὸ διαιροῦν καὶ ἐξολισθαίνει),
τοῖς δὲ ἀδιαίρετα φύσει λέγουσι τοῦτο οὐκ ἔξεστι· τὸ γὰρ ἀδιαίρετον
20 φύσει ὁμοίως ἐστὶ καὶ ἐν τῷ μείζονι καὶ ἐν τῷ ἐλάττονι.

p. 326a29 Ἔτι δὲ πότερον μία πάντων φύσις ἐκείνων τῶν στε- 39
ρεῶν, ἢ διαφέρει θάτερα θατέρων;

Ἕτερον ἐπιχείρημα. ἀνάγκη, φησίν, ἢ πάντα μιᾶς εἶναι καὶ τῆς 45
αὐτῆς φύσεως, ἢ ἄλλα ἄλλης. εἰ μὲν οὖν μίαν ἔχοι πάντα καὶ τὴν αὐ-
25 τὴν φύσιν, ὥσπερ εἰ τύχοι τὰ διάφορα ὕδατα ἢ αἱ βῶλοι, τί ἐστι τὸ
τοῦ χωρισμοῦ αὐτῶν καὶ τῆς διακρίσεως αἴτιον; ἢ διὰ τί πάλιν ἁπτό-
μενα οὐ συμφύεται, ὥσπερ ὅταν ὕδωρ ὕδατος ἁφθῇ ἢ πῦρ πυρός; ἔδει
γὰρ μιᾶς ὄντα καὶ τῆς αὐτῆς φύσεως δύνασθαι συμφύεσθαι ἀλλήλοις. εἰ
δέ τις εἴποι 'διὰ τὴν σκληρότητα οὐ συμφύεται, ὥσπερ οὐδὲ ὀστράκου
30 κλασθέντος ἔτι δυνατὸν τὰ μόρια συμφύεσθαι', πρῶτον μὲν οὖν τὸ αἴτιον 50
τοῦ χωρισμοῦ καὶ τῆς διαιρέσεως, ὥσπερ καὶ ἤδη εἴρηται, ζητητέον,
ἔπειτα εἰ οὕτως ἦν φύσεως μιᾶς πάντα, οὐκ ἔδει ἐν τῇ συνθέσει διαφό-
ρους ποιεῖν φύσεις, ἀλλ', εἰ ἄρα, μόνον σχήματα, ὥσπερ καὶ σωρεία τῶν
λίθων ἢ τῶν ὀστράκων φύσιν μὲν ἑτέραν οὐκ ἐποίησεν, μόνον δὲ τὸ

---

1 μηδεμίαν διαφορὰν Z 2 δὲ om. Z 9 ἱστῶσι (Z)a 15 τά] τὸ GT
16 πάντα om. a ὑποτιθέμενα R¹ 18 ἐξολισθαίνειν T²Z: ἐξ ὀλισθαίνει a
21 ἡ φύσις a; at cf. Ar. cod. E 22 διαφέροι et (cum Ar.) τῶν ἑτέρων a 23 πάντας GT 24 ἔχει a et corr. Z 25 ἐστι om. hic Z, qui mox αἴτιον ἐστὶν
27 ἅψηται a 29 συμφύεσθαι Z 30 οὖν om. Za τό] ὅτι τὸ GT

σχῆμα τῆς σωροῦ διάφορον. οὐκ ἄρα δυνατὸν τῆς αὐτῆς εἶναι φύσεως 39v πάσας τὰς ἀτόμους. εἰ δὲ ἄλλα ἄλλης εἶεν φύσεως, δῆλον ἄρα ὅτι ποιότητι διαφέρουσιν, οὐ σχήματι μόνον. ὥστε, φησίν, οὐκ ἀρχαὶ ἂν εἶεν τῶν | πραγμάτων, ἀλλὰ τὰ τούτων ἀρχοειδέστερα, αἱ ποιότητες, καθ' ἃς 40r
5 ταῦτα καὶ ἔστι καὶ διαιρεῖται.

p. 326a31 Ὥσπερ εἰ τὰ μὲν εἴη πύρινα, τὰ δὲ γήινα τὸν ὄγκον.

Τουτέστιν εἰ τὰ μὲν ἔχοι τὸν ὄγκον καὶ τὴν σωματότητα πυρίνην, τὰ δὲ γηίνην.

10 p. 326a34 Οὐδὲ γὰρ διαφέρει τὸ ὕστερον τοῦ προτέρου.

Τὸ ὕστερον ὕδωρ τὸ ἐπιγενόμενον καὶ ἑνωθὲν τῷ προτέρῳ οὐδὲν αὐτοῦ διαφέρει, ὅθεν καὶ ἥνωται αὐτῷ.

p. 326a34 Εἰ δὲ ἕτερα, ποῖα ταῦτα;

Τινὰ μὲν ἔχουσι πόσα ταῦτα, τινὰ δὲ ποῖα ταῦτα. εἰ μὲν οὖν 5
15 ἔχοι πόσα ταῦτα, λέγοι ἂν πόσα ταῦτα 'πόσαι τῶν φύσεων αὐτῶν ἰδιότητες'· εἰ δὲ ποῖα ταῦτα, τουτέστι ταῦτα καθ' ἃ διαφέρουσι, ποιότητες ἂν εἶεν. ὥστε αὗται τῶν σωμάτων ἀρχαί, οὐ τὰ ἄτομα.

p. 326b1 Ἔτι δὲ διαφέροντα τὴν φύσιν, κἂν ποιοῖ κἂν πάσχοι θιγγάνοντα ἀλλήλων.

20 Ἐπειδὴ τὰ πάντῃ ὅμοια δέδεικται μὴ ποιεῖν καὶ πάσχειν εἰς ἄλληλα, ἀλλὰ τὰ πῇ μὲν ὅμοια πῇ δὲ ἀνόμοια, ἀνάγκη πᾶσα, εἰ διαφόρου εἶεν αἱ ἄτομοι φύσεως, τοιαύτας εἶναι αὐτάς· τό τε γὰρ ὑποκείμενον αὐταῖς ἓν καὶ τὸ αὐτό, ὅθεν καὶ τὸ ἄτομοι εἶναι ἔχουσι, καὶ ἡ ποιότης διάφορος. 10 τοιαῦτα δὲ ὄντα ἐν τῇ θίξει κἂν ποιοῖ κἂν πάσχοι ὑπ' ἀλλήλων.

---

1 τῆς prius mutavit in τοῦ a: fort. τῆς σωρείας 2 πάσας — φύσεως om. GTa ἄλλα R: om. Z 5. 8 διαιρεῖται. τὸ δὲ ὥσπερ εἰ τὰ μὲν εἴη πύρινα, ἀντὶ τοῦ εἰ τὰ μὲν ἔχει a 6 ὥσπερ ἂν εἰ Ar. 9 τὰ δὲ γήινην om. GTa 10. 11 om. lemmate pergit τὸ δὲ ὕστερον φησὶν ὕδωρ τουτέστι τὸ ἐπιγενόμενον a 10 οὐδὲν (cum. Ar.) S 11 ὕδωρ om. Z 12 post αὐτοῦ addit τοῦ προτέρου a 12. 14 αὐτῷ. ἐν δὲ τῷ, ποῖα ταῦτα, τινὰ μὲν τῶν ἀντιγράφων ἔχουσι a 14 οὖν om. Z 15 ἔχει a λέγοι ἂν πόσα ταῦτα R: λέγοι ἂν πόσα ταῦτα ἀντὶ τοῦ Z: λέγοι ἂν πόσα ταῦτα λέγοι ἂν GT: λέγοι ἂν tantum a αὐτῶν om. T¹: ante τῶν φύσεων ponit a 18 lemma om. hic a, qui pergit ἐπειδὴ τὰ δὲ τὰ · ποιεῖ corr. T²: ποιῇ et πάσχῃ Ar. (praeter codd. EH) 19 θιγίάνον R 20 πάντα R 21 τὰ om. a, qui ἀνάγκη φησὶ πᾶσα διαφόρου] διαφέρουσιν R αἱ om. GT 24 ποιῇ T² καὶ πάσχοι Za

p. 326ᵇ2 Ἔτι δὲ τί τὸ κινοῦν; εἰ μὲν γὰρ ἕτερον, παθητικά. 40ʳ

Ἕτερον ἐπιχείρημα. τί, φησίν, αἴτιόν ἐστι τῆς κινήσεως ταῖς ἀτόμοις; κινεῖσθαι γὰρ αὐτὰς ἀεί φασιν. εἰ μὲν οὖν ἕτερόν ἐστι τὸ κινοῦν αὐτάς, οὐκέτι ἂν εἶεν ἀπαθεῖς· δῆλον γὰρ ὅτι τῷ ἐκεῖνο μὲν ποιεῖν εἰς αὐτάς, ταύτας δὲ πάσχειν ὑπ' ἐκείνου, οὕτω κινοῦνται. εἰ δὲ ἑκάστη ἑαυτὴν κινεῖ, ἢ μέρει μὲν κινεῖ μέρει δὲ κινεῖται, ἢ ὅλη ἑαυτὴν καὶ κινεῖ καὶ κινεῖται. εἰ μὲν γὰρ τὸ πρότερον, οὐκέτι ἀδιαίρετος ἔσται οὐδ' ἡ αὐτὴ καὶ ὁμοιομερής (διαιρεῖται γὰρ εἰς τὸ κινοῦν καὶ κινούμενον)· εἰ δὲ ἡ ὅλη καὶ κινεῖ καὶ κινεῖται, ἔσται τὰ ἐναντία ἐν τῷ αὐτῷ· ἐναντίον γὰρ τῷ ποιοῦντι τὸ πάσχον. καὶ ἡ ὅλη, φησίν, οὐ μόνον ἀριθμῷ μία ἀλλὰ καὶ δυνάμει. εἴπερ ὅλως, φησίν, ἡ αὐτὴ ἄτομος καὶ κινεῖ καὶ κινεῖται, ἔσται οὐ μόνον ἀριθμῷ μία, ἀλλὰ καὶ δυνάμει. ἡμεῖς γὰρ μίαν φαμὲν εἶναι τὴν ὅλην ἀριθμῷ, δυνάμει δὲ οὐ μίαν ἀλλὰ πολλά· τὰ ἀντικείμενα γάρ ἐστι δυνάμει, εἰς ἑκάτερον αὐτῶν μεταβάλλειν δυναμένη παρὰ μέρος. εἰ δὲ ἀπαθὴς οὖσα ἡ αὐτὴ καὶ κινεῖ καὶ κινεῖται, ἅμα ἓν καὶ ταὐτὸν ἔσται τὸ δύνασθαι κινεῖν καὶ τὸ δύνασθαι κινεῖσθαι. ὁμοίως καὶ ἐπὶ τῶν ἐναντίων. τὰ γὰρ ἐναντία ποιητικὰ καὶ παθητικά, καὶ τὸ μὲν ποιοῦν κινεῖ, τὸ δὲ πάσχον κινεῖται. ἡ αὐτὴ ⟨ἄρα⟩ ἅμα τὰς ἐναντίων ἕξει δυνάμεις, εἴπερ καθ' ἓν καὶ ταὐτὸν ἅμα κινεῖ καὶ κινεῖται. οὐκοῦν ἡ αὐτὴ δύναμις ἔσται καθ' ἣν ποιεῖ καὶ πάσχει, τουτέστι καθ' ἣν θερμαίνει τε καὶ θερμαίνεται, ψύχει τε καὶ ψύχεται. ὥστε καὶ ἅμα τὰ ἐναντία ἔσται, τοῦτο δὲ ἀδύνατον.

p. 326ᵇ6 Ὅσοι μὲν οὖν διὰ τῆς τῶν πόρων κινήσεώς φασι τὰ πάθη συμβαίνειν.

Ἐκθέμενος τοὺς τρόπους καθ' οὓς οἱ παλαιότεροι ἔλεγον γίνεσθαι τὸ ποιεῖν καὶ τὸ πάσχειν, εἶτα ἀποδεξάμενος μᾶλλον τὰς ὑποθέσεις τῶν περὶ Δημόκριτον, ὡς συμφώνους μᾶλλον τοῖς φαινομένοις καὶ δυναμένας πᾶσι τοῖς ἐκ φύσεως γινομένοις ἀκολούθους εἶναι (αὗται δὲ ἦσαν αἱ τὰς ἀτόμους καὶ τὸ κενὸν ὑποτιθέμεναι), εἶτα ἔνθεν ὁρμηθεὶς εἰς τὸν ἔλεγχον τῆς τῶν ἀτόμων ὑποθέσεως, ἀνατρέχει λοιπὸν εἰς τὸ προκείμενον. τοῦτο δὲ ἦν τὸ ἐλέγξαι τὰς τῶν παλαιῶν δόξας, καθ' ἃς τὸ ποιεῖν ἔλεγον γίνεσθαι καὶ τὸ πάσχειν. ἦσαν δὲ ἥ τε διὰ πόρων τοῦτο γίνεσθαι λέγουσα ἧς Ἐμπεδοκλῆς προειστήκει, καὶ ἡ διὰ τοῦ κενοῦ ὡς οἱ

1 παθητικόν Ar. (praeter codd. EHL) 3 ἀεὶ φασὶν αὐτάς a 6 κινεῖ (post μὲν) om. GT ἑαυτὴν] an ἡ αὐτὴ? 10. 11 καὶ εἴπερ (om. ἡ ὅλη — δυνάμει) a 10 ἔσται μία Ar. 12 μία] ὁμοία Z 12. 13 μίαν μὲν φαμὲν a 14 δυναμένην R 15 ἀπαθὲς GT οὖσα om. Z 16 τὸ αὐτ̄ R 18 ἄρα addidit a τὰς ἐναντίας (GZ)a 25 καθ' οὓς Za: om. GRT (T² inserit οὓς) 27 δυναμένοις R 28. 29 αὗται — ὑποτιθέμεναι om. GT 28 αὗται a 28. 29 ταῖς ἀτόμοις R 30 ὑποθέσεων a 32 γίνεσθαι alterum om. T¹ 33 ἧς] εἷς a

περὶ Δημόκριτον καὶ Λεύκιππον ὑπελάμβανον. ὅτι οὖν οὐ διὰ πόρων γίνε- 40r
ται τὸ ποιεῖν καὶ τὸ πάσχειν, δείκνυσιν οὕτως. ἴσμεν δὲ ὅτι οἱ τοὺς
πόρους ὑποτιθέμενοι οὐ κενοὺς ὑπετίθεντο τούτους, ἀλλὰ πεπληρωμένους
λεπτομερεστέρου τινὸς σώματος, οἷον ἀέρος· ταύτῃ γὰρ διέφερον τῶν τὸ 40
5 κενὸν ὑποτιθεμένων. τὸ τοίνυν ποιοῦν, εἰ μὲν ἔξωθεν ἁπτόμενον τοῦ περιέ-
χοντος τοὺς πόρους σώματος, οἷον εἰ αὐτοῦ τοῦ χείλους καθ' ὃ ὁ πόρος,
οὕτως ποιεῖ, περιττὸς ὁ πόρος (εἰ γὰρ ὅλως ἔξωθεν ἁψάμενον ἔδρασεν,
δῆλον ὅτι, κἂν μὴ πόρους εἶχε, τῇ ἁφῇ ἔδρασεν ἄν)· εἰ δὲ τῷ εἰσίέναι εἰς
τοὺς πόρους οὕτω ποιεῖ, ἢ ἐξωθεῖ τὸ ἐν τοῖς πόροις σῶμα ἢ οὐκ ἐξωθεῖ.
10 εἰ μὲν οὖν μὴ ἐξωθεῖ, σῶμα διὰ σώματος ἐχώρησεν· εἰ δὲ ἐξωθεῖ, ἢ
ὁρᾷ εἰς τὰ παρακείμενα ἐντὸς σώματα καὶ περιέχοντα τοὺς πόρους, ἢ
οὐδὲν ὁρᾷ. εἰ μὲν οὖν μηδὲν ὁρᾷ, οὐδὲν ἄρα εἰς τὸ ποιεῖν καὶ πάσχειν 45
συνεβάλλοντο οἱ πόροι· εἰ δὲ ὁρᾷ, πότερον διά τινων πόρων κἀκεῖ ἢ μόνον
ἁψάμενον; εἰ μὲν οὖν διά τινων πόρων, πάλιν καὶ περὶ ἐκείνων τὰ αὐτὰ
15 ἐροῦμεν, καὶ τοῦτο ἐπ' ἄπειρον· ὥστε συμβήσεται τὸ ὅλον πόρον εἶναι.
εἰ δὲ εἰς τὰ ἐντὸς καὶ περιέχοντα τοὺς πόρους σώματα ἔδρασε μὴ διὰ
πόρων, ἀλλὰ μόνον ἁψάμενα, δῆλον ὅτι, κἂν μὴ πόροι ὦσιν, ἁψάμενα τὰ
μὲν ποιήσει τὰ δὲ πείσεται, καὶ πόρων οὐδεμία χρεία πρὸς τὸ ποιεῖν καὶ
τὸ πάσχειν. οὕτω μὲν συναναιρεῖ τὸ διὰ πόρων γίνεσθαι τὸ ποιεῖν καὶ
20 τὸ πάσχειν. ὅτι δὲ οὐ διὰ κενοῦ γίνεται, αὐτὸς μὲν οὐ προστέθεικεν, ἢ 50
ὡς ἀνελὼν τὰς ὑποθέσεις τῶν ταῦτα λεγόντων (ὅτι τε γὰρ κενὸν ὅλως οὐκ
ἐνδέχεται εἶναι, δέδεικται ἐν τῇ Φυσικῇ· καὶ ὅτι ἄτομοι οὐκ εἰσίν, καὶ
ἐν ἄλλοις καὶ ἐνταῦθα ἤλεγξεν), ἤ, ὅπερ καὶ μᾶλλον, ὅτι ὅσα εἴρηται ἐπὶ
τῶν πόρων, ταῦτα καὶ ἐπὶ τῆς τοῦ κενοῦ ὑποθέσεως ἀπαραλλάκτως ἁρ-
25 μόσει λέγεσθαι. εἴτε γὰρ ἁπτόμενον ἔξωθεν τῶν σωμάτων τῶν τὸ κενὸν
περιεχόντων ποιεῖ τὸ ποιοῦν, περιττὸν τὸ κενόν (καὶ μὴ ὄντος γὰρ | τῇ 40v
ἁφῇ ἂν ἐποίησεν), εἴτε ἐγγινόμενον ἐν αὐτῷ, τὰ αὐτὰ πάλιν ἁρμόσει λέγειν
ὅπερ καὶ ἐπὶ τῶν πόρων.

Ὅσοι μὲν οὖν διὰ τῆς τῶν πόρων κινήσεως. ἢ τῆς τῶν
30 πόρων κινήσεως λέγει ἀντὶ τοῦ διὰ τῆς τῶν πόρων κινήσεως καὶ εἰσόδου τοῦ ποιοῦντος, ἢ διὰ τοῦ ἐν τοῖς πόροις πρῶτον γίνεσθαι τὸ ποιεῖν καὶ τὸ πάσχειν, τουτέστι διὰ τοῦ παθεῖν καὶ κινηθῆναι τὸ ἐν τοῖς πόροις σῶμα, ἁψαμένου τοῦ ποιοῦντος.

4 γὰρ διαφερόντων τὸ GT 7 οὕτω a ποεῖ T ἁψάμενος R 8 κἂν εἰ μὴ a τῷ] τὸ Z 10 εἰ μὲν οὖν—εἰ δὲ ἐξωθεῖ om. GTa, sed a pergit καὶ ἢ ὁρᾷ 13 συνεβάλλοντο GTa μόνον om. a 17 μόνων GT 19. 20 οὕτω—πάσχειν om. Z 21 ταῦτα] αὐτὰ Z 23 ὅτι et ἐπὶ om. T[1] 24 ἀπαραλάκτως GT 27 λέγειν] λέγεται a 29. p. 179,5. 6 Ὅσοι μὲν οὖν—ἐπανατρέχει] διὰ τῆς τῶν πόρων δὲ κινήσεως λέγει, ἢ ἀντὶ τοῦ διὰ τῆς εἰσόδου τοῦ ποιοῦντος διὰ τῶν πόρων, ἢ διὰ τὸ (sic etiam F) ἐν τοῖς πόροις—τουτέστι διὰ τὸ (sic) παθεῖν—ἁψαμένου τοῦ ποιοῦντος. εἰπὼν δὲ τὸ εἰ μὲν [illegible] om. καὶ περιχρωμένων ὄντων τῶν πόρων. οὐκέτι [illegible] ἀρεῖς. Ἔτι δὲ πῶς ἐνδέχεται— lemma usque ad p. 326b14) ἔσται πλῆρες. Ἐπανατρέχει a 30 λέγει—κινήσεως καὶ scripserat ante ἢ (v. 29) sed statim delevit R 31 πρῶτον et mox τὸ (ante πάσχειν) om. Z

p. 326ᵇ10 Ἔτι δὲ πῶς ἐνδέχεται περὶ τοῦ διορᾶν συμβαίνειν ὡς λέγουσιν; 40ᵛ

Εἰπὼν τὸ 'εἰ μὲν καὶ πεπληρωμένων τῶν πόρων' οὐκέτι ἀνταπέδωκεν τὸ 'εἰ δὲ κενῶν ὄντων', τουτέστιν εἰ ἐξωθοῦντος τοῦ ποιοῦντος τὸ ἐν τοῖς πόροις σῶμα. εἴπομεν δὲ περὶ τούτου ἡμεῖς. αὐτὸς δὲ ἐπανατρέχει εἰς τὸ δεῖξαι, ὅτι οὐδὲ τὸ ὁρᾶν τοῦτον γίνεται τὸν τρόπον ὅνπερ ἔλεγον οὗτοι, διὰ πόρων τινῶν διιουσῶν τῶν ὄψεων. ἀνάγκη γὰρ τὰς ὄψεις ἢ ἐξωθῆσαι τὸ ἐν τοῖς πόροις τῶν διαφανῶν σῶμα καὶ οὕτω διιούσας ἀντιλαμβάνεσθαι τῶν ὁρατῶν, ἢ μηδὲν ἐξωθούσας διὰ τοῦ σώματος διιέναι ἢ διὰ τῶν ἁφῶν αὐτῶν καὶ τῶν ἐφαρμογῶν τῶν δύο σωμάτων, τοῦ τε ἐν τῷ πόρῳ σώματος καὶ οὗ ἐστιν ὁ πόρος, οἷον τῆς ὑάλου. ὅτι μὲν οὖν διὰ τῶν ἁφῶν ἀδύνατον διιέναι τὰς ὄψεις, σώματα οὔσας κατὰ τὰς ἐκείνων ὑποθέσεις, πρόδηλον· τὰ μὲν γὰρ πέρατα ἁπτόμενα ἐφαρμόζει ἀλλήλοις καὶ χώραν οὐδεμίαν μεταξὺ ἐᾷ, αἱ δὲ ὄψεις σώματα οὖσαι διὰ ἀδιαστάτου διιέναι οὐ πεφύκασιν. οὐκ ἄρα διὰ τῶν ἁφῶν δυνατὸν διιέναι τὰς ὄψεις. δι' αὐτὸ δὲ τοῦτο οὐδὲ διὰ τοῦ σώματος χωρεῖν δυνατὸν τοῦ ἐν τῷ πόρῳ· σῶμα γὰρ ἂν διὰ σώματος χωροίη. ἄλλως τε καὶ μάταιον οἱ πόροι. εἰ γὰρ ὅλως χωρεῖν διὰ σώματος πεφύκασιν αἱ ὄψεις, ἐχώρησαν ἂν καὶ διὰ τῆς τῶν διαφανῶν οὐσίας καὶ πόρων οὐκ ἦν χρεία. εἰ δὲ τέμνουσαι καὶ κατὰ μόρια ἢ καὶ παντελῶς ἐξωθοῦσαι αἱ ὄψεις τὸ ἐν τοῖς πόροις σῶμα, οὕτω διιᾶσι καὶ τῶν ὁρατῶν ἀντιλαμβάνονται, πολλὰ καὶ ἄτοπα τῷ λόγῳ τούτῳ ἕψεται. πρῶτον μὲν γὰρ οὐδὲν ἅμα ὁρᾶν ἡμᾶς ἔδει, ἀλλὰ κατὰ μόρια· ἑκάστης γὰρ ὄψεως μορίῳ τινὶ προσβαλλούσης, μὴ συνεχῶν οὐσῶν τῶν ὄψεων, οὐκ ἔδει οὐδὲν συνεχὲς ὁρᾶσθαι. ἔπειτα πῶς ὁρῶμεν διὰ τοῦ ἀέρος; εἰ γὰρ καὶ ἐνταῦθα διά τινων πόρων τεμνομένου τοῦ ἀέρος καὶ ὑποχωροῦντος ταῖς ὄψεσιν, ἐπειδὴ τοῖχόν τινα ὁλόκληρον — καὶ τί λέγω τοῖχον; τὸ τεταρτημόριον ὅλον τοῦ οὐρανοῦ ἅμα ὁρῶμεν, ἀνάγκη πᾶσα τὸν μεταξὺ τόπον, τὸν ἀπὸ τῶν ὀφθαλμῶν λέγω μέχρι τοῦ ὁρωμένου, κενὸν εἶναι, ὅπερ ἀδύνατον. καὶ ἐπειδὴ τὸ αὐτὸ ὁρατὸν ἅμα πλείονες ὁρῶμεν, συμβήσεται τὰς ὄψεις πάλιν σώματα οὔσας χωρεῖν δι' ἀλλήλων, ὅπερ ἀδύνατον. καὶ ἐντεῦθεν οὖν ὅτι οὐ σώματα ἐκ τῶν ὀφθαλμῶν ἕξεισι, δῆλον.

p. 326ᵇ13 Τί γὰρ διοίσει τοῦ μὴ πόρους ἔχειν;

Εἰ δίεισι, φησί, διὰ τῶν πόρων πεπληρωμένων ὄντων, διὰ τί μὴ καὶ

---

3 πεπληρωμένων ὄντων τῶν GT 4 εἰ alterum om. R 6 ὅπερ GT 9 ἐξωθούσης (G)a 10 et 12 ἁφῶν F: ἀφανῶν GRTZ: ἁφῶν a 12 οὖν ἀδύνατον διὰ τῶν ἀφανῶν Z σώματος Z 13 ἐφαπτόμενα Z 14 μηδεμίαν a 15 διὰ διαστάτου T¹ 15. 16 οὐ — διιέναι om. Z 15 ἁφῶν R: ἀφανῶν GT: ἁφῶν a 17 χωρείη Z 18. 19 ὅλως διὰ σώματος χωρεῖν αἱ ὄψεις πεφύκασιν Z 20 καὶ (ante κατὰ) om. a 22 ἕψεται τούτω a 28 τῶν ἀπὸ τῶν GT 29 ὁρομένου T¹a 32. 34 δῆλον. εἰ δὲ δίεισι φησὶ a 33 διοίσει GT: οἰήσει RZ ἔχειν πόρους Ar. (praeter codd. FH)

δι' αὐτῶν τῶν σωμάτων τῶν διαφανῶν δίεισιν; ὁμοίως γὰρ οἵ τε πόροι 40v
πλήρεις καὶ τὸ λοιπὸν τῶν διαφανῶν σῶμα.

p. 326b 15 Ἀλλὰ μὴν εἰ κενὰ μὲν ταῦτα, ἀνάγκη δὲ σώματα ἐν 31
αὐτοῖς ἔχειν, ταὐτὸ συμβήσεται πάλιν.

Εἴ τις, φησί, μὴ λέγοι πόρους δι' ὧν τὸ ποιεῖν καὶ τὸ πάσχειν ἢ τὸ
ὁρᾶν γίνεται, κενὰ δὲ ταῦτα λέγοι εἶναι πλήρη σωμάτων, τὰ αὐτὰ συμβή- 10
σεται ἅπερ καὶ ἐπὶ τῶν πόρων συνέβαινεν. τί οὖν διαφέρουσι τῶν πόρων;
ὅτι οἱ μὲν πόροι οὐδέποτε κενοὶ σώματος πεφύκασιν εἶναι, τὸ μέντοι
κενὸν καὶ πλῆρες ⟨καὶ οὐ πλῆρες⟩, ᾗ πέφυκέ ποτε καθ' αὑτὸ ὑφίστασθαι.
εἰ δέ τις εἴποι εἶναι ἐν τοῖς σώμασι τοῖς ἐν τοῖς κενοῖς πόρους τινὰς
μεταξὺ ἢ κενὰ ἕτερα εἶναι, πάλιν περὶ ἐκείνων τὰ αὐτὰ ἀπορήσομεν,
πότερον ὄντων ἐν αὐτοῖς ἑτέρων σωμάτων διιᾶσιν αὐτὰ αἱ ὄψεις ἢ οὔ,
καὶ πάλιν τὰ αὐτὰ συναχθήσεται. εἰ δέ τις εἴποι μικρὰ εἶναι τὰ μεταξὺ 45
κενὰ ὡς μὴ δύνασθαι σῶμά τι δέξασθαι, πρῶτον μὲν οὐδὲ αἱ ὄψεις διελεύ-
σονται δι' ἐκείνων σώματά γε οὖσαι (ὥστε μάτην ἔσονται), ἔπειτα, φησίν,
εἴ γε ὅλως πέφυκε τὸ κενὸν ὑφίστασθαι καθ' αὑτό, ἄλογον καὶ ἀποκληρω-
τικὸν μικρὸν μὲν κενὸν ὑποτίθεσθαι, μέγα δὲ μή. τί γάρ ἐστιν ἄλλο τὸ
κενόν, φησίν, ἢ τόπος ἐστερημένος σώματος; εἶτα ἀκόλουθον ὂν ἐπαγαγεῖν
'ὥστε παντὶ κενῷ ἴσον ἔσται σῶμα', αὐτὸς ἀντιστρέψας εἶπεν ὥστε
παντὶ σώματι τὸν ὄγκον ἴσον ἔσται κενόν· οὕτω γὰρ ὃ βούλεται 50
κατεσκεύασεν. εἰ γὰρ παντὶ σώματι ἴσον ἔσται κενόν, ἔστι δὲ μέγα σῶμα,
ἔστιν ἄρα καὶ κενὸν μέγα. τοῦτο δὲ ἴσως ἐποίησεν διὰ τὸ ἀντιστρέφειν
τό τε κενὸν πρὸς τὸ σῶμα τό τε σῶμα πρὸς τὸ κενόν. καὶ παντὶ σώματι
ἴσον ἔσται κενόν, ἀλλ' οὐ κεχωρισμένον ὅπερ ἐκεῖνοι ὑπετίθεντο, ἀλλ' ἔχον
ἐν ἑαυτῷ τὸ σῶμα. οὐ παντὶ δὲ κενῷ ἀνάγκη ἴσον εἶναι σῶμα· τί γὰρ
εἴ τις ὑπόθοιτο εἶναι μὲν κενόν, καὶ τοῦτο τόπον εἶναι ἐστερημένον σώμα-
τος, μὴ μέντοι δέχεσθαί ποτε σῶμα; οὗτος μὲν οὖν οὐκ | ἀναγκαῖος 41r
ὁ λόγος, τῷ δὲ ἀποκληρωτικὸν εἶναι τὸν λόγον, ἐλέγχοιτο ἂν μᾶλλον·
τίς γὰρ ἡ ἀποκλήρωσις μικροῦ ὄντος κενοῦ μὴ καὶ μέγα εἶναι;

---

2 πλῆρες GT 3 εἰ καὶ κενὰ a Ar. (praeter cod. E) 3. 4 ἔχειν ἐν αὐτοῖς Z 4 ταὐτὸ] τοῦτο RZ 5 λέγει a 6 κενὰ] κατὰ Z λέγει a: εἶναι λέγει tr. Z 9 καὶ πλῆρες καὶ οὐ πλῆρες scripsi: καὶ πλῆρες libri (praeter a qui καὶ πλῆρες καὶ κενόν, et F qui οὐ πλῆρες) 9 ᾗ] ἢ RF 11 ἢ κενὰ ἢ ἕτερα GT εἶναι om. aF 12 διίασιν Za 14 σῶμά τι scripsi pro σώματι: σώματα a (et F) 15 οὖσα a 16 ὅλως RZ: ὁ λόγος GT: om. a 17 γὰρ ἄλλο ἐστὶ Z 19 ὥστε — εἶπεν RZ: om. GT: ὅτι οὔτε κενὸν οὔτε πόροι εἰσίν, ὁ δὲ ἐπήγαγεν suppleverat a 19. 20 ὥστε δηλονότι παντὶ a Ar. 20 καὶ οὕτω γὰρ a 21. 24 ἔστι δὲ μέγα — ἔσται κενόν om. GT 23 παντὶ RZ: παντὶ γοῦν a 24 ὑποτίθεντο T 26 ὑποθοῖτο G: ὑπέθου τὸ R 27 fort. οὕτως 29. p. 181,3 μέγα εἶναι. εἶτα ἐπαναλαμβάνει τὸν λόγον καὶ ἀκριβέστερον ἐκτίθεται, περίεργον ὅλως λέγων τὸ πόρους ποιεῖν. εἰ γάρ φησι μὴ a

p. 326ᵇ21 Ὅλως δὲ τὸ πόρους ποιεῖν περίεργον. 41r

Ἐπαναλαμβάνει τὸν λόγον καὶ ἀκριβέστερον ἐκτίθεται. εἰ οὖν, φησί, μὴ δυνατὸν ἔξωθεν ἁπτόμενον ποιεῖν, οὐδὲ διὰ τῶν πόρων ποιήσει· μόνον γὰρ εἰσελεύσεται [τε] πάσχον, δράσει δὲ οὐδὲν εἰς τὰ παρακείμενα τοῖς πόροις σώματα, εἴ γε μὴ δυνατὸν τῷ ἅπτεσθαι ποιεῖν. εἰ δὲ εἰσελθὸν καὶ ἁψάμενον ἐποίησεν, κἂν μὴ πόροι ὦσι, τῇ ἁφῇ ποιήσειεν ἄν. εἰ δέ τις εἴποι ὅτι 'ἀλλὰ χρεία τῶν πόρων πρὸς τὸ καὶ τὸ βάθος παθεῖν', ἴστω μηδὲν πρὸς τὴν νῦν ὑπόθεσιν λέγων. οὐδὲ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον, εἰ μηδαμῇ μηδαμῶς διὰ πόρων εἴσεισι τὸ ποιοῦν. εἴσεισι γοῦν καὶ διὰ στόματος καὶ διὰ γαστρός καὶ διὰ τῶν λοιπῶν φυσικῶν ὄντων πόρων, ἀλλ' οὐχὶ πρὸς τὸ ποιεῖν οἱ πόροι συμβάλλονται ἐνταῦθα, ἀλλὰ πρὸς τὸ πλησιάσαι τὸ ποιοῦν τῷ πάσχοντι· αὐτὸ τὸ ποιεῖν γίνεται διὰ τῆς ἁφῆς. οὕτως κἄν τις λέγοι δεῖσθαι πόρων πρὸς τὸ παθεῖν τὸ βάθος, οὐ τοὺς πόρους αἰτίους φήσειεν εἶναι τοῦ ποιεῖν τὸ ποιοῦν, ἀλλὰ μόνον αἰτίους τοῦ θιγγάνειν ἀλλήλων τὸ ποιοῦν καὶ τὸ πάσχον.

p. 326ᵇ24 Τῶν πρὸς ἄλληλα τοῦτον τὸν τρόπον πεφυκότων.

Τουτέστι ποιεῖν καὶ πάσχειν.

p. 326ᵇ24 Ὅτι μὲν οὖν οὕτως λέγειν τοὺς πόρους ὥς τινες ὑπολαμβάνουσιν, ἢ ψεῦδος ἢ μάταιον, φανερὸν ἐκ τούτων ἐστίν.

Οὕτως ἀντὶ τοῦ ἀφωρισμένους τινὰς καὶ ἐνεργείᾳ εἶναι πόρους ἐν τῷ σώματι, καὶ οἱονεὶ κεκεντημένα αὐτὰ εἶναι. οὐχ ἁπλῶς δὲ τὸ εἶναι πόρους ἀναιρεῖ (εἰσὶ γάρ, ὥσπερ εἴπομεν, ἔντερα φλέβες ἀρτηρίαι καὶ τὰ λοιπά), ἀλλ', ὡς εἶπον, τὸ κεκεντῆσθαι τὸ λοιπὸν σῶμα καὶ εἶναι πόρους ἀφανεῖς διὰ σμικρότητα δι' ὅλου τοῦ σώματος. ψεῦδος μὲν οὖν φησι τὴν τοιαύτην ὑπόθεσιν διὰ τὸ μὴ ὂν ὑποτίθεσθαι, μάταιον δὲ ὅτι εἰ καὶ ὑποθώμεθα εἶναι, οὐδὲν αὐτοῖς πρὸς τὸ ποιεῖν καὶ πάσχειν συντελέσουσιν, ὥσπερ ἐδείξαμεν.

---

4 τε GRT: τὸ Z: delevit a 11 ταῦτα pro ἐνταῦθα GT: item a qui traicit ταῦτα οἱ πόροι συμβάλλονται 12 αὐτὸ δὲ τὸ fort. recte (G)a: ὥστε τὸ F 13 οὕτω a κἄν F: οὐκ ἄν GRTZ: δὲ κἄν a 14 φησὶν αἰτίους εἶναι F 15 θιγάνειν R 16. 20 Τῶν πρὸς — ἀντὶ] τῷ δὲ πεφυκότων πρόσθες τὸ ποιεῖν καὶ πάσχειν. τὸ δὲ οὕτως, ἀντὶ a 21 οὐ γὰρ ἁπλῶς τὸ εἶναι τοὺς πόρους a 23 τὸ κεκτῆσθαι GT: τὸ κεντῆσθαι a 25 διὰ τὸ τὸ μὴ ὂν (G)a, fort. recte ματαίαν a εἰ om. GT: καὶ εἰ tr. R ὑποθοίμεθα a

p. 326b26 Διαιρετῶν δὲ ὄντων πάντῃ τῶν σωμάτων πόρους ποιεῖν 41r
γελοῖον· ἢ γὰρ διαιρετά, δύναται χωρίζεσθαι.

Εἰ καὶ πόρων ἔδει πρὸς τὸ ποιεῖν καὶ πάσχειν, γελοῖον ἦν, φησί, τὸ ἀφωρισμένους καὶ ἐνεργείᾳ ὑπάρχοντας ὑποτίθεσθαι πόρους. διαιρετῶν γὰρ ὄντων πάντῃ τῶν σωμάτων δύναται τὸ ποιοῦν τότε ποιεῖν ἑαυτῷ πόρον καὶ διαιρεῖν τὸ σῶμα, ὅταν ἅψηται καὶ ποιεῖν μέλλῃ. ὥστε οὐ χρεία ἀφωρισμένων τινῶν πόρων.

p. 326b29 Τίνα δὲ τρόπον ὑπάρχει τοῖς οὖσι γεννᾶν καὶ ποιεῖν καὶ πάσχειν, λέγωμεν λαβόντες ἀρχὴν τὴν πολλάκις εἰρημένην.

Ἐλέγξας τὰς ὑποθέσεις δι' ὧν οἱ πρότεροι τὸ ποιεῖν καὶ πάσχειν ὑπετίθεντο, βούλεται τὴν ἀληθῆ λοιπὸν ἐκθέσθαι δόξαν, πῶς γίνεται τὸ ποιεῖν καὶ τὸ πάσχειν. δεῖ δέ, φησί, τὴν πολλάκις ἡμῖν ἀρχὴν εἰρημένην καὶ νῦν προϋποθέσθαι, λέγει δὲ τὸ δυνάμει καὶ ἐνεργείᾳ. τῷ γὰρ ὄντι, ὡς ἐν τῇ Φυσικῇ αὐτὸς εἴρηκεν, 'αὕτη ὀφθεῖσ' ἂν ἡ φύσις πάσας ἡμῖν ἔλυσε τὰς ἐν τοῖς φυσικοῖς ἀπορίας'. ἐπεὶ οὖν ἐστι, φησί, τὸ μὲν δυνάμει τοιοῦτον τὸ δὲ ἐνεργείᾳ, οἷον θερμὸν μὲν δυνάμει τὸ ὕδωρ ἐνεργείᾳ δὲ τὸ πῦρ, ἐπειδὴ τὸ φυσικῶς ποιοῦν ἐξομοιοῦν ἑαυτῷ βούλεται τὸ πάσχον, ὅταν τὸ ποιητικὸν τὸ ἐνεργείᾳ ὂν προσπελάσῃ καὶ ἅπτηται τοῦ δυνάμει ὄντος, τουτέστι τοῦ παθητικοῦ, μεταβάλλει τὸ ἐν αὐτῷ δυνάμει εἰς τὸ ἐνεργείᾳ. ἀνάγκη οὖν πᾶσα ἅπτεσθαι τὸ ποιητικὸν τοῦ παθητικοῦ ἢ ἀμέσως ἢ διὰ μέσου τινός. ὅταν τὸ μέσον τοιοῦτον ᾖ ὡς δύνασθαι καὶ ποιεῖν καὶ πάσχειν, πάσχειν μὲν ὑπὸ τοῦ ποιοῦντος δρᾶν δὲ καὶ αὐτὸ εἰς τὸ πάσχον, οἷόν ἐστιν ὁ ἀήρ· οὐ γὰρ ἀμέσως ὑπὸ τοῦ πυρὸς ἐν τοῖς βαλανείοις θερμαινόμεθα, ἀλλὰ θερμαίνει μὲν τὸ πῦρ τὸν ἀέρα, ἡμᾶς δὲ ὁ ἀήρ. οὐ χρεία οὖν πόρων πρὸς τὸ ποιεῖν καὶ τὸ πάσχειν, ἀλλὰ μόνον τοῦ θίγειν ἀλλήλων ταῦτα, εἰ μή τις, φησί, πόρους εἴποι τὰ εὐπαθέστερα μόρια τῶν σωμάτων, ὥσπερ ἐπὶ τῶν μετάλλων συμβαίνει. εἰσὶ γὰρ φλέβες τινὲς ἐν τοῖς μετάλλοις διήκουσαι δι' ὅλου, οἷον ἐν τοῖς μαρμάροις, εἰ λευκὸν εἴη, μέλαιναί τινες ἢ ἕτεραι τῷ χρώματι, δηλονότι διὰ τὸ ἑτέρας τινὸς εἶναι κράσεως καὶ ἢ εὐπαθέστερα εἶναι τὰ μόρια ταῦτα ἢ δυσπαθέστερα. οὕτως οὖν, φησίν, οὐδὲν θαυμαστὸν καὶ ἐν τοῖς πάσχουσιν εἶναί τινα τοιαῦτα μόρια δι' ὅλου διήκοντα εὐπαθέστερα, καὶ ταῦτα μᾶλλον πάσχειν

1 lemma om. et pergit ἀμέλει εἰ καὶ πόρων ἔδει φησὶ πρὸς a 3 ἦν, φησί] ἂν ἦν a 6 μέλῃ GTZ 8 τινὰ δὲ a τὸ γεννᾶν R; cf. p. 184,7 9 λέγομεν Ra 13 λέγειν (G)a 14 Φυσικῇ A 8 p. 191b33 αὕτη Ar. (cf. Philop. Phys. p. 182,2): αὐτὴν R: αὐτῇ coni. ὀφθεῖσ' ἂν scripsi: ὀφθεῖσον GR: ὀφθεῖσα* T: ὀφθεῖσα Za: ἂν ὀφθεῖσα Ar. φύσις] ὑπόθεσις a 14. 15 πάσας — ἀπορίας] ἔλυσεν αὐτῶν πᾶσαν τὴν ἄγνοιαν Ar. 15 φησὶν ἐστὶ Z 16 τοιοῦτο GTa 17 ἐπειδὴ τὸ] τὸ δὲ a 18 ἅψηται aF 23 μελανείοις GT 25 τὸ alterum om. GTa 26 εἴπῃ a 27 μετάλων GT et mox μετάλοις T¹ 30 καὶ om. GTa ταῦτα] τινὰ R¹

ἁπτομένου τοῦ ποιοῦντος. εἴ τις οὖν, φησί, τούτους ἀξιοῖ καλεῖν 41r
πόρους, καλείτω.

Ἀποροῦσι δέ τινες ἐπὶ τούτοις, τί οὖν οὐκ εἰσὶν οὐδαμῇ οὐδαμῶς ἐν τῷ σώματι πόροι ἀφωρισμένοι. πόθεν οὖν αἱ καθ' ἡμέραν διαφορήσεις τῶν σωμάτων ἀδήλως γίνονται; πόθεν οἱ ἱδρῶτες διιᾶσι; πῶς δέ φαμεν ἀλείμματά τινα ἀραιωτικὰ εἶναι ἢ πυκνωτικὰ τῶν σωμάτων; φασὶν οὖν πρὸς τοῦτο ἀπολογούμενοι, ὅτι τὸ μὲν μανότερα ἢ πυκνότερα γίνεσθαι τὰ σώματα διά τινων ἀλειμμάτων, οὐχ οὕτω δεῖ νομίζειν μανοῦσθαι, ὡς ὁ 45
ἱμὰς ἢ τὸ ἔριον, τῷ διαστέλλεσθαι καὶ κενάς τινας χώρας μεταξὺ ποιεῖν, ἀλλ' ὥσπερ τὸ ὕδωρ μανούμενον ποιεῖ τὸν ἀέρα οὐ τῷ εἰς μικρὰ κατακερματίζεσθαι καὶ διαλαμβάνειν μεταξὺ κενά, ἀλλὰ τῷ εἰς λεπτομερεστέραν οὐσίαν μεταβάλλειν, οὕτω καὶ τὰ σώματα ἀραιοῦται ὁμαλῶς ὅλα δι' ὅλων λεπτομερέστερα γινόμενα. τοῦτο μὲν οὖν σαφές. τοὺς δὲ ἱδρῶτας καὶ τὰς διαφορήσεις οὐκ ἀνάγκη, φασί, διὰ πόρων γίνεσθαι. τὴν γὰρ περιττὴν καὶ ἄχρηστον ὑγρότητα τῇ ἐκκριτικῇ δυνάμει ἀποκρίνει ἡ φύσις, οὐ διά 50
τινων πόρων, ἀλλὰ κατὰ συνέχειαν τέγγουσα ἄλλο ἐξ ἄλλου μόριον, καὶ οὕτως εἰς τὴν ἐπιφάνειαν ἀποκρίνουσα τὸ ὑγρόν. ὥσπερ γάρ, φασί, τέγγεται τὸ λίνον, οὐκ ἐν τοῖς κενοῖς μόνον παρακειμένης τῆς τοῦ ὕδατος οὐσίας, ἀλλὰ καὶ αὐτῆς τῆς τοῦ λίνου οὐσίας διανθείσης, οὐ διά τινων πόρων (συνέβαινε γὰρ ὅλον εἶναι πόρον), οὕτω δεῖ νομίζειν καὶ ἐπὶ τοῦ σώματος γίνεσθαι, ἐκ τοῦ βάθους κατὰ συνέχειαν ἄλλο ἐξ ἄλλου διαινόμενον μόριον οὕτως εἰς τὴν ἐπιφάνειαν ἀποκρίνειν τὸ ὑγρόν. οὗτος δὲ ὁ λόγος πιθανὸς μέν ἐστιν, | ἀληθὴς δὲ οὐδαμῶς. εἰ μὲν γὰρ ποιότης μόνον ἐκ τοῦ 41v
βάθους ἀπεκρίνετο, εἶχεν ἂν λόγον τὸ λεγόμενον· εἰ δὲ μὴ μόνον ποιότης ἀλλὰ καὶ οὐσία τις, οἷον οἱ ἱδρῶτες ἢ οἱ ἀτμοί, δυοῖν ἀνάγκη θάτερον, ἢ σῶμα διὰ σώματος χωρεῖν ἢ διά τινων πόρων ἀποκρίνεσθαι. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τοῦ λίνου ἐροῦμεν· εἰ γὰρ δίεισι τὸ ὕδωρ εἰς τὴν τοῦ λίνου οὐσίαν μὴ διά τινων πόρων, σῶμα διὰ σώματος ἐχώρησεν. ἢ οὖν οὐδὲ ὅλως ἡ οὐσία αὐτὴ τοῦ λίνου διαίνεται, ἀλλὰ μόνον τοῦ ὑγροῦ παράθεσίς 5
ἐστιν, ἢ εἰ διαίνεται, δεῖ νομίζειν πάσχειν τι τὴν οὐσίαν τῇ παραθέσει τοῦ ὑγροῦ καὶ μεταβάλλειν κατὰ ποιότητα, οὐ τῆς οὐσίας αὐτῆς τοῦ ὕδατος εἰσιούσης· ἀδύνατον γάρ. μήποτε δὲ περὶ τὰς λεπτὰς ἶνας περιχεῖται πάντῃ τὸ ὑγρὸν οὐκ εἰς τὸ βάθος τῆς οὐσίας χωροῦν, καὶ διὰ τὴν λεπτομερεστάτην παράθεσιν δοκεῖ διὰ τῆς οὐσίας κεχωρηκέναι, ὥσπερ καὶ ἐπὶ τῶν λεπτομερεστάτων ξηρίων λανθάνει σχεδὸν τῶν διαφόρων εἰδῶν ἡ

---

1 τούτους a et Z (qui traicit ἀξιοῖ τούτους): τούτοις cett. 5 διίασι libri praeter R 7 μανώτερα GTa πυκνώτερα Ga 11 τῷ] τὸ GT λεπτομενεστέραν (-μενέστερα R¹; post hoc γινόμενα expunctum) R 13 λεπτομενέστερα R: λεπτομερεστέρας a 14 φησί GT 16 κατά] καὶ Z 17 φησι libri 18 λῖνον R: λίνιον GT παρακειμένοις R¹: περικειμένης Z 20 γὰρ om. add. T² 21 τοῦ om. Z 24 ἀπεκρίνατο GT¹ 25 prius ἢ om. a ἀτμοὶ R δυεῖν Z 26 χωρήσειν Z 28 οὖν om. a 30 εἰ om. GT νομάζειν G περιθέσει Z 32 περιέχεται a 33 καὶ διὰ] διὰ δὲ a

παράθεσις. ἀλλ' οὐδ' ἐπειδὴ διὰ πόρων αἱ διαφορήσεις γίνονται, ἀνάγκη 41v
ἀφωρισμένους εἶναί τινας ἐν τοῖς σώμασι πόρους, ἀλλ', ὡς εἶπεν ὁ Ἀρι-
στοτέλης, "διαιρετῶν ὄντων πάντῃ τῶν σωμάτων" δεῖ νομίζειν ἐν ταῖς 11
διαφορήσεσι διαιρεῖσθαι τὰ σώματα καὶ πάλιν μετὰ τὴν διαφόρησιν συμ-
5 φύεσθαι. οὐκ ἀνάγκη δὲ ἅμα ἐκ παντὸς μορίου διαφόρησιν γίνεσθαι, ἵνα
οὕτως ὅλον διαιρεῖσθαι νομίσωμεν, ἀλλὰ ἄλλοτε ἀπ' ἄλλου.

Τίνα δὲ τρόπον τοῖς οὖσιν ὑπάρχει τὸ γεννᾶν καὶ ποιεῖν.
γεννᾶν μὲν ἐπὶ τῆς κατ' οὐσίαν μεταβολῆς, ποιεῖν δὲ ἐπὶ τῆς κατὰ ποιότητα.

p. 326b31 Πέφυκεν οὐ τῇ μὲν τῇ δὲ οὐ πάσχειν, ἀλλὰ πάντῃ καθ' 15
10 ὅσον ἐστὶ τοιοῦτον.

Τουτέστι καθ' ὃ δυνάμει ἐστί τι, οἷον θερμὸν ἢ ψυχρόν· καθ' ὅλον
γὰρ δυνάμει ὂν καθ' ὅλον καὶ πάσχειν πέφυκεν. μᾶλλον δέ, φησί, καὶ
ἧττόν ἐστι παθητικὸν τὸ μᾶλλον ἢ ἧττον ὂν δυνάμει· τὸ γὰρ μᾶλλον
δυνάμει θερμὸν μᾶλλον θερμαίνεται ὑπὸ τοῦ ἐνεργείᾳ θερμοῦ, τὸ δ' ἧττον
15 οὐχ οὕτως.

p. 326b34 Καὶ ταύτῃ πόρους ἄν τις λέγοι μᾶλλον.

Ταύτῃ, τῷ τινὰ τῶν μορίων μᾶλλον εἶναι παθητικὰ τῶν λοιπῶν,
ἵνα τὰ εὐπαθέστερά τις τῶν μορίων καταχρώμενος καλοίη πόρους. ὅτι
δέ ἐστιν ἐν τοῖς σώμασιν ἄλλα ἄλλων εὐπαθέστερα μόρια, δεικνύουσιν αἱ 20
20 ἐν ταῖς μετάλλοις διατείνουσαι φλέβες, εὐπαθέστεραι πολλάκις οὖσαι τῶν
λοιπῶν, ἴσως δὲ καὶ δυσπαθέστεραι ἁπλῶς, ὅτι ἐστὶν ἀνωμαλία ἐν τοῖς
τούτων μορίοις τοῦ ἧττον πάσχειν ἢ μᾶλλον.

p. 327a1 Συμφυὲς μὲν οὖν ἕκαστον καὶ ἓν ὂν ἀπαθές. ὁμοίως
δὲ καὶ μὴ διιγγάνοντα μήτε αὐτῶν μήτ' ἄλλων, ἃ ποιεῖν πέφυκε 23
25 καὶ πάσχειν.

Οὔτε, φησί, τοῦ συνεχοῦς τὰ μόρια ποιεῖν πέφυκεν εἰς ἄλληλα 30
οὔτε τὰ πάντῃ διῃρημένα καὶ ἀπέχοντα, ἀλλὰ δεῖ τὰ ποιοῦντα καὶ τὰ
πάσχοντα διῃρῆσθαι μὲν ἀλλήλων, ἅπτεσθαι δὲ ἢ ἀμέσως ἢ διά τινων

1 περίθεσις Z 2 τινὰς εἶναι Z 2. 3 Ἀριστοτέλης c. 8 p. 326b26 6 ὅλον οὕτως Z ἀπ' RZ: ὑπ' GTa 7. 8 τίνα — γεννᾶν μὲν] ἰστέον δὲ ὅτι τὸ μὲν γεννᾶν a, qui mox τὸ δὲ ποιεῖν et ποιότητα τάττει 9 τὸ δὲ πέφυκεν et 10. 11 τοιοῦτον. φησὶ, τουτέστι a 9 οὐ libri 12 καθ' ὅλον καὶ] καὶ καθ' ὅλου Z 12. 14 μᾶλλον δέ — μᾶλλον θερμαίνεται] ἀλλὰ δὴ καὶ τὸ μᾶλλον δυνάμει θερμὸν ὄν, μᾶλλον φησὶ θερμαίνεται a 15. 18 οὐχ οὕτως θερμαίνεται. καὶ ταύτῃ δὲ πόρους ἄν τις λέγοι μᾶλλον, ἔνθα δηλονότι τὰ μόρια μᾶλλον εἰσὶ παθητικὰ τῶν λοιπῶν. ὡς ἂν τὰ εὐπαθέστερά a 16 ταύτῃ τῷ (τὸ R) τινὰ τῶν RZ: θερμαίνεται τῶν GT 20 μετάλλοις T¹ 22 τοῦ] τῷ a ἢ om. Z 23 ἓν ὂν Za: ἑνὸν GRT 24 διιγάνοντα R 28 διαιρεῖσθαι GT ἢ prius om. GT

μέσων, τῶν μέσων τοιούτων ὄντων ὥστε πεφυκέναι καὶ ποιεῖν καὶ πάσχειν, 41v
πάσχειν μὲν ὑπὸ τοῦ ἐνεργείᾳ ποιεῖν δὲ εἰς τὸ δυνάμει τοιοῦτον. σαφῶς
δὲ τίθησι τὰ παραδείγματα.

p. 327a6 Τὸ δὲ τῇ μὲν οἴεσθαι πάσχειν τῇ δὲ μή, διορίσαντας
5 ἐν ἀρχῇ τοῦτο λεκτέον.

Ἐπειδὴ εἶπεν ὅτι τὸ δυνάμει τοιοῦτον "πέφυκεν οὐ τῇ μὲν τῇ δὲ οὐ
πάσχειν, ἀλλὰ πάντῃ καθ' ὅσον ἐστὶ τοιοῦτον", νῦν βούλεται εἰπεῖν ποίᾳ 35
ὑποθέσει ἀκολουθεῖ τὸ μὴ εἶναι πάντῃ παθητικὸν τὸ σῶμα, ἀλλὰ τῇ μὲν
τῇ δὲ οὔ. εἰ γὰρ μὴ πάντῃ, φησί, διαιρετὸν τὸ σῶμα, ἀλλ' ἔστιν ἄτομά
10 τινα μεγέθη ἢ στερεὰ ἢ ἐπίπεδα, οὐκ ἂν εἴη πάντῃ παθητικὸν οὐδὲν
τῶν σωμάτων, τῶν συνθέτων δηλονότι, ἀλλ' οὐδὲ συνεχές· οὐ γὰρ δὴ
καὶ κατὰ τὰ ἄτομα μόρια πείσεται ἀπαθῆ τε ὄντα καὶ ἀδιαίρετα. διὰ τοῦτο
δὲ οὐδὲ συνεχές, ἐπειδὴ μηδὲ συμφύεσθαι τὰ ἀδιαίρετα δύναται (οὕτω
γὰρ ἂν καὶ διαιρετὰ ἂν ἦν), ἀλλὰ μόνον παράκεινται ἀλλήλοις. ταύτῃ μὲν
15 οὖν τῇ ὑποθέσει ἀκολουθήσει τὸ μὴ πάντῃ παθητικὰ εἶναι τὰ σώματα. 40
εἰ δὲ ψευδὴς αὕτη ἡ ὑπόθεσις, ἀληθὴς δὲ τὸ πάντῃ διαιρετὰ εἶναι τὰ
σώματα, οὐδὲν διαφέρει, φησί, τὸ ἐνεργείᾳ ποιεῖν διῃρημένα εἶναι τὰ σώ-
ματα ἁπτόμενα δὲ ἀλλήλων, ὥσπερ ἔλεγε Πλάτων (ἅπτεσθαι γὰρ ἀλλήλων
τὰ ἐπίπεδα καὶ διὰ τῶν ἁφῶν γίνεσθαι τὸ ποιεῖν καὶ τὸ πάσχειν), ἢ
20 ἐνεργείᾳ μὲν μὴ διῃρῆσθαι δυνάμει δέ· τὸ γὰρ δυνάμενον διαιρεθῆναι
διαιρεθήσεται παρόντος τοῦ διαιροῦντος. ὥστε μάταιον καὶ περιττὸν πρὸς
τὸ ποιεῖν καὶ τὸ πάσχειν τὸ προϋποτίθεσθαι ἐνεργείᾳ διῃρῆσθαι τὰ σώματα, 45
ἅπτεσθαι δὲ μόνον ἀλλήλων κατὰ τὰς διαιρέσεις.

p. 327a14 Ὅλως δὲ τὸ τοῦτον γίνεσθαι τὸν τρόπον μόνον σχιζο-
25 μένων τῶν σωμάτων ἄτοπον. |

Δείξας ὅτι εἰ καὶ διαιρουμένων τῶν σωμάτων ἐγίνετο τὸ ποιεῖν καὶ 42r
τὸ πάσχειν, ὥσπερ δοκεῖ λέγειν ὁ Πλάτων, διὰ τῶν ἁφῶν λέγων γίνεσθαι
διῃρημένων τῶν σωμάτων καὶ ἁπτομένων, εἴ γε πάντῃ διαιρετὸν ὂν τὸ
σῶμα ἐν τῷ πάσχειν διαιρεθήσεται καὶ οὐκ ἀνάγκη καὶ πρὸ τοῦ πάθους
30 ἐνεργείᾳ διῃρῆσθαι, νῦν δείκνυσιν ὅτι ὅλως τὸ οὕτως ὑποτίθεσθαι σχιζο-
μένων τῶν σωμάτων γίνεσθαι τὸ ποιεῖν καὶ τὸ πάσχειν ἄλογον. ἀναιρεῖ 5

---

2 μὲν οὖν Z 4 lemma om. hic et pergit ἐπεὶ δὲ εἶπεν a 6 οὐ libri 8 παθητὸν libri 9 γὰρ] δὴ a 10 παθητικὸν πάντῃ a 10. 11 οὐδὲν τῶν συνθέτων σωμάτων, ἀλλ' a 11 οὐδὲν G 13 δὲ om. Z 14 ἂν prius om. a, alterum om. Z διαιρετὰ GTa: ἀδιαίρετα RZ περίκειται Z 15 τοῦ μὴ GT 16 ἡ om. Z εἶναι διαιρετὰ RT τὰ om. add. T² 17 fort. διῃρημένα ⟨μὲν⟩ 18 Πλάτων] πάντων T 19 ἁφανῶν R¹ 22 διαιρεῖσθαι a 24 τούτων GT τὸν τρόπον γίνεσθαι a μόνων R: om. a, at cf. Ar. codd. EH 24. 25 σχιζομένων a: σχηματιζομένων cett. 27 γίνεσθαι λέγων Z 28 ante εἴ γε lacuna statuenda 30. 31 σχηματιζομένων GT

γάρ, φησίν, οὗτος ὁ λόγος ἀλλοίωσιν. πρῶτον μὲν γὰρ ὅτι μένοντος 42r
συνεχοῦς τοῦ σώματος καὶ μηδαμῶς διαίρεσιν ὑπομένοντος γίνεται κατὰ
ποιότητα μεταβολή, ὡς ἐπὶ τῆς πήξεως τοῦ γάλακτος καὶ τοῦ ὕδατος.
οὔτε γὰρ διαιρεθὲν τὸ ὕδωρ ἢ τὸ γάλα ἐπάγη, οὔτε κατὰ τὰς Δημοκρίτου
5 δόξας τροπὴν πεπονθὸς ἢ διαθιγήν, τοῦτο δέ ἐστι μετάταξιν ἢ μετάθεσιν
τῶν μορίων, ἀλλ' οὐδὲ τῷ ἐκκριθῆναι τινὰς ἀτόμους, λέγω δὴ τὰς ὑγρό-
τητος ἐμποιητικάς, καὶ ἐναπομεῖναι τὰς σκληράς. πρὶν γὰρ παγῇ τὸ ὕδωρ, 10
ὅλον ἐστὶν ὁμοιομερές, μὴ ἔχον ἐν ἑαυτῷ μόρια σκληρὰ καὶ ἀδιαίρετα,
ἀλλ' ὅλον κατὰ πᾶν μόριον ὑγρόν ἐστιν· ὁμοίως δὲ καὶ ὅταν παγῇ, κατὰ
10 πᾶν πεπηγός ἐστιν. ἔτι δέ, φησίν, οὐδ' αὔξησιν οἷόν τε εἶναι καὶ
φθίσιν. οὐ μόνον ἀλλοίωσιν, φησίν, ἀναιροῦσιν οἱ ταῦτα λέγοντες, ἀλλὰ
καὶ αὔξησιν καὶ φθίσιν. εἰ γὰρ ἀληθὲς τὸ ἅπαν μόριον τοῦ αὐξομένου μεῖζον
γίνεσθαι καὶ τοῦ φθίνοντος ἔλαττον, ἀδύνατον τοῦτο ἐπὶ τῆς τούτων ὑπο-
θέσεως σωθῆναι. εἰ γὰρ προστιθεμένων τινῶν ἐν τοῖς πόροις ἢ ἐν τοῖς
15 κενοῖς ἢ ἐν ταῖς ἁφαῖς γίνεται ἡ αὔξησις, δῆλον ὅτι οὐ κατὰ πᾶν ηὐξηται 15
τὸ αὐξόμενον, ὥσπερ οὐδὲ εἰ ἐν δεξαμενῇ προστεθείη κατά τι μέρος ὕδωρ,
πλεῖον μὲν γεγενῆσθαι λέγεται, ηὐξῆσθαι δὲ οὔ.

p. 327a24 Καὶ μὴ πᾶν μεταβεβληκὸς ἢ μιχθέντος τινὸς ἢ καθ' αὑτὸ μεταβάλλοντος.

20 Μιχθέντος μὲν ὡς ἐπὶ τῆς τροφῆς (τῆς γὰρ τροφῆς ἐμμιχθείσης
καὶ μεταβληθείσης μεῖζον τὸ ὅλον γίνεται), καθ' αὑτὸ δὲ μεταβάλ-
λοντος ὡς ὅταν μεταβάλλῃ τὸ ὕδωρ εἰς ἀέρα· κἀνταῦθα γὰρ πᾶν μόριον
τοῦ ὕδατος μεῖζον γέγονε, τοῦτο δὲ οὐκ ἔστιν αὔξησις ἀλλὰ γένεσις. τοῦτο
δὲ εἶπε δεικνὺς ὅτι οὐδὲ γένεσιν σῴζειν δύνανται. εἰ γὰρ ἐξ ὕδατος ἀήρ,
25 γίνεται δὲ τῶν ἐν αὐτῷ τοῦ ἀέρος ἀτόμων ἐκκρινομένων, οὐκ ἔδει μείζονα 20
ὄγκον γίνεσθαι ἀέρος· νῦν δὲ γίνεται. ἢ τοίνυν ἀληθῶν οὐσῶν τῶν ὑπο-
θέσεων οὔτε ἀλλοίωσις οὔτε γένεσις σωθήσεται, ἢ εἰ ἔστι καὶ ἀλλοίωσις
καὶ γένεσις, ψευδεῖς αἱ ὑποθέσεις.

1 ἀναλλοίωσιν GT  γὰρ (post μὲν) om. a  5 διαθήγειν G: διαθηγὴν R et corr. T  6 τῷ] τὸ GT  6. 7 ὑγρότητας compend. R  7 ποιητικὰς a  8 αὐτῷ GT: αὐτῷ a  μορία a  10. 11 ἔτι—φθίσιν om. a  11 οὐ μόνον δὲ a  12 τὸ πᾶν a  16 δεξαμένη R  17 πλεῖον Fa: πλείω cett.  μὲν γὰρ a, fort. recte  γενέσθαι GTa  λύεται (pro λέγεται) Z  18. 20 omisso hic lemmate pergit μιχθέντος μὲν οὖν φησιν, ὡς ἐπὶ a  18 πᾶν GT: πάντη RZ  μιχθέντος Z: μιχθὲν GRT  19 μεταβαλλόντος (prius λ eras. T) GT; cf. Arist. codd.  21. 22 μεταβάλλοντος R: μετὰ τοῦ βάλλοντος Z: μεταβαλλόντος GT¹: μεταβαλόντος a et corr. T  22 μεταβάλη Za  23 γέγονε] γίνεται Ta  24 δύνανται a: δύναται cett.  24. 25 ἀὴρ γίνεται. τῶν ἐν om. Fa  25 ἐκκρινομένων ἀτόμων a  27 οὔτε γένεσις οὔτε ἀλλοίωσις Z  28. p. 187, 2 ὑποθέσεις. εἶτα ἐπαναλαμβάνων τὰ εἰρημένα, εἴρηται φησὶ τί τὸ γεννᾶν καὶ τὸ ποιεῖν. ἅπερ εἰ μὲν ἐπὶ οὐσίας ἄμφω ληφθείη a

p. 327a25 Ὅτι μὲν οὖν ἔστι τὸ γεννᾶν καὶ τὸ ποιεῖν. 42r

Γεννᾶν καὶ ποιεῖν εἰ μὲν ἐπὶ οὐσίας ληφθείη, τὸ αὐτό ἐστι τῷ μεταβάλλειν τὴν δυνάμει οὐσίαν εἰς ἐνεργείᾳ οὐσίαν· εἰ δὲ τὸ μὲν ἐπὶ οὐσίας ἔσται τὸ γεννᾶν, τὸ δὲ ποιεῖν ἐπὶ τῆς κατὰ ποιότητα μεταβολῆς, 25
5 τὸ δυνάμει ποιὸν μεταβαλλούσης εἰς ἐνέργειαν * * *

p. 327a26 Καὶ τὸ γίνεσθαί τε καὶ πάσχειν.

Τὸ ἀντίστροφον εἶπεν. εἰπὼν τὰ ποιητικὰ εἶπε καὶ τὰ παθητικά. γίνεσθαι οὖν ἐστι τὸ ἄγεσθαι ἐκ δυνάμει οὐσίας εἰς ἐνεργείᾳ οὐσίαν, πάσχειν δὲ τὸ ἀλλοιοῦσθαι κατὰ ποιότητα.

10 p. 327a27 Καὶ τίνα τρόπον ἐνδέχεται.

Ὅτι τῆς ὕλης τρεπομένης καθ' ὅλην αὐτὴν καὶ μεταβαλλούσης.

p. 327a28 Καὶ τίνα φασὶ μέν τινες οὐκ ἐνδέχεται δέ.

Φασὶ γὰρ τὴν γένεσιν καὶ τὴν φθορὰν συγκρίσει γίνεσθαι καὶ διακρίσει, τὸ δὲ ποιεῖν καὶ τὸ πάσχειν διὰ πόρων· δέδεικται δὲ ὅτι οὐκ 30
15 ἐνδέχεται.

p. 327a30 Λοιπὸν δεῖ θεωρῆσαι περὶ μίξεως κατὰ τὸν αὐτὸν τρόπον τῆς μεθόδου.

Τρία ἔφησε δεῖν προληφθῆναί τε καὶ διαρθρωθῆναι τοῦ περὶ τῆς τῶν στοιχείων εἰς ἄλληλα μεταβολῆς καὶ ἁπλῶς τοῦ περὶ γενέσεως καὶ φθορᾶς
20 λόγου, τί τέ ἐστιν ἁφὴ καὶ τί ποιεῖν καὶ πάσχειν καὶ ἔτι τί ἐστι μίξις. 40 εἰπὼν οὖν περὶ ἁφῆς καὶ περὶ τοῦ ποιεῖν καὶ πάσχειν, ἀκολούθως ἐπὶ τὸ τρίτον τῶν προτεθέντων μεταβέβηκεν, ἐπὶ τὸν περὶ μίξεως λόγον. μίξιν δέ φησιν ἐνταῦθα τὴν ἰδικωτέραν λεγομένην ἐπὶ τῆς κράσεως· καθολικωτέρα γὰρ ἡ μίξις καὶ κράσεως καὶ παραθέσεως καὶ τῶν λοιπῶν, λέγεται
25 μέντοι ἰδικώτερον μίξις καὶ ἡ κρᾶσις, περὶ ἧς ἐνταῦθα ποιεῖται τὸν λόγον. δεῖ δέ, φησί, πέντε τινὰ ζητῆσαι εἰς τὸν περὶ μίξεως λόγον, ἅπερ σαφῶς ἀπαριθμεῖται· τί τε γάρ ἐστι, φησίν, ἡ μίξις καὶ τί τὸ μικτόν, καὶ τίσιν ὑπάρχει τῶν ὄντων καὶ πῶς, καὶ πρὸς τούτοις, φησίν, εἰ ὅλως 45

---

2 τῷ scripsi: τὸ libri 3 τὴν] τῇ Z 5 lacunam signavi: ⟨εἴη αὐτὸ⟩ τὸ δυνάμει ποιὸν μεταβάλλειν εἰς ἐνέργειαν a, qui proximum lemma om. et pergit εἶτα εἰπὼν τὰ ποιητικὰ ἐπιφέρει καὶ τὰ παθητικὰ τὸ γίνεσθαι καὶ πάσχειν. γίνεσθαι μὲν οὖν ἐστι (v. 8) 6 γενέσθαι τε T 10 εἶτα καὶ τινα a 11 αὐτὴν (sic) libri: ἑαυτὴν a 12 pro lemmate inserit καὶ ὅτι ἓν (sic) τρόπον οἱ ἄλλοι φασὶν οὐκ ἐνδέχεται a φασὶ μὲν] φαμὲν R 16 δεῖ RZ: δὴ GT: δὲ a Ar. θεωρητέον a 20 τί τὸ ποιεῖν a, qui mox ἔτι om.

ἐστὶ μίξις, ὅπερ ἐστὶ καὶ πρῶτον τὸν προβλημάτων. ἀπορήσειε γὰρ ἄν τις 42r
μήποτε οὐδ' ὅλως ἐστὶ μίξις. ἀνάγκη γάρ, φησί, τὰ μιγνύμενα, ἐπειδὴ
τοὐλάχιστόν ἐστι δύο, ἢ ἀμφότερα σῴζεσθαι ἐν τῇ μίξει ἢ ἀμφότερα
φθείρεσθαι ἢ τὸ μὲν σῴζεσθαι τὸ δὲ φθείρεσθαι· καὶ οὐκ ἔστι ⟨τι⟩ παρὰ
5 ταῦτα. ἐὰν οὖν δειχθῇ ὅτι κατ' οὐδεμίαν τῶν ὑποθέσεων δύναται σῴζεσθαι
ἡ μίξις, μήποτε οὐδ' ὅλως ἐστίν. εἰ μὲν γὰρ ἀμφότερα σῴζοιντο, οὐκ ἂν
εἴη μίξις. τί γὰρ διαφέρει τῶν πρότερον; οὕτω γὰρ ἂν οὐδὲν μᾶλλον πρὶν 50
μιχθῇ μεμιγμένα ἂν ἦν ἢ μετὰ τὸ μιχθῆναι. εἰ δ' ἀμφότερα φθείρονται,
οὐδ' ἂν ὅλως μιγνοίτο· τὰ γὰρ μιγνύμενα δεῖ εἶναι, ἵνα καὶ μιγνύηται,
10 τὰ δὲ ἐφθαρμένα οὐκ ἔστιν. εἰ δὲ τὸ μὲν σῴζεται τὸ δὲ φθείρεται, οὐδ'
οὕτως ἂν εἴη μίξις· δεῖ μὲν γάρ, ὥσπερ εἶπον, εἶναι τὰ μιγνύμενα, ἐν-
ταῦθα δὲ τὸ μὲν ἔστι τὸ δὲ οὐκ ἔστι. καὶ ἄλλως ὁμοίως ἔχειν δεῖ τὰ μιγνύ-
μενα, ἐνταῦθα δὲ οὐχ ὁμοίως ἔχουσι τοῦ ἑτέρου φθαρέντος. αἱ μὲν οὖν
ἀπορίαι, αἳ ἀναιροῦσι τὴν μίξιν αὗται καὶ | τοιαῦταί εἰσιν. ἐπιλύεται δὲ 42v
15 τὰς ἀπορίας διὰ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ. ὄντων γάρ, φησί, τῶν μὲν
δυνάμει τῶν δὲ ἐνεργείᾳ, εἴη ἂν τὰ μιγνύμενα δυνάμει μὲν τὰ αὐτὰ ἐν τῇ
μίξει, ἐνεργείᾳ δὲ οὔ. ἔστι γὰρ ἐν τῷ κεκραμένῳ οἴνῳ δυνάμει καὶ τὸ
ὕδωρ καὶ ὁ οἶνος, δυνάμει δὲ οὐ κατὰ τὸ πρότερον, τὸ κατὰ τὴν ἐπιτη-
δειότητα λέγω, ὡς ἔστι τὸ ὕδωρ δυνάμει ἀήρ, ἀλλ' οὐδὲ ἁπλῶς κατὰ τὸ
20 δεύτερον, τὸ κατὰ τὴν ἕξιν μόνην λέγω, ὥσπερ ἔχει ὁ καθεύδων γεω- 5
μέτρης. ἀλλ' ὃν τρόπον ὁ μεθύων γεωμέτρης καὶ ἐπιχειρῶν γεωμετρεῖν
ἐνεργεῖ μὲν κατὰ τὴν ἕξιν, οὐκ εἰλικρινῶς δέ, οὕτως καὶ τὸ ὕδωρ καὶ ὁ
οἶνος ἔχει ἐν τῷ κράματι· ἑκάτερος γὰρ ἐν τῇ μίξει κεκολασμένως ἐνεργεῖ.
οὕτω μὲν οὖν δυνάμει ἀμφότερα σῴζεται, ἐνεργείᾳ δὲ οὐδέτερον οἷον ἦν
25 ἐξ ἀρχῆς· κεκόλασται γὰρ ἡ αὐτῶν εἰλικρινὴς ἐνέργεια, καὶ οὐκ ἔστιν
οἵαπερ ἦν πρὶν μιχθῆναι. οὕτως οὖν ἐκφευξόμεθα πάσας τὰς ἀπορίας.
οὔτε γὰρ ἀμφοτέρων ἁπλῶς σῳζομένων ἐστὶν ἡ μίξις οὔτε φθειρομένων 10
ἀμφοτέρων οὔτε τοῦ μὲν φθειρομένου τοῦ δὲ σῳζομένου, ἀλλ' ἕτερόν τι παρὰ
ταῦτά ἐστιν ἡ μίξις· σῳζομένων γὰρ ἀμφοτέρων δυνάμει, ὡς εἴρηται, ἐνεργείᾳ
30 δὲ οὐδετέρου. δέδεικται τοίνυν ὅτι ἔστι τι ἡ μίξις, τῶν ἀποριῶν λυθεισῶν
αἵτινες τὰ ἐναργῆ ἀναιρεῖν ἐδόκουν. ὅτι μὲν γὰρ μίξις ἐστίν, ἡ ἐνάργεια
ὁμολογεῖ, αἱ μέντοι φερόμεναι ἀπορίαι ἀμφιβάλλειν ἠνάγκαζον πρὸς τὰ
ἐναργῆ. λελυμένων οὖν τούτων, ἔχομεν ὅτι ἐστί τι ἡ μίξις.

Κατὰ τὸν αὐτὸν τρόπον τῆς μεθόδου. εἴωθε γὰρ ἀεὶ τὰς τῶν
35 παλαιῶν δόξας τιθέναι πρότερον καὶ διελέγχειν, ἐδόκει δέ, φησί, παρά τισι 15

---

2 γιγνόμενα a 3 εἰσὶ a 4 τι addidi 7. 8 prius ἂν om., alt. post πρὶν collocat a 8 ἢ] ἡ a φθείρεται (G)a 10 εἰ] ἡ (G)a τὸ μὲν] τῷ μὲν GT¹ 11 εἴπομεν R¹ 11. 12 ἐνταῦθα μὲν τὸ μέν GRT 13 ἔχει a 14 αἱ ἀναιροῦσαι GTa 17 κεκραμμένῳ GT 18 τὸ alterum om. add. T² 19 δυνάμει τὸ ὕδωρ GTa 20 ὁ καθεύδων (GTZ)a 21 ἀλλ'—γεωμέτρης om. GT 22 οὕτω a 22. 23 καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ Z 23 ἔχειν (G)a 25 εἰλικρινῶς R¹ ἐνεργεία libri praeter Z 26. 27 τὰς ἀπολογίας οὕτως γὰρ Z 31 ἐνεργῇ GZa ἐνέργεια GRTZ¹ 32 φθειρόμεναι GT: φυόμεναι a 33 τι om. Z 34 τὸ μὲν οὖν κατὰ τὸν αὐτὸν τρόπον φησίν, ἐπειδὴ εἴωθεν ἀεὶ a 35 δέ] γὰρ Z φασι a

μὴ εἶναι ἡ μίξις, οἳ καὶ ταῦτα διηπόρουν. ἢ καὶ κατὰ τὸν αὐτὸν τρόπον 42v
εἶπε προαποροῦντας, ὡς αὐτὸς ἀλλαχοῦ εἴρηκε, περὶ ὧν εὐπορεῖν δεῖ, ἤγουν
ζητοῦντα καὶ τὸ εἰ ἔστι καὶ τὸ τί ἐστι καὶ τὰ λοιπά.

p. 327a32 Καὶ τί τὸ μικτὸν καὶ τίσιν ὑπάρχει τῶν ὄντων.

Μήποτε ἐκ παραλλήλου ταῦτα εἴρηκε. μικτὸν γάρ ἐστι τὸ δυνάμενον
τὴν μίξιν καταδέξασθαι, τοιαῦτα δέ ἐστι καὶ οἷς ὑπάρχει ἡ μίξις. τὸ δὲ
καὶ πῶς ἀντὶ τοῦ τίνα τρόπον μίγνυται τὰ μιγνύμενα. ἔσχατον δὲ τίθησι
τὸ τῶν προβλημάτων πρῶτον, τὸ εἰ ἔστιν ὅλως ἡ μίξις, ἀλλ' ἐν τῇ κατα- 20
σκευῇ πρῶτον αὐτὸ ἀποδείκνυσιν.

p. 327b6 Οὗτος μὲν οὖν ὁ λόγος ἔοικε ζητεῖν διορίσαι τίνι διαφέρει μίξις γενέσεως καὶ φθορᾶς.

Ὁ λόγος, φησίν, ὁ διαπορῶν εἴτε σῳζομένων γίνεται ἡ μίξις εἴτε 30
φθειρομένων, ἔοικε ζητεῖν γενέσεώς τε καὶ φθορᾶς πρὸς μίξιν τίς ἡ διαφορά· φθειρομένων γὰρ ἢ ἀμφοτέρων ἢ θατέρου φθορὰ ἂν εἴη δηλονότι
καὶ γένεσις, ἀλλ' οὐ μίξις. τίς οὖν ἡ διαφορὰ μίξεως πρὸς φθορὰν καὶ
γένεσιν; σῳζομένων γὰρ πάλιν οὐχ οἷόν τε εἶναι μίξιν διὰ τὰ εἰρημένα.
εἰ οὖν ἔστιν ὅλως, φησί, μίξις, πάντως που διοίσει γενέσεως καὶ φθορᾶς.

p. 327b9 Ὥστε τούτων ὄντων φανερῶν τὰ διαπορηθέντα λύοιτ' ἄν.

Τούτων φησὶ "τίνι διαφέρει μίξις γενέσεως καὶ φθορᾶς"· εἰ γὰρ τοῦτο
εὑρεθείη, λελυμέναι ἂν εἶεν αἱ ἀπορίαι. 35

p. 327b10 Ἀλλὰ μὴν οὔτε τὴν ὅλην τῷ πυρὶ μεμῖχθαί φαμεν.

Εἰπὼν δεῖν διαφέρειν γένεσιν καὶ φθορὰν μίξεως, τοῦτο αὐτὸ βούλεται
δεῖξαι, ἅμα καὶ τὰ παραδείγματα τῶν ἀνωτέρω εἰρημένων τιθείς, ὅτι οὔτε
ἀμφοτέρων φθειρομένων ἡ μίξις οὔτε θατέρου οὔτε σῳζομένων ἀμφοτέρων.
ἀσαφῆ δὲ τὴν πρὸς τὰ ἄνω συνέχειαν ὁ "ἀλλά" σύνδεσμος ἐποίησε. δεῖ
οὖν οὕτως εἰπεῖν· 'οὔτε γὰρ τὴν ὅλην τῷ πυρὶ μεμῖχθαί φαμεν'. οὐ γὰρ
μίγνυται τῷ πυρὶ τὰ ξύλα, ἀλλὰ φθορὰ μέν ἐστι τῶν ξύλων γένεσις δὲ τοῦ
πυρός. τοῦτο δὲ παράδειγμα ἂν εἴη τοῦ ἑνὸς σῳζομένου τοῦ δὲ ἑτέρου 40
φθειρομένου.

---

1 ἡ μίξις] μίξιν a  ἢ καὶ om. Z: καὶ om. a  2 ὡσαύτως T  ἀλλαχοῦ] respici videtur Phys. Δ 1 p. 208a35 (cum Philop. comment. p. 498,8)  3 ζητοῦντας a  4 Καὶ τί] τὸ δὲ τί a  5 μήποτε et ταῦτα om. a  εἴρηται T  6 ἡ et mox καὶ om. Z  10 οὕτως compend. R  τίνι] τί a; at cf. Ar. cod. L  11 γενέσεώς τε καὶ GT  13. 14 διαφθορὰ R  14 γὰρ ἡ a  17 ἡ μίξις Z  18. 22 ὥστε τούτων φησὶ φανερῶν γενομένων, ἤγουν εὑρεθέντος τοῦ τὶ διαφέρει μίξις γενέσεως καὶ φθορᾶς, λελυμέναι ἂν εἶεν αἱ ἀπορίαι. εἰπὼν δὲ δεῖν a  18 λύοιντ' Arist.  21 οὔτε] item Ar. cod. E; cf. p. 190,8  μεμῖχθαι φαμὲν τῷ πυρὶ Z  22 αὐτὸ om. Z

p. 327ᵇ12 Οὔτε αὐτὴν αὑτῆς τοῖς μορίοις οὔτε τῷ πυρί. 42ᵛ

Τοῦτο παράδειγμα ἀμφοτέρων φθειρομένων. οὐδὲ γὰρ τὰ μόρια τῆς ὕλης τοῦ πυρὸς ἀλλήλοις μίγνυσθαι ἂν ἐν τῷ πυρὶ λέγοιτο, διὰ τὸ ἀποτελεῖσθαι ἐξ αὐτῶν μίαν φλόγα· ὡς γὰρ εἶπον, τῶν μὲν ξύλων ἐστὶ φθορὰ
5 τοῦ δὲ πυρὸς γένεσις, μίξις δὲ οὐδαμῶς. μόρια δὲ τῆς ὕλης τοῦ πυρός φησι τὰ πλείονα ξύλα. τὰ οὖν ξύλα, ἐξ ὧν τὸ πῦρ γίνεται, οὐ μίγνυται ἀλλήλοις ἐν τῇ φλογί, ἀλλὰ φθείρονται. τὸ δὲ οὔτε τῷ πυρὶ ὥσπερ οὐδὲ τῷ πυρὶ ἀκουστέον. εἶπε γὰρ ἤδη ὅτι "οὔτε τὴν ὕλην τῷ πυρὶ μεμῖχθαί φαμεν", ὥστε περιττὸν τὸ πάλιν τὸ αὐτὸ λέγειν, εἰ μή, ὡς εἶπον, ἐξακούεται
10 ὅτι οὐ μίγνυνται ἀλλήλοις τὰ ξύλα ὥσπερ οὐδὲ τῷ πυρί.

p. 327ᵇ13 Τὸν αὐτὸν δὲ τρόπον οὐδὲ τῷ σώματι τὴν τροφήν.

Ἔστι μὲν καὶ τοῦτο παράδειγμα τοῦ τὸ μὲν φθείρεσθαι τὸ δὲ σῴζεσθαι. ἴσως δὲ διακρῖναι θέλων καὶ τῆς αὐξήσεως τὴν μίξιν. ὥσπερ καὶ τῆς γενέσεως, ἐχρήσατο καὶ τούτῳ τῷ παραδείγματι.

15 p. 327ᵇ14 Οὐδὲ τὸ σχῆμα τῷ κηρῷ.

Τοῦτο τοῦ σῴζεσθαι ἀμφότερα παράδειγμα. σῴζεται γὰρ καὶ ὁ κηρὸς καὶ τὸ σχῆμα, ἀλλ' οὐκ ἄν τις εἴποι μίγνυσθαι τῷ κηρῷ τὸ σχῆμα· ἔστι γὰρ τὸ μὲν ὑποκείμενον τὸ δὲ εἶδος, οὐκ ἔστι δὲ τῶν μιγνυμένων τὸ μὲν εἶδος τὸ δὲ ὑποκείμενον. καθάπαξ οὖν οὐδὲν τῶν ἐν ὑποκειμένῳ
20 μίγνυσθαι λέγεται, οὔτε αἱ ἕξεις οὔτε τὰ πάθη, εἴτε ψυχικὰ εἶεν εἴτε σωματικά. εἴη δ' ἂν διὰ τούτων ἀλλοιώσεως διακρίνας τὴν μίξιν.

p. 327ᵇ17 Ἀλλὰ μὴν οὐδὲ τὸ λευκόν τε καὶ τὴν ἐπιστήμην ἐνδέχεται μιχθῆναι, οὐδ' ἄλλο τῶν μὴ χωριστῶν οὐδέν.

Ἔστι μὲν καὶ τοῦτο παράδειγμα τοῦ ἀμφότερα σῴζεσθαι. οὐδὲ γὰρ
25 ἐπειδὴ ἐν ἑνὶ καὶ τῷ αὐτῷ ἐστι ζῴῳ τό τε λευκὸν καὶ ἡ ἐπιστήμη μιγνυσθαι ἂν λέγοιντο· | σῴζονται γὰρ ἄμφω ἀπαθῆ ὑπ' ἀλλήλων. προσέθηκε 43ᵛ

---

1 Οὔτε] τὸ δὲ οὔτε a, qui οὔτε τῷ πυρί om. αὐτῆς (sic) GTZ: αὐτοῖς compendiose R: αὑτῇ a 2 Τοῦτο om. a 4 τὸ μὲν ξύλον Z 7 φλογῇ R¹ 7. 8 ὥσπερ οὐδὲν τῷ GT 8 γὰρ ἢ διότι οὔτε Z 9 εἰ] ἦν a ἐξακούεται R: ἐξακούετε Z: ἐξακούηται GTa 10 μίγνυται GTa 10. 12 πυρί. τὸ δὲ οὐδὲ τῷ σώματι τὴν τροφήν, παράδειγμά ἐστι τοῦ a 11 οὐδὲ] cf. Ar. codd. EL 13 θέλω et mox τοῦτο Z 15. 16 τὸ δὲ οὐδὲ τὸ σχῆμα τῷ κηρῷ, τοῦ σώζεσθαι a 15 οὐδὲ] cf. Ar. codd. τὸ] τῷ Z 17 εἴπη Z 19 οὐδὲν ex οὐδὲ T² ὑποκειμένων Z 20 μόγνυσθαι a 21 διὰ om. GTa 22. 24 τὸ δὲ οὐδὲ τὸ λευκὸν καὶ τὴν ἐπιστήμην, παράδειγμα a 22 τε GRTZ (om. a): γε Ar. 25 ἐπεὶ Z 26 ἀπαθῆ] τὰ πάθη a

δὲ καὶ τοῦτο τὸ παράδειγμα εἰς τὸ δεῖξαι ὅτι οὐκ ἂν μιγνύοιντο ταῦτα. 43r
κἂν ἐν ἑνὶ καὶ τῷ αὐτῷ ὑποκειμένῳ ᾖ τὰ μήτε ποιοῦντα μήτε πάσχοντα εἰς ἄλληλα μήτε χωριστὰ ὄντα. λάβοις δ' ἂν κυριώτερον ἐν ἑνὶ καὶ τῷ αὐτῷ ὑποκειμένῳ, ἐν ᾧ δύο πάθη, τὸ γλυκὺ καὶ τὸ ξανθὸν ἐν τῷ μέλιτι
5 ὄντα. ταῦτα οὖν οὐκ ἂν μίγνυσθαι λέγοιτο, σῳζόμενα τε ἄμφω καὶ μὴ χωριστὰ ὄντα καὶ καθ' αὑτὰ ὑποστῆναι δυνάμενα· δεῖ γὰρ τὰ μιγνύμενα 5
τοιαῦτα εἶναι. οὐδὲν οὖν τῶν μὴ πεφυκότων καθ' αὑτὰ ὑφίστασθαι μίγνυσθαι ἂν λέγοιτο, καὶ διὰ τοῦτο οὔτε ἡ ποιότης τῷ ὑποκειμένῳ μίγνυται (οὐ γὰρ χωριστὴ ἡ ποιότης), οὔτε τῇ ὕλῃ τὸ εἶδος· οὐδέτερον γὰρ χω-
10 ριστόν. ἔχεις δὲ ἐντεῦθεν ἕν τι χαρακτηριστικὸν ἰδίωμα τῶν μικτῶν, ἤτοι οἷς ὑπάρχει ἡ μίξις, τὸ δεῖν αὐτὰ δύνασθαι ὑποστῆναι καθ' αὑτά· ἐφεξῆς δὲ τελείως τὰ χαρακτηριστικὰ αὐτῶν ἐκθήσεται.

p. 327b22 Ἐπεὶ δ' ἐστὶ τὰ μὲν δυνάμει τὰ δ' ἐνεργείᾳ τῶν ὄντων. 10

Ἐντεῦθεν ἡ τῶν ἀποριῶν ἐπίλυσις. ἐπεὶ οὖν, φησίν, ἐστὶ τὸ δυνάμει 16
15 καὶ τὸ ἐνεργείᾳ, δυνατὸν καὶ εἶναί πως καὶ μὴ εἶναι τὰ μιχθέντα· τὸ γὰρ ἀποτελεσθὲν δυνάμει μέν ἐστιν ἑκάτερον ἐξ ὧν μέμικται, ἐνεργείᾳ δὲ οὐδέτερον. ὥστε λέλυνται αἱ ἀπορίαι, πῇ μὲν σῳζομένων τῶν μιχθέντων πῇ δὲ οὔ· τοῦτο γὰρ καὶ ἐβούλοντο αἱ ἀπορίαι, καὶ σῴζεσθαι αὐτὰ καὶ μὴ σῴζεσθαι.

20 p. 327b27 Φαίνεται δὲ τὰ μιγνύμενα πρότερόν τε ἐκ κεχωρισμένων συνιόντα καὶ δυνάμενα χωρίζεσθαι πάλιν.

Τούτοις, φησίν, ὑπάρχει ἡ μίξις, ἅτινα αὐτά τε καθ' ἑαυτὰ προϋ- 20
φέστηκε καὶ μετὰ τὴν μίξιν πάλιν χωρίζεσθαι πέφυκεν, οὐ τοῦτο δὲ ὅτι ἐνεργείᾳ ὑπάρχοντα ἐν τῷ πράγματι τὰ μιχθέντα, οὕτω πάλιν χωρίζεσθαι
25 δύναται (οὐκ ἂν γὰρ οὐδὲ μεμιγμένα ἦν, εἰ ἦν ἐνεργείᾳ ἔτι καὶ ἄνευ μεταβολῆς τινος), ἀλλ' ἢ τοῦτό φησιν ὅτι πέφυκε τὰ κεκραμένα, διὰ τὸ μὴ τὸ τέλειον εἶδος ἀπολέσαι ἀλλὰ μόνον τὸ εἰλικρινές, διά τινων διακριτικῶν τε καὶ ἀλλοιωτικῶν ὀργάνων ὁλόκληρον πάλιν τὸ οἰκεῖον εἶδος ἀπολαβεῖν. φασὶ γοῦν διὰ τῶν καλουμένων ἐν τῇ συνηθείᾳ στρατιωτῶν ποταμοῦ δι- 25
30 θούμενον τὸν κεκραμένον οἶνον διακρίνειν τοῦ ὕδατος τὸν οἶνον· ἀνιμᾶσθαι γὰρ μόνον τὸ ὕδωρ, καὶ μάλιστα ὅταν ᾖ παχύτερος ὁ οἶνος. ἢ τοίνυν τοῦτό φησι τὸ δυνάμενα χωρίζεσθαι πάλιν, ἢ εἴ τῳ τοῦτο ἀδύνατον

---

1 τὸ (post τοῦτο) om. Z 2 ἐν om. R τὸ αὐτὸ Z 4. 5 ὄντα ante τὸ γλυκὺ traicit et ταῦτα οὖν om. a 7 καθ' αὑτὸ RZ 11 ἤτοι] ἤγουν a ἡ μίξις ὑπάρχει Z 12 ἐκτίσεται a 13 δέ ἐστι et δὲ ἐνεργείᾳ R 14 ἀποριῶν ἄρχεται ἐπίλυσις a ἐστὶ om. R 18 ἀπολογίαι Z 20 lemma hic om. et pergit τούτοις οὖν φησιν a 22 ἑαυτῶν GT 23 δέ φησιν ὅτι a 25 prius ἦν om. et mox ἔστι pro ἔτι Z 27 ἀποτελέσαι T¹ εἰλικρινὲς R 30 διακρίνειν καὶ χωρίζειν a 32 δυνάμενον a

εἶναι δοκεῖ, μὴ ἂν τὰ κεκραμένα ἀκριβῶς δύνασθαι χωρισθῆναι πάλιν, 43r
τὸ δυνάμενα χωρίζεσθαι ἀκουσόμεθα τὰ πεφυκότα ὅσον ἐφ' ἑαυτοῖς
δυνάμενα πάλιν καθ' ἑαυτὰ ὑποστῆναι, εἴ γέ τις ἦν διακριτικὴ αὐτῶν
δύναμις. τοῦτο μὲν οὖν, ὥσπερ ἤδη εἴπομεν, ἕν τί ἐστι χαρακτη-
5 ριστικὸν ἰδίωμα τῶν ἐν οἷς ὑπάρχει ἡ μίξις, ἅτινα, φησίν, ἐν τῇ μίξει 30
οὔτε διαμένουσιν ἐνεργείᾳ οὕτως ὥσπερ τὸ σῶμα καὶ ἡ λευκότης ἡ ἐν
αὐτῷ, οὔτε μὴν φθείρεται οὔτε θάτερον οὔτε ἀμφότερα. ταύτῃ τε καὶ
τῆς γενέσεως καὶ ἀλλοιώσεως διαφέρει ἡ μίξις. οὐδὲ γάρ ἐστι χωριστὸν
τῆς ὕλης τὸ εἶδος, οὐδ' οὕτως ἐστὶ δυνάμει ἐν τῷ κράματι τὰ ἐξ ὧν. ὡς
10 λέγεται δυνάμει τὸ ὕδωρ ἀὴρ εἶναι. ἐπὶ μὲν γὰρ τῆς γενέσεως ἡ ὕλη τοῦ
ἀέρος δυνάμει μὲν ἀήρ ἐστιν ἐνεργείᾳ δὲ ὕδωρ, ἐν δὲ τῷ κράματι δυνάμει
ἐνυπάρχει τὰ ἐξ ὧν, οὐχ ἡ ὕλη αὐτῶν, ἀλλ' αὐτὰ τὰ εἴδη κεκολασμένα, 35
καὶ διὰ τοῦτο δυνάμει, διὰ τὸ μὴ εἶναι εἰλικρινῆ μηδὲ τοιαῦτα οἷα ἦν πρὸ
τῆς κράσεως. ταῦτα εἰπὼν ἐπιπλήττει τοῖς περὶ Ἀναξαγόραν, λέγουσιν
15 εἶναί ποτε 'ὁμοῦ πάντα χρήματα'· εἰ γὰρ μὴ ἔστιν ἅπαν παντὶ μικτόν
(πάθος γὰρ πάθει οὐ μίγνυται), πῶς ἦν ὁμοῦ πάντα χρήματα;

p. 327b31 Διὸ ταῦτα μὲν ἀφείσθω.

Τὰ περὶ τῶν ἀπορίων δηλονότι.

p. 327b31 Τὸ συνεχὲς δὲ τούτοις ἀπόρημα διαιρετέον. 39

20 Τὸ διαιρετέον ἀντὶ τοῦ διοριστέον, ἢ οἱονεὶ καὶ αὐτὸ κατὰ διαίρεσιν
ἀπορητέον. ζητεῖ γὰρ λοιπὸν ἐφεξῆς τί ποτέ ἐστιν ἡ μίξις, καὶ προάγει
κατὰ διαίρεσιν τὸν λόγον. ὑποτίθεται γὰρ δύο τρόπους μίξεως, ἕνα μὲν 45
ὡς πρὸς τὴν αἴσθησιν εἰς μικρὰ κατακερματιζομένων τῶν μιγνυμένων καὶ
παρακειμένων ἀλλήλοις τῶν μορίων ὥστε διὰ τὴν σμικρότητα τῶν μορίων
25 συναίσθησιν μὴ εἶναι τῆς παραθέσεως, ἀλλὰ δοκεῖν μίξιν καὶ κρᾶσιν εἶναι,
ὥσπερ εἴ τις σεμίδαλιν λεπτὴν ἐκ πυρῶν μίξει ἀλεύρῳ κριθῆς· παραθέσεως
γὰρ ἐν τούτοις οὔσης, διὰ τὸ τῆς σμικρότητος τῶν μορίων μὴ ἀντιλαμβά-
νεσθαι τὴν αἴσθησιν δόξει κρᾶσίς τις εἶναι καὶ ὁμοιομερὲς εἶναι τὸ πᾶν.
οὕτως ἔχει καὶ ἐπὶ τῶν ξηρίων, οἷον τοῦ ἑξαείδου. ἕνα μὲν οὖν μίξεως 50
30 τρόπον τοῦτον ὑποτίθεται, καθ' ὃν σῴζεται μὲν τὰ εἴδη τῶν μιγνυμένων,

---

1 εἶναι in ras. T² 2 τὸ a: τοῦ cett. 3 δύνασθαι a καθ'] ἐφ' Z 7 φθείρεται] cf. Ar. codd. EL (p. 325b30) 9 δυνάμει ἐστὶν Z 10 τὸ ὕδωρ δυνάμει a 11 μὲν om. a ἐστιν] εἶναι GT 12 οὐχὶ ὕλη Z 13 εἰλικρινῆ R 15 ποτὲ om. Z: ποτὲ μὲν R¹ 16 πάθει] πάθη GT¹ 17. 18 διὰ ταῦτα μέν φησι, τὰ περὶ τῶν ἀποριῶν δηλονότι, ἀφείσθω a 19 τὸ δὲ συνεχὲς a; at cf. Ar. cod. E 20 τὸ δὲ συνεχὲς ἀπόρημα διαιρετέον φησὶν, ἀντὶ a, qui mox οἱονεὶ om. διωριστέον GT¹a 22 τὸν] τὸ Z 23 κατακερματιζομένων τῶν Z: κατακερματιζόμενον. ὄντων R: κατακερμαζόμενον (sic) ὧν τῶν GT: κατακερματιζόμενον, τῶν a 25 ἐπαίσθησιν a 28 δόξειεν ἂν a 29 ἑξαείδου] ἑξαείδου libri praeter R, qui ἐξάιδου; cf. ad f. 60r 16 30 εἶδει a

ἀνεπαίσθητα δὲ γίνεται τῇ σμικρότητι τῆς παραθέσεως· δεύτερον δὲ οὐκέτι 43r
σῳζομένου τοῦ εἴδους τῶν μιγνυμένων, ἀλλ' ἀναλυομένων αὐτῶν εἰς τὰ ἐξ ὧν
σύγκεινται, καὶ οὕτως τῶν στοιχείων αὐτῶν παρακειμένων ἀλλήλοις. ὅπερ
ἔλεγον οἱ τὰ ἄτομα ὑποτιθέμενοι· ἀναλυομένου γὰρ τοῦ τε πυρὸς καὶ τοῦ
5 ὕδατος | εἰς τὰς ἀτόμους ἐξ ὧν σύγκειται, εἶτα ἐκείνων ἀλλήλαις συντιθε- 43v
μένων ὡς ἑκάστην πυρὸς ἄτομον παρακεῖσθαι ἀτόμῳ ὕδατος, οὕτω τὴν κρᾶσιν
γίνεσθαι, ὥσπερ ἂν εἰ οἱ λίθοι, ἐξ ὧν τὸ θέατρον εἰ τύχοι καὶ ἡ οἰκία
σύγκειται, ἀναλυθέντων τῆς τε οἰκίας καὶ τοῦ θεάτρου ἕκαστος παρ' ἕκαστον
παρακέοιτο.

10 Τούτων τῶν ὑποτεθέντων τῆς μίξεως τρόπων ἑκάτερον ἐλέγξας, οὕτως
αὐτὸς τὸν ἀληθῆ ὑποτίθεται. κέχρηται δὲ πρὸς τὸν ἔλεγχον δύο ἀξιώ- 5
μασιν, ἑνὶ μὲν ὅτι ἕτερον τῆς συνθέσεως ἡ μίξις, ἑτέρῳ δὲ ὅτι [τὸ] πᾶν
σῶμα ἐπ' ἄπειρόν ἐστι διαιρετὸν καὶ ἁπλῶς πᾶν τὸ συνεχές, ὧν τὸ μὲν
ὅτι τὸ συνεχὲς ἐπ' ἄπειρον διαιρετὸν ἔχει προαποδεδειγμένον ἐν τῇ Φυσικῇ,
15 τὸ δὲ ὅτι ἡ μίξις ἕτερον τῆς συνθέσεως ὡς ἀξίωμα κοινὸν καὶ πᾶσιν
ὁμολογούμενον ἔλαβεν. οὐδεὶς γὰρ λέγει ἐπὶ τοῦ κράματος ὅτι σύγκειται
ὁ οἶνος καὶ τὸ ὕδωρ, ἀλλ' ὅτι μέμικται καὶ κέκραται, οὐδ' ὅτι ἡ οἰκία κρᾶσίς
ἐστι λίθων καὶ ξύλων καὶ τῶν λοιπῶν, ἀλλ' ὅτι σύνθεσις, ὡς ἅτε δὴ 10
εἰδότων ἡμῶν ἑτέραν οὖσαν τῆς συνθέσεως τὴν μίξιν καὶ τὴν κρᾶσιν.
20 ἑκατέρῳ οὖν τῶν ἀξιωμάτων ἑκατέραν τῶν ὑποθέσεων ἀναιρεῖ, διὰ μὲν
τοῦ λέγοντος ἐπ' ἄπειρον εἶναι πᾶν τὸ συνεχὲς διαιρετὸν ἀναιρεῖ ὅτι οὐκ
ἔστιν ἡ μίξις τοιαύτη οἵαν ἔλεγον οἱ τῇ εἰς τὰ στοιχειωδέστερα ἀναλύσει,
τουτέστι τὰ ἄτομα, καὶ τῇ τούτων οὐτινοσοῦν παρ' ὁτιοῦν παραθέσει τὴν
μίξιν γίνεσθαι λέγοντες, οἵτινές εἰσιν οἱ περὶ Δημόκριτον. εἰ γάρ ἐστι τὸ
25 σῶμα ἐπ' ἄπειρον διαιρετόν, ἀδύνατον ὁτιοῦν παρ' ὁτιοῦν μόριον κεῖσθαι· 15
ἀεὶ γὰρ τὰ παρακείμενα ἀλλήλοις μόρια διαιρετὰ ὄντα οὐκ ἔχει ὁτιοῦν παρ'
ὁτιοῦν μόριον κείμενον. διαιρεθέντος γὰρ τοῦ μορίου εἰς τρία τὸ μεταξὺ τμῆμα
εἰλικρινῶς ἐστι μὴ ἔχον ἑαυτῷ ἑτεροφυὲς παρακείμενον. ὥστε εἰ μὲν ἦν
εἰς ἄτομα ἡ διαίρεσις, ἀναστοιχειουμένων τῶν μιγνυμένων δυνατὸν ἦν ὁτιοῦν
30 μόριον παρ' ὁτιοῦν παρακεῖσθαι· ἐπειδὴ δὲ πᾶν τὸ συνεχὲς ἐπ' ἄπειρόν ἐστι
διαιρετόν, ἀδύνατον ἄρα ἐστὶν ὁτιοῦν μόριον παρ' ὁτιοῦν παρακεῖσθαι.
καὶ ἄλλως εἰ δέδεικται ὅτι δεῖ τὴν μίξιν μὴ φθειρομένων γίνεσθαι τῶν
μιγνυμένων, ἀδύνατον ἄρα τῇ εἰς τὰ ἄτομα ἀναλύσει τὴν μίξιν γίνεσθαι· 20
οὕτω γὰρ ἂν φθείροιτο καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ μιγνύμενα· οὐ γάρ ἐστιν

---

3 σύγκειται et οὕτω Za περικειμένων Z ὥσπερ GTa 5. 6 συντεθειμένων T
6 περικεῖσθαι Z 7 et 8 τὸ θάτερον et τοῦ θατέρου R, ubi σύγκεινται 9 παρα-
γέοιτο Z: παρακέοιτ' ἂν a 10 τῆς om. R τρόπον GRT 11 δυσὶν FZa
11. 12 ἀξίωμα Z 12 τῆς om. Z τὸ delevit a (om. F) 13 διαιρετέον G
14 ἄπειρόν ἐστι Z Φυσικῇ] A 2 p. 185b 10 al. 16 λέγει R: λέγει ὅτι Z: om. GT:
φησιν a 17 ὁ om. R οἰκεία R 21 πᾶν om. Z 23 οὐ τῖνὸς οὖν R
25 μόριον om. a 27 ὁτιοῦν] ὁτι GT εἰς τὰ τρία Z 28 εἰλικρινῶς R:
εἰλικρινές a 29. 30 ὁτιοῦν παρ' ὁτιοῦν μόριον Z: παρ' ὁτιοῦν ὁτιοῦν μόριον a
30. 31 ἐπειδὴ δὲ (ἐπεὶ δὲ Z) — παρακεῖσθαι RZ: om. GTa 34 φθείρητο a
μιγνύμενον Z

ἑκάστη σφαιρικὴ ἄτομος πῦρ. ἀλλ' ἡ τούτων σωρεία. ὁμοίως δὲ καὶ ἐπὶ 43v
τοῦ ὕδατος. ὥστε εἰ ἀναλύοιτο τὰ μιγνύμενα εἰς τὰ στοιχειωδέστερα,
φθείροιτο ἄν· δεῖ δὲ τὴν μίξιν ὄντων τινῶν εἶναι, οὐ φθειρομένων.

Οὕτω μὲν οὖν διὰ τοῦ ἑνὸς τῶν ἀξιωμάτων τὴν μίαν τῶν ὑποθέσεων
5 ἀνεῖλεν, ὁμοίως δὲ καὶ τὴν ἑτέραν διὰ τοῦ ἑτέρου ἀναιρεῖ ἀξιώματος. εἰ
γὰρ ἕτερον συνθέσεως μίξις, οὐκ ἂν εἴη πρὸς τὴν αἴσθησιν ἡ μίξις. εἰ γὰρ
κατὰ μικρὰ εἴη παρακείμενα, ὥστε μὴ ὑποπίπτειν τῇ αἰσθήσει τὴν παρά- 25
θεσιν διὰ τὴν σμικρότητα, σύνθεσις ἂν εἴη καὶ παράθεσις, οὐ μίξις.
οὐδὲ γὰρ διὰ τὸ μὴ ὁρᾶσθαι διὰ τὴν σμικρότητα τὰ παρακείμενα μίξις ἂν
10 εἴη, ἀλλὰ διὰ τὸ παρακεῖσθαι καὶ μὴ κεκρᾶσθαι, κἂν μὴ τῇ αἰσθήσει
φαίνηται, οὐκ ἂν εἴη μίξις. ἄλλως τε εἰ πρὸς τὴν αἴσθησιν ἡ μίξις, τὸ
αὐτὸ ἄλλῳ μὲν ἂν εἴη μεμιγμένον, τῷ μὴ ὀξὺ ὁρῶντι, ἄλλῳ δέ, οἷον τῷ
Λυγκεῖ, οὐ μεμιγμένον, ὃς διὰ τὴν τῶν ὄψεων ὀξύτητα καὶ κατὰ γῆς ὁρᾶν
λέγεται. οὕτω δ' ἂν ἐν σχέσει τὸ εἶναι ἔχοι ἂν ἡ μίξις, οὐ φύσει, ὅπερ 30
15 ἄλογον· τὰ γὰρ μεμιγμένα, κἂν μηδεὶς ᾖ ὁ κρίνων, μεμιγμένα δηλονότι ἐστίν.

p. 328a1 Ἀλλ' ἔστιν ὥστε ὁτιοῦν παρ' ὁτιοῦν εἶναι μόριον τῶν μιχθέντων.

Ἡ δευτέρα ὑπόθεσις. δῆλον δὲ ὅτι τῷ ἀναλύεσθαι τὰ μιγνύμενα εἰς
τὰ στοιχειωδέστερα. τουτέστιν ἀτόμους. καὶ ἑκάστην ἑκάστῃ παρακεῖσθαι·
20 ἄλλως γὰρ ἀδύνατον.

p. 328a2 Λέγεται μὲν οὖν ἐκείνως, οἷον κριθὰς μεμῖχθαι πυροῖς καὶ τὰ ἑξῆς.

Παράδειγμα τοῦ πρώτου τρόπου τίθησι, τοῦ πρὸς τὴν αἴσθησιν εἶναι
τὴν μίξιν λέγοντος. δοκεῖ δὲ ὡς πρὸς τὸν δεύτερον τρόπον ταῦτα λέγειν, 35
25 διὰ τὸ εἰπεῖν ὅταν ἡτισοῦν παρ' ὁντινοῦν τεθῇ· τῇ γὰρ αὐτῇ λέξει
ἐχρήσατο, ᾗ καὶ ἐπὶ τοῦ δευτέρου τρόπου. οὐκ ἔστι δέ. ἀλλὰ πρὸς τὸν
πρῶτον ταῦτα λέγει. καὶ δῆλον ἐξ ὧν φησι τὸ λέγεται μὲν οὖν ἐκείνως,
δηλονότι ὡς τὸ πρότερον, οὐχ ὡς τὸ προσεχές. εἶπε δὲ τὸ ἡτισοῦν
παρ' ὁντινοῦν, κριθὴ δηλονότι πρὸς πυρόν, ἵνα ἑκάστην κριθὴν πυρῷ τινι
30 ἑνὶ παρακεῖσθαι λάβωμεν, μὴ μέντοι κατὰ σωρείαν πολλὰς ἅμα κριθὰς πολλοῖς
ἅμα πυροῖς. ἁρμόσει δὲ μᾶλλον τὸ ὑπόδειγμα τῷ δευτέρῳ τρόπῳ· ἐπὶ 40

1 σωρία GT¹ 2 πρὸς τὰ στοιχειοδέστερα Z 7 κατὰ] καὶ τὰ R 8 περίθεσις Z, ut mox περικείμενα sim. οὐ] ἡ GTa 12 μεμιγμένον] μιγνύμενον (G)a ἄλλω δὲ οὔ. οἷον a 13 γλυκεῖ G¹T (corr. G²) 16 τὸ δὲ ἀλλ' a εἶναι] ἐστὶ compend. R 18 διὰ τὴν δευτέραν ὑπόθεσιν φησί. δῆλον δὲ a τῷ] τὸ Z 21 τὸ δὲ λέγεται a, qui μεμῖχθαι πυροῖς om. ἐκεῖνος R πυροῖς Z: πυρὸς GT¹: πυροὺς RT² 24 δὲ om. Z 25 εἰτισοῦν R αὐτῇ] ταῦτα T 27 ἐκεῖνος RZ 28 ὡς priore loco RZ: πρὸς GTa οὐχ ὡς GT: οὐχ ὡς πρὸς RZ: οὐ πρὸς a εἴτις οὖν R

γὰρ τῶν διὰ λεπτομέρειαν ἀφανῶν (ὡς ἐπὶ τῶν ξηρίων, τῆς μίξεως τῶν 43v
ἀλεύρων τῶν ἐκ κριθῆς καὶ πυρῶν, καὶ ἄλλων τινῶν) οὐ πάντως ὁτιοῦν παρ' ὁτιοῦν τῶν μιχθέντων κεῖται, ἀλλ' ἐνδέχεται καί τινα ψήγματα παρακεῖσθαι ὁμοειδῆ, οἷον κρίθινα ἢ ἄλλου εἴδους.

5 p. 328a3 Εἰ δ' ἐστὶ πᾶν σῶμα διαιρετόν, εἴπερ ἐστὶ καὶ σῶμα σώματι μικτόν, ὁμοιομερὲς ὁτιοῦν ἂν δέοι μέρος γίνεσθαι παρ' ὁτιοῦν.

Ἐντεῦθεν ἀνασκευάζει τοὺς εἰρημένους δύο τῆς μίξεως τρόπους. 52
κέχρηται δ' ὑποθετικῷ συλλογισμῷ τοιούτῳ· εἰ ἔστι πᾶν σῶμα σώματι
10 μικτόν, καὶ εἰ ἔστι τὸ σῶμα ἐπ' ἄπειρον διαιρετόν, ἀκολουθήσει τὸ ὁμοιομερὲς ὁτιοῦν τοῦ μιγνυμένου γίνεσθαι μέρος. τὸ γὰρ 'ὁτιοῦν ἂν δέοι ὁμοιομερὲς γίνεσθαι παρ' ὁτιοῦν' | ἴσον ἐστὶ τῷ 'πᾶν μέρος παντὶ ὁμοιο- 44r
μερὲς ὀφείλει ἔσεσθαι'. καὶ τὸ μὲν συνημμένον τοιοῦτον, οὗ τὸ ἡγούμενον, καθάπερ εἶπον, δύο ἐστὶν ἀξιώματα, τό τε ἐπ' ἄπειρον εἶναι τὸ σῶμα
15 διαιρετὸν καὶ τὸ ἕτερον εἶναι τῆς συνθέσεως τὴν μίξιν. δυνάμει γὰρ ἐμπεριέχεται ἐν τῷ εἴπερ ἐστὶ σῶμα σώματι μικτὸν 'ἕτερον δηλονότι τῆς συνθέσεως ἡ μίξις'· ἐν γὰρ τῇ συνθέσει ἤτοι παραθέσει οὐχ ὁτιοῦν ὡτινιοῦν παράκειται, διαιρετοῦ ὄντος ἐπ' ἄπειρον τοῦ σώματος. καὶ εἰ 5
ὁμοιομερὲς ἀνάγκη εἶναι πᾶν μόριον τοῦ μιγνυμένου, οὐκ ἂν οὔτε κατὰ
20 μικρὰ σύνθεσις εἴη ἡ μίξις, οὔτε ὁτιοῦν ὡτινιοῦν παράκειται κατὰ τὴν εἰς τὰ ἄτομα ἀνάλυσιν· οὔτε γὰρ ὅμοιαι αἱ παρακείμεναι ἄτομοι, καὶ κεῖται ἐπ' ἄπειρον εἶναι τὸ σῶμα διαιρετόν. πόθεν δέ; ὅτι τῷ ἡγουμένῳ ἕπεται τὸ ἑπόμενον, ὅτι εἰ ἕτερον τῆς συνθέσεως ἡ μίξις, ἡ δὲ σύνθεσις ἀνομοιομερῆ ἔχει τὰ μόρια, οὐκ ἂν ἡ μίξις ἔχοι ἀνομοιομερῆ. ὁμοιομερῆ 10
25 ἄρα. ἀλλ' οὐχ οὕτως ὁμοιομερῆ ὡς ἂν εἴποιεν οἱ τὰ ἄτομα λέγοντες. ἐπεὶ γὰρ τὰ σύνθετα ἐκ τῶν ἀτόμων μίγνυσθαι ἔλεγον (οὐ γὰρ αὐτὰς τὰς ἀτόμους), μίγνυσθαι δὲ αὐτὰ τῇ εἰς τὰ ἄτομα ἀναλύσει καὶ παραθέσει οὐτινοσοῦν ἀτόμου παρ' ὁτιοῦν, εἶπον ἂν ὁμοιομερὲς τὸ ὅλον, μέρη λέγοντες οὐ τὰς ἀτόμους (στοιχεῖα γὰρ αὗται), ἀλλὰ τὰ συγκείμενα ἐξ αὐτῶν τοῦ
30 ὅλου μόρια, ἐν οἷς πᾶσιν ὁμοία ἡ παράθεσις ὁρᾶται. ὅτι οὖν οὐχ οὕτως ὁμοιομερὲς τὸ μιγνύμενον, ἐκ τοῦ προειλῆφθαι ὅτι πᾶν σῶμα ἐπ' ἄπειρον 15
διαιρετὸν δῆλον, ἀλλ' ὅτι ἀεὶ καὶ ἐπ' ἄπειρον γινομένης τῆς διαιρέσεως πάντα τὰ μόρια ὁμοιομερῆ εὑρίσκεται. τὸ μὲν οὖν συνημμένον, ὥσπερ εἶπον, τοιοῦτον. ἡ δὲ πρόσληψις αὐτῷ γίνεται δυνάμει μὲν ἡ αὐτὴ τῷ

---

3 ψήγματα GRT 4 ὁμοιοειδῆ G²: ὁμοιειδῆ T 5 ἐστὶ καὶ] καὶ ἔστι a Ar. (καὶ om. Ar. codd. EFG); cf. v. 16 et p. 196,7 6 μικτὸν ὁμοιομερές, ὁτιοῦν a (ex ed. Ar.) 9 πᾶν et 10 τὸ (ante σῶμα) om. GTa 11 ὁτιοῦν altero loco GT² fort. δέοι ⟨μέρος⟩ 12 τῷ a: τὸ cett. 13 ὀφείλειν R τοιοῦτο a 15 ἑτέραν R τὴν μίξιν τῆς συνθέσεως Z 17 ἤτοι] ἢ τῇ Z 20 εἴη] ἂν εἴη a 23 εἰ δὲ σύνθεσις R 24 ἔχοι] ἔχει Z¹ 27 δὲ om. add. T² 28 ἂν ὁμοιομερὲς a: ἀνομοιομερὲς cett. 31 μιγνύμενον] λεγόμενον Z 34 αὐτῇ (G)a

ἡγουμένῳ τῷ ἐν τῷ συνημμένῳ, τῇ λέξει δὲ διάφορος. ἀντὶ γὰρ τοῦ 44r
προσλαβεῖν 'ἀλλὰ μήν ἐστι πᾶν σῶμα διαιρετὸν καὶ ἄλλο μίξεως σύνθεσις',
προσλαμβάνει ἴσον δυνάμενον τὸ ἐπεὶ δὲ οὐκ ἔστιν εἰς τὰ ἐλάχιστα
διαρεθῆναι, οὔτε σύνθεσις ταὐτὸν καὶ μίξις, ὧν τὸ ἐπεὶ δὲ οὐκ 20
5 ἔστιν εἰς τὰ ἐλάχιστα διαιρεθῆναι ἴσον ἐστὶ τῷ ἐπεὶ δὲ πᾶν
σῶμα διαιρετόν, τὸ δὲ οὔτε σύνθεσις ταὐτὸν καὶ μίξις. τὸ παρα-
ληφθὲν ἐν τῷ ἡγουμένῳ ὅπερ δυνάμει περιεῖχε, τῷ εἴπερ ἐστὶ καὶ
σῶμα σώματι μικτόν. τούτοις οὖν προσληφθεῖσιν ἀκόλουθον συμπέ-
ρασμα τὸ ὁμοιομερὲς εἶναι πάντῃ ἑαυτῷ τὸ μιγνύμενον. ὅπερ αὐτὸ μὲν
10 οὐ τέθεικε δι' ἄλλων δὲ αὐτὸ κατασκευάζει. δῆλον γάρ, φησίν, ὡς οὔτε
κατὰ μικρὰ σῳζόμενα δεῖ τὰ μιγνύμενα φάναι μεμῖχθαι· σύν- 25
θεσις γάρ ἐστι καὶ οὐ κρᾶσις οὐδὲ μίξις, οὐδ' ἕξει τὸν αὐτὸν
λόγον τῷ ὅλῳ τὸ μόριον. ταῦτα δὲ δεικτικά ἐστι τοῦ ὁμοιομερὲς εἶναι
τὸ μιγνύμενον· τῇ γὰρ ἀναιρέσει τοῦ ἀνομοιομερὲς τὸ ὁμοιομερὲς εἶναι
15 εἰσάγεται. ἂν δὲ ᾖ κατὰ μικρὰ σύνθεσις ἡ μίξις, οὐδὲν συμβή-
σεται τούτων· οὐ γὰρ ὁμοιομερὲς τὸ ὅλον. οὐδ' ἕξει τὸν αὐτὸν
λόγον τῷ ὅλῳ τὸ μόριον, ὅπερ εἴπετο τῷ ἀξιώματι τῷ λέγοντι ἕτερον
εἶναι σύνθεσιν μίξεως. εἰ δὲ μὴ ἔστι τὸ ὅλον ὁμοιομερές, φαινομένη ἐστὶ
καὶ οὐκ οὖσα κρᾶσις, καὶ διὰ τοῦτο τῷ Λυγκεῖ εἴη ἂν οὐ μεμιγμένον. 30

20 p. 328a15 Οὔτε τῇ διαιρέσει.

Κατὰ κοινοῦ τὸ 'οὐ μεμιγμένον'. ἐπὶ τὸν ἕτερον δὲ τρόπον μεταβέ-
βηκεν, τὸν ὁτιοῦν λέγοντα παρ' ὁτιοῦν εἶναι τὴν μίξιν, ὃν καὶ αὐτὸν συμ-
βαίνει γίνεσθαι τῇ κατὰ μικρὰ συνθέσει. δεδομένου γὰρ τοῦ ἐπ' ἄπειρον
εἶναι τὸ σῶμα διαιρετόν, ἀδύνατον ὁτιοῦν παρ' ὁτιοῦν κεῖσθαι· ἀδύνατον
25 γὰρ εἰς ἄτομα διαιρεθῆναι τὸ συνεχές. ὥστε συμβήσεται καὶ τοῦτον τῇ
κατὰ μικρὰ παραθέσει γίνεσθαι, ὅπερ ἄτοπον πρὸς τῷ, ὡς ἤδη εἶπον, καὶ 35
τῇ ἀναστοιχειώσει μὴ σῴζειν τὴν τῶν μιγνυμένων φύσιν, ὅπερ ἔδει.

p. 328a17 Ἢ οὖν οὐκ ἔστι μίξις, ἢ λεκτέον τοῦτο πῶς ἐνδέχεται
γενέσθαι πάλιν.

30 Ἦν ἡ ὅλη τοῦ συλλογισμοῦ ἔφοδος τὸ 'εἰ ἔστι μίξις, ὁμοιομερῆ δεῖ
εἶναι τὰ μόρια τοῦ μιγνυμένου'. δύο οὖν τρόπων ὑποκειμένων μίξεως,

2 et 8 προλαβεῖν et προληφθεῖσιν Z 7 τῷ scripsi: τὸ libri 12 γὰρ ἔσται Ar. οὐδ' ἕξει R¹ 14 εἶναι τὸ ὁμοιομερὲς Z 15. 16 εἰσάγεται. οὐδὲν δέ φησι συμβήσεται τούτων, ἂν ᾖ κατὰ μικρὰ σύνθεσις ἡ μίξις. οὐ γὰρ a 15 ἂν] ἦν GT 19 γλυκεῖ (ex λυγκεῖ) T² 20. 21 ἐν δὲ τῷ οὔτε τῇ διαιρέσει, κατὰ κοινοῦ ὑπακουστέον τὸ οὐ μεμιγμένον a 23 διδομένου Za 26 τῷ] τὸ GTZ 28 εἶτα ἐπάγει, ἢ οὖν a λέξις R πῶς ἐνδέχεται τοῦτο Z 29 γίνεσθαι (G)a Arist. 30 ἦν γὰρ ἡ ὅλη a δεῖ ex corr. R: δὲ GT 31 μίξεων libri

ἀνῄρητο ἑκάτερος, τῷ μηδέτερον δύνασθαι σῴζειν ὁμοιομερῆ τῶν μιγνυ- 44r
μένων τὰ μόρια. τούτου οὖν δειχθέντος, φησίν, ἀκολουθήσει τὸ ἢ μηδ' ὅλως εἶναι μίξιν, ἢ ἕτερόν τινα εἶναι τρόπον μίξεως παρὰ τοὺς εἰρημένους. τὸ δὲ πάλιν προσέθηκεν, ὅτι τὸ αὐτὸ τοῖς ἐπὶ τῶν πρώτων ἐποίησεν· ἀνελὼν γὰρ τὰς προκαταβεβλημένας δόξας, αὐτὸς ἔδειξε πῶς ἕκαστον αὐτῶν γίνεται.

p. 328a 18 Ἔστι δή, ὡς ἔφαμεν, τῶν ὄντων τὰ μὲν ποιητικὰ τὰ δὲ ὑπὸ τούτων παθητικά.

Ἀνελὼν τὰς ψευδεῖς περὶ μίξεως ὑπονοίας, καὶ βουλόμενος λοιπὸν εἰπεῖν τί τέ ἐστιν ἡ μίξις καὶ πῶς γίνεται, ἀναμιμνήσκει ἡμᾶς τῶν περὶ τοῦ ποιεῖν καὶ πάσχειν εἰρημένων, ὅτι ταῦτα τῶν ποιούντων καὶ ἀντιπάσχει ὅσα τῆς αὐτῆς ὕλης κοινωνεῖ ἀλλήλοις, ταῦτα δὲ τῶν ποιούντων οὐκ ἀντιπάσχει ὅσα μὴ κοινὴν ἔχει ὕλην. ἐπεὶ οὖν τὰ μιγνύμενά ἐστι τὰ ποιοῦντα καὶ πάσχοντα εἰς ἄλληλα, ποιεῖ δὲ καὶ πάσχει εἰς ἄλληλα τὰ ὁμόυλα, ταῦτα ἂν μιγνύοιτο ἀλλήλοις τὰ τῆς αὐτῆς ὕλης μετέχοντα. ὥστε τοῦτό ἐστι μίξις, ἡ τῶν ὁμούλων εἰς ἄλληλα ποίησις.

p. 328a 22 Τούτων μὲν οὖν οὐκ ἔστι μίξις· διὸ οὐδὲ ἡ ἰατρικὴ ποιεῖ ὑγίειαν οὐδὲ ἡ ὑγίεια μιγνυμένη τοῖς σώμασιν.

Τούτων, φησί, τῶν μὴ ὁμούλων καὶ διὰ τοῦτο μηδὲ ἀντιπασχόντων ἐν τῷ ποιεῖν μίξις οὐκ ἔστι. καὶ διὰ τοῦτο, φησίν, οὔτε ἡ ἰατρικὴ ποιοῦσα εἰς τὸ σῶμα μίγνυται αὐτῷ· οὐ γάρ ἐστιν ὁμόυλος ἡ ἰατρικὴ τῷ σώματι· ἐν ψυχῇ γὰρ αἱ ἐπιστῆμαι. διὰ τοῦτο οὖν ὑγιάζουσα τὸ σῶμα ἡ ἰατρικὴ οὐ μίγνυται αὐτῷ, εἴ γε μίγνυται τὰ ἀντιπάσχοντα ὑπ' ἀλλήλων, ἀντιπάσχει δὲ τὰ ὁμόυλα. ἔχει δὲ ἡ λέξις δύσκολόν τι. 'διὸ' γάρ φησιν 'οὔτε ἡ ἰατρικὴ μιγνυμένη ποιεῖ ὑγίειαν, οὔτε πάλιν ἡ ὑγίεια μιγνυμένη τοῖς σώμασι ποιεῖ ὑγίειαν'. ἢ οὖν | οὕτως ἀκουστέον 'διὸ 44v
οὐδὲ ἡ ἰατρικὴ ποιεῖ ὑγίειαν μιγνυμένη τοῖς σώμασιν, οὔτε ἡ ὑγίεια μίγνυται τοῖς σώμασιν', ἵνα τὸ μιγνυμένη συλληπτικῷ τρόπῳ εἰρημένον ὑπάρχῃ. οὐ μίγνυται δὲ δηλονότι ἡ ὑγίεια εἶδος οὖσα, εἴρηται δὲ ὅτι τὰ εἴδη οὐ μίγνυται τοῖς ὑποκειμένοις· ἢ ὑγίειαν μὲν ποιοῦσαν ληψόμεθα τὸν τῆς

---

1 τὸ T 4 πρῶτον GT 7 δή] δὲ R 7. 8 τὰ δ' ὑπὸ a 10 τῶν om. GT 13 ὕλην ἔχει Z 14 εἰς ἄλληλα priore loco om. Z 17 lemma om. hic a, qui pergit τούτων οὖν φησι 18 ὑγείαν et ὑγεία Z 19 μὴ om. GT τοῦτο] τούτων φησὶ G: τοῦτο|||| φησὶ T μηδὲ] μὴ GTa 20 φησίν om. GTa fort. οὐδὲ ἡ 21 οὐ μίγνυται R 21. 23 οὐ γάρ — αὐτῷ om. Z 25 ὑγείαν et ὑγεία Z, itemque in proximis 26 ἢ] εἰ T 27 οὐδὲ] fort. οὔτε ἰατρικὴ μιγνυμένη τοῖς σώμασιν ποιεῖ ὑγείαν Z μίγνυται RZ: μιγνυμένη GTa 28 post μιγνυμένη addunt τοῖς σώμασιν GTa ὑπάρχει R¹: ὑπάρ^χ Z

ὑγιείας λόγον, γινομένην δὲ τὴν ἐν τῷ σώματι, ὧν οὐδετέρα μίγνυται τῷ 44v
σώματι. ἡ μὲν γὰρ ἐν ψυχῇ τὸ εἶναι ἔχει, ἡ δὲ εἶδός ἐστι τοῦ ὑπο- 5
κειμένου.

p. 328a23 Τῶν δὲ ποιητικῶν καὶ παθητικῶν ὅσα διαιρετά, πολλὰ
5 μὲν ὀλίγοις καὶ μεγάλα μικροῖς συντιθέμενα οὐ ποιεῖ μίξιν.

Εἰπὼν τί τέ ἐστι μίξις καὶ τίνων, ὅτι ὁμούλων, ἐπεὶ οὐ πάντα τὰ ὁμούλα 12
μίγνυται (οὐδὲ γὰρ λίθος ξύλῳ μικτός), διὰ τοῦτο προσδιορίζεται ποῖα τῶν
ὁμούλων ἐστὶ τὰ μιγνύμενα, ὅτι τὰ εὐδιαίρετα. εὐδιαίρετα δὲ λέγει
τὰ εὐόριστα, εὐόριστα δὲ τὰ ὑγρά· ὥστε ὅσα τῶν ὁμούλων ἐστὶν ὑγρά, ταῦτα
10 μίγνυται. πῶς δὲ τὰ ὑγρὰ μίγνυται ἐπάγει, ὅτι οὐχ ὡς ἔτυχεν ὄντα· οὐδὲ 15
γὰρ τὸ τυχὸν εἰς τὸ τυχὸν ὑγρὸν ἐγγινόμενον ποιεῖ μίξιν. οὐδὲ γὰρ εἰ σταγὼν οἴνου, φησί, μυρίοις χοεῦσιν ὕδατος ἐμβληθῇ, μεμιγμένον ποιεῖ τὸ ὅλον· τῷ γὰρ ὑπερβάλλειν τὴν τοῦ ὕδατος δύναμιν πάσχει μόνον ἡ σταγὼν τοῦ οἴνου ὑπ' αὐτοῦ, οὐκέτι δὲ ἰσχύει καὶ ἀντιδρᾶσαι εἰς αὐτό,
15 ἀλλὰ παθοῦσα μόνον ἡ τοῦ οἴνου σταγὼν μεταβάλλει τὸ εἶδος, καὶ γίνεται φθορὰ καὶ γένεσις, οὐ μίξις. εἰ γὰρ καὶ πεφύκασί τινα ποιεῖν εἰς ἄλληλα, ἀλλ' οὐχ ὡς ἔτυχεν ἔχοντα, ἀλλ' ἔχοντα καὶ ποσόν τι σύμμε- 20
τρον· δεῖται γὰρ τὰ εἴδη καὶ ποσοῦ τινος, ἵνα συστῇ, ὡς αὐτὸς ἐν τῇ Φυσικῇ εἶπεν. ἐν οὖν τῇ σταγόνι εἰ καὶ ἔστι τὸ τοῦ οἴνου εἶδος, ἀλλ'
20 οὐκ ἔστι δυνάμει δραστήριος εἰς μυρίους χοᾶς ὕδατος. καὶ ἐξ ἀρχῆς μὲν δῆλον ὅτι μίξις τις γίνεται ἐν τῷ πλησιάζοντι μορίῳ, ὅταν δὲ ἐπὶ πολὺ διαχεθῇ ἡ σταγὼν καὶ ἀεὶ τῷ πλεῖον εἶναι τὸ ἐμμιγνύμενον ἡ ποιότης ἀμβλύνηται, τέλος καὶ παντελῶς μεταβάλλει. δεῖ οὖν τὰ μιγνύμενα, φησίν, ἰσάζειν πως ταῖς δυνάμεσι. καὶ καλῶς εἶπε πως· οὐ γὰρ πάντως 25
25 ἴσα δεῖ εἶναι, ἀλλὰ μὴ πολὺ τὸ ἕτερον ὑπερβάλλειν. ἰσαζουσῶν οὖν πως τῶν δυνάμεων κρατεῖ κατά τι ἑκάτερον ἑκατέρου, οὐ μὴν πάντῃ φθείρει, ἀλλὰ τὰς ὑπερβολὰς κολάζει μόνον· καὶ οὕτως τὸ ὅλον γίνεται κοινόν τι ἀμφοῖν τῶν μιγέντων, οὐ μέντοι θάτερον αὐτῶν, ὥσπερ ἐπὶ τῆς ἐμβληθείσης σταγόνος. τὸ μὲν οὖν γενόμενον κοινὸν ἀμφοῖν, σῴζεται μέντοι δυνάμει ἑκάτερον ἐν
30 τῷ μίγματι τὸν εἰρημένον τρόπον.

---

1 ὑγιείας a: ὑγίειας (sic) R: ὑγείας GTZ 4 διαιρετὰ GRTZ (cf. p. 200,19): εὐδιαίρετα a Arist. (item Philoponi libri v. 8 utrobique) 9 ὥστε om. T 10 οὐδὲ] οὐ GT 11 γὰρ alt. om. Z 11. 12 εἰσταγὼν R 12 ἐμβληθείη, μιγνύμενον a 19 Φυσικῇ] nescio ubi 20 immo δύναμις χοᾶς (sic) GRT: χόας Za 21 μίξις γίνεταί τις Z 22 διαχυθῇ a καὶ ἀεὶ om. a τῷ] τὸ T πλοῖον R 23 ἀμβλύνηται R: ἀμβλύνεται Za et corr. T: ἀμβρύνεται GT¹ τέλος GRTZ: τελείως F: τέλος δὲ a μεταβάλλη R 24 φησίν om. Z πῶς utrobique libri 25 τὸ ὕστερον Z 26 φθείρειν T 27 κολάζειν GT οὕτω a 28 οὐ μέν τι Z θατέρου GTa ὡς ἐπὶ a 29 γινόμενον a

p. 328ᵃ31 Φανερὸν οὖν ἐκ τούτων, ὅτι ταῦτά ἐστι μικτὰ ὅσα ἐναντίωσιν ἔχει τῶν ποιούντων. 44ᵛ

Δῆλον, φησίν, ἐκ τῶν εἰρημένων τίνα ἐστὶ τὰ μικτά, ὅτι ὅσα τῶν 30
ποιούντων καὶ πασχόντων ἐναντίωσιν ἔχει. τοῦτο δὲ εἶπε διὰ τὰ οὐράνια·
5 ποιεῖ γὰρ καὶ ταῦτα εἰς τὰ τῇδε, ἀλλ' οὐκ ἔχει ἐναντίωσιν, διότι μηδὲ
κοινὴν ὕλην ἔχει. ὅσα οὖν τῶν ποιούντων καὶ πασχόντων ἐναντίωσιν ἔχει,
ὑγρὰ ὄντα καὶ ἐξισάζοντά πως ταῖς δυνάμεσι, ταῦτά ἐστι τὰ ποιοῦντα καὶ
πάσχοντα.

p. 328ᵃ33 Καὶ μικρὰ τοῖς μικροῖς παρατιθέμενα μίγνυται μᾶλλον. 31

10 Δείξας ὅτι οὔτε κατὰ παράθεσιν ἡ μίξις οὔτε τῇ εἰς μικρὰ διαιρέσει, 41
νῦν φησιν ὅτι εἰ καὶ μὴ ἔστιν ἡ παράθεσις μίξις, συντελεῖ μέντοι εἰς τὴν
μίξιν ἡ εἰς μικρὰ διαίρεσις καὶ παράθεσις· εὐκολώτερον γὰρ εἰς μικρὰ
διαιρεθέντα μίγνυται τὰ μιγνύμενα. ῥᾷον γάρ, φησί, τὸ μικρὸν ὑπὸ τοῦ
μικροῦ πείσεται μᾶλλον ἢ τὸ μέγα ὑπὸ τοῦ μεγάλου, τὸ δὲ πολύ, φησίν,
15 ὑπὸ τοῦ πολλοῦ χρονιώτερον πάσχει. δοκεῖ δὲ τοῦτο ἐκβαίνειν πως τὴν 45
ἀναλογίαν. διὰ τί γὰρ μὴ ὥσπερ ὁ αὐτός ἐστι λόγος τοῦ μορίου πρὸς τὸ
μόριον, οὕτωσπερ ὁ τοῦ ὅλου πρὸς τὸ ὅλον, οὕτω κατὰ τὸν αὐτὸν λόγον
ὁμοίως πείσεται τὸ ὅλον ὑπὸ τοῦ ὅλου, ὥσπερ τὸ μόριον ὑπὸ τοῦ μορίου;
εἰ δὲ τοῦτο, οὐδὲν συμβάλλεται ἡ κατὰ μικρὰ διαίρεσις καὶ παράθεσις εἰς
20 τὴν θάττω μίξιν. ἀλλὰ κἂν μὴ διαιρεθῇ, τὸ ὅλον δὲ τῷ ὅλῳ παρακέη-
ται, οὐδὲν ἧττον μιχθήσονται πάσχοντα ὑπ' ἀλλήλων. καὶ ἄλλως εἰ αἱ
δυνάμεις ὅσῳ ἀθροώτεραί εἰσι, τοσούτῳ σφοδρότεραι καὶ ὑπερβαίνουσαι τὴν 50
τῶν μερῶν ἀναλογίαν, ὡς δείκνυται σαφῶς ἐπὶ τῶν ῥοπῶν (διαιρούμενα
γὰρ τὰ βάρη οὐ σῴζει τὴν τοῦ ὅλου ἀναλογίαν, καὶ τοῦτό ἐστιν ἐπὶ τοῦ
25 χρυσοῦ σαφέστατον, ἀλλ' ἐνδέοντα βάρει τινὶ τοῦ ὅλου φαίνονται τὰ μόρια·
ὁμοίως πάλιν συντιθεμένων τῶν μερῶν βαρότερον τὸ ὅλον τῆς τῶν μερῶν
ἀναλογίας φαίνεται· καὶ τὸ πῦρ δὲ ὅσῳ ἀθροώτερον, θερμότερόν ἐστι,
διὸ ἐν καμίνῳ μεγάλῃ ῥιφὲν ξύλον μέγα ἐξάπτεται ἀθρόως, οὐκ ἂν δὲ ἐν
ἥτ|τονι φλογὶ μικρότερον ξύλον κατὰ ἀναλογίαν τοῦτο ἂν πάθοι), εἰ τοίνυν 45ʳ
30 αἱ δυνάμεις ὅσῳ εἰσὶν ἀθροώτεραι, τοσούτῳ σφοδρότεραι, ἀκόλουθον τὸ
μᾶλλον μίγνυσθαι μὴ διῃρημένα. φαμὲν δὲ πρὸς ταῦτα, ὅτι τὸ μὲν ἐπὶ
τοῦ πυρὸς παράδειγμα καὶ τοῦ ξύλου, εἰκότως τὸ πλεῖον πῦρ μᾶλλον δρᾷ,

---

1 lemma om. hic, qui pergit δῆλον οὖν φησιν  ἐκ τούτων GRTZ: om. Ar.
7. 8 τὰ ποιοῦντα καὶ πάσχοντα] immo τὰ μικτά  9 τοῖς RZ: δὲ τοῖς GT: δὲ a Arist. περιτιθέμενα solito errore Z  10 οὔτε (priore loco) Za: οὐ GRT  12 γὰρ om. Z  13 μίγνυσθαι Z  15 πῶς libri  17 οὕτω περ a  20 θᾶττον Z τὸ ὅλον δὲ τῷ RZ: τὸ GT: ἀλλὰ τὸ ὅλον τῷ suppleverat a  24 βάρη] μέρη T  25 βάρη T  φαίνεται Za  28 μεγάλ* T¹  ἡ ῥιφὲν a  29 ξίλον T et πάθη GT

διότι γένεσίς ἐστι καὶ φθορά· μόνως οὖν τοῦ πυρὸς ποιοῦντος καὶ μόνως 45r
πάσχοντος τοῦ ξύλου εἰκότως ὅσῳ ἀθροωτέρα ἡ ποιητικὴ δύναμις μᾶλλον 5
δρᾷ, ἢ μηδ' ὅλως ἀντιπάσχουσα ὑπὸ τούτου εἰς ὃ καὶ δρᾷ ἢ ἀμυδρότατα,
μᾶλλον δὲ καὶ αὐξομένη· φθορὰ γὰρ καὶ γένεσις τὸ πρᾶγμα. τὸ δὲ ἐπὶ
5 τῶν ῥοπῶν, οὐκ ἐναντίων ἐστὶ σύνοδος ἀλλ' ὁμοίων, τὸ δὲ ὅμοιον τῷ ὁμοίῳ
προσελθὸν συμπνεῖ μᾶλλον καὶ ζωοῖ τὸ ὅλον, διότι καὶ ἡ διαίρεσις εἰς
φθορὰν μᾶλλον ἐπιτηδειότερον ποιεῖ τὸ διαιρούμενον, ὡς εἴρηται ἀνωτέρω·
εἰκότως οὖν καὶ ἡ ἕνωσις ζωοῖ μᾶλλον. ταῦτα μὲν οὕτως. ἐπὶ μέντοι 10
τῶν μιγνυμένων, ἐπειδὴ ἰσοτίμως ἀντιδρῶσιν εἰς ἄλληλα τὰ μιγνύμενα,
10 δρῶσι δὲ εἰς ἄλληλα ἁπτόμενα ἀλλήλων, ἅπτονται δὲ μᾶλλον διαιρεθέντα
(ἀθρόα γὰρ ὄντα πολὺ ἔχει τὸ βάθος), εἰκότως ἄρα διαιρεθέντα μᾶλλον
μίγνυται, διότι καὶ μᾶλλον ποιεῖ καὶ πάσχει. τοῦτο δὲ διότι καὶ μᾶλλον
ἅπτεται· καὶ γὰρ ἐπὶ τοῦ πυρὸς τὸ αὐτὸ ξύλον θᾶττον ἂν ἔπαθε διαιρεθέν,
ἐπειδὴ καὶ μᾶλλον ὡμίλει τὰ μόρια αὐτοῦ τῷ πυρί. ὥστε ἐπὶ τῶν μιγνυ-
15 μένων, ἐπειδὴ δεῖ ἀμφότερα παθεῖν, δεῖ ἀμφότερα διαιρεθῆναι εἰς τὸ θᾶττον 15
παθεῖν· τὸ γὰρ πάσχον διαιρούμενον θᾶττον πάσχει. καλῶς ἄρα εἴρηται,
ὅτι διαιρεθέντα τὰ μιγνύμενα καὶ κατὰ μικρὰ παρακείμενα μᾶλλον μίγνυται.

p. 328ᵃ35 Διὸ τὰ εὐόριστα τῶν διαιρετῶν καὶ παθητικῶν μικτά.

Ἅπερ πρότερον εἶπε "διαιρετά" νῦν φησιν εὐόριστα. ὅθεν δῆλον
20 ὅτι καὶ ἀνωτέρω "διαιρετὰ" τὰ εὐόριστα ἔλεγεν. τῶν οὖν διαιρετῶν τὰ
εὐόριστα (ταῦτα δέ ἐστι τὰ ὑγρά· ὁ γὰρ λίθος διαιρετὸς μέν, οὐκ εὐόριστος
δέ), ταῦτά ἐστι μικτά, διότι διαιρεῖται ῥᾳδίως, τὰ δὲ διαιρούμενα μᾶλλον
μίγνυσθαι ἐλέγομεν. 20

p. 328ᵇ2 Τοῦτο γὰρ ἦν τὸ εὐορίστῳ εἶναι.

25 Οὗτός ἐστι, φησίν, ὁ τοῦ εὐορίστου λόγος, τὸ εὐδιαίρετον εἶναι.
εὐόριστον γάρ ἐστι τὸ ῥᾳδίως τῷ περιέχοντι ὁριζόμενον, τοιοῦτον δὲ τὸ
εὐδιαίρετον, οἷον τὸ ὑγρόν· τὸ γὰρ σκληρὸν οὐκ εὐόριστον.

p. 328ᵇ3 Εὐόριστον γὰρ μάλιστα τὸ ὑγρὸν τῶν διαιρετῶν, ἂν μὴ γλίσχρον ᾖ.

30 Ἕτερον προσδιορισμὸν προσέθηκεν, ὅτι οὐ πᾶν ὑγρὸν μικτόν, ἀλλὰ

---

1 φθορᾶ a 2 ὅσα Z ἡ] ἢ a 4 γὰρ om. Z 6 προελθὸν GTa συμπνοῖ GT¹: συμπλεῖ R¹ ζωοῖτο ὅλον a 8 μὲν οὖν οὕτως GR 9 ἰσοτόμως T 15 ἐπεὶ Z δεῖ (post ἐπειδὴ) om. a, qui mox παθεῖν δεῖ, ἀμφότερα ⟨δεῖ⟩ διαιρεθῆναι 17 ὅτι τὰ Z 18 om. hic lemmate pergit ἃ δὲ πρότερον εἶπε a 19 πρότερον κτλ.] p. 328ᵃ24; cf. supra 198,4 21 δέ] γάρ Z 24 om. lemm. pergit οὗτος οὖν ἐστι φησὶν a τοῦτο GT: τούτω RZ τὸ] τῷ R² 26 τοιοῦτο a 28 om. lemm. pergit καὶ ἕτερον δὲ προσδιορισμὸν προστίθησιν a μάλιστα et ἂν RZ: μᾶλλον et ἐὰν GT

τὸ μὴ γλίσχρον. γλίσχρον δὲ ἔλαιον ἰξὸς ὑγρὰ πίττα καὶ ὅσα τοιαῦτα· διὰ 45r
γὰρ τὴν γλισχρότητα ταῦτα καὶ τὴν εὐτονίαν δυσδιαίρετά ἐστι καὶ δυσδιαχώριστα, καὶ περιολισθαίνει αὐτοῖς τὰ ἐπιχεόμενα καὶ οὐκ ἐν τῷ βάθει χωρεῖ, διὸ οὐδὲ μίγνυται. ἧττον γάρ ἐστιν εὐόριστα τῶν μὴ γλίσχρων, διόπερ 25
καὶ συνιόντα μίγνυται μὲν οὐδαμῶς, μόνον δὲ τὸν ὄγκον πλείονα ἐποίησεν.

p. 328b6 Ὅταν δὲ ᾖ θάτερον μόνον παθητικὸν ἢ σφόδρα, τὸ δὲ πάμπαν ἢ ἠρέμα.

Ὅταν, φησί, τὸ ἕτερον ὑπὸ τοῦ ἑτέρου παθητικὸν ᾖ μόνον, μηκέτι δὲ καὶ θάτερον ὑπὸ τοῦ ἑτέρου, ἢ τὸ μὲν σφόδρα καὶ ῥᾳδίως πάσχει, τὸ δὲ μὴ ῥᾳδίως καὶ ἠρέμα, ἐπὶ τούτων φησὶν ἐν τῇ μίξει μηκέτι τὰ συναμφότερα μείζω τὸν ὄγκον ποιεῖν θατέρου, ἢ εἰ καὶ γένοιτό τις προσθήκη, ὀλίγη, ὡς τοῦ πλείονος ἀναλισκομένου, ὅπερ συμβαίνειν φησὶ περὶ τὸν 30
κασσίτερον καὶ τὸν χαλκόν· ἀέριος γὰρ ὢν ὁ κασσίτερος καὶ πλήρης ἀέρος καὶ ἐπιτήδειος εἰς τὴν τούτου μεταβολήν, πᾶς ἐξατμίζεταί τε καὶ ἐξαεροῦται θερμαινόμενος ὑπὸ τοῦ πυρὸς ἐν τῇ πρὸς τὸν χαλκὸν μίξει, καὶ μόνον χρώννυσι τὸν χαλκόν, οὐ μέντοι καὶ τῷ ποσῷ τι προστίθησι. μήποτε δὲ οὐδ' ὅλως ἐστὶ μίξις τοῦ κατ̣τ̣ιτέρου πρὸς τὸν χαλκόν, ἀλλὰ παράθεσις καὶ κόλλησις· οὐδὲ γὰρ ὑγρῷ ὄντι τῷ χαλκῷ μίγνυται οὐδὲ δι' ὅλης αὐτοῦ χωρεῖ τῆς οὐσίας, ἀλλὰ μόνον τὴν ἐπιφάνειαν χρώννυσιν. ἔοικεν 35
οὖν μᾶλλον εἴδει τινὶ ὁ κατ̣τ̣ίτερος ἐν ὑποκειμένῳ τῷ χαλκῷ, ὡς καὶ αὐτὸς προϊὼν λέξει.

p. 328b8 Ἔνια γὰρ ψελλίζεται πρὸς ἄλληλα τῶν ὄντων καὶ ἐπαμφοτερίζει.

Ἐπεὶ οἱ ψελλίζοντες καὶ διαλέγονταί πως καὶ οὐ διαλέγονται, τῷ 46
ἀδιαρθρώτως προφέρειν τοὺς λόγους, τοιαῦτα δέ ἐστι, φησί, τινὰ καὶ ἐπὶ τῶν πραγμάτων, ἀμυδρὰν καὶ ἀσαφῆ καὶ ἀδιάρθρωτον τὴν μίξιν ἔχοντα, τρόπον μέν τινα μιγνύμενα, τρόπον δὲ μή. εἰπὼν δὲ ὅτι ἔνια ψελλίζεται πρὸς ἄλληλα τῶν ὄντων καὶ ἐπαμφοτερίζει, τοῦτο ἐξηγήσατο διὰ τοῦ φαίνεται γὰρ καὶ μικτὰ ἠρέμα, καὶ ὡς θάτερον μὲν δεκ- 50
τικὸν θάτερον δὲ εἶδος. ὁ οὖν κατ̣τ̣ίτερος τρόπον μέν τινα εἶδός τι

---

1 ὑγρὰ om. (G)a; at cf. p. 220,23 ὅσα] ἄλλα Z 3 περιολισθένει T
6 om. lemm. pergit ὅταν δέ φησι τὸ ἕτερον a 7 ἢ RZ (cf. Ar. codd.): om. GT
9 post ἑτέρου iterant παθητικὸν ἢ (sic in iteratis) μόνον, μηκέτι — ἑτέρου GT
11 μείζω FZa: μεῖζον cett. 12 ὀλίγη ⟨πάνυ ἐστὶν⟩ a φασὶ a 13. 17. 20 κατίτ-
τερον, κασίτερος κατιττέρου, κατίττερος (item 30 et 202,3) a 14 πᾶσ R: ante πᾶς
distinguit a, ubi nihil adn. ex cett. 16 sq. ση⟨μείωσαι⟩ ὅτι βάπτεται ὁ χαλκὸς ὑπὸ
τοῦ κασιτέρου mrg. R 25 δέ ἐστι RZ (et V): δέ GT: om. a: equidem δέ deleverim
(τοιαῦτα φησὶν ὅτι τινὰ F) 27 δὲ μή] δέ τινα μὴ a 29 γάρ πως Arist.

καὶ πάθος ἐστὶ τοῦ χαλκοῦ, ἐξατμιζόμενος ἐν τῇ μίξει καὶ μόνον χρωμα- 45ᵛ
τίζων τὸν χαλκόν, οὐκ ἦν δὲ τὰ πάθη μικτὰ τοῖς ὑποκειμένοις, οὐ μὴν
παντάπασι τοιοῦτος ὁ καττίτερος. διὸ καὶ εἶπε τὸ ψελλίζεται καὶ τὸ
ἐπαμφοτερίζει· γίνεται γάρ τις ὀλίγη τοῦ ὑποκειμένου αὔξησις, ὅπερ οὐκ
5 ἔστιν ἐπὶ τῶν εἰδῶν. ὁμοία δὲ γίνεται ἡ μίξις καὶ ἐπὶ τῆς τέφρας καὶ
τοῦ ὕδατος. καὶ γὰρ ἐπ' ἐκείνων σχεδὸν μόνον | χρωματίζεται τὸ ὕδωρ 45ᵛ
ὑπὸ τῆς τέφρας, αὔξεται δὲ ἐπ' ὀλίγον· γίνεται γάρ τις τῆς τέφρας ἐν τῷ
ὕδατι αὔξησις.

p. 328ᵇ14 Φανερὸν τοίνυν ἐκ τῶν εἰρημένων καὶ ὅτι ἔστι μίξις.

10 Τουτέστιν ὅτι ἐν ὑπάρξει ἐστὶ καὶ οὐχ, ὥς τινες ἐνόμιζον, φαινομένη
μόνον ἐστὶν οὐκ οὖσα δέ. καὶ τί ἐστιν. αὐτὸς ἐφεξῆς ὁρίζεται τί ἐστιν
ἡ μίξις, ὅτι "τῶν μικτῶν ἀλλοιωθέντων ἕνωσις", κατὰ ποιότητα ὄντων
παθητικῶν καὶ ποιητικῶν, οὐδετέρου μὲν κατ' ἐνέργειαν ἔτι μένοντος τοῦ 5
αὐτοῦ, δυνάμει δὲ ἀμφοτέρων. καὶ διὰ τί. διὰ τὸ κοινὴν ὕλην ὑποβε-
15 βλῆσθαι τοῖς μιγνυμένοις, καὶ εἶναι ἐπ' ἴσης ποιητικὰ καὶ παθητικὰ ὑπ'
ἀλλήλων. καὶ ποῖα μικτὰ τῶν ὄντων. ὅτι οὔτε τὰ στερεὰ οὔτε πάντα
τὰ ὑγρά, ἀλλ' ὅσα ἐστὶν εὐόριστα καὶ εὐδιαίρετα, μὴ ὄντα γλίσχρα μηδὲ
περιολισθαίνοντα ἐν τῇ διαιρέσει.

p. 328ᵇ17 Ταῦτα γὰρ οὔτε ἐφθάρθαι ἀνάγκη μεμιγμένα οὔτε ἔτι
20 τὰ αὐτὰ ἁπλῶς εἶναι.

Οὐ γάρ ἐστι φθορὰ ἡ μίξις, μένει δὲ ἀμφότερα δυνάμει μὲν ἅπερ ἦν πρὶν
μιχθῆναι, ἐνεργείᾳ δὲ οὔ, ἀλλὰ κεκολασμένας ἔχοντα τὰς ἰδίας ποιότητας, 10
δεόμενα δὲ προσθήκης ἑκάτερον κατὰ τὴν οἰκείαν ποιότητα εἰς τὸ κατ'
ἐνέργειαν γενέσθαι ὅπερ ἦν, οὐ μέντοι ὁλοκλήρου μεταβολῆς· ἡ γὰρ τοιαύτη
25 γένεσίς ἐστι καὶ φθορά, οὐχὶ δὲ μίξις.

p. 328ᵇ19 Οὔτε σύνθεσιν εἶναι τὴν μίξιν αὐτῶν, οὔτε πρὸς τὴν
αἴσθησιν.

* * * ποιοῦντα καὶ τὸν ὁτιοῦν μόριον παρ' ὁτιοῦν τίθεσθαι λέγοντα.

---

5 ἡ] καὶ ἡ Z 6 μόνων R τὸ ὕδωρ om. a 7. 8 τῆς τέφρας ἐν τῷ ὕδατι αὔξησις recepi ex V: καὶ οὐσία τῆς τέφρας ἐν τῷ ὕδατι cett. 9 φανερὸν οὖν φησι καὶ ὅτι a 10 ὅτι RZ: om. GTa ἐνυπάρξει a 11 οὐκ οὖσα δέ] καὶ οὐκ οὖσα a ὁρίζεται γὰρ αὐτὸς ἐφεξῆς τί a 13 ποιητικῶν καὶ παθητικῶν FR 15 παθητικὰ καὶ ποιητικὰ GTa ἐπίσης libri 16 τῶν ὄντων om. a 17 ὅσον GT καὶ διαίρετα (sic?) GT 19 om. lemm. pergit τὰ γὰρ τοιαῦτα φησὶν οὐκ ἐφθάρθαι ἀνάγκη. οὐ γάρ ἐστι φθορὰ a ἔφθαρται TZ 22 ἰδίας] οἰκείας Z 23 δεόμενον R 24 μεταβολῆς a: μεταβολαὶ GTRZ 26. 203,2 οὐδὲ σύνθεσις φησὶν ἡ μίξις αὐτῶν, ὥστε ὁτιοῦν μόριον παρ' ὁτιοῦν τίθεσθαι. οὐδὲ πρὸς αἴσθησιν ἤγουν αἰσθητὴν δεῖ ποιεῖν αὐτὴν, εἰπὼν δὲ μικτὸν εἶναι a 28 lacunam ante ποιοῦντα signavi: κατὰ τὸν λόγον ποιοῦντα S

p. 328ᵇ21 Πρὸς ὁμώνυμον γὰρ τὸ μικτόν. 45ᵛ

Εἰπὼν μικτὸν εἶναι ὃ ἂν εὐόριστον ὂν παθητικὸν εἴη καὶ ποιητικὸν καὶ τοιούτῳ μικτὸν ὁποῖόν ἐστιν αὐτό, ἐπήγαγε πρὸς ὁμώνυμον γὰρ τὸ μικτόν, τὸ ὁμώνυμον ἀντὶ τοῦ 'συνώνυμον' θείς, ἡ δὲ χρῆσις αὐτῷ συνήθης. εἰ γὰρ ἀμφότερα εὐόριστα καὶ ὑπ' ἀλλήλων παθητικά, συνώνυμά ἐστι δηλονότι κατὰ τοῦτο· μικτά τε γὰρ ἄμφω καὶ τὸν λόγον ἔχοντα τοῦ μικτοῦ.

p. 328ᵇ22 Ἡ δὲ μίξις τῶν μικτῶν ἀλλοιωθέντων ἕνωσις.

Τουτέστι δι' ἀλλοιώσεως ἕνωσις. ὅταν γὰρ ἀλλοιωθῇ τὰ μιγνύμενα οὕτως ὡς τὸ ἐξ αὐτῶν ἕν τι ὁμοιομερὲς ὅλον γενέσθαι, τότε ἥνωται. καὶ ὁ λόγος ἂν οὗτος εἴη μίξεως 'ἕνωσις τῶν μικτῶν δι' ἀλλοιώσεως', ὡς πῇ μὲν σῴζεσθαι τὰ μιγνύμενα πῇ δὲ φθείρεσθαι, ἐνεργείᾳ μὲν οὐκ ὄντα τοιαῦτα, ὡς εἴρηται, ἀλλὰ κεκολασμένα ἐφθάρθαι δοκεῖ, μηκέτι τὴν ἀκρότητα τοῦ τοιούτου σῴζοντα εἴδους, τῷ δὲ μὴ καθ' ὅλας αὐτὰς μεταβεβληκέναι τὰς ποιότητας, ἀλλ' ἕνωσιν ὑπομεῖναι τούτων, ταύτῃ ὑπομένει καὶ σῴζεται.

---

3 τοιούτῳ Ar.: τοιοῦτο RZa: τοιοῦτον GT 4 τὸ (ante ὁμώνυμον)] τὴν Z
7 ἔχοντα RZ: ἔσχατον GT: ἔχει τὸν a 8 τελευταῖον ἐπάγει ὅτι ἡ μίξις τῶν a
10. 11 ἥνωτε. καὶ λόγος ἂν a 14 αὐτὰς libri 16 τέλος τῆς ἐξηγήσεως τοῦ πρώτου τῶν περὶ γενέσεως καὶ φθορᾶς Z

# ΙΩΑΝΝΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ ΣΧΟΛΙΚΑΙ ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ ΕΚ ΤΩΝ ΣΥΝΟΥΣΙΩΝ ΑΜΜΩΝΙΟΥ ΤΟΥ ΕΡΜΕΙΟΥ ΜΕΤΑ ΤΙΝΩΝ ΙΔΙΩΝ ΕΠΙΣΤΑΣΕΩΝ ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΩΝ ΠΕΡΙ ΓΕΝΕΣΕΩΣ ΚΑΙ ΦΘΟΡΑΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ. 45v 25

* * * ἁπλῆν μὲν γένεσιν καλῶν τὴν τῆς κυριωτέρας καὶ κρείττονος 33
οὐσίας γένεσιν, οἷον πυρός, τινὰ δὲ γένεσιν τὴν τῆς χείρονος, οἷον γῆς. τὸ
δὲ πῶς, ὅτι κατὰ μεταβολὴν τοῦ εἴδους τοῦ οὐσιώδους. τὸ δὲ διὰ τίνα 35
αἰτίαν, διότι κοινὴ ὕλη αὐτοῖς ὑποβέβληται, τρεπτὴ οὖσα καὶ τῶν ἐναντίων δεκτική. καὶ τίνα ἔχει διαφορὰν αὐτῶν. λείπει τὸ 'ἑκάτερον', τουτέστι τίνα ἔχει ἑκάτερον αὐτῶν πρὸς ἄλληλα διαφοράν.

p. 328b31 Λοιπὸν δὲ θεωρῆσαι περὶ τὰ καλούμενα στοιχεῖα τῶν σωμάτων.

Ἢ τὴν πτῶσιν χρὴ ἐναλλάξαντα λέγειν 'λοιπὸν δὲ θεωρῆσαι περὶ τῶν καλουμένων στοιχείων', [ἐστὶ καὶ παρ' Ὁμήρῳ
οἱ δὲ δύο σκόπελοι ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει 40
ἀντὶ τοῦ 'τῶν δὲ δύο σκοπέλων ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει'] ἢ προσυπακοῦσαι ἔξωθεν χρὴ τὸ 'πῶς ἐστιν ἐν αὐτοῖς γένεσις καὶ φθορά', ἵν' ᾖ συνεχὴς ὁ λόγος τοῖς προειρημένοις. ἔστι γὰρ ἅπας ὁ λόγος ἄνωθεν ἀνα-

1 tit. σχόλια καὶ ἀποσημειώσεις ἐκ τῶν συνουσιῶν ἀμμωνίου τοῦ ἑρμείου εἰς [τὸν πρῶτον deleta] τὸ δεύτερον τῶν περὶ γενέσεως καὶ φθορᾶς ἀριστοτέλους R: om. Z 2 ἀποσημειώσης a 3 τινων G: καί τινων Ta 5 lemma περὶ μὲν οὖν μίξεως — τῶν σωμάτων (Ar. p. 328b26—32) praeponit a καλεῖ coni. a: satius duxi lacunam indicare 5. 6 τὴν τῆς οὐσίας τῆς κυριωτέρας καὶ κρείττονος γένεσιν Z 7 διά τινα GT 8 ἀποβέβληται G 9 ἐν δὲ τῷ καὶ τίνα a 11 λοιπὸν δὲ θεωρῆσαι] ἐν δὲ τῷ a 13. 14 Ἢ — στοιχείων om. Z 14 τὰ καλούμενα στοιχεῖα τῶν σωμάτων primitus R 14. 16 ἐστὶ καὶ — ἱκάνει delevi 14 ἐστὶ καὶ παρ' ὁμήρῳ R: ἐστὶ (οἷον ἐστὶ a) καὶ τῷ (τὸ em. a) παρ' ὁμήρῳ GTa: καὶ ἐν ὁμήρῳ ἐστὶ Z 'Ομήρῳ μ 73 15 σκόπολοι T εὐρὺν οὐρανὸν Z 16 ἀντὶ — ἱκάνει om. GT τοῦ a: τῶν τούτων RZ δὲ RZ. om. a 18 τῷ προειρημένῳ Z ὁ λόγος ἅπας Z

λαβοῦσι τοιοῦτος. εἴρηται, φησίν, ἡμῖν ἤδη καθόλου ἐν τοῖς κατὰ φύσιν 45ᵛ
μεταβάλλουσι πῶς ὑπάρχει ἁφὴ καὶ μίξις καὶ τὸ ποιεῖν καὶ πάσχειν,
εἴρηται δέ, φησί, περὶ γενέσεως καὶ φθορᾶς τίνος ἐστὶ καθόλου, ἐφεξῆς
δὲ λοιπὸν μετὰ τὸν καθόλου περὶ αὐτῶν λόγον θεωρητέον πῶς περὶ τὰ 45
καλούμενα στοιχεῖά ἐστι ταῦτα, τουτέστι πῶς ὑπάρχει τοῖς στοιχείοις ἡ
γένεσις καὶ ἡ φθορὰ καὶ τὰ λοιπὰ τὰ εἰρημένα. καλούμενα δὲ εἶπε,
διότι οὐκ αὐτὸς ἔθετο αὐτοῖς τοὔνομα, ἀλλ' ἐν τῇ συνηθείᾳ περιφέρεται.
οὐδὲ γὰρ κυρίως ταῦτα στοιχεῖα ὀνομάζεται, ἀλλ' ὥσπερ ἐν τῷ λόγῳ
στοιχεῖα λέγεται τὰ πρώτιστά τε καὶ ἁπλούστατα καὶ ἀσύνθετα, λέγω δὲ
τὰ εἰκοσιτέσσαρα στοιχεῖα, οὕτως καὶ τῶν φυσικῶν σωμάτων κυρίως
στοιχεῖα ἂν λέγοιντο τὰ πρώτιστα καὶ ἁπλούστατα· ταῦτα δέ ἐστιν ὕλη
καὶ εἶδος. ἃ καλούμενα αὐτὰ εἶπεν, ὡς μήπω ἀποδεδειγμένου τοῦ ταῦτα 50
εἶναι τὰ ὕλης λόγῳ ὑποκείμενα τοῖς συνθέτοις πᾶσι σώμασι τοῖς ἐν γενέσει
καὶ φθορᾷ· τοῦτο γάρ ἐστι τὸ προκείμενον αὐτῷ κατὰ τὸ παρόν, διδάξαι
τε τὸν τρόπον τῆς ἐξ ἀλλήλων γενέσεως καὶ ἀποδεῖξαι ὅτι ταῦτα μόνα ἐστὶ
καὶ το|σαῦτα τὰ ὀνομαζόμενα, ἐξ ὧν πάντα τὰ ἐν γενέσει καὶ φθορᾷ 46ʳ
σύγκειται.

p. 328ᵇ32 Γένεσις μὲν γὰρ καὶ φθορὰ πάσαις ταῖς φύσει συνεστώσαις οὐσίαις οὐκ ἄνευ τῶν αἰσθητῶν σωμάτων.

Μέλλων διαλεχθῆναι περὶ στοιχείων καὶ τῆς εἰς ἄλληλα αὐτῶν μεταβολῆς, δείκνυσιν ὅτι οὔτε ταῦτα οὔτε τούτων τί ἐστι τὸ ὑποκείμενον τῶν 5
ἐν γενέσει καὶ φθορᾷ, ὥσπερ ᾤοντό τινες ὧν καὶ τὰς δόξας ἐκτίθεται·
ἀρχαὶ γὰρ κυρίως καὶ στοιχεῖα πρῶτα τῶν ἐν γενέσει καὶ φθορᾷ ἡ ὕλη
ἐστὶ καὶ τὸ εἶδος, ἐξ ὧν καὶ αὐτὰ ταῦτα τὰ καλούμενα στοιχεῖα σύγκειται,
καὶ ἐν αὐτοῖς ἐστι γένεσις καὶ φθορά. εἰ δὲ τῶν γινομένων καὶ φθειρομένων ἐστὶ καὶ αὐτά, δῆλον ὡς οὐκ ἂν εἴη πάντων τῶν ἐν γενέσει καὶ
φθορᾷ στοιχεῖα, ἀλλ' ἡ ὕλη καὶ τὸ εἶδος, ἅπερ καὶ τούτων καὶ πάντων
τῶν ἐν γενέσει καὶ φθορᾷ κοινὰ ὑπάρχει. ἡ μὲν οὖν κατὰ τὴν διδασκα- 10
λίαν τάξις τοιαύτη τις. ὃ δέ φησι τὸ ῥητόν, τοιοῦτόν ἐστιν. ἐπειδή,
φησίν, ἡ γένεσις καὶ ἡ φθορὰ πασῶν τῶν φυσικῶν οὐσιῶν οὐκ ἄνευ αἰσθητῶν ἐστι σωμάτων, ἀλλ' ἀεὶ ἐν τούτοις, εὔλογον ἂν εἴη τὸν ἀρχὰς
ζητοῦντα τῶν γινομένων καὶ φθειρομένων, τῶν αἰσθητῶν σωμάτων ζητεῖν
τὰς ἀρχὰς καὶ τὰ στοιχεῖα· ἐν τούτοις γὰρ τὰ γινόμενα καὶ φθειρόμενα.
ὅρα δὲ ὅπως ἀσφαλῶς οὐκ εἴρηκεν ὅτι πάντα τὰ γινόμενα καὶ φθειρόμενα

3 φησι καὶ περὶ a 4 τὸν] τῶν Z 6 δὲ εἶπε RZ: om. GT: δέ φησι a
7 οὐκ — ἀλλ' om. GTa ἔθετο αὐτοῖς R: αὐτοῖς ἔθετο Z τοὔνομα R: τὸ ὄνομα Z συνηθείᾳ οὕτω περιφέρεται GTa 9 λέγεται] λέγω Z 10 οὕτω a
τῶν] τὰ Z 11 ἂν λέγοιντο Z: ἂν λέγοιτο R: λέγεται GTa 12 ἀποδεδειγμένα Z
13 σώματα Z 20 διελεγχθῆναι G: διελεχθῆναι T¹ 23 ἀρχὴ GT 25 φθορᾷ a
29 τοιαύτη τίς ἐστιν Za 34 καὶ φθειρόμενα om. R

αἰσθητὰ σώματά εἰσιν, ὅπερ ἄν τις ἀσκεπτότερον ὑπώπτευσεν, οἰόμενος 46r
τὰ μὲν γινόμενα καὶ φθειρόμενα αἰσθητὰ εἶναι ἐξ ἀνάγκης σώματα, μὴ 16
μὴν πάντως τὰ αἰσθητὰ σώματα καὶ γενητὰ εἶναι καὶ φθαρτά, καθάπερ
τὰ οὐράνια· ἀλλ' ἀκριβέστερον αὐτὸ θεωρήσας, ἵνα μή τις προφέροι τὰς
5 φυσικὰς δυνάμεις, αἵτινες φυσικαί τέ εἰσιν οὐσίαι καὶ γίνονται καὶ φθεί-
ρονται, οὐ μὴν καὶ σώματά εἰσιν αἰσθητά, ἀληθέστατά τε ἅμα καὶ ἀσφα-
λέστατα· τὸν λόγον προήγαγε, φάσκων μὴ ἄνευ τῶν αἰσθητῶν σωμάτων
ταῖς φύσει συνεστώσαις οὐσίαις ὑπάρχειν γένεσιν καὶ φθοράν. αἱ γὰρ 20
φυσικαὶ δυνάμεις οὐσίαι τινὲς οὖσαι καὶ αὐταί, εἰ καὶ μὴ σώματά εἰσιν,
10 ἀλλ' οὖν ἐν σώμασι τὸ εἶναι ἔχουσαι ἐν αὐτοῖς γεννῶνται καὶ φθείρονται·
οὐκ ἄρα ἄνευ τούτων φθορᾶς καὶ γενέσεως μετειλήχασιν. εἰ δὲ ἐν τῇ
Φυσικῇ ἀκροάσει ἐν τοῖς περὶ κινήσεως λόγοις εἶπεν ὁ Ἀριστοτέλης τὰς
φυσικὰς δυνάμεις καὶ τὰς ζωὰς τὰς ἐν τοῖς φυσικοῖς σώμασιν μὴ ἔχειν
γένεσιν, οὐκ ἐναντιοῦται τοῖς ἐνταῦθα εἰρημένοις. ἐκεῖ γὰρ γένεσιν ἐκά-
15 λει οὐχ ἁπλῶς τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν πάροδον. τοιαύτην μὲν 25
γὰρ γένεσιν οὐκ ἔχουσιν αἱ τοιαῦται δυνάμεις καὶ ζωαί, ὡς δὲ ἐκ τοῦ μὴ
ὄντος εἰς τὸ ὂν προαγόμεναι καὶ πάλιν ἐκ τοῦ ὄντος εἰς τὸ μηδαμῇ μηδα-
μῶς χωροῦσαι, ταύτῃ γίνεσθαι ἂν λέγοιντο καὶ φθείρεσθαι.

p. 328b34 Οἱ μέν φασιν εἶναι μίαν, οἷον ἀέρα τιθέντες ἢ πῦρ ἤ
20 τι μεταξὺ τούτων, σῶμά τε ὂν καὶ χωριστόν.

Κατασκευάσας ὅτι χρὴ περὶ τῶν γινομένων καὶ φθειρομένων τὸν 30
λόγον ποιουμένους τῶν αἰσθητῶν σωμάτων τὰς ἀρχὰς ζητεῖν (ἐν τούτοις
γὰρ ἡ γένεσις καὶ ἡ φθορά), νῦν χωρεῖ ἐπὶ τὴν ζήτησιν, καὶ δείκνυσιν
ὅτι τὰ καλούμενα τέσσαρα στοιχεῖα οὐκ ἔστιν ὕλη κοινὴ τῶν αἰσθητῶν
25 σωμάτων οὐδὲ κυρίως ἀρχή, οὔτε πάντα οὔτε ἕν τι αὐτῶν, ὥσπερ τινὲς
ᾠήθησαν, ἀλλὰ καὶ αὐτὰ αἰσθητὰ σώματά εἰσι γενητὰ καὶ φθαρτά. τί-
θησι δὲ τὰς δόξας τῶν οἰηθέντων ἀρχὰς αὐτὰ εἶναι τῶν γενητῶν καὶ
φθαρτῶν. οἱ μὲν γὰρ ἕν τι αὐτῶν ὑπέθεντο ἀρχὴν τῶν σωμάτων, ὥσπερ 35
πῦρ μὲν Ἡράκλειτος ὁ Ἐφέσιος καὶ Ἵππασος, ἀέρα δὲ Διογένης ὁ
30 Ἀπολλωνιάτης καὶ Ἀναξιμένης, Θαλῆς δὲ καὶ Ἵππων τὸ ὕδωρ· Ἀναξί-
μανδρος δὲ ἄλλο τι παρὰ τὰ τέσσαρα στοιχεῖα ὑπέθετο τῶν ὄντων ἀρχήν.

Ἢ τι μεταξὺ τούτων, σῶμά τε ὂν καὶ χωριστόν. ἐπειδὴ ὁ
Ἀναξίμανδρος ἠδύνατο, τὴν ὕλην ὀρθῶς ὑποθέμενος ἀρχὴν τῶν σωμάτων,

---

1 ὑπόπτευσεν GT[1] 2 μὲν om. Z 4 τὰ om. Z αὐτὸς a προσφέροι T[2]: προφέρη a 8 ταῖς in lac. om. R συνιστάσαις T[1] ὑπάρχει GT[1] 10 ἐν σώματι Z 12 Ἀριστοτέλης] cf. Phys. II c. 3 15 ὂν RZ: εἶναι GTa 15. 17 πάροδον — εἰς τὸ ὂν iterat R 17 post εἰς τὸ ὂν habent πρὸ ὄν GT, προὸν R: non intellego 19 φασὶ μίαν εἶναι a 20 τί τῶν μεταξὺ a 26 σώματά ἐστι a 28 αὐτῶν ἕν τι T 30 θάλης R 31 ὑπέθετο R 32 Ἢ — χωριστόν om. a, qui pergit ἐπειδὴ δὲ ὁ

μεταξὺ αὐτὴν εἶναι λέγειν τῶν στοιχείων ὡς ὑποκειμένην αὐτοῖς (οὕτω 46r
γὰρ κατὰ τὸ τρίτον σχῆμα μέσον ὅρον ὀνομάζομεν τὸν μηδετέρῳ τῶν
ἄκρων ὄντα τὸν αὐτόν, ἀμφοτέροις δὲ ὑποκείμενον), δεικνὺς ὁ Ἀριστοτέλης 40
ὅτι οὐ κατὰ ταύτην τὴν ἔννοιαν ὑπετίθετο, ἀλλὰ τὸ μεταξὺ γῆς καὶ
5 πυρὸς ἢ ἀέρος καὶ ὕδατος, προσέθηκε σῶμά τε ὂν καὶ χωριστόν.
ἀδύνατον δὲ παρὰ τὰ τέσσαρα ἄλλο τι σῶμα ἁπλοῦν ὑποθέσθαι ὑφεστηκὸς
ἐφεξῆς δείκνυσιν. εἰ γὰρ σῶμά ἐστιν ὑφεστώς, ἐν τόπῳ τε ἔσται καὶ
πεποιωμένον, ἐν τόπῳ δὲ ὂν ἢ ἄνω ἢ κάτω, ἄνω δὲ ὂν ἢ πῦρ ἢ ἀήρ, κάτω δὲ
ὕδωρ ἢ γῆ τυγχάνει. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ ποιοτήτων. ἀνάγκη γὰρ αὐτὸ
10 τὸ ἕτερον τῶν ἐναντιώσεων ἔχειν· ἢ γὰρ κοῦφόν ἐστιν ἢ βαρύ, καὶ ἤτοι 45
θερμὸν ἢ ψυχρόν, καὶ ἢ ὑγρὸν ἢ ξηρόν. οἵαις δ' ἂν αὐτὸ χαρακτηρίσῃς
τῶν εἰρημένων διαφοραῖς, τῶν τεσσάρων ἕν τι ἔσται ἐξ ἀνάγκης. καλῶς
δὲ τὸ σῶμα εἰπὼν προσέθηκε χωριστόν, ἵνα τὸ φυσικὸν δηλώσῃ σῶμα· τὸ γὰρ μαθηματικὸν οὐ τοιοῦτον.

15 p. 329a1 Οἱ δὲ πλείω τὸν ἀριθμὸν ἑνός, οἱ μὲν πῦρ καὶ γῆν. |

Εἰπὼν τοὺς ἕν τι τῶν τεσσάρων ὑποτιθεμένους ἀρχὴν τῶν σωμάτων, 46v
νῦν τοὺς πλείους μιᾶς ὑποτιθεμένους ἀρχὰς ἐκτίθεται, ἤτοι τινὰ τῶν
τεσσάρων † τί ὄντα † πῦρ μὲν καὶ γῆν Παρμενίδης ὑπέθετο, ταῦτα δὲ μετὰ 5
τοῦ ἀέρος Ἴων ὁ Χῖος ὁ τραγῳδοποιός, Ἐμπεδοκλῆς δὲ τὰ τέσσαρα
20 ὑπέθετο.

p. 329a3 Ἐξ ὧν συγκρινομένων καὶ διακρινομένων ἢ ἀλλοιουμένων συμβαίνειν τὴν γένεσιν καὶ τὴν φθορὰν τοῖς πράγμασιν.

Εἴρηται ἐν τῷ πρὸ τούτου βιβλίῳ ὅτι οἱ μὲν πλείους μιᾶς ἀρχὰς
ὑποθέμενοι συγκρίσει καὶ διακρίσει τὴν γένεσιν καὶ τὴν φθορὰν εἰρήκασιν γίνε-
25 σθαι, δυνάμενοι καὶ ἀλλοίωσιν σῶσαι ἑτέραν οὖσαν γενέσεως καὶ φθορᾶς,
οἱ δὲ μίαν ἀρχὴν ὑποθέμενοι, ἐπειδὴ ἀμετάβλητον χρὴ μένειν τὴν ἀρχὴν
εἴπερ ὄντως εἴη ἀρχή, ἐξ ἀνάγκης κατὰ ἀλλοίωσιν ἔλεγον τὴν γένεσιν καὶ
τὴν φθοράν, καὶ οὐ κατὰ τὴν τῆς οὐσίας μεταβολήν, καὶ οὕτως εἰς ταὐτὸν

---

2 μηδετέρῳ] δευτέρω (spatio vacuo ante relicto) R 4. 5 γῆς ἢ πυρὸς καὶ ὕδατος καὶ ἀέρος GTa 5 τε om. GTa 6 ἀλλ' ὅτι R 7 ὑφεστὸς GT¹Z: ὑφεστηκὼς a 8 ἢ ἄνω ἔσται ἢ R 9 ἢ ὕδωρ ἢ Z 11 δ' ἂν] γὰρ R χαρακτηρίσῃς Z: χαρακτηρίσεις R: χαρακτηρήσῃς GT: χαρακτηρίσαις a 15 οἱ μὲν γὰρ πῦρ a γῆ T 16. 17 ἀρχὴν—ὑποτιθεμένους bis GT 17 ἀρχὰς om. a ἤτοι] ἤγουν a 17. 18 τῶν τεσσάρων τινὰ Z 18 τί ὄντα R: ὄντα GT: ὧν Z: ἢ καὶ αὐτὰ τὰ τέσσαρα. οἷον a: scrib. ἢ πάντα ⟨ὥσπερ⟩ παρμενίδης RZ: καὶ παρμενίδης GT: ὁ παρμενίδης a ὑπετίθετο T¹ 19 ἴωνος ὁ χιὼν ὁ τραγοδοποιὸς R 21. 25 ἐξ ὧν—σῶσαι] οὗτοι μὲν οὖν καὶ γένεσιν καὶ ἀλλοίωσιν σῶσαι ἠδύναντο a 21 συγκρινουμένων Z διακρινομένων ἢ om. RZ 22 συμβαίνειν Arist.: συμβαίνει GRTZ 22. 24 τοῖς πράγμασιν—φθορὰν RZ: om. GT 23 ἐν τῷ κτλ.] A 1 26 ὑποτιθέμενοι a ἀμετάβλητα GT 27 ὄντος R ἔλεγον γίνεσθαι τὴν Z

ἠναγκάζοντο ἄγειν γένεσιν καὶ ἀλλοίωσιν, μὴ δυνάμενοι διαφορὰν αὐ- 46v
τῶν ἀποδοῦναι. 10

p. 329a5 Ὅτι μὲν οὖν τὰ πρῶτα ἀρχὰς καὶ στοιχεῖα καλῶς ἔχει λέγειν, ἔστω συνωμολογημένον.

Τὸ μὲν οὖν, φησί, τὰ πρῶτα, ἐξ ὧν τὰ ἄλλα γίνεται, στοιχεῖα καλεῖν καὶ ἀρχὰς εὔλογον, τὸ δὲ ταῦτα ὑποθέσθαι πρῶτα, ἅπερ ἐκεῖνοι λέγουσιν, οὐκ εὔλογον, ὅπερ ὡς ἀκόλουθον καὶ σαφὲς παρῆκεν. ὑπέθεντο δὲ οἱ μὲν τὰ τέσσαρα στοιχεῖα ἢ τινὰ ἢ πάντα, οἱ δ' ἄλλο τι παρὰ ταῦτα, ὥσπερ Ἀναξίμανδρος. ἐλέγχει δὲ αὐτὸν οὐχ ὡς ἄλλο παρὰ τὰ τέσσαρα στοιχεῖα ὅλην ὑποθέμενον (ταύτῃ γὰρ ἐδύνατο λέγειν ὀρθῶς, εἴπερ ἀσώματον αὐτὴν καὶ ἀνείδεον ἔφασκεν), ἀλλ' ἐλέγχει διότι σῶμα αὐτὸ ὑπε- 15
τίθετο χωριστόν.

p. 329a11 Ἢ γὰρ κοῦφον ἢ βαρὺ ἢ ψυχρὸν ἢ θερμὸν ἀνάγκη εἶναι τὸ ἄπειρον.

Δείξας ὅτι εἰ σῶμά ἐστιν ὑφεστηκὸς ἣν ὑποτίθεται ὅλην Ἀναξίμανδρος, ἀνάγκη μετὰ ἐναντιώσεως αὐτὴν θεωρεῖσθαι, δέον ἐπαγαγεῖν ὅτι 'τὸ ἐναντίωσιν δὲ ἔχον τῶν τεσσάρων ἕν τι ἔσται', ὡς σαφὲς ὂν ἀφῆκε προσυπακούεσθαι.

p. 329a13 Ὡς δὲ ἐν τῷ Τιμαίῳ γέγραπται, οὐδένα ἔχει διο- 21
ρισμόν.

Πρὸς Πλάτωνα ἐντεῦθεν ἀποτεινόμενος πρῶτον μὲν ἐγκαλεῖ ὡς εἰπόντι 25
μὲν τὴν ὅλην ἀρχὴν εἶναι τῶν φυσικῶν, μὴ διορισαμένῳ δὲ σαφῶς εἴτε δύναται χωρίζεσθαι τῶν σωματικῶν στοιχείων αὐτὴ καθ' αὑτὴν ὑφεστηκυῖα εἴτε μή. στοιχεῖα δὲ εἴτε τὰ καλούμενα λέγει τὰ τέσσαρα, εἴτε τοὺς κύβους καὶ τὰς πυραμίδας, ἅπερ ὁ Πλάτων ὑποτίθετο, οὐδὲν διοίσει· ὁ λόγος γὰρ αὐτῷ ἐστιν, εἰ δύναται αὐτὴ καθ' αὑτὴν ἡ ὕλη ὑποστῆναι ἢ εἰ μετά τινός ἐστι σώματος. καί φησι μηδὲν περὶ τούτου σαφῶς εἰρηκέναι τὸν Πλάτωνα. εἰδέναι δὲ χρὴ ὅτι εἰ καὶ μὴ οὕτω σαφῶς μηδὲ 30
τοῖς αὐτοῖς ῥήμασιν Ἀριστοτέλει χρησάμενος εἶπε περὶ τούτου ὁ Πλάτων, ἀλλ' οὖν ἱκανῶς πρὸς τὸ σαφηνισθῆναι τὴν περὶ τούτου γνώμην αὐτοῦ. αὐτὸς γὰρ ἐστιν ὁ εἰπὼν περὶ τῆς ὅλης διαλεγόμενος "δέχεται γὰρ ἀεὶ

3 lemma om. hic a 4 ἔστω RZ: ἔστω οὖν GT συνομολογούμενον Arist. 8 οἱ δ'] οὐδ' GT 10 ἠδύνατο Z 11. 12 ὑπετίθεντο R 13 lemma om. hic a, qui pergit δείξας δὲ ὅτι 15 ὑπετίθετο ὅλην R: ὅλην ὑποτίθεται Z 17 ἐναντίωσιν] ἐναντίως Z 21 εἰπόντα et 22 διωρισμένον R 24 λέγοι R 26 γάρ ἐστιν αὐτῷ Z 27 περὶ τούτου μηδὲν Z 28 οὕτως T 30 αὐτοῦ libri 31 δέχεται κτλ.] cf. Platon. Tim. p. 50 B sq.

πάντα, καὶ μορφὴν οὐδενὶ τῶν εἰσιόντων ὁμοίαν εἴληχεν". εἰ δὲ ἀεὶ 46r
δέχεται, δῆλον ὅτι οὐδέποτε αὐτὴ καθ' ἑαυτὴν ὑφέστηκεν.

p. 329a15 Οὐδὲ χρῆται οὐδέν, φήσας εἶναι ὑποκείμενόν τι τοῖς καλουμένοις στοιχείοις.

Εἰς ἕτερον νῦν αἰτιᾶται τὸν Πλάτωνα, ὅτι θέμενος εἶναι ὕλην ὑπο-
κείμενον οὖσαν τῶν στοιχείων, ἐν τῇ κοσμοποιίᾳ εἰς οὐδὲν αὐτῇ ἐχρήσατο 35
κατὰ τὰς τῶν σωμάτων γενέσεις, ἐξ ἐπιπέδων πάντα λέγων γίνεσθαι συν-
τιθεμένων. ἀμφότερα δὲ πιστοῦται, τὸ μὲν ὅτι ἔθετο ὕλην ὑποκειμένην
τοῖς στοιχείοις, ἀναμνήσας ἡμᾶς τοῦ παραδείγματος τοῦ Πλατωνικοῦ, διὰ
τοῦ οἷον χρυσὸν τοῖς ἔργοις τοῖς χρυσοῖς· εἶτα πρὶν τοῦ δευτέρου
τὴν πίστιν παραγάγῃ, ὅτι οὐ χρῆται τῇ ὕλῃ ἐν τῇ γενέσει τῶν σωμάτων,
εἰς ἄλλο ἐπισκήπτει τῷ Πλάτωνι, διότι ἔφη ὁ Πλάτων χρῆναι μᾶλλον ἐκ
τοῦ ὑποκειμένου καὶ τῆς ὕλης ἐπιφέρειν τὸ ὄνομα τοῖς ἐν γενέσει καὶ 40
φθορᾷ, οὐ δεῖ δὲ ἐκ τῆς ὕλης χαρακτηρίζειν τὰ ὄντα ἀλλ' ἐκ τοῦ εἴδους·
τοῦτο γάρ ἐστι τὸ τὴν ἰδίαν ἑκάστου ἀφορίζον φύσιν.

Πρὸς τοῦτο τοίνυν εἴποι ἂν ὁ ὑπὲρ Πλάτωνος τὸν λόγον ποιούμενος,
ὅτι καὶ αὐτὸς διατάττει κατὰ τὸ εἶδος χαρακτηρίζεσθαι ἕκαστον. εἶπε
γάρ, φησίν, ἑκάστῳ τὸ μὲν εἶναι κατὰ τὸ εἶδος ὑπάρχειν, τὸ δὲ γίνεσθαι
κατὰ μέθεξιν τοῦ εἴδους, τὸ φθείρεσθαι δὲ κατὰ ἀποβολήν. ἐκ τῆς ὕλης
δὲ εἶπε χρῆναι ὀνομάζεσθαι, οὐχ ὡς κατὰ ταύτην χαρακτηριζομένων τῶν 45
ἐνύλων πραγμάτων καὶ συνθέτων, ἀλλ' ὡς ἀσφαλέστερον ὂν ἐκ τῆς ὕλης
αὐτὰ καλεῖν· τοῦ γὰρ εἴδους μεταβάλλοντος αὕτη μένει ἀεί. τὸν γοῦν χρυσοῦν
⟨ἀνδριάντα⟩ ἀνδριάντα μὲν καλεῖν, ἐὰν μεταβαλὼν γένηται τρίπους, οὐκέτι
ἀληθὲς ὑπάρχει, χρυσὸν δὲ καλεῖν ἀληθὲς καὶ μετὰ τὴν μεταβολήν· μένει
γὰρ ἡ ὕλη ἡ αὐτὴ τὰ εἴδη ὑποδεχομένη. πρὸς τοῦτο δικαίως ἂν φαίη
Ἀριστοτέλης, ὅτι ἐπὶ μὲν ἀλλοιώσεως καλῶς ἂν ἔχοι τὸ μεταβάλλον ἐκ
τοῦ ὑποκειμένου ὀνομάζειν, διότι εἰδοποιηθὲν ὂν τὸ ὑποκείμενον ἐκ 50
τοῦ εἴδους χαρακτηρίζεται καὶ οὐκ ἐκ τοῦ πάθους τοῦ κατὰ τὴν ἀλλοίωσιν
προσγεγονότος, ἐπὶ δὲ γενέσεως καὶ φθορᾶς ἀδύνατον τὸ γεγονὸς ἐκεῖνο
λέγειν εἶναι ὅπερ ἦν πρὶν γένηται, καὶ τὸ φθαρὲν καλεῖν ἐκ τῆς ὕλης ἥτις
ὑπομένουσα οὐκ ἔφθαρται. οἷον ἐπειδὴ τὰ σύνθετα γίνεται καὶ φθείρε-
ται, εἴ τις περί τινος αὐτῶν ἔροιτο, εἰ τύχοι τοῦ φθαρέντος ἵππου καὶ
γενομένου ἀνθρώπου τί τὸ φθαρέν ἐστι καὶ τί τὸ γεγονός, εἴπερ φαίην
ὅτι ὕλη, ἄντικρυς ψεύδομαι· οὔτε γὰρ τὸ φθαρὲν ἡ ὕλη ἐστίν (ἔτι γὰρ 47r

1 εἴληφεν Z 2 καθ' αὑτὴν Z 3 lemmate om. pergit ἔπειτα καὶ καθ' ἕτερον αἰτιᾶται τὸν a 5 αἱ τοιαῦται τὸν πλάτωνα R: τὸν πλάτωνα αἰτιᾶται Z 6 οὖσα R 7 γίνεσθαι λέγων a 9 Πλατωνικοῦ] Tim. 50 A 9. 10 διὰ τοῦτο Z 16 ὑπὲρ RZ: περὶ GTa τὸν om. Z 17. 18 φησὶ γὰρ (om. εἶπε) a; ceterum cf. Philop. Phys. p. 183,15 sqq. 19 δὲ om. T 22 αὐτὴ a τὸν F: τὸ cett. 23 prius ἀνδριάντα addidi ex F: om. cett. μεταβαλὸν a τρόπους GT¹ 24 μετὰ τὴν bis Z 26 ὁ Ἀριστοτέλης GTa 29 προγεγονότος RZ τὸ γεγονὸς ἀδύνατον Z 30 γεγένηται (GT)a 32 ἔροιτο R: ἔροιτό με a

μένει), οὔτε τὸ γεγονὸς ὕλην καλεῖν δυνατόν· ἦν γὰρ καὶ πρὸ τῆς γενέ- 47r
σεως. ἐπὶ δὲ τῆς ἀλλοιώσεως ἄνθρωπον καλοῦμεν καὶ τὸν ἀποβαλόντα
τὴν μελανίαν καὶ τὸν προσλαβόντα τὴν λευκότητα, καὶ οὐχὶ λευκὸν καὶ
μέλαν· τὸ γὰρ λευκὸν καὶ μέλαν παθῶν καὶ οὐκ οὐσίας ἐστὶ σημαντικά.

p. 329a21 Ἀλλὰ τῶν στοιχείων ὄντων στερεῶν μέχρι ἐπιπέδων ποιεῖται τὴν ἀνάλυσιν.

Διὰ μέσου ἀπαντήσας πρὸς τὸ λέγειν ἐκ τοῦ ὑποκειμένου μᾶλλον 5
δεῖν τὰ ὀνόματα τίθεσθαι, νῦν ἐγκαλεῖ αὐτῷ ὅτι στερεὰ τὰ στοιχεῖα ὑπο-
θέμενος μέχρι ἐπιπέδων αὐτὰ διαλύει, διὰ τούτου καὶ τὸ πρότερον εἰρη-
μένον πιστούμενος, ὅτι εἰς οὐδὲν χρῆται τῇ ὕλῃ· μέχρι γὰρ ἐπιπέδων,
φησί, προῆλθεν, ἐξ ὧν εἶπεν γίνεσθαι τὰ σώματα, ἅπερ ἐπίπεδα οὐκ ἂν εἴη
ὕλη. εἰδέναι δὲ χρὴ ὅτι οὐχ οὕτως ἀγεωμέτρητος ἦν ὁ Πλάτων, ὡς οἴεσθαι
τὸ σῶμα εἰς ἐπίπεδα διαλύεσθαι, ἀλλ' ἐπίπεδα ἔφασκεν ἐκεῖνος φυσικά,
δηλονότι σωματικά, τὰ καὶ βάθος ἔχοντα· τὰ δὲ τοιαῦτα δηλονότι ἐν αὐ- 10
τοῖς καὶ τὴν ὕλην ἔχει θεωρουμένην. ὥστε οὐκ ἄνευ ὕλης κατὰ Πλάτωνα
τὰ γινόμενα.

p. 329a24 Ἡμεῖς δέ φαμεν εἶναί τινα ὕλην τῶν αἰσθητῶν.

Νῦν ἐκτίθεται τὴν οἰκείαν δόξαν, καθ' ἣν δόξει δῆθεν πρὸς Πλάτωνα 21
διαφέρεσθαι, λέγων ὅτι ὑποτιθέμεθα ὕλην τινὰ ὑποκειμένην τοῖς αἰσθητοῖς
σώμασι, μηδέποτε δὲ καθ' ἑαυτὴν ὑφισταμένην, ἀλλ' ἀεὶ μετά τινος ἐναν-
τιώσεως θεωρουμένην· ἐξ ἧς, φησίν, ὕλης προσλαμβανούσης ἐν εἴδους
λόγῳ τὰς ἐναντιώσεις τὰ στοιχεῖα γίνονται.

p. 329a27 Διώρισται δὲ περὶ αὐτῶν ἐν ἄλλοις.

Περὶ ὕλης καὶ τῆς ἐναντιώσεως ἀκριβέστερον διέλαβεν ἐν τῷ πρώτῳ 25.
λόγῳ τῆς Φυσικῆς ἀκροάσεως, ἔνθα καὶ περὶ στερήσεως αὐτῷ γέγονε
λόγος.

2 ἀποβάλοντα GT: ἀποβαλλόντα R 3 τὸν om. GT 4 μέλανα (priore loco) a
5 lemma om. hic a, qui pergit διὰ μέσου δὲ ἀπαντήσας ὁ Ἀριστοτέλης πρὸς 9 διὰ
τοῦτο GT 10. 11 φησὶν ἐπιπέδων Z 14. 15 αὐτοῖς libri 17 εἶναί τινα ὕλην
GRTZ: ὕλην τινὰ τῶν σωμάτων a; ceterum cf. Ar. libri 18 δείξει a 20 μήποτε
GT μετά] κατά GT 21 ὕλης a et post ras. Z²: ὕλης cett.
ἐν] ἐν ὕλης ἐν R 22 γίνεται (G)a 23 lemma om. a, qui pergit φησὶ δὲ περὶ
ὕλης καὶ ἐναντιώσεως ἀκριβέστερον διαλαβεῖν ἐν ἄλλοις, δηλονότι ἐν τῷ πρώτῳ ἐν
ἑτέροις Arist. 24 ἐν τῷ κτλ.] Phys. A 4—9 26. p. 211,3 λόγος. ἐν δὲ τῷ, ἐπειδὴ
καὶ τὸν τρόπον, ἣν τὸν, ἐπειδὴ εἰς τὸν εἰ μετὰ λάβοις, σαφέστερον ποιήσεις a

p. 329a27 Οὐ μὴν ἀλλ' ἐπειδὴ καὶ τὸν τρόπον τοῦτόν ἐστιν 47r
ἐκ τῆς ὕλης τὰ σώματα πρώτιστα, διοριστέον καὶ περὶ τούτων.

Σαφὲς ποιήσεις τὸ ῥητὸν τοῦτον τὸν τρόπον παραφράσας 'οὐ μὴν ἀλλ' εἰ καὶ τὸν τρόπον τοῦτον ἐκ τῆς ὕλης ἐστὶ τὰ σώματα, διοριστέον καὶ περὶ τούτων', ἵνα ᾖ λέγων ὅτι εἰ καὶ δέδεικται τὰ στοιχεῖα εἶναι ἐκ τῆς ὕλης τῷ δέχεσθαι αὐτὴν ἐναντιώσεις, οὐκ ἀρκεῖ τοῦτο πρὸς διδασκαλίαν, ἀλλὰ διοριστέον καὶ περὶ τῶν ἐναντιώσεων τούτων, ποῖαί τέ τινές εἰσι καὶ πόσαι, καθ' ἃς προσγινομένας τῇ ὕλῃ συμπληροῦνται τὰ στοιχεῖα τὰ τέσσαρα, ἅπερ πρῶτα εἶπε σώματα.

p. 329a29 Ἀρχὴν μὲν καὶ πρώτην οἰόμενος εἶναι τὴν ὕλην.

Εἰπὼν ὅτι δεῖ ὁρίσασθαι περὶ τῶν ἐναντιώσεων, διορίζει πρῶτον τίνες εἰσὶν αἱ ἀρχαί. ἀρχὰς δὲ ζητεῖ νῦν τὰς ὡς στοιχεῖα, οὐ τὰς ποιητικάς, καί φησιν ὅτι ἀρχὴ μὲν πρώτη ἐστὶν ἡ ὕλη, δευτέρα δὲ ἡ ἐναντίωσις, ὅπερ ἐστὶ τὸ ἔνυλον εἶδος. πρώτην δὲ ἀρχήν φησι τὴν ὕλην, διότι αὐτὴ μὲν ἄφθαρτος, ἡ δὲ ἐναντίωσις φθαρτή (κατὰ ταύτην γάρ ἐστι καὶ τὸ φθείρεσθαι), καὶ ὅτι ἡ ὕλη ὑπόκειται ἀμφοτέραις ταῖς ἐναντιώσεσιν. οὐ γὰρ δύναται τὸ ἕτερον τῶν ἐναντίων ὑποκείμενον γίνεσθαι τῷ ἑτέρῳ, οἷον τὸ θερμὸν τῷ ψυχρῷ· ἀμφοτέρων γὰρ ἡ ὕλη ἐστὶ τὸ ὑποκείμενον. ὡς γὰρ κἀν τῷ πρώτῳ τῆς Φυσικῆς εἴρηκεν, οὐδὲν τῶν ἐναντίων ὑπομένον καὶ σῳζόμενον τοῦ ἐναντίου αὐτοῦ δεκτικὸν γίνεται· φθείρεται γὰρ ὑπ' ἀλλήλων τὰ ἐναντία. ὥστε εἰκότως πρώτη μὲν ἀρχὴ ἡ ὕλη, ὡς ὑποκειμένη τῷ εἴδει τῷ ἐνύλῳ (οὐδὲ γὰρ τῷ ἀξιώματι· ἀξιωματικώτερον γὰρ τὸ εἶδος), δευτέρα δὲ τὸ εἶδος, ὅ ἐστιν ἡ ἐναντίωσις, ὡς ἐν τῇ ὕλῃ ὑπάρχον (οὐ γὰρ χωρίζεται, φησί, τῶν εἰδῶν ποτε ἡ ὕλη, ἣν καὶ δυνάμει αἰσθητὸν σῶμα καλεῖ· κατὰ γὰρ τὸν ἑαυτῆς λόγον ἀσώματος οὖσα ἐνεργείᾳ, δυνάμει ἐστὶ σῶμα, καὶ σῶμα οὐ μαθηματικὸν ἀλλ' αἰσθητόν, τουτέστι φυσικόν), τρίτη δέ, φησίν, ἀρχὴ τὸ ἁπλοῦν σῶμα, οἷον πῦρ καὶ γῆ καὶ τῶν ἄλλων ἕκαστον τῶν πρώτων σωμάτων, ἅπερ ἀρχὴ οὐχ ἁπλῶς, ἀλλ' ὡς πρὸς τὰ σύνθετα. διὸ εἰκότως τρίτην ἀρχὴν ταῦτα ὑπέθετο, καὶ ὅτι σύνθετα καὶ ὅτι μεταβλητικά, τῆς κυρίως ἀρχῆς καὶ ἁπλῶς ὀφειλούσης εἶναι, τῷ μὴ ἐξ ἄλλων ἀρχῶν εἶναι, καὶ ἀμεταβλήτου· τὸ γὰρ

2 πρώτιστα] τὰ πρῶτα Ar. (cf. infra v. 9) 3 σαφὲς Z: σαφῶς GRT 5 ἵν' GTa 7 τέ om. GTa 8 πρὸς γινομένας R, qui καθ' ἃς om. 8. 9 τὰ τέσσαρα στοιχεῖα Za 10. 11 εἰπὼν δὲ ὅτι omisso lemmate a 10 οἰομένοις vel οἰομένους scrib. ex Aristot. 11 δεῖ] χρὴ Z διορίσασθαι Za 14 αὐτὴ] αὐτὴν R¹ 18 τῷ ψυχρῷ RZa: τὸ ψυχρὸν GT τὸ alterum om. Z 19 πρώτῳ κτλ.] Phys. A 5 φυσικῆς ἀκροάσεως GTa 20 αὐτοῦ libri 21 πρώτην a μὲν om. Z 22 οὐδὲ γὰρ RZ: οὐδὲν γὰρ GT: ἔν γε μὴν a γὰρ RZ: om. GTa 23 δεύτερον libri 25 σῶμα αἰσθητὸν Z Arist. καλεῖν Z 27 δὲ ἀρχή φησι a 29 τρίτην om. add. T² 30 ἁπλῆς em. a 31 τῷ] τὸ Z¹: τῶν R

μεταβλητικὸν ἀνάγκη καὶ σύνθετον εἶναι, εἴ γε περί τι τῶν ἐν αὐτῷ μένον 47r
ἡ μεταβολὴ γίνεται.

p. 329b1 Καὶ οὐχ ὥσπερ Ἐμπεδοκλῆς καὶ ἕτεροι λέγουσιν· οὐ γὰρ ἂν ἦν ἀλλοίωσις.

Εἰ τὰ στοιχεῖα κατὰ τὰ πάθη οὐσιωμένα ἀμετάβλητά ἐστι τὴν φύσιν κατὰ τὸν Ἐμπεδοκλέα, δῆλον ὅτι τὰ πάθη ἀμετάβλητά ἐστι καὶ ἀχώριστα· εἰ δὲ τοῦτο, οὐκ ἔσται ἀλλοίωσις, εἴ γε ἀλλοίωσις μεταβολή ἐστι κατὰ πάθη τοῦ ὑποκειμένου εἰδοποιημένου μένοντος. οὐ μόνον δὲ ἀλλοίωσιν ἀναιρεῖ ὁ Ἐμπεδοκλῆς, ἀμετάβλητα λέγων τὰ στοιχεῖα καὶ ποιότητας ἐν 50
αὐτοῖς οὐσιώδεις ἀποτιθέμενος, ἀλλὰ καὶ τὴν κυρίως γένεσιν, τὴν κατ' εἶδος μεταβολήν· καὶ γὰρ καὶ αὕτη μεταβολή ἐστι τῆς ὕλης κατὰ τὰ πάθη.

p. 329b2 Αἱ δὲ ἐναντιώσεις οὐ μεταβάλλουσιν.

Ὅτι εἰκότως τρίτην ἀρχὴν ὑπέθετο τὰ ἁπλᾶ σώματα, δευτέραν δὲ τὰς ἐναντιώσεις, δείκνυσιν ἐκ τῆς μεταβολῆς, διότι τὰ μὲν ἁπλᾶ σώματα μεταβλητικά ἐστιν (ἔχουσι γὰρ τὴν ὕλην ὑπομένουσαν καὶ τἀναντία παρὰ μέρος ἐπιδεχομένην), αἱ δὲ ἐναντιώσεις οὐ μεταβάλλουσιν. οὐ γὰρ ἡ ψυχρότης ὑπο|μένουσα δέχεται τὴν θερμότητα· οὐ γὰρ ἂν εἴη ἅμα 47v
κατὰ ταὐτὸ τἀναντία. ὥστε οὐχ αἱ ἐναντιώσεις αἱ μεταβάλλουσαι, ἀλλὰ τὰ σώματα ⟨τὰ⟩ τὰς ἐναντιώσεις ἔχοντα μεταβάλλει κατὰ ταύτας.

p. 329b3 Ἀλλ' οὐδὲν ἧττον καὶ ὡς σώματος ποίας καὶ πόσας ἀρχὰς λεκτέον.

Εἰρήκαμεν, φησίν, ὅτι αἱ ἐναντιώσεις ἀρχαί, καὶ ὅτι οὐ μεταβάλλουσιν, ἀλλὰ καὶ οὕτω ῥητέον ἡμῖν πόσαι καὶ ποῖαί εἰσιν αἱ ἐναντιώσεις ἃς χρὴ ὑποθέσθαι ἀρχὰς τῶν σωμάτων. οὐ γὰρ αὔταρκες τὸ εἰπεῖν ὅτι αἱ ἐναντιώσεις ἀρχαί εἰσιν, ἀλλὰ καὶ ζητῆσαι χρὴ ποῖαι καὶ πόσαι εἰσίν. οἱ γὰρ ἄλλοι εἰρηκότες εἶναί τινας τῶν ἐναντιώσεων ἀρχὰς οὐδεμίαν γεγράφασιν ἀπόδειξιν τοῦ ταύτας ἢ τοσαύτας ὑποθέσθαι ἐναντιώσεις.

---

3. 5 εἶτα ἐπιλαμβανόμενος Ἐμπεδοκλέους, οὐκ ἂν ἦν φησιν ἀλλοίωσις. εἶτα (sic) στοιχεῖα a 3. 4 ὡς Ἐμπεδοκλῆς et (praeter cod. E) οὐδὲ γὰρ Ar. libri 4 ἀλλοιώσεως GT 6 ὡς δηλονότι a 6. 7 τὰ πάθη ἀμετάβλητά — μεταβολή ἐστι RZ: verba καὶ ἀχώριστα — μεταβολή ἐστι om. GT: omnia om. a 8 τὰ πάθη GTa 10 ὑποτιθέμενος (G)a 11 αὕτη Z: αὐτὴ cett. 13. 14 ὅτι δὲ εἰκότως omisso lemmate a 14 ἀρχὴν τρίτην Z 16 τὰ ἐναντία a 19 κατταυτὸ R: κατ' αὐτὸ Z: κατὰ GTa τὰ ἐναντία GTa 20 ⟨τὰ⟩ addidi ex F ἔχοντα om. Z μεταβάλλη GT[1] κατὰ GTa: μετὰ RZ 22 λεκτέον ἀρχάς a Arist. 23 Εἰ καὶ εἰρήκαμεν a εἰσὶν ἀρχαὶ a 24 ἀλλὰ — ποῖαί] ἀλλ' οὖν καὶ ποῖαι καὶ πόσαι a, ubi mox ῥητέον ἂν εἴη ἡμῖν, ἃς χρὴ

p. 329b7 Ἐπεὶ οὖν ζητοῦμεν αἰσθητοῦ σώματος ἀρχάς, τοῦτο 47v
δέ ἐστιν ἁπτοῦ.

Εἰπὼν τρεῖς εἶναι τὰς ἀρχάς, πρώτην μὲν τὴν ὕλην, δευτέραν δὲ τὸ 20
εἶδος τὸ ἔνυλον ὃ ταὐτόν ἐστι ταῖς ἐναντιώσεσι, τρίτην δὲ τὰ ἁπλᾶ σώ-
5 ματα ἅπερ ἐκ τῆς ὕλης προσλαβούσης τὰς ἐναντιώσεις εἶπε γίνεσθαι, νῦν
προτίθεται ζητῆσαι τίνες ποτέ εἰσιν αἱ εἰδοποιοὶ ἐναντιώσεις, ἃς προσλα-
βοῦσα ἡ ὕλη τὰ ἁπλᾶ ἀποτελεῖ σώματα. ἐπειδὴ δὲ οὐκ ἀποφαντικῶς
οὐδὲ ἀναποδείκτως χρὴ τάσδε τινὰς τὰς ἐναντιώσεις καὶ οὐχὶ τάσδε τίθε-
σθαι, ὅπερ ἄλλοις ποιήσασιν ἐμέμψατο, ἐμμεθόδως πάνυ καὶ κατὰ ἀπο-
10 δεικτικὴν ἀκολουθίαν ἄρχεται τῆς αὐτῶν ζητήσεως, δυνάμει ταῦτα λέγων. 25
ἐπειδὴ σώματος ἀρχὰς ζητοῦμεν οὐκ ἀιδίου, ἀλλὰ γενητοῦ καὶ φθαρτοῦ,
τοῦτο δὲ πεποίωται (οὐ γὰρ δυνατὸν γενητὸν καὶ φθαρτὸν σῶμα ἄποιον εἶναι·
γένεσις γὰρ καὶ φθορὰ μεταβολή ἐστι τῆς ὕλης κατὰ τὰ πάθη· ἄλλως τε
πᾶν φυσικὸν σῶμα καὶ κίνησιν ἔχει, αἱ δὲ κινήσεις κατὰ τὰς ῥοπὰς
15 γίνονται, βαρύτητά φημι καὶ κουφότητα, αὗται δὲ ποιότητές εἰσι), σώματος
ἄρα πεποιωμένου ἀρχὰς ζητοῦμεν. τοῦτο δὲ αἰσθητόν ἐστιν· αἱ γὰρ αἰσθή-
σεις τῶν ποιοτήτων εἰσὶν ἀντιληπτικαί, καὶ ἕκαστον ποιότητας ἔχον κατὰ 30
ταύτας ὑποπίπτει τῇ αἰσθήσει. ὥστε ἐπειδὴ ἀναπέφανται σώματος ἡμᾶς
ζητεῖν ἀρχὰς φυσικοῦ τε καὶ αἰσθητοῦ, ἐναντιώσεις ζητητέον αἰσθητάς,
20 αἰσθητὰς δὲ οὐ τὰς τυχούσας, ἀλλὰ τὰς προσεχεστάτας τῇ ὕλῃ καὶ κοινο-
τάτας καὶ διὰ πάντων τῶν σωμάτων διηκούσας. τίνες δέ εἰσιν αὗται,
εἰσόμεθα εἰς τὰς αἰσθήσεις ἀναδραμόντες. δῆλον γὰρ ὅτι τὰς ὑποβεβλη-
μένας τῇ κοινοτάτῃ τῶν αἰσθήσεων αἰσθητὰς διαφορὰς ἐκείνας ὡς κοινο- 35
τάτας οὔσας χρὴ τίθεσθαι ἀρχὰς εἰδοποιοὺς τῶν σωμάτων. τῶν τοίνυν
25 αἰσθήσεων ἡ μὲν ὄψις πρώτη τῷ ἀξιώματι ὡς τιμιωτέρα, οὐ μὴν διὰ
πάντων διαπεφοιτηκυῖα τῶν αἰσθητικῶν. ὡσαύτως δὲ οὐδὲ ἀκοή, οὔτε
τῶν ἄλλων τις πλὴν τῆς ἁφῆς· αὕτη γάρ ἐστιν ἡ κοινοτάτη πασῶν, καὶ
ταύτῃ πρώτη εἰκότως λεγομένη, τῷ συναναιρεῖν ⟨μὲν⟩ μὴ συναναιρεῖσθαι
δέ. τὰ μὲν γὰρ τῶν ἄλλων τινὸς αἰσθήσεων μετέχοντα πολὺ πρότερον
30 καὶ ἁφῆς μετέχει, τὰ δὲ ἁφῆς οὐκ ἐξ ἀνάγκης καὶ τῶν ἄλλων τινός, ὡς
δηλοῖ τὰ ζῳόφυτα ἁφὴν μὲν ἔχοντα, μηδεμίαν δὲ τῶν ἄλλων αἰσθήσεων. 40
ὡσαύτως δὲ ἐχούσας καὶ τὰς αἰσθητὰς εὑρήσομεν διαφοράς. αἱ μὲν γὰρ

1 lemma om. et pergit εἰπὼν οὖν τρεῖς a  αἰσθητοῦ bis R.  3 τρεῖ** R¹
6 post τίνες (τινές a) add. τε GTa  ποτέ] καὶ πόσαι a  7 ἀποφαντικῶς Za: ἀποφατικῶς cett.  8. 9 τίθεσθαι] τινας θέσθαι a  9 ἄλλοι T  ποιήσουσιν GT
9. 10 ἀποδεκτικὴν a  11 τοῦ σώματος GTa  12 πεποίηται G¹T  13 ἀλλ' ὥστε T  14 κίνησιν] κίνησις a  16 ἀρχὰς πεποιωμένου GTa  20 τυχούσης a  23. 24 κοινοτάτης a  25 τῶν ἀξιωμάτων GT  26 διαπεφοιτηκυῖα RZ: πεφυκυῖα GTa  τῶν αἰσθήσεων GT  26. 27 ὡσαύτως—αὕτη γάρ RZ: ἁφὴ γάρ GTa  26 οὔτε] immo οὐδὲ  28 εἰκότως πρώτη Z  μὲν addidit a
29 γὰρ om. Z  29. 30 πολὺ καὶ ἁφῆς πρότερον GT  30 μετέχειν Z  32 διαφορὰς εὑρήσομεν Z  γὰρ om. R

ὁραταί, οἷον τὰ χρώματα, οὐ διὰ πάντων διήκουσι τῶν σωμάτων· οὐδὲ 47v
γὰρ ὁ ἀὴρ κεχρωσμένος ἐστὶν ἢ ὅλως ὁρατός. ὡσαύτως δὲ οὐδὲ αἱ ἀκου-
σταί, οἷον οἱ ψόφοι· οὐ γὰρ πάντα ἐστὶ ψοφητικά (οὐ γὰρ τὸ ἔριον οὐδὲ
ὁ σπόγγος), ἀλλὰ τὰ στερεά, καὶ ταῦτα οὐ καθ' αὑτά, ἀλλ' ἐν τῇ πρὸς
5 τὸν ἀέρα προσρήξει. οὕτως γοῦν τὸ ὕδωρ ὑποβρύχιος κινῶν ψόφον οὐδένα
ἀποτελεῖς. ἀλλὰ μὴν οὐδὲ ⟨αἱ⟩ ὀσμαί· ὁ γὰρ ἀὴρ ἄνοσμος ὥσπερ καὶ ἄχρους, 45
καὶ ταύτῃ διαπορθμευτικὸς χρωμάτων τε καὶ ὀσμῶν γινόμενος. οὕτως
οὐδὲ ⟨αἱ⟩ γευσταὶ ποιότητες ἐν πᾶσιν εἰσί· τὸ γοῦν ὕδωρ ἄχυμον ὑπάρχει
ὑποκείμενον τοῖς χυμοῖς. μόνας δὲ τὰς ἁπτὰς διαφορὰς ὁρῶμεν διὰ πάν-
10 των διαπεφοιτηκυίας τῶν σωμάτων· θερμότητος γὰρ ἢ ψυχρότητος οὐδέν
ἐστιν ἄμοιρον σῶμα, οὐδὲ ξηρότητος ἢ ὑγρότητος. αἱ ἁπταὶ ἄρα ἐναντιό-
τητές εἰσιν αἱ κοινόταται καὶ διὰ πάντων τῶν σωμάτων διαπεφοιτηκυῖαι
καὶ συναναιροῦσαι καὶ μὴ συναναιρούμεναι. ταύτας οὖν ληπτέον ἀρχάς. 50
ἀλλ' ἐπειδὴ πολλαὶ καὶ διάφοροί εἰσιν αὗται, χρὴ πάσας ἐκθέσθαι, καὶ
15 τούτων τὰς καθολικωτέρας λαβεῖν καὶ ταῖς λοιπαῖς μὴ ἐμπεριεχομένας, οὐ
πάντως δὲ τὰς καθολικωτέρας, ἀλλ' ὅσαι τούτων ποιητικαί εἰσι καὶ παθη-
τικαί, διότι σωμάτων ζητοῦμεν ἀρχὰς ποιητικῶν καὶ παθητικῶν ὑπ' ἀλλή-
λων καὶ ταύτῃ τὴν εἰς ἄλληλα μεταβολὴν ποιουμένων. ἐκτίθεται τοίνυν
ἑπτά τινας ἐναντιότητας, θερμὸν καὶ ψυχρόν, ξηρὸν καὶ | ὑγρόν, βαρὺ καὶ 48r
20 κοῦφον, σκληρὸν καὶ μαλακόν, γλίσχρον καὶ κραῦρον, τραχὺ καὶ λεῖον,
παχὺ καὶ λεπτόν.

Καὶ ζητοῦμεν τί δήποτε τὴν τοῦ μανοῦ καὶ πυκνοῦ ἀντίθεσιν παρῆ-
κεν. ὁ μὲν οὖν ἐξηγητὴς Ἀλέξανδρός φησιν ὡς ἀναγόμενον ὑπὸ τὸ βαρὺ
καὶ κοῦφον· τὸ γὰρ μανὸν κοῦφον, ὥσπερ τὸ πυκνὸν βαρύ. ἔστι δὲ εἰς
25 ταὐτὸν ἄγειν αὐτὰ τῷ λεπτῷ καὶ παχεῖ· ἡ γὰρ λεπτότης ἡ κατὰ ποιό-
τητα οὐχ ἡ κατὰ μέγεθος θεωρουμένη δοκεῖ ταὐτὸν εἶναι τῇ μανότητι. 5
λεπτὸν γὰρ καλοῦμεν σῶμα διιτητικόν, ὅπερ ταὐτὸ δοκεῖ εἶναι τῷ μανῷ.
οὕτως καὶ τὸ παχὺ τῷ πυκνῷ· τὸ γὰρ παχὺ μεγαλομερὲς ὂν οὐ διὰ τῶν
τυχόντων δίεισι πόρων, ἀλλὰ διὰ μειζόνων. τοιοῦτον δέ πως καὶ τὸ
30 πυκνόν, πολλοῦ σώματος εἰς ὀλίγον ὄγκον συνηγμένου.

Ταύτας ἐκθέμενος πάσας τὰς ἀντιθέσεις, ἀποκρίνει τὰς μὲν ὡς μὴ
κατὰ τὸ ποιεῖν καὶ πάσχειν λεγομένας, τὰς δὲ ὡς ἐμπεριεχομένας ταῖς
ἄλλαις. τὸ μὲν γὰρ βαρὺ καὶ κοῦφον, καὶ τραχὺ καὶ λεῖον, διὰ τὸ μὴ 10
τῷ ποιεῖν καὶ πάσχειν λέγεσθαι· οὐ γὰρ ὥσπερ τὸ θερμὸν καὶ τὸ ψυχρὸν
35 τῷ θερμαίνειν ἢ ψύχειν τὰ παραπλήσια λέγεται, οὕτω καὶ τὸ κοῦφον καὶ

---

1 οὐ om. GT 4 ταῦτα] αὐτὰ a 5 οὕτω a ὑποβρύχιον a 6 et 8 οὐδ' αἱ et οὐδὲ αἱ a: οὐδὲ cett. 6 ὀσμαὶ ἐν πᾶσιν R ἄνοσμος $T^2Z$: ἄνομος $GRT^1$: ἄοσμος a 7 τε om. GTa 8 τὸ γὰρ ὕδωρ Z 9 ὁρῶμεν διαφορὰς a 10 διαπεφυκυίας a 11. 12 ἐναντιώσεις Z 16 πάντως] πάσας a 18 ταύτην libri 20 καὶ (ante λεῖον) om. GT 23 ὑπὸ τοῦ T 25 παχὺ $R^1$ ἡ (post λεπτότης) om. R 26 οὐχὶ κατὰ Z 27 διιτητικόν R et corr. (ex διητητικόν) Z: διητικόν GT: διηθητικόν a ὅπερ Za: om. GRT ταυτὸ Z: αὐτὸ GRT: τὸ αὐτὸ a 28 οὕτω δὲ καὶ a καὶ τῷ πυκνῷ Z μεγαλομερὲς RZ: λεπτομερὲς GT: παχυμερὲς a

βαρύ· οὐ γὰρ ποιεῖ τὰ παρακείμενα βαρέα. ὡσαύτως οὐδὲ τὸ κοῦφον. 48r
οὕτως οὐδὲ τὸ τραχὺ καὶ λεῖον. τὸ δὲ λεπτὸν καὶ παχύ, καὶ μαλακὸν
καὶ σκληρόν, καὶ γλίσχρον καὶ κραῦρον, ἀποβάλλεται ὡς ἐμπεριεχόμενα.
εἰκότως· εἰ γὰρ λαβόντες τὰς καθολικωτέρας ἐναντιώσεις μὴ ἀποβαλλώ-
5 μεθα τὰς ὑπὸ ταύτας ἀναγομένας, ἐσόμεθα πλείους τῆς χρείας εἰληφότες. 15
ἀνάγει δὲ τὰς τρεῖς ταύτας ἐναντιώσεις ὑπὸ τὸ ὑγρὸν καὶ τὸ ξηρόν, ὁριζό-
μενος τί ποτέ ἐστι τούτων ἑκάτερον καὶ λέγων ὑγρὸν μὲν εἶναι τὸ εὐόριστον
μὲν ἀλλοτρίῳ ⟨ὅρῳ⟩ δυσόριστον δὲ οἰκείῳ, ξηρὸν δὲ τὸ δυσόριστον μὲν
ἀλλοτρίῳ εὐόριστον δὲ οἰκείῳ. εἰ τοίνυν τὸ ὑγρὸν εὐόριστόν ἐστιν ἀλλο-
10 τρίῳ ὅρῳ καὶ ἀναπληστικόν, ὡς ῥᾳδίως πληροῦν τοὺς πόρους, ἔστι δὲ καὶ
τὸ λεπτομερὲς τοιοῦτον (ἀναπληστικὸν γὰρ καὶ τοῦτο), εἰκότως ἀναχθήσε-
ται ὑπὸ τὸ ὑγρόν. τῷ αὐτῷ δὲ λόγῳ καὶ τὸ παχὺ ὑπὸ τὸ ξηρόν. καὶ 20
τὸ γλίσχρον δέ, φησίν, ὑγρὸν πεπονθός τι. καὶ τὸ κραῦρον ὡσαύ-
τως ξηρόν. οὕτως καὶ τὸ μαλακὸν ὑπὸ τὸ ὑγρόν, φησίν, ἀνακτέον· μαλα-
15 κὸν γὰρ τὸ ὑπεῖκον τῇ ἁφῇ, ὅπερ ἴδιον τοῦ ὑγροῦ. ταῦτα οὕτως διακρί-
νας, λαμβάνει τὰς δύο ἀντιθέσεις, τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ
ξηροῦ, ταύτας ἐγκρίνων ὡς ἀρχὰς εἰδοποιοὺς τῶν στοιχείων, διότι ποιητι-
καί εἰσι καὶ παθητικαί, καὶ ἔτι μέντοι κοινόταται ὑπάρχουσι καὶ οὐδετέρα
ὑπὸ τὴν ἑτέραν ἀνάγεται. 25

20 Ἐπεὶ οὖν ζητοῦμεν αἰσθητοῦ σώματος ἀρχάς, τοῦτο δέ
ἐστιν ἁπτοῦ. ἐπειδή, φησί, σώματος αἰσθητοῦ ζητοῦμεν ἀρχάς (τοιοῦτον
γὰρ τὸ γενητὸν καὶ φθαρτὸν σῶμα), πᾶν δὲ τὸ αἰσθητὸν ἁπτόν ἐστιν (οὐ
γὰρ ὁρατὸν πάντως ἢ ἀκουστὸν ἢ τῶν ἄλλων τι), ἁπτὰς ζητητέον διαφο-
ρὰς εἰδοποιοὺς τῶν σωμάτων.

25 p. 329ᵇ10 Κατὰ ἐναντίωσίν τε γὰρ διαφέρουσιν, καὶ κατὰ ἁπτὴν
ἐναντίωσιν.

Τὰ σώματα, φησί, τὰ πρῶτα, ὧν τὰς ἀρχὰς ζητοῦμεν, κατὰ ἁπτὰς
ἐναντιώσεις ἀλλήλων διαφέρουσιν, διὰ τούτου δεικνὺς ὅτι εἰκότως ἁπτά τέ
φαμεν εἶναι τὰ αἰσθητὰ καὶ ἁπτὰς ἐναντιώσεις αὐτῶν τὰς ἀρχὰς τιθέμεθα.
30 καὶ γὰρ τὸ λέγειν τὰ πρῶτα σώματα καὶ στοιχεῖα τῶν ἄλλων ταῖς ἁπταῖς 30
ἀλλήλων διαφέρειν ἐναντιώσεσι, δηλοῖ τὸ διὰ πάντων αὐτὰς διαπεφοιτη-
κέναι τῶν σωμάτων. μὴ τοίνυν ληπτέον μήτε ὁρατὰς μήτε ἀκουστὰς μήτε
γευστὰς ἢ ὀσφραντὰς διαφορά· οὐ γὰρ ταύταις εἰδοποιοῦνται τὰ πρῶτα

1 οὐδὲ GTZ: ᵈδὲ R: ἐν δὲ a 4. 5 ἀποβαλλώμεθα GRTa: ἀποβαλώμεθα Z
5 εἰσόμεθα GT 8 μὲν prius om. R ὅρῳ addidi 9 τῷ οἰκείῳ a
11 γὰρ om. T¹: ὡς ῥαδίως γὰρ R¹ 14 et 15 οὕτω a 15 ταύτας R 17 ἐγκρί-
νως ὡς Z 20. 21 ἐπειδὴ οὖν φησι om. lemm. a 21 τοιοῦτο a
24 σωμάτων (non τῶν) om. R 25. 27 τὰ σώματα γάρ φησι omisso lemmate a
27 κατὰ] καὶ τὰς a 28 ἁπτά R: αὐτὰ cett. τέ om. Z 29 τιθείκαμεν
(superscr. μεθα) Z 30 τῷ λέγειν em. a 31 διαφέρειν RZ: διαφέρει GTa
31. 32 διαπεφυτηκέναι R

σώματα. εἰ γὰρ καὶ πρώτη, φησίν, ὄψις ἁφῆς καὶ τὰ ὁρατὰ τῶν ἁπτῶν, 48r
ἅπερ ὑποκείμενα ὠνόμασε τῶν αἰσθήσεων, ἀλλ' οὐδὲν εἰς τὸ εἰδοποιῆσαι
τὸ ἁπτὸν σῶμα συμβάλλονται, οὗ νῦν τὰς ἀρχὰς ζητοῦμεν.

p. 329b15 Ἀλλὰ καθ' ἕτερον.

5 Ἡ ὁρατή, φησί, ποιότης, εἰ καὶ προτέρα τῆς ἁπτῆς ποιότητος, ἀλλ' 35
οὐκ ἔστιν, φησίν, ἁπτοῦ σώματος πάθος καθ' ὃ ἁπτόν, ἀλλὰ καθ' ἕτερόν
τι, οἷον καθ' ὃ ὁρατόν ἐστι. πρώτη δέ, φησίν, ἡ ὄψις τῆς ἁφῆς, οὐχ
ἁπλῶς· πῇ γὰρ ἡ ἁφὴ προτέρα τῷ συναναιρεῖν καὶ μὴ συναναιρεῖσθαι, ἡ
δὲ ὄψις, φησί, τυχὸν τῇ φύσει προτέρα, τουτέστι τῷ ἀξιώματι ὡς τελειο-
10 τέρα, διότι τοῖς τελείοις ζῴοις παραγίνεται.

p. 329b24 Θερμὸν δὲ καὶ ψυχρόν, καὶ ξηρὸν καὶ ὑγρόν, τὰ μὲν
τῷ ποιητικὰ εἶναι τὰ δὲ τῷ παθητικὰ λέγεται. 40

Οὐ τοῦτό φησιν ὅτι ποιητικαὶ καὶ παθητικαί εἰσιν ἀμφότεραι αἱ ἐναν-
τιώσεις τῷ ἑκατέραν ποιεῖν καὶ πάσχειν, ἀλλὰ δύο οὐσῶν ἀντιθέσεων τὴν
15 μὲν τοῦ θερμοῦ καὶ ψυχροῦ ποιητικὴν καλεῖ, τὴν δὲ τοῦ ὑγροῦ καὶ ξηροῦ 45
παθητικήν. καὶ τίθησι μὲν τὴν τούτων πίστιν, ὁριζόμενος τούτων ἕκαστον·
θερμὸν γάρ, φησίν, ἐστὶ τὸ συγκριτικὸν μὲν τῶν ὁμογενῶν, διακριτικὸν δὲ
τῶν ἑτερογενῶν· ψυχρὸν δὲ τὸ συγκριτικὸν τῶν ὁμογενῶν καὶ τῶν μὴ
ὁμοφύλων. τὸ δὲ συγκριτικὸν καὶ διακριτικὸν ἐνεργειῶν ἐστιν ὀνόματα.
20 πάλιν δὲ τὸ μὲν ὑγρόν φησιν εἶναι τὸ δυσόριστον οἰκείῳ ὅρῳ εὐόριστον δὲ
ἀλλοτρίῳ, ξηρὸν δὲ τὸ εὐόριστον οἰκείῳ δυσόριστον δὲ ἀλλοτρίῳ. τὸ δὲ
δυσόριστον καὶ εὐόριστον παθῶν ἐστι δηλωτικά.

Ἀπορήσειε δ' ἄν τις εἰκότως πρὸς τὸν λόγον τοῖς πράγμασι προσανέ- 50
χων. οὐδὲ γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ποιητικὰ μόνον ἐστίν, ἀλλὰ καὶ
25 παθητικά (πάσχει γὰρ τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ, καὶ τοῦτο ὑπὸ τοῦ
θερμοῦ), οὔτε πάλιν τὸ ὑγρὸν καὶ ξηρὸν παθητικὰ μόνον, ἀλλὰ καὶ ποιη-
τικά. εἰ γὰρ πάντα εἰς ἄλληλα μεταβάλλει τὰ στοιχεῖα, ἀνάγκη εἰς
ἄλληλα δρᾶσαι τὸ ὑγρὸν καὶ ξηρόν· αὐτὸς γάρ ἐστιν ὁ λέγων τὴν γῆν εἰς
ὕδωρ μεταβάλλειν, ἔνθα τὸ ὑγρὸν ἀνάγκη δρᾶσαι περὶ τὸ ξηρόν, ὡσαύτως
30 καὶ τὸ ὕδωρ εἰς | γῆν, τοῦ ξηροῦ δηλονότι περὶ τὸ ὑγρὸν δράσαντος. τί 48v
οὖν ἐνταῦθα ἀποδιακρίνας ποιητικὰ μέν φησι τὸ θερμὸν καὶ τὸ ψυχρόν,

---

1 πρώτην GT 3 οὗ] ὧν R 4 lemma om. a 5 ἡ RZ: om. GT: καὶ ἡ a ἁπτῆς RZa: αὐτῆς GT 6 φησὶν post ἁπτοῦ ponit Z: om. a 8 τῷ] τὸ GT καὶ μὴ] μὴ καὶ R 9 προτέρα a 10 παραγίνεται ζώοις Z παρὰ γίνεται a 11 καὶ ὑγρὸν καὶ ξηρόν Ar. (praeter codd. FH) 15 καὶ prius om. GT 18. 19 τῶν ὁμογενῶν καὶ τῶν μὴ ὁμοφύλων R: τῶν ἑτερογενῶν καὶ ὁμογενῶν Z: om. GT: ἀμφοτέρων a 19 τὸ δὲ συγκριτικὸν om. GT: τὸ δὲ διακριτικὸν καὶ συγκριτικὸν transponit Z ἐνεργῇ R 20 τὸ δὲ δυσόριστον μὲν et mox ξηρὸν δὲ τὸ εὐόριστον μὲν a 24 fort. οὔτε 28 αὐτὸς γάρ κτλ.] Aristot. De Gen. et corr. B 4 p. 331a32 sqq.

παθητικὰ δὲ τὸ ὑγρὸν καὶ τὸ ξηρόν; ταύτην τοίνυν τὴν ἀπορίαν ἐκ τῶν 48v
ἐν τῷ τετάρτῳ λόγῳ τῶν Μετεώρων εἰρημένων ἐπιλυσόμεθα, φάσκοντες
ὡς πρὸς τὴν τῶν συνθέτων σωμάτων γένεσιν τοῦτο εἰρῆσθαι. ταῦτα γὰρ
περὶ τὸν μέσον τόπον τοῦ παντός ἐστι, λέγω δὲ περὶ τὴν γῆν ὡς ἂν 5
5 μέρος γῆς μετέχοντα· ἐκ ταύτης γὰρ μόνης οὐκ ἐδύνατο εἶναι. ἡ γὰρ
γῆ καθ' ἑαυτὴν ἀσύνδετος καὶ εὐδιασκέδαστος, διὸ ἐδεήθη τοῦ ὕδατος
συνδέοντος καὶ φύροντος αὐτήν, ὥσπερ τὸ ὕδωρ ταύτης περιοριζούσης.
ταῦτα δὲ ἀλλήλοις μιγνύμενα συνέχει μὲν ἄλληλα, οὐ μὴν σύμφυσιν ἀκριβῆ
ἐργάζεσθαι δύναται αὐτὰ καθ' αὑτά, ἀλλὰ δέεται τοῦ θερμοῦ καὶ τοῦ
10 ψυχροῦ ταῦτα συμφύοντός τε καὶ εἰδοποιοῦντος, ὑποκειμένου μὲν λόγον
ἐπέχοντος καὶ ὕλης τοῦ ὑγροῦ καὶ τοῦ ξηροῦ, εἴδει δὲ ἀναλογοῦντος τοῦ 10
θερμοῦ καὶ τοῦ ψυχροῦ. εἰ γὰρ καὶ δρᾷ τι περὶ ἄλληλα τὸ ξηρὸν καὶ τὸ
ὑγρὸν συνέχοντα ἄλληλα καὶ περιορίζοντα, ἀλλ' οὖν ἐγκαταμιγνύμενα ἀλλή-
λοις δρᾷ. διόπερ ὁλικωτέρας ταύτας καλεῖν εἰώθασι τὰς ποιότητας οἱ
15 φυσικοί, τὸ δὲ θερμὸν καὶ ψυχρὸν δραστικά, διότι ἐκτὸς ὄντα τῶν περὶ ἃ
δρῶσιν, τὴν ἑαυτῶν δύναμιν ἐπιδείκνυται. μεμνῆσθαι δὲ χρὴ καθόλου
τοῦ εἰρημένου, ὡς ἐπὶ τῆς τῶν συνθέτων γενέσεως σαφέστερον διαφαίνεται
παθητικὴ μὲν ἡ ἑτέρα οὖσα ἀντίθεσις, ποιητικὴ δὲ ἡ λοιπή. καὶ γὰρ 15
ἐπὶ τῆς τῶν κεράμων ἐργασίας τὸ ὑγρὸν συνελθόντα καὶ τὸ ξηρὸν τὴν
20 ὅλην τῶν κεράμων ἐργάζεται, τὸ δὲ ψυχρὸν πήγνυσι ταύτην, καὶ τὸ θερ-
μὸν μεταβάλλει μάλιστα καὶ ποιεῖ κέραμον. οὕτως μὲν οὖν ἐπὶ τῶν συν-
θέτων. ἐπὶ δὲ τῆς ἐξ ἀλλήλων γενέσεως πᾶσαι ὁμοίως εἰσὶ ποιητικαί τε
καὶ παθητικαί.

p. 329b26 Θερμὸν γάρ ἐστι τὸ συγκρῖνον τὰ ὁμοιογενῆ· τὸ
25 γὰρ διακρίνειν, ὅπερ φασὶ ποιεῖν τὸ πῦρ, συγκρίνειν ἐστὶ τὰ
ὁμόφυλα.

Τὸ θερμόν, φησί, συγκριτικὸν ὂν τῶν ὁμογενῶν οὐσιῶν, νομίζεται
διακριτικὸν εἶναι, διότι ἐν τῷ συνάγειν καὶ ἑνοῦν ἀλλήλοις τὰ ὁμογενῆ ἐξ 20
ἀνάγκης διακρίνει καὶ χωρίζει τὰ ἀλλότρια. αὐτὴν γὰρ ἣν ποιεῖται τῶν
30 ἀλλοτρίων διάκρισιν, διὰ τὴν τῶν ὁμοίων οὐσιῶν σύγκρισιν ἐργάζεται· ἐξ
ἀλλήλων γὰρ τὰς ἑτερογενεῖς οὐσίας διακρῖνον ἕνωσιν ἑκατέρας καθ' αὑ-
τὴν ἐργάζεται. διόπερ διακριτικὸν μὲν τῶν ἀλλοτρίων, συγκριτικὸν δὲ τῶν
ὁμοίων ὁριζόμεθα τὸ θερμόν. ἔστι δὲ τάχα φάναι τὸ θερμὸν κατὰ πρῶ-

5 τῆς γῆς a  μετέχων τὰ GT  ἠδύναντο Z; cf. p. 206, 34. 208, 10 etc.
6 δι' ὃ καὶ ἐδεήθη Z  8 σύνθεσιν a  9. 10 καὶ τὸ ψυχρὸν R  11 et 12 τοῦ (post καὶ) om. T  12 δρᾷ τι] δρᾶται GT  12. 13 τὸ ὑγρὸν καὶ ξηρὸν T
16 ἐπιδείκνυνται Z  17 τὰ εἰρημένα GTa  τῶν om. R  18 δὲ οἱ λοιπή a
19 fort. τὸ ὑγρὸν καὶ τὸ ξηρὸν συνελθόντα  21 οὕτω a  24 lemma om. hic a  συγκρίνον R  ὁμογενῆ R¹ Arist.  25 διακρίνειν scripsi ex Ar.: διακρῖνον R: διακρίνον GTZ  26 ὁμοιόφυλα R  29 ἣν ποιεῖται R¹  31 τὰς] ὡς Z  ἑτερογενῆς (G)a

τον λόγον διακριτικὸν εἶναι, διάκρισιν λαμβανόντων ἡμῶν οὐ τὸν χωρισμόν 48ᵛ
(τοῦτο γὰρ ἐπὶ ἑτερογενῶν καὶ μεμιγμένων ποιεῖ, οὐκέτι δὲ ἐπὶ τῶν ἀμίκ- 25
των), ἀλλὰ καθόλου διάκρισιν νοούντων ἡμῶν τὴν οἷον χύσιν καὶ μάνωσιν.
κατὰ δεύτερον δὲ λόγον ἐπὶ ταύτῃ ἕπεται ὅ τε τῶν ἀλλοτρίων χωρισμὸς
5 καὶ τῶν ὁμοίων ἡ ἕνωσις· χύσεως γὰρ γινομένης ἕκαστον πρὸς τὸ οἰκεῖον
χωρεῖ καὶ τούτῳ κολλᾶται, ὡς ἔχει ἐπὶ τῆς χωνεύσεως τῶν μετάλλων.
ὅσον γάρ ἐστι τηκτόν, ἀθροιζόμενον ἑαυτῷ προσκολλᾶται τοῦ γεώδους καὶ
ἀτήκτου χωριζόμενον. ὅτι δὲ ἡ χύσις αἰτία τῆς τῶν ἑτερογενῶν διακρί-
σεως, καὶ οὐ καθ' ἑαυτὸ οὐδὲ πρώτως τὸ πῦρ, δῆλον ἐκεῖθεν. ὅταν γὰρ 30
10 δύο τινὲς οὐσίαι ὦσι τὴν αὐτὴν χύσιν ἐπιδεχόμεναι, τηνικαῦτα τὸ πῦρ οὐ
διακρίνει ταύτας ἐξ ἀλλήλων, ἀλλὰ τοὐναντίον καὶ συγκρίνει καὶ ἑνοῖ ἀλλή-
λαις οὕτως ὡς μηδὲ χωρίζεσθαι ἔτι δύνασθαι, ὡς ἔχει ἐπὶ κηροῦ καὶ
πίττης· ταῦτα ⟨γὰρ⟩ διακεκριμένα ὄντα ἀλλήλων καὶ ἕτερα ἑνοῖ, καὶ ἡνω-
μένα χωρίζειν οὐ δύναται. εἰ μέντοι εἴη τι σὺν τῷ κηρῷ γεῶδες, διὰ
15 τὸ μὴ τὰς οὐσίας ἀμφοτέρας πεφυκέναι χεῖσθαι, ἀλλὰ τὸν κηρὸν μόνον, 35
ἑνούμενος κατὰ τὴν χύσιν ὁ κηρὸς ἀποκρίνεται, τοῦ γεώδους ὀφιζάνοντος
διὰ τὸ βάρος. ὅταν δὲ δύο τινὲς ὦσιν οὐσίαι τηκταὶ ἀμφότεραι, ἀλλ' ἡ
μὲν μᾶλλον ἡ δὲ ἔλαττον, αὗται ὁμιλοῦσαι τῷ πυρὶ ἑνοῦνται, ἀλλ' οὐχ
οὕτως ὡς μηκέτι διακρίνεσθαι, ὡς ἔχει ἐπὶ χρυσοῦ καὶ ἀργύρου καὶ τῶν
20 τοιούτων· καὶ γὰρ ἑνοῦνται ἀλλήλοις ταῦτα καὶ πάλιν διακρίνονται τῷ διαφέρειν ἀλλήλων τὰς συστάσεις. εἰ δέ τις λέγοι ὁμοιογενῆ αὐτὸν 40
λέγειν τὰ ὁμοίως τήκεσθαι δυνάμενα καὶ χεῖσθαι ἢ τὰ μὴ δυνάμενα, ἵνα
τὸ ὅμοιον ᾗ μὴ κατὰ τὸ εἶδος μόνον ἀλλὰ κατὰ τὸ γένος, οἷον ἵνα μὴ
χρυσὸν χρυσῷ λέγοιμεν μόνον εἶναι ὅμοιον, ἀλλὰ καὶ τὰ ὡσαύτως αὐτῷ
25 χεῖσθαι δυνάμενα, οἷον ἄργυρον ἢ χαλκόν, οὐκ ἔσται οὐδὲ οὕτω καθόλου
ὁ λόγος· οὐδὲ γὰρ τὰ ἄτηκτα ὁμογενῆ ὄντα ἀλλήλοις ἑνοῖ τὸ πῦρ, καὶ
τὰ πεφυκότα δὲ τήκεσθαι διακρίνει, ὥσπερ τὸν χρυσὸν ἐκ τοῦ ἀργύρου.
ἐκεῖνα γάρ ἐστι μόνα ἅπερ ἑνοῖ ὡς μηκέτι διακρίνεσθαι, τὰ τὴν αὐτὴν
χύσιν ἔχοντα, ὡς μὴ τὸ μὲν μᾶλλον εἶναι χυτὸν τὰ δ' ἔλαττον, ὡς τὸν
30 μόλιβδον καὶ τὸν καττίτερον, ἢ τὸν κηρὸν καὶ τὴν πίτταν, καὶ τὰ λίαν 45
μαλακά.

p. 329ᵇ29 Ψυχρὸν δὲ τὸ συνάγον καὶ συγκρῖνον ὁμοίως τά τε συγγενῆ καὶ τὰ μὴ ὁμόφυλα.

Ἐν γὰρ τοῖς ὑπὸ ψύξεως πηγνυμένοις ἔστιν ἰδεῖν ἑτερογενεῖς οὐσίας

2 μεμιγμένον T 6 τοῦτο GT ὡς ἔχει om. Z 10 τινὲς δύο Z 13 γὰρ addidit a 15 χρῆσθαι R ἀλλ' ἢ a, qui distinguit post ἑνούμενος τὸν] τὸ GT 20 τῷ] το (sic) R 21 ὁμογενῆ a 23 μόνον om. a post ἀλλὰ addit καὶ T² 23. 24 μὴ χρυσῷ χρυσῷ GT 24 λέγ*μεν T¹ αὐτὰ Z 28 ἐκεῖ GT γάρ] δ' a 29 χυτὸν εἶναι μᾶλλον GTa τὰ] τὸ om. a 30 μόλυβδον GTa κατίττερον a 31. 34 μαλακά. οὕτω μὲν τὸ θερμόν· τὸ δὲ ψυχρὸν πάντων φησὶ καὶ ὁμοίων καὶ ἀνομοίων συγκριτικόν. ἐν γὰρ a 33 μὴ RZ: om. GT 34 πῆγνυμένοις R

ἐμφερομένας· ἐν γοῦν κρυστάλλῳ καὶ κάρφῃ καὶ ζωύφιά τινά ἐστιν ἐμπε- 48ᵛ
πηγότα.

p. 329ᵇ30 Ὑγρὸν δὲ τὸ ἀόριστον οἰκείῳ ὅρῳ εὐόριστον ὄν, ξηρὸν δὲ τὸ εὐόριστον οἰκείῳ ὅρῳ, δυσόριστον δέ.

Δείξας διὰ τῶν ὅρων τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ ὅτι ποιητικὰ εἰκό- 50
τως λέγεται, λοιπὸν τοὺς τοῦ ὑγροῦ καὶ ξηροῦ προχειριζόμενος ὅρους δείκνυσιν ὅτι παθητικὰ ταῦτα· τὸ εὐόριστον γὰρ καὶ δυσόριστον παθῶν ὀνόματά ἐστιν.

Ἀπορεῖται δὲ πρὸς τὸν ὅρον τοῦ ξηροῦ, πῶς φησιν αὐτὸ εὐόριστον οἰκείῳ ὅρῳ. ἰδοὺ γάρ, φασίν, ἡ τέφρα ξηρὰ οὖσα διαρρεῖ. πρὸς ὃ ῥητέον ὅτι εἰ καὶ μὴ περιώρισται ἡ τέφρα καὶ μένει τὸν οἰκεῖον ὅρον φυλάττουσα, ἀλλ' οὖν δύναται σωρευθῆναι, ὅπερ οὐχ ὑπάρχει τῷ ὑγρῷ· καὶ | ἄλλως ἔχει τινὰ καὶ σύστασιν οἰκείαν, καὶ οὐ πᾶσα διαπίπτει, ὡς καὶ ἡ 49ᵛ
ψάμμος. καὶ περὶ τῆς φλογὸς δὲ ἀποροῦσί τινες, ὡς ξηρᾶς οὔσης καὶ ἀλλοτρίῳ ὅρῳ συσχηματιζομένης ἐν ταῖς καμίνοις. ῥητέον δὲ ὅτι πρῶτον μὲν οὐδέποτε ἡ φλὸξ ἀκριβῶς συσχηματίζεται τοῖς περιέχουσιν ἀνώφορος οὖσα καὶ οὐχ ὅλῳ συσχηματίζεται τῷ περιέχοντι· θᾶττον γὰρ ἂν οὕτως ἀποσβεσθείη, μὴ διαλαμβανομένη κενοῖς ἑκατέρωθεν. κενοῖς δέ φημι πυρός. 5
ἄλλως τε εἰ καὶ συγχωρηθείη ὁρίζεσθαι τοῖς περιέχουσιν, ἀλλ' οὖν καὶ οἰκείῳ συνέχεται σχήματι· οὐ γὰρ διαπίπτει καὶ χεῖται, ἀλλὰ συνεχὴς μένουσα ἐπὶ τὸ ἄνω χωρεῖ. τὸ μέντοι ὑγρὸν τοῖς περιέχουσιν ἀκριβῶς συσχηματίζεται· εἰ οὖν ἐκ κεράμῳ παγείη ὕδωρ, εἶτα καταθραύσεις τὸν κέραμον, ὄψει συνεσχηματισμένον αὐτῷ.

p. 329ᵇ32 Τὸ δὲ λεπτὸν καὶ παχὺ καὶ γλίσχρον καὶ κραῦρον καὶ σκληρὸν καὶ μαλακὸν καὶ αἱ ἄλλαι διαφοραὶ ἐκ τούτων. 10

Δείξας ὅτι τῶν δύο ἀντιθέσεων ἡ μὲν ποιητικὴ ἡ δὲ παθητική, τὰς λοιπὰς πάσας ὑπὸ ταύτας ἀναγαγεῖν βούλεται, ὡς εἶναι τὴν τοῦ θερμοῦ καὶ ψυχροῦ 20
καὶ τὴν τοῦ ὑγροῦ καὶ ξηροῦ τὰς δύο ταύτας πρωτίστας, ἵνα τοῦτο δείξας ἐντεῦθεν δείξῃ τὰ τέσσαρα στοιχεῖα γινόμενα. τὸ δὲ καὶ αἱ ἄλλαι διαφοραὶ προσέθηκεν ἤτοι διὰ τὴν λειότητα καὶ τραχύτητα, ἃς πρὸ τούτου κατα-

---

1 κρυστάλω RZ 4 μὲν οἰκείῳ a Arist. δυσόριστον δέ RZa: δυσόριστον ὄν GT
5 τοῦ (ante ψυχροῦ) om. Z 6. 7 προχειρίζεται ὅρους καὶ δείκνυσιν Z 7 ταῦτα παθητικά R τὸ] τὰ a 8 ἐστιν om. R 9 ἀπορεῖται δὲ RZ: ἀπορεῖ δέ τις GT: ἀπορήσειε δ' ἄν τις a αὐτῶ Z 10 φασίν scripsi: φησὶν RZa: om. GT διαρρεῖ GT 12. 13 καὶ ἄλλως δὲ a 15 σχηματιζομένης (G)a ταῖς RZ: τοῖς GTa; at cf. p. 199, 28 16 ἡ φλὸξ οὐδέποτε συσχηματίζεται ἀκριβῶς R
17 συσχηματιζομένη a 19 τε om. Z εἰ καὶ] καὶ εἰ a 24 καὶ κραῦρον om. Z 25 καὶ τὸ σκληρὸν a 27 ἀνάγειν a καὶ τοῦ ψυχροῦ GTa
28 τοῦ (ante ὑγροῦ) om. Z 29 δείξει Z 30 ἤτοι] ἢ τὸ Z

ριθμησάμενος νῦν παρέλειπεν, ἢ μᾶλλον δι' ἃς προσθήσει· διαιρεῖ γὰρ 19r
ἐφεξῆς τὸ ξηρὸν καὶ ὑγρόν, καὶ δείκνυσι τούτων ἕκαστον πολλαχῶς λεγόμενον.

p. 329b34 Ἐπεὶ γὰρ τὸ ἀναπληστικόν ἐστι τοῦ ὑγροῦ διὰ τὸ μὴ
5 ὡρίσθαι μὲν εὐόριστον δὲ εἶναι καὶ ἀκολουθεῖν τῷ ἁπτομένῳ.

Πῶς ὑπὸ τὸ ὑγρὸν ἀναφέρεται τὸ λεπτὸν δείκνυσι. τὸ γὰρ λεπτόν, 25
φησίν, ἀναπληστικόν ἐστι· μικρομερὲς γὰρ ὑπάρχον τὰς κενὰς ἀναπληροῖ χώρας. εἰ γὰρ εἰς μέδιμνον καρύων σεμίδαλιν ἐμβάλοις, διεισδύνουσα εἰς τὰς μεταξὺ τῶν καρύων κενὰς τοῦ στερεοῦ σώματος χώρας ἀναπληροῖ
10 ταύτας. τὸ αὐτὸ δὲ ποιεῖ καὶ τὸ ὑγρόν, οἷον τὸ ὕδωρ· εὐόριστον γὰρ ὂν ἀλλοτρίῳ ὅρῳ ἀκολουθεῖ, φησί, τῷ ἁπτομένῳ καὶ περιέχοντι καὶ παντα-χόθεν ἅπτεται αὐτοῦ. τοιοῦτον δὲ καὶ τὸ λεπτόν. εἰκότως ἄρα τὸ λεπτὸν τοῦ ὑγροῦ. οὐκοῦν καὶ τὸ ἐναντίον τὸ παχὺ ὑπὸ τὸ ἐναντίον τὸ 30
ξηρὸν ἔσται· τὰ γὰρ ἐναντία τοῖς ἐναντίοις ὑπάρχει. ὡς γὰρ τὸ ξηρὸν
15 ἀντιβατικὸν καὶ οὐκ ἀκολουθεῖ τοῖς περιέχουσιν οὐδ' ὅλων ἅπτεται (δυσόριστον γάρ ἐστιν ἀλλοτρίῳ ὅρῳ), οὕτω καὶ τὸ παχὺ μεγαλομερὲς ὂν οὐκ εἰς ἅπασαν εἴσεισι χώραν.

p. 330a4 Πάλιν δὲ τὸ μὲν γλίσχρον τοῦ ὑγροῦ· τὸ γὰρ γλίσχρον
ὑγρὸν πεπονθός τί ἐστιν, οἷον τὸ ἔλαιον.

20 Ὅτι καὶ τὸ γλίσχρον ὑπὸ τὸ ὑγρόν, συντόμως ἔδειξεν εἰπὼν ὅτι ὑγρόν τί ἐστι τὸ γλίσχρον πεπονθός τι. τὰ γὰρ μὴ εὐδιαίρετα τῶν ὑγρῶν μηδὲ δυσαπάλλακτα τῶν ἁπτομένων καὶ ὀλισθηρὰ γλίσχρα λέγεται, ὡς ἰξὸς ἔλαιον ὑγρὰ πίσσα. τὸ δὲ κραῦρον ὑπὸ τὸ ξηρόν· τὸ γὰρ δι' ἔλλειψιν 35
ὑγρότητος πεπηγὸς καὶ διὰ τοῦτο εὔθραυστον, κραῦρον καλεῖται.

25 p. 330a8 Ἔτι τὸ μὲν μαλακὸν τοῦ ὑγροῦ· μαλακὸν γὰρ τὸ ὑπεῖκον εἰς αὑτὸ καὶ μὴ μεθιστάμενον, ὅπερ ποιεῖ τὸ ὑγρόν.

Πάλιν τὸ μὲν μαλακὸν ὑπὸ τὸ ὑγρὸν ἀνάγει, τὸ δὲ σκληρὸν ὑπὸ τὸ ξηρόν· μαλακὸν γάρ ἐστι τὸ ὑπεῖκον εἰς ἑαυτὸ τοῖς ἁπτομένοις, ὅπερ ποιεῖ καὶ τὸ ὑγρόν· ὑπείκει γὰρ καὶ τοῦτο. ἀλλὰ τίς ἡ διαφορά; ὅτι πάλιν τὸ
30 μὲν μαλακὸν ὑγρόν ἐστι πεπονθός τι τὸ μὴ μεθίστασθαι, ὅπερ οὐ πρόσεστι

1 παρέλιπεν $T^2$Z  προσθείσει a  4. 6 lemmate om. pergit πῶς δὴ ὑπὸ a
8 ἐμβάλλεις a  διεισδύνουσαν Z  15 οὐκ om. GT  ὅλως R  18. 20 lemmate om. pergit ὅτι δὲ καὶ a  22 δυσαπάλακτα Za  λέγεται καὶ γλίσχρα GT: γίνεται καὶ γλίσχρα a  23 ὑγρὰ om. a; at cf. p. 201,1  25. 27 pergit om. lemmate πάλιν δὲ τὸ μαλακὸν ὑπὸ a  26 αὐτὸ libri  ὅπερ τὸ ὑγρὸν ποιεῖ GT
30 τὸ μὴ] τῷ μὴ (Z)a

τῷ ὕδατι (μεθίσταται γάρ), ὡς καὶ τὸ γλίσχρον ὑγρὸν ἦν πεπονθός τι. 49r
τοιοῦτον οὖν καὶ τὸ μαλακόν. ὥστε εἴ τι μαλακόν, ὑγρόν πώς ἐστιν (εὐό- 40
ριστον γὰρ ἀλλοτρίῳ ὅρῳ), οὐκ εἴ τι ὑγρόν, μαλακόν. ἐπὶ πλέον οὖν τὸ
ὑγρόν. διὸ καὶ ὑπὸ τοῦτο τὸ μαλακὸν ἀναφέρομεν· διαφοραὶ γὰρ τοῦ
5 ὑγροῦ τὸ μεθίστασθαι καὶ μὴ μεθίστασθαι, ἴδιον δὲ καὶ συμπληρωτικὸν
τὸ ἰδίῳ μὲν ὅρῳ δυσόριστον, εὐόριστον δὲ ἀλλοτρίῳ. πάλιν οὖν καὶ τὸ
σκληρὸν ὑπὸ τὸ ξηρὸν ἀνάγει. τὸ γὰρ σκληρὸν πεπηγός ἐστι (τῷ συνε-
στράφθαι γὰρ τὰ μόρια καὶ πεπῆχθαι σκληρὸν γέγονεν), τὸ δὲ πεπηγὸς
ξηρόν· δυσόριστον γὰρ ἀλλοτρίῳ γέγονεν ὅρῳ τῷ πεπῆχθαι, ὥστε ξηρὸν 45
10 γέγονεν.

p. 330ᵃ12 Λέγεται δὲ ξηρὸν καὶ ὑγρὸν πλεοναχῶς· ἀντίκειται γὰρ τῷ ξηρῷ καὶ τὸ ὑγρὸν καὶ τὸ διερόν, καὶ πάλιν τῷ ὑγρῷ καὶ τὸ ξηρὸν καὶ τὸ πεπηγός. |

Δείξας ὁ Ἀριστοτέλης πάσας τὰς ἁπτὰς ἀντιθέσεις ὑπὸ δύο τὰς πρώ- 49v
15 τας ἀναγομένας, τὴν τοῦ θερμοῦ καὶ ψυχροῦ, ξηροῦ τε καὶ ὑγροῦ, βούλεται 5
καὶ ἑτέρας τινὰς παρ' ἃς ἤδη κατηριθμήσατο δεῖξαι ὑπὸ τὸ ξηρὸν καὶ
ὑγρὸν ἀναγομένας, ὑπὸ μὲν τὸ πρῶτον ὑγρὸν τὸ διερὸν καὶ τὸ ἰδίως
ὑγρόν, ὑπὸ δὲ τὸ ξηρὸν τὸ πεπηγὸς καὶ ἕτερόν τι ἰδίως ξηρὸν ὁμωνύμως
τῷ γένει λεγόμενον. ἵνα δὲ τοῦτο δείξῃ, φησὶ πλεοναχῶς λέγεσθαι τὸ
20 ὑγρόν καὶ ξηρόν. ὅτι δὲ ταῦτα τῶν πλεοναχῶς λεγομένων ἐστὶ δεικνύς,
τόπῳ χρῆται τῷ ἀπὸ τῶν ἀντικειμένων· ὅταν γὰρ τῷ αὐτῷ πλείονα ᾖ τὰ ἀντικείμενα, καὶ αὐτὸ τῶν πλεοναχῶς λεγομένων ἐστίν. οἷον τῷ βαρεῖ 10
ἀντίκειται ἐν φωνῇ μὲν τὸ ὀξύ (ἡ γὰρ ὀξεῖα φωνὴ τῇ βαρείᾳ ἀντίκειται),
ἐν ῥοπῇ δὲ τὸ κοῦφον· τὸ γὰρ βαρὺ πάλιν καὶ κοῦφον ἐν τοῖς ὄγκοις τῶν
25 ἀντικειμένων ἐστίν. οὐκοῦν ἐπεὶ τῷ βαρεῖ καὶ τὸ κοῦφον καὶ τὸ ὀξὺ
ἀντίκειται, τῶν πλεοναχῶς λεγομένων ἐστὶ τὸ βαρύ. ἀλλὰ καὶ τὸ ὀξὺ
τῶν πλεοναχῶς λεγομένων ἐστίν· ἀντίκειται γὰρ αὐτῷ καὶ τὸ ἀμβλὺ καὶ
τὸ γλυκὺ καὶ τὸ βαρύ, ἐν φωνῇ μὲν τὸ βαρύ, ἐν χυμῷ δὲ τὸ γλυκύ,
ἐν σχήμασι δὲ ἢ ἁπλῶς ὄγκῳ τὸ ἀμβλύ· ὀξεῖαν γάρ φαμεν γωνίαν καὶ 15
30 ἀμβλεῖαν, καὶ ὀξὺ καὶ ἀμβλὺ τὸ μαχαίριον. οὕτως οὖν δείκνυσι καὶ

---

1 ἦν om. Z 3 οὐκ εἴ τι δὲ ὑγρὸν a 5 τὸ om. GTa 6 τὸ (ante ἰδίῳ) scripsi: τῶ libri praeter a, qui τὸ τῷ οὖν] δ' αὖ a 7 τῷ] τὸ T 12 τὸ διερόν a: τὸ δὶ τὸ διαιρὸν R: τὸ διὰ τὸ διερὸν Z: τὸ δίαιρον (δίερον T²) GT¹ 15 καὶ τοῦ ψυχροῦ T 17 δίαιρον GT: διαιρ\ R 19 δείξῃ om. GT: ἵνα δὲ τοῦτο δείξῃ om. a, qui suppleverat δι' ὅ 20 ξηρὸν καὶ ὑγρόν a ἐστὶ] καὶ GT 21 τόπῳ om. add. T² 22 αὐτῶ et τῶ βαρὺ R 23 ἀντίκειται ἐν φωνῇ μὲν R: ἀντίκειται ἐν ἢ μὲν GT: ἐν φωνῇ μὲν ἀντίκειται Z: ἀντίκειται ἐν μὲν φωνῇ a 25 εἰσίν TZ οὐκοῦν om. add. mrg. R τῷ] τὸ GTR¹Z¹ βαρὺ GTZ¹ βαρεῖ τὸ ὀξὺ καὶ τὸ κοῦφον a 26 ἀντίκειται TZ 26. 27 ἀλλὰ καὶ τῶν πλεοναχῶς λεγομένων ἐστὶ τὸ ὀξύ Z 28 φωνῇ] ἢ G: ἢ T τὸ γλυκύ (alt. loco) om. GT 29 καὶ ἐν σχήμασιν ἢ GTa

τὸ ὑγρὸν καὶ τὸ ξηρὸν τῶν πλεοναχῶς λεγομένων· ἑκατέρῳ γὰρ τούτων 49ᵛ
πλείονά ἐστι τὰ ἀντικείμενα. τῷ γὰρ ξηρῷ ποτὲ μὲν ἀντιτίθεμεν τὸ ὑγρόν,
ποτὲ δὲ τὸ διερόν· καὶ τῷ ὑγρῷ ποτὲ μὲν τὸ ξηρόν, ποτὲ δὲ τὸ πεπηγός.
ἔστι μὲν οὖν τὸ πρώτως ὑγρὸν καὶ οἱονεὶ γενικώτατον, οὗ τὸν ὁρισμὸν
5 ἤδη ἀποδέδωκεν, τὸ δυσόριστον μὲν οἰκείῳ ὅρῳ εὐόριστον δὲ ἀλλοτρίῳ,
τὸ δὲ τούτῳ ἀντικείμενον ξηρόν, λέγω τὸ πρῶτον καὶ τὸ γενικώτατον, τὸ 20
εὐόριστον μὲν οἰκείῳ ὅρῳ δυσόριστον δὲ ἀλλοτρίῳ, ὡς ἔφθη ὁρισάμενος.
ὑπὸ δὲ τὸ πρῶτον ὑγρὸν ἀνάγεται τό τε διερὸν καὶ τὸ ἰδίως ὑγρόν. διερὸν
μὲν οὖν ἐστι τὸ ἔχον ἀλλοτρίαν ὑγρότητα ἐπιπολῆς, ὡς εἰ ὕδωρ ἐπι-
10 χέεις λίθῳ ἢ τῷ ἡμετέρῳ σώματι ἢ ἱματίῳ μετρίως (τὸ γὰρ ἐν βάθει τὴν
ἀλλοτρίαν ἔχον ὑγρότητα βεβρεγμένον καλεῖται). ὑγρὸν δὲ τὸ ἔχον οἰκείαν
ὑγρότητα ἐν τῷ βάθει. διαφέρει οὖν τοῦ πρώτως ὑγροῦ τὸ διερόν, διότι
τὸ πρώτως ὑγρὸν αὐτῷ τῷ εἶναι τοιοῦτόν ἐστιν ὅλον δι' ὅλου ὑγρόν, τὸ 25
δὲ διερὸν τῷ πεπονθέναι τι τοιοῦτον· τοῦ δὲ ἰδίως ὑγροῦ τὸ ἁπλῶς ὑγρὸν
15 διαφέρει, διότι τὸ μὲν πρώτως ὑγρὸν ὅλον δι' ὅλου τοιοῦτόν ἐστιν ὡς εἶπον,
τὸ δὲ ἐν τῷ βάθει κεκρυμμένην ἔχει τὴν οἰκείαν ὑγρότητα· τοῦ δὲ βεβρεγ-
μένου τὸ ἰδίως ὑγρὸν διαφέρει, ὅτι τὸ μὲν οἰκείαν τὸ δὲ ἀλλοτρίαν ἔχει τὴν
ἐν τῷ βάθει ὑγρότητα, βεβρεγμένον μὲν ὡς ὁ πηλός, ὑγρὸν δὲ ὡς τὰ τηκτά,
κηρὸς καὶ μόλιβδος καὶ τὰ τοιαῦτα. πάλιν ὑπὸ τὸ πρῶτον ξηρὸν ἀνάγεται 30
20 τό τε ἰδίως ξηρόν, ᾧπερ ἀντίκειται τὸ διερὸν ὁμωνύμως τῷ γένει λεγό-
μενον (ἰδίου γὰρ οὐκ ἔτυχεν ὀνόματος), καὶ τὸ πεπηγός, ὅπερ ἀντίκειται
τῷ ἰδίως ὑγρῷ, ὅπερ καὶ αὐτὸ τῷ γένει ὁμωνύμως εἴρηται διὰ τὸ μὴ
τυχεῖν ἰδίου ὀνόματος. ἐπεὶ οὖν διερόν ἐστι τὸ ἔχον ἀλλοτρίαν ἐπιπολῆς
ὑγρότητα, τὸ ἀντικείμενον τούτῳ ξηρὸν ἔσται δηλονότι τὸ τῆς τοιαύτης
25 ἐστερημένον ὑγρότητος, οἵαν εἶχε τὸ διερόν. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἰδίως 35
ὑγροῦ καὶ πεπηγότος· τὸ μὲν γὰρ ἐν βάθει εἶχε τὴν οἰκείαν ὑγρότητα, τὸ
δὲ ταύτης ἐστέρητο, οἷά ἐστι τὰ μὴ τηκτά, ὡς ὄστρακον καὶ τὰ ἄτηκτα
τῶν μετάλλων· καὶ τὰ τηκτὰ δέ, πρὶν τακῇ, πεπηγότα ἐστίν. ὥστε τῶν
πεπηγότων τὰ μὲν τηκτὰ τὰ δὲ ἄτηκτα, τὰ δὲ τηκτὰ ὑγρά ἐστιν, ἐπειδὰν
30 τακῇ καὶ ἡ ἐν βάθει ὑγρότης εἰς τὸ ἐμφανὲς ἔλθῃ. εἰ δὲ ἀπουσίᾳ καὶ
παρουσίᾳ ὑγρότητος ταῦτα λέγεται, εἰκότως τὰ μὲν ὑπὸ τὸ πρώτως ὑγρὸν
τὰ δὲ ὑπὸ τὸ πρώτως ξηρὸν ἀναφέρεται.

Παρέθετο δὲ τὸ βεβρεγμένον, φησὶν ὁ Ἀλέξανδρος, εἰς δήλωσιν 40
τοῦ τε διεροῦ καὶ τοῦ ὑγροῦ ἀπὸ τῆς πρὸς τοῦτο διαφορᾶς, ὅτι ἐστὶ τοι-
35 οῦτον ἑκάτερον αὐτῶν ὁποῖον ὡρίσατο, πιστούμενος· ὡς γὰρ εἶπον, τοῦ
μὲν διεροῦ διαφέρει τὸ βεβρεγμένον τῷ ἐν βάθει ἔχειν τὴν ἀλλοτρίαν

---

3 δίαιρον (sim. in proximis) GT: διαιρ\ (item v. 36 διαίροῦ) R 6 ἀντικείμενον τούτω R
9 ἐπὶ πολῆς Z: ἐπὶ (accent. eras. R) πολλῆς cett. 9. 10 ἐπιχέης a 13 αὐτὸ
GRT τὸ εἶναι R¹ 14 τὸ πεπονθέναι GT 16. 17 διαβεβρεγμένου a 19 μόλυβδος
libri praeter Z πρώτως a 20 τό τε] τὸ ὅτε Z ὅπερ R 21 ὦπερ Z
22 τὸ (ante ἰδίως) RTZ ὑγρὸν T 23 τὸ διερόν a ἐπὶ πολῆς Z: ἐπὶ πολλῆς
cett. 26 τὴν οἰκείαν εἶχεν R 27 οἷα R 30 ἐν τῷ βάθει a 34 τοῦ
(post καὶ) om. R 35 γὰρ in eras. T²

ὑγρότητα ἐκείνου ἐπιπολῆς ἔχοντος, τοῦ δὲ ἰδίως ὑγροῦ τῷ ἀλλοτρίαν 49v
ἔχειν ἐκείνου τὴν οἰκείαν ἐν τῷ βάθει ἔχοντος.

p. 330a24 Δῆλον τοίνυν ὅτι πᾶσαι αἱ ἄλλαι διαφοραὶ ἀνάγονται
εἰς τὰς πρώτας τέτταρας. αὗται δὲ οὐκέτι εἰς ἐλάττους·
5 οὔτε γὰρ τὸ θερμὸν ὅπερ ὑγρὸν ἢ ὅπερ ξηρόν, οὔτε τὸ ὑγρὸν
ὅπερ θερμὸν ἢ ὅπερ [τὸ] ψυχρόν, οὔτε τὸ ψυχρὸν καὶ τὸ ξηρὸν
οὔθ' ὑπ' ἄλληλα οὔθ' ὑπὸ τὸ θερμὸν καὶ τὸ ὑγρόν εἰσιν.

Αἱ μὲν οὖν ἄλλαι ἀντιθέσεις πῶς ὑπὸ τὰς δύο ἀνάγονται διὰ τῶν
φθασάντων ἐδείξαμεν. ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος, πῶς ἡ μὲν λειότης ὑπὸ
10 τὸ ὑγρὸν ἡ δὲ τραχύτης ὑπὸ τὸ ξηρὸν ἀναφέρεται. διότι τὸ τραχύ, φησί, 45
δόξειεν εἶναι τοῦ πεπηγότος καὶ ξηροῦ (ἰδίοις γάρ τισιν ὅροις τὰ μόρια
τούτου συνέχεται), τὸ δὲ λεῖον τοῦ ὑγροῦ· ὁμαλὸν γάρ τι τὸ ὑγρὸν καὶ
λείαν ἀεὶ τὴν ἐπιφάνειαν ἔχον τῶν μορίων συνιζανόντων εἰς ἄλληλα. ἢ
ἄμεινον, φησί, λέγειν ὅτι μήτε ποιητικαὶ μήτε παθητικαὶ αἱ ἐναντιώσεις
15 αὗται, τῷ μηδὲ τὴν ἀρχὴν ποιότητες εἶναι· ἐν ποιᾷ γάρ ἐστι τῶν μορίων
θέσει τὸ τραχὺ καὶ τὸ λεῖον, ὡς ἐν Κατηγορίαις εἴρηται. εἰ δὲ μὴ ποιό-
τητες, οὐδὲ παθητικαί εἰσιν οὐδὲ ποιητικαί. ὅτι δὲ οὐκέτι τῶν γενικῶν 50
δύο ἐναντιώσεων, τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ ξηροῦ τε καὶ ὑγροῦ, οὐδε-
μία ὑπὸ τὴν λοιπὴν ἀνάγεται, διδάσκει· οὔτε γὰρ τὸ ξηρὸν ὑπὸ τὸ θερ-
20 μόν (ἐπεὶ πᾶν ξηρὸν ἔμελλεν εἶναι θερμόν· νῦν δὲ ἡ γῆ ξηρὰ οὖσα ψυχρά
ἐστιν), οὔτε τὸ ὑγρὸν πάλιν ὑπὸ τὸ θερμόν· τὸ γὰρ ὕδωρ ὑγρὸν ὑπάρχον
ψυχρόν ἐστι. πολλῷ οὖν μᾶλλον οὐδὲ τὸ | ψυχρὸν ὑπὸ τὸ θερμόν· πῶς 50r
γὰρ ἐνδέχεται τὰ μαχόμενα ὑπ' ἄλληλα εἶναι; πάλιν ὑπὸ τὸ ψυχρὸν οὔτε
τὸ ξηρόν (τὸ γὰρ πῦρ ξηρὸν ὑπάρχον θερμόν ἐστιν), οὔτε τὸ ὑγρόν (ὁ
25 γὰρ ἀὴρ ὑγρός ἐστι καὶ θερμός), οὐδὲ πολλῷ μᾶλλον τὸ ἐναντίον θερμόν.
καὶ διὰ τὰς αὐτὰς αἰτίας, οὐδ' εἰ ἀντιστρέψωμεν τὴν τάξιν, οὐδὲν τῶν 4
λοιπῶν οὔτε ὑπὸ τὸ ὑγρὸν οὔτε ὑπὸ τὸ ξηρὸν ἀνοίσομεν.

---

1 ἐπὶ πολῆς Za: ἐπὶ πολλῆς cett. τὸ ἀλλοτρίαν R¹ 2 ἔχοντα Z 3 lemma om. hic a; continuaverat enim, solito more, superius lemma usque ad p. 330a29, unde ego hoc quidem loco varias lectiones adferam ὅτι om. Z καὶ αἱ ἄλλαι πᾶσαι διαφοραὶ a 4 πρώτας om. add. T² τέσσαρας libri ἐλάσσους a 6 τὸ (post ὅπερ) delevit a: in R exstat τὸ, tum deletum ξηρὸν 7 οὔθ'] οὔτε utrobique Ga, et priore loco etiam T τὸ (ante ὑγρόν) om. a ἐστιν GT 8 ἄλλαι om. a 10 φησί om. R 11 δόξειεν ἂν scripserit Alexander 12 τι] τοι Z 15 τῷ μηδὲ a: τῶ μήτε cett. ποία R 15. 16 θέσει τῶν μορίων θέσει T 16 Κατηγορίαις c. 9 p. 10a22 18 ἐναντιώσεων] ἔνεστι ἀντιθέσεων Z 19 διδάσκειν compend. R 20 ἤμελλεν Z 25 ἀνὴρ Z 26 οὐδ' εἰ] οὐδὲ ἂν R: οὐδ' ἐὰν a ἀντιστρέψομεν Z

p. 330a30 Ἐπειδὴ τέτταρα τὰ στοιχεῖα, τῶν δὲ τεττάρων ἓξ αἱ 50r
συζεύξεις.

Στοιχεῖα μὲν καλεῖ τὰς ἐναντιώσεις (εἴρηνται γὰρ δευτέρως μετὰ 12
τὴν ὕλην στοιχεῖα καὶ ἀρχαὶ αἱ ἐναντιώσεις), φησὶ δὲ ἐκ τῶν τεσσάρων
5 ἐναντιώσεων ἓξ ἀποτελεῖσθαι συζυγίας, ὧν ἀσύστατοι μὲν αἱ τὰ ἐναντία
παραλαμβάνουσαι, ἡ τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ ἡ τὸ ξηρὸν καὶ ὑγρόν
(ἅμα γὰρ τἀναντία ὑπάρχειν ἀδύνατον), αἱ λοιπαὶ δὲ συνίστανται τέσσαρες, 15
αἷς φησιν εὐλόγως ἠκολουθηκέναι τὸν ἀριθμὸν τῶν φαινομένων ἁπλῶν
σωμάτων· ταῦτα γὰρ καὶ τῇ αἰσθήσει ὑποπίπτει ἑκάστου αὐτῶν κατὰ
10 μίαν συζυγίαν χαρακτηριζομένου, πυρὸς μὲν κατὰ τὸ θερμὸν καὶ ξηρόν,
τοῦ δ' ἀέρος κατὰ τὸ θερμὸν καὶ ὑγρόν, καὶ κατὰ μὲν τὸ ψυχρὸν καὶ
ὑγρὸν τοῦ ὕδατος, κατὰ δὲ τὸ ψυχρὸν καὶ ξηρὸν τῆς γῆς. ἐπισημαίνεσθαι
δὲ χρὴ ὅτι τἆλλα μὲν ἐκτὸς κατασκευῆς τέθεικεν, ἐπὶ δὲ μόνου τοῦ ἀέρος 20
ὡς ἔχοντός τινα ἀμφισβήτησιν κατασκευῇ ἐχρήσατο τοῦ εἶναι αὐτὸν θερ-
15 μὸν καὶ ὑγρόν, οὐχ ὅτι ὑγρός ἐστι κατασκευάζων, ἀλλ' ὅτι θερμός· γεγόνασι
γὰρ οἱ δοξάσαντες αὐτὸν ψυχρὸν καὶ ὑγρὸν εἶναι. τί οὖν φησιν αὐτός; ὅτι
οἷον ἀτμίς ἐστιν ὁ ἀήρ, ἡ δὲ ἀτμὶς θερμή τε καὶ θερμῷ τὴν γένεσιν
ἔχουσα. ἔστι δὲ καὶ διὰ πλειόνων τοῦτο κατασκευάσαι, πρῶτον μὲν ἐκ
τοῦ κοῦφον αὐτὸν εἶναι, ὅπερ ἐστὶ θερμότητος. ὅτι δὲ τὸ κοῦφον θερμό-
20 τητος, ἐκεῖθεν γνώσῃ· ἐπειδὴ γὰρ τὸ πῦρ θερμὸν καὶ ξηρὸν ⟨ὂν⟩ κοῦφόν ἐστιν, 25
ἀνάγκη ἢ τῷ ξηρὸν εἶναι κοῦφον ὑπάρχειν ἢ τῷ θερμόν. ἀλλ' εἰ μὲν
καθὸ ξηρὸν τὸ πῦρ κοῦφον ἦν, ἐχρῆν καὶ τὴν γῆν ξηρὰν οὖσαν κούφην
ὑπάρχειν· τοῦτο δὲ οὐκ ἔστιν· οὐκ ἄρα κατὰ τὸ ξηρὸν ἔχει τὸ κοῦφον.
λείπεται ἄρα κατὰ τὸ θερμόν. εἰ οὖν τὸ κοῦφον λόγῳ θερμότητος γίνε-
25 ται, ἔστι δὲ ὁ ἀὴρ κοῦφος, ἔσται ἄρα καὶ αὐτὸς θερμός. ἔτι ὁρῶμεν ὅτι
τὰ γειτνιάζοντα ἀλλήλοις στοιχεῖα ἔχουσί τινα κοινωνίαν πρὸς ἄλληλα,
ἐπεὶ οὐκ ἂν οὐδὲ πλησίον ἀλλήλων ὑπῆρχον. εἰ οὖν καὶ ὁ ἀὴρ τοῦ πυρὸς
διενήνοχε κατὰ τὸ ὑγρόν, κοινωνήσει αὐτῷ δηλονότι κατὰ τὸ θερμόν· καὶ 30
εἰ κοινωνεῖ τῷ ὕδατι κατὰ τὸ ὑγρόν. εἰ μὴ κατὰ τὸ θερμὸν αὐτοῦ διοίσει,
30 οὐκ ἔσται διαφορὰ ὕδατος καὶ ἀέρος. ἔτι ὁρῶμεν ὅτι ἡ μεταβολὴ αὐτῷ
ἐξ ὕδατος διὰ θερμοῦ γίνεται· ἐξατμιζόμενον γὰρ τὸ ὕδωρ ἀεροῦται, ὡς
καὶ αὐτός φησιν ὁ Ἀριστοτέλης.

1 Ἐπεὶ δὲ a τέσσαρα RZ τὰ om. RTa τεσσάρων GTZ: δ' R αἱ om. GT¹a 2 συνεζεύξεις GT 6 παραλαμβάνουσιν Z τὸ (ante ψυχρόν) om. R καὶ * ὑγρόν T 7 τέτταρες GT: om. R 13 δὲ prius om. GT 16 γὰρ R: δὲ cett. 18 ἴσχουσα R 20 γνώσει GT¹ καὶ iterat (init. et fin. vers.) G 20 ὂν addidit a 21 τῷ utrobique a: τὸ cett. ὑπάρχειν om. Z 23 οὐκ ἄρα] οὐχ' ὅτι R 25 καὶ om. R ἔτι in eras. T² 27 ἐπεὶ οὖν οὐκ R¹ πλησίων a 28 αὐτὸ R¹ τὸ (ante θερμὸν) om. GT 30 ἔσται] ἄρα hic non solum R sed etiam Z

p. 330b7 Ἅπαντες γὰρ οἱ τὰ ἁπλᾶ σώματα στοιχεῖα ποιοῦντες. 50r

Διδάξας ποίας χρὴ τίθεσθαι ἐναντιότητας ἀρχὰς καὶ εἰδοποιοὺς τῶν σωμάτων, νῦν βούλεται τὴν οἰκείαν περὶ τούτων δόξαν κρατῦναι, δι' ὧν δείκνυσι καὶ τοὺς ἀρχαιοτέρους πάντας τοὺς περὶ στοιχείων δοξάσαντας τὰς εἰρημένας ἐναντιώσεις εἰσάγοντας, ἢ τινὰς ἢ πάσας, τὸν ἀριθμὸν δὲ τῶν τεσσάρων μὴ ὑπερβαίνοντας· εἰ γὰρ καὶ μὴ τὸν αὐτὸν τρόπον περὶ αὐτῶν φασιν, ἀλλ' οὖν ὥσπερ ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγκαζόμενοι φαίνονται ταύτας πρεσβεύοντες. οἵ τε γὰρ ἕν τι τῶν τεσσάρων στοιχείων ποιοῦντες τῶν πάντων μανώσει καὶ πυκνώσει τἆλλα ἐξ αὐτοῦ γεννῶσι (μάνωσις δὲ καὶ πύκνωσις θερμότητι καὶ ψυχρότητι ἀποτελεῖται), ὅ τε Παρμενίδης αὐτόθεν δύο ὑποτιθέμενος στοιχεῖα, πῦρ καὶ γῆν, τὴν ἐναντίωσιν τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ εἰσῆγε, τὸν ἀέρα καὶ τὸ ὕδωρ μῖγμα φάσκων εἶναι τῶν δύο στοιχείων, καθάπερ καὶ ὁ Πλάτων. καὶ γὰρ καὶ οὗτος δύο τινὰς ὑποθέμενος ἀρχάς, τὸ μέγα καὶ τὸ μικρόν, τρίτην ὑπετίθετο ἄλλην, ὅπερ μῖγμα ἔφασκεν εἶναι τῆς τοῦ μεγάλου καὶ μικροῦ ἐναντιώσεως, μέγα μὲν καὶ μικρὸν λέγων τὰς ἐπιγινομένας εἰδοποιοὺς διαφορὰς τῇ ὕλῃ, ἃς πρῶτον δέχεται ποσουμένη καὶ διαστατὴ γινομένη, μῖγμα | δὲ ἐκάλει τὴν 50v ὕλην οὐχ ὡς ἐκ μεγάλου καὶ μικροῦ μιχθέντων γινομένην, ἀλλ' ὡς ἐν αὐτῇ τούτων μιγνυμένων τῷ ἑκάτερον παρὰ μέρος ἐν αὐτῇ γίνεσθαι. καὶ Ἐμπεδοκλῆς δὲ τέσσαρα μὲν καὶ αὐτὸς ὑπέθετο στοιχεῖα, θερμοῦ δὲ καὶ ψυχροῦ ἐναντίωσιν εἰσηγεῖτο, τὸ μὲν πῦρ θερμὸν ὑποτιθέμενος τἆλλα δὲ πάντα ἀντικεῖσθαι τούτῳ φάσκων ὡς ψυχρά.

p. 330b11 Τούτοις συμβαίνει δύο ποιεῖν τὰς ἀρχάς, τό τε μανὸν καὶ τὸ πυκνὸν ἢ τὸ θερμὸν καὶ ψυχρόν.

Οἱ τὸ ἕν, φησί, στοιχεῖον ὑποτιθέμενοι, μανώσει δὲ καὶ πυκνώσει τούτου τἆλλα λέγοντες γίνεσθαι, ἀρχὰς δύο ποιοῦσι τὸ μανὸν καὶ πυκνόν, μᾶλλον δὲ τὸ θερμὸν καὶ τὸ ψυχρόν· ταῦτα γάρ ἐστι τὰ δημιουργικὰ καὶ ποιητικὰ μανώσεως καὶ πυκνώσεως. καὶ ἐπισημήνασθαι χρὴ ὅτι τὸ μανὸν καὶ πυκνὸν ὑπὸ τὸ θερμὸν καὶ ψυχρὸν ἄγει· ὅθεν ἴσως παρῆκεν ἐν τῇ τῶν ἁπτῶν ποιοτήτων ἀπαριθμήσει τὸ μανὸν καὶ πυκνόν, ὡς εἰς ταὐτὸν ἀγόμενα τῷ θερμῷ καὶ ψυχρῷ.

1 γὰρ] δὲ GT καὶ οἱ a 2 ἐναντιώσεις Z 6 τεσσάρων Z: δ' R: τέσσαρα (GT)a 14 τινὰς om. Z ὑποτιθέμενος $GT^2$a 17 διαστατὴ scripsi: διαστατὸς a: ἀδιάστατος cett. ἐκάλλει $GT^1$ 20 ὑπέθετο καὶ αὐτὸς R 23 lemma om. hic et pergit οἱ δὴ τὸ ἕν φησι a 24 καὶ τὸ ψυχρόν R 27 τὸ (post καὶ) om. T 29 καὶ τὸ πυκνὸν Z, qui mox (29. 30) ὑπὸ — πυκνόν om. 30 ποιοτήτων om. a

p. 330b15 Ὡσαύτως δὲ καὶ οἱ τρία λέγοντες, καθάπερ Πλάτων ἐν ταῖς διαιρέσεσι. 50v

Καὶ ὁ Πλάτων, φησίν, ὡσαύτως τῷ Παρμενίδῃ τρεῖς ἀρχὰς ὑποτιθέμενος, δύο μὲν ἐθεώρει κατὰ τὴν ἐναντίωσιν τοῦ μεγάλου καὶ τοῦ μικροῦ, τρίτην δὲ τὸ μεταξὺ τούτων, ὃ καὶ μῖγμά φησιν ἀμφοῖν εἶναι. εἰδέναι δὲ χρὴ ὅτι τοῦ Πλάτωνος ἐμνήσθη κατὰ τὸ παρὸν οὐχ ὡς εἰσάγοντός τινας ἀρχὰς τῶν προαποδεδειγμένων τεσσάρων, λέγω δὲ τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, ἀλλ' ὡς καὶ αὐτοῦ ἐναντίωσίν τινα ἐν ταῖς ἀρχαῖς θεωροῦντος, καθάπερ καὶ ὁ Ἀριστοτέλης, ἔτι δὲ καὶ διὰ τὴν ὁμοιότητα τῶν λόγων τὴν πρὸς Παρμενίδην· μίαν γὰρ ἄμφω τῶν ἀρχῶν ἐναντίωσιν ὑπετίθεντο, καὶ καθάπερ Παρμενίδης τρίτον τι ἐκ πυρὸς καὶ γῆς ὑπετίθετο τὸν ἀέρα καὶ τὸ ὕδωρ, οὕτως καὶ ὁ Πλάτων τὴν ὕλην τρίτην ἀρχὴν λέγων μεταξὺ τῶν ἐναντίων αὐτὴν ἔλεγεν εἶναι, διότι ἀμφοτέροις ὑπόκειται παρὰ μέρος, δι' αὐτὸ δὲ τοῦτο καὶ μῖγμα ἀμφοῖν ὡς δεχομένην ἀμφότερα.

Καθάπερ Πλάτων ἐν ταῖς διαιρέσεσι. ζητητέον ποίας καλεῖ διαιρέσεις. ἐν αἷς διατάττειν φησὶ περὶ τούτων τὸν Πλάτωνα. ὁ μὲν οὖν ἐξηγητὴς Ἀλέξανδρος λέγει τὰς φερομένας Πλάτωνος διαιρέσεις νοθεύεσθαι. ἀλλ' εἴη ἄν, φησίν, ὁ Ἀριστοτέλης λέγων περὶ τῶν ἐν τῷ Σοφιστῇ τῷ διαλόγῳ εἰρημένων, διαιρέσεις καλῶν τὰ ἐν ἐκείνῳ. ἰστέον δὲ ὅτι πρῶτον μὲν 'διαιρέσεις' ὅλως Πλάτωνος ἐπιγεγραμμέναι οὐ φέρονται, ἐν δὲ τῷ Σοφιστῇ οὐδὲν φαίνεται τοιοῦτον ὁ Πλάτων λέγων οἷον εἴρηται ἐνταῦθα, οὐδὲ ἔστιν εὑρεῖν τινα αὐτοῦ δόξαν τοιαύτην αὐτὸν ἐκτιθέμενον· ὅλως γὰρ οὐδὲ περὶ τῶν τοιούτων ἐστὶν αὐτῷ σκοπὸς ἐκεῖσε διαλεχθῆναι, πλὴν ὅτι καθ' ἱστορίαν διαφόρους δόξας φυσικῶν ἀνδρῶν ἐκτίθεται. ἀποδεκτέον οὖν μᾶλλον ὅπερ τελευταῖον προστίθησιν ὁ Ἀλέξανδρος, φάσκων περὶ τῶν ἀγράφων δογμάτων τοῦ Πλάτωνος λέγειν τὸν Ἀριστοτέλην. ἅπερ αὐτὸς ὁ Ἀριστοτέλης ἀπεγράφετο, καὶ ταῦτα καλεῖν διαιρέσεις. ἐν ἐκείνοις τοίνυν ὁ Πλάτων τὸ μέγα καὶ μικρὸν καὶ τὸ μεταξὺ τούτων ὑποτίθεται.

---

1 lemma om. hic et pergit καὶ πλάτων δέ φησιν a 3 τῷ] ras. G: τῶν compend. R 4 μὲν om. R τοῦ priore loco] ras. G 11 καὶ prius om. GTa, sed καθάπερ γὰρ supplet a 12 οὕτω a 13 ἔλεγεν αὐτὴν Z 16 ζητητέον δὲ a, qui Καθάπερ — διαιρέσεσι om. 17 διατάττει T 19 ἀλλ' εἴη ἂν φησὶν ὁ ἀριστοτέλης λέγων RZ, itemque GT (qui εἰ κἂν pro εἴη ἄν): ὁ δ' Ἀριστοτέλης φησὶ περὶ τῶν — εἰρημένων λέγει a 21 διαιρέσει T¹ ὅλως om. Z: post Πλάτωνος ponit a 23 οὐδὲν ἔστιν GT τοιαύτην δόξαν αὐτοῦ τινα αὐτῶν Z 24 ἐκεῖ a 25 κατ' ἱστορίαν (G)T¹a 26 ὅπερ καὶ Z προστίθησιν] προσ om. in lac. R φάσκων] γράφων Z 28 ὁ om. a

p. 330b17 Καὶ σχεδὸν ταὐτὰ λέγουσιν οἵ τε δύο καὶ οἱ τρία 50v
ποιοῦντες· πλὴν οἱ μὲν τέμνουσιν εἰς δύο τὸ μέσον, οἱ δὲ ἓν
μόνον ποιοῦσι.

Τοῦτο δύναται περὶ Πλάτωνος καὶ Παρμενίδου εἰρῆσθαι. ὥσπερ γὰρ
5 Παρμενίδης δύο ἀρχὰς ὑποτιθέμενος ἄλλο τι μῖγμα ἐκ τούτων ἐποίει,
οὕτω καὶ Πλάτων τρία λέγων δύο μὲν ἐθεώρει κατὰ τὴν ἐναντίωσιν τὸ 30
δὲ τρίτον μεταξὺ τούτων ἐτίθει· ἡ διαφορὰ δὲ μόνον τῶν ἀνδρῶν κατὰ
τοῦτο, ὅτι ὁ μὲν Παρμενίδης εἰς δύο διῄρει τὸ μέσον, ἀέρα καὶ ὕδωρ,
Πλάτων δὲ ἀδιαίρετον αὐτὸ ἐφύλαττεν. δύναται δὲ καὶ ἄλλως νοεῖσθαι τὸ
10 ῥητόν, μηκέτι περὶ Πλάτωνος αὐτοῦ ποιουμένου τὸν λόγον, ἀλλ' ὡς ἀπο-
χρήσαντος μὲν αὐτοῦ τῶν πρὸς τοῦτον λόγων, τοιοῦτον δέ τι λέγοντος, ὅτι
ὁ μὲν Παρμενίδης δύο ἀρχὰς ὑποτιθέμενος μέσον τι τούτων ἐλάμβανεν,
ὅπερ εἰς ἀέρα καὶ ὕδωρ διῄρει, οἱ δὲ ἐξ ἀρχῆς ἀρχὰς ὑποτιθέμενοι, καθά- 35
περ ὁ Ἴων, τὸ πῦρ καὶ τὴν γῆν καὶ τὸ ὕδωρ, μέσον ἀμφοῖν καὶ αὐτοὶ τὸ
15 ὕδωρ λέγοντες εἶναι ἀδιαίρετον αὐτὸ ἐφύλαττον. μέσον δὲ πυρὸς καὶ γῆς
τὸν ἀέρα καὶ τὸ ὕδωρ ὑπετίθεντο, ἴσως τῇ ῥοπῇ προσέχοντες· οὐδὲ γὰρ
ἔστιν εἰπεῖν κατὰ τὰς ποιότητας, εἴπερ γῆ μὲν καὶ πῦρ ξηρά, ταῦτα δὲ
ἄμφω ὑγρά.

p. 330b19 Ἔνιοι δὲ εὐθὺς τέτταρα λέγουσιν, οἷον Ἐμπεδοκλῆς.
20 συνάγει δὲ καὶ οὗτος εἰς τὰ δύο.

Καὶ ὁ Ἐμπεδοκλῆς, φησί, τέσσαρας ἀρχὰς ὑποτιθέμενος τὰ τέσσαρα
στοιχεῖα, ὅμως ἐναντίωσιν μίαν ὑπετίθετο, τὸ μὲν πῦρ θερμὸν εἶναι φά-
σκων τὰ δὲ ἄλλα τρία ψυχρά. 40

p. 330b21 Οὐκ ἔστι δὲ τὸ πῦρ καὶ ὁ ἀὴρ καὶ ἕκαστον τῶν εἰρη-
25 μένων ἁπλοῦν, ἀλλὰ μικτά.

Δόξει μὲν λέγειν προχειρότερον σκοποῦσιν, ὅτι τὰ στοιχεῖα οὐκ ἔστιν 47
ἁπλᾶ οὐδὲ εἰλικρινῆ, ἀλλὰ μικτὰ καὶ ὑπ' ἀλλήλων ἀεὶ νοθευόμενα, ὥσπερ
πολλοὶ ἐδόξασαν. ἔστι δὲ τοῦτο καθ' αὑτὸ σκέψεως ἄξιον. καὶ ζητητέον

1. 2 Καὶ σχεδὸν — πλὴν] τὸ δὲ a 1 ταὐτὰ R οἵ τε RZ: ὅτε GT 4 Τοῦτο om. a post δύναται addunt καὶ GTa 4. 5 εἰρῆσθαι· ὥσπερ γὰρ (ἅπερ om. γὰρ R) παρμενίδης RZ: om. GT: νοεῖσθαι· ὡς γὰρ οὕτος suppleverat a 6 οὕτως R 9 δὲ om. Z 10. 11 ἀλλ' ἀποχρήσαντος μὲν τὸν πρὸς τοῦτον λόγον a 11 τοῦτον Z: τούτων GRT 12 ὁ om. GT τούτων ὧν ἐλάμβανεν GT 13. 14 καθάπερ om. a 14 ὁ Ἴων R: οἷον cett.; cf. p. 207,19 καὶ τὸ ὕδωρ καὶ τὴν γῆν tr. a 19. 21 lemmate om. pergit ὁ δὲ Ἐμπεδοκλῆς φησι a 19 δ' λέγουσιν GRT: λέγουσι τέσσαρα Z οἷον RZ: ὥσπερ GT, qui omittunt Ἐμπεδοκλῆς — δύο 23 ἄλλα τρία] ἀλλότρια R 25 μικτόν a Arist. (praeter cod. E) 26 δόξειν GT: Δόξειε et μὲν ἂν λέγειν a

ἐφεξῆς ὅπως ἔχει τοῦτο, εἰποῦσι πρότερον τὴν ἀληθῆ τοῦ ῥητοῦ διάνοιαν. 50ᵛ λέγει δὲ ὅτι οὐ καθάπερ αἱ ἄλλαι ἀρχαὶ πρώτως καὶ δευτέρως λεγόμεναι, 50 οὕτω καὶ ὁ ἀὴρ καὶ τὰ ἄλλα ἁπλᾶ τετύχηκεν ὄντα· ἀλλ' ἔστι, φησί, ταῦτα μικτὰ καὶ σύνθετα ἐξ ὕλης καὶ εἴδους. ἁπλᾶ δέ, φησίν, ἐστὶ τὰ κατὰ τὰς ἐναντιότητας εἴδη· τὸ γὰρ εἶδος τοῦ πυρὸς τὸ κατὰ τὴν συζυγίαν τῶν ποιοτήτων, θερμοῦ φημι καὶ ξηροῦ, θεωρούμενον, τοῦτο ἁπλοῦν ἐστι καθάπερ καὶ ἡ ὕλη ἁπλῆ, τὸ δὲ πῦρ σύνθετον ἤδη ἐξ ἀμφοῖν.

Ἡ μὲν οὖν τοῦ ῥητοῦ ἔννοια τοιαύτη τίς ἐστι. ζη|τητέον δὲ καθ' 51ʳ αὐτὸ τὸ περὶ τῶν στοιχείων πρόβλημα, πότερον οὐδέν ἐστι τῶν στοιχείων εἰλικρινές, ὥς φασί τινες, ἀλλὰ πάντα ἀλλήλοις ἀναμέμικται καὶ ἐξ ἀλλήλων νοθεύεται, ἢ οὐδὲν κωλύει καὶ αὐτὰ καθ' αὑτὰ ὑφεστηκέναι ἄμικτα τῆς πρὸς ἄλληλα συμπλοκῆς θεωρούμενα. πρὸς ὃ ῥητέον ὅτι εἰ μὲν τὸ πῦρ τῷ ὁρατῷ, καθάπερ Τίμαιος, χαρακτηρίσωμεν καὶ τὴν γῆν τῷ ἁπτῷ, ἔσται οὕτω πάντα ἐν πᾶσι καὶ οὐδὲν ἔσται καθ' αὑτό· ἁπτὰ γὰρ πάντα τὰ στοιχεῖα καὶ ὁρατὰ σχεδὸν πάντα. εἰ δὲ κατὰ τὸν Ἀριστοτέλην ἕκαστον χαρακτηρίσωμεν, τῷ εὐορίστῳ μὲν τὸ ξηρὸν δυσορίστῳ δὲ τὸ ὑγρόν, καὶ τὸ μὲν θερμὸν τῷ διακριτικῷ τὸ δὲ ψυχρὸν τῷ συγκριτικῷ, οὐδὲν ἔσται τὸ κωλῦον εἶναι αὐτὰ εἰλικρινῆ καὶ ἀμιγῆ πρὸς ἄλληλα· εἰ δὲ μηδέν ἐστι τὸ κωλῦον ἀλλ' ἐνδέχεται, καὶ ἐκβαίη ἄν.

p. 330ᵇ23 Οἷον τὸ τῷ πυρὶ ὅμοιον, [τὸ] πυροειδές, οὐ πῦρ.

Αἱ ἐναντιότητες αἱ εἰδοποιοὶ τῶν ἁπλῶν σωμάτων ὅμοιαι, φησί, τοῖς στοιχείοις, οὐ μὴν αἱ αὐταί, διότι τὸ πῦρ ἔοικε μὲν τῇ συζυγίᾳ καθ' ἣν εἰδοποιεῖται, οὐ μὴν ταὐτὸν ἡ συζυγία καὶ τὸ πῦρ, ἀλλ' ἡ ὁμοιότης κατὰ τὴν ποιότητα, καὶ ἡ συζυγία πῦρ μὲν οὐκ ἔστι, πυροειδὲς δὲ καὶ εἶδος τοῦ πυρός. κἀπὶ τῶν ἄλλων δὲ ἑκάστου ὁ αὐτὸς λόγος.

p. 330ᵇ25 Τὸ δὲ πῦρ ἐστιν ὑπερβολὴ θερμότητος, ὥσπερ κρύσταλλος ψυχρότητος.

Πῦρ ἐνταῦθά φησι τὸ διακονικόν, ὅπερ ὑπερβολὴν ἔχειν λέγει ζέσεως, ὥσπερ τὸν κρύσταλλον ὑπερβολὴν ψύξεως. καὶ διὰ τοῦτο μηδὲν ζωογονεῖσθαι μήτε ὑπὸ κρυστάλλου μήτε ὑπὸ τοῦ ἐν χρήσει πυρός, διότι τὸ στοι-

---

1 ἔχῃ GT 2 αἱ ἄλλαι αἱ R¹ 3 ὁ om. a τἄλλα Za 6 θερμοῦ καὶ ξηροῦ φημι Z, qui mox ἡ om. 8 οὖν om. GTZ 11 νοθεύονται Z ὑφέστηκεν GT 13 ὁ τίμαιος a Τίμαιος Platonis p. 31 B 13 et 16 χαρακτηρίσομεν Za 14. 15 τὰ στοιχεῖα πάντα Z 15 σχεδὸν ἅπαντα GTa Ἀριστοτέλη (G)a 18 et 19 κωλύον libri 19 ἔσται a 20. 21 lemmate om. pergit αἱ ἐναντιότητες δὲ αἱ a 20 τὸ τῷ (cf. Arist. codd.) S: τῷ RZ: τὸ GT τὸ alterum delevi πυροειδές] πῦρ ὃ εἶδος Z 25. 28 λόγος. λέγων δὲ τὸ πῦρ ὑπερβολὴν θερμότητος, τὸ διακονικὸν πῦρ φησίν. ὅπερ a 26 ὥσπερ καὶ Ar. 26. 27 κρύσταλος, ut solet, Z 28 λεγ T: λέγειν (G)a 29 τὸν] τὸ T καὶ διὰ τοῦτο RZ: καὶ διὰ τοῦ GT: ὅπερ πιστοῦται διὰ τοῦ a

χειῶδες πῦρ καὶ τὸ ὕδωρ, ἅπερ καὶ ζῳογόνα ἐστὶ καὶ πρὸς σύστασιν τῶν 51r
συνθέτων σωμάτων παραλαμβάνεται, ἐξιστάμενα ἐπὶ ἀμετρίαν τὸ μὲν ὕδωρ 16
τὸν κρύσταλλον ἐργάζεται, τὸ δὲ στοιχειῶδες πῦρ τουτὶ τὸ διακονικὸν καὶ
ἐν τῇ χρήσει λεγόμενον πῦρ.

p. 330b30 Ὄντων δὲ τεττάρων τῶν ἁπλῶν σωμάτων, ἑκάτερα τοῖν δυοῖν ἑκατέρου τῶν τόπων ἐστί.

Περὶ τῆς πρὸς τοὺς τόπους οἰκειότητος τῶν στοιχείων διαλέγεται, ἥτις ἐστὶ ῥοπὴ αὕτη καθ' ἣν βαρέα καὶ κοῦφα λέγεται. ὄντων οὖν δύο τόπων, τοῦ μὲν ἄνω ὃν πρὸς τὸν ὅρον φησὶν εἶναι (ὅρον καλῶν τὸ πέρας τοῦ περιέχοντος καὶ πέριξ), τοῦ δὲ πρὸς τὸ κάτω καὶ μέσον, τὸ μὲν πῦρ καὶ ὁ ἀὴρ τοῦ ἄνω ἐστὶ τόπου, ὕδωρ δὲ καὶ γῆ πρὸς τὸ κάτω. ἑκάτερα γὰρ τοῖν δυοῖν, τουτέστι τῶν δυάδων τῶν δύο ἑκατέρα ἑκατέρου τῶν τόπων, ἡ μὲν τοῦ ἄνω ἡ δὲ τοῦ κάτω· ἑκάτερα γὰρ εἶπεν οὐδετέρως, οἱονεὶ τὰ ἑκάτερα τῶν δύο.

p. 330b33 Καὶ ἄκρα μὲν καὶ εἰλικρινέστατα γῆ καὶ πῦρ.

Ἄκρα καὶ εἰλικρινῆ καλεῖ κατὰ τὴν ῥοπὴν τὸ πῦρ ⟨καὶ τὴν γῆν⟩· πῦρ μὲν γὰρ ἄκραν τὴν πρὸς τὸ ἄνω ῥοπὴν ἔχει, γῆ δὲ τὴν πρὸς τὸ κάτω, ὕδωρ δὲ καὶ ἀὴρ μέσως πως ἔχουσι κατὰ τὴν δύναμιν, τὸ μὲν ὕδωρ ἧττον κατώφορον ὑπάρχον τῆς γῆς, ἀὴρ δὲ τῷ πυρὶ ἡσσώμενος κατὰ τὸ ἀνώρροπον.

p. 331a1 Ἑκάτερα δὲ ἑκατέροις ἐναντία.

Ἑκάτερον, φησί, τῶν ἐν τῇ ἑτέρᾳ τῶν δυάδων ἐναντίον ἐστὶν ἑκατέρῳ τῶν ἐν θατέρᾳ, πῦρ μὲν ὕδατι γῇ δὲ ὁ ἀήρ. δεικνὺς δὲ πῶς ποτέ φησιν οὐσίαν οὐσίᾳ ἐναντίαν εἶναι, ἐπιφέρει λέγων ταῦτα γὰρ ἐκ τῶν ἐναντίων παθημάτων ἐστίν. οὐ γὰρ ἡ σύνθετος οὐσία τῇ συνθέτῳ ἐστὶν ἐναντία ὡς ὕλη θεωρουμένη· οὐδὲ γὰρ κατὰ τὸ ὑποκείμενόν ἐστιν ἐναντιότης ἐν

---

1 ζωόγονά R: ζωογόνια GT¹ 2 σωμάτων bis Z 3 τουτὶ πῦρ traicit Z: post πῦρ rep. καὶ τὸ ὕδωρ ἅπερ καὶ ζωόγονα R¹ διακριτικὸν a 5 τεττάρων a: δ' R: τεσσάρων GTZ ἑκάτερα (cf. Ar. cod. E) RTZ: ἑκάτερον (G)a 6 τόπων] πρώτων Z (et Ar. cod. E) ἐστί om. R 8 ἐστὶν ἡ ῥοπὴ a 9 πρὸς τῷ ὅρῳ RZ 11 ἡ γῆ GTa 12 τοῖν] τῶν GTa τουτέστι τῶν τῶν (?) δύο εἰδῶν (om. δυάδων) Z ἑκατέρα a: ἑκάτερα cett. 13 τῶν om. GT prius τοῦ om. GTa, alterum om. a: ἡ δὲ τοῦ κάτω ἡ δὲ τοῦ ἄνω R γὰρ] δὲ a 15 lemma om. Ra, quorum hic pergit ἄκρα δὲ καὶ εἰλικρινῆ καλεῖ ἄκρα] ἄρα T¹; item v. 16 16 τὸ πῦρ Za: om. GRT καὶ τὴν γῆν addidit a 17 γῆν R 18 πῶς libri 21 lemma (quo de cf. Ar. codd.) om. GTa, quorum hic pergit ἑκάτερον δέ φησι 22 ἑκατέρῳ] ἑκατέρα R 23 ὁ om. add. T² 24 οὐσίαν om. GT: οὐσία οὐσίαν tr. a ἐναντίαν a: ἐναντία cett. 25 ἐστίν] συνέστηκεν Ar. ἐστὶν] οὐσία (scil. οὐσίᾳ) a 26 ὕλη TZ: ὕλη cett.

τῇ συνθέτῳ οὐσίᾳ, ἀλλὰ μόνον κατὰ τὰς εἰδοποιοὺς διαφορὰς ἃς καὶ ἐναν- 51r
τιώσεις ὀνομάζομεν. ὥστε ἡνίκα λέγομεν οὐσίαν οὐσίᾳ ἐναντίαν εἶναι, τὴν
κατὰ τὸ εἶδος λέγομεν οὐσίαν. οὕτως δὲ καὶ πῦρ ὕδατί φαμεν ἐναντίον
εἶναι, τῷ ἐξ ἐναντίων εἰδοποιεῖσθαι διαφορῶν. ἐν δὲ ταῖς Κατηγορίαις
5 εἰκότως εἶπεν οὐσίαν οὐσίᾳ μὴ εἶναι ἐναντίαν, ὡς ἂν περὶ τῶν συνθέτων 40
οὐσιῶν ποιούμενος τὸν λόγον καὶ μὴ θέμενος ἐκεῖσε μήτε τὴν ὕλην μήτε
τὸ εἶδος οὐσίαν λέγεσθαι.

p. 331a3 Οὐ μὴν ἀλλ' ἁπλῶς τέτταρα ὄντα ἑνός γε ἕκαστόν ἐστιν.

10 Τεσσάρων ὄντων τῶν εἰδοποιούντων τὸ σῶμα, θερμοῦ ψυχροῦ ξηροῦ
ὑγροῦ, ἕκαστον τῶν ἁπλῶν σωμάτων ἁπλῶς καὶ κυρίως ἑνὶ χαρακτηρίζεται·
συμπληροῦται μὲν γὰρ ἕκαστον ὑπὸ συζυγίας ποιοτήτων, ὡς εἴρηται, κυρι-
ώτερον δέ, φησί, χαρακτηρίζεται ἕκαστον κατὰ μίαν ποιότητα. ὅτι μὲν
οὖν ὑπὸ συζυγίας δύο ποιοτήτων ἕκαστον κατέχεται, ἐκεῖθεν δῆλον. ᾗ 45
15 μὲν γὰρ μεταβλητικά ἐστιν εἰς ἄλληλα, ταύτῃ ἐναντίων αὐτὰ χρὴ ποιοτή-
των μετέχειν· ᾗ δὲ γειτνιάζουσιν ἀλλήλοις, ἀνάγκη καὶ κοινωνεῖν αὐτὰ
κατά τι. οἷον τὸ πῦρ τῷ ἀέρι γειτνιάζει, καὶ καθὸ μὲν γειτνιάζει, κοινω-
νήσει αὐτῷ κατά τινα ποιότητα, οἷον τὴν θερμότητα· καθὸ δὲ ἑκάτερον
εἰς τὸ ἕτερον μεταβάλλει, ἀνάγκη αὐτὰ κατ' ἄλλην διαφέρειν ποιότητα
20 ὑγρὰν καὶ ξηράν. ἀλλ' εἰ καὶ δύο ἕκαστον μετέχει ποιοτήτων, φησί, κατὰ
μίαν μάλιστα κυρίως χαρακτηρίζεται, τὸ μὲν πῦρ κατὰ θερμότητα, ἀὴρ δὲ 50
κατὰ ὑγρότητα, γῆ δὲ κατὰ ξηρότητα. καὶ ἀποροῦσί τινες τί δήποτε τῷ ἀέρι
τὴν ὑγρότητα ἀπένειμε καὶ οὐχὶ τῷ ὕδατι, ὑγραντικωτέρου ὄντος τοῦ ὕδατος,
ὡς ἔστιν ἐκ τῆς ἐνεργείας ἀμφοτέρων ἰδεῖν· ὁρῶμεν δὲ τὸ ὕδωρ πολλῷ
25 πλέον ἡμᾶς τοῦ ἀέρος ὑγραῖνον. πρὸς οὓς ῥητέον ὅτι ἀμέθοδόν ἐστι μὴ
διορισάμενον πρότερον τί ποτέ ἐστι τὸ ὑγρόν, ἐκ τοῦ | ὑγραντικοῦ ποιεῖ- 51v
σθαι τὴν ἀπόδειξιν. ἴδωμεν οὖν τίποτε τὸ ὑγρόν ἐστι κατὰ Ἀριστοτέλην.
τὸ δυσόριστον, φησίν, οἰκείῳ ὅρῳ. τοῦτο δὲ τίνι μᾶλλον ὑπάρχει; ἢ
δῆλον ὅτι τῷ ἀέρι μᾶλλον ἤπερ τῷ ὕδατι; ὁ γὰρ ἀὴρ μᾶλλόν τε τοῦ
30 ὕδατος κέχυται καὶ διαρρεῖ καὶ δυσοριστότερος ὑπάρχει. τὸ μὲν γὰρ ὕδωρ

2 οὐσία οὐσίαν a 3 οὕτω (G)a τὸ πῦρ a 4 τῷ (G)a: τὸ cett. Κατηγορίαις c. 5 3b24 (cf. infra f. 62r48) 8. 10 lemmate om. pergit τεττάρων δὲ ὄντων a 8 τέτταρα] δ̄ GTZ: δ' R γε post ἁπλῶς ponit Ar. (om. cod. F) 10 Τεττάρων libri 10. 11 ξηροῦ καὶ ὑγροῦ a: ὑγροῦ ξηροῦ traicit T 11 καὶ Za: om. GRT χαρακτηρίζεσθαι a, qui post σωμάτων inserit φησὶν 12 συμπληροῦνται GT 14 δύο om. a 16 αὐτοὺς Z 20 ὑγρὰν (τὴν ὑγρὰν R) καὶ ξηράν. ἀλλ' εἰ—φησί RZ: οἷον τὴν θερμότητα. καθὸ δὲ ἑκάτερον εἰς τὸ ἕτερον μετέχει ποιητήτων φησὶ GT: οἷον τὴν ξηρότητα. καθ' ὃ δὲ ἕκαστον καθ' αὑτὸ θεωρεῖται a, qui φησὶ ponit post μίαν 22 ὑγρότητα. ⟨ὕδωρ δὲ κατὰ ψυχρότητα⟩ a 23. 24 ὑγραντικωτέρῳ ὄντι, ὡς εἴη ἐκ Z 24 δὲ] δὴ a: fort. γὰρ 26 ὑγρόν] ὑγραῖνον R¹ 27 εἴδωμεν GT¹ 28 φησίν c. 2 p. 329b30 δέ τινι a 30 διαρεῖ T¹ δυσοριστότερος a: δυσοριστότερον cett.

κἂν σώσῃ ποτέ τινα ὅρον ἀφιέμενον ἄνωθεν, ὡς συνηγμένον πως αὐτὸ 51v
καταφέρεσθαι, ὁ δὲ ἀὴρ διαρρεῖ τε καὶ διαχεῖται ῥᾳδίως. εἰ τοίνυν ὑγρόν 5
ἐστι τὸ δυσόριστον, μᾶλλον ἂν εἴη ὑγρὸς ὁ ἀήρ. ζητητέον λοιπὸν πῶς
μᾶλλον τὸ ὕδων ὑγραῖνον φαίνεται τὸ σῶμα. ὁρῶμεν δὲ ὅτι καὶ ὁ ἀὴρ
5 αὐτὸς παχυνόμενος καὶ πρὸς τῷ ὕδατι γινόμενος, ὑγραντικώτερος ἀποτελεῖ-
ται. τοῦτο δὲ συμβαίνει διὰ τὸ ⟨τὸ⟩ ὕδωρ παχυμερέστερον ὂν ἀναπληστι-
κὸν εἶναι τῶν ἐν ἡμῖν πόρων, τοῦ ἀέρος ὑπὸ λεπτότητης ῥᾳδίως διαρρέ-
οντος. τοῦτο δὲ εὐλόγως συμβαίνει· τὸ γὰρ ὕδωρ συμφυῶς ἔχει πρὸς
τὴν γῆν καὶ ῥᾳδίως αὐτῇ συνδυάζεται συμβαλλομένης εἰς τοῦτο τῆς ῥοπῆς, 10
10 τοῦ ἀέρος ἀσυνδυάστως πρὸς ταύτην ἔχοντος. διὰ τοῦτο τοίνυν γήινα
ὄντα τὰ ἡμέτερα σώματα καὶ ταύτης μᾶλλον μετέχοντα, ὑπὸ τοῦ ὕδατος
μᾶλλον ἐνυγραίνεται πεφυκότος ῥᾳδίως ἐγκαταμίγνυσθαι καὶ μὴ διαρρεῖν,
καθάπερ ὁ ἀήρ.

p. 331a7 Ἐπεὶ δὲ διώρισται πρότερον ὅτι τοῖς ἁπλοῖς σώμασιν 14
15 ἐξ ἀλλήλων ἡ γένεσις.

Δείξας ὅτι τέσσαρά ἐστι τὰ στοιχεῖα, καὶ τίνι ἕκαστον εἰδοποιεῖται,
νῦν πρότιθεται διδάξαι ὅτι τε ἐξ ἀλλήλων ἔχουσι τὴν γένεσιν, καὶ εἴτε πάντα
εἴτε μή, καὶ τίς ὁ τρόπος τῆς ἐξ ἀλλήλων γενέσεως. ὅτι μὲν οὖν τοῖς
ἁπλοῖς σώμασιν ἐξ ἀλλήλων ἡ γένεσις, διώρισται, φησί, πρότερον· εἴρηται 25
20 δὲ ἐν τῷ τρίτῳ τῆς Περὶ οὐρανοῦ. λέγει δὲ αὐτὸ τοῦτο κἀνταῦθα, πῇ
μὲν τὴν αἴσθησιν ἐπιμαρτυρόμενος πῇ δὲ καὶ λογικῇ ἐφόδῳ κατασκευάζων.
τοῦτο δὲ δείξας τρέπεται ἐπὶ τὸν τρόπον τῆς ἐξ ἀλλήλων μεταβολῆς, διδά-
σκων πῶς τε εἰς ἄλληλα μεταβάλλει καὶ ποῖα μὲν ῥᾷον μεταβάλλει ποῖα
δὲ χαλεπώτερον.

25 p. 331a8 Ἅμα δὲ καὶ κατὰ τὴν αἴσθησιν φαίνεται γινόμενα·
οὐ γὰρ ἂν ἦν ἀλλοίωσις· κατὰ γὰρ τῶν ἁπτῶν τὰ πάθη ἡ
ἀλλοίωσις.

Εἰ μὴ ἐξ ἀλλήλων, φησίν, τοῖς ἁπλοῖς σώμασιν ἡ γένεσις, οὐκ ἂν ἦν
ἀλλοίωσις, διότι τὸ γίνεσθαι τούτοις κατὰ τὴν τῶν ἁπτῶν ποιοτήτων μετα- 30
30 βολὴν ὑπάρχει ὡς ἂν κατὰ ταύτας εἰδοποιουμένοις· εἰ δὲ ταῦτα τὰ ἁπτὰ
πάθη ἀμετάβλητά φασιν οἱ ἀναιροῦντες τὴν ἐξ ἀλλήλων γένεσιν τῶν στοι-

2 διαρρεῖται καὶ R: διαρεῖται καὶ T¹ 3 ζητητέον δὲ a 4 ὑγραῖνον τὸ ὕδωρ Z τὸ σῶμα om. R 6 τὸ alterum addidit a 12 ὑγραίνεται a πεφυκότως R¹ ἐγκαταμίγνεσθαι a διαρεῖν T¹: διαιρεῖν Z 16 εἰδοπεποιεῖται a 17 προ*τίθεται T¹ τε om. a 18 εἴτε καὶ μή Z 18. 19 γενέσεως — ἀλλήλων ἡ om. GT: γενέσεως. ἡ δὲ ἐξ ἀλλήλων suppleverat a 20 ἐν τῷ τρίτῳ τῆς Περὶ οὐρανοῦ c. 6 21 κατεσκευάζων a 22 διδάξας T μεταβολῆς] γενέσεως Z 25. 28 om. lemmate pergit εἰ οὖν μὴ a 25 καὶ RZ: om. GT 26. 27 γὰρ τὰ τῶν ἁπτῶν πάθη ἡ ἀλλοίωσίς ἐστιν Arist. 28 ἁπλῶς Z 31 φασιν] φ^η R

χείων, ἀναιροῦσι καὶ τὴν ἀλλοίωσιν, εἴπερ κατὰ τὰ ἁπτὰ πάθη θεωρεῖται 51v
ἀλλοίωσις. ἀλλοίωσιν δὲ χρὴ νοεῖν οὐχ, ὥσπερ Ἀλέξανδρος, τὴν γένεσιν·
οὐδὲ γὰρ κατάλληλος ἡ ἔννοια τοῦ ῥητοῦ εὑρεθήσεται λέγοντος ὅτι εἰ μὴ
ἐξ ἀλλήλων αὐτοῖς ἡ γένεσις, οὐκ ἂν εἴη γένεσις. ἀλλοίωσιν τοίνυν ἀκούειν
5 χρὴ τὴν καθόλου κατὰ ποιότητα μεταβολήν, εἴτε οὐσιώδης εἴτε συμβεβη- 35
κυῖα ὑπάρχει ἡ ποιότης. ἀλλ' ἴσως τις ἐρεῖ· πῶς τὴν καθόλου ἀλλοίωσίν
φησι κατὰ τὰ ἁπτὰ πάθη γίνεσθαι; οὐδὲ γὰρ ἡ τοῦ λευκοῦ εἰς μέλαν
μεταβολὴ οὐδὲ ἡ τοῦ γλυκέος εἰς τὸ πικρὸν κατὰ τὰ ἁπτὰ πάθη γίνεται.
πρὸς ὃ φαμεν ὅτι αἱ ἄλλαι πᾶσαι ἀλλοιώσεις εἰ καὶ μὴ κατὰ τὰ ἁπτὰ
10 πάθη θεωροῦνται, ἀλλ' οὖν τῇ τῶν ἁπτῶν ποιοτήτων μεταβολῇ ἕπονται·
ταῖς γὰρ κράσεσι τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ τὰ
χρώματα καὶ οἱ χυμοὶ καὶ πᾶσαι αἱ αἰσθηταὶ ποιότητες ἕπονται. 40

Ἅμα δὲ καὶ κατὰ τὴν αἴσθησιν φαίνεται γινόμενα. τοῦτο
διὰ μέσου ἔγκειται· ἡ γὰρ συνέχεια τοιαύτη τις ὅτι τοῖς ἁπλοῖς σώμα-
15 σιν ἐξ ἀλλήλων ἡ γένεσις· οὐ γὰρ ἂν ἦν ἀλλοίωσις, διὰ μέσου
δὲ τὸ κατὰ τὴν αἴσθησιν φαίνεται γινόμενα. ὑποπίπτει δὲ τῇ αἰ-
σθήσει, ὅτι τὸ τέως ψυχρὸν θερμὸν ἀποτελεῖ καὶ τοὔμπαλιν, καὶ τὸ ὑγρὸν
ξηρὸν καὶ τοὔμπαλιν.

p. 331a11 Καὶ πότερον ἅπαν ἐξ ἅπαντος γίνεσθαι δυνατόν.

20 Οὐ μόνον, φησίν, εἰπεῖν χρὴ ὅτι ἐξ ἀλλήλων γεννῶνται, καὶ τίς ὁ
τρόπος τῆς ἐξ ἀλλήλων μεταβολῆς διδάξαι, ἀλλὰ καὶ ὅτι ἕκαστον τῶν 45
τεσσάρων ἐξ ἑκάστου γεννᾶται καὶ οὐκ ἔστι τι αὐτῶν ἀμετάβλητον, καθά-
περ ὁ Πλάτων τὴν γῆν ὑπετίθετο.

p. 331a12 Ὅτι μὲν οὖν ἅπαντα πέφυκεν εἰς ἄλληλα μεταβάλλειν,
25 ⟨φανερόν⟩.

Νῦν δείκνυσιν ὅτι πάντα εἰς ἄλληλα μεταβάλλει, ἔστι δὲ ἡ δεῖξις τοι-
αύτη. τἀναντία ἐξ ἀλλήλων γίνεται (εἰς ἄλληλα γὰρ μεταβάλλει· οὐδὲ γὰρ τὸ
τυχὸν εἰς τὸ τυχόν, ὡς ἀποδέδεικται), τὰ δὲ στοιχεῖα ἐναντίως ἔχει, τὰ
στοιχεῖα ἄρα πάντα ἐξ ἀλλήλων γίνεται καὶ εἰς ἄλληλα μεταβάλλει. ὅτι δὲ
30 τὰ στοιχεῖα ἐναντία, δείξει διὰ τοῦ ἐκθέσθαι τὰς διαφορὰς αὐτῶν ἐναντίας 50
οὔσας, καθ' ἃς καὶ εἰδοποιοῦνται καὶ εἰς ἄλληλα μεταβάλλουσιν.

---

1 τὰ om. R 6 ὑπάρχοι a 7 ἡ om. add. T² 8 γίνεται RZ: γὰρ (ortum sc. e compendio vocis γίνεται) ἐστί GT: ἐστί a 9 αἱ iterat post πᾶσαι T τὰ om. Z 12 αἰσθητικαὶ a 13 Ἅμα] τὸ δὲ ἅμα a γιγνόμενα a, qui τοῦτο om. 16 τὸ] τὰ R γιγνόμενα a 17 ἀποτελεῖται a τὸ ἔμπαλιν GTZ 18 τὸ ἔμπαλιν Z 19. 20 om. lemm. pergit οὐ μόνον δέ φησιν a 20 χρὴ εἰπεῖν R 23 ὑπεθέτο T'a 24. 26 om. lemm. pergit ταῦτα εἰπὼν. δείκνυσιν a 25 φανερόν addidi 27 τὰ ἐναντία Z 27. 29 γὰρ μεταβάλλει—ἄλληλα om. R 27 οὐδὲ Z: οὐ GTa

p. 331a21 Ἤδη δὲ καθ' ἕκαστον οὐ χαλεπὸν ἰδεῖν πῶς. | 51v

Εἰπὼν ὅτι ἐξ ἀλλήλων γεννῶνται οὐ τὰ μὲν τὰ δ' οὔ, ἀλλ' ἕκαστον 52r
ἐξ ἑκάστου, νῦν ἐπὶ δεύτερον μετῆλθε πρόβλημα, τὸν τρόπον ζητῶν τῆς
ἐξ ἀλλήλων μεταβολῆς. φησὶ δὲ ὅτι τὰ μὲν ἔχει κοινὴν ποιότητα
5 πρὸς ἄλληλα, ὅπερ σύμβολον προσαγορεύει, ὥσπερ τὸ πῦρ πρὸς τὸν
ἀέρα ἔχει κοινωνίαν κατὰ τὴν θερμότητα, καὶ ἀὴρ πρὸς τὸ ὕδωρ 25
κατὰ τὴν ὑγρότητα, καὶ ἁπλῶς εἰπεῖν πάντα τὰ ἐφεξῆς ἀλλήλων· τὰ δὲ
οὐδεμίαν ἔχει πρὸς ἄλληλα κοινωνίαν κατ' ἀμφοτέρας ἐναντία ὄντα τὰς
συζυγίας, ὥσπερ ἔχει πῦρ πρὸς ὕδωρ καὶ ἀὴρ πρὸς γῆν. τὰ μὲν οὖν,
10 φησίν, ἔχοντα πρὸς ἄλληλα κοινωνίαν ῥᾷον μεταβάλλει, διότι κατὰ μίαν
μόνην ποιότητα μεταβάλλει, τὰ δὲ κατ' ἄμφω ἐναντία βραδύτερον ἐξ ἀλλή-
λων γίνεται· δυσχερέστερον γὰρ ἀμφότεραι αἱ ποιότητες μεταβάλλουσι τῆς
μιᾶς. καθόλου τοίνυν πάντα εἰς ἄλληλα μεταβάλλει, ἀλλὰ τὰ μὲν συγγέ- 30
νειάν τινα κατὰ μίαν τῶν ἐναντιώσεων ⟨ἔχοντα⟩ ῥᾷον, τὰ δὲ ἐναντία πάντῃ
15 βραδύτερον.

p. 331b11 Αὕτη μὲν οὖν χρονιωτέρα ἡ γένεσις· ἐὰν δὲ ἑκα-
τέρου θάτερον φθαρῇ, ῥᾴων μέν, οὐκ εἰς ἄλληλα δὲ ἡ τούτων
μετάβασις.

Εἰπὼν περὶ τῆς μεταβολῆς τῶν σύμβολα ἐχόντων πρὸς ἄλληλα καὶ
20 σύνεγγυς ὄντων, ἣν καὶ ῥάστην εἶπεν, ἔτι τε περὶ τῆς τῶν ἐναντίων, ἥτις
γίνεται κατ' ἄμφω μεταβαλλόντων, ἣν καὶ χαλεπωτέραν φησὶν εἶναι, νῦν
ἐκτίθεται τρίτην διαφορὰν μεταβολῆς, καθ' ἣν ἐκ δύο τινῶν τῶν ἐναντίων
ἕν τι τρίτον ἀποτελεῖται, ἑκατέρου κατὰ τὴν ἑτέραν ποιότητα μεταβάλλον-
τος, οἷον ἐκ πυρὸς καὶ ὕδατος ἐναντίων ὄντων γίνεται ποτὲ μὲν ἀὴρ ποτὲ 35
25 δὲ γῆ. ὅταν μὲν γὰρ τὸ πῦρ μεταβάλλῃ κατὰ τὸ ξηρὸν τὸ δὲ ὕδωρ κατὰ
τὸ ψυχρόν, μένει τοῦ μὲν πυρὸς τὸ θερμὸν τοῦ δὲ ὕδατος τὸ ὑγρόν, ὅπερ
εἰδοποιεῖ τὸν ἀέρα· ὅταν δὲ τοῦ μὲν πυρὸς τὸ θερμὸν τοῦ δὲ ὕδατος τὸ
ὑγρὸν φθαρείη, μένει τὸ ψυχρὸν καὶ ξηρὸν ἀποτελεστικὰ ὄντα τῆς γῆς.
οὕτω δὲ καὶ ἀέρος καὶ γῆς συμβαίνει. ποτὲ μὲν γὰρ ὕδωρ ἔσται, ὅταν

---

3 ἐξ om. add. T² τὸ δεύτερον a 5 πρὸς om. R¹ ἀγορεύει R
6. 10 πρὸς ubique om. R 9 πῦρ καὶ ὕδωρ GT 10 πρὸς ἄλληλα ἔχοντα φησὶ Z: ἔχοντα φησὶ πρὸς ἄλληλα a 10. 11 διότι—μεταβάλλει om. GTa 14 ἔχοντα addidit a 16. 19 om. lemma et pergit εἰπὼν δὲ περὶ a 16 χρονιώτερα R¹
17 φθαρεῖ T¹ φθαρῇ θάτερον Arist. cod. E ῥᾶον libri τούτων om. Ar. (praeter cod. H) 20 τῶν πάντῃ ἐναντίον (sic) a 21 καὶ om. GTa
23 ἀποτελεῖται τρίτον Z 24 ποτὲ μὲν γίνεται R 25 γὰρ om. GT 26 μένῃ R μὲν om. GTa 28 ὄντα om. a 29. p. 234,2 lacuna laborant, quam explere conatus ποτὲ μὲν γὰρ ὕδωρ, ποτὲ δὲ πῦρ ἔσται. ὅταν γὰρ τῆς μὲν γῆς τὸ ξηρὸν, τοῦ δ' ἀέρος τὸ θερμὸν φθαρῇ, μένει τῆς μὲν γῆς τὸ ψυχρὸν, τοῦ δ' ἀέρος τὸ ὑγρόν. ἅπερ εἰδοποιεῖ τὸ ὕδωρ. ὅταν δ' αὖ τῆς μὲν γῆς τὸ ψυχρόν. τοῦ δ' ἀέρος τὸ ὑγρὸν φθαρῇ, μένει τῆς μὲν γῆς τὸ ξηρόν. τοῦ δ' ἀέρος τὸ θερμόν. ἅπερ εἰδοποιεῖ τὸ πῦρ scripsit a

τοῦ μὲν ἀέρος τὸ θερμὸν τῆς δὲ γῆς τὸ ξηρὸν φθαρῇ· μένει γὰρ τὸ θερ- 52r
μὸν καὶ ξηρόν, ἅπερ εἰδοποιεῖ τὸ πῦρ. τοῦτο μὲν οὖν τὸ ἐκ δύο μετα- 10
βαλλόντων στοιχείων ἕν τι ἀποτελεῖσθαι ἕτερον ὂν παρὰ ταῦτα ἐπὶ τῶν
ἐναντίων συμβαίνει στοιχείων. ἐπὶ δὲ τῶν ἐφεξῆς οὐκέτι· οὔτε γὰρ πυρὸς
5 καὶ ἀέρος μεταβαλλόντων δυνατὸν ἄλλο τι τρίτον ἀποτελεσθῆναι, οὔτε ἀέρος
καὶ ὕδατος, οὔτε ὕδατος καὶ γῆς. καὶ σαφηνείας ἕνεκεν γυμναζέσθω ὡς ἐπὶ 45
πυρὸς καὶ ἀέρος. φημὶ δὴ ταῦτα μὴ δύνασθαι μεταβαλόντα κατὰ τὴν ἑτέραν
τῶν ποιοτήτων ἕν τι ἀποτελέσαι παρὰ ταῦτα. ἀνάγκη δὴ ἢ τοῦ μὲν πυρὸς
τὸ θερμὸν τοῦ δὲ ἀέρος τὸ ὑγρὸν φθαρῆναι, καὶ ὑπολειφθήσεται τοῦ μὲν
10 πυρὸς τὸ ξηρὸν τοῦ δ' ἀέρος τὸ θερμὸν ὅπερ τὸ πῦρ εἰδοποιεῖ, καὶ οὐκ
ἔσται ἄλλο τι παρὰ ταῦτα· ἢ ἔμπαλιν τοῦ μὲν πυρὸς τὸ ξηρὸν τοῦ δ'
ἀέρος τὸ θερμόν, καὶ ἔσται τὸ ὑπολιμπανόμενον θερμὸν καὶ ὑγρὸν ταὐτὸν
τῷ ἀέρι· ἢ τοῦ μὲν πυρὸς τὸ ξηρὸν τοῦ δ' ἀέρος τὸ ὑγρόν, καὶ καταλεί- 50
πεται δύο θερμὰ μηδὲν εἰδοποιοῦντα· ἢ καὶ τοῦ πυρὸς καὶ τοῦ ἀέρος τὸ
15 θερμὸν φθαρήσεται, καὶ ἔσται λοιπὰ τὸ ξηρὸν καὶ ὑγρὸν ἐναντία ὑπάρ-
χοντα ἃ μὴ συνδυάζεται. καὶ ἐπὶ τῶν ἄλλων δὲ τῶν ἐφεξῆς ὁ αὐτὸς
λόγος. ᾧ δῆλον ὅτι κατ' οὐδένα τρόπον δύναται ἐκ τῶν ἐφεξῆς μετα-
βαλλόντων ἕν τι τρίτον ἀποτελεσθῆναι.

Ἡ μὲν οὖν τοῦ ῥητοῦ πᾶσα ἔννοια τοιαύτη τις ὑπάρχει, ἐνδέχεται
20 δὲ διαφόρως ἐκλαβεῖν τὸ εἰρημένον. ὁ μὲν | γὰρ Ἀλέξανδρος ἁπλούστε- 52v
ρον, καθάπερ καὶ φαίνεται λέγων Ἀριστοτέλης, οὕτως ἐξηγήσατο, φάσκων
τὰ ἐναντία στοιχεῖα δύνασθαι ἕν τι κατὰ ἀριθμὸν ἀποτελέσαι, ἑκατέρου
αὐτῶν τὴν μὲν ἑτέραν τῶν ποιοτήτων μεταβάλλοντος, τὴν δὲ ἑτέραν
φυλάξαντος. ἡ γὰρ γῆ καὶ ὁ ἀὴρ ποτὲ μὲν πῦρ, ποτὲ δὲ ὕδωρ ἀποτε-
25 λοῦσιν. εἰ γὰρ φθαρείη τοῦ μὲν ἀέρος τὸ ὑγρὸν καὶ μένει τὸ θερμόν,
τῆς δὲ γῆς τὸ ψυχρὸν ὡς ὑπολειφθῆναι τὸ ξηρόν, τὸ πῦρ ἀποτελεσθήσε- 5
ται· καὶ ὕδωρ δὲ πάλιν ἔσται τοῦ μὲν θερμοῦ καὶ ξηροῦ φθαρέντος, ὑπο-
λειφθέντος δὲ τοῦ ὑγροῦ καὶ ψυχροῦ. καὶ διὰ τοῦτο, φησὶν ὁ Ἀλέξανδρος,
εἴρηκεν ταύτην τὴν μεταβολὴν ῥᾷον γίνεσθαι τῆς ἐξ ἐναντίας ἐναντίον ἓν
30 ἐξ ἑνὸς ποιούσης, διότι, φησίν, ἐν μὲν τῷ γίνεσθαι πῦρ ἐξ ὕδατος δύο
φθείρονται ποιότητες, τὸ θερμὸν καὶ ξηρόν, καὶ ἕτεραι δύο γεννῶνται, τὸ
ὑγρὸν καὶ τὸ ψυχρόν, ἐπὶ δὲ τῆς προκειμένης μεταβολῆς, καθ' ἣν ἐκ δύο
ἓν ἀποτελεῖται τρίτον, δύο μὲν φθείρονται, οὐ γεννῶνται δὲ ἕτεραι. οὕτως 10
μὲν ὁ Ἀλέξανδρος. δυνατὸν δὲ λέγειν ὅτι Ἀριστοτέλης ἕν φησιν ἀποτε-
35 λεῖσθαι ἐκ δύο, οὐ κατὰ ἀριθμὸν ἕν, ἀλλὰ τῷ εἴδει. οὐδὲ γὰρ δυνατὸν

---

3 ἕτερον om. R 5 ἀλλ' ὅτι R 7 ταύτη GT μεταβάλλοντα GTa
8 ἀποτελέσθαι GT δὴ RZ: δὲ GT: γὰρ a 9 ὑποληφθήσεται R
10 ἅπερ a 12 post τὸ θερμόν scripserat ὅπερ τὸ πῦρ R[1] 15 φθαρείσεται a
λοιπὸν Z 19 οὖν om. add. T[2] ἔννοια πᾶσα Z 20 ἐκβαλεῖν GT[1] 21 ὁ
Ἀριστοτέλης a 23 ὄντων αὐτῶν GT ἀποβάλλοντος GTa 24 φυλάττον-
τος a 25 τὸ (ante ὑγρὸν) om. R μένει corr. ex μένη vel viceversa R: μείνη (Z)a
26 ὑποληφθῆναι GR[1]a 29 εἰρηκέναι R ἐναντίας] ἐναντίου a ἓν ἐναντίον
ἓν Z 31 ἑτέραι R δύο] δὲ GT 33 οὕτω a 34 μὲν οὖν GT
ὅτι] ὅτι ὁ R

τῆσδέ τινος τῆς ποιότητος φθαρείσης μὴ οὐ τὴν ἐναντίαν γενέσθαι, οἷον, 52ᵛ φησίν, ἐκ πυρὸς καὶ ὕδατος μεταβαλλόντων ἀὴρ ἀποτελεῖται, οὐχ εἷς κατ' ἀριθμόν, ἀλλ' ἄλλος μὲν ἐκ πυρὸς ἕτερος δὲ ἐξ ὕδατος. φθειρομένης γὰρ τῆς τοῦ πυρὸς ξηρότητος ἐπιγίνεται πάντως ὑγρότης, καὶ ἀποτελεῖται ὁ 15 ἀήρ· καὶ τὸ ὕδωρ ὡσαύτως ἀποβάλλον τὴν ψύξιν προσκτᾶται θερμότητα καὶ ἀὴρ ἀποτελεῖται. καὶ ἴσως τις ἐρεῖ· εἰ δύο μὲν φθείρεσθαι λέγοιμεν ποιότητας δύο δὲ γίνεσθαι, πῶς ἂν εὐχερεστέρα λέγοιτο ἡ μεταβολὴ αὕτη τῆς εἰς τἀναντία μεταβολῆς, εἴ γε ἐφ' ἑκατέρας μεταβολῆς δύο ποιοτήτων γένεσις καὶ δύο φθορὰ θεωρεῖται; πρὸς ὃν εὐλόγως ἐροῦμεν ὅτι τοῦ μὲν ἐναντίου εἰς τὸ ἐναντίον μεταβάλλοντος περὶ τὸ αὐτὸ θεωρεῖται ἡ πᾶσα μεταβολή, τουτέστιν ἡ γένεσις τῶν δύο καὶ ἡ φθορὰ τῶν ἄλλων δύο ποιο- 20 τήτων, ἐπὶ δὲ τῆς προκειμένης μεταβολῆς, καθ' ἣν ἓν ἐκ δύο ἀποτελεῖται, περὶ δύο θεωρεῖται ἡ τῶν δύο ποιοτήτων μεταβολὴ ἑκατέρου κατὰ μίαν μεταβάλλοντος ποιότητα, τοῦ μὲν πυρὸς κατὰ τὴν ξηρότητα μεταβάλλοντος τοῦ δὲ ὕδατος κατὰ τὴν ψυχρότητα. αὕτη δὲ ῥάστη ἐστὶν ἡ μεταβολὴ μηδὲν διαφέρουσα τῆς πρώτης παρ' αὐτοῦ εἰρημένης, καθ' ἣν ἓν εἰς ἓν μεταβάλλει τῶν ἐφεξῆς ἀλλήλων καὶ σύμβολα ἐχόντων πρὸς ἄλληλα, ἣν καὶ εὐχερεστέραν πασῶν εἶναι ἀπεφήνατο. 25

p. 331ᵇ24 Ὁμολογουμένη δὲ καὶ τῇ αἰσθήσει ἡ τοῦ πυρὸς γένεσις· μάλιστα μὲν γὰρ πῦρ ἡ φλόξ, αὕτη δ' ἐστὶ καπνὸς καιόμενος.

Εἰπὼν ὅτι ἐκ γῆς καὶ ἀέρος ἕν τι ἀποτελεῖται, ποτὲ μὲν πῦρ ποτὲ δὲ 35 ὕδωρ, φησὶν ὅτι ἐπὶ πυρὸς ἔστι φανερὰν ἰδεῖν τὴν τοιαύτην γένεσιν. ἡ γὰρ φλόξ, φησί, πῦρ τυγχάνουσα οὐδὲν ἕτερόν ἐστιν ἢ καπνὸς καιόμενος, ὁ δὲ καπνὸς μῖγμά ἐστιν ἀέρος καὶ γῆς· ἡ γὰρ ἀπὸ τῆς ὑγρότητος ἀναθυμίασις ἔχουσα σὺν αὐτῇ μεμιγμένον τι γεῶδες συνιστησι τὸν καπνόν, μεταβαλλόντων δὲ τῆς μὲν γῆς κατὰ τὸ ψυχρὸν τοῦ δ' ἀέρος κατὰ τὸ ὑγρὸν ἡ φλὸξ γίνεται, ἔχουσα τῆς μὲν γῆς τὸ ξηρὸν τοῦ δ' ἀέρος τὸ θερμόν.

p. 331ᵇ26 Ἐν δὲ τοῖς ἐφεξῆς οὐκ ἐνδέχεται φθαρέντος ἐν ἑκατέρῳ θατέρου. 40

Καὶ τοῦτο τὸ ῥητὸν ὡσαύτως τῷ προτέρῳ διττῶς ἐνδέχεται ἐξηγήσασθαι, κατὰ μὲν Ἀλέξανδρον λέγοντας [ὅτι] τὰ ἐφεξῆς ἀλλήλων μὴ δύνασθαι ἕν τι ἀπογεννῆσαι· εἰ γὰρ ὑποθώμεθα ἐξ ἑκατέρου μίαν φθειρο-

---

1 μὴ οὐχὶ Z 2 φασὶν (G)a μεταβαλόντων GTa 4 πάντως ὡς Z ὁ om. a 5 ἐπικτᾶται a 6 λέγομεν a 7 πραότητας GT λέγοιτο] γένοιτο R 8 τὰ ἐναντία GT 18 εὐχερεστάτην em. a 20 γὰρ ἡ φλὸξ πῦρ a 23 ἰδεῖν φανερὰν Z 26 σὺν] ἐν a αὐτῇ libri 26. 27 μεταβαλόντων a 29. 31 τὸ δὲ ἐν τοῖς ἐφεξῆς οὐκ ἐνδέχεται, ὥσπερ καὶ τὸ πρότερον διττῶς a 32 λέγοντα Z ὅτι delevit a τὰ om. GT 33 ἀποτελέσαι Z ὑποθοίμεθα a

μένην ποιότητα, αἱ ὑπολειπόμεναι ἢ ἐναντίαι εὑρεθήσονται ἢ αἱ αὐταί, οὐ 52ᵛ
δύναται δὲ οὐδὲ ἐξ ἐναντίων οὐδ' ἐκ μιᾶς καὶ τῆς αὐτῆς ποιότητος ἀπο-
τελεσθῆναι τρίτον, καθάπερ πρότερον σαφέστατα ἐδείξαμεν. κατὰ μὲν
Ἀλέξανδρον οὕτως. κατὰ δὲ τοὺς λέγοντας μὴ δύνασθαι φθαρείσης ποιό- 45
5 τητος μὴ ἐπιγενέσθαι τὴν ἐναντίαν, οὐκ ἔσται ἀληθὲς τὸ λέγειν ἐκ τῶν
ἐφεξῆς μεταβαλλόντων μὴ δύνασθαι τρίτον τι ἀποτελεσθῆναι· ἐκ γὰρ τοῦ
πυρὸς καὶ ἀέρος, μεταβάλλοντος κατὰ μίαν ποιότητα ἑκατέρου, ἔσονται.
ἀλλ' εἰ μὲν ἑκάτερον μεταβάλλοι κατὰ θερμότητα, ἔσται γῆ καὶ ὕδωρ, ἐκ
μὲν πυρὸς γῆ ἐξ ἀέρος δὲ ὕδωρ· * * * καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. πῶς
10 οὖν δυνατὸν κατὰ ταύτην τὴν ἐξήγησιν ἀληθῆ σῴζειν τὴν Ἀριστοτελικὴν
ἔννοιαν; ἢ λέγοντα ὅτι λόγῳ μόνῳ θεωρήσας ἐξ ἑκατέρου μίαν ποιότητα 50
ὑπολειπομένην ἔφη ταύτας μὴ δύνασθαι συνδυασθείσας ἀποτελέσαι τρίτον
τι ἕτερον, τῆς τῶν πραγμάτων φύσεως μὴ ἐχούσης οὕτως; οὐδὲ γὰρ
δυνατὸν τοῦ πυρὸς φθαρείσης τῆς θερμότητος μὴ οὐχὶ ἐπιγενέσθαι ψύξιν,
15 οὐδὲ ἐπὶ τῶν ἄλλων οὐδενός. ὥστε κατ' ἐπίνοιαν χρὴ μόνον λαβεῖν τὸ εἰρη-
μένον σῳζόμενον, ὅτι ἐὰν ἀφελόντες τοῦ πυρὸς καὶ τοῦ ἀέρος τὸ θερμὸν λάβω-
μεν τὰς ὑπολειπομένας, τοῦ μὲν πυρὸς τὴν ξηρότητα τοῦ δ' ἀέρος | τὴν ὑγρό- 53ʳ
τητα, οὐδενὸς ἔσονται αὗται συστατικαί, ὡς ἂν ἐναντίαι οὖσαι καὶ τῷ αὐτῷ
μὴ δυνάμεναι ὑπάρχειν. ἀλλ' οὐδὲ εἰ τοῦ μὲν πυρὸς τὴν ξηρότητα τοῦ
20 δ' ἀέρος τὴν ὑγρότητα ἀφέλωμεν, δυνατὸν ἐκ τοῦ κατὰ τὸ πῦρ καὶ τὸν
ἀέρα θερμοῦ συστῆσαι στοιχεῖον· κατὰ συζυγίαν γὰρ τούτων ἕκαστον εἰδο-
ποιεῖται.

p. 331ᵇ33 Ἐν ἅπασι γὰρ τοῖς ἐφεξῆς ἐνυπάρχει τὸ μὲν ταὐτὸν
τὸ δὲ ἐναντίον.

25 Σαφῶς αὐτὸς ἐδίδαξε διὰ τί ἐκ τῶν ἐφεξῆς ἑκατέρου μίαν ὑπολιπόν-
τες ποιότητα οὐ γεννᾶταί τι· ταῦτα γάρ, φησί, τὴν μὲν ἑτέραν τῶν ποιο- 5
τήτων κοινὴν ἔχουσι, τὴν δὲ ἑτέραν ἐναντίαν, οὔτε δὲ τῶν ἐναντίων ὑπο-
λειφθεισῶν οὔτε τῆς αὐτῆς ποιότητος δυνατὸν γενέσθαι τι ἕτερον.

p. 331ᵇ35 Ὥσθ' ἅμα δῆλον ὅτι τὰ μὲν ἐξ ἑνὸς εἰς ἓν μετα-
30 βαίνοντα.

Συμπεραινόμενος τὸν λόγον ἀναλαμβάνει τὰ εἰρημένα, ὅτι ὅταν μὲν ἐξ
ἑνὸς γίνηται, μιᾶς φθαρείσης ποιότητος, ἀποτελεῖταί τι, ὡς ἐπὶ τῶν ἐχόν-

---

2 οὔτε ἐξ ἐναντίων οὔτ' a 3 μὲν οὖν a 8 εἰ] ἀεὶ R μεταβάλοι R²a
9 lacunam indicavi 11 τῷ λόγῳ GTa ἐξ om. a 12 συνδυασθείσης a
13 γὰρ om. Z 14 οὐχὶ om. a ἐπιγίνεσθαι Z 16 ἂν Z ἀφελῶντες GT¹
18 αὗται ἔσονται et mox μὴ δυνάμεναι ὑπάρχειν τῷ αὐτῷ Z 20 ἀφέλοιμεν a ἀδύνατον
GT 23. 25 om. lemm. pergit σαφέστερον δὲ αὐτὸς ἐδίδαξε a 23. 24 τὸ utrobique
ex τῷ corr. T 25. 26 ὑπολιπόντες] ita libri 29. 31 συμπεραινόμενος δὲ om.
lemm. a 31 ἐνπαναλαμβάνει Z 32 et p. 237,1 γένηται GT

των πρὸς ἄλληλα σύμβολα· ὅταν δὲ ἐκ δύο ἓν γίνηται, δύο φθείρονται 53r
ποιότητες. ὡσαύτως δὲ καὶ ὅταν τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου γίνηται· καὶ 10
τότε γὰρ δύο φθείρονται ποιότητες, ὡς εἴρηται.

p. 332a3 Οὐ μὴν ἀλλ' ἔτι καὶ ὧδε θεωρήσωμεν περὶ αὐτῶν.

Δείξας ὅτι τέσσαρα τὰ στοιχεῖα καὶ πάντα εἰς ἄλληλα μεταβάλλει, ἔτι τε διδάξας τὸν τρόπον τῆς εἰς ἄλληλα μεταβολῆς αὐτῶν, νῦν προτίθεται οἷον ἀρχήν τινα ποιησάμενος ἄλλης ἐφάψασθαι θεωρίας τῇ περὶ τῶν στοιχείων σκέψει προσηκούσης. τίς δ' αὕτη ῥητέον. ἐπειδὴ ἀρχόμενος τοῦ βιβλίου ἐξέθετό τινας τῶν παλαιοτέρων δόξας περὶ τῶν ἀρχῶν γενο- 15
μένας καὶ διελέχθη οὐ πρὸς πάσας, ἀλλὰ μόνην τὴν Ἀναξιμάνδρου ἤλεγξεν ἐπὶ βραχύ, καὶ πρὸς Τίμαιον διαλεχθεὶς ὡς οὐ σαφῶς περὶ τῆς ὕλης διορίζοντα, νῦν μετὰ τὴν τῶν στοιχείων ἅπερ αὐτὸς ἔθετο ἀπόδειξιν ἐκτίθεται πάσας τὰς περὶ στοιχείων δόξας, ὅσας τε οἱ παλαιότεροι ἐδόξασαν καὶ ὅσας δυνατὸν τῇ διαιρέσει ἑπόμενον ὑποθέσθαι, καὶ πάσας ἐλέγχων
τὰς ἄλλας καταλείπει τὴν παρ' αὐτοῦ εἰρημένην ὡς ἀληθῆ. ἔστι δὲ καὶ 20
οὕτως τὸν σκοπὸν τῶν προκειμένων ἀφορίσαι. εἰπὼν τρεῖς ἀρχὰς εἶναι, τὴν ὕλην τὴν ἐναντίωσιν τὰ στοιχεῖα, εἶτα διδάξας περὶ τῶν ἐναντιώσεων, τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ τοῦ ξηροῦ καὶ ὑγροῦ, καὶ προσέτι περὶ τῶν στοιχείων, νῦν βούλεται καὶ περὶ τῆς ὕλης τῆς ὑποκειμένης τοῖς στοιχείοις
διδάξαι, εἴτε ἓν τούτων πᾶσιν ὑπόκειται εἴτ' ἄλλο τι παρὰ ταῦτα. ἵν' οὖν τοῖς κατὰ μέρος παραδιδομένοις ῥαδίως παρακολουθῶμεν. προσληπτέον διαίρεσιν ἐν ᾗ πάντα τὰ μέλλοντα λέγεσθαι ἐμπεριέχεται. ἀνάγκη γὰρ τὸν ἀρχὰς 25
σωματικὰς τῶν ὄντων ὑποτιθέμενον ἤτοι μίαν λέγειν ἢ πλείους· καὶ εἰ μίαν, ἤτοι ἑτέραν οὖσαν τῶν τεσσάρων, ὡς Ἀναξίμανδρος ἔλεγεν, ἢ ἓν
τῶν τεσσάρων, ὡς Ἡράκλειτος καὶ Θαλῆς καὶ οἱ ἄλλοι· καὶ εἰ ἓν τῶν τεσσάρων, ἤτοι ὡς ἀμετάβλητον ἢ ὡς μεταβλητικόν· καὶ εἰ ἀμετάβλητον, ἤτοι ὡς ὕλης τάξιν ἐπέχον πρὸς τὰ λοιπὰ τρία καὶ τὰ ἐκ τούτων σύνθετα, ὡς ἔφασκον οἱ ἀέρα ἢ πῦρ ἀρχὴν τῶν ὄντων ὑποτιθέμενοι, ἢ ὡς μηδὲ 30
ὕλης λόγον ἐπέχον πρὸς τὰ ἄλλα, ὅπερ οὐδεὶς ὑπέθετο. εἰ δὲ ἓν καὶ
μεταβλητικὸν φαίη τις, ὡς μὲν ὕλην οὐκέτι δυνατὸν ἀρχὴν τοῦτο ὑπο-

---

1 δύο ἓν] ἓν om. Ta, quorum hic scribit δυοῖν 2 ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον a γίνηται GTa: γίνεται R: γίνοιτο Z 3 ποιότητες φθείρονταϊ ὥσπερ εἴρηται Z 4 θεωρήσομεν T¹Z 5 τὰ στοιχεῖα τὰ τέσσαρα Z 6 τε] δὲ R 9 βυβλίου a 10 διελεγχθῆναι G: διελεχθῆναι T¹: διαλεχθῆναι T²: διηλέχθη a, qui et proximum διαλεχθεὶς in διηλέχθη mutavit 12 διορίζονται GT μετὰ — ἀπόδειξιν om. Z 12 τὴν περὶ τῶν R 13 τῶν στοιχείων T 16 οὕτω a 18 τοῦ ψυχροῦ GTa καὶ (post ψυχροῦ) om. Ra ὑγροῦ καὶ ξηροῦ GTa καὶ προσέτι καὶ T 21 προληπτέον R 22 τὸν] τὰς R 23 λέγειν αὐτὴν ἢ a 25 εἰ] οἱ GT 26 ἢ ὡς μεταβλητικόν om. R μεταβλητικόν scripsi: μεταβλητόν GTZ: μεταβλητήν a εἰ] εἰ ὡς Z 27 ἐπέχον a: ἐπέχοντα GRT: ὑπέχοντα Z 28 μηδὲ] μὴ a 29 ἐπέχον a: ἐπέχοντα cett. τἄλλα a ante ὅπερ addunt ἀλλὰ GT

θέσθαι, κατ' ἄλλον δὲ τρόπον δυνατὸν ἴσως ἀρχὴν τοῦτο λέγειν, οἱονεὶ 53r
προσεχεστέραν ὕλην, ὡς ἂν μηδενὸς ἐκ τῆς πρώτης ὕλης γενέσθαι δυνα-
μένου μὴ πρῶτον πυρὸς γενομένου, εἰ πῦρ εἴη ἡ ἀρχή, καὶ διὰ τούτου
εἰς τὴν τῶν ἄλλων φύσιν μεταβάλλοντος, λέγω δὲ ἀέρος καὶ ὕδατος καὶ
5 γῆς, ὡς δέον τὸ γινόμενον ἀέρα πῦρ πρότερον γενέσθαι, ὡσαύτως δὲ καὶ
τὸ ὕδωρ διὰ πυρὸς πρότερον ὁδεῦσαν γενέσθαι ὕδωρ, καπὶ τῶν ἄλλων 35
ὡσαύτως. ταῦτα μὲν οὖν εἰ μία εἴη ἡ ἀρχή. εἰ δὲ πλείους, ἤτοι ἐλάττους
ἔσονται τῶν τεσσάρων ἢ πάντα τὰ τέσσαρα· πλεῖον γὰρ οὐδεὶς ὑπέθετο.
εἰ μὲν οὖν τινὰ τῶν τεσσάρων ἀρχὰς θώμεθα, ἀνάγκη πάλιν ταῦτα ἢ
10 ἀμετάβλητα ἢ μεταβλητικὰ λέγειν· καὶ εἰ ἀμετάβλητα, ἢ ὡς ὕλην ὑπο-
κείμενα τοῖς ἄλλοις ἢ οὔ· καὶ πάντα ἁπλῶς ὅσα περὶ τοῦ ἑνὸς εἴρηται,
τὰ αὐτὰ δυνατὸν λέγεσθαι καπὶ τῶν πλειόνων μὲν ἔλαττον δὲ τῶν τεσσά- 40
ρων. εἰ δὲ τὰ τέσσαρα εἴη, ἤτοι ἀμετάβλητα, ὡς Ἐμπεδοκλῆς, ἐροῦμεν,
ἢ μεταβλητικά· καὶ εἰ μεταβλητικά, ἢ πάντα, ὡς αὐτῷ δοκεῖ, ἢ τὰ μὲν
15 τὰ δ' οὔ, ὥσπερ ὁ Πλάτων ἔφασκε, τὴν γῆν ἀμετάβλητον οἰόμενος εἶναι.
ἡ μὲν οὖν πᾶσα διαίρεσις τοιαύτη τις. ἀποτείνεται δὲ πρότερον πρὸς τὸ
δεύτερον τμῆμα τῆς διαιρέσεως, τὸ λέγον ἓν τῶν τεσσάρων ἀμετάβλητον
ὑπάρχον ἀρχὴν ὑλικὴν εἶναι τῶν ἄλλων, εἶτα τοῦτο ἐλέγξας ἐρεῖ τινα καὶ
πρὸς τὴν Ἀναξιμάνδρου δόξαν, ἣν ἤλεγξε μὲν κἀν τοῖς προλαβοῦσιν, ἐλέγ- 45
20 χει δὲ καὶ νῦν δι' ἑτέρων τινῶν λόγων, καὶ μετὰ ταῦτα τρέπεται ἐπὶ τὸ
τέταρτον τμῆμα, τὸ ἓν τῶν τεσσάρων μεταβλητικὸν ὑποτιθέμενον. τὸ γὰρ
τρίτον οὐδὲ λόγου ἀξιοῖ, τό φάσκον ἕν τι τῶν τεσσάρων ἀρχὴν εἶναι ἀμετά-
βλητον ὂν καὶ ἐν ὕλης τάξει μὴ ὑποκείμενον, ὡς εὐθύς· εἰ γὰρ ἀμετά-
βλητόν ἐστι καὶ ὡς ὕλη μὴ ὑπόκειται, πῶς ἔσται ἀρχὴ τῶν ἄλλων μηδε-
25 μίαν ἔχουσα σχέσιν πρὸς ταῦτα; οἷς δὲ τὰ προειρημένα τμήματα λόγοις
ἐλέγχεται, τοῖς αὐτοῖς καὶ ἡ τινὰ τῶν τεσσάρων ἀρχὰς λαμβάνουσα ὑπό- 50
θεσις ἐλέγχεται. καὶ γὰρ καὶ αὐτὴ ἢ ἀμετάβλητα ἢ μεταβλητικὰ ὑπο-
τίθεται, καὶ ἢ ὕλης λόγον ἐπέχοντα πρὸς τὰ ἄλλα ἢ μή· ὥστε καὶ οἱ
ἔλεγχοι κοινοὶ ἔσονται, ὡς προϊόντος τοῦ λόγου δείκνυμεν.

30 p. 332a4 Εἰ γάρ ἐστί τι τῶν φυσικῶν σωμάτων ὕλη, ὥσπερ καὶ
δοκεῖ ἐνίοις, ὕδωρ καὶ ἀὴρ καὶ τὰ τοιαῦτα. |

Νῦν ἐλέγχει τὸ τμῆμα τὸ φάσκον ἕν τι τῶν φυσικῶν καὶ ἁπλῶν 53v
σωμάτων ὕλην εἶναι τῶν ἄλλων.

---

1 ἴσως λέγειν ἀρχὴν τοῦτο Z 5 πρώτως Z 7 ἡ om. GT εἰ δὲ] οὐδὲ R ἐλάτους G: ἐλάσσους a 8 πλείω emendat a 10 εἰ om. RZ ὕλην scripsi: ὕλη GTZa: ὕλη R 14 αὐτῷ δέδεικται καὶ δοκεῖ Z 15 ἔφασκεν ἀμετάβλητον τὴν γῆν a 18 ὑλικὴν ἀρχὴν Z 21 τέταρτον] ἕτερον Z 22 λόγων R 25 σχέσιν] σχεδὸν Z 26 ἀρχὴν T 27 ἡ αὐτὴ GT 28 καὶ ἢ RZ: καὶ ἡ (GT)a ὕλη T¹ τὰ ἄλλα] ἄλληλα a 29 προϊόντως a λόγου om. R δεικνύομεν R: δείξομεν a 30 τι om. a Aristot.

p. 332a5 Ἀνάγκη ἤτοι ἓν ἢ δύο εἶναι ταῦτα ἢ πλείω. 53v

Εἰπὼν ὅτι ἀνάγκη τὸν ὑποτιθέμενον ἀρχὴν τῶν ἄλλων ὡς ἀμετάβλητον καὶ ὕλης λόγον ἐπέχον ἤτοι ἕν τι τῶν τεσσάρων ὑποτίθεσθαι ἢ δύο ἢ πλείω, ἐφεξῆς ὡς ἐπὶ ἑνὸς γυμνάζει τὸν λόγον, φάσκων ἓν μὲν δὴ πάντα οὐχ οἷόν τε εἶναι· δι' ὧν γὰρ δείκνυμεν ἀδύνατον ἕν τι τῶν τεσσάρων ὕλην εἶναι τῶν λοιπῶν, διὰ τῶν αὐτῶν δείκνυμεν ὅτι οὐδὲ δύο δυνατὸν οὐδὲ τρία. διόπερ ὡς ἐπὶ ἑνὸς ποιεῖται τὸν λόγον.

p. 332a7 Εἴπερ ἡ μεταβολὴ εἰς τἀναντία.

Ὡμολογημένου, φησί, τοῦ τὴν μεταβολὴν εἰς τἀναντία γίνεσθαι, ἀδύνατον τὸν ἀέρα ἢ τὸ ὕδωρ ὕλην εἶναι τῶν λοιπῶν· τούτῳ γὰρ χρώμενος ἐφεξῆς δείκνυσι τὸ ἀδύνατον, ὡς μαθησόμεθα.

p. 332a8 Εἰ γὰρ εἴη ἀήρ, εἰ μὲν ὑπομένει.

Εἰπὼν τὸ εἰ μὲν ὑπομένει εἴασε τὸ ἕτερον προσυπακούεσθαι, ἔστι δὲ τοῦτο 'εἰ δὲ μὴ ὑπομένει ἀλλὰ μεταβάλλει'· τοῦτο γάρ ἐστι τὸ ἀντιδιαιρούμενον, ὅπερ ἐν τοῖς ἐφεξῆς ἐξετάζει, τέταρτον ὂν τμῆμα τῆς παραδεδομένης διαιρέσεως. ὅπως δὲ τέως τὸ παρὸν ἐλέγχει, τὸ μὴ δύνασθαι ἕν τι τῶν τεσσάρων ὕλην ἀμετάβλητον εἶναι τῶν λοιπῶν, θεωρητέον.

p. 332a8 Εἰ μὲν ὑπομένει, ἀλλοίωσις ἔσται ἀλλ' οὐ γένεσις. ἅμα δὲ οὐδὲ οὕτως δοκεῖ, ὥσθ' ὕδωρ ἅμα εἶναι καὶ ἀέρα.

Εἰ ἐξ ἑνός, φησί, τῶν τεσσάρων μὴ μεταβάλλοντος ἀλλ' ἐν ὕλης τάξει ὑποκειμένου καὶ ὑπομένοντος τἆλλα ἀποτελοῦνται, πρῶτον μέν, φησίν, οὐκέτι ἔσται γένεσις, ἀλλὰ ἀλλοίωσις (ἡ γὰρ περὶ εἰδοπεποιημένον γινομένη κατὰ ποιότητα μεταβολὴ ἀλλοίωσίς ἐστιν, εἰδοπεποιημένα δὲ πάντα τὰ στοιχεῖα, ὧν ἕν τι πρόκειται ὑπομένον ποιεῖν τἆλλα), ἔπειτα, φησίν, εἰ μένων ὁ ἀὴρ (ὑποκείσθω γὰρ τοῦτο ὂν ἀρχή) πῦρ γίνεται, ἔσται τὸ αὐτὸ πῦρ καὶ ἀήρ, ὅπερ μάχεταί τε τοῖς φαινομένοις καὶ τἀναντία ἐν τῷ αὐτῷ εἰσάξει ὑπάρχοντα. εἰ γάρ, ὡς ἡ ὑπόθεσις, ὁ ἀὴρ ὑπομένων γέγονε

1. 2 εἰπὼν δὲ ὅτι om. lemm. a 3 ἐπέχουσαν em. a τι om. Z 7 οὐδὲ a: οὔτε cett. διὸ Z 8 lemma om. a 9 ὡμολογημένου Z: ὡμολουγομένη R: ὡμολογουμένου GT (ὁμ. corr. T): ὁμολογουμένου οὖν a 10 τὸν om. add. T² 12. 13 εἰπὼν δὲ om. lemm. a 13 τὸν ἕτερον RZ 14 τοῦτο τὸ εἰ GTa ὑπομένη GT¹ 15 ἑξῆς Z 17 τεσσάρων scripsi: δ' ut solet R: τεττάρων (GTZ)a 18 om. lemma a 19 εἶναι ἅμα Ar. ἀέρα RZ: ἀὴρ GT 20 Εἰ] εἰ οὖν a 21 ἀποτελεῖται a 22 ἀλλ' a 25 μένων RZ: μὲν ὢν GT: μὲν οὖν a πῦρ om. Z 26 τε om. R 27 ὑπομένον a

πῦρ, ἐπειδὴ ἀνάγκη τῆς κατὰ τὸ θερμὸν καὶ ψυχρὸν ἀντιθέσεως ἁπτῆς 53v
οὔσης τὴν ἑτέραν εἶναι ἐν τῷ πυρί, κείσθω θερμὸν ὄν. ἔσται οὖν ὁ ἀὴρ
ὁ πῦρ γενόμενος οὐδὲν ἄλλο ἢ θερμὸς ἀήρ, καὶ ταύτῃ ἀληθὲς ἂν εἴη τὸ
μὴ εἶναι γένεσιν ἀλλὰ ἀλλοίωσιν τὸ γινόμενον. ἔπειτα καὶ τὰ ἐναντία ἐν
5 τῷ αὐτῷ ἐξ ἀνάγκης ἕξει. εἰ γὰρ πῦρ ὁ ἀὴρ γενόμενος θερμὸς ἀπετε-
λέσθη, δῆλον ὅτι πρότερον οὐκ ἦν θερμός· εἰ γὰρ ἦν θερμός, πῶς γέ-
γονε θερμός; εἰ δὲ μὴ εἶχε τὴν θερμότητα, τῇ ἐναντίᾳ πάντως κατεῖχετο 30
ποιότητι. ἡ γὰρ μεταβολὴ ἐξ ἐναντίων, καὶ προείληπται ὅτι αἱ ἐναντιώ-
σεις κοιναί εἰσιν ὑπὸ πάντων κατεχόμεναι. εἰ γὰρ ὁ ἀὴρ μὴ ὢν θερμὸς
10 γέγονε θερμὸς εἰς πῦρ μεταβαλών, ψυχρὸς ἦν δήπου. ἀλλὰ καὶ νῦν πῦρ
ὢν ἐφύλαξε τὴν τοῦ ἀέρος φύσιν· ἐν τῷ αὐτῷ ἄρα ἕξει ψύξιν μὲν ὡς
ἀήρ, θερμότητα δὲ ὡς πῦρ. τὸ αὐτὸ καὶ εἰ μένων ὁ ἀὴρ καὶ εἰς πῦρ
μεταβάλλων ξηρὸς γέγονεν· ἦν γὰρ καὶ ὑγρός· ἅμα ἄρα ξηρὸς καὶ ὑγρὸς
ἔσται. δείκνυσι δὲ τοῦτο καὶ ἔμπαλιν. ἀνακάμπτον γάρ, φησί, τὸ πῦρ 35
15 εἰς τὴν τοῦ ἀέρος οὐσίαν ἀποβάλλει τὴν θερμότητα, ταύτην δὲ ἀποβάλλον
ψύξιν ἐξ ἀνάγκης προσκτᾶται, διὰ τὸ προσληφθὲν ἀξίωμα· εἰ δὲ ψυχρὸς
ὁ ἀὴρ κατὰ φύσιν γεγονὼς πῦρ καὶ μὴ μεταβάλλων (τοῦτο γὰρ ὑπόκειται),
ἐν τῷ αὐτῷ ἄρα θερμότητα καὶ ψύξιν ἐκτήσατο, ὅπερ ἀδύνατον. τὸν δὲ
ἀέρα ψυχρὸν εἶπεν καθ' ὑπόθεσιν προαγαγὼν τὸν λόγον· κατὰ γὰρ τὸ
20 ἀληθὲς κατὰ τὸ ὑγρὸν καὶ ξηρὸν μεταβολὴ γίνεται ἐν τῇ ἐξ ἀέρος εἰς
πῦρ γενέσει.

p. 332a13 Ἅμα δὲ πάλιν εἰ ἔσται ἐκ πυρὸς ἀήρ, τοῦ θερμοῦ 40
εἰς τοὐναντίον μεταβάλλοντος ἔσται. ὑπάρξει ἄρα τοῦτο
τῷ ἀέρι.

25 Οὐκ ἀναγκαία μοι δοκεῖ ἡ ἀντιστροφή. οὐδὲ γὰρ ὑπόκειται μένον
πῦρ καὶ γενόμενον ἀήρ, ἀλλὰ μεταβάλλον· εἰ δὲ τοῦτο, οὐχ ὡς θερμὸν
μεταβάλλει ἵνα γένηται ἀήρ, ἀλλ' ὡς ξηρόν. τάχα δὲ οὐδὲ τὸ πρότερον
ἀναγκαῖον. μένων γὰρ ὁ ἀὴρ γινέσθω πῦρ καὶ ἀλλοιούσθω· ἀλλ' οὐ
κατὰ τὸ θερμὸν ἀνάγκη ἀλλοιοῦσθαι, ἵνα ἅμα ψυχρὸς ᾖ καὶ θερμός (ἔστι
30 γὰρ θερμός), ἀλλὰ κατὰ τὸ ξηρόν, καὶ τὸ ἄτοπον τὸ ὑγρὸν εἶναι ἅμα καὶ
ξηρόν, οὐ μὴν ψυχρὸν καὶ θερμόν.

---

3 ὁ om. Z 4 γενόμενον T τἀναντία R 5. 6 ἀποτελέσθη R 7 τῇ om. GTa 10 μεταβαλλών G ἦν] ὢν Z¹ 11 ὢν a: ὂν cett. 11. 12 ὡς ἀήρ] ὁ ἀήρ GT 12 τὸ αὐτὸ] ὡσαύτως δὲ a ὁ om. a 13 ἄρα] ἔσται R, qui proximum ἔσται om. 14 ἀνακάμπτον a: ἀνακάπτον Z: ἀνακάμπτων GRT 16 ψύξιν om. Z 17 γεγονὸς GRT μεταβαλὼν a 18 ψύξιν] ψυκρότητα R 19 ἀέρα] ἄρα T¹ 22 ἐν γε μὴν τῷ, ἅμα a 22. 24 ἀήρ — ἀέρι] καὶ τοῖς ἑξῆς a 22 ὁ ἀήρ R 23 τοῦτο R: τούτω GTZ; ceterum de ordine verborum cf. Ar. codd. 25 οὐδὲ] οὐ (G)a μένων R 26 γενόμενον a: γενόμενος cett. 29 ἵν' ἅμα G: ἵνα μὴ a 31 ψυχρὸν] ξηρὸν Z

p. 332a17 Ἄλλο τι ἄρα ἀμφότερα τὸ αὐτὸ ἔσται. 53v

Εἰ μὴ δυνατόν, φησί, τὸν ἀέρα ὑπομένοντα ἀμετάβλητον ποιῆσαι τὸ πῦρ, δῆλον ὅτι ἄλλο τι ὑποκείμενον τὸ αὐτὸ μένον ἀμφότερα ἔσται καὶ πῦρ καὶ ἀήρ, ποτὲ μὲν τοῦτο ποτὲ δὲ ἐκεῖνο γινόμενον, ὅπερ ἐστὶν ἡ ὕλη.

p. 332a20 Οὐ μὴν οὐδ' ἄλλο τι παρὰ ταῦτα.

Ἐκ τῶν εἰρημένων, φησί, δῆλον ὅτι οὐδὲν τῶν τεσσάρων δύναται 51
ὕλη τῶν λοιπῶν εἶναι, ἀλλ' οὐδὲ ἄλλο τι σῶμα ὂν καὶ ὑφεστὼς παρὰ τὰ τέσσαρα δύναται ὕλη εἶναι τῶν τεσσάρων. καὶ τρέπεται ἐνταῦθα πρὸς τὴν Ἀναξιμάνδρου δόξαν ὑποτιθεμένην σῶμά τι ὑφεστὼς μέσον ἀέρος καὶ πυρὸς ἢ ὕδατος καὶ ἀέρος, ἣν ἤλεγξε καὶ πρῶτον, ἐλέγχει δὲ καὶ νῦν δι' ἑτέρων ἐγχειρήσεων.

p. 332a22 Ἔσται γὰρ ἀὴρ καὶ πῦρ ἐκεῖνο μετὰ ἐναντιώσεως.

Τὸ με|ταξύ, φησί, κατὰ Ἀναξίμανδρον εἰ ὑφεστηκὸς ὂν σῶμα ὑπο- 54r
μένει ἐν τῇ παρ' ἑκάτερα μεταβολῇ, ἐναντίωσιν ἕξει πρὸς ἑκάτερον ἐξ ἀνάγκης, καὶ ἔσται κατὰ τὸ αὐτὸ θερμὸν καὶ ψυχρόν. εἰ γὰρ ὡμολόγηται ὅτι τὸ μεταβάλλον ἐξ ἐναντίου μεταβάλλει εἰς ἐναντίον, δῆλον ὅτι τοῦτο κατὰ Ἀναξίμανδρον σῶμα γινόμενον θερμὸν ἐν τῇ εἰς πῦρ μεταβολῇ ἐκ ψυχροῦ γίνεται θερμόν. ἔστιν οὖν ἐν αὐτῷ ψύξις ἐνθεωρουμένη κατὰ οὐσίαν. εἰ δὲ ὑπομεῖναν τοῦτο γέγονε πῦρ, δῆλον ὅτι μὴ ἀποβάλλον τὴν ψύξιν γέγονε θερμόν. ἐν τῷ αὐτῷ ἄρα ἕξει τὸ ἐναντίον. ᾗ μὲν γὰρ θερμὸν γέγονε, δῆλον ὅτι ἐκ ψυχροῦ, τῷ ἐξ ἐναντίου δεῖν γίνεσθαι τὴν μεταβολήν, ταύτῃ ψύξιν ἀποτιθέμεθα ἐν τῷ σώματι τῷ μεταξύ· ᾗ δὲ πάλιν φαμὲν αὐτὸ ὑπομένον ποιεῖν τὸ πῦρ, ταύτῃ ἀναγκαζόμεθα κατὰ τὸ αὐτὸ τῇ θερμότητι καὶ ψύξιν λέγειν ἐν τῷ ὑποκειμένῳ ὑπάρχειν, ὅπερ ἀδύνατον. ἄμεινον δὲ τοῦτον τὸν τρόπον κατασκευάζειν τὸ προκείμενον. εἰ τοῦτο τὸ μεταξύ, ὃ λέγουσι πυρὸς μὲν πυκνότερον ἀέρος δὲ μανότερον, κατὰ μηδὲν διαφέρει τοῦ πυρὸς ἢ κατὰ τὴν πύκνωσιν, ὡς μάνωσιν μόνον προσλαβὸν

1. 2 lemma om. et pergit εἰ οὖν μὴ a 1 ἀλλ' ὅτι GRTZ ἄρα R (cf. v. 3): ἄρα παρ' GTZ; cf. Ar. codd. αὐτὸ RZ: om. GT 3 ἀλλ' ὅτι R μένον τὸ αὐτὸ R 6 τί γε a Arist. (praeter cod. L) 8 ὑφεστὸς GT¹Z²a 10 σώματι RT ὑφεστὼς GT¹a 11 ἤλεγξε μὲν καὶ a fort. πρότερον καὶ (post δὲ) om. GT 12 ἐπιχειρήσεων Z 13. 14 lemma om. et pergit τὸ οὖν μεταξύ a 13 ἐναντιότητος Ar. 14 κατὰ ἀλέξανδρον GT 15 ἐν om. add. T² 16 καὶ ἔσται om. R 19 ἐνθεωρουμένην R: ἐν θεωρουμένῃ a 20 ante μὴ expuncta ἐκ ψυχροῦ τῷ ἐξ ἐναντίου δεῖν γίνεσθαι τὴν μεταβολὴν R ἀπολαβὸν GT: ἀποβαλὸν Fa 21 τὸ ἐναντίον T²Z: τῷ ἐναντίῳ GT¹R: τὰ ἐναντία Fa 22 ἐναντίων GTa 23 τὸ μεταξὺ libri praeter Fa ᾗ] εἰ GTa 24 ταύτην GT: om. R 25 ἐν om. Z 27 μανώτερον a

ποιεῖν τὸ πῦρ, δῆλον ὅτι τἆλλα τὰ ἐν τῷ πυρὶ θεωρούμενα ὑπῆρχεν ἐν 54r
αὐτῷ. ἦν οὖν ξηρὸν τοῦτο φύσει· πυκνώσει γὰρ καὶ μανώσει γεννῶσι
τἆλλα ἐξ αὐτοῦ. ὡσαύτως δὲ εἰ πύκνωσιν μόνον προσλαβὸν γέγονεν ἀήρ,
τὰ ἄλλα ὅσα ἐστὶν ἐν ἀέρι ὑπῆρχεν αὐτῷ. ἓν δέ ἐστι τούτων ἡ ὑγρότης
5 τῶν ὑπαρχόντων τῷ ἀέρι· ἦν ἄρα ὑγρότης ἐν τῷ μεταξὺ σώματι. προϋ- 15
πεθέμεθα δὲ καὶ ξηρότητα· τὸ αὐτὸ ἄρα καὶ ξηρὸν καὶ ὑγρὸν ὑπάρχει,
ὅπερ ἀδύνατον. ἢ ἐκ τρίτου καὶ συντομώτερον οὕτω. εἰ τὸ μέσον τοῦτο
πυρὸς καὶ ἀέρος ἑκάτερον γίνεται, πᾶσα δὲ μεταβολὴ ἐξ ἐναντίου εἰς
ἐναντίον, τὸ δὲ πῦρ θερμόν ἐστι, ψυχρὸν ἄρα ἦν. μεταβάλλον δὲ πάλιν
10 εἰς ὕδωρ γίνεται ψυχρόν· θερμὸν ἄρα ἦν. ἅμα οὖν ψυχρὸν ἔσται καὶ
θερμόν. τὸ αὐτὸ ἔσται καὶ ἐπὶ ξηροῦ καὶ ὑγροῦ. μεταβάλλον γὰρ εἰς
πῦρ κατὰ τὸ ξηρὸν ὑγρὸν ἔσται, εἰς δὲ ἀέρα κατὰ τὸ ὑγρὸν ξηρὸν ἔσται·
ἅμα οὖν ἔσται ξηρὸν καὶ ὑγρόν. καὶ τοῦτό ἐστιν ἔσται ἀὴρ καὶ πῦρ 20
ἐκεῖνο μετὰ ἐναντιώσεως.

15 p. 332a23 Ἀλλὰ στέρησις τὸ ἕτερον τῶν ἐναντίων.

Ὥσπερ αὔξων τὸ ἀδύνατον τοῦτο ἐπιφέρει. εἰ γὰρ ἀδύνατον ὡμολόγηται εἶναι τὸ ἐν ταὐτῷ τὴν στέρησιν καὶ τὴν ἕξιν ὑπάρχειν, ἀδύνατον καὶ τὸ τἀναντία ἐν τῷ αὐτῷ ὑπάρχειν. καὶ γὰρ καὶ τῶν ἐναντίων τὸ μὲν ἕτερον τῷ εἴδει, τὸ κρεῖττον, τὸ δὲ ἕτερον τῇ στερήσει ἀναλογεῖ. εἴρηται
20 γὰρ κἀν τοῖς προλαβοῦσιν, ὅτι τὸ κρεῖττον τῶν ἐναντίων εἴδει ἀναλογεῖ, οἷον λευκοῦ καὶ μέλανος τὸ μὲν λευκὸν τῷ εἴδει, τὸ δὲ μέλαν τῇ 25
στερήσει.

p. 332a24 Ὥστε οὐκ ἐνδέχεται μονοῦσθαι.

Μονοῦσθαί φησι τὸ αὐτὸ καθ' αὑτὸ ὑφεστάναι· ἐκ τῶν εἰρημένων
25 οὖν φησι δῆλον γεγενῆσθαι ὅτι οὐκ ἔστι παρὰ τὰ τέσσαρα στοιχεῖα σῶμά τι ἕτερον ὑφεστηκός. ἤγουν μονοῦσθαι τὸ ἐκτὸς ποιότητός τινος τῶν ἄλλων ὑπάρχειν, οἷον θερμότητος ἢ ψυχρότητος. ἐδείχθη δὲ ὅτι ἀνάγκη ταύτας ὑποτίθεσθαι ἐν σώματι ὑπάρχοντι καθ' αὑτό, καθὼς ἐκεῖνοί φασιν.

---

2 γὰρ] δὲ GT 3 εἰ Za: ἢ GRT 4 τἆλλα Za 4. 5 ὑπῆρχεν — ἀέρι om. add. T² 4 ἡ ὑγρότης τούτων Z 6 καὶ (ante ξηρὸν) om. a 7 τοῦτο] τοῦ GT 8. 9 εἰς ἐναντίον γίνεται GTa 10. 11 ἅμα — θερμόν om. GTa 11 ἔσται Z: ἄρα cett. 12 εἰς δὲ TZ: εἰ δὲ GRa τὸ alt. om. Z 13 ἔσται ἀὴρ GRT: ἔσται om. Z: ὅ φησιν, ἔσται γὰρ ἀὴρ a 15. 16 ὥσπερ δὲ αὔξων τὸ ἀδύνατον, ἐπιφέρει τό, ἀλλὰ στέρησις τὸ ἕτερον τῶν ἐναντίων. εἰ γὰρ ἀδύνατον a 17 ταυτῷ F: αὐτῷ cett. 18 ἐν om. add. T² 19 τὸ (ante κρεῖττον) om. Z fort. τὸ δὲ ἕτερον ⟨, τὸ χεῖρον,⟩ 23 ὥστε φησὶν οὐκ (G)a 24 φησι] δέ φησι Z: λέγων a 24. 25 δῆλον γὰρ ἐκ τῶν εἰρημένων φησὶν. ὅτι οὐκ a 25 γενῆσθαι T¹ οὐκ ἔσται T 26 ὑφεστηκόν Z ἢ μονοῦσθαι φησὶ, τὸ ἐκτὸς a 27 δὲ] γὰρ a 28 fort. ἀποτίθεσθαι καθ' ὃς a φησιν R

p. 332a25 Ὁμοίως ἄρα ὁτιοῦν τούτων ἢ οὐδέν. εἰ οὖν μηδὲν 54r
αἰσθητόν γε πρότερον τούτων, ταῦτα ἂν εἴη πάντα. 31

Δείξας ὅτι οὐ δύναται ἕν τι τῶν τεσσάρων ὕλη εἶναι τῶν λοιπῶν, προσθεὶς δὲ καὶ τὰς πρὸς Ἀναξίμανδρον ἀντιρρήσεις, νῦν συμπεραινόμενός φησιν ὅτι ὁμοτίμου τάξεως οὔσης ἑκάστου τῶν τεσσάρων στοιχείων ἀνάγκη ἢ ἕκαστον αὐτῶν ὕλην εἶναι καὶ ἀρχὴν σωματικὴν ἢ μηδὲν αὐτῶν. εἴπερ οὖν ἐπὶ ἑνὸς δεδείχαμεν μὴ δύνασθαι ὕλης τάξιν ἐπέχειν πρὸς τὰ ἄλλα, δῆλον ὅτι οὐδὲν αὐτῶν ἔσται ὕλη τῶν λοιπῶν· ἐδείξαμεν δὲ ὅτι οὐδὲ ἄλλο τι σῶμα παρὰ τὰ τέσσαρα κατὰ Ἀναξίμανδρον γεννήσει ὡς ὕλη τὰ ἄλλα. δι' ὧν δὲ λόγων ἀπεδείξαμεν μὴ δύνασθαι ἕν τι τῶν τεσσάρων ὕλην εἶναι τῶν λοιπῶν, διὰ τῶν αὐτῶν δειχθήσεται ὅτι οὐδὲ δύο ἐξ αὐτῶν, οἷον τὸ πῦρ καὶ ἡ γῆ, καθάπερ Παρμενίδης ἔφασκεν, ὕλη ἔσται τῶν λοιπῶν, ἀέρος καὶ ὕδατος. καὶ γὰρ ὑπομένον καὶ μὴ μεταβάλλον τὸ πῦρ καὶ ἡ γῆ ποιεῖ τὸν ἀέρα καὶ τὸ ὕδωρ, ἥξουσιν οἱ πρότερον εἰρημένοι λόγοι. ὁμοίως δὲ οὐδὲ τρία ἔσται ὕλη τοῦ λοιποῦ. εἰ τοίνυν μηδ' ἄλλο τι σῶμα παρὰ τὰ τέσσαρα ἀρχὴ ὑλική ἐστι τῶν ὄντων μηδὲ τῶν τεσσάρων ἕν τι μηδέ τινα τῶν τεσσάρων δύο ἢ τρία, ἀνάγκη δὲ εἶναι ἀρχὴν σωματικὴν τῶν ὄντων, ταῦτα ἂν εἴη, φησί, πάντα τὰ τέσσαρα ἀρχὴ σωματική, οὐκ ἀλλήλων (τοῦτο γὰρ ἐδείχθη ἀδύνατον), ἀλλὰ τῶν συνθέτων. τούτων δὲ ἡ ὕλη οὐκ ἔστι σωματική, ἀλλ' ἀσώματος καὶ ἀνείδεος. ταῦτα δὲ πάντα τὰ τέσσαρα ὕλη ἐστὶ τῶν ἐφεξῆς τῶν συνθέτων. ἀλλ' εἰ ἀρχή ἐστι πάντα καὶ ὕλη τῶν συνθέτων, ἆρα, φησίν, ὡς ἀμετάβλητα κατ' Ἐμπεδοκλέα, ἢ ὡς μεταβλητικὰ εἰς ἄλληλα; καὶ εἰ μεταβάλλει εἰς ἄλληλα, ἆρα τὰ μὲν μεταβάλλει τὰ δ' οὔ, ὥσπερ Πλάτων ἔλεγε τὴν γῆν ἀμετάβλητον ὑποτιθέμενος, ἢ | πάντα εἰς ἄλληλα μεταβάλλει, καθάπερ ἐδείξα- 54v
μεν, διότι καὶ πάντα ἐναντίωσιν ἔχει πρὸς ἄλληλα;

p. 332a30 Ὅτι μὲν τοίνυν ἀνάγκη μεταβάλλειν εἰς ἄλληλα, εἴρηται πρότερον.

Ὑπομιμνήσκει τῶν πρότερον εἰρημένων, ἀναλαμβάνων τὸν λόγον ὅτι πάντα εἰς ἄλληλα μεταβάλλει διὰ τὸ πάντα ἔχειν πρὸς ἄλληλα ἐναντίωσιν,

1. 2 ἢ οὐδὲν μᾶλλον ἀὴρ ἢ πῦρ εἰ οὖν οὐδὲν αἰσθητόν a 2 ἂν om. Z 3 ὕλην T 4 ἀντιρήσεις R 6 ἢ prius om. GTa 7 ἔχειν a πρὸς τὸ τὰ ἄλλα GT 8 οὐδὲ] οὐδὲν GT 10 ἐπεδείξαμεν GTa ἕν τι τῶν τεσσάρων μὴ δύνασθαι a 12 οὐκ ἔσται ὕλη a 13 καὶ γάρ] εἰ γὰρ emendat a 14 πρότεροι T¹ 16 ἀρχὴ om. R 17 εἶναι] ἐστὶν Z 20. 21 τούτων—συνθέτων om. Z 21 ἐστὶ τῶν] ἐστὶν a 22 ἄρα, φησίν scripsi: ἄρα φησὶν GRTa: ἔσται Z, qui mox φησὶ inserit post ἀμετάβλητα 24 ἄρα a, ad quod nihil enotatum ex GTZ: ἄρα R 27. 28 Ὅτι—εἴρηται πρότερον] ταῦτα δ' εἰπὼν a 27 et 28 μεταβάλλειν ἀνάγκη et δέδεικται Arist. 29 τῶν προτέρων R¹

καὶ ὅτι τὰ μὲν ῥᾷον μεταβάλλει ὅσα ἔχει πρὸς ἄλληλα τινὰ κοινωνίαν, τὰ 54v
δὲ βραδύτερον ὅσα μηδεμίαν ἔχει πρὸς ἄλληλα συγγένειαν, καὶ ὅτι ἀνάγκη 5
τέσσαρα εἶναι τὰ ἁπλᾶ σώματα διὰ τὸ δύο εἶναι ἐναντιώσεις καθ' ἃς
μεταβάλλουσιν εἰς ἄλληλα, τήν τε τοῦ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ
5 ὑγροῦ. τῶν δὲ δύο ἐναντιώσεων συμπλεκομένων ἀλλήλαις ἓξ γίνονται
συζυγίαι, ὧν αἱ μὲν δύο ἀσύστατοι, αἱ δὲ λοιπαὶ τέσσαρες συνιστάμεναι
εἰδοποιοῦσι τὰ τέσσαρα στοιχεῖα.

p. 332a34 Εἰ μὲν τοίνυν ἡ ἐναντιότης μία ἐστὶ καθ' ἣν μεταβάλλουσιν, ἀνάγκη δύο εἶναι.

10 Ὃ λέγει τοῦτό ἐστιν, ὅτι εἰ μὲν μία ἐστὶν ἡ ἐναντιότης καθ' ἣν
μεταβάλλει τὰ στοιχεῖα, οἷον ἡ τοῦ θερμοῦ καὶ ψυχροῦ, δύο ἂν ἦν
μόνα τὰ στοιχεῖα, τὸ μὲν θερμὸν τὸ δὲ ψυχρόν· ἡ γὰρ ὕλη, φησίν, οὐ 10
ποιεῖ τρίτον τι, διότι μέση ἐστί, τουτέστιν ὑποκειμένη τῇ ἐναντιώσει καὶ
παρὰ μέρος τὸ ἕτερον τῶν ἐναντίων δεχομένη, αὐτὴ ἀναίσθητος οὖσα καὶ
15 ἀνείδεος καὶ καθ' αὑτὴν μηδέποτε ὑφισταμένη.

p. 332b5 Περὶ μὲν οὖν τούτων εἴρηται πρότερον. ὅτι δὲ ἐπειδὴ μεταβάλλουσιν εἰς ἄλληλα, ἀδύνατον ἀρχήν τινα εἶναι αὐτῶν.

Δείξας ὅτι οὐ δυνατὸν ἕν τι τῶν τεσσάρων ἀμετάβλητον μένον ἀρχὴν 16
εἶναι τῶν ἄλλων, νῦν δείκνυσιν ὅτι οὐδὲ μεταβλητικὸν ὑπάρχον ἀρχῆς
20 λόγον ἐφέξει πρὸς τὰ ἄλλα, ἵνα ᾖ δεδειγμένον ὅτι οὐδὲ ὡς ἀμετάβλητον
οὐδὲ ὡς μεταβλητικὸν δυνατὸν ὑποθέσθαι ἕν τι ἀρχὴν εἶναι τῶν ἄλλων.
ἔστι δὲ τὸ νῦν γυμναζόμενον τέταρτον τμῆμα τῆς ἐκτεθείσης ἐν ἀρχῇ
διαιρέσεως, τὸ φάσκον ἕν τι τῶν τεσσάρων μεταβλητικὸν ὂν ἀρχὴν εἶναι 20
τῶν ἄλλων.

25 Ἰστέον δέ, καθάπερ καὶ πρόσθεν ἐλέγομεν, ὅτι οἱ μεταβλητικὸν τοῦτο
ὑποτιθέμενοι οὐ δύνανται τὴν τῆς πρώτης καὶ ὄντως ἀρχῆς ἔννοιαν φυλάξαι· δεῖ γὰρ τὴν ἀρχὴν ἀμετάβλητον μένειν, ἐπεὶ οὐκέτ' ἂν εἴη ἀρχή.
ἔπειτα ὑπὸ τίνος μεταβάλλουσα τἆλλα ποιεῖ, οὐκ ἔστι λαβεῖν μιᾶς αὐτῆς
ὑποκειμένης· τὸ γὰρ αὐτὴν ὑφ' ἑαυτῆς λέγειν μεταβάλλειν ἀδύνατον. ἀλλ'
30 εἴποιεν ἂν οὕτως ἀρχὴν εἶναι ἕν τι τῶν ἄλλων, ὡς διὰ τούτου τῶν ἄλλων

---

2 πρὸς om. R 3 τέσσαρα om. Z: δ' εἶναι bis R¹ 7 εἰδοποιοῦσαι GT
8. 11 εἰ γὰρ ἦν φησὶν ἡ ἐναντιότης μία, καθ' ἣν μεταβάλλει τὰ στοιχεῖα a 8 ante μία ἐστὶ expuncta καθ' ἣν μετέβαλε τὰ στοιχεῖα R, qui mox ὃ δὲ λέγει τοιοῦτόν ἐστι et μετέβαλε (pro μεταβάλλει) 14 αὐτὴ scripsi: αὕτη libri 16 μὲν τούτων οὖν Z δὲ (δ' a) ἐπειδὴ Ra: δ' ἐπεὶ Z: δὲ GT 19 δείκνυσι νῦν GTa 20 ὑφέξει R ὅτι ὡς οὐδὲ GTa 21 ὡς om. a 23 ἀρχὴ T¹ 25 δέ] δὲ ὅτι Z 26 δύναται GRT πρώτως Z ὄντος GT 27 μένειν] εἶναι Z 28 ὑπό τινος T¹(RZ)a μεταβάλλουσα] λαμβάνουσα GT ἔστι δὲ λαβεῖν R 30 εἴποιεν ἂν scripsi: εἴποι ἂν GR: εἴπη ἂν Z: εἴποιαν T¹: εἴποιεν T²: εἴποι ἄν τις a

ὁδευόντων, τουτέστιν ὡς ἐκ τούτου μεταβαλλόντων πάντων καὶ εἰς τοῦτο 54v
ἀναλυομένων, οἷον ὡς εἰ λέγοιεν τὸ πῦρ τῶν ἄλλων ἀρχὴν ὡς ἂν μηδενὸς 26
τῶν ἄλλων εἶναι δυναμένου μὴ ἐκ τούτου μεταβάλλοντος, ἀλλὰ καὶ τοῦ
ἀέρος καὶ τοῦ ὕδατος καὶ τῆς γῆς ἐκ πυρὸς γινομένων καὶ εἰς τοῦτο ἀνα-
5 λυομένων, καὶ μήτε ἀέρα γίνεσθαί τι μὴ πῦρ πρῶτον γενόμενον μήτε
ὕδωρ πάλιν, ὡς ἂν τούτου κατὰ τὴν τάξιν ἐν τῇ γενέσει προτεταγμένου
καὶ τούτου πρώτου ἐκ τῆς ἀνειδέου ὕλης, εἰ οὕτως τύχοι, γινομένου καὶ 30
τῶν ἄλλων δὲ ἐξ αὐτοῦ τε γινομένων καὶ εἰς αὐτὸ ἀναλυομένων. ἡ μὲν
οὖν ὑπόθεσις τοιαύτη τις εἶναι δύναται, ἴδωμεν δὲ ὅπως πρὸς ταύτην
10 ἀπαντᾷ ὁ Ἀριστοτέλης.

p. 332b7 Ἐπὶ μὲν οὖν τοῖς ἄκροις οὐκ ἔσται, ὅτι πῦρ ἔσται ἢ γῆ τὰ πάντα.

Οὔτε τῶν ἄκρων, φησίν, οὔτε τῶν μέσων τι δύναται ὡς μεταβάλλον ἀρχὴ εἶναι τῶν ἄλλων. λέγει δὲ ἄκρα μὲν πῦρ καὶ γῆν, μέσα δὲ ἀέρα
15 καὶ ὕδωρ. καὶ πρῶτον δείκνυσιν ὅτι οὐ δύναται τῶν ἄκρων τι εἶναι ἀρχή· εἰ γάρ, φησίν, ὑποθώμεθα τὸ πῦρ ἀρχὴν ἢ τὴν γῆν, ἔσται τὰ πάντα πῦρ ἢ γῆ.

Καὶ ζητοῦμεν πῶς ποτε ἐκ τοῦ λέγειν ἐκ πυρὸς μεταβάλλοντος τἆλλα 35
γίνεσθαι συμπεραίνεται τὸ πάντα πῦρ εἶναι. εἰ γὰρ μεταβάλλον καὶ οὐχ
20 ὑπομένον τὸ πῦρ ποιεῖ τὸν ἀέρα καὶ τῶν ἄλλων ἕκαστον, πῶς ἂν ἔτι δικαίως πῦρ ἂν εἴη ὁ ἀὴρ ἢ τῶν ἄλλων ἕκαστον; ἀλλ' ἴσως ἐρεῖ τις ὅτι εἰ καὶ μεταβάλλει, ἀλλ' οὐ τὴν πᾶσαν μεθίστησι φύσιν, καθάπερ κἀπὶ τῶν τεσσάρων στοιχείων φαμέν. εἰ γὰρ καὶ μεταβάλλοντα εἰς ἄλληλα καὶ κιρνώμενα ποιεῖ τὰ σύνθετα, ἀλλ' οὐ τελείως φθείρεται, ἀλλὰ τὸ μὲν εἰλικρινὲς
25 ἀπόλλυται, οὐ μὴν ἡ πᾶσα αὐτῶν φύσις μεθίσταται. πρὸς οὖν τὸν οὕτω 40
φάσκοντα μεταβάλλον τὸ πῦρ ποιεῖν τἆλλα, καὶ συμπεραινόμενον ὡς ἔσται πάντα πῦρ, ῥητέον ὡς ἡνίκα μὲν σύνθετόν τι ἐκ τῶν ἁπλῶν ἀποτελεῖται, λόγον ἔχει τὸ μὴ τελέως τῆς οἰκείας μεθίστασθαι φύσεως τῆς κατὰ τὰς ποιότητας αἷς χαρακτηρίζονται τὰ ἁπλᾶ, ὅταν δὲ τὰ ἁπλᾶ ἐξ ἀλλήλων
30 γίνηται, ἀδύνατον τοῦτο ὑποθέσθαι· ἕκαστον γὰρ τῶν ἁπλῶν ἄκρας ἔχει τὰς ποιότητας καὶ ἀκράτους καὶ οὐχὶ κεκολασμένας τῇ ἐπιμιξίᾳ τῶν ἐναν- 45
τίων ὥσπερ τὰ σύνθετα. πῶς γὰρ οἷόν τέ ἐστι τὸ πῦρ ξηρὸν ὑπάρχον μεῖνάν πως ἐπὶ τῆς οἰκείας φύσεως ποιῆσαι τὸν ἀέρα ὑγρὸν ὄντα; οὐ γὰρ μέσον ὑγροῦ καὶ ξηροῦ ὁ ἀήρ, ἀλλ' ἄκρως ὑγρόν, ὥσπερ καὶ τὸ πῦρ ἄκρως
35 ξηρόν. ἀνάγκη ἄρα τὴν πᾶσαν φύσιν τοῦ πυρὸς μεταβάλλειν ἵνα γένηται

5 γενέσθαί a μὴ] καὶ T 7 οὕτω (Z)a 7. 8 καὶ τῶν ἄλλων δὲ RZ: καὶ τῶν δὲ GT: τῶν δὲ ἄλλων a 9 ταύτην] αὐτὴν a 11. 13 lemm. om. pergit φησὶν οὖν ὡς οὔτε τῶν ἄκρων οὔτε a 12 τὰ om. Arist. 15 ἀρχὴν R 21 ὅτι] ὅ T¹ 22 εἰ om. GT 23. 24 κιρνάμενα T¹a 27 ἁπλῶν scripsi: ἄλλων libri 28 τὰς om. R 29 χαρακτηρίζονται RZ: χαρακτηρίζεται GTa 31. 32 τῶν ἐναντίων om. a 32 ὑπάρχειν compendiose R

ἀήρ, εἴπερ μὴ τἀναντία ἐν τῷ αὐτῷ ὑποθώμεθα, ὅπερ ἀδύνατον. κατὰ 54v
ταύτην μὲν οὖν τὴν ἔννοιαν οὐκ εὔλογον συμπεραίνεσθαι ὡς ὅτι πῦρ ἔσται
τὰ πάντα τοῦ πυρὸς ἀρχῆς ὑποτεθέντος, φαίνεται δὲ μᾶλλον ἡ λέξις ἄλλο 50
τι αἰνιττομένη· ὁ αὐτὸς γάρ, φησί, λόγος τῷ φάναι ἐκ πυρὸς ἢ ἐξ
5 ἀέρος εἶναι πάντα, τουτέστι λέγοντες ἐκ πυρὸς μεταβάλλοντος τὰ πάντα
γίνεσθαι πύρια πάντα ὑποτιθέμεθα διὰ τὸ ἐκ τούτου μεταβάλλοντος γίνε-
σθαι πάντα, ὥσπερ ἂν καὶ εἰ ἐξ ὕλης τοῦ πυρὸς ἐλέγομεν γίνεσθαι. ἀλλ'
οὐδὲ οὕτως ἄτοπόν τι ἀκολουθήσει. τί γὰρ ἄτοπον πῦρ λέγειν κατὰ τὸ
ὑποκείμενον τὰ πάντα, ὥσπερ καὶ ὕλην εἶναι κατὰ τὸ ὑποκείμενον τὰ
10 πάντα, ἢ τρι|χῇ διαστατά; καὶ ἁπλῶς εἰπεῖν, ὥσπερ οὐκ ἄτοπον τὸ φά- 55r
σκειν πάντα τὰ γενητὰ τὰ αὐτὰ εἶναι κατὰ τὸ ὑποκείμενον καὶ τὴν ὕλην,
οὕτως οὐκ ἄτοπον, ὅσον ἐπὶ τοῖς νῦν λόγοις, τὸ πάντα πῦρ κατὰ τὴν ὕλην
ὑποτιθέμενον θεωρεῖν κατὰ τὸ εἶδος μόνον τὴν διαφοράν. εἰ δὲ μὴ ἔστιν
ἄτοπον τὸ ὡς ἐξ ὕλης τοῦ πυρὸς τὰ πάντα λέγειν, εἴπερ δύναιτο ὅλως
15 ὕλη ὑπάρχον διαφόρους ἰδέας δέχεσθαι, δῆλον ὅτι οὐδὲ τὸ ἐκ πυρὸς 5
μεταβάλλοντος τἆλλα γεννᾶν καὶ ταύτῃ λέγειν πάντα πῦρ ἔσται ἄτοπον.
ὁμοίως γάρ, φησίν, ἄτοπον τό τε τοῦ πυρὸς μεταβάλλοντος τἆλλα λέγειν
γίνεσθαι καὶ τὸ ὡς ἐξ ὕλης τοῦ πυρὸς φάσκειν πάντα τὰ λοιπὰ γίνεσθαι.
ὅσον μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις, δοκοῦσι μὴ πάνυ τὸ ἀναγκαῖον ἔχειν οἱ
20 ἔλεγχοι. ἔνεστι δὲ καθόλου ἑνὶ λόγῳ, ὥσπερ καὶ αὐτὸς ἐφεξῆς προϊὼν
ποιήσει, ἀνελεῖν τὸ ἓν ὁτιοῦν τῶν τεσσάρων ἀρχὴν ὑποθέσθαι τῶν λοι-
πῶν. εἰ γὰρ πάντα πρὸς ἄλληλα ἔχει ἐναντίωσιν, δέδεικται δὲ τὰ ἔχοντα 10
ἐναντίωσιν πρὸς ἄλληλα μεταβάλλοντα εἰς ἄλληλα, δῆλον ὅτι πάντα μετα-
βάλλει εἰς ἄλληλα. εἰ δὲ πάντα μεταβάλλει εἰς ἄλληλα, οὐκ ἔσται τὸ
25 μὲν πρῶτον τὸ δὲ δεύτερον, οὐδὲ τὸ μὲν ἀρχὴ τὸ δὲ ἐκ τῆς ἀρχῆς.
πρὸς μὲν οὖν τὸ μηδὲν τῶν ἄκρων ἀρχὴν εἶναι τοσαῦτα μόνον εἰπών, ὅτι
πῦρ ἔσται πάντα, ἠρκέσθη· ὅτι δὲ οὐδὲ τῶν μέσων τι ἀρχὴ ἔσται, διὰ
πλειόνων κατασκευάζει.

p. 332b10 Ὅτι δ' οὐδὲ μέσον, οἷον δοκεῖ τισιν ἀὴρ μὲν καὶ 15
30 εἰς πῦρ μεταβάλλειν καὶ εἰς ὕδωρ, ὕδωρ δὲ καὶ εἰς ἀέρα καὶ
εἰς γῆν.

Νῦν προτίθεται δεῖξαι ὅτι οὐδὲ τῶν μέσων τι ἀρχὴ ἔσται, ὥσπερ τινὲς 27
ἐδόξασαν, εὔλογον νομίσαντες ἕν τι τούτων ἀρχὴν ὑποθέσθαι μᾶλλον, διότι
ἑκάτερον αὐτῶν ἐφ' ἑκάτερα καὶ εἰς ἐναντία μεταβάλλει, ὅπερ ἐστὶν ἴδιον

3 τοῦ om. GTa 4 τῷ Z: τῶν GT: τὸ Ra 4. 5 ἐξ ἀέρος RZ: om. GT: πῦρ a: γῆς vel ἐκ γῆς Ar. 5 τὰ πάντα a 6 πύρια πάντα scripsi: πυρὶ (πῦρ a) ἅπαντα libri 9. 10 ὥσπερ — τὰ πάντα om. R 11 τὰ παντα τὰ GT 14 ὡς om. GTa δύναται τὸ GT 17 εἰ μὴ ἴσως ὁμοίως ἄτοπον a 20 ἔλεγχοι] λόγοι, δι' ὧν ἐλέγχει a προϊὸν GT: προϊόντος a 24 εἰς ἄλληλα (ante εἰ δὲ) om. R εἰ δὲ — ἄλληλα RZ: om. GT: καὶ suppleverat a 27 ὅτι δὲ (τὸ delet.) οὐδὲ τὸ μέσον Z 29 οἷον] ὥσπερ a Arist. (praeter codd. H) 32 τὸ μέσον τι Z ὅπέρ τινες a

ἀρχῆς, τὸ εἰς τὰ ἐναντία μεταβάλλειν, τῶν ἄκρων μὴ πεφυκότων κατ' 55r
ἐκείνους ἐφ' ἑκάτερα μεταβάλλειν. ἀλλὰ τοῦτο μὲν ἐφεξῆς ἐξετασθήσε- 30
ται, νυνὶ δὲ ῥητέον ὡς εἰ τὰ ἐφ' ἑκάτερα μεταβάλλοντα εὔλογον ἀρχὴν
ὑποτίθεσθαι, οὐδὲν μᾶλλον τόδε τὸ μέσον ἢ τόδε χρὴ ὑποθέσθαι, ἀλλ'
5 ὁμοίως ἄμφω. πῶς οὖν ἕν τι τῶν λοιπῶν ἀρχὴν λέγουσιν εἶναι; ἔπειτα
οἱ ἀέρα ἀρχὴν ὑποτιθέμενοι, καὶ τοῦτον λέγοντες εἰς πῦρ καὶ ὕδωρ μετα-
βάλλειν, καὶ ταῦτα εἰς τὸν ἀέρα, καὶ διὰ τούτου εἰς ἄλληλα, τὸ δὲ πῦρ
καὶ τὴν γῆν καὶ αὐτὰ ἀμέσως μὲν μὴ μεταβάλλειν εἰς ἄλληλα ἀλλὰ διὰ 35
μέσου τοῦ ἀέρος, διὸ καὶ ἀρχὴν εἶναι, τῷ πάντα ἐξ αὐτοῦ μεταβάλλειν
10 πρῶτον δι' αὐτοῦ διιόντα καὶ εἰς αὐτὸν πάντα ἀναλύεσθαι, οἱ τοίνυν ταῦτα
λέγοντες τί ἂν εἴποιεν περὶ τῆς τοῦ ὕδατος εἰς γῆν μεταβολῆς; αὕτη γὰρ
ἀμέσως γίνεται διὰ τοῦ ἀέρος μὴ διελθοῦσα, ὅπερ ἐχρῆν γενέσθαι, εἴπερ
ἀρχῆς λόγον ἐπέχει ὁ ἀὴρ πρὸς πᾶσαν μεταβολήν. ὡσαύτως δὲ καὶ πρὸς
τοὺς ὕδωρ ἀρχὴν λέγοντας εἶναι ἀπορητέον περὶ τῆς ἐξ ἀέρος εἰς πῦρ
15 καὶ ἐκ πυρὸς εἰς ἀέρα μεταβολῆς· καὶ αὗται γὰρ ἀμέσως ἔσονται μὴ διο- 40
δεύσασαι διὰ τοῦ ὕδατος. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον ἔξωθεν ῥητέον
πρὸς τὴν ὑπόθεσιν, ἴδωμεν δὲ ἐφεξῆς ὅπως τέ φασιν τὰ ἔσχατα μὴ
μεταβάλλειν εἰς ἄλληλα, καὶ ὅπως χρὴ τὸ παρ' αὐτῶν λεγόμενον ἀνα-
σκευάζειν.

20 p. 332b12 Τὰ δὲ ἔσχατα οὐκέτι εἰς ἄλληλα· δεῖ μὲν γὰρ στῆναι καὶ μὴ εἰς ἄπειρον τοῦτο ἰέναι ἐπ' εὐθείας.

Τὰ ἔσχατα, φασὶν ἐκεῖνοι, οὐκέτι μεταβάλλουσιν εἰς ἄλληλα. ὡς γὰρ
ἔσχατα ὄντα οὐκέτι ἔχουσι εἰς ὅ τι μεταβάλλωσιν, ἀλλὰ πάλιν ἀνακάμπτου-
σιν εἰς ἀέρα καὶ ὕδωρ· εἰ γάρ, φασὶν ἐκεῖνοι, τὰ ἔσχατα μὴ ἀντικάμψει
25 ἀλλὰ μεταβάλλει πάλιν, ἐπ' ἄπειρον ἔσται ἡ μεταβολή. δεδιότες τοίνυν 45
τὸ ἐπ' ἄπειρον ὑποτίθεσθαι τὴν μεταβολήν, καὶ μὴ δυνάμενοι συνιδεῖν
ὅτι κύκλῳ ἡ γένεσις ἀποτελεῖται ἐξ οὗ ἤρξατο εἰς τοῦτο τελευτῶσα· ἐκ
πυρὸς γὰρ ἀήρ, καὶ οὕτως ὕδωρ εἶτα γῆ καὶ πάλιν πῦρ τῆς μεταβολῆς
ἀεὶ ἐφεξῆς γινομένης καὶ οὐκ εἰς ἄπειρα ἰούσης διὰ τὸ μὴ ἐπ' εὐθείας
30 γίνεσθαι ἀλλ' ἀνακυκλεῖσθαι· ὅπερ ἐκεῖνοι, ὡς ἔφαμεν, μὴ συνεωρακότες
ἐφοβήθησαν τὰ ἔσχατα ὑποθέσθαι μεταβάλλοντα εἰς ἄλληλα· μέχρι γὰρ
αὐτῶν ἐνόμισαν δεῖν στῆσαι τὴν μεταβολήν, ἵνα μὴ ἐπ' ἄπειρον γίνηται. 50
διόπερ πρὸς αὐτοὺς ἀποτεινόμενός φησιν ὁ Ἀριστοτέλης δεῖ μὲν γὰρ
στῆναι καὶ μὴ εἰς ἄπειρον τοῦτο ἰέναι ἐπ' εὐθείας ἐφ' ἑκάτερα·
35 ἄπειροι γὰρ ἐναντιότητες ἐπὶ τοῦ ἑνὸς ἔσονται. τὸ μὲν μὴ εἰς

---

1 τἀναντία a 3 ὡς om. add. T²: ὅτι Z εἰ] εἰσ GT μεταβαλόντα R 4 τό om. GT 5 εἶναι λέγουσιν G 7 διὰ τοῦτο T 10 ἐξιόντα Z εἰς αὐτὸ RZ 20 lemma om. hic a 22 φασὶν ἐκεῖνοι μὴ μεταβάλλειν a 23 εἰς] ὡς GT ὅτι ἂν a μεταβάλλουσιν R 24 ἀνακάμψῃ T: ἀνακάμψει recte Ga 32 στῆναι em. a 33 ὁ Ἀριστοτέλης φησίν traicit a, qui Ar. verba (33. 35) δεῖ μὲν — ἔσονται om. 35 ἐναντιότητες Ar. (praeter codd. EL); at cf. p. 250,3

ἄπειρον, φησί, γίνεσθαι τὴν μεταβολὴν οὕτως ὡς ἐπ' εὐθείας ἰοῦσαν, χρὴ 55r
ἀποδέχεσθαι. εἰ γὰρ καὶ ἐπ' ἄπειρον γίνεται ἡ μεταβολή, ἀλλ' οὐκ ἐπ'
εὐθείας, ἀλλὰ τῇ ἀντικυκλήσει τῶν αὐτῶν εἰς τὰ αὐτά· ἡ γὰρ ἐπ' εὐ-
θείας μέχρι τῶν ἐσχάτων ἵσταται. διὰ τοῦτο τοίνυν οὐκ ἀδύνατος ἡ εἰς
5 ἄλληλα τῶν ἐσχάτων μεταβολή, ἀλλὰ καὶ ἀναγκαία, ἵνα κύκλος σῴζηται
τῆς γενέσεως. καὶ ὅτι | μὲν οὐ δυνατὸν εἰς ἄπειρον ἐπ' εὐθείας ἰέναι 55v
τὴν μεταβολήν, ἐφεξῆς μέλλων γυμνάζειν ἀνεβάλλετο νῦν, τὸ ἑπόμενον
ἄτοπον αἰνιξάμενος τὸ ἀπείρους ἐπὶ τοῦ ἑνὸς ἐναντιότητας λέγειν ἀναγκάζε-
σθαι. δείκνυσι δὲ ἐφεξῆς ὅτι καὶ τὰ ἔσχατα μεταβάλλει εἰς ἄλληλα.
10 δείκνυσι δ' αὐτὸ ἐκ τοῦ τῷ προειρημένῳ προσχρήσασθαι, ὅτι τὰ ἔχοντα
ἐναντίωσιν πρὸς ἄλληλα πάντα μεταβάλλει, δείκνυσι δὲ ὅτι ἕκαστον πρὸς 5
τὰ λοιπὰ ἔχει ἐναντίωσιν, ὥστε καθόλου, ὅπερ ἐλέγομεν, δείκνυσθαι ὅτι
πάντα εἰς ἄλληλα μεταβάλλει, οὐ μόνον τὰ μέσα ἀλλὰ καὶ τὰ ἔσχατα.
καὶ ἴσως ἐπειδὴ οὐκ ἀκριβεῖς τέθεικεν ἐλέγχους τῆς προλαβούσης δόξης,
15 τῆς ἕν τι τῶν ἄκρων ἀρχὴν ὑποτιθεμένης, διὰ τοῦτο νῦν κοινόν τινα ἐκ-
τίθεται ἔλεγχον τοῦ μηδὲν τῶν τεσσάρων ἀρχὴν εἶναι τῶν λοιπῶν. ἐὰν
γὰρ δείξῃ ὅτι πάντα ἔχει πρὸς ἄλληλα ἐναντίωσιν, δῆλον ὅτι πάντα μετα-
βάλλει εἰς ἄλληλα. εἰ δὲ τοῦτο, οὐκ ἔσται τι αὐτῶν ἀφωρισμένον πρῶτον 10
οὐδὲ ἀρχή, οὐδὲ τῶν ἄκρων οὐδὲ τῶν μέσων. ἀλλὰ πάντα ὁμοίως εἰς
20 ἄλληλα μεταβάλλει, καὶ τὰ ἄκρα καὶ τὰ ἐναντία καὶ τὰ ἐφεξῆς ἀλλήλων
κείμενα. ὁ δὲ τῆς δείξεως τρόπος τοιοῦτός ἐστί τις. ὑποκείσθω, φησί,
γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ, ὧνπερ ἕκαστον δηλοῖ διὰ τοῦ στοιχείου
τοῦ ἐν ἀρχῇ τοῦ ὀνόματος. εἰ οὖν λέγεις τὸν ἀέρα μέσον ὄντα μετα-
βάλλειν καὶ εἰς πῦρ καὶ εἰς ὕδωρ, οὐ δήπου κατὰ τὴν αὐτὴν ἀντίθεσιν
25 μεταβάλλει εἴς τε τὸ πῦρ καὶ τὸ ὕδωρ. ἔσται γὰρ οὕτως τὸ πῦρ τῷ 15
ὕδατι ταὐτόν. εἰ γὰρ καθ' ὃ μεταβάλλων ὁ ἀὴρ γέγονε πῦρ, κατὰ τοῦτο
καὶ εἰς ὕδωρ μεθιστάμενος μεταβάλλει, καθ' ὃ ἄρα διαφέρει τοῦ ὕδατος,
κατὰ τοῦτο καὶ τοῦ πυρὸς διαστήσεται. εἰ δὲ κατὰ τὸ αὐτὸ τοῦ αὐτοῦ,
οἷον τοῦ ἀέρος, διοίσει τὸ πῦρ καὶ τὸ ὕδωρ, ἐξ ἀνάγκης ταὐτὰ ἔσονται
30 ἀλλήλοις τὸ ὕδωρ καὶ τὸ πῦρ, ὅπερ ἄτοπον. οὐκ ἄρα κατὰ τὴν αὐτὴν
ἀντίθεσιν μεταβάλλει εἰς πῦρ καὶ ὕδωρ ὁ ἀήρ. κατ' ἄλλην ἄρα καὶ ἄλλην.
καὶ ὑποκείσθω εἰς μὲν πῦρ κατὰ τὸ λευκὸν καὶ μέλαν μεταβάλλων, ὡς 20
εἶναι μέλαν μὲν τὸ πῦρ λευκὸν δὲ τὸν ἀέρα, εἰς δὲ τὸ ὕδωρ κατὰ ἑτέραν
ἀντίθεσιν τοῦ ὑγροῦ φέρε καὶ ξηροῦ, ὡς εἶναι τὸν μὲν ἀέρα ξηρὸν τὸ δὲ
35 ὕδωρ ὑγρόν. ἀλλά, φησί, μεταβαλὼν εἰς ὕδωρ κατὰ τὸ ὑγρὸν καὶ ξηρὸν

1 φησί om. (G)a 3 immo ἀνακυκλήσει 5 ἵν' ὁ a 7 ἀνεβάλετο T¹Za
11 πρὸς alt. om. R 12 δείκνυται a 14 ἐπεὶ a ἀκριβῶς T² 15 ἐπιτιθε-
μένης GT 16 μηδὲ R 17 ἔχει πάντα Z 18 ἀφορισμένον T¹ 19 οὔτε
τῶν ἄκρων. οὔτε τῶν a 21 ἐστί τις] ἐστιν (om. τις) Z: τίς ἐστιν a 22 ὧν περὶ
ἕκαστον R 23 λέγειν a 24 post εἰς ὕδωρ expuncta ἔσται γὰρ οὕτ (sic) Z
24. 25 οὐ δήπου — ὕδωρ om. R 25 οὕτω a 29 ταῦτα Z 32 μὲν τὸ
πῦρ a καὶ τὸ μέλαν Z μεταβάλλον R 33 καθ' ἑτέραν a 35 μεταβάλλων a
καὶ om. R

δύναται καὶ φυλάξαι τὴν λευκότητα, δύναται δὲ καὶ μεταβαλεῖν καὶ αὐτήν. 55v
καὶ ὑποκείσθω φυλάξας. ἔστω οὖν ὁ μὲν ἀὴρ λευκὸς καὶ ξηρός, τὸ δὲ
ὕδωρ λευκὸν καὶ ὑγρόν. ἔσται οὖν ἐναντιότης τῷ ὕδατι καὶ πρὸς τὸ πῦρ,
εἴπερ ὁ μὲν λευκὸς τὸ δὲ μέλαν κατὰ τὴν ὑπόθεσιν. ὥστε καὶ μεταβάλλου- 25
5 σιν εἰς ἄλληλα. προϋπόκειται γὰρ τὰ ἔχοντα ἐναντίωσιν πρὸς ἄλληλα
μεταβάλλειν εἰς ἄλληλα. ὁ αὐτὸς δ' ἔστω λόγος πάλιν κἀπὶ τοῦ ὕδατος.
εἰ γὰρ μεταβάλλει καὶ εἰς ἀέρα καὶ εἰς γῆν, οὐ κατὰ τὸ αὐτὸ μεταβάλλει
εἰς ἑκάτερον, ἐπεὶ ἔσται τὸ αὐτὸ ἀὴρ καὶ γῆ· ὥστε κατ' ἄλλο μὲν εἰς
ἀέρα κατ' ἄλλο δὲ εἰς γῆν. εἰς μὲν οὖν ἀέρα κατὰ ὑγρότητα καὶ ξηρό-
10 τητα μεταβάλλει, εἰς δὲ γῆν λείπεται κατὰ τὸ μέλαν καὶ λευκὸν μεταβαλεῖν.
εἴπερ δύο μόναι εἰσὶν ἀντιθέσεις. τοῦτο δέδοται ἐκ τοῦ ὁμολογεῖσθαι 30
τέσσαρα εἶναι τὰ ἁπλᾶ σώματα· τεσσάρων γὰρ ὄντων σωμάτων ἀνάγκη
δύο θεωρεῖσθαι ἀντιθέσεις. ὄντος τοίνυν τοῦ ὕδατος λευκοῦ καὶ ὑγροῦ, ὁ
μὲν ἀὴρ ἔσται, καθάπερ προείρηται, λευκὸς καὶ ξηρός (διαφορὰ γὰρ τούτου
15 πρὸς τὸ ὕδωρ κατὰ τὸ ὑγρὸν καὶ ξηρόν), ἡ δὲ γῆ μέλαν καὶ ὑγρόν, εἴπερ
κατὰ τὸ μέλαν μετέβαλεν εἰς ταύτην τὸ ὕδωρ. ἔσται οὖν ἐναντίωσις τῷ
ἀέρι πρὸς γῆν, καὶ μεταβάλλει εἰς ταύτην.

Ἡ μὲν οὖν τοῦ λόγου δεῖξις τοιαύτη τις. ζητεῖ δὲ ὁ Ἀλέξανδρος 35
ὅπως ποτὲ προθέμενος δεῖξαι τὰ ἔσχατα μεταβάλλοντα εἰς ἄλληλα, τοῦτο
20 μὲν οὐ φαίνεται δεικνύων, ὅτι δὲ τἀναντία εἰς ἄλληλα μεταβάλλει, τοῦτο
μᾶλλον ἀποδείκνυσι. καί φησι· μήποτε καὶ ἐξ ἀρχῆς ἔσχατα ἐκάλει τὰ
ἐναντία, ἔπειτα, ὅπερ καὶ ἀληθέστερόν ἐστιν, ἐκ τῶν παρατεθέντων ἔδει-
ξεν ὅτι πάντα πρὸς ἄλληλα ἔχει ἐναντιότητα· εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ
μεταβαλεῖ πάντα εἰς ἄλληλα. ὅτι δὲ ἔδειξε τὰ ἔσχατα ἐναντίωσιν ἔχοντα
25 πρὸς ἄλληλα, λέγω δὲ τὴν γῆν καὶ τὸ πῦρ, πρόδηλον, εἴ γε τέθεικε τὸ 40
μὲν πῦρ μέλαν εἶναι καὶ ξηρὸν τὴν δὲ γῆν μέλαν καὶ ὑγρόν. μεταβάλλει
ἄρα ἡ γῆ εἰς πῦρ κατὰ τὸ ὑγρὸν καὶ ξηρὸν τούτῳ τῷ λόγῳ. ἔχομεν οὖν
ἐκ τῶν δεδειγμένων, ὅτι οὐ μόνον οὐδὲν τῶν μέσων ἐστὶν ἀρχή, ἀλλ' ὅτι
οὐδὲ τῶν ἄκρων· εἰ γὰρ ὁμοτίμως καὶ τὰ ἄκρα καὶ ἁπλῶς πάντα εἰς
30 ἄλληλα μεταβάλλει, οὐδὲν μᾶλλον τόδε τι ἔσται ἀρχὴ ἢ τόδε.

p. 332b30 Ὅτι δὲ εἰς ἄπειρον οὐχ οἷόν τ' ἰέναι, ὅπερ μελλή-
σαντες δείξειν ἐπὶ τοῦτο ἔμπροσθεν ἤλθομεν. |

Δείξας ὅτι μὴ ὑποκειμένης ἐπ' εὐθείας εἰς ἄπειρον γίνεσθαι τῆς 56r
γενέσεως ἀνάγκη πάντα εἰς ἄπειρα μεταβάλλειν, ἐπειδὴ καὶ πάντα δείκνυ- 3

1 μεταβαλλεῖν GT¹ καὶ (ante αὐτήν) om. GTa 2 ὑποκεῖσθαι GT 3 πρὸς om. R 4 τὸ μὲν λευκὸν a 4. 5 μεταβαλοῦσιν a 6 δὲ ἔσται R 8 γῆ καὶ ἀὴρ Z 10 λευκὸν καὶ μέλαν Z μεταβαλλεῖν GT¹: μεταβάλλειν (Z)a 11 τοῦτο δὲ δέδοται a 16 μετέβαλλεν GT¹ 17 πρὸς γῆν] καὶ γῆ R 19 ὅτϊ πῶς ποτε R 21. 22 τἀναντία R 22 ἀληθέστερον εἰπεῖν (hoc expunctum videtur) ἐστιν R παρατιθέντων TZ 23 πρὸς ἄλληλα] ἐξ ἀλλήλων R 24 μεταβάλλει GTa ἐναντίως ἔχοντα Z 25 πρὸς om. R 27 εἰς τὸ πῦρ a 31. 32 μελλήσαντες S: μελήσαντες cett. 32 δείξειεν GT

ται πρὸς ἄλληλα ἔχοντα ἐναντίωσιν, νῦν αὐτὸ τοῦτο διεξέρχεται ὅτι ἀδύ- 56r
νατον ἐπ' ἄπειρον γίνεσθαι τὴν μεταβολήν, αἰνιξάμενος καὶ πρότερον τὸ
ἀδύνατον ἐν τῷ λέγειν "ἄπειροι γὰρ ἐναντιότητες ἐπὶ τοῦ ἑνὸς ἔσονται", 5
ὥστε τούτου ἐλεγχομένου δῆλον γίνεσθαι τὰ πάντα εἰς ἄλληλα μεταβάλλειν.
5 καὶ ἴσως ἀντερεῖ τις ὅτι κἂν εἰς ἄπειρον ὑποθώμεθα γινομένην τὴν μετα-
βολήν, οὐ μόνον ἐπ' εὐθείας τῶν ἐφεξῆς ἀλλήλων ἔσται ἡ μεταβολή,
ἀλλὰ καὶ τὰ πόρρω ἀλλήλων μεταβαλεῖ εἰς ἄλληλα, εἴ γε ὡς ὡμολογη-
μένον λάβωμεν τὸ πάντα τὰ ἔχοντα ἐναντίωσιν πρὸς ἄλληλα μεταβάλλειν
εἰς ἄλληλα. ἀλλ' ἰστέον ὅτι αὐτὸ τοῦτο γυμνάζει νῦν ὅτι εἰ ἄπειρά τις 10
10 ὑποθείη τὰ στοιχεῖα, ἄλλου εἰς ἄλλο μεταβάλλοντος ἐπ' εὐθείας εἰς τοὐ-
ναντίον περιτρέπεται τὰ τῆς ὑποθέσεως, ὅτι οὐδὲν τῶν στοιχείων εἴς τι
τῶν λοιπῶν μεταβαλεῖ, οὔτε τὰ πόρρω εἰς ἄλληλα οὔτε τὰ σύνεγγυς, ὥστε
παντελῶς ἀδύνατον εἶναι τὴν ὑπόθεσιν. εἰ γάρ, φησίν, ὑποθώμεθα ἕν τι
τῶν ἄκρων ἢ τὸ πῦρ ἢ τὴν γῆν μὴ ἀνακάμπτειν ἀνακυκλουμένην, ἀλλ'
15 ἐπ' εὐθείας εἰς ἄλλο τι πέμπτον ἐφεξῆς μεταβάλλειν, ἔσται τις ἐναντίω-
σις καθ' ἣν μετέβαλεν ἑτέρα οὖσα παρὰ τὰς ἄλλας καθ' ἃς τὰ τέσσαρα 15
μετέβαλεν ἐφεξῆς. καὶ ὑποκείσθω, φησί, τὸ πῦρ μήτε ἀνακάμπτον καὶ
εἰς ἀέρα μεταβάλλον μήτε κύκλῳ εἰς γῆν, ἀλλ' εἰς ἄλλο τι πέμπτον, οἷον
ἐφ' ᾧ τὸ Ψ. ἔσται οὖν τις ἐναντίωσις καθ' ἣν μετέβαλλε τὸ Π εἰς τὸ
20 Ψ. καὶ ὑποκείσθω ἡ τοῦ Φ καὶ Κ, καθ' ἣν οὐδὲν τῶν ἄλλων τῶν Α
Υ Γ μετέβαλεν, ἀλλ' ἢ μόνον τὸ Π καὶ Ψ. οὐκοῦν ὑπάρξει τὸ μὲν
ἕτερον τῆς ἀντιθέσεως τῷ Ψ, οἷον τὸ ἐφ' ᾧ Φ, ὅπερ ἔστω φαῦλον, τῷ
δὲ πυρὶ καὶ πᾶσι τοῖς ἄλλοις τὸ Κ, ὅπερ ὀνομαζέσθω καλόν· τοιαῦται 20
γὰρ εἰλήφθωσαν ἐναντιότητες ὑπὸ πάντων μετεχόμεναι. οὕτως δὲ πάλιν
25 ἐφεξῆς εἰ μεταβάλλοι τὸ Ψ εἰς ἄλλο τι, προστεθήσεται ἑτέρα ἐναντιότης·
κἂν πάλιν ἐκεῖνο εἰς ἄλλο, τρίτη προστεθήσεται ἐναντιότης· κἂν ἐπ' ἄπειρον
τοῦτο γένοιτο ἐφεξῆς, ἄπειροι ἔσονται ἐναντιότητες. πρῶτον μὲν οὖν
ἄτοπον τὸ ἐνεργείᾳ τὸ ἄπειρον ὑποτίθεσθαι, ἔπειτα εἰ αἱ ἐναντιότητες
ἄπειροι τῶν δὲ ἐναντιοτήτων διπλασίους εἰσὶν αἱ ποιότητες (καθ' ἑκάστην
30 γὰρ ἐναντίωσιν δύο εἰσὶ ποιότητες), ἔσται τοῦ ἀπείρου διπλάσιον. τούτων 25
δέ, φησίν, ὑποτεθέντων οὐδὲ ὁρίσασθαι δυνατόν τι τούτων καὶ λόγῳ περι-
λαβεῖν τὰ ἄπειρα, οὐδ' ὅλως ὑποστῆναι ἢ γενέσθαι αὐτὰ ἐξ ἀλλήλων
δυνατόν, ἀλλ' ἀναιρεθήσεται παντελῶς ἡ εἰς ἄλληλα μεταβολή· ἕψεται δέ,
φησί, καὶ τὸ πάντα τὰ αὐτὰ εἶναι. ἀλλ' ὅπως μὲν τούτων ἕκαστον
35 δείκνυται, ἐφεξῆς κατὰ τὴν λέξιν ἐπισκεψόμεθα.

---

3 ἄπειροι κτλ.] p. 332b14 αἱ ἐναντιότητες a 7 πόῤῥῳ a μεταβαλλεῖ G: μεταβολῇ T εἴ γε RZ: om. GT: ἦν a 8. 9 μεταβάλλειν εἰς ἄλληλα om. GT 9 γυμνάζ** R¹ νῦν om. a εἰ] εἰς GT 10. 11 ἐκ τοὐναντίου R 12 μεταβαλλεῖ GT¹ 16 et 17 et 21 μετέβαλλεν R 19 μετέβαλε GTa Π] β̄ GT τὸ (post εἰς) om. GT 20 τῶν om. a 21. 22 οὐκοῦν — τῷ Ψ om. R 23 πᾶσαν Z 24 οὕτω a 25 μεταβάλλει GT¹: μεταβάλει T²: μεταβάλοι Z ἑτέρα om. GTa 29 εἰσὶν] εἶναι GT 31 ὑποτιθέντων RZ τι τούτων δυνατὸν Z 32 γίνεσθαι a

Ἐκεῖνο δὲ ζητήσεως ἄξιον, πῶς καθ' ἕκαστον στοιχεῖον μία ἐναντιότης προστίθεται. ὅτι μὲν γὰρ ἀπείρων ὄντων τῶν στοιχείων ἀνάγκη καὶ τὰς ἐναντιώσεις ἀπείρους εἶναι, πρόδηλον. εἰ γὰρ πεπερασμέναι εἶεν αἱ ἐναντιότητες, ἀνάγκη καὶ τὰς ἐξ αὐτῶν συμπλοκὰς καὶ συζυγίας, εἰ καὶ πολλῷ πλείους εἶεν αὐτῶν τῶν ἐναντιώσεων, πεπερασμένας ὅμως ὑπάρχειν. ὥσπερ γὰρ μεθόδῳ περιλαβεῖν δυνατὸν ἐκ δύο ἐναντιώσεων πόσαι γίνονται συζυγίαι, ὅτι τέσσαρες, οὕτως καὶ παντὸς οὑτινοσοῦν πλήθους ἐναντιώσεων ἀριθμητοῦ τε καὶ ῥητοῦ ὑπάρχοντος ἀνάγκη τὰς συζυγίας ἀριθμητὰς εἶναι καὶ πεπερασμένας. ὅτι δὲ εἰ ἄπειρα εἴη τὰ στοιχεῖα, οὐκ ἔσονται αἱ ἐναντιότητες πεπερασμέναι, πρόδηλον. ἀλλ' οὐ τοῦτο ζητεῖ ὁ λόγος, ἀλλ' εἰ καθ' ἕκαστον στοιχεῖον προστιθέμενον καὶ ἐναντίωσις μία προστίθεται, ὅπερ οὐκέτι ἐστὶν ἀληθές. μιᾶς γὰρ ἐναντιώσεως προστιθεμένης πλείονα γίνονται στοιχεῖα· δύο γὰρ οὐσῶν ἐναντιώσεων οὐ δύο μόνον ἔσονται στοιχεῖα, ἀλλὰ τέσσαρα· εἰ δὲ τρεῖς εἶεν αἱ ἐναντιώσεις, ὀκτὼ δύνανται εἶναι στοιχεῖα· καὶ οὕτως ἀεὶ μιᾶς προστιθεμένης ἐναντιώσεως πολλῷ πλείονα ἔσται τὰ στοιχεῖα. πρὸς τοῦτο τοίνυν ῥητέον, ὅτι εἰ καὶ μιᾶς ἐναντιώσεως προστιθεμένης πλείονα γίνονται στοιχεῖα, οὐ κωλύεται συμπεραν θῆναι τὰ προκείμενα. δεδειγμένου γὰρ τοῦ ἀπείρους εἶναι ἐναντιώσεις ἐν ἑκάστῳ ἀπείρων ὄντων τῶν στοιχείων, συμπεραίνεται ὁμοίως τὸ ἀδύνατον, εἴτε καθ' ἑκάστην ἐναντίωσιν ἣν προστίθεται στοιχεῖον εἴτε πλείονα. τῷ γὰρ ἀπείρους εἶναι τὰς ἐναντιώσεις προσχρώμενος δείκνυσι τὸ ἀδύνατον τῆς ὑποθέσεως, καθὼς προείρηται. τὸ δὲ λέγειν καθ' ἕκαστον στοιχεῖον μίαν προστίθεσθαι ἐναντίωσιν, οὔτε ἀληθὲς οὔτε ἀναγκαῖον. οὐδὲ γὰρ ἐπειδὴ λόγου χάριν ὁ ἀὴρ εἰς πῦρ μόνον μεταβάλλει κατὰ τὸ ὑγρὸν καὶ ξηρὸν εἰς ἄλλο δὲ τῶν στοιχείων οὐδέν, ἤδη ἀναγκαῖόν ἐστι τὸ μηδὲν ἄλλο κατὰ τὴν ἐναντίωσιν τοῦ ὑγροῦ καὶ ξηροῦ μεταβάλλειν· τὸ γὰρ ὕδωρ καὶ ἡ γῆ κατὰ ταῦτα μεταβάλλει. διὰ τί οὖν κατὰ στοιχεῖον μίαν ἐναντίωσιν προστίθησιν ὁ Ἀριστοτέλης; φημὶ τοίνυν ὡς ἀκολουθῶν τῇ ὑποθέσει τῶν λεγόντων ἐπ' εὐθείας καὶ μόνον εἶναι τὴν τῶν στοιχείων μεταβολήν· τούτου γὰρ ὑποκειμένου ἀδύνατον κατὰ τὴν αὐτὴν ἀντίθεσιν δύο γενέσθαι μεταβολάς, ὥσπερ φέρε κατὰ τὴν τοῦ ὑγροῦ καὶ ξηροῦ ὅ τε ἀὴρ εἰς πῦρ μεταβάλλει καὶ τὸ ὕδωρ εἰς γῆν. ἐπ' εὐθείας οὖν καὶ μόνον ὑποκειμένης τῆς τῶν στοιχείων μεταβολῆς ἀνάγκη πᾶσα προστιθεμένου στοιχείου καὶ ἐναντίωσιν πάντως προστίθεσθαι, καθ' ἣν τὸ προηγούμενον στοιχεῖον εἰς τὸ ἐφεξῆς μεταβάλλει. ὅτι δὲ πρὸς τὴν ὑπόθεσιν τοῦ μὴ ἀνακάμπτειν τὴν γένεσιν καὶ ὁ Ἀριστοτέλης καθ' ἕκαστον στοιχεῖον μίαν

---

2 ἀπείρων om. GT: post στοιχείων inserit a 5 ὅμως] ὅ*ως T[1] 7 οὕτω Za 8 τὰς om. R 11 προτιθέμενον T 12 οὐκ ἔτι ἐστὶν R: οὐκ ἔστιν ἔτι Z: ἔτι om. GTa 13 et 17 τὰ στοιχεῖα GTa 14 αἱ om. R 15 τιθεμένης R 20 στοιχείων a 21 τῷ a: τὸ cett. χρώμενος R 23 προστίθεται T: τίθεσθαι R 24 ὁ ἀὴρ om. Z 25 τὸ στοιχεῖον Z 27 fort. ταὐτὰ 31 τὴν Za: τὸν GRT τοῦ om. Z καὶ ξηροῦ om. Ra

προστίθησιν ἀν|τίθεσιν, δῆλον ἐντεῦθεν. εἰπὼν γὰρ τὸ Π εἰς τὸ Ψ μετα- 56v
βάλλει κατὰ τὴν τοῦ Κ καὶ Φ ἐναντίωσιν, τοῦ καλοῦ φέρε καὶ τοῦ φαύ-
λου, καὶ τοῦ μὲν Κ τῷ Π καὶ τοῖς ὑπ' αὐτὸ πᾶσιν ὑπάρχοντος, τοῦ δὲ
Φ τῷ Ψ καὶ πᾶσι τοῖς μετ' αὐτό, ὅμως τὸ Π μόνον ὑποτίθεται εἰς τὸ
5 Ψ μεταβάλλον, τῶν δὲ ἄλλων οὐδέν. ὥστε ἀνάγκη καθ' ἑκάστην στοιχείου
προσθήκην καὶ ἐναντίωσιν πάντως προστίθεσθαι.

p. 332b32 Εἰ γὰρ πάλιν τὸ πῦρ, ἐφ' ὧ τὸ Π, μεταβάλλει καὶ μὴ ἀνακάμψει, οἷον εἰς τὸ Ψ.

Εἰ τὸ πῦρ, φησί, μὴ ἀνακάμψῃ, εἰς ἀέρα τυχὸν μεταβάλλον ἢ γῆν 5
10 ἢ ὕδωρ, ἀλλ' εἰς ἕτερον παρὰ ταῦτα τὸ Ψ μεταβάλλοι, ἀνάγκη πάντως
παρὰ τὰς δύο ἐναντιότητας, τὴν τοῦ θερμοῦ καὶ ψυχροῦ ξηροῦ τε καὶ
ὑγροῦ, τρίτην ὑποτίθεσθαι, οἷον φέρε τὴν τοῦ λευκοῦ καὶ μέλανος, καθ'
ἣν τὸ Π εἰς τὸ Ψ μεταβάλλει· ἕτερον γὰρ ὑπόκειται τὸ Ψ τῶν τεσσάρων
στοιχείων.

15 p. 333a1 Ἔστω δὴ τῷ μὲν Π τὸ Κ, τῷ δὲ Ψ τὸ Φ· τὸ δὴ Κ πᾶσιν ὑπάρξει τοῖς ΓΥΑΠ.

Τὸ Π, φησίν, μεταβάλλον εἰς τὸ Ψ κατὰ ἐναντίωσιν τοῦ Φ καὶ Κ
μεταβαλλέτω καθ' ἣν οὐδὲν τῶν πρὸ τοῦ Π μετέβαλεν. ὥστε εἰ τῷ μὲν 10
Ψ ὑπάρχει τὸ Φ τῷ δὲ Π τὸ Κ, τοῦτο αὐτὸ τὸ Κ, ὅπερ ὑπάρχει τῷ
20 πυρί, ὑπάρξει καὶ τῷ ἀέρι καὶ τῷ ὕδατι καὶ τῇ γῇ, διότι οὐδὲν τούτων
διέφερε τοῦ πυρὸς κατὰ ταύτην τὴν ἐναντίωσιν, ἀλλὰ κατ' ἄλλην, οἷον
τὴν τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ. ἐκείνῳ δὲ ἐπιστῆσαι
χρὴ ὅτι τῇ μὲν Ἀριστοτέλους ὑποθέσει, λεγούσῃ κατὰ ἑκάστην ἀντίθεσιν
μίαν γίνεσθαι μεταβολήν, ἕπεται τὸ Κ πᾶσι τοῖς πρὸ τοῦ Π ὑπάρχειν. οὐδὲν
25 γὰρ οὔπω κατὰ τοῦτο μετέβαλε, πρὶν τὸ Π εἰς Ψ μεταβάλλῃ. πόθεν οὖν 15
ἐστιν ἐν τῷ πυρὶ τὸ Κ, εἰ μὴ ἐξ ἐκείνων; ὡσαύτως δὲ καὶ τοῖς μετὰ τὸ
Ψ πᾶσι τὸ Φ, ἐπειδὴ οὐκέτι οὐδὲν μεταβάλλει μετὰ τὸ Ψ κατὰ ταύτην τὴν
ἀντίθεσιν. εἰ μέντοι δῶμεν, καθὼς προείρηται, πλείονα γίνεσθαι στοιχεῖα

1 τίθησιν R  γὰρ ⟨ὅτι⟩?  τὸ prius om. R, alt. om. GT  1. 2 μεταβάλλει om. Z
3 et 4 τῷ] τὸ Z  3 αὐτοῦ T  4 μετ' GRT: ἐπ' Z: ὑπ' a  ὑποτίθετο R
5 μεταβάλλων, τὸ δὲ ἄλλων Z  7. 9 lemma om. et pergit κατὰ μέρος δὲ νῦν θεωρῶμεν τὴν λέξιν. εἰ δὴ τὸ πῦρ φησι a  7 τὸ alt. om. Ar.  μεταβάλλει R: μεταβαλεῖ Z: εἰς ἄλλο μεταβάλλει GT; cf. Arist.  8 ἀνακάμψει R: ἀνακάμψῃ GTZ  9 ἀνακάμψει T²  μεταβαλλὸν (sic) Ra  10 μεταβάλλει Z  11 τὴν om. GTa  τοῦ ξηροῦ τε R  15. 17 lemma om. et pergit ἔστω οὖν τὸ π̄ φησὶν a  15 τῷ δὲ] τὸ δὲ R
17 κατὰ τὴν ἐναντίωσιν a  18 μεταβαλλέτω RZ: καὶ μεταβαλλέτω GT: om. a
πρὸς Z  μετέβαλλεν Z  εἰ μὲν τῶ Z  19 τῷ δὲ] τὸ δὲ R  22 καὶ ὑγροῦ om. GT  ἐκεῖνο Ra  23 καθ' ἑκάστην (G)a  24 πρὸς T  25 μετέβαλλε GR  εἰς τὸ ψ Za  μεταβάλῃ Z: μεταβάλλει R  27 Ψ (priore loco)] ξ GT
μετὰ τὸ (τοῦ Z) RZ: μετὰ om. GTa: fort. ⟨τῶν⟩ μετὰ τὸ  28 τὰ στοιχεῖα GTa

μιᾶς προστεθείσης ἐναντιώσεως καὶ κατὰ μίαν ἐναντίωσιν διάφορα μετα- 56v
βάλλειν, οὐκέτι ἀνάγκη τὸ Κ τῷ Π ὑπάρχον ἤδη καὶ τοῖς πρὸ αὐτοῦ
πᾶσιν ὑπάρχειν. τί γάρ; ὅτι καὶ ἄλλο μετέβαλε κατὰ ταύτην τὴν ἐναντί-
ωσιν, ὥσπερ ἔχει ἐπὶ τοῦ πυρὸς καὶ ἀέρος. ὁ γὰρ ἀὴρ μετέβαλεν κατὰ 20
5 τὸ ὑγρὸν καὶ ξηρὸν εἰς τὸ πῦρ. καὶ οὐκ ἐπειδὴ ἔχει αὐτὸς τὴν ὑγρό-
τητα, ἤδη καὶ τὰ πρὸ αὐτοῦ πάντα· ἡ γὰρ γῆ ξηρά. αἰτία δὲ τούτου,
διότι οὐ μόνον ἀὴρ εἰς πῦρ κατὰ ταύτην τὴν ἐναντίωσιν μετέβαλεν, ἀλλὰ
καὶ ἡ γῆ εἰς ὕδωρ. ὥστε ὁ Ἀριστοτέλης, ὡς ἔφθην εἰπών, ἑπόμενος τῇ
ὑποθέσει τῇ μόνον εἰς τὸ ἐφεξῆς ποιουμένῃ τὴν μεταβολήν, λαβὼν τὸ
10 καθ' ἕκαστον στοιχεῖον ἐναντίωσιν προστίθεσθαι, ὀρθῶς φησι τὸ Κ πᾶσι
τοῖς πρὸ τοῦ πυρὸς ὑπάρχειν, εἴ γε, φησίν, εἰς αὐτὸ μεταβάλλουσιν. εἰ 25
γὰρ ἔχει [τὸ πῦρ] τὸ Π τὸ ἕτερον τῆς κατὰ τὸ Φ καὶ Κ ἐναντιώσεως,
λέγω τὸ Κ, ἀνάγκη καὶ τὰ πρὸ τοῦ πυρὸς ἔχειν τὸ Κ, εἴπερ ἐξ αὐτῶν
γέγονε τὸ πῦρ καὶ μετέβαλεν ἐκεῖνα εἰς τοῦτο. εἰ γὰρ μὴ ἔχοι τὰ πρὸ
15 τοῦ πυρὸς τὸ Κ, πόθεν ἐστὶν ἐν τῷ πυρὶ τὸ Κ; οὐδὲν γὰρ ἐκείνων κατὰ
τὸ Κ διέφερε τοῦ πυρὸς, καθὰ προείρηται. ἀλλὰ τοῦτο, φησί, τὸ μετα-
βάλλειν τὰ τέσσαρα στοιχεῖα εἰς ἄλληλα ἔστω μήπω δεδειγμένον ὡς
πρὸς τὴν νῦν γυμναζομένην ὑπόθεσιν, ἐπειδὴ εἰ λέγοιμεν πάντα εἰς ἄλληλα 30
μεταβάλλειν τὰ τέσσαρα, κύκλῳ εἰσάξομεν γίνεσθαι τὴν γένεσιν, ὅπερ ἀναι-
20 ρεῖ ἡ νῦν προκειμένη ὑπόθεσις, ἐπ' εὐθείας καὶ ἐφεξῆς μόνον φάσκουσα
γίνεσθαι τὴν μεταβολήν. διὸ κείσθω ὡς μήπω δεδειγμένον. εἰδέναι μέν-
τοι χρὴ ὅτι οὗπερ δεόμεθα εἰς τὸ δεῖξαι τὸ Κ τῷ Π καὶ πᾶσι τοῖς πρὸ
αὐτοῦ ὑπάρχον, τοῦτο οὐκ ἀναιρεῖται οὐδὲ κωλύεται ὑπὸ τῆς ὑποθέσεως
τῆς λεγούσης 'ἔστω μὴ πάντα μεταβάλλειν εἰς ἄλληλα'. ἀρκεῖ γὰρ ἡ
25 εἰς τὸ ἐφεξῆς ἑκάστου μεταβολὴ γινομένη τῶν τεσσάρων καὶ τελευτῶσα 35
εἰς τὸ πῦρ, δεῖξαι ὅτι ὑπάρχει πᾶσι τοῖς πρὸ τοῦ Π τὸ Κ, ἐξ ὧν μετα-
βαλλόντων ἐφεξῆς τὸ πῦρ γεγένηται· εἰ γὰρ μὴ ὑπῆρχεν αὐτοῖς τὸ Κ,
οὐκ ἂν ἐγεγόνει ἐξ αὐτῶν τὸ πῦρ ἔχον τὸ Κ. ὅτι μὲν οὖν ὑπάρχει τοῖς
Α Υ Γ τῆς κατὰ τὸ Κ καὶ Φ ἐναντιώσεως τὸ ἕτερον τῶν μορίων τὸ Κ,
30 ἐντεῦθεν δείκνυται, οὐκ ἐκ τοῦ πάντα εἰς πάντα μεταβάλλειν· ὅτι δὲ
τὸ Κ αὐτοῖς ὑπάρχει καὶ τὸ Φ, δείκνυται ἐκ τοῦ μηδὲν τῶν ἄλλων κατὰ
ταύτην μεταβεβληκέναι τὴν ἀντίθεσιν πλὴν τοῦ Π Ψ. ὥστε οὐδὲν κατὰ 40
ταύτην διέφερε τὸ Π τῶν πρὸ αὐτοῦ. κοινὸν ἄρα αὐτοῖς ὑπάρχει τὸ Κ.

---

2 et 11 πρὸς Z 3 et 4 μετέβαλλε R 4 καὶ τοῦ ἀέρος Z 5 καὶ (ante οὐκ) om. R 7 ὁ ἀὴρ a τὴν om. T μετέβαλλεν R 10 τίθεσθαι R 12 τὸ πῦρ delevit a, qui mox τῷ π̄ 13 πρὸς T¹Z 14 μετέβαλλεν GRT ἔχει Z 14. 15 πρὸς τοῦ T: πρὸς τοῦ | τοῦ Z 16 καθάπερ εἴρηται a 18. 19 ἐπειδὴ τὰ δ' πάντα εἰ λέγοιμεν εἰς ἄλληλα μεταβάλλειν Z 19 γενέσθαι a 27 K] β̄ GT 30 μεταβάλλει Z 31 K] β̄ GT καὶ om. Z 33 ταύτην a: ταὐτὸν cett. Π] πῦρ a ἄρα] πρ̄ R

p. 333a3 Ἀλλ' ἐκεῖνο δῆλον, ὅτι εἰ πάλιν τὸ Ψ εἰς ἄλλο, ἄλλη 56v
ἐναντιότης καὶ τῷ Ψ ὑπάρξει καὶ τῷ πυρὶ τῷ Π.

Τουτέστιν εἰ προσθῶμεν ἄλλο στοιχεῖον μετὰ τὸ Ψ, οἷον τὸ Β, καὶ μεταβάλοι τὸ Ψ εἰς τὸ Β, ἄλλης δεῖ πάλιν ἐναντιώσεως, καθ' ἣν ἡ μεταβολὴ γίνεται, παρὰ τὴν ἐν τῷ Π καὶ τῷ Ψ. ὁμοίως ἕξει καὶ ὅσα ἂν ἄλλα προσθῶμεν στοιχεῖα.

p. 333a6 Ὥστε εἰ ἄπειρα, καὶ ἐναντιότητες ἄπειροι.

Νῦν τὸ συναγόμενον ἄτοπον συμπεραίνεται. εἰ γὰρ κατὰ στοιχεῖον ἐναντιότης προστίθεται, ἄπειρα δὲ τὰ στοιχεῖα, ἄπειροι ἔσονται αἱ ἐναντιότητες καὶ ἐν ἑκάστῳ στοιχείῳ ἀπείρων ἐναντιώσεων τὰ ἕτερα μόρια 45
ὑπάρξει καὶ αὐτὰ τὸν ἀριθμὸν ἄπειρα ὄντα. εἰ δὲ ἄπειροι ἐν ἑκάστῳ ὑπάρχουσιν, ὅρα τί ἕψεται. οὐδὲ γὰρ ἔσται, φησίν, οὐδὲν ὁρίσασθαι οὐδὲ γενέσθαι. καὶ ὅτι μὲν οὐ περιορισθήσεται τὰ ἄπειρα, πρόδηλον, οὐδὲ ὑποστήσεται· πῶς δὲ οὐδὲ γίνεσθαι αὐτὰ ἐξ ἀλλήλων φησί, σκεπτέον.

p. 333a8 Δεήσει γάρ, εἰ ἔσται ἄλλο ἐξ ἄλλου, τοσαύτας διεξελθεῖν ἐναντιότητας καὶ ἔτι πλείους.

Εἰ ἄπειροι, φησίν, ἐν ἑκάστῳ ἐναντιότητες, δεήσει τὸ γινόμενον τοσαύτας ὅσας ἔχει ἕκαστον (ἔχει δὲ ἀπείρους) διεξελθεῖν ἐναντιότητας. τοῦτο 50
δὲ ἀδύνατον· τὸ γὰρ ἄπειρον ἀδιεξίτητον. ἐπειδὴ δὲ εἶπε τοσαύτας, δοκεῖ δὲ τοῦτο ὡρισμένου ἀριθμοῦ εἶναι σημαντικόν, τὸ δὲ ἄπειρον παντὸς τοῦ λαμβανομένου ἀεὶ μεῖζον ἢ πλέον ἐστί, διὰ τοῦτο ὥσπερ ἀκριβολογούμενος προστέθεικε τὸ καὶ ἔτι πλείους. πῶς δὲ ἀνάγκη τὸ γινόμενον ἀπείρους διεξελθεῖν ἐναντιότητας, σκεπτέον. ἔνια γὰρ τῶν μέσων εἰ λάβοιμεν μεταβάλλοντα ἐφεξῆς, ἵνα φθάσῃ τὰ ἔσχατα καὶ μεταβάλῃ εἰς | ταῦτα, δεήσει διὰ ἀπείρων αὐτὰ διεξελθεῖν, ἵνα μεταβάλλῃ εἰς τὸ 57r
ἔσχατον. τοῦτο δὲ ἀδύνατον. ὥστε οὐδέποτε εἰς ἐκεῖνο μεταβαλεῖ οὐδὲ

---

1. 3 lemma om. et pergit ἀλλὰ κἀκεῖνο φησὶ δῆλον. ὅτι εἰ προσθῶμεν a 1 δηλονότι GRTZ ἄλλη] ἀλλ' ἡ R 2 καὶ τὸ ψ̄ Z τῷ π̄ RZ: τὸ π̄ GT 3 τὸ B] ω̄ R 4 μεταβάλλοι GTa τῷ ψ̄ R 5 Π] πυρὶ R¹ τῷ (ante Ψ) om. R ὁμοίως δ' a
7. 8 lemma om. et pergit εἶτα συμπεραίνων τὸ ἄτοπον φησὶν, ὅτι εἰ κατὰ στοιχεῖον a
7 εἰς ἄπειρα, καὶ αἱ ἐναντιότητες Z 9 ante ἔσονται inserit ἄρα Z 11 δὲ] γὰρ Z
12 ἔσται] ἐστι compend. R 15 ἔσται] πρ ο̄ R ἄλλο ἔσται Ar. cod. E τοσαύσας a 17 εἰ γὰρ ἄπειροι (om. φησίν) a 18 ὅσας ἔχει] ὅσας om. T, ἔχειν ex ἔχει corr. T² διελθεῖν Z: ἐξελθεῖν GT 20 ἀριθμοῦ ὡρισμένου tr. a: ὡρισμένου ἀριθμοῦ εἶναι τοῦτο tr. Z 20. 21 παντὸς om. Z 22 προσέθηκε a
24 μεταβάλῃ Z: μεταβαλῆς R: μεταβάλλῃ T: μεταβάλλει Ga 25 δι' ἀπείρων Ra μεταβάλῃ Za 26 μεταβαλλεῖ GT¹

ἀφίξεταί ποτε εἰς αὐτό, εἴπερ ἄπειρον τὸ μεταξὺ τοῦ μεταβάλλοντος μέχρι 57r
τοῦ ἐσχάτου διάστημα. ὥσπερ δὲ τὸ μέσον εἰς τὸ ἔσχατον οὐ μεταβάλλει
διὰ τὸ μηδὲ ἀφικνεῖσθαί ποτε εἰς αὐτό, οὔτε ἄλλο τι οὐδέποτε εἰς τὸ
μέσον μεταβαλεῖ, οἷον τὸ ἐν ἀρχῇ, ὅπερ οὐδὲ λαβεῖν ἔστιν (οὐκ ἔστι γὰρ 5
5 ἀρχὴ τοῦ ἀπείρου), ὁμοίως οὐδὲ τοῦτο ἐπὶ τὸ μεταξὺ ὁποιονοῦν ἀφίξεται,
διὰ τὸ ἄπειρον εἶναι τὸ ἐκ τοῦ μέσου ἐπὶ τὴν ἀρχὴν διάστημα. ὅτι μὲν
οὖν οὐδὲν τῶν λαμβανομένων ἐν μέσῳ μεταβάλλει εἰς τὰ ἔσχατα, πρόδη-
λον. φησὶ δὲ αὐτὸς ὅτι οὐδὲ τὰ ἐφεξῆς ἀλλήλων μεταβάλλει εἰς ἄλληλα·
ἔτι γάρ, φησίν, οὐδὲ ἐξ ἀέρος εἰς πῦρ ἔσται ἡ μεταβολή, εἰ ἄπειροι αἱ
10 ἐναντιότητες. τοῦτο δὲ πῶς ποτέ φησιν, ζητήσεως ἄξιον. οὐ γὰρ πάσας 10
διέξεισι τὰς ἀπείρους ἐναντιώσεις, ἵνα γένηται ἐξ ἀέρος πῦρ, ἀλλὰ κατὰ
μίαν μόνην μεταβάλλων ἐναντίωσιν γίνεται τῶν λοιπῶν τῶν αὐτῶν μενου-
σῶν. μήποτε οὖν τῷ κοινῷ λόγῳ, διότι τὸ ἄπειρον ἀδύνατον ὑποστῆναι,
διὰ τοῦτο οὐκ ἂν γένοιτό τις τῶν ἀπείρους ἐχόντων ἐναντιώσεις. ἀλλ'
15 ἴσως τις φαίη ὅτι ὑφεστηκότα αὐτὰ ὑποτιθέμενος σκόπει εἰ δύναται ἐξ
ἀλλήλων γενέσθαι· δύναται δέ, εἴπερ κατὰ μιᾶς ἐναντιώσεως μεταβολὴν
θεωρεῖται ἡ τῶν ἐφεξῆς ἐξ ἀλλήλων γένεσις. βέλτιον τοίνυν, καθάπερ
φησὶν Ἀλεξανδρος, πρὸς τὸ ἐφεξῆς αὐτὸ λαβεῖν εἰρημένον. δείκνυσι δὲ 15
ἐφεξῆς ὅτι πάντα τὰ στοιχεῖα τὰ αὐτὰ ἔσονται ἀλλήλοις. εἰ δὲ τὰ αὐτὰ
20 πάντα, οὐδ' ἂν γένοιτο ἐξ ἀλλήλων οὐδὲ ἔσται μεταβολὴ οὐδενὸς εἰς
οὐδέν· οὐδὲν γὰρ γίνεται ὅπερ ἤδη ἐστίν. ἐμοὶ δοκεῖ τὸ προκείμενον οὕτως
ἐκλαμβάνειν· εἰ ἐπ' εὐθείας ἡ μεταβολὴ τῶν στοιχείων ἀπείρων ὄντων,
ἐδείξαμεν δὲ ὡς ἔνια οὐ μεταβάλλει εἴς τινα τῶν μέσων, διότι δεῖ μὲν
ἄπειρα διεξελθεῖν, τὸ δὲ ἄπειρον ἀδιεξίτητον· ἔστω δὴ τὸ μέσον ὁ ἀήρ.
25 οὐδ' ἄρα εἰς πῦρ μεταβαλεῖ· ἵνα γὰρ ἐκ τούτου ἡ μεταβολὴ καταντήσῃ, 20
ἀπείρων δεήσει μεταβολῶν, τοῦτο δ' ἀδύνατον. εἰ οὖν εἰς αὐτὴν φθάσαι
τὴν μεταβολὴν τὴν εἰς ἀέρα ἀδύνατον, οὐδ' ἄρα εἰς τὸ ἐφεξῆς αὐτοῦ τὸ
πῦρ μεταβαλεῖ ὁ ἀήρ.

p. 333a13 Γίνονται δὲ καὶ πάντα ἕν· ἀνάγκη γὰρ ὑπάρχειν τοῖς μὲν
30 κάτωθεν τοῦ Π τὰς τῶν ἄνωθεν, τούτοις δὲ τὰς τῶν κάτωθεν.

Πρόκειται μὲν αὐτῷ δεῖξαι ἑπόμενον τῇ ὑποθέσει τῇ λεγούσῃ εἰς

---

1 ἀφίξηταί GT: ἀφίζεταί a  μεταλαμβάνοντος GTa  3 οὔτε] fort. οὐδὲ
4 μεταβάλλει a  οὐκ ἔστι γὰρ] οὐδ' ἔστιν R  5 ἐπὶ] οὐδὲ GTa  τὸ om.
add. T²  9 οὐ γὰρ ἔσται ἐξ ἀέρος φησὶν εἰς πῦρ ἡ μεταβολή a  ἔτι] °τι (sic) G
10 οὐδὲ γὰρ R  12 μεταβάλλων a: μεταβάλλον cett.  13 ὑποστῆναι ἀδύνατον tr.
Z: οὐ δύναται ὑποστῆναι a  14 τις] τι R  15 φαίη ἂν a  σκοπεῖ (Z)a
20 οὐδ' ἂν RZ: οὐδὲν GT: οὐδὲν ἂν a  γένοιντο TZ  21 ἐμοὶ δὲ δοκεῖ a  24 οὐ
διεξίτητον GT  δὴ] δὲ a  25 μεταβαλεῖ GT¹: μεταβάλλει a  ἡ ἐκ τούτου tr. a
26 αὐτὴν R: αὐτὸν GT: αὐτὸν δυνατὸν Z: αὐτὸν τὸν ἔσχατον ὅρον a  27. 28 αὐτοῦ τὸ
πῦρ αὐτοῦ Z  28 μεταβαλεῖ GT¹: μεταβάλλει R  29. 31 lemma om. et pergit
Ἔπειτα προτίθεται δεῖξαί τι ἑπόμενον a  29 γίνονται RZ: γίνεται GTAr.  γὰρ RZ:
γὰρ πάσας GT; cf. Ar.  30 κάτω (pr. loco) GTAr.  τὰς alt. om. GT

ἄπειρον ἐπ' εὐθείας γίνεσθαι τὴν μεταβολὴν τὸ πάντα τὰ αὐτὰ γίνεσθαι· 57r
πᾶσι γάρ, φησί, τοῖς κάτωθεν καὶ ἄνωθεν τοῦ Π αἱ αὐταὶ ἐναντιότητες
ὑπάρχουσιν. ὅτι μὲν οὖν εἰ πάντα τὰ πρὸ τοῦ Π στοιχεῖα τὰς αὐτὰς
τοῖς μετὰ τὸ Π πᾶσιν ἐναντιώσεις ἔχει, συμβαίνει πάντα τὰ αὐτὰ εἶναι, 25
πρόδηλον. εἰ γὰρ τὰς αὐτὰς ἔχει ἐναντιώσεις πάντα τὰ ἐφ' ἑκάτερα τοῦ
Π, τὰ αὐτὰ ἀλλήλοις ἔσονται τά τε ἀπὸ τοῦ Ψ καὶ ἄνω χωροῦντα καὶ
τὰ ἀπὸ τοῦ Α [τοῦ ἀέρος] μέχρι τῶν κάτω. ὥστε τὸ αὐτὸ ἔσται τὸ Α, ὅ
ἐστιν ἀήρ, τῷ Ψ. καὶ ἁπλῶς εἰπεῖν πάντα τὰ ἐπάνω τοῖς ὑποκάτω.
οὕτως δὲ πάλιν εἰ λάβωμεν τὰ ἐφ' ἑκάτερα τοῦ Α τῷ αὐτῷ λόγῳ τὰ
αὐτὰ ὄντα ἀλλήλοις, ἔσται τὸ Π τῷ Ψ ταὐτὸν καὶ πᾶσι τοῖς ἐπάνω.
οὕτως δὲ πάλιν δείξας τὰ ἐφ' ἑκάτερα τοῦ Ψ τὰ αὐτὰ ἀλλήλοις, ταὐτὸν 30
ἀποφαίνει τὸ πῦρ τῷ ἀέρι. ὥστε καὶ πᾶσι τοῖς μετ' αὐτό. ἐδείχθη δὲ
διὰ τῶν προλαβόντων ὅτι καὶ τοῖς πρὸ αὐτοῦ πᾶσι, τὰ δὲ πρὸ τοῦ ἀέρος
πάντα τοῖς μετ' αὐτὸ πᾶσι τὰ αὐτά· ὥστε δῆλον ἐκ τούτων ὅτι καὶ τὸ
πῦρ καὶ τὰ ἐφ' ἑκάτερα τοῦ πυρὸς πάντα τὰ αὐτὰ ἀλλήλοις ἔσονται. ὅτι
μὲν εἰ δῶμεν πάντα τὰ ὑπάρχοντα τοῖς ἐπάνω τὰ αὐτὰ εἶναι τοῖς ὑπάρ-
χουσι τοῖς ὑποκάτω, συμπερανθήσεται τὸ τὰ αὐτὰ εἶναι ἀλλήλοις ἅπαντα,
πρόδηλον ἐκ τῶν εἰρημένων· ὅτι δὲ αἱ αὐταὶ ὑπάρχουσιν ἐναντιότητες, 35
οὐκέτι ἐστὶν ἀληθὲς ὡς ἑπόμενον τῇ ὑποθέσει τῇ λεγούσῃ ἐφεξῆς καὶ ἐπ'
εὐθείας γίνεσθαι τὴν μεταβολήν. καὶ τοῦτο δῆλον ἐκ τῶν παρ' αὐτοῦ
προειρημένων ἐξηγουμένου τὴν ὑπόθεσιν † εἴ γε τὸ Π εἰς Ψ μεταβάλλει,
φησί, κατ' ἐναντίωσιν μεταβάλλει καθ' ἣν οὐδὲν ἕτερον μετέβαλεν. οἷον
τὴν κατὰ τὸ Φ καὶ Κ, καὶ ὑπάρξει τὸ μὲν Φ τῷ Ψ, τῷ δὲ πυρὶ καὶ τοῖς
ὑποκάτω πᾶσι τὸ Κ. πάλιν δὲ τοῦ Ψ κατ' ἄλλο μεταβάλλοντος εἰς τὰ
μετ' αὐτὸ κοινὸν μένει τὸ Φ ἐν πᾶσι τοῖς μετὰ τὸ Ψ. ὥστε πάντα τὰ 40
μετὰ τὸ πῦρ πᾶσι τοῖς πρὸ τοῦ πυρὸς ἠναντίωται κατὰ τὸ Κ καὶ Φ. καὶ
πάλιν τοῦ Ψ εἰς ἄλλο μεταβάλλοντος κατὰ ἄλλην ἐναντίωσιν, ἔσται πάλιν
τοῖς μετὰ τὸ Ψ ἐναντίωσις πρὸς τὰ πρὸ τοῦ Ψ. δῆλον τοίνυν ἐκ τούτων
ὡς οὐ ταὐτὰ ἔσται πάντα, ἀλλὰ πᾶν τοὐναντίον πάντα πρὸς πάντα ἔχειν
ἐναντίωσιν.

Ζητητέον οὖν πῶς τοῦτο τίθεται ὡς ἀληθὲς ὁ Ἀριστοτέλης. μήποτε
οὖν ἐκ τοῦ ἀπείρους εἶναι τὰς ἐν ἑκάστῳ ἐναντιώσεις τοῦτο κατασκευάζει.
εἰ γὰρ ἀπείρους λέγεις ἔχειν ἕκαστον ἐναντιώσεις, τοῦ δὲ ἀπείρου οὐκ ἔστι 45

---

1 γίγνεσθαι utrob. a 2 αἱ om. GTZ 4 σημαίνει et 5 ἔχειν Z 6 ταῦτα GT: ταυτὰ a χωροῦντα R: χωροῦντι cett. 7 τοῦ ἀέρος delevi 8 ὁ ἀήρ a 9 οὕτως δὲ πάλιν] πάλιν δὲ a 10 Ψ] ῡ̄ R 10. 12 ἐπάνω. πάλιν δὲ εἰ τὰ ἐφ' ἑκάτερα τοῦ ῡ̄ ταυτὰ ἀλλήλοις λάβωμεν, ταυτὸν ἔσται τὸ πῦρ a 11 οὕτως] οὔτε Z τὰ αὐτὰ ὄντα Z 13 δὲ om. Z τοῦ RZ: αὐτοῦ GTa 15 πάντα αὐτὰ GT 15. 16 ὅτι μὲν οὖν a 20 μεταβολὴν, πρόδηλον ἐκ a 21 ἐξηγούμενον R¹ εἴ γε] εἴτε G(?): εἴτε γὰρ a μεταβάλλοι a 22 μετέβαλλεν GT 23 ὑπάρχει Z 24 τοῦ] τὸ GTZ¹ μεταβάλλοντος RZ: μένοντος GTa 25 κοινὸν μὲν εἰ ἐν πᾶσι τὸ φ̄ τοῖς Z 26 πῦρ et πυρὸς] π̄ utrobique a 27 τοῦ] τὸ GT 28 πρὸ om. GT 29 ἔχειν] ἕξει a 31 ἀληθὴς T¹ 32 ἐναντίωσις (G)a 33 λέγοις a ἐναντίωσις a ἔστι] ἔσται τί Z

πλέον λαβεῖν, οὐκ ἔσται τις ἐναντίωσις ἥτις οὐχ ὑπάρξει ἑνὶ ἑκάστῳ· 57r
ὥστε ταὐτὰ πάντα ἔσονται. ἀλλ' οὐδὲ τοῦτο ἔχει λόγον· ὁ γὰρ ἀπείρους
ὑποθέμενος ἐναντιώσεις, διπλασίους τοῦ ἀπείρου ποιεῖ τὰς ποιότητας. ὥστε
ἡνίκα ἂν λέγηται ἕκαστον ἀπείρους ἔχειν ἐναντιώσεις, οὐχ ὡς ἀμφότερα
5 τὰ μέρη τῶν ἐναντιώσεων ἔχον λέγεται, ἀλλὰ τὸ ἕτερον μέρος τῆς ἐναν-
τιώσεως καὶ μόνον. ὥστε οὐκ ἄτοπον ἐν τούτοις μὲν τὰ ἕτερα τῶν ἐναν-
τιώσεων θεωρεῖν, ἐν δὲ τοῖς ἄλλοις θάτερα. ἄμεινον δὲ κατὰ τοῦτον τὸν 50
τρόπον ἀκούειν τοῦ λόγου, αὐτὸ καθ' αὑτὸ ἐξετάζοντα ἐπὶ τῆς οἰκείας
φύσεως τὸ θεώρημα, καὶ οὐχ ὡς συνεχὲς πρὸς τὰ προειρημένα. εἰ γὰρ
10 τὸ Π εἰς τὸ Ψ λέγεις μεταβάλλειν, τὸ δὲ Ψ μηκέτι εἰς τὸ Π ἀνακάμπτειν
μηδὲ μεταβάλλειν, οὐκ ἔσται ἐναντίωσις τῷ Ψ πρὸς τὸ Π· εἰ γὰρ ἦν.
καὶ μετέβαλεν ἂν τὸ Ψ εἰς τὸ Π· τὸ αὐτὸ ἄρα ἔσται. καὶ οὕτως ἐφεξῆς
διεξιὼν πάντα δείξεις τὰ αὐτὰ ὄντα ἀλλήλοις. εἰ δέ τις λέγοι ὅτι αὐτὸ
τοῦτο ἐξ ἀρχῆς ὑπεθέμην, ἔχειν αὐτὰ πρὸς ἄλληλα ἐναντίωσιν τὸ Π καὶ |
15 Ψ, ὅτε τὸ Π ὑπεθέμην εἰς τὸ Ψ μεταβάλλον, ἐρῶ πρὸς τοῦτον ὅτι 57v
ταύτην αὐτὴν ἣν ὑπέθου ἐναντίωσιν σὺ αὐτὸς ἀναιρεῖς, λέγων μηκέτι τὸ
Ψ εἰς τὸ Π μεταβάλλειν. οὕτως δὲ καθόλου τὰ ἐπάνω ὑποτιθέμενος εἰς τὰ
κάτω μὴ μεταβάλλοντα ἀναιρεῖς αὐτῶν τὴν ἐναντίωσιν ἣν ὑπέθου ἐν τῇ
ἑκάστου πρὸς τὸ ἐφεξῆς μεταβολῇ· ἀναιρουμένης δὲ τῆς ἐναντιώσεως, τὰ
20 αὐτὰ πάντα ἀλλήλοις ἔσονται, ὅπερ εὐλόγως συνήγαγεν. 5

p. 333a16 Θαυμάσειε δ' ἄν τις τῶν λεγόντων πλείω ἑνὸς τὰ στοιχεῖα τῶν σωμάτων ὥστε μὴ μεταβάλλειν εἰς ἄλληλα.

Δείξας ὅτι οὐ δύναται ἓν τῶν τεσσάρων στοιχεῖον εἶναι τῶν ἄλλων 17
οὔτε ὡς ἀμετάβλητον οὔτε ὡς μεταβλητικόν, δεικνυμένου τε διὰ τῶν αὐτῶν
25 λόγων ὅτι οὐδέ τινα ἐξ αὐτῶν στοιχεῖά ἐστι τῶν λοιπῶν, ἐφεξῆς ὑπο-
λείπεται ζητῆσαι εἰ τὰ τέσσαρα στοιχεῖά ἐστι πάντα· εἴρηται γὰρ πρὸς
αὐτοῦ ἀνωτέρω, ὅτι "εἰ μηδὲν αἰσθητόν γε πρότερον τούτων, ταῦτα ἂν εἴη 20
πάντα". ἐπειδὴ τοίνυν ἀνάγκη ταῦτα ἢ ὡς ἀμετάβλητα ἢ ὡς μεταβλητικὰ
στοιχεῖα εἶναι τῶν ἄλλων, πρόκειται αὐτῷ ἐν τῷ παρόντι δεῖξαι ὅτι οὐκ
30 ἔστιν ἀμετάβλητα, ὥστε τούτου ἐλεγχθέντος ὑπολειφθῆναι τὴν ἀληθῆ
δόξαν, τὴν λέγουσαν τὰ πάντα εἶναι στοιχεῖα ὡς μεταβλητικὰ εἰς ἄλληλα.
ἐπειδὴ δὲ τῆς προκειμένης εἰς ἔλεγχον δόξης Ἐμπεδοκλῆς ἐστιν ὁ προ-
στάτης, πρὸς τοῦτον ἀποτείνεται, δεικνὺς ὅτι οὔτε γένεσιν καὶ φθορὰν τὴν

---

4 ἡνίκ' ἂν GTa ἔχει R 5 λέγονται GT ἀλλ' ὡς τὸ ἕτερον a 6 καὶ om. a 7 ἄμεινον οὖν a 8 καθ' ἑαυτὸ Z 9 καὶ οὐ συνεχὲς ὡς πρὸς Z εἰρημένα GTa 10 τὸ δὲ π εἰς τὸ ψ μηκέτι ἀνακάμπτειν et mox τῷ π πρὸς τὸ ψ Z 12 μετέβαλλεν GT: μετέβαλε (om. ἂν) R 13 δείξας GT λέγει RZ 14. 15 καὶ τὸ ψ a 15 μεταβάλλειν Z 17 π εἰς τὸ ψ Z οὕτω a 19 ἑξῆς a 25. 26 ζητῆσαι ἐφεξῆς ὑπολείπεται Z 26 εἰ τὰ] εἶτα R: εἰς τὰ T¹ 27 ἀνωτέρω] c. 5 p. 332a26 τούτων πρότερον αἰσθητόν γε Z 30 ἐλεχθέντος GT¹a ὑπολειφθῆναι Za: ὑπολη̃φθῆναι cett. 31 ἀμεταβλητικὰ G

κατὰ φύσιν οἷόν τε εἶναι κατ᾽ αὐτὸν οὔτε αὔξησιν οὔτε κίνησιν τὴν κατὰ 57v
φύσιν. πρὶν δὲ αὐτοῦ τὴν δόξαν ἐλέγξαι τὴν περὶ τῶν στοιχείων, δείκνυσιν 26
ἀσύμφωνα αὐτὸν αὑτῷ λέγοντα· ἀμετάβλητα γὰρ αὐτὰ ὑποθέμενος εἶναι,
συμβλητὰ αὐτά φησι γράφων "ταῦτα γὰρ ἴσά τε πάντα". πρῶτον οὖν
5 ἀποδείκνυσιν ὅτι ἀδύνατόν ἐστι τῷ Ἐμπεδοκλεῖ ἀμετάβλητα ὑποτιθεμένῳ
τὰ στοιχεῖα συμβλητὰ αὐτὰ φάσκειν εἶναι. εἰ γὰρ συμβάλλοιντο ἀλλήλοις,
ἤτοι κατὰ μέγεθος ἀνάγκη αὐτὰ συμβαλέσθαι ἀλλήλοις, ὡς λέγειν τὸ πῦρ
ἴσον εἶναι τῷ ἀέρι, ἢ κατὰ τὴν δύναμιν καὶ ποιότητα· ποιότητα δὲ 30
ἤτοι τὴν αὐτήν, ὡς ὅταν εἴπω ὅμοιον εἶναι τὸ πῦρ τῷ ἀέρι, διότι ὡς τὸ
10 πῦρ θερμὸν οὕτως καὶ ὁ ἀήρ, ἤγουν κατ᾽ ἄλλην καὶ ἄλλην ποιότητα τῆς
συγκρίσεως γινομένης παραβολῆς· καὶ κατ᾽ ἄλλην ἤτοι τὴν ἐναντίαν, ὡς
ὅταν εἴπω ὡς τὸ πῦρ θερμὸν οὕτως τὸ ὕδωρ ψυχρόν, ἢ οὐκ ἐναντίαν
ἀλλ᾽ ἑτέραν τῷ γένει, ὡς ὅταν εἴπω ὡς τόδε θερμὸν οὕτω τόδε λευκόν,
κατὰ ἀναλογίαν τῆς παραθέσεως γινομένης.

15 Δείκνυσιν οὖν ὅτι πρῶτον οὐ δυνατὸν κατὰ μέγεθος τὴν συμβολὴν
αὐτῶν θεωρεῖν ἀμεταβλήτων ὑπαρχόντων. τὸ μὲν γὰρ οὕτως θεωρεῖν τὴν 35
ἰσότητα αὐτῶν, ὡς τῶν ὁλοτήτων ἰσομεγεθῶν ἀλλήλαις ὑπαρχουσῶν,
εὔηθες. τὰ μὲν γὰρ καὶ φαίνεται ἐναργῶς μὴ οὕτως ἔχοντα, οἷον ἡ γῆ
καὶ τὸ ὕδωρ, εἴπερ ἐν τοῖς τῆς γῆς κοιλώμασι τὸ ὕδωρ θεωρεῖται, καὶ
20 ἀμφοῖν ὁ ἀὴρ μείζων· τὰ δὲ ἄλλα ἀφανῆ ἔχει τὴν ἀπόδειξιν ἰσότητος,
οἷον ὁ ἀὴρ καὶ τὸ πῦρ καὶ πρὸς ἑκάτερον παραβαλλόμενον τὸ ὕδωρ.
οὕτως μὲν οὖν οὐ δυνατὸν ἴσα λέγειν ἀλλήλοις εἶναι τὰ στοιχεῖα. ἀλλ᾽ εἰ
ἄρα συμβλητὰ αὐτὰ εἶναι λέγει κατὰ μέγεθος, οὕτως ἂν αὐτὰ λέγοι, ὡς 40
ἂν μεταβάλλοντα αὐτὰ εἰς ἄλληλα τῆς ἴσης ὕλης ἑκάστῳ αὐτῶν ὑποκει-
25 μένης· οἷον ὡς εἰ λέγοιμεν τὸ ὅλον ὕδωρ ἴσον εἶναι τῷ ὅλῳ ἀέρι, διὰ
τὸ τὴν ἴσην καὶ τὴν αὐτὴν ὕλην εἶναι ἐν ἑκατέρῳ, ἥτις δύναται ἐκτεινο-
μένη τε ποιεῖν τὸν ἀέρα καὶ πάλιν συστελλομένη τὸ ὕδωρ. τοῦτο δὲ
ἀδύνατον αὐτῷ θεωρεῖν, εἰ μὴ ἐκ τῆς τῶν μερῶν εἰς ἄλληλα μεταβολῆς.
ἐπειδὴ γὰρ ὁρῶμεν τὸ ξεστιαῖον φέρε ὕδωρ εἰς δεκαξεστιαῖον ἀέρα μετα-
30 βάλλον, εἰ οὕτως τύχοι, φαμὲν ταύτῃ ἴσον εἶναι τῷ ξεστιαίῳ ὕδατι τὸν
δεκαξεστιαῖον ἀέρα, τῷ ἐκ τῆς αὐτῆς ὕλης ἄμφω εἶναι μανουμένης τε καὶ 45
πυκνουμένης, καὶ ταύτην κἀπὶ τῶν ὁλοτήτων σῴζεσθαι τὴν ἀναλογίαν τῆς
ὑπεροχῆς, ἥτις ἐπὶ τῶν μερῶν θεωρεῖται. οὕτω γὰρ καὶ Ἀριστοτέλης ἐν
τοῖς Μετεώροις τὴν ἀναλογίαν τοῦ ὕδατος πρὸς τὸν ἀέρα ἔλαβεν ἐκ τῆς

---

3 αὐτῷ a: αὐτῶ cett. 4 γράφων] Emped. v. 87 St. 114 K. 7 ἤτοι κατὰ μέγεθος ἀνάγκη αὐτὰς (sic) συμβαλέσθαι (συμβάλλεσθαι Z) ἀλλήλοις RZ: om. GTa 8 κατὰ τὴν ⟨ποσότητα ἔσται, ἢ κατὰ τὴν⟩ δύναμιν suppleverat a 10 οὕτω a 11 γινομένης καὶ τῆς παραβολῆς a 12 οὕτως] οὕτως τῷ, si recte enot., G: οὐ τῷ a 13 ὡς τὸ θερμὸν T¹ τὸ δὲ λευκὸν R 14 κατὰ τὴν T 15 συμβουλὴν Z 16 οὕτω Za 17 ἰσομεγέθων compend. R 19. 20 καὶ ἀμφοῖν ὁ ἀὴρ μείζων RZ: καὶ ἀμφοῖν om. GT: μείζων ἂν εἴη ἡ γῆ a, qui post εἴπερ inserit γὰρ 22 οὕτω a οὖν ἀδύνατον Z 23 λέγει (post εἶναι) RZ: λέγοι GTa 24 αὐτὰ om. add. T² 25 ὡς om. a 26 τὴν ὕλην ἴσην καὶ τὴν αὐτὴν Z ἐν om. a 30 οὕτω (G)a 31 τῷ] τὸ R 32 ταύτῃ T 34 Μετεώροις] A 3 p. 340a11

τῶν μερῶν μεταβολῆς· ἣν γάρ, φησίν, ἔχει τὸ ὕδωρ τὸ τοσόνδε ἀνα- 57ᵛ
λογίαν πρὸς τὸν ἀέρα τὸν ἐξ αὐτοῦ γινόμενον, ταύτην εἰκὸς καὶ τὸν ὅλον
ἀέρα πρὸς τὴν ὁλότητα τοῦ ὕδατος ἔχειν. ὅτι μὲν οὖν οὐ δυνατόν ἐστι
κατὰ μέγεθος συμβλητὰ εἶναι ἄλλως ἢ τῷ ἔχειν ἴσην τὴν ὅλην δυνα- 50
5 μένην τὸ μέγεθος ἑκατέρου τῶν συμβλητῶν δέχεσθαι, καὶ ὅτι ἡ τοιαύτη
ἀντιπαράθεσις ἐκ τῆς τῶν μερῶν εἰς ἄλληλα μεταβολῆς ἐξ ἀνάγκης θεω-
ρεῖται, ἱκανῶς εἴρηται. ὥστε ἀσύμφωνον τὸ συμβλητὰ εἶναι λέγειν τὰ
στοιχεῖα κατὰ μέγεθος τῷ ἀμετάβλητα φυλάττοντι αὐτά. ἐπισκεψώμεθα
οὖν μὴ ἄρα κατὰ τὰς δυνάμεις οἷόν τε αὐτὰ συμβλητὰ εἶναι λέγειν, οἷον
10 ὡς τὸ ξεστιαῖον πῦρ φέρε θερμόν ἐστιν, οὕτω καὶ ὁ δεκαξεστιαῖος ἀήρ, |
κατὰ τὴν αὐτὴν δύναμιν τῆς παραβολῆς θεωρουμένης. ἀλλ' οὐδὲ ταύτην 58ᵣ
θεωρεῖν δυνατὸν ἀμεταβλήτων ὄντων τῶν στοιχείων· τῆς γὰρ αὐτῆς ποιό-
τητος μία καὶ ἡ αὐτὴ ⟨ἡ⟩ ὑποκειμένη ὕλη. ὥστε εἰ λέγεις τὸν δεκαπλάσιον
ἀέρα ἴσην ἔχειν δύναμιν τῷ δεκάτῳ μέρει τοῦ πυρός, ἀνειμένην θεωρεῖς
15 τὴν τοῦ ἀέρος δύναμιν, τὴν δὲ τοῦ πυρὸς ἐπιτεταμένην. μιᾶς δὲ οὔσης
καὶ τῆς αὐτῆς ὕλης τῆς ὑποκειμένης τήν τε ἀνειμένην δύναμιν ἐπιταθῆναι 5
δυνατὸν καὶ τὴν ἐπιτεταμένην ἀνεθῆναι· ἀνάγκη γὰρ μιᾶς οὔσης καὶ κοινῆς
ἀμφοῖν τῆς ὕλης δυνάμει ἐν αὐτῇ θεωρεῖσθαι ὅπερ ἑκάτερον. ὁ αὐτὸς δὲ
πάλιν ἔσται λόγος τῆς παραθέσεως κατὰ τὰς ἐναντίας δυνάμεις λαμβανο-
20 μένης, λεγόντων ἡμῶν ὡς τὸ πῦρ ξηρὸν οὕτως ὁ ἀὴρ ὑγρός, ἢ ὡς τὸ πῦρ
θερμὸν οὕτω τὸ ὕδωρ ψυχρόν. ὁ γὰρ ἐναντίας εἰπὼν δυνάμεις καὶ μίαν
ἀμφοῖν τὴν ὕλην, τὸ τριχῇ διαστατόν, καὶ μεταβολὴν ἀνάγκη θεωρεῖν· τὰ
γὰρ ἐναντία ἀνάγκη ὁρᾶν εἰς ἄλληλα καὶ πάσχειν ὑπ' ἀλλήλων, ἐπεὶ οὐδὲ 10
ἐναντία λέγοιτ' ἂν εἶναι.

25 Εἰ τοίνυν μήτε κατὰ μέγεθος μήτε κατὰ δύναμιν ἢ τὴν αὐτὴν ἢ τὴν
ἐναντίαν οἷόν τέ ἐστι παράθεσιν θεωρεῖν τῶν στοιχείων ἀμεταβλήτων αὐ-
τῶν φυλαττομένων, ζητητέον μὴ ἄρα κατὰ τὸν τρίτον ⟨τρόπον⟩ δύναται ὁ
Ἐμπεδοκλῆς θεωρεῖν τὴν τῶν στοιχείων σύγκρισιν, τὸν κατὰ ἀναλογίαν τῶν
ἑτερογενῶν δυνάμεων, ἵνα εἴποι ὡς τόδε θερμὸν τόδε λευκόν. φησὶ δὲ ὁ
30 Ἀριστοτέλης, ὅτι κατὰ τοῦτον μόνον τὸν τρόπον δυνατὸν αὐτῷ συμβλητὰ 15
λέγειν τὰ στοιχεῖα ἀμετάβλητα αὐτὰ ὑποτιθεμένῳ· οὐδὲ γὰρ δυνατὸν λέγειν
τὰς ἑτερογενεῖς δυνάμεις ὁρᾶν ἢ ὅλως μεταβάλλειν εἰς ἀλλήλας, οἷον τὴν
λευκότητα εἰς γλυκότητα. ὅσον μὲν οὖν πρὸς τὸ μὴ ἀνατρέπειν τὴν περὶ
τῶν ἀμεταβλήτων στοιχείων ὑπόθεσιν ὀρθῶς ἂν ἔχοι ἡ κατὰ τοῦτον τὸν
35 τρόπον θεωρουμένη παράθεσις, τῷ μὴ εἰσάγειν καθάπερ αἱ ἄλλαι μετα-
βολὴν τῶν στοιχείων· πλὴν αὐτὴ καθ' αὑτὴν ἐξεταζομένη ἡ δόξα οὐκ

---

1 τὸ τοσόνδε ὕδωρ Z 4 τὸ μέγεθος a τὴν om. Z 7 συμβλητὸν GT 8 ἐπισκεψώμεθα RZa: συμβλητὰ εἶναι λέγειν GT 9 οὖν μὴ οὖν ἄρα a συμβλητὰ αὐτὰ λέγειν εἶναι Z οἷον om. RT 10 εἶναι πῦρ GT οὕτω δὲ καὶ T 12 δυνατὸν θεωρεῖν R 13 ⟨ἡ⟩ addidi ex F 16 τε om. GTa 17 ἐπετεταμένην T ἀνάγκης (G)a 19 κατὰ (hoc in eras. T²) τὰ τὰς T 20 ὡς] καὶ GT 24 εἶναι ἄλλως a 25 εἰ μὴ τοίνυν μήτε Z 27 τρόπον addidit a 28 τὸν Z: τὴν cett. 29 εἴπῃ Za 30. 31 αὐτῷ — δυνατὸν om. R 33 τὴν] τῶν Z περὶ om. a 35. 36 μεταβολλὴν G

ἀνέλεγκτος ὑπάρχει, εἰ μὴ τὴν ἑτέραν μόνην δύναμιν τῆς συστοιχίας θεω- 58r
ρήσειέ τις ἐν τοῖς στοιχείοις ὑπάρχουσαν, τὴν δὲ ἑτέραν μηκέτι, οἷον εἰ
τὴν λευκότητα λέγοι ὑπάρχειν τοῖς στοιχείοις, τὴν μελανότητα δὲ μηκέτι, 21
καὶ γλυκότητος μὲν φαίη αὐτὰ μετέχειν, πικρότητος δὲ μηδαμῶς· οὕτω δὲ
5 κἀπὶ θερμοῦ καὶ ψυχροῦ. πρῶτον ἀποκληρωτικὸν τοῦτο, τὸ ταύτας μὲν
ὑπάρχειν, τὰς ἀντιστοίχους δὲ μηκέτι, ἔπειτα καὶ μάτην ἔσονται μὴ
ἔχουσαι εἰς ὅ τι δράσουσιν ἢ πρὸς οὗ πείσονται. εἰ δὲ εἶεν μὲν αἱ ἐναν-
τίαι, τὴν ἀντιπαράθεσιν δὲ φαίη κατὰ τὰς ἑτερογενεῖς θεωρεῖσθαι καὶ 25
μόνον, ἥξουσιν οἱ προειρημένοι λόγοι. ὅπου γὰρ ἐναντιότης, ἐκεῖσε καὶ
10 πάθος ἐξ ἀνάγκης καὶ μεταβολή· ἐπεὶ οὐκ ἂν εἴη ἐναντία τὰ μὴ μαχόμενα
ἀλλήλοις καὶ φθείροντα ἄλληλα.

p. 333a20 Εἰ μὲν οὖν κατὰ ποσόν, ἀνάγκη τὸ αὐτὸ εἶναι ὑπάρχον ἅπασι τοῖς συμβλητοῖς ᾧ μετροῦνται.

Ὅτι κατὰ τὰ μεγέθη καὶ τοὺς ὄγκους οὐ δύνανται συμβλητὰ εἶναι
15 δείκνυσιν. ὡμολόγηται γὰρ ἐκ τῆς αἰσθήσεως ὅτι οὐ πάντα ἐστὶ τοῖς ὄγκοις
ἴσα. ὁ γὰρ ἀὴρ μείζων ἐστὶ τῆς γῆς καὶ τοῦ ἐν τοῖς κοιλώμασιν αὐτῆς
συρρεύσαντος ὕδατος, ἄδηλος δὲ καὶ ἡ τοῦ πυρὸς καὶ ἡ τοῦ ἀέρος πρὸς 30
ἄλληλα κατὰ ποσὸν συμβολή, ἵνα μὴ λέγω ὅτι τὸ ὑπέκκαυμα περιέχον
τὸν ἀέρα εὔλογον εἶναι μεῖζον τοῦ ἀέρος καὶ τῶν ἐντὸς ἁπάντων. ὥστε
20 ἀδύνατον τοῖς ὄγκοις τὴν ἰσότητα λαμβάνειν. λέγοιντ' ἂν οὖν ἴσα τοῖς ὄγκοις
ὡς ἐξ ἴσου τοῦ ὑποκειμένου τῆς ἐφ' ἑκάτερον γενομένης μεταβολῆς, ὅτι
τοσοῦτον ὑποκείμενον μανούμενον μὲν ποιεῖ δεκαπλασίονα τυχὸν ἀέρα, πυκ-
νούμενον δὲ τὸ δέκατον τούτου κατὰ τὸν ὄγκον ὕδατος· τοῦτο γὰρ αὐτῷ
δηλοῖ καὶ τὸ ᾧ μετροῦνται, τουτέστι καθ' ὃ ἴσα ἐστὶ τῷ ὑποκειμένῳ. 35
25 τούτου δὲ οὕτως ἔχοντος οὐκ ἂν εἶεν ἀμετάβλητα τὰ στοιχεῖα, ὄντος
αὐτοῖς κοινοῦ τοῦ ὑποκειμένου, ὃ συστελλόμενον μὲν ποιεῖ τὸ ὕδωρ, ἐκ-
τεινόμενον δὲ τῇ μανώσει τὸν ἀέρα· τοῦτο δὲ μεταβολή ἐστι.

---

1 ἀνέλεγκτος R: ἀνέλεκτος Z: ἀνέγκλητος GTa συστοιχείας libri praeter T²
2 ἐν om. Za ὑπαρχούσας (G)a οὐκέτι G¹T εἰ] εἰς GT¹ 3 λέγει e corr. Z: φαίη a 5 πρῶτον μὲν a τὸ Z: τῷ cett. τὰς αὐτὰς μὲν Z 7 εἰς] ἐσ R δράσωσιν GTa 9 ἐκεῖ a 11 φθείρονται RT 12. 14 lemmate om. pergit τούτων οὕτω προδιεσάφηθέντων θεωρῶμεν τὴν λέξιν. ὅτι μὲν οὖν κατὰ τὰ μεγέθη a 12 ποσόν RZ (Ar. cod. E): τὸ ποσόν GT αὐτὸ RZ: αὐτό τι GT (cf. Ar.) 14 δύναται GTa 16 μεῖζον GT κῶλώμασιν R αὐτοῖς Z¹ 18 τὸ ποσὸν a συμπλοκή Z 19 μεῖζον εἶναι Z καὶ τῶν λοιπῶν ἁπάντων τῶν ἐντός a 20 λέγειν τ' G: λέγοιτ' RT² 21 τοῖς ὑποκειμένοις Z γινομένης (G)a 22 τὸ τοσοῦτον GTa δεκαπλάσιον a ἀέρα τυχὸν Z 23 αὐτὸ Z 24 τὸ] τῷ G ἐστὶν ἐν τῷ Z 25 δὲ in eras. T²

p. 333a23 Εἰ δὲ μὴ οὕτω κατὰ τὸ ποσὸν συμβλητὰ ὡς ποσὸν ἐκ 58r
ποσοῦ, ἀλλ' ὅσον δύναται.

Ἐπὶ τὴν ἐν ταῖς δυνάμεσιν ἐκ τῶν ὄγκων μετῆλθεν ἰσότητα. εἰ γὰρ μὴ κατὰ ποσόν, φησίν, ἴσα λέγοιεν, τῷ ἐξ ἴσου τινὸς ὑποκειμένου καὶ τὸ μεῖζον αὐτῶν καὶ τὸ ἔλαττον γενέσθαι, ὡς πρότερον ἐλέγομεν, λείπεται κατὰ τὰς δυνάμεις λέγειν αὐτὰ συμβλητὰ εἶναι, ὅτι ἐξισοῦνται αἱ δυνάμεις αὐτῶν κατὰ τὴν τοῦ ποσοῦ ἀναλογίαν. καὶ τέως ἡ αὐτὴ δύναμις ὑποκείσθω, ἵνα ἡ ἐν τῷ δεκαπλασίῳ τυχὸν ἀέρι θερμότης ἴση γένοιτο ἐν δεκάτῳ κατὰ τὸν ὄγκον μέρει τοῦ πυρός. τὸ δὲ μὴ ὡς ποσὸν ἐκ ποσοῦ δηλωτικόν ἐστι τοῦ μὴ ἔκ τινος ἴσου ποσοῦ μεταβάλλειν καὶ εἰς τὸ μεῖζον καὶ εἰς τὸ ἔλαττον τῇ πυκνώσει καὶ τῇ μανώσει, ἀλλὰ κατὰ δύναμιν ἡ ἰσότης εἰλήφθω. πρὶν δὲ εἰπεῖν τὰ ταύτῃ τῇ ὑποθέσει παρακολουθοῦντα ἄτοπα, μέτεισιν ἐπὶ τὴν κατ' ἀναλογίαν ἰσότητα τῶν δυνάμεων, ἐν ᾗ λαμβάνει τὰ τῷ γένει διαφέροντα, οἷον λευκὸν καὶ θερμόν, ὁμοιότητά τινα καὶ ἀναλογίαν κατὰ τὰς δυνάμεις τῶν ποιοτήτων ἔχοντα πρὸς ἄλληλα, ἵνα λέγωμεν ὅτι ὅσον ἐστὶ τόδε τὸ πῦρ θερμὸν τοσοῦτόν ἐστι τόδε τὸ ὕδωρ λευκόν. μόνως γὰρ οὕτως συμβλητὰ λέγειν αὐτὰ δύναται ὁ Ἐμπεδοκλῆς ἀμετάβλητα λέγων. οὐ γὰρ μεταβάλλει τὸ λευκὸν εἰς τὸ θερμὸν ἢ ἔμπαλιν· ἀμετάβλητα γὰρ εἰς ἄλληλα τὰ ἑτερογενῆ.

p. 333a29 Τὸ δὲ ὡς τόδε σημαίνει τὸ ὅμοιον, ἐν δὲ τῷ ποσῷ 50
τὸ ἴσον.

Εἰ μὴ κατὰ ποσὸν συμβλητά ἐστι τὰ στοιχεῖα, ἀλλὰ κατὰ τὴν εἰρημένην ἀναλογίαν, κακῶς ὁ Ἐμπεδοκλῆς ἔλεγε "ταῦτα γὰρ ἴσα τε πάντα". τὸ μὲν γὰρ ἴσον ἐν ποσότητι, τὸ δὲ ὅμοιον ἐν ποιότητι. ἔδει οὖν ὅμοια εἰπεῖν καὶ μὴ ἴσα.

p. 333a30 Ἄτοπον δὴ φαίνεται, εἰ τὰ σώματα ἀμετάβλητα ὄντα μὴ ἀναλογίᾳ συμβλητά ἐστιν, ἀλλὰ μέτρῳ τῶν δυνάμεων.

Εἴπερ ἄρα, φησί, συμβλητὰ εἶναι λέγει τὰ στοιχεῖα ὁ Ἐμπεδοκλῆς

---

1. 4 om. lemm. pergit ταῦτα δὲ εἰπὼν, ἐπὶ τὴν ἐν ταῖς δυνάμεσι (om. ἐκ τῶν ὄ.) μετῆλθεν ἰσότητα. καὶ φησίν. εἰ μὴ κατὰ τὸ (ad hoc nihil enot. ex G) ποσὸν ἴσα λέγοιεν a 1 οὕτω RZ: οὕτως GT 1. 2 ἐκ ποσοῦ om. Z 4 ὑποκειμένω corr. R 5 γίνεσθαι a 6 λέγειν om. Z 7 τοῦ om. R 8 γένηται Ta 13 κατ' Z: κατὰ R: κατὰ τὴν GTa 16 τὸ δὲ τὸ πῦρ a 17 μόν R οὕτω Za 18 ἢ om. add. T² 20. 22 τὸ δὲ προσκείμενον, τὸ δὲ ὡς τόδε ἐν μὲν ποιῷ σημαίνει τὸ ὅμοιον, ἐν δὲ ποσῷ (hoc etiam G, si silentio fides; non τῷ ποσῷ) τὸ ἴσον, βούλεται δηλοῦν, ὡς εἰ μὴ κατὰ ποσὸν a 20 σημαίνει Z: ἐν μὲν ποιῶ σημαίνει GT: σημαίνει ἐν μὲν τῶ ποιῶ R; at cf. Ar. cod. E 26. 262,1 ἄτοπόν γε μήν φησι φαίνεται, εἰ μὴ ἀναλογία λέγοι ταῦτα συμβλητά, ἀμετάβλητα λέγων, ἀλλ (sic) μέτρω δυνάμεων. ἀδύνατον γὰρ αὐτὰ a 26 δὴ] δὲ T 28 φησί om. Z

ἀμετάβλητα λέγων, ἀδύνατον αὐτὰ μέτρῳ τῶν δυνάμεων συμβλητὰ εἶναι 58r
λέγειν, οἷον ὡς τόδε τὸ ὕδωρ | ψυχρὸν οὕτω φέρε καὶ ὁ δεκαπλασίων αὐτοῦ 58v
ἀήρ. τὸ γὰρ τὰ διαφέροντα κατὰ ποσὸν ἴσον δύνασθαι λέγειν ταῖς δυνά-
μεσι ταῖς αὐταῖς οὐκ ἔστιν αὐτὰ τηροῦντος ἀμετάβλητα, ὡς ἔφθημεν
5 δείξαντες· τὸ γὰρ πλέον κατὰ τὴν αὐτὴν δύναμιν καὶ ἔλαττον οὐκ ἄλλως
ἐστὶν ἢ τῷ ἐκ τῆς αὐτῆς ὕλης ⟨εἶναι⟩, τοῦτο δὲ ἐπιτάσει καὶ ἀνέσει τῶν
δυνάμεων συμβαίνει· τοῦτο δὲ μεταβολή ἐστι. μόνως οὖν τῇ τῶν ἑτερο-
γενῶν δυνάμεων καὶ διὰ τοῦτο μὴ μεταβαλλουσῶν εἰς ἀλλήλας ἀναλογίᾳ 5
συμβλητὰ λέγειν Ἐμπεδοκλῆς δύναται τὰ στοιχεῖα.

10 p. 333a32 Καὶ τῷ εἶναι ἴσον θερμὸν ἢ ὁμοίως πυρὸς τοσονδὶ καὶ ἀέρος πολλαπλάσιον.

Ἐπειδὴ εἶπεν ἴσον θερμόν, τὸ δὲ ἴσον τοῦ ποσοῦ, μετέβαλεν εὐθὺς εἰς τὸ ὅμοιον εἰπὼν ἢ ὁμοίως πυρὸς τοσονδί. πῶς δὲ δυνατὸν ἐν ὀλίγῳ ὄγκῳ ἀέρος καὶ ἐν ἐλάττονι πυρὸς τὴν ὁμοίαν εἶναι θερμότητα,
15 δείκνυσιν ἐπαγαγὼν τὸ γὰρ αὐτὸ πλέον τῷ ὁμογενὲς εἶναι τοιοῦτον ἕξει τὸν λόγον, τὸ αὐτὸ μὲν ἐπὶ τῆς δυνάμεως εἰληφώς (ὑπόκειται γὰρ καὶ ὁ ἀὴρ θερμὸς καὶ τὸ πῦρ), τὸ δὲ πλέον ἐπὶ τῶν ὄγκων· ὑπό- 10
κειται γὰρ πολλαπλασίων ὁ ἀὴρ τοῦ πυρὸς τῷ ὄγκῳ, κατὰ δὲ τὴν θερμότητα ἴσος αὐτῷ. ἀδύνατον δὲ τὴν αὐτὴν δύναμιν ἐν διαφόροις εἶναι μεγέ-
20 θεσι, μὴ μιᾶς καὶ τῆς αὐτῆς ὑποκειμένης ἀμφοῖν ὕλης. εἰ δὲ οἱ ἄνισοι ὄγκοι πυρὸς καὶ ἀέρος ὁμοίως εἰσὶ θερμοί, ἐὰν ἄρα λάβω τὸν ἴσον τῷ πυρὶ τοῦ ἀέρος ὄγκον, ἐλάττων ἔσται ἡ ἐν τῷ ἀέρι θερμότης τῆς ἐν τῷ πυρί. ὥστε ἀνέσει καὶ ἐπιτάσει τὸ αὐτὸ ὑποκείμενον μᾶλλον θερμὸν γίνεται καὶ ἧττον· τοῦτο δὲ μεταβολή ἐστιν· οὐκ ἄρα ἀμετάβλητα τὰ
25 στοιχεῖα φυλαχθήσεται.

p. 333a35 Ἀλλὰ μὴν οὐδ' αὔξησις ἂν εἴη κατ' Ἐμπεδοκλέα, ἀλλ' ἢ κατὰ πρόσθεσιν. 15

Δείξας ὡς ἀσύμφωνα αὐτὸς ἑαυτῷ ὑποτίθεται ὁ Ἐμπεδοκλῆς ἀμετά- 22
βλητα λέγων τὰ στοιχεῖα καὶ συμβλητὰ εἶναι πρὸς ἄλληλα, δείκνυσι νῦν
30 ὅτι οὔτε αὔξησίς ἐστι κατ' αὐτὸν οὔτε γένεσις ἡ κατὰ φύσιν, εἰ ἀμετάβλητα εἴη τὰ στοιχεῖα· καὶ τέως ὅτι αὔξησις οὐκ ἔστιν, εἰ μὴ ὁμωνύμως

2 τόδε τὸ] τὸ T: τόδε Ga ὕδω (sic) a 3 τῶ γὰρ Z 4 ἀμετάβλητα om. GT ἔφημεν RZ 6 τῷ] τὸ Z εἶναι addidit a 8 μεταβαλουσῶν R 9 ὁ Ἐμπεδοκλῆς a 9. 12 τὰ στοιχεῖα. εἰπὼν δὲ ἴσον θερμὸν, ἐπειδὴ τὸ ἴσον τοῦ ποσοῦ, μετέβαλεν εὐθὺς a 10 τῷ scripsi: τὸ GRTZ (et Ar. cod. L) ὁμοίως] cf. Ar. cod. E 12 μετέβαλλεν GT 16 εἰληφός a 17 τὸν ὄγκον Z 19. 20 μεγέθεσιν εἶναι Z 21 ἐὰν] ἓν R 22 ἐλάττων δ' ἔσται R 24. 25 τοῦτο δὲ — φυλαχθήσεται om. a 27 ἢ] ἢ ἡ a πρόθεσιν Z 29 νῦν δείκνυσιν Z 30 κατὰ ταὐτὸν R 31 ὁμώνυμος R

ἡ κατὰ πρόσθεσιν λεγομένη. καὶ γὰρ εἴ τις ὕδωρ ἐπιπροσθείη ὕδατι καὶ 58v
ποιήσει πλεῖον, εἰώθαμεν λέγειν 'ηὔξηται τὸ ὕδωρ'. ὁμοίως ἐπὶ οἰκοδομή- 26
ματος ἢ πλαστουργήματος προσθήκης ἔξωθεν γινομένης. ἀλλ' οὐκ αὔξη-
σις τοῦτό ἐστιν, ἀλλὰ τοῦ ὁμοίου πρόσθεσις. τίς γὰρ ἡ κατὰ φύσιν αὔξη-
5 σις, ἔφθη δείξας ἐν τῷ πρώτῳ λόγῳ, ὅτι ἀλλοιουμένης τῆς ὕλης τῆς
αὐξούσης, λέγω τῆς τροφῆς, καὶ προστιθεμένης τοῖς μορίοις καὶ ὑπὸ τῆς
ἐν αὐτοῖς ἀλλοιωτικῆς δυνάμεως ἐξομοιουμένης αὐτοῖς, καὶ τοῦ αὐξομένου
κατὰ πάσας τὰς διαστάσεις ἐπιδόντος.

p. 333b3 Πολὺ δὲ χαλεπώτερον ἀποδοῦναι περὶ γενέσεως τῆς 30
10 κατὰ φύσιν.

Κατὰ φύσιν εἶπε, διότι γίνεταί τινα καὶ κατὰ τέχνην καὶ κατὰ
προαίρεσιν καὶ κατὰ τύχην. ὁ μὲν γὰρ Ἐμπεδοκλῆς συνιόντων φησὶ τῶν
στοιχείων ὅπως ἂν τύχοιεν ἄλλοτε ἄλλα γίνεσθαι· τοῦτο γὰρ καὶ Ἀρι-
στοτέλης ἐδήλωσεν εἰπὼν ἀλλ' οὐχ ὅπως ἔτυχε συνελθόντων οὐδὲν
15 γίνεται, καθὰ ἐκεῖνός φησιν. ἀλλὰ τὰ μὲν ὑπὸ τύχης γινόμενα καὶ
ὑπὸ τοῦ αὐτομάτου σπάνια, τὰ δὲ ὑπὸ λόγου καὶ φύσεως ἀεὶ ὡσαύτως ἢ
ὡς ἐπὶ τὸ πλεῖστον· ἀεὶ γὰρ ἐξ ἀνθρώπου ἄνθρωπος καὶ ἐξ ἀμπέλου 35
ἄμπελος. εἰ γὰρ ἡ τύχη ἐπὶ τῶν σπανίων, τὰ ἄρα μὴ σπανίως ἀλλ' ἀεὶ
γινόμενα ἢ ὡς ἐπὶ τὸ πλεῖστον, οὐκ ἀπὸ τύχης ἀλλ' ὑπὸ λόγου καὶ
20 φύσεως γίνεται. καὶ ἄλλως εἰ ἀπαθῆ τὰ στοιχεῖα, γένεσις οὐδενὸς ἔσται,
"ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων". τοῦτο δὲ οὐ φαίνεται
οὕτως ἔχον· πόθεν γὰρ τὰ ποικίλα τῶν συνθέτων εἴδη καὶ τῶν ἐμψύχων
ἡ διοργάνωσις; ἡ γὰρ μίξις μεσότητα τῶν συνελθόντων ποιεῖ μόνην, οὐ
μεταβολὴν οὐσίας καὶ ὀργάνων διάπλασιν.
25 Ἀλλ' οὐχ ὅπως ἔτυχε συνελθόντων οὐδὲν γίνεται, καθὰ
ἐκεῖνός φησιν, ἀλλὰ λόγῳ τινί· τί οὖν τούτου αἴτιον; οὐ γὰρ δὴ 40
πῦρ γε ἢ γῆ. εἰ μὴ ἡ τυχοῦσα μίξις ὁστοῦν ποιεῖ ἢ νεῦρον ἢ σάρκα
ἢ ὅπερ ἔτυχεν, ἀλλ' ἐν λόγῳ τῆς καθ' ἕκαστον μόριον γινομένης μίξεως,
τί τῆς κατὰ λόγον καὶ ἐν τάξει τινὶ γενέσεως αἴτιον; οὐ γὰρ δή γε, φησίν,
30 ἡ γῆ, τουτέστιν ἡ τῶν στοιχείων σύνοδος· ὡς γὰρ εἶπον, κρᾶσίν τινα καὶ
μεσότητα δυνάμεων συνιόντα ποιεῖ τὰ στοιχεῖα, οὐ μὴν οὐσίαν ὁστοῦ ἢ

---

1 πρόθεσιν GT[1] ἐπιπροσθέη Z 2 ποιήσει RZ: ποιήση GT[1]: ποιήσειε fort. recte T[2]: ποιήσοι a 5 ὕλης RZ: σαρκὸς GTa 8. 11 ἐπιδόντος. ἀλλὰ καὶ τὸ αἴτιον φησὶ τῆς κατὰ φύσιν γενέσεως χαλεπώτερον ἀποδοῦναι. κατὰ φύσιν δὲ εἶπε a 9 τὸ χαλεπώτερον GT 12 τύχην] τέχνης T 13 τύχοι ἐν ἄλλα τε ἄλλο γίνεσθαι a 14 ἀλλ' οὐχ] οὐ γὰρ Ar. codd. praeter FH 15 καθάπερ Z: καθὼς a; at cf. Ar. cod. E 16 ὑπὸ prius om. Z 17 ἐπὶ] ἀπὸ R[1] 21 ἀλλὰ κτλ.] Emped. v. 38 St. 79 K. ἀλλὰ οὐ μόνον (ex Ar. p. 333b14) et διάλεξίς GT τε prius om. R 22 γὰρ om. Z 23 συνελθόντων ex συνθέτων ut vid. corr. T[2] 24 μεταβολὴ GT 25 Ἀλλ' om. a ἔτυχεν οὖν ἐλθόντων GTa καθὼς a 26 τούτων Ar. (praeter cod. E) 27 εἰ γὰρ μὴ a 28 ἢ om. add. T[2] τῆς RZ: ἢ GTa γινομένης μίξεως] γίνεται μίξις a: num μίξεώς ⟨τι κατὰ φύσιν γίνεται⟩? Et μίξεώς (sic) e codd. adnotatum invenio

νεύρου ἢ φλεβὸς ἢ τῶν ἄλλων ὁμοιομερῶν ἢ ὀργανικῶν τινος. ἀνάγκη 58ᵛ
οὖν λόγον καὶ φύσιν αἰτιᾶσθαι τὴν τούτων ποιητικήν, ἣν ἐκεῖνος οὐκ ἀπο- 45
δίδωσιν.

p. 333ᵇ12 Ἀλλὰ μὴν οὐδ' ἡ φιλία καὶ τὸ νεῖκος· συγκρίσεως
5 γὰρ μόνον, τὸ δὲ διακρίσεως αἴτιον. τοῦτο δ' ἐστὶν ἡ οὐσία
ἡ ἑκάστου, ἀλλ' οὐ μόνον "μίξις τε διάλλαξίς τε μιγέντων",
ὥσπερ ἐκεῖνός φησι.

Οὐδὲ ἡ φιλία, φησί, καὶ τὸ νεῖκος τῆς κατὰ λόγον γενέσεως 52
αἴτια· μόνης γὰρ ἡ φιλία συγκρίσεως κατ' αὐτὸν καὶ τὸ νεῖκος διακρίσεως
10 αἴτιον. τί οὖν τὸ ποιοῦν τὴν ἐν λόγῳ μίξιν; καὶ γὰρ ἐπὶ τῆς τεχνητῆς
μίξεως αἱ μὲν δυνάμεις τῶν συνελθόντων τῆς ἁπλῆς μίξεως αἴτιαι, τῆς
δὲ κατὰ λόγον συνόδου καὶ ἐπὶ | ποσὸν συγκρίσεως ἡ τέχνη αἰτία. ὥστε 59ʳ
ἄλλο τι παρὰ τὴν φιλίαν αἰτιατέον τῆς ἐν λόγῳ μίξεως, τοῦτο δέ ἐστιν
ἣν καλοῦμεν φύσιν, ὅπερ ἐστὶν ἡ ἑκάστου οὐσία. ὁ δὲ Ἐμπεδοκλῆς αὐτὸ
15 τοῦτο μόνον τὴν ὑπὸ τῆς φιλίας γινομένην μίξιν καὶ τὴν ὑπὸ τοῦ νείκους
διάκρισιν φύσιν ὀνομάζεσθαί φησιν· οὕτω δὲ κατ' αὐτὸν καὶ τὰ ὡς ἔτυχε
μιγνύμενα χωρὶς λόγου παντὸς φύσιν ἔδει καλεῖν, ὁμοίως δὲ καὶ τὰ δια-
κρινόμενα. εἰ οὖν ἐστὶν ἐν τούτοις καὶ τὸ παρὰ φύσιν, οὐκ ἄρα ἡ τυχοῦσα 5
μίξις οὐδ' αὖ πάλιν ἡ διάκρισις φύσις ἂν δικαίως καλοῖτο, ἀλλ' ἡ κατὰ
20 λόγον, περὶ ἧς Ἐμπεδοκλῆς οὐδὲν εἴρηκεν.

p. 333ᵇ19 Ἀλλὰ μὴν καὶ τὸ εὖ τοῦτο καὶ τὸ ἀγαθόν· ὁ δὲ τὴν
μίξιν μόνον ἐπαινεῖ.

Ἡ κατὰ λόγον, φησί, μίξις, καθ' ἣν ἡ ἑκάστου χαρακτηρίζεται οὐσία,
τὸ ἑκάστου εὖ καὶ τὸ ἀγαθόν ἐστιν· ἑκάστῳ γὰρ ἀγαθὸν τὸ κατὰ φύσιν,
25 τοῦτο δὲ τὸ κατὰ λόγον. ἀλλ' ὁ Ἐμπεδοκλῆς τοῦτο καταλιπὼν τὴν μίξιν
[καὶ] μόνον ἐπαινεῖ. καίτοι εἰ μὴ κατὰ λόγον γίνοιτο, ψόγου μᾶλλον ἀξία
ἐστί· φθορᾶς γὰρ αἰτία γίνεται.

p. 333ᵇ20 Καίτοι τά γε στοιχεῖα διακρίνει οὐ τὸ νεῖκος, ἀλλ'
ἡ φιλία τὰ φύσει πρότερον τοῦ θεοῦ· θεοὶ δὲ καὶ ταῦτα.

30 Ἐμπεδοκλῆς θεὸν καλῶν τὸν σφαῖρον τὴν μὲν φιλίαν ἐπαινεῖ ὡς 10

4 οὐδὲ φιλία R 6 ἥ γε ἑκάστου a ἀλλὰ μόνον Z: ἀλλὰ | ἀλλὰ μόνον R διάλεξίς GT 8 Οὐδὲ ἡ φιλία, φησί om. GT: ἀλλ' οὐδὲ ἡ φιλία et mox φησίν post αἴτια supplevérat a 9. 10 αἴτιον post συγκρίσεως traicit a 10 τεχνητῆς R: τέχνης τῆς TZ: τεχνικῆς τῆς (G)a 15 μόνον τοῦτο R 19 καλεῖτο a ἀλλ' ἢ R 21. 23 om. lemm. pergit ἀλλὰ καὶ ἡ κατὰ λόγον φησὶ a 21 τὸ alterum om. Ar. 23 Ἡ] οὐ GT, qui mox φησίν ἡ μίξις ἡ om. add. T² 26 καὶ delevi (om. F) μόνην R 27 φθορᾶς μὲν γὰρ GT αἴτια Ra 28. 30 om. lemm. pergit ἐπεὶ δὲ ὁ Ἐμπεδοκλῆς θεὸν a 28 γε RZ: τε GT διακρινεῖ R 29 πρότερα Arist. θεοῦ RZ: θερμοῦ GT 30 θεὸν μὲν καλῶν Z

αἰτίαν τούτου τῇ πάντων συγκρίσει, τὸ δὲ νεῖκος ψέγει ὡς διακριτικὸν τοῦ 59r
θεοῦ· πρῶτα γὰρ ὄντα τὰ στοιχεῖα τοῦ σφαίρου ὑπὸ τῆς φιλίας συγκρι-
θέντα πεποίηκεν αὐτόν. ὁ οὖν Ἀριστοτέλης εἰς τοὐναντίον περιτρέπει τὸν
Ἐμπεδοκλέα, ὅτι μᾶλλον διακρίσεώς ἐστιν αἴτιον κατ' αὐτὸν ἡ φιλία. εἰ
5 γὰρ ἐκ τῶν στοιχείων ὁ σφαῖρος γέγονεν, οὐ δήπου μενόντων ὡς ἔχουσι
φύσεως. οὐκοῦν διέκρινεν ἀπ' αὐτῶν τὰς ἕκαστον πρὸ τοῦ σφαίρου χαρα-
κτηριζούσας ποιότητας ἀπὸ τῶν ὑποκειμένων αὐταῖς· οὐ γὰρ ἂν ἄλλως ἓν 15
εἶδος ἐλάμβανε πάντα, τὸ τοῦ σφαίρου. εἰ οὖν διάκρισίς ἐστιν ὡς τοῦ
εἴδους ἀπὸ τῆς ὕλης χωρισμός, τοῦτο δὲ πεποίηκεν ἡ φιλία, διακρίσεως
10 ἄρα μᾶλλόν ἐστιν αἰτία. τὸ δὲ θεοὶ δὲ καὶ ταῦτα, τουτέστι τὰ στοι-
χεῖα καὶ οὐ μόνον ὁ σφαῖρος θεός. μήποτε δὲ τοῦτο εἶπεν δηλῶν ὡς
οὐ μᾶλλον ἐπαινετὴ ἡ φιλία ὡς ποιοῦσα τὸν σφαῖρον θεὸν ὄντα ὡς ψεκτὴ
διακρίνουσα τὰ στοιχεῖα καὶ φθείρουσα· θεοὶ γὰρ καὶ ταῦτα. ἤτοι δὲ ὡς
Ἐμπεδοκλέους θεοὺς καὶ ταῦτα λέγοντος, ἢ μᾶλλον ὡς ἑπόμενον τῇ ὑπο- 20
15 θέσει· εἰ γὰρ πρῶτά ἐστι τοῦ σφαίρου καὶ ἀμετάβλητα, πῶς οὐκ ἀκόλου-
θον καὶ ταῦτα λέγειν θεούς;

p. 333b22 Ἔτι δὲ περὶ κινήσεως ἁπλῶς λέγει· οὐ γὰρ ἱκανὸν εἰπεῖν διότι ἡ φιλία καὶ τὸ νεῖκος κινεῖ, εἰ μὴ τοῦτο εἴη φιλίᾳ εἶναι τὸ κινήσει τοιᾷδε, νείκει δὲ τὸ τοιᾷδε.

20 Οὐδέν, φησί, διορισάμενος περὶ κινήσεως, τίς τέ ἐστι καὶ τίνων,
ἁπλῶς οὕτωσὶ τὴν φιλίαν λέγει κινεῖν καὶ τὸ νεῖκος, τὸ μὲν διακρῖνον καὶ 30
διαχωρίζον ἀπ' ἀλλήλων τὰ στοιχεῖα, τὴν δὲ συνάπτουσαν ἐκ διεστώτων.
ἔδει οὖν, φησί, πρότερον ἢ διορίσασθαι τὰ περὶ τῆς κινήσεως ἢ ὑποθέσθαι
ἢ ἀποδεῖξαι· ταῦτα γὰρ ἐπιστήμης ἔργα. τὰς μὲν γὰρ ἀρχὰς ὑποτίθεν-
25 ται καὶ ὁρίζονται, οἷον ὅτι τὸ σημεῖον ἀμερές, ὅτι τριγώνων εἴδη τρία (τὸ
ἰσόπλευρον, τὸ ἰσοσκελές, τὸ σκαληνόν), ὅτι ὁ κύκλος σχῆμα ἐπίπεδον ὑπὸ
μιᾶς γραμμῆς περιεχόμενον ἐφ' ἣν αἱ ἀπὸ τοῦ μέσου προσπίπτουσαι ἴσαι
ἀλλήλαις εἰσίν· τὰ δὲ μετὰ τὰς ἀρχὰς ἀποδεικνύουσιν. εἰ μὴ ἄρα, φησίν, 35
αὐτοκίνησίς ἐστιν ἡ φιλία, καὶ τὸ νεῖκος ὁμοίως. ἀλλ' οὐ τοῦτό φησιν ὁ
30 Ἐμπεδοκλῆς, ἀλλὰ κινήσεως αἴτια τὸ νεῖκος καὶ τὴν φιλίαν. ὥστε οὐδὲν
περὶ κινήσεως εἴρηκεν.

---

2 et 15 immo πρότερα 3 οὖν om. a 6 πρὸς GT 8 ὡς] ὁ F(Z)a 11 δηλῶν εἶπεν Z 12 ὡς ψεκτὴ] ἢ ψεκτὴ ὡς? 14 ἐσόμενον R 16 λέγει a 17 παρὰ Z¹ 18 καὶ—φιλίᾳ om. GT τοῦτο R: τοῦτ' Za εἴη RZ: ἦν a Arist. 19 τοιᾷδε utrobique scripsi: τοιάδε codd.: τοιανδί a τὸ (post δὲ) om. a 22 τὰ στοιχεῖα ἀπ' ἀλλήλων R 23 πρώτερον G 24 γὰρ alterum om. GTZ fort. ἀρχὰς ⟨οἱ μαθηματικοὶ⟩ vel tale quid 27 αἱ] οἱ a post προσπίπτουσαι addit εὐθεῖαι Z; at cf. ex gr. Philop. Phys. p. 34, 32 ἴσα R 28 ἀλλήλοις GT 30 αἰτία R

p. 333ᵇ26 Ἔτι δὲ ἐπεὶ φαίνονται καὶ βίᾳ καὶ παρὰ φύσιν κινούμενα τὰ σώματα. 59ʳ

Ἐμπεδοκλέους τὴν μὲν φιλίαν ἐπαινοῦντος ὡς τῆς κατὰ φύσιν αἰτίαν κινήσεως, τὸ δὲ νεῖκος ψέγοντος ὡς τῆς ἐναντίας (φησὶ γὰρ "ὡς καὶ ἐγὼ δεῦρ' εἰμὶ φυγὰς θεόθεν καὶ ἀλήτης νείκεϊ μαινομένῳ πίσυνος"), εἰς τοὐναντίον πάλιν αὐτὸν ὁ Ἀριστοτέλης περιάγει, δεικνὺς ὅτι κατὰ τὰς αὐτοῦ ὑποθέσεις ἡ μὲν φιλία τῆς παρὰ φύσιν τὸ δὲ νεῖκος τῆς κατὰ φύσιν κινήσεώς ἐστιν αἴτιον. τούτων δὲ πρότερον δείκνυσιν ὅτι ἐστὶ καὶ ἡ κατὰ φύσιν καὶ ἡ παρὰ φύσιν κίνησις. δείξας γὰρ ὅτι ἐστὶ βίαιος κίνησις, ὡς ἡ τοῦ πυρὸς ἐπὶ τὸ κάτω καὶ τῆς βώλου ἐπὶ τὸ ἄνω, καὶ πάλιν ἡ μὴ βίαιος, τοῦ πυρὸς μὲν ἐπὶ τὸ ἄνω τῆς βώλου δὲ ἐπὶ τὸ κάτω, ταῦτα δὲ ἐναντία, ἡ δὲ βίαιος παρὰ φύσιν, ἡ ἄρα οὐ βίαιος κατὰ φύσιν. εἰ οὖν τὸ νεῖκος διακρίσεως αἴτιον, διακριθέντα δὲ ἐκ τοῦ σφαίρου τὰ στοιχεῖα ἠνέχθη καὶ κεκίνηται, γῆ μὲν κάτω καὶ ἐπὶ τὸ μέσον πῦρ δὲ ἄνω καὶ ἐπὶ τὸ πέριξ, αὗται δὲ τούτων κατὰ φύσιν εἰσὶν αἱ κινήσεις, τὸ ἄρα νεῖκος τῆς κατὰ φύσιν τῶν στοιχείων κινήσεώς ἐστιν αἴτιον, ἡ δὲ φιλία συγκρίνουσα ταῦτα καὶ εἰς ἓν ἄγουσα τὴν μὲν γῆν ἀποστήσει τοῦ μέσου τὸ δὲ πῦρ τοῦ πέριξ, ἵνα εἰς ταὐτὸν ἄμφω συναγάγῃ· τοῦτο δὲ παρὰ φύσιν ἐστὶ κινῆσαι τὸ πῦρ καὶ τὴν γῆν, ἐξιστῶσαν αὐτὰ τῶν κατὰ φύσιν τόπων. οὐκοῦν ὡς ἔχουσιν αἱ κινήσεις, ἕξουσι καὶ τὰ κινοῦντα. οὕτω δὲ ἡ μὲν φιλία παρὰ φύσιν ἔσται, τὸ δὲ νεῖκος κατὰ φύσιν.

p. 333ᵇ33 Ἁπλῶς δὲ εἰ μὴ ἡ φιλία ἢ τὸ νεῖκος κινοῖ, αὐτῶν τῶν σωμάτων οὐδεμία κίνησίς ἐστιν οὐδὲ μονή. ἀλλ' ἄτοπον.

Κατὰ τὸν Ἐμπεδοκλέα, φησίν, ἀναιρεθήσεται παντελῶς ἡ κατὰ φύσιν κίνησις καὶ ἡ μονή. εἰ μὲν γὰρ καὶ | μὴ οὔσης τῆς φιλίας καὶ τοῦ 59ᵛ νείκους ἀφ' ἑαυτῶν κινοῦνται τὰ στοιχεῖα, οὐκ ἂν εἶεν τῆς κινήσεως αὐτῶν ἡ φιλία καὶ τὸ νεῖκος αἴτια· εἰ δὲ ταῦτα μόνα τῆς κινήσεως αὐτῶν ἐστιν αἴτια, ἀφαιρήσομεν αὐτῶν τὴν κατὰ φύσιν κίνησιν· ἡ γὰρ ἐξ ἄλλου καὶ μὴ ἐξ αὑτοῦ παρὰ φύσιν ἐστὶ τῷ κινουμένῳ. ἀλλ' εἰ ἔστιν ἡ παρὰ φύσιν, πάντως ἔσται καὶ ἡ κατὰ φύσιν· πρὸς ἄλληλα γὰρ τὸ κατὰ φύσιν καὶ τὸ παρὰ φύσιν.

---

1. 3 lemm. om. pergit τοῦ δὲ Ἐμπεδοκλέους a 1 φαίνεται Ar. (praeter cod. EL) βίᾳ] μία GT¹ 4. 5 ὡς καὶ κτλ.] Emped. vv. 381. 2 St. 7. 8 K. 5 δεῦρο GTa νήκει GTZa 6 αὐτῶν RZ 8 τοῦτο GT: τούτου a 10 κίνησις om. a 11 τῆς δὲ βώλου a 12 ταῦτα δὲ] συμπεραίνει ὡς ἐπειδὴ ταῦτα a ἢ ἄρα a 14 καὶ κινεῖται GTa 15 δὲ αἱ τούτων R¹ 18 συναγάγει T¹ 20. p. 267,6 αἱ κινήσεις — τὸ δὲ πῦρ om. Z 20 ἕξουσι GRT: οὕτως ἕξουσι a 21 νεῖκος R: νεῖκος ἔσται GTa 22 εἰ μὴ ἡ R: εἰ ἡ GT: μὴ a κινοῖ R: κινεῖ GT: κινοίη a 29 αὐτοῦ libri 30 ἔσται R: ἐστὶ GTa

p. 333b35 Ἔτι δὲ καὶ φαίνεται κινούμενα· διέκρινε μὲν γὰρ τὸ 59v
νεῖκος, ἠνέχθη δὲ ἄνω ὁ αἰθὴρ οὐχ ὑπὸ τοῦ νείκους.

Εἰ καὶ αὐτός, φησί, μὴ δίδωσιν αὐτοῖς τὴν ἐξ ἑαυτῶν κίνησιν μηδὲ 5
ἐπέστησε τούτῳ, ἀλλ' οὖν τὸ μὲν νεῖκος, φησί, διέκρινε μόνον ἀπὸ τοῦ
5 σφαίρου τὰ στοιχεῖα, διακριθέντων δὲ ἡ μὲν ἠνέχθη κατὰ φύσιν κάτω,
τὸ δὲ πῦρ ἄνω. ἔχουσιν ἄρα καὶ τὴν ἐξ ἑαυτῶν καὶ κατὰ φύσιν κίνησιν.
ὥστε οὐδὲ ταῖς ἰδίαις ὑποθέσεσιν ἐπέστησεν ὁ Ἐμπεδοκλῆς.

p. 334a2 Ἀλλ' ὁτὲ μέν φησιν ὥσπερ ἀπὸ τύχης "οὕτω γὰρ συνέ-
κυρσε θέων τότε, πολλάκι δ' ἄλλως", ὁτὲ δέ φησιν πεφυκέναι
10 τὸ πῦρ ἄνω φέρεσθαι, ὁ δὲ αἰθήρ, φησίν, "μακρῇσι κατὰ χθόνα
δύετο ῥίζαις".

Λέγων ὑπὸ τοῦ νείκους καὶ τῆς φιλίας κινεῖσθαι τὰ στοιχεῖα, ὥσπερ
οὐκ ἐφιστάνων οἷς λέγει, ποτὲ μὲν κατὰ τύχην ποτὲ δὲ κατὰ φύσιν αὐτὰ
φέρεσθαί φησιν. ὥστε ἐκ τῶν νῦν παρατεθέντων αὐτοῦ ῥημάτων δίδωσιν 10
15 αὐτοῖς καὶ τὴν ἐξ αὐτῶν κίνησιν. οὐδὲν ἄρα διωρισμένον καὶ σαφὲς ἢ
περὶ κινήσεως ἁπλῶς ἢ περὶ τῆς τῶν στοιχείων κινήσεως εἴρηκεν ὁ Ἐμ-
πεδοκλῆς.

p. 334a5 Ἅμα δὲ καὶ τὸν κόσμον ὁμοίως ἔχειν φησὶν ἐπί τε τοῦ
νείκους νῦν καὶ πρότερον ἐπὶ τῆς φιλίας.

20 Ἄλλο πάλιν ἄτοπον ταῖς Ἐμπεδοκλέους ὑποθέσεσιν ἐπιφέρει. ὁμοίως 15
γὰρ ἔχειν τὸν κόσμον καὶ κινεῖσθαι ἔλεγεν ἐπί τε τοῦ νείκους νῦν καὶ
πρότερον ἐπὶ τῆς φιλίας. εἰ οὖν ἡ μὲν φιλία καὶ τὸ νεῖκος ἑτέρας
κινοῦσι κινήσεις καὶ ἐναντίας, ἡ μὲν διακρίνουσα τὸν σφαῖρον ἡ δὲ συγκρί-
νουσα τὰ στοιχεῖα, ὁ δὲ κόσμος ὡσαύτως ἔχει νῦν τε καὶ πρότερον, ἑτέραν
25 ἄρα κινεῖται ⟨κίνησιν⟩ ἐξ αὐτοῦ καὶ ἀίδιον, οὔτε τοῦ νείκους αὐτὸν κινοῦν-
τος οὔτε τῆς φιλίας. ἔσται οὖν τι παρὰ ταῦτα τῆς κινήσεως τοῦ κόσμου
αἴτιον. τοῦτο οὖν ἔσται ἀρχὴ ὡς ἀίδιον, καὶ οὔτε τὸ νεῖκος οὔτε ἡ φιλία· 20
ποτὲ γὰρ κινεῖ τούτων ἑκάτερον.

---

1. 3 lemm. om. pergit ἀλλ' εἰ καὶ αὐτός a 3 ἑαυτῶν R: αὐτῶν GTa 4 ἀπὸ om. add. T² 5 ἡ μὲν ⟨γῆ⟩ F 6 τὴν] τῶν compend. R αὐτῶν R 7 ἰδέαις R ὑπέστησεν R 8. 12 lemma om. pergit λέγων δέ φησιν ὑπὸ t 8 ὅτε μὲν libri ὡς ἀπὸ Z 9 θεων (sine accentu) R πολλάκις libri ἄλλος RZ 10 φέρεσθαι ἄνω Z 13 λέγοι GTa 15 ἐξ αὐτῶν libri 15 διωρισμένον G: διορισάμενος (om. καὶ) a 21 γὰρ om. R ἔχοντα a καὶ (post κόσμον) om. GTa 22 ἡ] εἰ a 23 τὸ μὲν διακρῖνον τὸν σφαῖρον coni. a 25 κίνησιν addidit a αὐτοῦ scripsi: ἑαυτοῦ R: αὐτοῦ cett. 26. 27 τοῦ κόσμου — ὡς om. GTa 28 κινεῖται Z

Ζητεῖ δὲ ὁ Ἀλέξανδρος, πῶς ὁμοίως ἔχειν τὸν κόσμον λέγει νῦν τε 59ᵛ καὶ πρότερον ἢ ἄλλον καὶ ἄλλον. ἔοικε δέ, φησίν, ὁ αὐτὸς εἶναι κόσμος ὑπ' αὐτοῦ λέγεσθαι. εἰ γάρ τις λέγοι, φησίν, εἶναι κόσμον καὶ τὴν ἐπὶ τοῦ νείκους γινομένην διάκρισιν καὶ τὴν ἐπὶ τῆς φιλίας σύγκρισιν, πῶς ἂν ἔτι ἄλλο εἴη παρὰ τὸ νεῖκος καὶ τὴν φιλίαν τοῦ κόσμου κινητικόν; εἰ δὲ κόσμον λέγοι, φησί, τὸ φυσικὸν σῶμα, συγκριθήσεται μὲν τοῦτο καὶ διακριθήσεται ὑποκείμενον ὑπάρχον καὶ τοῖς στοιχείοις καὶ τῷ σφαίρῳ, ἔσται δέ που καὶ οἰκείαν κινούμενον κίνησιν ὡς φυσικὸν σῶμα. ἢ ὁμοίως, φησί, κόσμος κατ' αὐτόν ἐστι καὶ κινεῖται ἐπί τε τοῦ νείκους νῦν καὶ ἐπὶ τῆς φιλίας πρότερον, ἐν δὲ τοῖς μεταξὺ διαλείμμασι τῶν ὑπ' ἐκείνων γινομένων κινήσεων, πρότερόν τε ὅτε ἐκ τοῦ νείκους ἐπεκράτησεν ἡ φιλία καὶ νῦν ὅτε ἐκ τῆς φιλίας τὸ νεῖκος, κόσμος ἐστὶν ἄλλην τινὰ κινούμενος κίνησιν καὶ οὐχ ἃς ἡ φιλία καὶ τὸ νεῖκος κινοῦσιν.

p. 334ᵃ9 Ἄτοπον δὲ καὶ εἰ ἡ ψυχὴ ἐκ τῶν στοιχείων ἢ ἕν τι αὐτῶν.

Πάντα ἐκ τῶν τεσσάρων γεννῶν ὁ Ἐμπεδοκλῆς καὶ τὴν ψυχὴν ἐκ τούτων ἐγέννα·

γαίῃ μὲν γάρ, φησί, γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
αἰθέρι δ' αἰθέρα δῖον· ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,
στοργῇ δὲ στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ.

εἰ οὖν ἐκ τῶν στοιχείων ἡ ψυχή, τὰ αὐτὰ ἕξει πάθη ἅπερ ἔχει καὶ τὰ στοιχεῖα· οὐδὲν δὲ σωματικὸν ἔχει πάθος ἡ ψυχή, οἷον ὑπομένει γῆ καὶ ὕδωρ καὶ πῦρ καὶ ἀήρ. τὸ γὰρ μουσικὸν καὶ ἄμουσον, ἡ μνήμη καὶ ἡ λήθη, αἱ τέχναι τε καὶ ἐπιστῆμαι οὐδενὶ τῶν στοιχείων συμβαίνουσιν· οὐ γάρ ἐστι σωματικὰ πάθη ταῦτα οὐδ' αἰσθητά. ἀλλ' οὐδὲ τὰ τῶν στοιχείων τῇ ψυχῇ, μάνωσις πύκνωσις θερμότης ψύξις κουφότης βαρύτης ἤ τι τῶν περὶ τὰ σώματα θεωρουμένων. καὶ ἄλλως εἰ τὰ στοιχεῖα μὲν ἀμεταβλητα κατ' Ἐμπεδοκλέα, μεταβάλλει δὲ ἡ ψυχὴ κατὰ γνῶσιν καὶ ἄγνοιαν ἀρετήν τε καὶ κακίαν, οὐκ ἂν εἴη ἐκ τῶν στοιχείων. ὑπερτίθεται δὲ τοὺς τοιούτους λόγους εἰς τὴν Περὶ ψυχῆς πραγματείαν εἰκότως.

p. 334ᵃ15 Περὶ δὲ τῶν στοιχείων ἐξ ὧν τὰ σώματα συνέστηκεν.

Συμπληρώσας τοὺς πρὸς Ἐμπεδοκλέα λόγους, καὶ ἅπασιν ἐπεξελθὼν 46 τοῖς τμήμασι τῆς προεκτεθείσης διαιρέσεως, καὶ τὰ μὲν ἄλλα ἐλέγξας

2 πρότερον. πρότερον τὸν αὐτὸν ἢ a: fort. ζεὶ τὸν αὐτὸν, ἢ τὸν αὐτὸν εἶναι κόσμον a 3 φησὶν εἶναι κόσμον λέγει sic Z: λέγοι τὸν κόσμον εἶναι φησὶ a 4 γινομένου Z 5 τοῦ] τὸ τοῦ R, qui mox φησὶ λέγοι 9 καὶ ταυτόν ἐστι a 10 διαλείμματα Z 12 ἃς] ὡς Z 18 Emped. vv. 333. 35 St. 321. 23 K. 19 ὅταν a 20 στοφγήν a: στέργον GRTZ 24 οὐδὲν δὲ GT 25 οὐδ' αἰσθητὰ ταῦτα tr. Z 27 εἰ] εἰς GT 28 κατὰ τὸν ἐμπεδοκλέα Z 33 στήγμασι GT¹: στίγμασι T² προεκτεθείσης] παρούσης a; cf. p. 237,20 sqq.

μόνον δὲ καταλιπὼν τὸ φάσκον τμῆμα τὰ τέσσαρα ἀρχὰς εἶναι ὡς μετα- 59v
βλητικά, πάλιν ἐπανιὼν εἰς τὴν περὶ αὐτῶν διδασκαλίαν φησὶν ὅτι ὅσοι
μεταβλητικὰ αὐτὰ ὑποτίθενται, ἀκολούθως καὶ κοινὴν ὕλην αὐτοῖς ὑπο-
κεῖσθαί φασιν, καὶ ἔμπαλιν ὅσοι κοινὴν ὕλην ὑπέθεντο, καὶ μεταβάλλειν 50
5 αὐτὰ εἰς ἄλληλα ἔφασαν· ἀκολουθεῖ γὰρ ἀλλήλοις τῷ λέγειν κοινὸν ὑπο-
κείμενον τὸ καὶ μεταβλητικὰ αὐτὰ φάσκειν, καὶ τῷ μεταβλητικὰ αὐτὰ
λέγοντι τὸ κοινὴν ὕλην ὑποτίθεσθαι. ὅσοι δὲ ἀμετάβλητα αὐτὰ ὑποτιθέ-
μενοί φασιν ἐξ αὐτῶν γίνεσθαι τἆλλα, ὥσπερ ἐκ λίθων καὶ ξύλων τοιῶσδε
συντεθέντων τὴν οἰκίαν, ἀτόποις περιπίπτουσι, μὴ δυνάμενοι εἰπεῖν πόθεν
10 τὸ τῆς σαρκὸς εἶδος ἢ τὸ τοῦ ὀστοῦ ἀποτετέλεσται ἢ τῶν ἄλλων ἑκάστου.
ἔχει δὲ τοῦτο, φησίν, ἀπορίαν καὶ πρὸς τοὺς μεταβλητικὰ | εἶναι αὐτὰ 60r
φάσκοντας. εἰπὼν δὲ τοῦτο, πρῶτον ἐκτίθεται πῶς οἱ ἀμετάβλητα τὰ
στοιχεῖα ὑποτιθέμενοι οὐ δύνανται σῴζειν τὴν τῶν συνθέτων γένεσιν. εἰ
γὰρ τὰ στοιχεῖα, φησίν, ἀμετάβλητα μείναντα καὶ μόνον ἀλλήλοις παρατε-
15 θέντα κατὰ τήνδε τὴν σύνθεσιν ἐποίησε τὴν σάρκα, ὥσπερ λίθοι καὶ πλίν-
θοι καὶ ξύλα τὴν οἰκίαν, οὐκ ἔσται ἐξ ὁτουοῦν μέρους τῆς σαρκὸς πῦρ καὶ
ὕδωρ γενέσθαι καὶ τἆλλα, ὥσπερ οὐδ' ἐξ ὁτουοῦν μέρους τῆς οἰκίας δυνα- 5
τὸν ἐκκρῖναι πάντα· οὐδὲ γὰρ ἐκ τῶν λίθων ἐκκριθεῖεν ἂν πλίνθοι καὶ
ξύλα. ὡσαύτως δὲ καὶ κατ' ἐκείνους οὐκ ἔσται ἔκκρισις πάντων ἐκ τῆς
20 σαρκός. νῦν δὲ τοῦτο ἐναργῶς, φησίν, ὁρῶμεν, ὅτι ἐξ ὁτουοῦν ⟨μέρους⟩
τῆς σαρκὸς καὶ τοῦ ὀστοῦ ἐκκρίνεται ὕδωρ καὶ γῆ καὶ τῶν ἄλλων ἕκαστον·
δυνατὸν γὰρ τὸ αὐτὸ σαρκίον καύσαντα ἐκπυρῶσαι ἢ ἐξαερῶσαι, καὶ σή-
ψαντα γῆν ποιῆσαι, καὶ διαλῦσαι δὲ δυνατὸν εἰς ὕδωρ ὑπὸ τῆς ὑγρᾶς
οὐσίας ἐπικρατούμενον. ὥστε ψευδὴς καὶ μαχομένη τοῖς φαινομένοις 10
25 αὐτῶν ἡ ὑπόθεσις. ἴσως δὲ πρὸς ταῦτα φαῖεν ἂν ἐκεῖνοι, ὅτι ἐκ πάσης
μὲν σαρκός φαμεν πάντα τὰ στοιχεῖα ἐκκρίνεσθαι, διότι σάρκα φαμὲν τὴν
σύνθεσιν τῶν πάντων, οὐ μὴν συγχωροῦμεν τὸ ἐξ ὁτουοῦν μέρους τῆς
σαρκὸς πάντα ἐκκρίνεσθαι. εἰ γὰρ καὶ κατὰ τὸ φαινόμενον δοκεῖ ἐξ ὁτουοῦν
μέρους αὐτῆς ἐκκρίνεσθαι πάντα, οὐκ ἔστιν ἀληθές. ἔστι γάρ τι ἐν αὐτῇ ὃ
30 μόνον ἐστὶ πῦρ καὶ ὃ μόνον ἐστὶν ὕδωρ, δοκεῖ δὲ τῇ αἰσθήσει ἐξ ὁτουοῦν πάντα
γίνεσθαι, διότι κατὰ λεπτὸν ἕκαστον τῶν τὴν σύνθεσιν ποιούντων δι' ὅλης
παρέσπαρται τῆς σαρκός, ὡς μὴ εἶναι λαβεῖν τῇ αἰσθήσει ἀποκεκριμένα αὐτὰ 15
ἐξ ἀλλήλων, ὡς ἐπὶ τῶν ξηρίων ἔχει τῶν ἐκ πολλῶν συμπεφορημένων,
τοῦ τετραείδου τυχὸν ἢ ἑξαείδου. οὕτω μὲν οὖν ἴσως ἐκεῖνοι ὑπεραπολο-
35 γούμενοι εἴποιεν. εἰ δέ τις λέγοι πρὸς αὐτοὺς ὅτι ἀναιροῦσι τὴν τῶν

---

1 τὰ τέσσαρα a: τὰς δ' GRT: τὰς τέσσαρας Z 1. 11 μεταβλητικά ubique scripsi pro librorum μεταβλητά 2 ὅσοι om. Z 5 τῷ] τὸ GRT 9 τεθέντων T¹ 10 ἄλλου Z ἕκαστον R 11 αὐτὰ εἶναι Z 16 ἐξ ὅτου νῦν R μέρος RZ 17 ἐξοτονῦν R, qui in proximis (v. 20) ἐξοτονοῦν et (v. 27 sqq.) ἐξοτοοῦν 20 φησὶν ἐναργῶς Z μέρους addidit a 25 φαῖον a 26 πάντα — φαμὲν om. GTa 28 καὶ superscr. R: om. a 29 τι om. (G)a 31 τὴν om. add. T² 32 ἀποκεκριμένα Z 33 τῶν alterum om. GT συμπεφωρημένων R 34 τετραείδους R ἑξαίδου, si recte enot., GT: ἐξ ἀϊδίου R; cf. p. 192,29 ἐκεῖνοι ἴσως GTa

ὁμοιομερῶν φύσιν μὴ λέγοντες πᾶν ὁτιοῦν μέρος τῆς σαρκὸς σάρκα εἶναι 60r
(τοῦτο γὰρ ὁμοιομερές, οὗ τὰ μέρη τῷ ὅλῳ ὅμοια καὶ ἀλλήλοις), φήσουσι
πρὸς αὐτὸν ὅτι καθόλου μὲν τὴν τῶν ὁμοιομερῶν φύσιν οὐκ ἀναιροῦμεν
(τὰ γὰρ τέσσαρα στοιχεῖα ὁμοιομερῆ φαμεν εἶναι), τὴν δὲ σάρκα καὶ τὸ 20
5 ὀστοῦν οὐ τιθέμεθα ὁμοιομερῆ ὑπάρχειν.

Οὕτως μὲν οὖν δείκνυσιν ἀδύνατον εἶναι ἐξ ἀμεταβλήτων ὄντων τῶν
στοιχείων ποιεῖν σάρκα καὶ ὀστοῦν καὶ τῶν ἄλλων ἕκαστον. φησὶ δὲ
ἄπορον εἶναι τὸν λόγον καὶ τοῖς μεταβάλλειν αὐτὰ λέγουσιν εἰς ἄλληλα, πῶς
ποτε ἅμα τὸ εἶδος τῆς σαρκὸς ἢ τοῦ ὀστοῦ ἢ τῶν ἄλλων τινὸς ὁμοιο-
10 μερῶν. εἰ γάρ φασι μὴ σῴζεσθαι αὐτὰ ἐν τῇ μίξει, ἤτοι ἑνὸς φθαρέντος
τῶν ἐναντίων, οἷον τοῦ πυρός, ἔσται τὸ πᾶν ὕδωρ, ἢ ἀμφοτέρων φθαρέν- 25
των ἡ ὕλη ὑπολειφθήσεται, ἐπειδὴ καί φασιν αὐτὸ τοῦτο τὸ σύνθετον μεταξὺ
εἶναι τῶν ἁπλῶν, καὶ δυνάμει μὲν πάντα ἐνεργείᾳ δὲ οὐδέν, ταῦτα δὲ
πάντα τῇ ὕλῃ ἁρμόζει ὀνομάζεσθαι· καὶ γὰρ μεταξὺ αὕτη καλεῖται, καὶ
15 δυνάμει μὲν πάντα ἐνεργείᾳ δὲ οὐδέν.

Τίθησι δὲ τὴν λύσιν τῆς φερομένης πρὸς τὴν οἰκείαν δόξαν ἀπορίας.
οἰκεία δὲ Ἀριστοτέλους δόξα τὸ μεταβάλλειν εἰς ἄλληλα τὰ στοιχεῖα, ἐπι-
λύεται δὲ φάσκων ἅπερ κἀν τῷ περὶ μίξεως λόγῳ εἴρηται πρότερον. ἐν
γὰρ τῷ συνθέτῳ εἰ καί φαμεν τὸ εἰλικρινὲς τοῦ πυρὸς εἶδος ἐφθάρθαι, 30
20 ἀλλ' οὐ τὸ θερμὸν παντελῶς λέγομεν ἐφθάρθαι· ἔτι γὰρ θερμὸν εἶναι
τὸ σύνθετον, εἰ καὶ μὴ εἰλικρινὲς πῦρ εἴη. οὐ γὰρ πᾶν θερμὸν πῦρ ἐστιν,
ἀλλ' ἔστι τὸ μὲν εἰλικρινὲς πῦρ ἄκρως θερμόν, τὸ δὲ σύνθετον οὐκ ἄκρως,
ἀλλ' ὡς πρὸς μὲν τὸ ἄκρως θερμόν, ψυχρόν, ὡς δὲ πρὸς τὸ ἄκρως ψυχρόν,
θερμόν. οὕτως δὲ κἀπὶ τοῦ ψυχροῦ ἐρεῖς, ὅτι τὸ μὲν ἄκρως ψυχρὸν
25 ἔφθαρται, καὶ οὐκέτι ἐστὶν ὕδωρ καθαρὸν ἐν τῷ συνθέτῳ πλὴν δυνάμει,
οὐ μέντοι παντελῶς ἔφθαρται· εἶναι γὰρ ἔτι ψυχρὸν ὡς πρὸς τὸ ἄκρως 35
θερμόν. ὥστε λέγοντες τοῦ θερμοῦ καὶ ψυχροῦ ἐφθάρθαι τὰς ἀκρότητας,
γίνεσθαι δὲ τὸ σύνθετον πρὸς μὲν τὸ ἄκρως θερμὸν ψυχρὸν ὑπάρχον, πρὸς
δὲ τὸ ἄκρως ψυχρὸν θερμόν, οὔτε σῴζεσθαι ἔτι φαμὲν τὰ ἄκρα ἐντελε-
30 χείᾳ οὔτε τὴν ὕλην εἰσάξομεν. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ ὑγροῦ καὶ ξηροῦ.
ἐνεργείᾳ μὲν γάρ φαμεν αὐτὸ ξηρὸν καὶ ὑγρὸν εἶναι. οὐκ ἄκρως, ἀλλ' ὡς
πρός τι, ξηρὸν μὲν ὡς πρὸς τὸ ἄκρως ὑγρόν, ὑγρὸν δὲ ὡς πρὸς τὸ ἄκρως
ξηρόν. πάλιν τε δυνάμει αὐτό φαμεν ξηρὸν εἶναι καὶ ὑγρόν, καὶ οὐκ ἐντε- 40
λεχείᾳ τὸ ἄκρως ξηρὸν καὶ ὑγρόν, διότι τὸ μὲν ἄκρως ξηρὸν καὶ ὑγρὸν
35 ἐν τοῖς στοιχείοις θεωρεῖται, ταῦτα δὲ ἔφθαρται καὶ οὐκ ἔστιν ἐν τῷ συν-

---

1 ὁμοίων Z 2 post γὰρ addit εἶναι R ὅμοια τῷ ὅλῳ Z 6 οὕτος μέντοι δείκνυσιν a 9 ἅμα] num ἔσται? σαρκὸς γίνεται ἢ a 10 φησὶ T φθαρέντων GRT 11 καὶ ἔσται a 12 ὑπολἠφθήσεται GR¹T¹ φησὶν libri praeter a τὸ R: om cett. τὸ μεταξὺ a 17 δὲ om. GT Ἀριστοτέλους om. GTa 22 ἄκρως θερμόν, τὸ δὲ RZ: ἄκρως θερμὸν ψυχρ (sic) GT: ἄκρως θερμόν. καὶ τὸ εἰλικρινὲς ὕδωρ ψυχρόν. τὸ δὲ a 23 μὲν τὸ ἄκρον θερμὸν a 24 οὕτω GZa 26 ἔτι om. GTa 27 τοῦ ψυχροῦ καὶ θερμοῦ a 31 γάρ om. GTa εἶναι καὶ ὑγρὸν Z 32 μὲν om. R 33 φαμεν εἶναι ξηρὸν Z 34 διότι — ὑγρὸν Z: om. GRTa

θέτῳ πλὴν δυνάμει· δυνάμει γὰρ ἐν τῷ συνθέτῳ ἐστὶ τὰ ἁπλᾶ καὶ οὐκ 60r
ἐντελεχείᾳ. ἀλλ' οὐ κατὰ τὸ πρῶτον δυνάμει, καθ' ὃ καὶ τὴν ὕλην φαμὲν
δυνάμει ἑκάτερον εἶναι τῶν ἐναντίων· ἡ μὲν γὰρ ὕλη παντελῶς ἐστέρηται
καὶ οὐδὲν ἔχει τοῦ πυρίου εἴδους ἢ τοῦ ὕδατος, ἃ λέγεται δυνάμει εἶναι,
5 τὸ δὲ σύνθετον εἰ καὶ μὴ εἰλικρινῶς, ὅμως ἔχει τὸ τοῦ πυρὸς εἶδος κεκο-
λασμένον, καὶ τὸ ὅλον τοῦτο πῦρ οὐ καθαρόν, ἀλλ', ὡς εἶπον, κεκολα- 45
σμένον. ἀλλ' ἆρα μὴ κατὰ τὸ δεύτερον σημαινόμενον τοῦ δυνάμει, καθ' ὃ
σημαινόμενον λέγεται δυνάμει οἰκοδόμος ὁ ἔχων τὴν ἐπιστήμην τὴν οἰκο-
δομικὴν καὶ τὴν ἕξιν, μὴ προχειριζόμενος δὲ ταύτην διά τι ἐμπόδιον, ἢ
10 καθεύδων ἢ ὅλης μὴ εὐπορῶν; ἀλλ' οὐδὲ κατὰ τοῦτο φαίνεται λέγεσθαι.
οὐ γὰρ ἔχομεν εἰπεῖν ὅτι τὸ σύνθετον ἔχει μὲν ἕξιν καὶ δύναμιν τοῦ εἰλι-
κρινοῦς πυρός, οὐ προχειρίζεται δὲ ταύτην· οὐ γὰρ ἔχει δύναμιν πυρός.
εἰ γὰρ εἶχε, καὶ ἐνήργει κατ' αὐτὴν ὅλης παρούσης· νῦν δὲ οὐχ ὁρᾶται
ἐνεργοῦν. ἔστιν οὖν καὶ ἕτερόν τι τοῦ δυνάμει σημαινόμενον παρὰ τὰ 50
15 συνήθη ταῦτα, οὗ φαίνεται καὶ ὁ Ἀριστοτέλης ἐν τῷ ἑβδόμῳ τῆς Φυσικῆς
μεμνημένος. ὅτι γάρ ἐστι καὶ ἕτερον τοῦ δυνάμει σημαινόμενον δῆλον
ἐντεῦθεν· τὸ μὲν γὰρ κατὰ τὴν ἐπιτηδειότητα καὶ τὸ κατὰ τὴν ἕξιν ἄκρα
ἐστί, τὸ δὲ μεταξὺ τούτων ἅπαν, οἷον ἡ ἐν τῇ γενέσει τῆς οἰκίας μετα-
βολή, ἕτερον. οὐδὲ γὰρ οὕτως ἐστὶν ἡ οἰκοδομουμένη οἰκία δυνάμει ὡς
20 οἱ λίθοι εἰσὶ καὶ τὰ ξύλα δυνάμει οἰκία, οὐδὲ ὡς τὸ σπέρμα δυνάμει ἄν-
θρωπος οὕτω καὶ τὸ γινόμενον ἔμβρυον, οὐδὲ ὡς | ὁ ἀρτιγενὴς παῖς 60v
δυνάμει ἐστὶ γραμματικὸς οὕτως καὶ ὁ καιρὸν τῆς μαθήσεως ἔχων, ἀλλ'
οὐδὲ οὗτος ὡς ⟨ὁ⟩ ἤδη λοιπὸν διδασκόμενος. καὶ ἐν αὐτῷ τούτῳ τὸ
πλάτος πολύ· τὸ μὲν γὰρ ἐγγύτερον τοῦ εἴδους, τὸ δὲ πορρώτερον.
25 Τοῦτο μὲν οὖν προφανές, ἐκεῖνο δὲ πάλιν ἰστέον ὅπερ ἐπιστάσεώς
ἐστιν ἄξιον. ἴσως γάρ τις ἐρεῖ ὅτι εἰ λέγομεν τὸ εἰλικρινὲς θερμὸν ὡς
μὲν θερμὸν μὴ ἐφθάρθαι ὡς δὲ εἰλικρινὲς θερμὸν ἐφθάρθαι, οὐκέτι δυνά- 5
μεθα καὶ τὸ πῦρ λέγειν ὡς μὲν εἰλικρινὲς πῦρ ἐφθάρθαι ὡς δὲ πῦρ ἁπλῶς
μὴ ἐφθάρθαι. εἰ γὰρ τὸ πῦρ ᾗ πῦρ ἐστι κατὰ τὸ ἄκρον καὶ εἰλικρινὲς
30 θερμὸν θεωρεῖται (οὐ γάρ ἐστι τὸ πῦρ ᾗ πῦρ πρὸς ἄλλο μὲν θερμὸν
πρὸς ἄλλο δὲ ψυχρόν, ἀλλ' ἄκρως θερμόν), εἰ τοίνυν λέγεις τὸ ἄκρον
θερμὸν ὡς ἄκρον θερμὸν ἐφθάρθαι, ἔστι δὲ τὸ πῦρ ᾗ πῦρ ἄκρον θερμόν,
δῆλον ὅτι τὸ πῦρ ᾗ πῦρ ἐστιν ἔφθαρται ἐν τῷ συνθέτῳ· καὶ ἔσται ἀλη-
θὲς τὸ λέγειν τὸ μὲν πῦρ ᾗ πῦρ ἐστι καθάπαξ ἐφθάρθαι, τὸ δὲ θερμὸν 10
35 ᾗ μὲν θερμὸν ἁπλῶς μὴ ἐφθάρθαι, ᾗ δὲ ἄκρον θερμὸν ἐφθάρθαι. καὶ

---

1 τὰ ἁπλᾶ om. a 2 κατὰ τὸ πρῶτον] κατὰ τρόπον GT: κατ' ἐκεῖνον τὸν τρόπον cf mox καθ' ὅν a 7 ἄρα libri 8 ὁ οἰκοδόμος ὁ a 9 ἐμποδὼν Z 10 οὐδὲ a: οὔτε cett. 13 ἠνήργει ἂν a, et sane ἂν librarii omiserint 15 οὗ] οὐ (G)a ὁ om. Za ἑβδόμῳ] τρίτῳ a; respici videtur Phys. II 3 p. 245b9 sqq.

16 σημαινομένου GRT δηλοῖ T 22 οὕτω a 23 οὗτος] οὕτ (sed ε ex corr.) R ὁ addidit a 25 ἐπιτάσεώς GRT¹ 27 μὴ ἐφθάρθαι (post εἰλ. θερμὸν) Z 31. 32 λέγεις τὸ ἄκρως θερμὸν Za 32 διεφθάρθαι Z 33 ἔσται] ἔστιν GTa 34 τὸ (ante μὲν) om. T δὲ om. T

τοῦτο εὐλόγως. οὐ γὰρ ταὐτὸν θερμὸν εἰπεῖν καὶ πῦρ· οὐ γὰρ εἴ τι θερμόν, 60ᵛ τοῦτο πῦρ ἐστιν, ἀλλ' εἴ τι ἄκρως θερμόν, τοῦτό ἐστι πῦρ, καὶ εἴ τι πῦρ ἐστι, τοῦτο ἄκρως ἐστὶ θερμόν. εἰ δὲ καθάπαξ τὸ πῦρ ᾗ πῦρ ἔφθαρται, δῆλον ὅτι τὸ σύνθετον δυνάμει ἔσται πῦρ κατὰ τὸ πρῶτον σημαινό-
5 μενον τοῦ δυνάμει, καθ' ὃ καὶ τὴν ὕλην φαμὲν δυνάμει εἶναι πῦρ· οὐδὲν γὰρ τοῦ πυρὸς καθ' ὃ πῦρ ἐστιν ἔχει τὸ σύνθετον. ἐπὶ μέντοι τοῦ θερμοῦ σῴζεται ἀληθῆ τὰ προειρημένα. ἐπειδὴ γὰρ ὡς μὲν ἄκρον θερμὸν ἔφθαρται ὡς δὲ ἁπλῶς θερμὸν οὐκ ἔφθαρται, εὔλογον μὴ κατὰ τὸ πρῶτον σημαινόμενον τοῦ δυνάμει λέγεσθαι τὸ σύνθετον δυνάμει εἶναι ἄκρως θερμόν, ἀλλὰ
10 λεχθήσεται κατὰ τὰ ἀνωτέρω διωρισμένα.

Ταῦτα μὲν ἐπὶ τοσοῦτον εἰρήσθω πέρα τῆς προκειμένης θεωρίας μηκυνθέντα, ἐπανιτέον δὲ ἐπὶ τὸ ἐξ ἀρχῆς. δείξας γὰρ ὅτι οὐκ ἀναγκάζεται τὴν ὕλην εἰσαγαγεῖν ἐκ τοῦ λέγειν μηδέτερον τῶν ἄκρων σῴζεσθαι ἐν τῷ συνθέτῳ, διότι, φησί, τὰ ἄκρα τὰς ὑπεροχὰς ἀπολέσαντα ἐν τῇ
15 μίξει μέσον τι ἀμφοῖν τῶν ἄκρων ἀποτελοῦσιν, ἵνα μή τις εἴπῃ ὅτι 'εἰ ἀεὶ ἐν τῇ μίξει μέσον τι τῶν ἄκρων ἀποτελεῖται, πόθεν ἡ τοσαύτη διαφορὰ τῶν συνθέτων, σαρκὸς καὶ ὀστοῦ καὶ μυελοῦ καὶ τῶν ἄλλων;', αὐτῷ τούτῳ ἐφιστάνει καὶ τοῦ εἶναι διαφορὰς ἐν τοῖς συνθέτοις τὴν αἰτίαν ἀποδίδωσιν ἐκ τῆς διαφόρου μίξεως. εἰ γὰρ καὶ ἕκαστον τῶν συνθέτων πάν-
20 των μετέχει, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν λόγον, ἀλλὰ τὰ μὲν μᾶλλον θερμοῦ μετέχει τὰ δὲ μᾶλλον ψυχροῦ. κἀκεῖθεν καὶ τὰ σύνθετα, εἰ καὶ πάντα δυνάμει ἐστὶ τὰ ἄκρα, ἀλλὰ τὸ μὲν μᾶλλόν ἐστι δυνάμει θερμὸν τὸ δὲ ἧττον· μᾶλλον γὰρ δυνάμει θερμὸν ὅπερ ῥᾴδιον μεταβάλλει, ἧττον δ' ὅπερ βραδύτερον, ῥᾷον δὲ εἰς πῦρ μεταβάλλει τὸ μᾶλλον πυρὸς μετέχον, βραδύ-
25 τερον δὲ τὸ ἐλάττονος μετέχον πυρός. εἰδέναι γὰρ χρὴ ὅτι εἰ καὶ λέγομεν μὴ ἐξισαζόντων μὲν τῶν στοιχείων τὴν εἰς ἄλληλα αὐτῶν γίνεσθαι μεταβολήν, κρατουμένων τῶν ἀσθενεστέρων κατὰ τὰς δυνάμεις καὶ μεταβαλλόντων εἰς τὴν τῶν ἰσχυροτέρων φύσιν ὡς πάντα πῦρ γενέσθαι ἢ ὕδωρ, ἰσαζόντων δὲ τὰ σύνθετα ἀποτελεῖσθαι, οὐ τὴν ἀκριβῆ ἰσότητα λαμβά-
30 νομεν. ὡσαύτως δὲ οὐδ' ὅταν ἐν τῷ συνθέτῳ φαμὲν τὰ ἄκρα μέσον τι ἀποτελεῖν, τὸ ἄτοπον λαμβάνομεν καὶ ἀδιαίρετον, οἷόν ἐστι τὸ ἀκριβὲς μέσον, ἀλλὰ τὸ εἰς πολλὰ διαιρούμενον καὶ πολλὰς ἔχον διαφορὰς παρὰ τὸ μᾶλλον καὶ ἧττον.

---

3. 4 ἐφθάρθαι a 4 ἔσται om. GTa 5 καὶ om. GTa 11 μὲν οὖν Z 13 εἰσάγειν a μὴ δεύτερον GT 15 εἴποι Z 20 τὰ] τὸ a 22 δυνάμει (priore loco) RZ: δύναται GT: δυνατά a 22. 23 τὸ δὲ ἧττον—θερμὸν Z: om. GTa: τὸ δὲ ἧττον (omissis μᾶλλον γὰρ—ἧττον δ') R 23 ῥᾴδιως a: immo ῥᾷον 25 γὰρ RZ: om. GT: δὲ a 28 γίνεσθαι Ta

p. 334a16 Ὅσοις μὲν δοκεῖ εἶναι τὸ κοινὸν ἢ μεταβάλλειν εἰς 60v
ἄλληλα, ἀνάγκη εἰ θάτερον τούτων, καὶ θάτερον συμβαίνειν.

Εἴτε γὰρ ὕλην τις ὑπόθοιτο, πάντως καὶ περὶ ταύτην τὰ στοιχεῖα μεταβαλεῖ, ἐπεὶ μάτην τὸ κοινὸν ὑποκείμενον· εἴτε τὰ στοιχεῖα εἰς ἄλληλα 35
5 μεταβάλλει, ἕξει τι πάντως κοινὸν ὑποκείμενον, περὶ ὃ τὴν εἰς ἄλληλα ποιεῖται μεταβολήν. ἡ γὰρ τῶν ἐναντίων μάχη περί τινος ἀμφοῖν κοινοῦ γίνεται, τοῦτο κρατεῖν ἑκατέρου τῶν ἐναντίων ἐθέλοντος.

p. 334a18 Ὅσοι δὲ μὴ ποιοῦσιν ἐξ ἀλλήλων γένεσιν μηδ' ὡς ἐξ ἑκάστου, πλὴν ὡς ἐκ τοίχου πλίνθους.

10 Ὅσοι, φησί, μὴ λέγουσιν ἐξ ἀλλήλων γένεσιν ἔχειν τὰ στοιχεῖα, ἐξ 51
ἀλλήλων δὲ οὕτως ὡς ἐξ ἑκάστου ἕκαστον γίνεσθαι, ἀλλ' ἐκκρίνεσθαι αὐτὰ ἐνυπάρχοντα ἐνεργείᾳ, ὡς ἐκ τοίχου πλίνθους, οὗτοι, φησίν, οὐ δύνανται σάρκα καὶ ὀστοῦν ἐξ αὐτῶν ποιεῖν, δι' ἃ ἐπιφέρει ἄτοπα ἐφεξῆς.

p. 334a21 Ἔχει δὲ τὸ λεγόμενον ἀπορίαν καὶ τοῖς ἐξ ἀλλήλων
15 ⟨γεννῶσιν⟩.

Καὶ οἱ μεταβλητικὰ φάσκοντες, φησίν, εἶναι τὰ στοιχεῖα καὶ λέγοντες πῦρ καὶ ὕδωρ ἐξ ἀλλήλων γίνεσθαι διὰ τὸ κοινὸν ὑπο|κείμενον, ἐξ ἀμφοῖν 61r
δὲ συνελθόντων ὀστοῦν γίνεσθαι καὶ νεῦρον καὶ τὰ λοιπά, καὶ αὐτοὶ ἀπορήσουσι πῶς ποτε χρὴ λέγειν ἐκ τῶν ἁπλῶν μεταβαλλόντων γίνεσθαι
20 σάρκα καὶ ὀστοῦν καὶ νεῦρον καὶ τῶν ἄλλων ἕκαστον. τὰ μὲν γὰρ ἁπλᾶ, φησίν, ἔστω γίνεσθαι ἐξ ἀλλήλων· πῶς δὲ ἐκ τῶν ἁπλῶν συνιόντων τὰ σύνθετα, οὐκ εὐμαρὲς ἀποδοῦναι. εἶτα τοῦτο εἰπὼν πρῶτον ἐκτίθεται τὰ ἑπόμενα ἄτοπα τοῖς ἀμετάβλητα αὐτὰ ὑποτιθεμένοις, καὶ οὕτω τίθησι καὶ 5
τὰς φερομένας ἐνστάσεις πρὸς τοὺς μεταβλητικὰ εἶναι φάσκοντας.

25 p. 334a32 Ὥσπερ ἐκ κηροῦ γένοιτο ἂν ἐκ μὲν τουδὶ τοῦ μέρους σφαῖρα, πυραμὶς δὲ ἐξ ἄλλου.

Εἰπὼν τὸ ἑπόμενον ἄτοπον τοῖς φάσκουσι τὰ στοιχεῖα ἀμετάβλητα μένοντα κατά τινα σύνθεσιν ποιεῖν σάρκα καὶ ὀστοῦν, τὸ μὴ δύνασθαι αὐτοὺς ἐξ ὁτουοῦν μέρους τῆς σαρκὸς ποιεῖν πῦρ καὶ γῆν καὶ τἆλλα, ἐκ

---

1. 3 lemm. om. pergit εἴτε οὖν φησιν ὕλη (sic, non ὕλην, etiam GT) τις a 1 τὸ κοινὸν] cf. Ar. 2 συμβαίνειν Ar.: συμβαίνει GRTZ: an legit ἀνάγκη Philoponus ? 3 ὑποθοῖτο G¹R: ὑπόθειτο T² 4 μεταβάλλει a ὑποκείμενον ἂν ἦν a 7 τοῦτο] τὸ a 8 γένεσιν ἔχειν R¹ 14. 16 lemm. om. pergit καὶ οἱ μεταβλητὰ δὲ φάσκοντές a 15 γεννῶσιν addidi 16 μεταβλητὰ libri 18 νεῦρα GT 21 συνόντων R 25. 27 om. lemm. pergit εἰπὼν δὲ τὸ ἑπόμενον a 28 τὸ] τῷ Z

τοῦ παραδείγματος τοῦ ἐπὶ τοῦ κηροῦ σαφηνίζει πῶς ποτέ φησι τὸ ἐξ 61r
ὁτουοῦν πάντα γίνεσθαι. ὥσπερ γὰρ ἐπὶ τοῦ κηροῦ, εἰ καὶ λάβωμεν τόδε
μὲν τὸ μέρος σφαῖραν ποιοῦν τόδε δὲ πυραμίδα, ὅμως ἐνεδέχετο κἀκ τοῦ 10
τὴν πυραμίδα ποιήσαντος σφαῖραν γενέσθαι, κἂν μὴ ἐγένετο, κἀκ τοῦ τὴν
5 σφαῖραν πυραμίδα, κατὰ τὸν αὐτὸν τρόπον, φησί, τοῦτο δὴ τὸ ἐξ ὁτουοῦν
μορίου ἄμφω γενέσθαι κἀπὶ τῆς σαρκὸς συμβαίνει. εἰ γὰρ κἀκ τοῦδε μὲν
τοῦ μορίου τῆς σαρκὸς ὕδωρ γίνοιτο ἐξ ἄλλου δὲ πῦρ, ὅμως δυνατὸν ἐξ
ἑκατέρου μορίου τῆς σαρκὸς ὁμοίως καὶ ὕδωρ γενέσθαι καὶ πῦρ· τὸ γὰρ
μεταβάλλον εἰς πῦρ ἐδύνατο καὶ εἰς ἀέρα μεταβαλεῖν, ὅπερ ἐκεῖνοι μὲν 15
10 οὐ δύνανται ὑποθέσθαι, φαίνεται δὲ οὕτως ἔχον.

p. 334b4 Εἰ γάρ ἐστιν ἡ σὰρξ ἐξ ἀμφοῖν καὶ μηδέτερον ἐκείνων.

Νῦν τὴν φερομένην ἀπορίαν πρὸς τοὺς μεταβλητικὰ εἶναι λέγοντας 22
τὰ στοιχεῖα ἐκτίθεται. εἰ γὰρ λέγουσι τὴν σάρκα, φησίν, ἐξ ἀμφοτέρων
εἶναι, μηδετέρῳ τῶν ἐξ ὧν ἐστι τὴν αὐτὴν οὖσαν, μὴ μὴν μηδὲ σύν-
15 θεσιν αὐτῶν σῳζομένων καὶ ἀμεταβλήτων μενόντων, λείπεται μηδὲν εἶναι
τὸ ἐξ ἐκείνων γενόμενον πλὴν τὴν ὕλην· φθαρέντος γὰρ τοῦ ἐναντίου ἢ τὸ 25
ἐναντίον γενήσεται ἢ ὕλη. εἰ οὖν μήτε ἄμφω λέγουσι σῴζεσθαι μηδὲ τὸ
ἕτερον, ὕλη ἔσται.

p. 334b8 Ἆρα οὖν ἐπειδή ἐστι καὶ μᾶλλον καὶ ἧττον θερμὸν καὶ
20 ψυχρόν.

Νῦν λύει τὴν πρὸς τὴν οἰκείαν δόξαν ἐνεχθεῖσαν ἀπορίαν. ἔστι δὲ ὃ
βούλεται εἰπεῖν τοῦτο. ἐπειδή ἐστι τὸ θερμὸν καὶ ψυχρὸν τὸ μὲν κατὰ
τὸ μᾶλλον καὶ ἧττον λεγόμενον, ὃ καὶ πρὸς ἕτερον λέγομεν θερμὸν εἶναι
καὶ ψυχρόν, τὸ δὲ ὡς ἄκρον καὶ ἁπλῶς λέγεται καὶ ἄνευ προσθήκης
25 θερμόν, μὴ παραβαλλόμενον ἑτέρῳ· ὅταν μὲν ἁπλῶς ᾖ θερμὸν ἢ ψυχρὸν
ἐνεργείᾳ, δυνάμει ἐστὶ τὸ ἐναντίον, ὅταν δὲ μὴ τὸ ἁπλῶς ᾖ θερμὸν ἀλλὰ 30
τὸ πρὸς ἕτερον (ὅπερ ὡς μὲν πρὸς τὸ ἄκρως θερμὸν ψυχρόν ἐστιν, ὡς δὲ
πρὸς τὸ ψυχρὸν θερμόν, διὰ τὸ τὰς ὑπεροχὰς τῶν ἄκρων ἐν τῇ μίξει
κολάζεσθαι), τότε, φησίν, οὔτε τὸ ἕτερον τῶν ἐναντίων ἐνεργείᾳ ἔσται,
30 ἀλλὰ δυνάμει ἀμφότερα, οὔτε ἡ ὕλη εἰσάγεται· φθαρεισῶν γὰρ τῶν ἐν
τοῖς ἄκροις ὑπεροχῶν ἄλλο τι εἶδος μέσον ἐπιγίνεται. εἰ δέ τις ζητεῖ
πῶς τοῦτο τὸ μικτὸν δυνάμει ἑκάτερον τῶν ἐναντίων λέγομεν καὶ μεταξύ

---

2 λάβοιμεν T²a 4 κἂν εἰ μὴ a 6. 7 τοῦδε μὲν et μορίου om. Z 9 μεταβαλὸν Z ἠδύνατο Z μεταβαλλεῖν GT¹ 12 μεταβλητὰ libri 14 μήτε μὴν a: μὴ μὴν om. F μὴ δὲ GRTZ: κατὰ τὴν a 17 ἢ ἡ ὕλη GTa μηδὲ] μήτε fort. recte Z 18 ὕλη ἔσται om. add. T² 19. 21 lemm. om. pergit ταῦτα δὲ εἰπὼν, λύει τὴν a 22 ἐπεὶ Z 22. 24 κατὰ — τὸ δὲ addidi ex F: om. cett. 24 fort. λεγόμενον 25 ὅταν μέντοι a ἢ Za: ἢ cett. 26 ᾖ] ἢ R 27 ὡς δὲ] εἰ δὲ R 31 ἐπιγίνεται μέσον R

(ταύτας γὰρ τῇ ὕλῃ προσήκειν τὰς προσηγορίας), ἴστω ὅτι εἰ καὶ δυνάμει 61r
ἐστὶν ἑκάτερον τῶν ἄκρων καὶ ἐναντίων, οὐχὶ δὴ ὕλη ἔσται ἡ κυρίως
πρώτη καὶ ἀνείδεος. καὶ γὰρ καὶ τὸ πῦρ λέγομεν δυνάμει ὕδωρ, οὐχ ὡς 36
τοῦ πυρὸς ὕλης ὄντος τῆς ἁπλῆς καὶ κυρίως λεγομένης ὕλης, ὅπερ βού-
5 λονται οἱ ἀποροῦντες· εἰδοπεποίηται γὰρ τὸ πῦρ. ἄλλως τε καὶ διώρισται
πρότερον κατὰ ποῖον μὲν σημαινόμενον λέγεται ἡ ὕλη δυνάμει ἑκάτερον
τῶν ἐναντίων, κατὰ ποῖον δὲ τὸ σύνθετον δυνάμει ἐστὶ τὰ ἁπλᾶ· καὶ
ἁπλῶς δὲ ὁ Ἀριστοτέλης ἐφεξῆς τοῦτο διορίζει.

p. 334ᵇ14 Κατὰ δὲ τὸ δυνάμει μᾶλλον εἶναι θερμὸν ἢ ψυχρὸν ἢ 40
10 τοὐναντίον.

Ἐπειδὴ εἶπεν ἐκ τῆς μίξεως γίνεσθαί τι μεταξὺ τῶν ἄκρων, ἐπειδὴ
τοῦτο τὸ μεταξὺ οὐκ ἔστιν ἄτομον ἀλλ' ἔχει διαφοράς, τοῦτο αὐτὸ ἐπισή-
μαίνεται τὴν αἰτίαν λέγων. καθ' ὃ γάρ, φησί, λέγεταί τι δυνάμει ⟨μᾶλλον⟩
εἶναι θερμὸν ἤπερ ψυχρὸν καὶ ἔχειν ὑπερέχον τὸ θερμόν, καὶ μᾶλλον 45
15 εἶναι ψυχρὸν ἤπερ θερμόν, κατὰ τοῦτον αὐτὸν τὸν λόγον τῆς ὑπεροχῆς
ἤτοι διπλασίως ἔσται θερμὸν ἢ τριπλασίως· ἡ γὰρ ὑπεροχὴ ἐν λόγῳ
πάντως ἔσται ἢ διπλασίῳ ἢ ἡμιολίῳ ἢ τριπλασίῳ ἢ τοιούτῳ τινί. τοῦτο
δὲ εἰπὼν διὰ μέσου, ἐφεξῆς φησιν ὅτι κἀκ τῶν ἁπλῶν καὶ ἐναντίων μιχ-
θέντων ἔσται τὰ σύνθετα. τἆλλα γὰρ εἶπεν ἀντὶ τοῦ τὰ σύνθετα, καὶ τὰ
20 στοιχεῖα πάλιν τὰ ἁπλᾶ, ἐξ ἐκείνων τῶν συνθέτων, δυνάμει ὄντων
ὅπερ ἐστὶ τὰ ἁπλᾶ. εἰπὼν δὲ ἐκ τῶν ἐναντίων προσέθηκεν ἢ τῶν 50
στοιχείων, διότι ἐναντία ἐστὶν οὐκ αὐτὰ τὰ στοιχεῖα, οἷον τὸ πῦρ τῷ
ὕδατι, ἀλλὰ καθ' ἃ εἰδοποιοῦνται, εἰδοποιοῦνται δὲ κατὰ τὸ θερμὸν καὶ
ψυχρὸν καὶ ὑγρὸν καὶ ξηρόν, ἃ καὶ ἔστι κυρίως ἐναντία· ταῦτα δὲ οὐδὲ
25 ἔστιν ἄνευ ὑποκειμένου τινὸς οὔτε μίγνυται. εἰκότως οὖν ἐπήγαγε τὸ ἢ
⟨τῶν⟩ στοιχείων· ἐκ τούτων γὰρ ἡ μίξις. ἴσως δὲ δυνατὸν καὶ τὸ ἢ
κατ' ἄλλον τρόπον τοιοῦτον συνάψαι τῷ ἔσται δὴ μιχθέντων τὰ
ἄλλα ἐκ τῶν ἐναντίων. |

p. 334ᵇ18 Οὐχ οὕτως δὲ ὡς ἡ ὕλη, ἀλλὰ τὸν εἰρημένον τρόπον· 61v
30 καὶ ἔστι τοῦτο μὲν μίξις, ἐκείνως δὲ ὕλη τὸ γινόμενον.

Εἰπὼν ὅτι τὰ ἁπλᾶ ἐκ τῶν συνθέτων γίνεται δυνάμει ὄντων ὅπερ

---

1 γὰρ om. R 2 οὐχὶ δὴ R: οὐχ ἡ Z: οὐχ ἤδη, si recte enot., GT: οὐκ ἤδη a
6. 7 ποιὸν utrobique R 11 εἶπεν om. Z 11. 12 ἐπειδὴ τοῦτο] ἐπειδὴ τοῦτο τοῦτο
T: τοῦτο δὲ a 12 ἄτοπον GT 13 τι] τε T μᾶλλον addidi 14. 15 ἤπερ
utrobique] ἢ a 14 ὑπεροχὴν a 14. 15 καὶ μᾶλλον — ἤπερ θερμόν om. Z
18 κἀκ] ἐκ a 19 τὰ (post τοῦ) om. R 20 distinxi ante ἐξ ἐκείνων
20. 21 δυνάμει — ἁπλᾶ om. a 20 post ὄντων iterat τῶν συνθέτων Z: verba δυνάμει
ὄντων om. GT 25 οὔτε] fort. οὐδὲ 26 τῶν addidit a στοιχείων Ra:
στοιχεῖον GTZ ἡ om. GT 27 δὴ RZ: δῆθεν GT: ὡς δῆθεν ἄλλα μὲν ἐκ τῶν
μιχθέντων εἶναι. ἀλλὰ (sic) δὲ ἐκ τῶν ἐναντίων refinxit a 29 οὕτω Za ἡ om. GRT
30 ἔστι τοῦτο RZ (Ar. cod. II): ἔστιν οὕτως (οὕτω a) GTa; at cf. p. 276,28 ἡ ὕλη GT

τὰ ἁπλᾶ, ἐπιφέρει λέγων ὅτι οὐχ οὕτως ἐστὶ τὰ σύνθετα δυνάμει τὰ ἁπλᾶ 61v
ὥσπερ ἡ ὕλη. τίς οὖν ἡ διαφορά; ὅτι ἡ μὲν ὕλη δυνάμει λέγεται εἶναι 5
τὰ στοιχεῖα αὐτὴ καθ' ἑαυτὴν μὴ ὑφεστηκυῖα, τὸ δὲ σύνθετον εἰδοπεποιη-
μένον ὑπάρχον καὶ ἐνεργείᾳ ὂν ἄλλο τι παρὰ τὰ ἁπλᾶ δυνάμει λέγεται
5 εἶναι τὰ ἁπλᾶ. ὥστε καθ' ἡμᾶς μὲν καὶ τὸν ἡμέτερον λόγον ἐκ τῶν
ἁπλῶν στοιχείων φθαρείσης τῆς ἐν ἑκατέρῳ ὑπεροχῆς μίξις ἐστὶ τὸ γινό-
μενον, κατὰ δὲ τοὺς ἀποροῦντας καὶ λέγοντας παντελῶς φθείρεσθαι ἐν τῷ
συνθέτῳ τὰ εἴδη τῶν στοιχείων ὕλη ἐστὶν ἀνείδεος τὸ ἀποτελούμενον.
ὥστε εἰ καὶ καθ' ἡμᾶς καὶ καθὼς ἡ ἀπορία ἐβούλετο τὸ ἀποτελούμενον 10
10 δυνάμει ἐστὶ τὰ ἁπλᾶ, ἀλλ' οὐ τὸ αὐτό ἐστι τοῦτο, ἀλλ' ὡς μὲν ἡμεῖς
λέγομεν μίξις, ὡς δὲ ἐκεῖνοι ὕλη τὸ γινόμενον. προσφυέστερον δὲ ἴσως τὸ
'οὐχ οὕτως τὸ σύνθετον δυνάμει ἐστὶ τὰ ἁπλᾶ ὡς ἡ ὕλη' ἐξηγήσεταί τις
λέγων ταύτην τὴν διαφορὰν τῶν σημαινομένων, ἣν καὶ ἄνω προειρήκαμεν
κατὰ τὴν θεωρίαν. ἡ δὲ διαφορὰ αὕτη ἐστίν, ὅτι ἡ μὲν ὕλη δυνάμει λέγε-
15 ται εἶναι τὰ ἁπλᾶ μηδὲν ἴχνος ἔχουσα τοῦ εἴδους αὐτῶν, ὅπερ ἐστὶ τὸ
πρῶτον σημαινόμενον τοῦ δυνάμει, τὸ δὲ σύνθετον οὐχ οὕτως· ἔχει γὰρ 15
τοῦτό τι τοῦ εἴδους τῶν ἁπλῶν, εἰ καὶ τὸ εἰλικρινὲς αὐτῶν ἔφθαρται,
ὅπερ οὐ δύναται εἶναι κατὰ τὸ πρῶτον σημαινόμενον τοῦ δυνάμει. καὶ
χρὴ ἐκεῖνο ἐπισημαίνεσθαι ὡς, ἐὰν τοῦτο λέγῃ ὁ Ἀριστοτέλης ὅτι οὐ κατὰ
20 τὸ αὐτὸ σημαινόμενον τοῦ δυνάμει ἥ τε ὕλη δυνάμει λέγεται εἶναι τὰ ἁπλᾶ
καὶ τὰ σύνθετα, ἐξ ἀνάγκης τὸ πῦρ καὶ τἆλλα οὐκ οἴεται καθὸ πῦρ τελέως
ἐφθάρθαι ἐν τῷ συνθέτῳ, ἀλλὰ καθὸ εἰλικρινὲς πῦρ, τῷ δὲ πρὸς ἕτερον
θερμῷ τὸ κεκολασμένον πῦρ ταὐτόν. προσφυέστερον δὲ εἰρήκαμεν ταύτην 20
τὴν νῦν εἰρημένην ἐξήγησιν, διότι τὸ λέγειν τὸ μὲν σύνθετον ἐνεργείᾳ
25 ὑπάρχειν καὶ αὐθυπόστατον εἶναι, τὴν δὲ ὕλην μηκέτι, οὐκ ἔστι διαφορὰν
ἀποδεδωκέναι τῆς κατὰ τὸ δυνάμει σημασίας, ὅπερ αἰνίττεται ὁ Ἀριστο-
τέλης λέγων μὴ κατὰ τὸν αὐτὸν τρόπον τὸ σύνθετον καὶ τὴν ὕλην λέγεσθαι
δυνάμει εἶναι τὰ ἁπλᾶ. τὸ δὲ τοῦτο μὲν μίξις, ἐκεῖνος δὲ ὕλη τὸ
γινόμενον ὡσαύτως νοητέον κατὰ ἀμφοτέρας τὰς ἐξηγήσεις, ὡς προειρή-
30 καμεν.

p. 334b20 Ἐπειδὴ καὶ πάσχει τὰ ἐναντία κατὰ τὸν ἐν τοῖς πρώ- 25
τοις διορισμόν.

Τὸ μὲν προκείμενον αὐτῷ ἐστι διδάξαι πότε μὲν ἐξ ἀλλήλων τὰ στοι- 32
χεῖα κατὰ μεταβολὴν γίνεται, πότε δὲ τὰ σύνθετα ἀποτελεῖται, ὅτι ἡνίκα

---

3 καθ' αὑτὴν a ἐφεστηκυῖα GT 3. 4 εἰδοπεημένον R 9 post ἀποτελούμενον iteraverat ὥστε εἰ — ἐβούλετο R¹ 10. 11 μὲν ἡ μίξις ἡμεῖς λέγωμεν (λέγομεν T²) GT: μὲν ἡμεῖς λέγομεν ἡ μίξις a 11 δὲ alt. om. R ἴσως om. Z 12 οὕτω a 19 ἐπισημήνασθαι a 20 εἴτε ὕλη GT τὰ ἁπλᾶ εἶναι Z 21 καὶ τὰ om. GT οὐχ GT¹ 22 τῷ δὲ] καὶ τῷ a 23 fort. προσφυεστέραν 25 οὐκ ἔστι δὲ R 28 τὸν δὲ GT¹ τοῦτο] οὕτω a ἐκεῖνο R 29 γιγνόμενον a 31 Ἐπεὶ δὲ a Arist. τἀναντία RT

μὲν ὑπερέχει τὸ ἕτερον τοῦ ἑτέρου ἐπὶ πλεῖον, μεταβάλλει τὸ ἔλαττον ὑπὸ 61ᵛ τοῦ πλείονος κρατούμενον καὶ γίνεται τὸ πᾶν οἷον ἐκεῖνο, ὅταν δὲ ἰσάζῃ τἀναντία, τηνικαῦτα τὸ σύνθετον ἀποτελεῖται ἑκατέρου εἰς τὸ ἕτερον δρῶντος καὶ πάσχοντος, ὡς φθαρῆναι μὲν τὰς ὑπερβολὰς γενέσθαι δὲ μέσον τι. ἡ μὲν διάνοια αὕτη, ἡ δὲ τῆς λέξεως ἐξήγησις τοιαύτη. ἐπειδή, φησί, πέφυκε πάσχειν ὑπ' ἀλλήλων τἀναντία, καθάπερ ἐν τῷ περὶ τοῦ ποιεῖν καὶ πάσχειν προδιώρισται, διότι τὸ ἐναντίον δυνάμει ἐστὶν ὅπερ τὸ ἐναντίον, οἷον τὸ θερμὸν δυνάμει ἐστὶ ψυχρόν, ἀνάγκη πᾶσα, ὅταν ἐπικρατέστερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, μεταβάλλειν εἰς αὐτὸ τὸ ἀσθενέστερον. ὁμοίως δὲ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ τῶν λοιπῶν.

p. 334ᵇ24 Καὶ πρῶτόν γε οὕτως τὰ στοιχεῖα μεταβάλλει, ἐκ δὲ τούτων σάρκες καὶ ὀστᾶ καὶ τὰ τοιαῦτα.

Ὃ φησι τοῦτό ἐστιν, ὅτι ἐπειδὴ πέφυκε μεταβάλλειν εἰς ἄλληλα, ἡνίκα τύχῃ ἐξισάζοντα δρᾶν εἰς ἄλληλα, τὴν μὲν πρώτην ὁρμὴν τῆς μεταβολῆς ἑκάτερον ὡς εἰς τὸ ἐναντίον ποιεῖται, ἀλλὰ διὰ τὸ ἐξισάζειν τὰς δυνάμεις καὶ μηδέτερον τοῦ ἑτέρου κατακρατεῖν γίνεται μεταξύ τι, τῆς ἀκρότητος ἑκατέρου κολαζομένης· ἐπειδὴ δὲ τὸ μεταξὺ τοῦτο οὐκ ἔστιν ἄτομόν τι ἀλλ' ἐν πλάτει θεωρεῖται, ἔνθεν οὐκ ἔστιν ἕν τι εἶδος τοῦ μεταξύ, ἀλλὰ πλείονα τὰ σύνθετα, σάρκες καὶ ὀστᾶ καὶ τὰ τοιαῦτα.

Ἐκ δὲ τούτων σάρκες καὶ ὀστᾶ ⟨καὶ τὰ τοιαῦτα⟩. ἐκ τούτων, φησί, τῶν ἁπλῶν κολαζομένων ὑπ' ἀλλήλων κατὰ τὰς ἀκρότητας γίνεται τὰ μεταξύ.

p. 334ᵇ27 Ἐνταῦθα γὰρ οὐδέτερον.

Ἐν τῇ τοιαύτῃ, φησί, μεταβολῇ τὸ γινόμενον οὐδέτερόν ἐστι τῶν ἄκρων, ἀλλὰ μῖγμα ἐξ ἀμφοῖν.

p. 334ᵇ29 Καὶ τἆλλα [πάντα] τὰ τοιαῦτα.

Εἰπὼν ὅτι ἡ θερμότης καὶ ἡ ψύξις καὶ ἡ ξηρότης καὶ ἡ ὑγρότης κατὰ μεσότητα ποιοῦσι τὰ σύνθετα, προσέθηκε τὸ καὶ τἆλλα τὰ τοιαῦτα, διότι καὶ αἱ ἄλλαι δυνάμεις, οἷον γλυκύτης καὶ στρυφνότης, εἰ καὶ

---

1 ὑπερέχη GT 2 ἰσάζει a 5 ἐπεὶ Z 7. 8 δυνάμει ἐστὶν ὅπερ τὸ ἐναντίον om. R 9 τοῦ ἑτέρου] οὐ R 11. 13 lemm. om. pergit ὃ δὲ ἐπάγει, τοιοῦτόν ἐστιν. ὅτι a 11 γε om. Arist. οὕτω Z 14 δρῶντα a 15 ὡς om. GTa 18 τοῦ] τὸ a 19 καὶ τὰ τοιαῦτα om. Z 20 Ἐκ δὲ — ὀστᾶ R: om. GTZa: ipse addidi καὶ τὰ τοιαῦτα 21 οὖν φησι a 23. 27 τὸ δὲ ἐνταῦθα γὰρ οὐδέτερον, ἀντὶ τοῦ ἐν τῇ τοιαύτῃ μεταβολῇ — μῖγμα ἐξ ἀμφοῖν. εἰπὼν δὲ ὅτι ἡ θερμότης a 26 πάντα delevi; ceterum cf. Ar. cod. F 27 ψίξις G ἡ (ante ὑγρότης) om. RZ 28 τὸ om. GTa κατ' ἄλλα T τὰ om. add. T

μὴ εἰδοποιοὶ τυγχάνουσιν οὖσαι, ἀλλ' οὖν καὶ αὗται μεσότητά τινα ἀποτε- 61v
λοῦσιν ἐν τοῖς συνθέτοις.

p. 334b31 Πάντα δὲ τὰ μικτὰ σώματα, ὅσα περὶ τὸν τοῦ μέσου τόπον ἐστίν.

Τὸ προκείμενον αὐτῷ ἐν τούτοις δεῖξαι, ὅτι πάντα τὰ φυσικὰ σύνθετα 62r
σώματα ἐκ τῶν τεσσάρων στοιχείων συνέστηκεν. ἐπεὶ γὰρ ἐλέγχων τοὺς 5
ἐξ ἀμεταβλήτων τῶν στοιχείων συγκεῖσθαι λέγοντας τὰ σώματα ἔλαβεν ὡς
ἐκ παντὸς μορίου τῶν συνθέτων, οἷον σαρκός, πᾶν ἐκκρίνεται στοιχεῖον,
εἰκότως αὐτὸ τοῦτο νῦν προτίθεται δεῖξαι, ὅτι πᾶν σύνθετον ἐκ τῶν τεσσά-
ρων συνέστηκεν. τὸ δὲ ὅσα περὶ τὸν τοῦ μέσου τόπον εἴρηκεν οὐ
πρὸς ἀντιδιαστολὴν ὡς ὄντων τινῶν μικτῶν μὴ περὶ τὸν μέσον τόπον,
οἵαν ἔνιοί φασι τὴν σύνοδον τῆς ὑγρᾶς καὶ ξηρᾶς ἀναθυμιάσεως, ἃς ἐν
τοῖς Μετεωρολογικοῖς λέγει συμπεπλεγμένας ἀνιέναι (αὗται δὲ οὐκ εἰσὶ 10
μικταὶ φύσει, οὐδὲ ἕν τι σύνθετον ἀποτελοῦσιν, ἀλλὰ κατὰ παράθεσιν
ἀλλήλαις παράκειται), ἀλλ' ἔστι τὸ λεγόμενον ἐν ἴσῳ τῷ 'πάντα δὲ τὰ
μικτά, ὅσα καὶ περὶ τὸν τοῦ μέσου τόπον ἐστίν'· ὑπάρχει γὰρ τοῖς μικ-
τοῖς τὸ περὶ τὸν τοῦ μέσου τόπον εἶναι. ταῦτα οὖν, φησίν, ἐξ ἁπάντων
σύγκειται τῶν στοιχείων, καὶ τὰς ἀποδείξεις ἐφεξῆς ἐπιφέρει.

p. 334b32 Γῇ μὲν γὰρ ἐνυπάρχει πᾶσιν διὰ τὸ ἕκαστον εἶναι μάλιστα καὶ πλεῖστον ἐν τῷ οἰκείῳ.

Πρῶτον δείκνυσιν ὅτι γῆς πάντα μετέχει τὰ σύνθετα. ἡ δὲ κατασκευὴ
τοιαύτη. εἰ ἕκαστον, φησί, περὶ τὸν οἰκεῖον τόπον μάλιστα πλεονάζει, 15
δῆλον ὅτι τοῖς συνθέτοις ἐν τῷ τῆς γῆς τόπῳ οὖσι (τόπος γὰρ τῆς γῆς τὸ
μέσον) πλεῖστον ὑπάρξει τῆς γῆς. ὅτι δὲ ἀνάγκη καὶ ὕδατος αὐτὰ μετέχειν,
σαφῶς ἐφεξῆς δείκνυσιν ἐκ τοῦ μὴ δύνασθαι τὴν γῆν καθ' αὑτὴν συμμένειν
καὶ περιορισθῆναι μὴ δεθεῖσαν οἷον κόλλῃ τινὶ τῇ συμπλοκῇ τοῦ ὕδατος.

p. 334b35 Μόνον δὲ εἶναι τῶν ἄλλων εὐόριστον τὸ ὕδωρ.

Μόνον φησὶν εὐόριστον τῶν ἄλλων εἶναι τὸ ὕδωρ, καίτοι τοῦ ἀέρος
εὐοριστοτέρου δοκοῦντος εἶναι, διὰ τὸ καὶ ὑγρότερον εἶναι. εὐόριστον·

---

1 εἰδοποιεῖ G οὖσα Ta 3 Ἅπαντα a Arist. 3. 4 τῶν τοῦ μέσου τόπων R
7 ὡς om. add. T² 10 τὸ] τὰ T² 13 Μετεωρολογικοῖς B 4 p. 359b28 sqq.
λέγειν T 15 παράκειται R 16 ἐστίν· ὑπάρχει] ὑπάρχει· ἔστι Z 19. 21 lemm.
om. pergit πρῶτον δὲ δείνυσιν ὅτι τῆς γῆς a 19 γῇ S: γῆς RZ (Ar. cod. H): τῇ GT
22 εἰ] εἰς Z τόπον om. GT: post πλεονάζει inserit a 25 συμβαίνειν R:
σημαίνειν GT 27. 28 lemm. om. pergit πῶς δὲ μόνον a 27 et 28 ἄλλων]
ἁπλῶν scrib. ex Ar. 28 φησὶ τῶν ἄλλων εὐόριστον (om. εἶναι) Z 29 εἶναι
(post δοκοῦντος) om. a 29. p. 279,1 εὐόριστον οὖν] ἢ εὐόριστον a

οὖν ἀκουστέον ἀντὶ τοῦ ὁριστικόν, ὡς πρὸς σύνθεσιν τῆς γῆς, ὡς ἂν 62r
ταύτης ἐκ τῆς τοῦ ὕδατος μίξεως μόνου γινομένης εὐορίστου. καὶ δηλοῖ
ὁ πηλὸς οὐ διὰ τὸν ἀέρα ἀλλὰ διὰ τὸ ὕδωρ εὐόριστος γινόμενος. τὸ γὰρ 21
ὕδωρ ἀναπληστικώτερον ὑπάρχον τοῦ ἀέρος προσιζάνει καὶ ἑνοῦται ταύτῃ·
5 ὁ γὰρ ἀὴρ διὰ τὴν κουφότητα καὶ τὴν λεπτομέρειαν διαδιδράσκει ῥᾳδίως
καὶ τὴν μίξιν διολισθαίνει, τὸ δὲ ὕδωρ καὶ ὡς βαρὺ καὶ ὡς παχυμερέ-
στερον τοῦ ἀέρος συμπλέκεται μᾶλλον αὐτῇ καὶ προσιζάνει.

p. 335a4 Ἀὴρ δὲ καὶ πῦρ, ὅτι ἐναντία ἐστὶ γῇ καὶ ὕδατι.

Δείξας ὑπάρχειν ὕδωρ καὶ γῆν τοῖς συνθέτοις, νῦν δείκνυσιν ὅτι καὶ 37
10 πῦρ καὶ ἀέρα ἀνάγκη ἐν τούτοις εἶναι. εἰ γὰρ μικτά φαμεν εἶναι τὰ σύν-
θετα, μίγνυται δὲ οὐ τὰ τυχόντα τοῖς τυχοῦσιν ἀλλ' ὅσα πέφυκε πάσχειν
ὑπ' ἀλλήλων, πάσχει δὲ τἀναντία, δῆλον ὅτι γῆς καὶ ὕδατος ὄντων ἀνάγκη
καὶ τἀναντία τούτων εἶναι. ἔστι δὲ γῇ μὲν ἐναντίον ἀὴρ ὕδατι δὲ πῦρ. 40
ὥστε εἰ ἔστι ξηρὸν ἐν τῷ συνθέτῳ καὶ ψυχρὸν διὰ τῆς γῆς, δεῖ καὶ ἀέρα
15 εἶναι ὑγρὸν ὄντα καὶ θερμόν, ἵνα τῶν ἐναντίων μίξις γένηται. ὡσαύτως
δὲ εἰ ἔστι ψύξις ἡ κατὰ τὸ ὕδωρ, καὶ ὑγρότης ἔσται καὶ θερμότης ὁμοῦ
καὶ ξηρότης διὰ τὸ πῦρ. εἰπὼν δὲ ὅτι τὸ πῦρ καὶ ὁ ἀὴρ ἐναντία ἐστὶν
ὕδατι καὶ γῇ, ἀναγκαίως προστέθεικεν τὸ ὡς ἐνδέχεται οὐσίαν οὐσίᾳ
ἐναντίαν εἶναι· οὐδὲ γὰρ κατὰ τὸ ὑποκείμενον, ἀλλὰ μόνον κατὰ τὰς
20 εἰδοποιοὺς δυνάμεις, λέγω δὲ τὸ θερμὸν καὶ ψυχρὸν καὶ ὑγρὸν καὶ ξηρόν. 45
κατὰ ταῦτα γὰρ τὰ στοιχεῖα ἐναντία ἐστὶν ἀλλήλοις, κατὰ τὸ ὑποκείμενον
κοινωνοῦντα· κοινὸν γάρ ἐστι πάντων. ἀλλ' ἴσως τις ἐρεῖ ὅτι ἡ θερμότης
καὶ ξηρότης εἶδός ἐστι τοῦ πυρός· τὸ δὲ εἶδος οὐσία ἐστίν· ὥστε ἡ κατὰ
τὸ εἶδος οὐσία ἔχει ἐναντίον. πῶς οὖν αὐτὸς ἐν ταῖς Κατηγορίαις
25 εἶπε μηδεμίαν οὐσίαν οὐσίᾳ ἐναντίαν εἶναι; ἢ δῆλον ὅτι ἐν ταῖς Κατηγορίαις
περὶ τῶν συνθέτων οὐσιῶν ἦν αὐτῷ ὁ λόγος; ἔχεις δὲ κἀνταῦθα σαφῶς ὅπως 50
φησὶ πῦρ ὕδατι ἐναντίον εἶναι, ὁσάκις ἂν εἴποι ὅτι οὐ καθ' ὅλον, ἀλλὰ
κατὰ τὰς ἐν αὐτοῖς δυνάμεις.

p. 335a9 Μαρτυρεῖν δὲ ἔοικε καὶ ἡ τροφὴ ἡ ἑκάστων.

30 Νῦν καὶ ἐκ τῆς τροφῆς συλλογίζεται ὅτι τὰ μικτὰ ἐκ τῶν τεσσάρων
ἐστίν. ἐπειδὴ γάρ, φησίν, ἕκαστον ἐξ ὧν σύγκειται ἐκ τούτων καὶ τρέφε-
ται, οὐδὲν δὲ ἐξ ἁπλοῦ τινος τρέφεται ἀλλ' ἐκ τῶν συνθέτων, δῆλον ὅτι

---

2 ταύτης om. a 5 διὰ τὴν λεπτότητα καὶ τὴν κουφότητα Z λεπτομερίαν R
6 καὶ (post ὕδωρ) om. Z 10 τὰ μικτά Z 11 δὲ om. Z 12 γῆς δηλον-
ότι Z 16 δὲ om. Z 19 εἶναι ἐναντίαν GTa 23 καὶ ἡ ξηρότης R
ὥστε εἰ ἡ R 24 Κατηγορίαις] v. ad p. 230,4 25 εἶναι ἐναντίαν a 27 ὥστε
καὶ ὁσάκις et καθ' ὅλα δεῖ νοεῖν a 29. 30 lemm. om. pergit ἔπειτα καὶ ἐκ τῆς τρο-
φῆς a 29 ἡ (post τροφὴ) RTZ: om. GArist. 30 τρυφῆς T: τριφῆς G 31 ἐξ
ὧν σύγκειται ἕκαστον R 32 δὲ om. T[1]

οὐδὲν τῶν λεγομένων μικτῶν ἁπλοῦν ἐστιν, ἀλλ' ἐκ τῶν τεσσάρων πάντα 62r
συνέστηκεν. ὅπερ δὲ δοκεῖ ἀντιπίπτειν ἐπὶ τῶν φυτῶν, τῷ ὕδατι μόνῳ
ταῦτα | τρέφεσθαι, τοῦτο τίθησι καὶ ἐλέγχει λέγων ὅτι μέμικται τῷ ὕδατι 62v
ᾧ τρέφονται καὶ γῆ. ὥστε εἰ ἐξ ὧν τρέφονται ἐκ τούτων καὶ συνέστηκεν,
5 ἐκ γῆς ἄρα καὶ ὕδατος συνέστηκεν. εἰ δὲ ἐκ γῆς καὶ ὕδατος, ἐξ ἀνάγκης
καὶ ⟨ἐκ⟩ τῶν ἐναντίων διὰ τὸν προειρημένον λόγον. μετέχουσιν ἄρα καὶ
πυρὸς καὶ ἀέρος. ἀνάγκη οὖν καὶ τῇ τροφῇ αὐτῶν ταῦτα εἶναι, καὶ διὰ
τοῦτο οὐ τὴν τυχοῦσαν γῆν μιγνύουσιν οἱ γεωργοί, ἀλλὰ τὴν κοπρώδη, 5
ἥτις καὶ πυρώδους καὶ ἀερώδους μετέχει οὐσίας, ἣν φησι μίξαντας τοὺς
10 γεωργοὺς οὕτω χρήσασθαι τῇ ἀρδείᾳ.

p. 335a14 Ἐπειδή ἐστιν ἡ μὲν τροφὴ τῆς ὕλης, τὸ δὲ τρεφόμενον τὸ συνειλημμένον.

Νῦν ὡς πρὸς χρῆσίν τινα καὶ ῥῆσιν ποιητικὴν αἰτίαν ζητῶν τί δήποτε πάντων τῶν στοιχείων εἰς ἄλληλα μεταβαλλόντων τὸ πῦρ μόνον
15 φασί τινες τρέφεσθαι (οὕτως γὰρ καὶ ὁ ποιητὴς εἶπεν "τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει"), φησὶν οὖν ὅτι ἐπειδὴ ἡ μὲν τροφὴ ὕλη ἐστὶ τοῦ τρεφομένου, τὸ δὲ τρεφόμενον τὸ εἶδός ἐστι τὸ συνειλημμένον καὶ συμπεπλεγμένον τῇ ὕλῃ (τοῦτο γάρ ἐστι καὶ τὸ ὑπομένον), εὔλογον τὸ πῦρ 10
μόνον λέγειν τῶν ἁπλῶν τρέφεσθαι, διότι τοῦτο μᾶλλον τῶν ἁπλῶν εἶδος.
20 ὅτι δὲ τὸ πῦρ εἶδος, κατασκευάζει τοῦτον τὸν τρόπον. εἰ γὰρ ὁρῶμεν τὸ πῦρ κατὰ φύσιν ἐπὶ τὸν ὅρον φερόμενον, ὅρος δέ ἐστιν ὃ πέρας ἐστί τινος καὶ περιέχον, ἕκαστον δὲ κατὰ φύσιν φέρεται ἐπὶ τὸν οἰκεῖον τόπον, δῆλον ὅτι τόπος οἰκεῖός ἐστι τοῦ πυρὸς ὁ ὅρος, τουτέστι τὸ πέρας καὶ τὸ περιέχον τἆλλα. ἐπειδὴ τοίνυν τὸ εἶδος ἑκάστου ἐν τῷ ὅρῳ ἐστίν, εἶδος δὲ
25 λέγει οὐ τὸ κατὰ τὸν οὐσιώδη λόγον, ἀλλὰ τὸ κατὰ τὴν μορφήν (τοῦτο 15
γὰρ ἐν τῇ ἐπιφανείᾳ θεωρεῖται), συμβαίνει, ὅταν ἐν τῷ ὅρῳ τὸ πῦρ ὑπάρχῃ, ἐκείνου αὐτοῦ εἶδος εἶναι· ὑπάρχει δὲ ἐν τῷ ὅρῳ τῶν ἄλλων στοιχείων καὶ τῷ πέρατι τῷ περιέχοντι αὐτά· δῆλον ἄρα ὅτι εἶδός ἐστι τῶν ἄλλων. εἰκότως οὖν μόνον τῶν ἄλλων λέγεται τρέφεσθαι.

---

2 δὲ om. a  τῷ om. R  3 τοῦτο δὴ τίθησι a  μέμικται] μέμνηται Z
4 ἡ γῆ a  6 ἐκ addidit a  8 μίγνυσιν GT¹  9 μίξαντας Ra: μίξαντες GTZ
9. 10 τοὺς γεωργοὺς R: οἱ γεωργοὶ Z: τοὺς γεωργικοὺς GTa  11. 13 lemm. om. pergit ἔπειτα ὡς πρὸς a  11 ἐπεὶ δ' ἐστὶν Ar.  12 τὸ om. Arist.  συνειλημένον GT¹ (Aristot.?)  13 post ποιητικὴν addunt ἀποτείνεται Z, ἀπαντᾶ a  15 οὕτω a
ὁ ποιητὴς] Hom. Ψ 182  15. 16 πάντα a  17 συνειλημένον T¹  22 ἐπὶ τὸν οἰκεῖον φέρεται τόπον Z  24 ἐν om. add. T²  ὅρῳ συμβαίνει ἐστὶν Z  25 τὸ (post οὐ) om. T  26 συμβαίνει οὖν ὅταν R  ὑπάρχῃ] ὑπάρχει R¹T
29 εἰκότως — τρέφεσθαι om. a  ἄλλων] fort. ἁπλῶν

p. 335a22 Ὅτι μὲν οὖν ἅπαντα τὰ σώματα ἐξ ἁπάντων συνέστηκε τῶν ἁπλῶν, εἴρηται. 62v

Εἰπὼν ἐν τοῖς προλαβοῦσι τί ποτέ ἐστιν ἡ γένεσις καὶ τίνι τῶν ἄλλων μεταβολῶν διαφέρει, εἶτα ἐν μέσῳ πολὺν κατατείνας λόγον περὶ τῆς καθόλου εἰς ἄλληλα τῶν στοιχείων μεταβολῆς, μέλλων ἐν τοῖς ἐφεξῆς περὶ τῆς καθ' ἕκαστα γενέσεως εἰπεῖν, καὶ περὶ τῆς ἰδικωτέρας τῶν στοιχείων μεταβολῆς κατὰ τὴν τῶν Μετεώρων πραγματείαν μέλλων διδάξαι, ἀναλαμβάνει τὸν περὶ τῆς καθόλου γενέσεως λόγον, ζητῶν πόσαι ποτέ εἰσιν ἀρχαὶ καθόλου τῶν γινομένων καὶ φθειρομένων καὶ ποῖαι. ἐκ τούτων γὰρ καὶ τὰς τῶν καθ' ἕκαστα γενέσεων ἀρχὰς εἰσόμεθα· ὅσαι γὰρ τῶν καθόλου γενέσεων, τοσαῦται καὶ τῶν κατὰ μέρος ἀρχαὶ ἔσονται. φησὶν οὖν ὅτι τοσαῦται τὸν ἀριθμόν εἰσι τῶν γενητῶν καὶ φθαρτῶν ἀρχαί, ὅσαι καὶ τῶν ἀιδίων, καὶ τῷ γένει αἱ αὐταί. ὕλη τε γὰρ ἐν ἀμφοτέροις ἐστὶν ὑποκειμένη, καὶ εἶδος ὡσαύτως ἔν τε τούτοις καὶ ἐν ἐκείνοις θεωρεῖται, ἀλλ' ἡ μὲν ἐν τοῖς γενητοῖς ὕλη κατὰ τὸ δυνάμει θεωρεῖται (δυνάμει γάρ ἐστιν ἑκάτερον τῶν ἐναντίων), ἐπὶ δὲ τῶν ἀιδίων οὐ κατὰ τὸ δυνάμει θεωρεῖται, ἀλλ' ἀεὶ ἐνεργείᾳ ἐστὶν εἰδοπεποιημένη, καὶ οὐ ποτὲ μὲν προσκτᾶται τὸ εἶδος ποτὲ δὲ στερεῖται τούτου, διότι ἐκεῖ μὲν ἀίδιον καὶ ἀεὶ ὡσαύτως ἔχον τὸ εἶδος καὶ μὴ ἔχον ἐναντίον, ἐνταῦθα δὲ γενητὸν καὶ φθαρτόν, διότι ἐναντιότης περὶ τοῦτο θεωρεῖται. ἔστι δέ, φησί, καὶ τρίτον αἴτιον ποιητικόν, ἐν μὲν τοῖς γενητοῖς καὶ φθαρτοῖς αἴτιον τῆς γενέσεως, ἐν δὲ τοῖς ἀιδίοις τὸ ποιητικὸν αἴτιον οὐ τῆς γενέσεώς ἐστιν ἀλλὰ τοῦ εἶναι καὶ τῆς διαμονῆς. τοσούτων τοίνυν οὐσῶν τῶν ἀρχῶν τῆς γενέσεως τὸ μὲν ὑλικὸν καὶ εἰδικόν, φησίν, ἅπαντες ἔγνωσαν, τὸ δὲ ποιητικὸν ὠνείρωξαν μὲν διήρθρωσε δὲ οὐδείς. οἱ μὲν γὰρ ποιητικὸν αἴτιον ἀποδεδώκασι τὸ εἶδος, καθάπερ Πλάτων ἐν τῷ Φαίδωνι· οὗτος γὰρ ἐπιτιμήσας τοῖς ἄλλοις ὡς μηδεμίαν ἔννοιαν λαβοῦσι τοῦ ποιητικοῦ αἰτίου, ἔνθα καὶ τὸν Ἀναξαγόραν ὑπεδέξατο εἰπόντα τὸν νοῦν ποιητικὸν αἴτιον, εἰ καὶ ὅτι οὐδ' ἐκεῖνος ἐχρήσατο αὐτῷ ἐν τῇ γενέσει τῶν γενητῶν, αὐτὸς ὑποκατιών φησι τὸ εἶδος ποιεῖν τῇ παρουσίᾳ αὐτοῦ τὸ εἰδοπεποιημένον. μέμφεται δὲ αὐτὸν φάσκων ὅτι οὐχ ἱκανὸν τὸ εἶδος ὑπάρχον ποιῆσαι· οὐδὲ γὰρ ἡ εἰκὼν ποιεῖν λέγεται τὸ πρὸς αὐτὴν γινόμενον ἀλλ' ὁ τεχνίτης, οὐδὲ ἡ ὑγεία τὸν νοσοῦντα ὑγιάζει μὴ ὄντος τοῦ ἰατροῦ. ἔπειτα, φησίν, εἰ εἰσὶν αἱ ἰδέαι (ταύτας γάρ φησιν εἴδη ὁ Πλάτων), διὰ τί ὄντος τοῦ μεθεκτικοῦ οὐκ εὐθέως γίνεται; οἷον τοῦ εἴδους τῆς ὑγείας ⟨ὄντος⟩, ὄντος δὲ καὶ τοῦ κάμνοντος, διὰ τί μὴ εὐθέως μετα-

---

1. 2 lemma] Ἐπεὶ δ' ἐστὶν ἔνια—ἑκάστου οὐσίας (p. 335a24—b7) a 4 πολλὺν GT¹ 7 διδάξειν a 11 μέρως (Z)a 20. 22 αἴτιον ποιητικόν—ποιητικὸν om. GTa 20. 21 ἐν μὲν τοῖς Z: ἐν τοῖς μὲν R 22 ἐστιν om. a 24 διήρθρωσαν R 26 Φαίδωνι] cf. ad p. 285, 13 οὕτως GT² ἐπὶ τιμήσας a 27 λάβωσι GT¹ ἀπεδέξατο fort. recte (Z)a 28 τὸν οὖν G: τὸ*οὖν T ὅτι delendum 29 ὑποκατιῶν a 30 αὐτοῦ libri 32 τεχνήτης (GTZ)a ἡ] ἰδέας, εἴδη λέγει ὁ Πλάτων a 33 μὴ RZ: εἰ μὴ GTa 35 ⟨ὄντος⟩ addidi

βαλὼν ὁ κάμνων ἐκ νόσου ὑγιαίνει, ἀλλὰ χρεία ἐστὶ δηλονότι τοῦ ἰατροῦ; 62v
οὕτως μὲν οὖν ἐλέγχει τοὺς λέγοντας τὰ εἴδη εἶναι τὰ ποιοῦντα. ἄλλοι
δέ, φησί, τὴν ὕλην ᾐτιάσαντο λέγοντες αὐτὴν τρεπομένην ποιεῖν. ταύτης
δὲ τῆς δόξης εἶεν ἂν καὶ οἱ τὰς ἀτόμους ἀρχὰς ὑπο|θέμενοι. καί φησιν 63r
5 ὅτι καθ' ὅσον μὲν τοῖς πάθεσι καὶ τῇ κινήσει προσεσχηκότες ποιητικὸν
αὐτὴν αἴτιον εἰρήκασι, φυσικώτερον ἀπεφήναντο (ποιητικὸν γὰρ αἴτιόν
φαμεν τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως), καὶ κατὰ τοῦτο ἀποδοχῆς μᾶλλόν
εἰσιν ἄξιοι τῶν τὰ εἴδη εἰρηκότων ἀκίνητα ὄντα· καθ' ὅσον δὲ οὐκ ἄλλο
τι τῆς κινήσεως τῆς ἐν τῇ ὕλῃ ἔλεγον εἶναι αἴτιον, κατὰ τοῦτο μέμψεως
10 ἄξιοι· ἡ γὰρ ὕλη οὐ τοῦ ποιεῖν καὶ κινεῖν φαίνεται τὴν ἀρχὴν ἔχουσα, 5
ἀλλὰ τοῦ κινεῖσθαι καὶ πάσχειν ὑπ' ἄλλου. ἄλλοι δέ τινες τὰς ποιητικὰς
αἰτίας ἀποδιδόασι ταῖς δυνάμεσι τῶν σωμάτων, θερμότητι καὶ ψυχρότητι,
αἵτινες ὄργανά εἰσι τῆς ποιητικῆς αἰτίας, οὐκ αὐταὶ ποιητικαὶ αἰτίαι· διὰ
τούτων γὰρ ἡ φύσις ὡς δι' ὀργάνων ποιεῖ. δείκνυσι δὲ ὅτι καὶ χεῖρον ἢ
15 κατ' ὄργανον ταῦτα ἐνεργοῦσιν, εἴ γε τὰ μὲν ὄργανα μὴ ἐπιστατούσης
τέχνης οὐδὲν δρᾷ περὶ τὴν ὕλην, τὸ δὲ θερμὸν καὶ ψυχρόν, εἰ μὴ ὑπὸ
φύσεως ἢ τέχνης μετρηθῇ, φθείρει τὸ ὑποκείμενον. ταῦτα εἰπὼν τὴν 10
οἰκείαν δόξαν περὶ τῆς ποιητικῆς αἰτίας ἐκτίθεται.

Ὅτι μὲν οὖν ἅπαντα τὰ σώματα ἐξ ἁπάντων συνέστηκε
20 τῶν ἁπλῶν. ἅπαντά φησι τὰ σύνθετα· τὰ γὰρ ἁπλᾶ οὐ συνέστηκεν ἐξ
ἁπλῶν, ἐπεὶ οὐκ ἂν ἦν ἁπλᾶ.

p. 335a24 Ἐπειδή ἐστιν ἔνια γενητὰ καὶ φθαρτά.

Τὸ ἔνια οὐ πρὸς τὸ ἄνω φησίν· οὐ γὰρ τοῦτό φησιν ὅτι ἔνια τῶν
σωμάτων τῶν συνεστηκότων ἐξ ἁπάντων τῶν στοιχείων γενητά ἐστι καὶ
25 φθαρτά (τὰ γὰρ σύνθετα πάντα ἐκ τῶν τεσσάρων στοιχείων γενητά ἐστι 15
καὶ φθαρτά), ἀλλ' ἐπειδὴ τῶν ἁπάντων σωμάτων τὰ μέν ἐστιν ἀίδια τὰ
δὲ γενητὰ καὶ φθαρτά, διὰ τοῦτό φησιν 'ὄντων τινῶν γενητῶν καὶ φθαρ-
τῶν, ἅπερ περὶ τὸ μέσον τοῦ παντὰς συνέστηκε, ζητητέον πόσαι καὶ τίνες
αὐτῶν αἱ ἀρχαὶ τῆς γενέσεως'.

30 p. 335a28 Καὶ τῷ γένει αἱ αὐταί, αἵπερ ἐν τοῖς ἀιδίοις τε καὶ
πρώτοις· ἡ μὲν γὰρ ὡς ὕλη.

Ὁμογενεῖς φησιν εἶναι τὰς ἀρχὰς τῶν τε γενητῶν καὶ τῶν ἀιδίων.

---

2 οὕτω a 6 αἴτιον αὐτὴν tr. Z: αἴτιον om. R 8 ἀκίνητα εἰρηκότων Z
13 αἴτιαι R 13. 14 διὰ τοῦτο Z 15 μὴ om. add. Z² 17 μετρηθείη a
18. 23 ἐκτίθεται. ἡμεῖς δὲ μετὰ τὴν θεωρίαν τὴν λέξιν ἐπέλθωμεν. τῷ μὲν οὖν ἅπαντα τὰ σώματα, προσθετέον τὰ σύνθετα· τὰ γὰρ ἁπλᾶ οὐ συνέστηκεν ἐξ ἁπλῶν. ἐπεὶ οὐκ ἂν ἦν ἁπλᾶ. τὸ δὲ ἔνια γενητὰ καὶ φθαρτά. οὐ πρὸς τὸ ἄνω ἀναφέρειν δεῖ· οὐ γὰρ τοῦτο φησὶν a
22 Ἐπεὶ δ' ἐστὶν Arist. 24 τῶν prius om. Z 30 καὶ εἰ τῷ a τε om. Z
31. 32 πρώτοις. τὰς μὲν οὖν ὡς ὕλην ὁμογενεῖς a 31 γάρ ἐστιν Ar. 32 τε om. add. T²

καὶ γὰρ ὕλη, φησίν, ἐπὶ ἀμφοτέρων θεωρεῖται τῶν γενητῶν καὶ τῶν ἀιδίων, 63r
ὕλην δὲ σκοπεῖ ἐνταῦθα τὴν κατὰ τὸ ὑποκείμενον θεωρουμένην. διὸ 20
εἰκότως ὁμογενεῖς αὐτάς φησιν εἶναι· τὸ γὰρ ὑποκείμενον κοινῶς ἐπ'
ἀμφοτέρων θεωρεῖται τῶν τε ἀιδίων καὶ τῶν γενητῶν. εἰ γὰρ καὶ εἴη ἡ
5 μὲν κρείττων ἡ δὲ χείρων, οὐδὲν ἧττον ὁμογενεῖς ἔσονται, ἐπειδὴ καὶ τὸ
λογικὸν καὶ τὸ ἄλογον ζῷον ταύτην πρὸς ἄλληλα τὴν διαφορὰν ⟨ἔχοντα⟩,
τὴν κατὰ τὸ κρεῖττον καὶ χεῖρον, ὅμως ὁμογενῆ ἐστι. κρείττων δὲ ἐκείνη
καθὸ ἐνεργείᾳ ἀεὶ οὖσα οὐδέποτε δυνάμει ἐστίν, ἡ δὲ τῶν γενητῶν ὕλη
δυνάμει τὰ ἐναντία οὖσα ἀεὶ ἔχει τὸ δυνάμει εἶναι τὸ ἐναντίον τοῦ ἐν 25
10 αὐτῇ ὄντος εἴδους. καὶ ἴσως ἄν τις ὑποπτεύσειεν οὐ διὰ τὴν φύσιν τῆς
ὕλης, ἀλλὰ διὰ τὰ εἴδη ταύτην προσιέναι τὴν διαφοράν. διότι γὰρ τὸ
τῶν οὐρανίων εἶδος οὐκ ἔχει ἐναντίον, ἀλλ' ἐστὶν ἀίδιον καὶ ἀεὶ ὡσαύτως
ἔχει, διὰ τοῦτο ἡ τούτου ὕλη ἀεὶ ἐνεργείᾳ ἐστίν· ἡ δὲ τῶν γενητῶν ἐνεργείᾳ οὖσα καὶ αὐτὴ καὶ μηδέποτε ἀνείδεος μένουσα, διὰ τὸ ἐναντιότητα
15 εἶναι περὶ τὸ εἶδος συμβαίνει αὐτὴν ἀεὶ τὸ δυνάμει ἔχειν. εἰδέναι μέντοι
χρὴ ὅτι οὐ μόνον διὰ τὸ εἶδος, ἀλλὰ καὶ δι' αὐτὴν τῆς ὕλης τὴν φύσιν 30
ἡ διαφορὰ προσέρχεται. ἥ τε γὰρ τῶν γενητῶν ὕλη οὐκ ἂν τὸ ἐναντίον
ἐδέξατο ἀποβάλλουσα τὸ πρότερον, εἰ μὴ ὑπῆρχεν ἔχουσα τὸ δυνάμει·
οὕτως δὲ καὶ ἡ τῶν ἀιδίων, εἴπερ εἶχε δύναμιν τοῦ ἀποβάλλειν τὸ εἶδος,
20 κἂν ἀπέβαλλεν εἰς ἐνέργειαν προελθούσης τῆς δυνάμεως. μεμνῆσθαι δὲ
χρή, καθάπερ προλαβόντες εἰρήκαμεν, ὅτι ὁ Ἀριστοτέλης ἐνταῦθα ὕλην
καλεῖ τὴν κατὰ τὸ ὑποκείμενον θεωρουμένην καὶ οὐχὶ τὴν κατὰ τὸ δυνάμει 35
εἶναι νοουμένην· εἰ γὰρ τὴν κατὰ τὸ δυνάμει λάβωμεν παρ' αὐτοῦ λεγομένην ἐνταῦθα ὕλην, οὐκέτι ἔσται ὁμογενὴς ἡ τῶν γενητῶν τῇ τῶν ἀιδίων,
25 ἐπειδὴ ἐν ἐκείνῃ οὐκ ἔστι τὸ δυνάμει.

p. 335a31 Οὐ γὰρ ἱκαναὶ γεννῆσαι αἱ δύο.

Ἀλλαχοῦ αὐτὸς εἴρηκεν ὅτι ἡνίκα ἐπιτηδεία γένηται ἡ ὕλη πρὸς τὸ καταδέξασθαι τὸ εἶδος, οὐ χρεία τρίτου τινὸς τοῦ δέοντος αὐτῇ τὸ εἶδος, ἀλλ' αὐτοφυῶς καὶ αὐτομάτως αὐτὸ δέχεται. πῶς οὖν ἐνταῦθα φαίνεται

---

1 ὕλην GT¹a θεωρεῖσθαι a 2 σκόπει R 3 post ὑποκείμενον iterat θεωρουμένην—τὸ γὰρ ὑποκείμενον κοινῶς (sic) T² 4 ἡ om. GT¹ 5 ἐπεὶ καὶ Z 6 ἔχοντα a: τὴν πρὸς ἄλληλα Z: om. GRT 8 ἐνεργείᾳ ἀεὶ οὖσα R: ἀεὶ ἐνεργείᾳ οὖσα Z: ἀεὶ ἐνεργείᾳ καὶ GTa 9 τἀναντία R 13 post γενητῶν addit ἀεὶ Z 13. 14 ἐνέργεια GT 14 αὐτὴ Z corr. R: αὕτη cett. 15 αὐτὴν RZ: ταύτην GTa 19 οὕτω a 20 ἀπέβαλλεν TR: ἀπέβαλεν Ga: εἰς ἐνέργειαν μετέβαλε tr. Z προ*ελθούσης T 23 εἶναι—δυνάμει RZ: om. GT: ἦν γὰρ τὴν κατὰ τὸ δυνάμει suppleverat a 24 οὐκ ἔσται ἔτι Z 25. 27 δυνάμει. λέγοντος δὲ, οὐχ ἱκανὰ (sic) πρὸς τὸ γεννῆσαι δύο, ζητεῖται πῶς ἀλλαχοῦ a 26 γὰρ RZ: γὰρ ἂν GT (Ar. cod. E) ἱκανὸν R γεννῆσαι Z: γενῆσαι R: πρὸς τὸ γεννῆσαι GTAr. αἱ R: om. cett. (cum Ar. cod. E); at cf. p. 284,1 27 ἐπιτήδεια GTa 28 αὕτη R 29 οὖν om. Z

λέγων μὴ ἱκανὰς εἶναι τὰς δύο ἀρχάς, ἀλλὰ δεῖσθαι τὸ γινόμενον καὶ τοῦ 63r
ποιητικοῦ αἰτίου; πρὸς ὅ φαμεν ὅτι ἡ ὕλη τὸ ἐπιτηδεία γενέσθαι οὐκ ἀφ' 41
ἑαυτῆς ἀλλ' ἐκ τοῦ ποιητικοῦ αἰτίου ἔχει· καὶ πρὸς τοῦτο χρεία τοῦ
ποιητικοῦ αἰτίου, πρὸς τὸ ποιῆσαι τὴν ὕλην ἐπιτηδείαν ἐργάσασθαι. ταύτῃ
5 γὰρ ὁ ἀγαλματοποιὸς τὸ εἶδος ποιεῖν λέγεται, τῷ τὸ ἐμποδὼν τῷ εἴδει
ἐξαίρειν ἐκ τῆς ὕλης· οὐ γὰρ τῷ τὸ εἶδος ἔξωθεν ἐπιτιθέναι. ἡ δὲ ὕλη
ἅμα τε τὴν ἐπιτηδειότητα ἔλαβε καὶ τὸ εἶδος προσεκτήσατο.

p. 335a32 Καθάπερ οὐδὲ ἐν τοῖς πρώτοις.

Οὐδ' ἐν τοῖς πρώτοις, φησίν, ἱκανὸν τὸ εἶδος καὶ ἡ ὕλη, ἀλλὰ δεῖ 45
10 καὶ τοῦ ποιητικοῦ αἰτίου τούτοις· ἀλλ' οὐ πρὸς τὸ γενέσθαι, ἀλλὰ πρὸς
τὸ εἶναί τε καὶ διαμεῖναι.

p. 335a32 Ὡς μὲν οὖν ὕλη τοῖς γενητοῖς ἐστιν αἴτιον τὸ δυνατὸν εἶναι καὶ μὴ εἶναι.

Τῶν γενητῶν, φησίν, ἡ ὕλη καὶ τὸ ὑποκείμενόν ἐστι τὸ δυνάμει ὄν,
15 ὅπερ δύναται ποτὲ μὲν εἶναι ποτὲ δὲ μὴ εἶναι. ἐπειδὴ γάρ, φησί, τῶν
ὄντων τὰ μὲν ἐξ ἀνάγκης ἐστίν, οἷον τὰ ἀίδια, ἅπερ καὶ ἀδύνατον μὴ
εἶναί φησι, τὰ δὲ ἐξ ἀνάγκης οὐκ ἔστιν, ἅπερ καὶ ἀδύνατον εἶναι λέγει,
οἷον τὰ μηδαμῇ μηδαμῶς ἐν ὑπάρξει ὄντα πλὴν ἢ κατὰ ψιλὴν ἐπίνοιαν,
οἷον ὁ τραγέλαφος, τὰ δέ, φησί, καὶ εἶναι καὶ μὴ εἶναι δύναται, ὥσπερ 50
20 τὰ γενητὰ καὶ φθαρτά, εἰκότως, φησί, καὶ τὸ ὑποκείμενον αὐτῶν δύναται
καὶ εἶναι τόδε τὸ εἶδος καὶ μὴ εἶναι.

p. 335a35 Τούτων δὲ τὰ μὲν ἀδύνατον μὴ εἶναι.

Τούτων, φησί, τῶν προσεχῶς εἰρημένων, τῶν ἐξ ἀνάγκης ὄντων καὶ
ἐξ ἀνάγκης οὐκ ὄντων, τὰ μὲν ἀδύνατον μὴ εἶναι, τὰ ἀίδια δηλονότι, τὰ
25 δὲ ἀδύνατον εἶναι, ἃ μηδέποτε εἰς γένεσιν ἔρχεται, οἷον ὁ ἱπποκένταυρος.
εἶτα καὶ τὴν αἰτίαν ἐπάγει, διὰ τὸ μὴ ἐνδέχεσθαι, φησί, παρὰ τὸ
ἀναγκαῖον ἄλλως ἔχειν· τὰ μὲν γὰρ ἐξ ἀνάγκης ἐστί, τὰ δὲ ἐξ ἀνάγ-
κης οὐκ | ἔστι. διὰ τοῦτο οὖν τὰ μὲν αὐτῶν ἀδύνατον εἶναι, τὰ δὲ 63v
ἀδύνατον μὴ εἶναι. οὐκοῦν ἡ γένεσίς ἐστι καὶ ἡ φθορὰ περὶ τὸ δυνατὸν
30 εἶναι καὶ μὴ εἶναι.

---

1 λόγων Z et ἱκανῶν Z¹ 2 ἡ] τῇ R 3. 4 ἔχει — αἰτίου om. R 4 αἰτίου om. a καὶ ἐργάσασθαι ἐπιτηδείαν a 6 τῷ om. GRT τὸ om. Z ἡ δὲ ἡ ὕλη T² 7 προσέλαβε Z 8. 9 om. lemm. pergit ἀλλ' οὐδ' ἐν a 9 πρώτοις om. Z, ubi φημὶ 12. 14 om. lemm. pergit τῶν οὖν γενητῶν a 12 τῆς γενητῆς Z 17 ante οὐκ ἔστιν add. φησὶν GTa λέγειν Z 19 δύνανται a 22. 23 lemm. om. pergit εἰπὼν δέ· ὅτι τούτων τῶν ἐξ ἀνάγκης δηλονότι ὄντων καὶ a 26 εἶτα καὶ om. a 28 αὐτῶν τὰ μὲν a

p. 335b6 Ὡς δὲ τὸ οὗ ἕνεκεν ἡ μορφὴ καὶ τὸ εἶδος. 63v

Εἰπὼν περὶ τοῦ ὑλικοῦ αἰτίου νῦν περὶ τοῦ εἴδους διαλαμβάνει, φάσκων εἶδος εἶναι τὸν λόγον τῆς ἑκάστου οὐσίας. οὗ δὲ ἕνεκεν αὐτὸ ἐκάλεσεν δηλῶν ὅτι εἰς ταὐτὸν συντρέχει τὸ εἰδικὸν αἴτιον τῷ τελικῷ, καθάπερ καὶ ἐν τῇ Φυσικῇ εἶπεν. καὶ γὰρ καὶ σκοπὸν τίθεται καὶ τέλος ἡ φύσις τὸ ἑκάστου εἶδος ἐν τῇ ὕλῃ ποιῆσαι, καὶ τὸ ἀποτελούμενον καὶ τῇ ὕλῃ ἐπιγινόμενον αὐτὸ τυγχάνει τὸ εἶδος.

p. 335b7 Δεῖ δὲ προσεῖναι καὶ τὴν τρίτην, ἣν ἅπαντες μὲν ὀνειρώττουσι, λέγει δ' οὐδείς.

Τὴν ποιητικὴν λέγει αἰτίαν. αἰνίττεται δὲ καὶ πρὸς Ἀναξαγόραν καὶ πρὸς Πλάτωνα. Ἀναξαγόρας μὲν γὰρ ποιητικὸν τὸν νοῦν εἰπὼν οὐ χρῆται αὐτῷ ἐν τῇ γενέσει τῶν πραγμάτων, ἀλλὰ καὶ Πλάτων ἐν Τιμαίῳ τῆς ποιητικῆς αἰτίας μνησθεὶς ἐν τῷ Φαίδωνι τοῖς εἴδεσι τὴν ποιητικὴν αἰτίαν ἀπέδωκεν, εἰπὼν "ἀλλ' ἐάν τις μοι λέγῃ δι' ὅ τι καλόν ἐστιν ὁτιοῦν, ἢ ὅτι χρῶμα εὐανθὲς ἔχον ἢ σχῆμα ἢ ἄλλο ὁτιοῦν τῶν τοιούτων, τἆλλα χαίρειν ἐῶ· ταράττομαι γὰρ ἐν τοῖς ἄλλοις πᾶσι, τοῦτο δὲ ἁπλῶς καὶ ἀτέχνως καὶ ἴσως εὐήθως ἔχω παρ' ἐμαυτῷ, ὅτι οὐκ ἄλλο τι ποιεῖ αὐτὸ καλὸν ἢ ἐκείνου τοῦ καλοῦ εἴτε παρουσία εἴτε κοινωνία εἴτε ὅπῃ δὴ καὶ ὅπως προσγενομένη· οὐ γὰρ ἔτι τοῦτο διισχυρίζομαι." ὥστε οὐχ οἷός τε γέγονεν ὁ Πλάτων τὴν προσεχῆ ποιητικὴν αἰτίαν τῶν γινομένων ἀποδοῦναι, ἀλλ' ἐπὶ τὰς ἰδέας κατέφυγεν.

p. 335b9 Ἀλλ' οἱ μὲν ἱκανὴν ᾠήθησαν αἰτίαν εἶναι πρὸς τὸ γενέσθαι τὴν τῶν εἰδῶν φύσιν, ὥσπερ ὁ ἐν τῷ Φαίδωνι Σωκράτης.

Πρὸς Πλάτωνα νῦν ἀποτείνεται λέγοντα τὰ εἴδη ποιητικὸν αἴτιον εἶναι καὶ ἀρκεῖν αὐτὰ ποιεῖν τὰ γινόμενα. φησὶ γὰρ τὸ μὲν εἶναι ἔχειν ἕκαστον κατὰ τὰ εἴδη τὰ ὄντα, τὸ δὲ γενέσθαι κατὰ τὸ τούτων μεταλαμβάνειν, ὥσπερ τὸ φθείρεσθαι κατὰ τὴν ἀποβολὴν τὴν τούτων. ὥστε ἐκ τῶν εἰδῶν

---

1. 2 om. lemm. pergit εἰπὼν δὲ περὶ a 1 ἕνεκεν RZ: ἕνεκα GT 2 αἰτίου, διαλαμβάνει ἐφεξῆς περὶ τοῦ εἴδους a 3 ἐκάλεσεν] οὐκ ἔλεγεν GT 4 δηλονότι R ταυτὸ a 5 Φυσικῇ] B 7 p. 198a24 sqq. al. 5. 6 φύσις τοῦ ἑκάστου R 8. 9 ὠνειρώττουσι et οὐδὲ εἷς GT 10 δὴ Z 11. 12 γὰρ — εἰπὼν — πραγμάτων] οὖν — εἰρηκὼς — ὄντων Z 13 Φαίδωνι p. 100 C sq. 14 λέγῃ μοι διατὶ R λέγοι GT¹ 15 εὔανθες GT ἢ σχῆμα om. R τὰ μὲν ἄλλα Plato 17 ἑαυτῷ Z ποιεῖ bis T αὐτόκαλον R 19 προσγινομένη a τοῦτο om. Z 22 lemma om. hic a 23 γίνεσθαι Ar. 25 νῦν] οὖν (GT)a 26 ἀρκεῖ Z 27 γίνεσθαι a τὸ alt. om. Z 28 ὥσπερ τοῦ φθείρεσθαι GT post τούτων addit μεταλαμβάνειν R

τὸ γίνεσθαι καὶ φθείρεσθαι ἔλεγεν ὑπάρχειν τοῖς οὖσιν. ἀπολογούμενοι δέ 63v
τινες ὑπὲρ Πλάτωνός φασιν ὅτι τὰ δημιουργικὰ εἴδη ἔλεγεν ὁ Πλάτων 25
αἴτια εἶναι ποιητικά, ὧν κατὰ μετάληψιν γίνεσθαι τὰ γινόμενα, καὶ κατὰ
ἀποβολὴν τούτων φθείρεσθαι. εἰ δὲ τὰ δημιουργικὰ εἴδη ὑποτίθεται, δῆλον
5 ὅτι καὶ αὐτὸς ποιητικὸν αἴτιον οἶδεν ταῦτα τῶν ἐν τοῖς γενητοῖς εἰδῶν·
ὁ γὰρ δημιουργικὰ αἴτια εἰπὼν εὐθὺς οἶμαι εἰς ἐπίνοιαν ἄγει τῶν ποιητι-
κῶν. ἴσως οὖν φαίη τις ἂν τὸν Ἀριστοτέλην διὰ τοῦτο αὐτῷ μέμφεσθαι
τῷ Πλάτωνι, διότι τὰ εἴδη αὐτά φησι ποιεῖν, μὴ αἰτιασάμενος τὸν ἀφο- 30
ρῶντα τοῖς εἴδεσι δημιουργὸν καὶ πρὸς αὐτὰ καθ' ὁμοιότητα τὰ τῇδε παρά-
10 γοντα. καὶ διὰ τοῦτο πρὸς αὐτὸν ἀντιλέγων φησὶν ὅτι οὔσης ὑγείας καὶ
ἐπιστήμης, τουτέστι τῶν λόγων τῆς ὑγείας καὶ τῆς ἐπιστήμης ὄντων, ὄντων
δὲ καὶ τῶν μεθεκτικῶν τῆς ὑγείας καὶ τῆς ἐπιστήμης, ὅμως χρεία ἐστὶ καὶ
ἄλλου αἰτίου ποιητικοῦ, οἷον τοῦ ἰατροῦ καὶ τοῦ ἐπιστήμονος. εἰ μὴ γὰρ
οὗτοι ποιήσωσιν, οὔτ' ἂν ὁ νοσῶν ὑγιάνῃ, οὔτε ὁ ἀνεπιστήμων μεταβάλοι
15 εἰς ἐπιστήμην. ἐπεὶ εἰ αὔταρκες ἦν τὸ εἶδος ὄντος τοῦ μεθεκτικοῦ ποιῆσαι, 35
τί δήποτε οὐκ ἀεὶ ὁ νοσῶν ὑγιαίνει καὶ ὁ ἀνεπιστήμων γίνεται ἐπιστήμων;

p. 335b16 Οἱ δὲ αὖ τὴν ὕλην· ὑπὸ ταύτης γὰρ εἶναι τὴν κίνησιν. |

Εἰπὼν πῶς ὁ Πλάτων φησὶ τὰ εἴδη ποιητικὰ αἴτια, ἐν μέσῳ φησὶν 64r
ὅτι ἕτεροι τὴν ὕλην ᾠήθησαν ποιεῖν, ὑπὸ τῆς ἐν αὐτῇ τροπῆς καὶ κινή-
20 σεως ἀπατηθέντες. εἶτα οὕτως τρέπεται ἐπὶ τοὺς ἐλέγχους τῆς Πλά-
τωνος δόξης, ἐφεξῆς δὲ καὶ τοὺς τὴν ὕλην λέγοντας αἰτίαν εἶναι ὡς ποιη-
τικὸν ἐλέγχει.

p. 335b23 Ὡσαύτως δὲ καὶ τῶν ἄλλων τῶν κατὰ δύναμιν πραττομένων.

25 Τουτέστιν ὁ αὐτὸς λόγος ἐπὶ πάντων τῶν καθ' ἕξιν πραττομένων,
οἷόν περ εἰρήκαμεν ἐπὶ ἰατρικῆς καὶ ἐπιστήμης. 5

p. 335b24 Εἰ δὲ τὴν ὕλην φήσει τις γεννᾶν διὰ τὴν κίνησιν.

Ὅσοι, φησί, τὴν ὕλην ποιητικὴν ἀρχὴν ὑπέθεντο, τῇ κινήσει καὶ τῇ
τροπῇ αὐτῆς ἀπιδόντες, δοκοῦσι φυσικώτερον ἀποδεδωκέναι αἴτιον, διότι τὸ

---

τλ'

2 φησιν GT 6 εἰς] ὡς T 7 ἴσως ἂν φαίη τὶς ἂν τὶς Z ἀριστο Z: ἀριστοτέλη GT¹a αὐτῷ om. T: αὐτὸ Z: an mox τῷ Πλάτωνι delenda? 12 καὶ (post ἐστὶ) om. R 13 ποιητικοῦ αἰτίου Z 14 ποιήσουσιν R ὑγιάνῃ RT²Za: ὑγιανῇ GT¹ μεταβάλοι R: μεταβάλη T²: μεταβάλλει GZ: μεταβάλλοι T¹: μεταβάλλοι ἂν a 16 ὁ νοσῶν οὐκ ἀεὶ a ὑγιαίνει Z 17 αὖ τὴν scripsi: αὐτὴν GRTZ: αὐτὴν τὴν a; cf. Ar. ἀπὸ (G)aArist. γὰρ om. Z 20 τρέπεται οὕτως Z οὕτω a 22. 25 ἐλέγχει. ὁ αὐτὸς δὲ λόγος φησὶν a 26 καὶ om. Z 26. 28 ἐπιστήμης. ὅσοι δέ φησι a 27 φήσει τὶς GTZ: φύσει τὶς R; cf. Ar. 29 ἀπιδόντες RT²Z²: ἀφιδόντες GT¹: ἀποδιδόντες Z¹: ἐπιδόντες a

κυριώτερον τοῦ γεννᾶν αἴτιόν ἐστι τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως (οὕτως 64r
δὲ ὁρίζειν εἰώθαμεν τὸ ποιητικὸν αἴτιον), πλήν, φησίν, ἠγνόησαν οὗτοι ὅτι τὴν κίνησιν οὐκ ἀφ' ἑαυτῆς ἔχει ἡ ὕλη. οὐ γὰρ ἀφ' ἑαυτοῦ τὸ ὕδωρ ποιεῖ ζῷα οὐδὲ τὸ ξύλον κλίνην, ἀλλὰ ὑπὸ τέχνης καὶ φύσεως ποιητικῶν
5 αἰτίων γίνονται· τῆς γὰρ ὕλης ἴδιον οὐ τὸ κινεῖν, ἀλλὰ τὸ κινεῖσθαι. 10

p. 335b34 Καὶ ὅτι παραλείπουσι τὴν κυριωτέραν αἰτίαν· ἐξαιροῦσι γὰρ τὸ τί ἦν εἶναι καὶ τὴν μορφήν.

Ἤτοι ὡς παραλιπόντας καὶ τὸ εἶδος πρὸς τῷ ποιητικῷ αἰτίῳ μέμφεται, ἤγουν τὸ ποιητικὸν αἴτιον εἶδος καὶ μορφὴν ἐκάλεσεν, ὥς φησιν ὁ
10 Ἀλέξανδρος, διότι τὸ ποιοῦν ἐνεργείᾳ ὂν ποιεῖ, τὸ δὲ ἐνεργείᾳ ὂν τοιοῦτόν ἐστι κατὰ τὸ εἶδος καὶ τὴν μορφήν· ἕκαστον γὰρ τὸ εἶναι ἔχει κατὰ τὸ εἶδος. πιθανώτερον δὲ λέγειν τὸ τελικὸν αἴτιον λέγειν αὐτόν, ὅπερ ἀναιροῦσι τὴν ὑλικὴν αἰτίαν αἰτιώμενοι τῆς γενέσεως, καὶ μήτε νοῦν μήτε φύσιν ὑποτιθέμενοι προεπινοοῦντα τὸ τέλος, ἀλλ' ἐκ συντυχίας γίνεσθαι 15
15 τὰ γινόμενα.

p. 336a1 Ἔτι δὲ καὶ τὰς δυνάμεις ἀποδιδόασι τοῖς σώμασι, δι' ἃς γεννῶσι, λίαν ὀργανικάς.

Ἔτι ὁ λόγος αὐτῷ πρὸς τοὺς τὴν ὕλην αἰτίαν θεμένους τοῦ γεννᾶν, ἐγκαλεῖ δὲ αὐτοῖς διότι δυνάμεις ὑπέθεντο αἰτίας τοῦ γεννᾶν πάσας ὀργα-
20 νικάς, παρέντες τὴν κατὰ τὸ εἶδος αἰτίαν· εἶδος δὲ προφανῶς τὴν ποιητικὴν αἰτίαν λέγει ἐνταῦθα. ποίας δὲ δυνάμεις ὑπετίθεντο; τὸ θερμὸν καὶ τὸ ψυχρόν· τοῦ γὰρ θερμοῦ διακρίνοντος καὶ τοῦ ψυχροῦ συνιστῶντος λέγουσι τὰ ἄλλα γίνεσθαι. ἡμεῖς δὲ ὁμολογοῦμεν ταύτας ἕκαστον τῶν φύσει γινομένων ἔχειν ὑποκειμένας τῷ κινοῦντι· ἄλλο γάρ ἐστιν ὅπερ 20
25 ταύταις χρώμενον ὡς ὀργάνῳ αἴτιόν ἐστι γενέσεως καὶ φθορᾶς. φησὶ δὲ ὁ Ἀλέξανδρος τοὺς περὶ Παρμενίδην τοιαύτης γεγονέναι δόξης.

p. 336a6 Φαίνεται δὲ καὶ τὸ πῦρ αὐτὸ κινούμενον καὶ πάσχον.

Τὸ πῦρ, φησίν, ὃ μάλιστα δραστικώτερον λέγουσι, φαίνεται καὶ αὐτὸ ἀλλοιούμενον καὶ πάσχον, τὸ δὲ ποιητικὸν αἴτιον τὸ κυρίως οὐ πάσχει.
30 ἀμέλει τὴν φύσιν οὐκ ἂν φαίημεν πάσχειν ποιητικὸν αἴτιον οὖσαν, ἀλλ' εἰ

---

1. 2 οὕτω γὰρ a 2 διορίζειν (G)a 3 τὸ | τὸ R 4 ἀλλ' a ἀπὸ R
5. 8 κινεῖσθαι. ἤτοι δὲ ὡς a 6. 7 ἐξαίρουσι Z 8 παραλείποντας GT
9 οἶδος a ὁ om. a 10 ὂν ποιεῖ scripsi: ἂν ποιῇ GRTa: ποιεῖ Z 12 πιθανότερον GT[1] alterum λέγειν om. R 13 αἰτιόμενοι a 15. 18 τὰ γινόμενα. ἔτι δὲ πρὸς τοὺς a 17 ὀργανικῶς Arist. (praeter EL) 18 τιθεμένους a γεννᾶν ἁπαντῶν a, qui mox δὲ om. 21 ὑπέθεντο T 22 τὸ om. T 23 ὁμολογοῦμεν φησὶ a 26 τοὺς Za: τοῖς GRT παρμενίδι Z 26. 28 δόξης. καὶ τὸ πῦρ δέ φησιν a 27 καὶ alt. om. add. T[2]

ἄρα τὸ ὑποκείμενον αὐτῆς· αὕτη δὲ ἀεὶ κινεῖ. τὸ δὲ πῦρ οὐ μόνον κινεῖ, 64r
ἀλλὰ καὶ πάσχει, ἔπειτα δὲ καὶ κινούμενον οὐ κινεῖται ὥστε ποιῆσαι, 25
ἀλλ' ἐν ὀργάνου τάξει, ὡς ὁ πρίων· εἰ γὰρ καὶ πρίζοντος αὐτοῦ γίνεται
τὸ γινόμενον, ἀλλ' οὐκ ἔστιν αὐτὸ τὸ ποιοῦν. οὕτω δὲ ἔχει καὶ τὸ πῦρ,
5 μᾶλλον δὲ καὶ χεῖρον ἢ κατὰ τὰ ὄργανα, μὴ κυβερνώμενον ὑπὸ τέχνης,
δι' ἣν εἴπομεν αἰτίαν. εἰ δέ τις ζητεῖ πῶς ὀργανικὸν αἴτιον οὐχ ὑπο-
τίθεται τῶν φυσικῶν, εἴπερ ὅλως οἶδε τὰς τοιαύτας δυνάμεις ὀργανικοῦ
αἰτίου λόγον ἐπεχούσας, ἴστω ὅτι τῇ ὕλῃ ταύτας συγκατατάττει· προσεχὴς
γὰρ ὕλη τὰ τοιαῦτα.

10 p. 336a13 Ἡμῖν δὲ καθόλου τὸ πρότερον εἴρηται περὶ τῶν 30
αἰτίων, καὶ νῦν διώρισται.

Εἰπὼν ὅπως οἱ ἄλλοι ἐσφάλησαν περὶ τὴν τοῦ ποιητικοῦ αἰτίου ἀπό- 37
δοσιν, οἱ μὲν τὴν ὕλην οἱ δὲ τὸ εἶδος αἰτιασάμενοι, καὶ δείξας μηδέτερον
τούτων δυνάμενον μήτε τὴν ὕλην μήτε τὸ εἶδος ποιητικοῦ αἰτίου λόγον
15 ἐπέχειν, φησὶ νῦν ὅτι ἤδη μὲν ἡμῖν πρότερον ἐν τῇ Φυσικῇ ἀκροάσει
περὶ τῶν αἰτίων διῄρηται καθόλου, ἐν οἷς καὶ περὶ τοῦ ποιητικοῦ λόγον 40
ἐποιησάμεθα, καὶ κατὰ τὸ παρὸν δὲ περὶ μὲν τῆς ὕλης ἤδη εἴρηται καὶ
τοῦ εἴδους, περὶ δὲ τοῦ ποιητικοῦ ἐντεῦθεν διδάσκει, καί φησιν ὅπερ
κἀν τῇ Φυσικῇ πρὸς αὐτοῦ λέλεκται, ὅτι ἡ κυκλοφορία τοῦ οὐρανοῦ ποιη-
20 τικὴ αἰτία ἐστὶ τῶν γινομένων καὶ φθειρομένων. ἐξ ἐκείνης γὰρ ἡ τροπὴ
τῶν ὡρῶν, ταῖς δὲ ὥραις συμμεταβάλλει τὰ στοιχεῖα καὶ ἡ τῶν καρπῶν
γένεσις. ὁρῶμεν γὰρ ὅτι προσιόντος ἡμῖν τοῦ ἡλίου τά τε φυτὰ θάλλει
καὶ οἱ καρποὶ γεννῶνται καὶ τὰ πολλὰ τῶν ζῴων, ἀποχωροῦντος δὲ αὐτοῦ 45
τἀναντία συμβαίνει. καὶ καλῶς ἔχει λέγειν τὴν ἐκ τῶν οὐρανίων ἐπιρρέ-
25 ουσαν ζωὴν πρὸς τὰ τῇδε αὐτὴν εἶναι τὴν φύσιν καθ' ἣν γεννῶνται τὰ
γεννώμενα. ἐντεῦθεν, φησί, δῆλον ὅτι καλῶς ἐν τῇ Φυσικῇ ἡμῖν εἴρηται
ἀκροάσει, ὅτι πρώτη τῶν μεταβολῶν ἐστιν ἡ κατὰ τόπον καὶ αὐτῆς τῆς
γενέσεως· καὶ γὰρ τῆς γενέσεως αὕτη ἐστὶν αἰτία, οὐχ ἡ γένεσις τῆς κινή-
σεως. εἰ γὰρ τὸ γινόμενον οὔπω ἐστὶν ἐν ὅσῳ γίνεται, τὸ δὲ κατὰ τόπον
30 μεταβάλλον ὑπάρχον ἤδη κινεῖται, εὔλογον τὸ ὂν τοῦ μὴ ὄντος αἴτιον 50
λέγειν, οὐ τὸ μὴ ὄν, τουτέστι τὸ γινόμενον, αἴτιον φάσκειν εἶναι τοῦ ἤδη
ὄντος καὶ κατὰ τόπον κινουμένου.

Ταῦτα εἰρηκὼς ἐφεξῆς ἀπορεῖ πῶς φαμεν τὴν κύκλῳ φορὰν αἰτίαν
εἶναι γενέσεως καὶ φθορᾶς. ἐπεὶ γὰρ αὗται δύο εἰσὶ μεταβολαὶ ἐναντίαι
35 ἀλλήλαις, τί ποτέ ἐστι τὸ τούτων αἴτιον; οὐ γὰρ δυνατὸν ἓν καὶ ταὐτὸν

---

1 αὐτοῖς Z  αὕτη] αὐτὴ a  3 πορίζοντος a  5 ἢ] ἡ G(a)  6 τις αἰτεῖ Z  8 ὑπεχούσας (G)a  προσευχῆς R  10 τὸ] τε Ar.  10. 11 τῶν ἐναντίων GT  13 οἱ μὲν τὸ εἶδος οἱ δὲ τὴν ὕλην Z  16 διείρηται καθόλου καὶ τοῦ εἴδους Z  19 κυκλωφορία a  21 συμβάλλει GTa  24 οὐρανῶν compendiose R  24. 25 ἐπιρέουσαν GT  25 πρὸς τὰ τῇδε] προστάττει δὲ R  26 εἴρηται ἡμῖν Z  31 οὐ τὸ] οὔτε TZ  34 ἐπειδὴ γὰρ R

ἐναντίων μεταβολῶν εἶναι αἴτιον· τῶν γὰρ ἐναντίων καὶ τὰ ποιητικά, τὰ 64ʳ φύσει λέγω ποιοῦντα, ἐναντία εἶναι δεῖ. ὥστε εἰ ἡ κα|τὰ τόπον κίνησις 64ᵛ αἰτία γενέσεώς ἐστι καὶ φθορᾶς, ἀνάγκη καὶ τὰς τῶν ποιητικῶν αἰτίων κινήσεις καὶ αὐτὰς ἐναντίας εἶναι ἢ τῇ φορᾷ ἤγουν τῇ ἀνωμαλίᾳ· τῇ μὲν φορᾷ ὥστε δύο εἶναι φορὰς ἐναντίας, τὴν μὲν γένεσιν ποιοῦσαν τὴν δὲ φθοράν, τῇ δὲ ἀνωμαλίᾳ ὥστε μίαν μὲν εἶναι φοράν, διὰ δὲ τὸ μὴ ὁμοίως ἔχειν ἀεὶ πρὸς ἡμᾶς τὸ κινούμενον, ἀλλὰ ποτὲ μὲν ἐγγίζειν ἡμῖν ποτὲ δὲ ἀφίστασθαι, προσιόντος μὲν ποιεῖν γένεσιν ἀπιόντος δὲ φθοράν. εἰδέναι οὖν χρὴ ὅτι ἀμφότερα συμβέβηκε. καὶ γὰρ καὶ αἱ φοραὶ δύο, ἡ μὲν ἀπὸ ἀνατολῆς ἐπὶ δυσμάς, ὡς ⟨ἡ⟩ τῶν ἀπλανῶν, ἡ δὲ ἔμπαλιν ἀπὸ δυσμῶν ἐπ' ἀνατολάς, ὡς ἡ τῶν πλανωμένων, διὰ τὸ ἐπὶ λοξοῦ γίνεσθαι κύκλου ἀνώμαλον ἐν σχέσει τῇ πρὸς ἡμᾶς ποιεῖται τὴν κίνησιν τοῦ ἡλίου, ποτὲ μὲν πλησίον γινομένου ποτὲ δὲ πόρρω. ἐχούσης οὖν τῆς γενέσεως καὶ τῆς φθορᾶς καὶ τὸ μὴ ἐπιλείπειν καὶ τὸ ἐναντίας εἶναι ἀλλήλαις, τὸ μὲν συνείρειν καὶ μὴ ἐπιλείπειν ἐκ τῆς ἀεικινησίας τῶν οὐρανίων αὐταῖς ἐφήκει καὶ τοῖς γενητοῖς καὶ φθαρτοῖς, τὸ δὲ ἐναντίον ἐκ τῆς ἀνωμαλίας τῆς κατὰ τὸν λοξὸν κύκλον. διὸ τὰς δύο φοράς, τήν τε ἀπλανῆ καὶ τὴν πλανωμένην, αἰτιατέον τῆς κατὰ τὴν γένεσιν καὶ φθορὰν συνεχοῦς μεταβολῆς. ἔστι μὲν γὰρ καὶ ἡ κατὰ τὸν λοξὸν μόνον κύκλον αἰτία ἑκατέρου. διότι τε γὰρ ἀεὶ κινεῖται, οὐκ ἐπιλείπει ἡ τῶν τῇδε μεταβολή· διότι δὲ ἀνωμάλως ὡς πρὸς ἡμᾶς κινεῖται, διὰ τοῦτο ἐναντίαι μεταβολαὶ κατὰ γένεσιν καὶ φθοράν. ἀλλ' οὐκ ἂν ἡ τοιαύτη τάξις καὶ κόσμος ἦν ἄν, εἰ μὴ ἦν ἡ τῶν ἀπλανῶν φορά· ἐκεῖθεν γὰρ ἐφ' ἑκάστης ἡμέρα τε καὶ νὺξ τεταγμένως ἀλλήλας διαδέχονται. εἰ δὲ μὴ οὔσης ταύτης κατὰ ἐπίνοιαν ἐπὶ λοξοῦ μόνου κύκλου ὁ ἥλιος ἐκινεῖτο, ἦν ἂν ὁ πᾶς χειμὼν νὺξ μία εἰ οὕτως ἔτυχε, καὶ τὸ θέρος ἡμέρα μία, καὶ ἁπλῶς εἰπεῖν ἦν ὁ πᾶς ἐνιαυτὸς ἓν ἡμερονύκτιον. τούτων οὕτως εἰρημένων, εἴ τις ζητεῖ τί δήποτε τὴν μὲν ἀπόστασιν τοῦ ἡλίου φθορὰν λέγομεν ποιεῖν, τὴν δὲ προσέλευσιν γένεσιν, καίτοι καὶ θέρους οὐ μόνης γενέσεως οὔσης ἀλλὰ καὶ φθορᾶς, καὶ χειμῶνος ὡσαύτως οὐ μόνον φθειρομένων τινῶν ἀλλὰ καὶ γινομένων, καὶ ἁπλῶς εἰπεῖν τῆς ἄλλου γενέσεως ἄλλου οὔσης φθορᾶς, εἴ τις λέγοι πῶς ἐν ἄλλῳ μὲν χρόνῳ φησὶ τὴν γένεσιν ἐν ἄλλῳ δὲ τὴν φθορὰν συμβαίνειν, γινωσκέτω ὡς τὴν τῆς κρείττονος οὐσίας γένεσιν, ταύτην γένεσιν ἐκάλεσεν Ἀριστοτέλης πανταχοῦ, τὴν δὲ τῆς χείρονος φθοράν, καὶ ἡ χρῆσις ὁμοίως.

2 δεῖ εἶναι Z: εἶναι om. add. T² κίνσις a 3 ἐστὶ γενέσεως Z αἰτιῶν R 4 ἤ] ἢ γοῦν Z ἤγουν] ἢ γοῦν a et fort. alii 5 φορὰς] φθορὰς T¹ 6 φοράν] φθοράν T¹ μὴ om. GT 9 φθοραὶ T: διαφοραὶ G 10 ⟨ἡ⟩ addidit a 11 ὡς ἡ RZa: ἡ om. GT πλανομένων GT λοξοῦ οὖν a 12 ἀνώμελον R 13 οὖν οὕτω τῆς a 14. 15 καὶ τὸ ἐναντίας — ἐπιλείπειν om. GTa 17 τὸ λοξὸν (om. κύκλον) T¹ 20 δὲ] οὐδὲ Z 23 φθορά T¹ 23. 24 ἡμέρα καὶ νὺν ἀλλήλας R 26 ἦν ἂν ὁ a παῖς R, qui mox ἓν om. 28 ποιεῖ Z 29 καὶ (ante θέρους) om. a 30 μόνων GT 33 ταύτην τὴν γένεσιν Z 34 ὁ ἀριστοτέλης GT τὴν] τῆς T

ἐπειδὴ τοίνυν ὡς ἐπίπαν προσιόντος τοῦ ἡλίου αἱ τῶν κρειττόνων γενέσεις 64v
ἀκολουθοῦσι, καρπῶν καὶ ζῴων, καὶ τῶν κρειττόνων στοιχείων, πυρὸς καὶ 25
ἀέρος, καὶ τῶν ἄλλων ἁπάντων ἅπερ τῷ λόγῳ διεξελθεῖν οὐ ῥᾴδιον,
ἀπιόντος δὲ ταῦτα φθίνει πάντα, διὰ τοῦτο τῇ μὲν προσόδῳ τοῦ ἡλίου τὴν
γένεσιν ἀφορίζομεν. τῇ δὲ ἀποστάσει τὴν φθοράν. ὁ γὰρ ἥλιός ἐστιν ὅ
γε ἡγεμονικὴν ἐπέχων τάξιν πρὸς τὴν γένεσιν, εἴ γε καὶ διὰ τοῦτον θέρος
καὶ χειμὼν καὶ αἱ ἄλλαι τροπαί.

p. 336a15 Ἔτι δὲ ἐπεὶ ἡ κατὰ τὴν φορὰν κίνησις δέδεικται ὅτι ἀίδιος.

Ἤδη μὲν κἀν τοῖς προτέροις, φησὶ δὲ ἐν τῇ Φυσικῇ, εἴρηται περὶ
τῶν αἰτίων καθόλου ἔνθα καὶ περὶ τοῦ ποιητικοῦ αἰτίου, ἔτι δὲ καὶ νῦν 30
ῥητέον ὅτι αἰτία ποιητικὴ τῆς ἀειγενεσίας ἡ κύκλῳ φορὰ ἀίδιος οὖσα καὶ
τὸ γεννητικὸν προσάγουσα καὶ ἀπάγουσα. γεννητικὸν δέ φησι τὸν ἥλιον.

p. 336a18 Ἅμα δὲ δῆλον ὅτι καὶ τὰ πρότερον καλῶς εἴρηται.

Νῦν δείκνυσιν ὅτι εἰκότως ἐν τῇ Φυσικῇ ἀκροάσει τὴν κατὰ τόπον
κίνησιν καὶ ταύτης τὴν κύκλῳ πρώτην εἴρηκεν εἶναι πάσης μεταβολῆς.
εἰ γὰρ αὐτὴ γενέσεως καὶ φθορᾶς αἰτία οὖσα ἐδείχθη, εἰκότως ἄρα
πρώτη ἐστὶ πασῶν. ὅτι δὲ γενέσεως αἰτία καὶ τῶν γινομένων, δείκ-
νυσιν οὕτως· τὸ φερόμενον κατὰ τόπον ἤδη ἐστί, τὸ γινόμενον οὔπω 35
ἐστίν, εὔλογον οὖν τὸ ὂν τοῦ μὴ ὄντος αἴτιον εἶναι, οὐκ ἔμπαλιν τὸ μὴ
ὂν τοῦ ὄντος.

p. 336a23 Ἐπεὶ δ' ὑπόκειται καὶ δέδεικται συνεχὴς οὖσα τοῖς πράγμασι γένεσις καὶ φθορά.

Ἐπειδή, φησίν, δέδεικται συνεχὴς ἡ γένεσις ὑπάρχουσα καὶ ἡ φθορὰ 45
τοῖς πράγμασι, δέδεικται δὲ διὰ τὴν κύκλῳ κίνησιν ἀίδιον οὖσαν * * * ἡ
μὲν σύνταξις τῆς λέξεως τοιαύτη. ζητεῖ δὲ πῶς τὴν φορὰν φαμεν αἰτίαν εἶναι
μεταβολῶν ἐναντίων. δύο γὰρ οὐσῶν, φησί, μεταβολῶν, γενέσεως καὶ
φθορᾶς, οὐχ οἷόν τε μίαν κίνησιν ἀμφοτέρων αἰτίαν ὑποθέσθαι. ἀνάγκη
ἢ δύο λέγειν εἶναι κινήσεις κατὰ δύο φορὰς ἐναντίας, ἢ μίαν μὲν τὴν

4 ταῦτα om. a 5. 6 ὅ γε scripsi pro ὅτε codicum: ὁ τὴν a 6 ἐπέχον GT
8. 11 om. lemm. pergit κατὰ δὲ τὴν λέξιν, δεδεῖχθαι μέν φησι κἂν τοῖς προτέροις, δηλονότι
ἐν τῇ φυσικῇ, περὶ τῶν αἰτίων a 8 et 26 φθορὰν T 10 φησὶ δὲ GT: φῆ (om.
δὲ R): φημὶ δὲ Z τοῖς φυσικοῖς Z 11 αἰτιῶν R 13 γεννητικὸν (altero loco)
R¹a 14. 15 lemm. om. pergit δείκνυσι δὲ καὶ ὅτι a 17 εἰ Ra: ἡ GTZ
22 ἐπειδὴ δὲ R 23 καὶ γένεσις καὶ GT; at cf. Ar. codd. FH 25 τοῖς πράγμασι om. Z
ἀίδιος οὖσα R 25. 26 οὖσαν, φανερόν. καὶ τὰ ἑξῆς. ἡ μὲν οὖν σύνταξις a: lacunam indicavi
27 φησὶν οὐσῶν Z καὶ om. Z 28. 29 ἀνάγκη οὖν ἢ a 29 δύο φορὰς] διαφορὰς R

φορὰν διάφορον δὲ διὰ τὴν τῆς κινήσεως ἀνωμαλίαν. ἡ δὲ ἀνωμαλία ὡς 64v
πρὸς ἡμᾶς, διὰ τὸ ἐπὶ λοξοῦ κύκλου γίνεσθαι τὴν τῶν πλανωμένων κίνη- 51
σιν, καὶ διὰ τοῦτο τὴν πρὸς ἡμᾶς σχέσιν ἄλλοτε ἄλλην ποιεῖσθαι τὸ κινού-
μενον, ποτὲ μὲν ἐγγίζον ποτὲ δὲ ἀφιστάμενον, ὅπερ καί φησιν ἀληθὲς
5 εἶναι. ἡ γὰρ τῶν ἀπλανῶν φορὰ οὐκ ἂν εἴη αἰτία γενέσεως καὶ φθορᾶς
μία οὖσα καὶ ἡ αὐτὴ καὶ μηδεμίαν ὡς πρὸς ἡμᾶς ποιουμένη διαφοράν,
ἀλλ' ἡ κατὰ τὸν λοξὸν κύκλον ἔχουσα καὶ τὸ ἀίδιον καὶ τὸ ἀνώμαλον τῇ
μὲν ἀνωμαλίᾳ τῶν ἐναντίων με|ταβολῶν αἰτία γίνεται, φθορᾶς λέγω καὶ 65r
γενέσεως, τῇ δὲ ἀιδιότητι τῆς κατὰ τὴν γένεσιν καὶ φθορὰν συνεχείας
10 αἰτία ἐστίν. εἰδέναι δὲ χρὴ ὅτι ἡ ἀπλανής, εἰ καὶ μὴ τὴν γένεσιν ποιεῖ
καὶ τὴν φθοράν, ἀλλ' οὖν τὴν τάξιν καὶ τὸν τοιοῦτον κόσμον αὕτη ἐπιτί-
θησι τῆς ἡμέρας καὶ τῆς νυκτός· ὅπερ εἰ μὴ ὑπῆρχεν, ἀλλ' ἡ ἐπὶ λοξοῦ
μόνου κύκλου ἦν ὡς ἓν νυχθήμερον γίνεσθαι τὸν πάντα ἐνιαυτόν, οὐκ ἂν
ἡ τοιαύτη τάξις τῶν γενέσεων ἐφυλάττετο, ὡς δηλοῖ τὰ [τοιαῦτα] μέρη τῆς 5
15 γῆς ἀοίκητα ὄντα. τοιαῦτα δ' ἐστὶ τὰ ὑπὸ τοὺς πόλους τοῦ παντός, ἐν
οἷς μυλοειδὴς ἡ τοῦ οὐρανοῦ γίνεται κίνησις.

p. 336b2 Τῆς μὲν οὖν συνεχείας ἡ τοῦ ὅλου φορὰ αἰτία.

Οὐ λέγει τὴν τοῦ ὅλου φορὰν τὴν τῆς ἀπλανοῦς κίνησιν, ὥσπερ
Ἀλέξανδρος ἐξηγήσατο (αὐτὸς γὰρ ἀνωτέρω τῷ λοξῷ κύκλῳ τὴν αἰτίαν
20 ἀνέθηκεν τῆς συνεχείας τῆς κατὰ τὴν γένεσιν καὶ φθοράν), ἀλλ' ὅ φησι
τοῦτό ἐστι· δείξας γὰρ ὅτι ἡ κατὰ τὸν λοξὸν κύκλον φορὰ αἰτία ἐστὶ τοῦ 10
συνεχῆ εἶναι γένεσιν καὶ φθοράν, διότι ἔχει καὶ τὸ συνεχὲς ὅπερ ἐστὶ τῆς
ἀειγενεσίας αἴτιον, ἔχει δὲ καὶ τὸ ἀνώμαλον ἐξ οὗ ἐναντίαι αἱ μεταβολαί,
νῦν φησι πῶς ἑκάτερον τούτων ἔχει ἡ τῶν πλανήτων φορά. καί φησιν
25 ὅτι τὸ μὲν συνεχὲς ταύτῃ ἐστὶ διὰ τὴν ὅλην τοῦ ἡλίου σφαῖραν ἀιδίως
κινουμένην, τὸ δὲ προσιέναι, φησί, καὶ ἀπιέναι, ὅπερ ἡ ἀνωμαλία,
διὰ τὴν ἔγκλισιν τοῦ λοξοῦ κύκλου· διὰ ταύτην γὰρ συμβαίνει αὐτὸν ποτὲ
μὲν προσεγγίζειν ποτὲ δὲ ἀφίστασθαι.

p. 336b5 Ἀνίσου δὲ τοῦ διαστήματος ὄντος ἀνώμαλος ἔσται ἡ 15
30 κίνησις.

Πῶς ἀνώμαλος ἡ τοῦ λοξοῦ κύκλου κίνησίς ἐστι διδάσκει, ὅτι τῷ 22
μᾶλλον πλησίον ἡμῶν ποιεῖν τὸν ἥλιον ἢ τοῦτον διιστάναι ἡμῶν. ὥστε
οὐκ αὐτὴ [ἡ] ἀνώμαλος, ἀλλ' ἡ πρὸς ἡμᾶς τοῦ ἡλίου σχέσις ἀνώμαλος·

---

7 ἡ] ἢ GT 11 αὕτη Z: om. R: αὐτὴ GT: αὐτῇ a 12 et 13 ἡ et μόνου om. R
14 τοιαῦτα delevi 15 πολλοὺς R[1] 17 συνεχείας φησὶν a, qui mox οὐ λέγει δὲ τὴν
19 ὁ Ἀλέξανδρος a τῷ om. R λογικῷ GT 21 τοιοῦτον ἐστὶ R 22. 23 φθο-
ράν — ἀνώμαλον om. Z 24 πλανήτων Z: πλανητῶν cett. 26 ὅπέρ ἐστιν ἡ a
27 ἔγκλησιν GT[1] 29 δὲ om. T 31 τῷ] τὸ GT 32 ἡμῶν πλησίον Z
33 οὐκ] οὐχ' ἡ GT ἡ (post αὐτὴ) GTZ: ἢ R: delevit a

τῷ γὰρ γεννητικὸν προσάγειν ἡμῖν ἢ ἀπάγειν ἡμῶν ἡ δοκοῦσα ἀνωμαλία 65r
συμβαίνει τῆς κινήσεως.

p. 336b8 Καὶ εἰ τῷ πολλάκις προσελθεῖν γεννᾷ, καὶ τῷ πολλάκις ἀπελθεῖν φθείρει.

Γένεσιν ἐνταῦθα λέγει οὐ τὴν ἐκ μὴ ὄντος εἰς τὸ ὂν πάροδον, ἀλλὰ 25
τὴν αὔξησιν καὶ τὴν μέχρι τῆς ἀκμῆς πρόοδον· ὡσαύτως δὲ καὶ φθορὰν τὴν ἐκ τῆς ἀκμῆς ἐπὶ τὴν τελείαν φθορὰν ὁδόν, τὴν φθίσιν φημὶ καὶ τὴν παρακμήν. φησὶν οὖν ὅτι τοῖς μὲν μία περίοδος τοῦ ἡλίου πρὸς τελείωσιν τοῦ εἴδους ἀρκεῖ, οἷοί εἰσιν οἱ ἐπέτειοι καρποὶ καὶ ἡ τῶν στοιχείων μεταβολή, τοῖς δέ, φησί, πλειόνων δεῖ περιόδων, ὡς ἔχει ἐπὶ τῶν πολλῶν ζῴων. περίοδον δὲ λέγει τὴν προσέλευσιν καὶ ἀποχώρησιν τοῦ ἡλίου. εἰ τοίνυν διὰ πολλῶν προσελεύσεων τοῦ τελείου εἴδους τύχοι, διὰ πολλῶν 31
ἀποχωρήσεων, φησί, τοῦτο παρακμάζει. ἀποδέδωκε δὲ τὴν μὲν γένεσιν τῇ προσελεύσει τὴν δὲ φθορὰν τῇ ἀποχωρήσει, καίτοι διὰ πολλῶν περιόδων φήσας καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν ἐπιτελεῖσθαι, ὡς εἶναι δηλονότι ἐπὶ τῆς γενέσεως μὴ μόνον προσέλευσιν τοῦ ἡλίου ἀλλὰ καὶ ἀποχώρησιν, καὶ ἐπὶ φθορᾶς δὲ μὴ μόνον ἀποχωρεῖν τὸν ἥλιον ἀλλὰ καὶ προσεγγίζειν. πρὸς τοῦτο ῥητέον ὅτι εἰ καὶ ἐπὶ ἑκατέρας διαθέσεως ὁμοίως καὶ πρόσοδος καὶ ἄφοδος τοῦ ἡλίου θεωρεῖται, αὐτὸς τὴν μὲν γένεσιν τῇ προσε- 35
λεύσει τοῦ ἡλίου, τὴν δὲ φθορὰν τῇ ἀποχωρήσει ἀνέθηκεν εὐλόγως ἴσως, διότι ἐρρωμένη μὲν ἡ φύσις μᾶλλον ἀπολαύει τῆς προσόδου τοῦ ἡλίου καὶ γεννᾷ καὶ αὔξεται, ἠσθενηκυῖα δὲ μᾶλλον ὑπὸ τῆς ἀποστάσεως πάσχει ἥπερ ὑπὸ τῆς προσελεύσεως, ὥσπερ ἔχει ἐπὶ τῆς ἀπορροῆς καὶ τῆς προσθήκης· ἐπί τε γὰρ τῆς αὐξήσεως καὶ τῆς φθίσεως καὶ ἀπορροή ἐστι καὶ προσθήκη τῆς τροφῆς, ἀλλ' ἔτι μὲν ἐρρωμένου τοῦ σώματος καὶ αὐξομένου ἡ προσθήκη γίνεται πλείων τῆς ἀπορροῆς, παρακμάζοντος δὲ τοῦ σώματος 40
ἐλάττων ἡ προσθήκη τῆς ἀπορροῆς. πρὸς τοῦτο ἴσως τις εὐλόγως ἂν φαίη, ὅτι αὐξομένου τοῦ σώματος καὶ πρὸς τὸ τέλειον ὁδεύοντος οὐκ ἔστι μᾶλλον τὴν προσέλευσιν ὁρᾶν, καὶ διὰ τοῦτο τοῦ ἐκ τῆς ἀποχωρήσεως πάθους μὴ γίνεσθαι συναίσθησιν, διότι καὶ αὐτὴ ἡ ἀποχώρησις οὐδὲν ἔλαττον συμβάλλεται εἰς τὴν αὔξησιν καὶ διαμονὴν τῶν σωμάτων. χειμῶνος γοῦν αἱ πέψεις καλλίους καὶ αἱ ἐνέργειαι εὔτονοι· καὶ οὐκ ἂν ὅλως διήρκεσε

1 τὸ γεννητικὸν a ἡμῖν ἢ ἀπάγειν om. GT: ἢ ἀπάγειν ἡμῶν om. a 3. 5 om. lemm. pergit γένεσιν δὲ ἐνταῦθα a 3 προσελθεῖν] cf. Ar. codd. φησὶ γεννᾷ Z καὶ τὸ GT 5 ἐκ τοῦ μὴ GTa 6 καὶ (post δὲ) om. Z 9 οἷον R ἀπέτειοι a 11 λέγει Fa: λέγω cett. 12 τύχοι Z: τύχοι τε GRT: τυγχάνει F: τυγχάνειν (sic), καὶ a 13 παρακμάζειν GZa μὲν om. GT 14 et 19 προελεύσει R 14. 15 καίτοι — φήσας] πῶς — ἔφη a 15. 16 ὥστε δηλονότι μὴ μόνον ἐπὶ τῆς γενέσεως Z 21 ἐρωμένη T 22 αὔξει a πάσχειν a 23 προελεύσεως R 26 ἡ προσθήκης γίνεται a 27 τοῦτο δὲ ἴσως a εὐλόγως ἄν τις Z 29 τοῦ om. a 32 γοῦν Z: γὰρ R: οὐν GTa πέψεις GT[1] καλλίους om. R

τὰ τῶν ζῴων σώματα καὶ φυτῶν, ἀλλὰ ῥᾷστα ἂν ἐφθάρη, εἴπερ διὰ 65r
παντὸς προσήγγιζεν ὁ ἥλιος ὡς διὰ παντὸς θέρος εἶναι, ὡς δηλοῖ ἡ κεκαυ- 46
μένη ζώνη πλησίον ἀεὶ τὸν ἥλιον ἔχουσα καὶ ἀοίκητος οὖσα. τοσοῦτον
οὖν ῥητέον, ὅτι ἀφώρισε τῇ μὲν προσελεύσει τοῦ ἡλίου τὴν αὔξησιν τῇ
5 δὲ ἀποχωρήσει τὴν φθίσιν, οὐκ ἀκριβῶς ἑκατέρῳ θάτερον ἀπονείμας·
ἀλλ' ἐπειδή, καθάπερ φθάνομεν προειρηκότες, εἰ καὶ ἑκάτερον ἀμφότερα
ποιεῖ, καὶ γένεσιν καὶ φθοράν, ἀλλὰ μᾶλλον μὲν γένεσιν ἡ πρόσοδος τοῦ
ἡλίου, φθορὰν δὲ μᾶλλον ἡ ἀποχώρησις.

p. 336ᵇ9 Καὶ ἐν ἴσῳ χρόνῳ ἡ φθορὰ καὶ ἡ γένεσις ἡ κατὰ
10 φύσιν.

Εἰπὼν ὅτι εἰ διὰ πολλῶν περιόδων τὴν γένεσιν ἴσχοι τι, διὰ πολλῶν 50
περιόδων καὶ τὴν φθορὰν ὑπομενεῖ, καὶ ὅτι ἴσος ἐστὶν ὁ χρόνος τῆς γενέ-
σεως καὶ τῆς φθορᾶς, τουτέστι τῆς αὐξήσεως καὶ τῆς φθίσεως (οὕτως
γὰρ ἠξιώσαμεν ἐξ ἀρχῆς ἀκούειν), ἀναγκαίως προσέθηκε τὸ ἡ κατὰ
15 φύσιν, ἵνα μὴ τὴν τυχοῦσαν φθορὰν λάβῃς ἰσοχρόνιον οὖσαν τῇ γενέσει,
ἀλλὰ τὴν κατὰ νόμους φυσικοὺς γινομένην διὰ τῆς παρακμῆς ἐπὶ τὸ τέλος
ὁδεύσαντος τοῦ ζῴου. εἰ γάρ τις βιαία γένοιτο φθορά, οὐκέτι διὰ ἴσου
χρόνου ἐπὶ τὸ τέλος ἀφικνεῖται δι' ὅσου τὴν γένεσιν ἔσχε. βιαίους δὲ 65v
χρὴ λέγειν φθορὰς οὐ μόνον τὰς διά τι τῶν ἔξωθεν προσπιπτόντων, οἷον
20 τομὰς καὶ πτώσεις καὶ καύσεις καὶ τὰ τοιαῦτα, ἀλλὰ καὶ τὰς διὰ πλημ-
μέλειαν καὶ ἀταξίαν τῆς τροφῆς γινομένας. ὅπερ δὲ καὶ τούτων οὕτως
προσδιωρισμένων ὑπολείπεται ἄπορον, ἐκεῖνό ἐστιν ὅτι τοῦ βίου εἰ τύχοι
τοῦ ἀνθρωπίνου μέχρι ρκ' ἐτῶν προϊόντος ἡ ἀκμὴ πολλάκις τὸ μέγιστον 5
μέχρι μ' ἐτῶν μόνον πρόεισιν, ὡς εἶναι τὴν φθορὰν κατὰ τοῦτον τὸν
25 λόγον πολλῷ χρονιωτέραν τῆς γενέσεως καὶ μηκέτι ἐν ἴσῳ χρόνῳ γίνεσθαι·
πολλοὶ μὲν γὰρ μέχρι ρκ' ἐτῶν προῆλθον κατὰ τὴν ζωήν, οὐδεὶς δὲ μέχρι
ξ' ἐτῶν τὴν αὔξησιν ἔσχε καὶ τὴν ἐπὶ τὸ τελειότερον προκοπήν. εἰ δὲ
γένεσιν μὴ τὴν πρόοδον τὴν ἐπὶ τὸ τέλειον εἶδος ἄγουσαν λάβοιμεν, ἀλλὰ
τὴν κυρίως γένεσιν καὶ φθοράν, τὸ μὲν ἐν ἴσῳ χρόνῳ ἀμφότερα συμβαίνειν
30 ἀληθὲς ἔσται (ἡ γὰρ ἄλλου γένεσις ἄλλου φθορὰ δηλονότι· δι' ὅσου γάρ 10

---

2 ἡ R: ἢ cett. 6 ἐπειδήπερ Z 7 γένεσιν μὲν tr. R 9. 11 εἰπὼν δὲ om. lemm. a
9 χρόνῳ καὶ ἡ Arist. (praeter FH) 12 ἴσως GT χρόνος καὶ τῆς Z 13 οὕτω a
14 ἐξ ἀρχῆς ἠξιώσαμεν Z 15 ἰσοχρόνιος T: ἰσόχρονον Fa 16 τὴν om. GTa 18 βιαίας
FR: βιαίως a 19 λέγειν χρὴ Z προπιπτόντων R 20 καὶ καίσεις a
20. 21 πλημμελείαν a 21 γινομένης compend. R 21 et 22 ὅπερ δὲ καὶ et ἐκεῖνό
ἐστιν om. a, ubi οὕτω προδιωρισμένων 23 ἀνθρωπίου T: ἀνθρωπείου a 23. 24 ἑκα-
τὸν εἴκοσιν et τεσσαράκοντα libri praeter R 24 μόνων R φθορὰν (non τὴν) om. GT:
εἶναι κατὰ τοῦτον τὸν λόγον τὴν φθορὰν suppleverat a 25 λόγον πολυχρονιωτέραν R
26 μέχρι post ἐτῶν ponit Z ἑκατὸν εἴκοσιν Za ἔτους GT¹ 27 ἑξήκοντα a
ἔτους GTZ 27. 28 τελεώτερον προκοπὴν εἶδε· γένεσιν δὲ μὴ R 28 πρόοδον
libri praeter a τὴν ἐπί] ἣν ἐπὶ et mox ἄγουσι R 30 δι' R: καὶ δι' GT(Z)a
30. p. 294,1 γάρ τι γίνεται Z: γίνεταί τι (om. γάρ) cett.

τι γίνεται, διὰ τοσούτου φθείρεται ἄλλο), ἀλλ' οὐκέτι τοῦ αὐτοῦ γένεσιν 65ᵛ
καὶ φθορὰν λαμβάνομεν, ὅπερ φαίνεται λέγων ὁ Ἀριστοτέλης. ἀλλ' οὐδὲ
τό, εἰ διὰ πλειόνων περιόδων γίνοιτό τι, διὰ πλειόνων καὶ φθείρεσθαι
σύμφωνον τῇ τοιαύτῃ ἐξηγήσει· τὴν γὰρ κυρίως λεγομένην γένεσιν διὰ
5 πλειόνων περιόδων γινομένην οὐ ῥᾴδιον οὐδ' ἐπινοῆσαι. εἰ γάρ τις λέγοι
τὴν κύησιν λέγειν αὐτὸν γένεσιν, καὶ τὴν κυρίως δι' αὐτῆς σημαίνειν
γένεσιν τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν προάγουσαν, καὶ ὑποθώμεθά τι 15
ζῷον, καθάπερ τὸν ἐλέφαντα, διὰ πλειόνων περιόδων κυΐσκεσθαι, καὶ οὕτως
ἀδιανόητον τὸ λέγειν ὅτι δι' ὅσου χρόνου κυΐσκεται, διὰ τοσούτου καὶ
10 φθείρεται· ποίαν γὰρ καὶ χρὴ νοεῖν φθορὰν ἰσοχρόνιον τῇ κυήσει, οὐ
ῥᾴδιόν ἐστιν.

p. 336ᵇ10 Διὸ καὶ οἱ χρόνοι καὶ οἱ βίοι ἑκάστων ἀριθμὸν ἔχουσι καὶ τούτῳ διορίζονται.

Ἐπειδὴ τάξις ἐστὶν ἐν τοῖς γινομένοις, μεμετρημένου ὄντος τοῦ ἑκάστου
15 εἴδους τῇ φύσει συμβαίνει ἕκαστον δι' ὡρισμένου χρόνου ἐπὶ τὸ τέλειον 20
ἑαυτοῦ εἶδος ἀφικνεῖσθαι. ἴσου δὲ ὄντος τοῦ χρόνου τοῦ ἀπὸ γενέσεως
μέχρι τοῦ τελείου εἴδους καὶ τῆς ἀκμῆς τῷ ἀπὸ τῆς ἀκμῆς ἐπὶ τὴν κατὰ
φύσιν φθορὰν ἄγοντι, δῆλον ὅτι ὁ πᾶς βίος ἑκάστου ὡρισμένος ἐστὶ κατὰ
τὸν ἀριθμὸν ὡς τούτῳ διορίζεσθαι τὰ εἴδη ἐξ ἀλλήλων. ἄλλος μὲν γὰρ
20 βίος ἀνθρώπου ἄλλος δὲ ἵππου. καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου ὡσαύτως.
πλὴν ὅμως ἑκάστου εἴδους ὡρισμένος ὁ χρόνος· τοῦ γὰρ εἴδους τοῦ ἀν-
θρωπείου ὥρισταί τις βίος ὃν οὐ δυνατὸν ὑπερβῆναι, τῶν δὲ καθ' ἕκαστα 25
οὐκέτι ὥρισται ὁ χρόνος, πολλῶν καὶ ἐνδοτέρω τοῦ τεταγμένου χρόνου
τελευτώντων. ὥστε τοῦ μὲν εἴδους ὥρισται ὁ χρόνος ὃν οὐ δυνατὸν ὑπερ-
25 βῆναί τινα τῶν καθ' ἕκαστα, οὐχ ὁ αὐτὸς δὲ ἑκάστου τῶν καθ' ἕκαστα
βίος, ἀλλ' ἄλλος ἄλλου, πολλῶν μὲν ἐνδοτέρω τοῦ χρόνου ἀπολλυμένων
οὐδενὸς δὲ τοῦτον ὑπερβαίνοντος.

p. 336ᵇ15 Φαίνεται δὲ καὶ κατὰ τὴν αἴσθησιν ὁμολογούμενα τοῖς παρ' ἡμῶν λόγοις.

30 Εἰπὼν ἐξ ἀρχῆς ὅτι ἴσος ὁ χρόνος τῆς γενέσεως καὶ τῆς φθορᾶς τῆς 35
κατὰ φύσιν, νῦν τὴν πίστιν τούτου παρατίθεται ἐκ τῶν καθ' ἑκάστην
περίοδον τοῦ ἡλίου γινομένων γενέσεων καὶ φθορῶν. καθὼς γὰρ προειρή-

3 περιόδων γινομένων γίνοιτό R¹ 5 γινομένων R 6 κύησιν] κίνησιν T² 10. 14 οὐ ῥᾴδιόν ἐστιν. ταῦτα μὲν ἐπὶ πλέον ζητεῖσθω. ὁ δὲ καὶ τοὺς βίους ἑκάστων καὶ τοὺς χρόνους ἀριθμῶ διωρίσθαι φησίν. ἐπειδὴ γὰρ τάξις a 13 διωρίζονται R¹: διορίζεται GT 15 δι' ὡρισμένου scripsi: διωρισμένου (διὰ διωρ. a) libri 16 τοῦ ἀπὸ γενέσεως RZ: ἐπὶ τὸ τέλειον GTa 17 τῷ ἀπὸ τῆς ἀκμῆς om. R 18 ἄγουσι R 19 τὸν ἀριθμὸν τὸν τακτόν. ὡς a 23 ἐνδοτέρω] ἐν ἑτέρῳ a 25 μεθ' ἕκαστα priore loco GTa 26 ἀλλὰ ἄλλου GT: ἀλλ' ἄλλος καὶ ἄλλος a 27 τούτων GR¹T 28 καὶ om. GT 31 παρατίθεται τούτου Z 31. 32 τῶν καθέκαστον περιόδων libri praeter a 32 γενομένων Z

καμεν, ὁρῶμεν προσιόντος μὲν τοῦ ἡλίου γένεσιν ἀπιόντος δὲ φθορὰν ἐπα- 65r
κολουθοῦσαν, ἔστι δὲ ἡ προσέλευσις τοῦ ἡλίου ἰσόχρονος τῇ ἀποχωρήσει.
καλῶς δὲ κἀνταῦθα φθορὰν εἰπὼν τὴν κατὰ φύσιν προστέθεικεν· ἔστι
γὰρ καὶ ζῴων καὶ τῶν ἐπετείων καρπῶν φθορὰν βιαίαν νοῆσαι γινο-
5 μένην.

p. 336b20 Ἀλλὰ συμβαίνει πολλάκις ἐν ἐλάττονι φθείρεσθαι διὰ τὴν πρὸς ἄλληλα σύγκρασιν.

Τοῦτο οὐ πρὸς τὸ προσεχὲς ἀκουστέον, ἀλλὰ πρὸς τὸ ἀνωτέρω εἰρη-
μένον. εἰπὼν γὰρ ὅτι οἱ βίοι καὶ οἱ χρόνοι τεταγμένοι εἰσὶν εἴδους
10 ἑκάστου, ἐνταῦθά φησιν ὅτι συμβαίνει πολλάκις ἐν ἐλάττονι χρόνῳ τοῦ
τεταγμένου ἀπόλλυσθαι. καὶ τούτου αὐτοῦ πρόκειται αὐτῷ τὴν αἰτίαν
ζητῆσαι, τί δήποτε ἔνια τῶν καθ' ἕκαστα προαπόλλυται μὴ πληρώσαντα
τὴν φυσικὴν περίοδον. φησὶν οὖν τοῦτο συμβαίνειν διὰ τὴν πρὸς ἄλληλα
σύγκρασιν ἢ σύγκρουσιν· γέγραπται γὰρ διττῶς. εἰ μὲν ἔχοι σύγ- 45
15 κρασιν, εἴη ἂν τὴν τῶν στοιχείων αἰτιώμενος ἀμετρίαν καὶ ἀκρασίαν·
πολλάκις γὰρ ἡ ὕλη διὰ τὴν ἀνεπιτηδειότητα καὶ τὸ ἀνάρμοστον ἑαυτῆς
οὐ καταδέχεται τελείως τὸν ἄνωθεν κόσμον, ὡς διαλυθῆναι θᾶττον τὸ
ζῷον διὰ τὸ ἀσθενὲς τῆς συμπήξεως, μὴ διαρκούσης ἐπὶ πολλῶν τῆς κατὰ
τὴν ὕλην συγκράσεως ἐπὶ πολὺ τὴν χορηγουμένην ζωὴν καταδέξασθαι.
20 εἰ δὲ ἔχει σύγκρουσιν, δηλοῖ τὴν πρὸς ἄλληλα τῶν αἰτίων συντυχίαν, 50
φημὶ δὲ τοῦ τε ὑλικοῦ καὶ τοῦ ποιητικοῦ τοῦ τε προσεχοῦς καὶ τοῦ
πρώτου. αἴτιον γὰρ ποιητικὸν προσεχὲς μὲν ὁ πατήρ, πόρρω δὲ καὶ
πρῶτον τὰ οὐράνια· καὶ ἡ ὕλη δὲ καὶ ἡ τοιάδε προαίρεσις καὶ δίαιτα αἰτία
τῆς τοιᾶσδε συμπήξεως τῷ σώματι. ἐὰν οὖν συντύχῃ τοιόνδε μὲν εἶναι
25 τὸ παρὰ τοῦ πατρὸς σπέρμα καὶ τὸ παρὰ τῆς μητρὸς σπέρμα καὶ αἷμα
τοιόνδε [μὲν] (τὸ μὲν ⟨γὰρ⟩ αἷμα ὅλης λόγον ἐπέχειν φασί, τὸ δὲ σπέρμα
ποιητικοῦ αἰτίου), τύχῃ δὲ καὶ ἡ κατὰ τὴν κύησιν δίαιτα τῆς μητρὸς τοία
ἢ τοία, ἢ καὶ τὸ περιέχον δυσκρά|τως ἔχον ἄγαν, ὡς ἐκ τούτων τινὸς 66r
ἐμποδισθῆναι τὴν τῶν οὐρανίων κίνησιν τὴν τελεωτάτην ἐνέργειαν ἐπι-
30 δείξασθαι περὶ τὸ γεννώμενον καὶ κόσμον ἐναποθέσθαι τὸν προσήκοντα,
τηνικαῦτα φθορὰ ἀκολουθεῖ πρὸ τοῦ τεταγμένου χρόνου, διὰ τὸ συγκλω-
σθῆναι τὴν τοιάνδε ὕλην καὶ τἆλλα αἴτια τῇ τοιᾷδε κινήσει τῶν οὐρανίων,

---

2 ἰσοχρόνιος (G)a 3 προσέθηκεν Za 4 τῶν ζώων a ἐτείων FR 6 τὸ δὲ ἀλλὰ a πολλάκι (GRT)a 7. 8 διὰ — Τοῦτο om. a 7 σύγκρασιν S: σύγκρισιν GRT: σύγκρουσιν Z 9 οἱ βίοι om. GTa 13 φασὶν εἰ συμβαίνει R 14 σύγκρασιν Z ἢ σύγκρουσιν GRa: ἢ σύγκρισιν TZ καὶ εἰ μὲν a ἔχει GTa 20 ἔχοι GTa σύγκρουσιν] litterae ου in erasis T? αἰτιῶν R 22 προσέσχε μὲν R 23 οὐρανία a δὲ om. R αἴτια GT 26 [μὲν] delevit et ⟨γὰρ⟩ addidit a ὕλη T 27 αἴτιον R τῆς μητρὸς δίαιτα R 27. 28 τοιάδε ἐπέχει a σπέρμα] αἷμα Z 28 δυσκρατῶς Za: δυσκρατῶς R: δυστάκτως GT 29 τελειωτάτην R¹ ἢ τοιάδε a 30 καὶ om. R

τῆς ὕλης τὴν αἰτίαν τῆς ἀνωμαλίας, καθὼς προείρηται, ἐχούσης· ὥσπερ 66r
εἰ ἄτακτόν τι καὶ ἀνάρμοστον γένοιτο περὶ θρόνον ἢ ἀβάκιον διὰ τὴν τῆς
ὕλης ἀνεπιτηδειότητα μηδὲν ἁμαρτόντος τοῦ τεχνίτου. δύναιτο δὲ τὸ τῆς 6
συγκρούσεως λαμβάνεσθαι καὶ ἐπὶ τῶν οὐρανίων μόνων. ἐπειδὴ γὰρ οὐ
5 μόνος ὁ ἥλιος, ἀλλὰ καὶ οἱ ἄλλοι πλάνητες καὶ οἱ ἀπλανεῖς δέ, καὶ εἰ μὴ
τοσοῦτον, ἐνεργοῦσι γοῦν καὶ αὐτοὶ περὶ τὰς γενέσεις, τὴν τοιάνδε αὐτῶν
συνδρομὴν τῶν σχημάτων, ἣν καλεῖ σύγκρουσιν, αἰτίαν φησὶν εἶναι
ἄλλης ἄλλῳ προθεσμίας τοῦ βίου· πολλάκις γὰρ διὰ τὴν τοιάνδε πρὸς 10
ἄλληλα αὐτῶν συμπλοκήν, εὐδιάλυτον γίνεσθαι συμβαίνει τὸ ἐξ αὐτῶν δια-
10 πλαττόμενον σῶμα καὶ τὸν τῆς ζωῆς χρόνον ὀλίγον.

p. 336ᵇ25 Ἀεὶ δ', ὥσπερ εἴρηται, συνεχὴς ἔσται ἡ γένεσις καὶ ἡ φθορά. καὶ οὐδέποτε ὑπολείψει δι' ἣν εἴπομεν αἰτίαν. τοῦτο δ' εὐλόγως συμβέβηκεν.

Ἀποδεδωκὼς τὴν αἰτίαν δι' ἣν ἀεί ἐστι γένεσις, τήν τε ὑλικὴν καὶ 23
15 τὴν ποιητικήν, καὶ ὑλικὴν μὲν εἰπὼν τῆς ἀειγενεσίας αἰτίαν τὸ τὴν ἄλλου
γένεσιν ἄλλου εἶναι φθοράν, ποιητικὴν δὲ τὴν ἀίδιον κίνησιν τῶν οὐρανίων 25
(τῷ γὰρ ἐκεῖνα ἀιδίως κινεῖσθαι οὐδέποτε ἡ γένεσις ἐπιλείπει), νῦν τὴν
τελικὴν αἰτίαν ἀποδίδωσι δι' ἣν ἀεί ἐστι γένεσις, καί φησιν αἰτίαν εἶναι
τὸ πάντα αὐτοφυῶς τοῦ ἀγαθοῦ ἐφίεσθαι. ἡ γὰρ ἀρχὴ πάντων τὸ ἀγαθόν
20 ἐστι, πάντα δὲ τῆς οἰκείας ἀρχῆς ἐφίεται, ἀγαθὸν δὲ ἑκάστῳ ἐστὶ τὸ εἶναι
οὐχὶ τὸ μὴ εἶναι, πάντα ἄρα αὐτοφυῶς τοῦ εἶναι ἐφίεται. ἐπειδὴ οὖν
πᾶν τοῦ εἶναι ἐφίεται καὶ τοῦ βελτίονος, ἃ μὲν ἐγγυτέρω ἐστὶ τῆς ἀρχῆς
τῆς πρώτης, ταῦτα μετασχεῖν ἐδυνήθη τῆς ἀιδιότητος καὶ τοῦ ἀεὶ εἶναι 30
κατ' ἀριθμὸν τὰ αὐτά, οἷα τὰ οὐράνια, πλὴν μετὰ ὑφέσεως (μετὰ γὰρ
25 διαστάσεως καὶ τῆς κατὰ τόπον μεταβολῆς), ὅσα δὲ πορρωτέρω ἐστί, μὴ
δυνηθέντα διὰ τὸ ἀφεστηκέναι τῆς πρώτης ἀρχῆς, ἐξ ἧς τὸ εἶναι πᾶσι,
κατ' ἀριθμὸν εἶναι τὰ αὐτά, τὴν κατὰ τὸ εἶδος ἀιδιότητα ἔλαχεν, ἑκάστου
διὰ τὸ ἀεὶ εἶναι ἐφίεσθαι, μὴ δύνασθαι δὲ τῷ πόρρω ἀφεστηκέναι τῆς
ἀρχῆς, γεννῶντος ἄλλο οἷον αὐτὸ καὶ ταύτῃ τὴν φθορὰν ὑποκλέπτοντος.
30 καὶ αὐτὴν δὲ ἣν εἴληχε κατὰ τὸ εἶδος ἀιδιότητα, τῷ μιμεῖσθαι τὴν 35
κυκλικὴν κίνησιν τῶν οὐρανίων ἐκτήσατο· διὰ κύκλου γὰρ τὰ γεννώμενα
εἰς τὸ αὐτὸ ἀποκαθίσταται ὅθεν ἤρξατο. ἵνα γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου

2 εἰ ξύλον ἄτακτόν a ἀββάκιον GRT¹a 3 ἁμαρτῶντος GT¹ δύναται T
δὲ] δ' ἂν Za 4 συγκρούσεως a: συγκράσεως GRTZ μόνων Ra: μόνον GTZ
5 πλάνηται T² 6 τοσοῦτον δὲ ἐνεργοῦσι δ' οὖν Z 6 et 7 ⟨κατὰ⟩ τὴν et ⟨ταύτην δὴ⟩
αἰτίαν a 6 αὐτῶν] τῶν T¹ 9 εὐδιάλητον a συμβαίνει γίνεσθαι Z
16 τῶν οὐρανίων κίνησιν Z 17 γένεσις] κίνησις GT ἀπολείπει a νῦν δὲ τὴν R
20. 21 ἀγαθὸν δὲ — αὐτοφυῶς τοῦ εἶναι ἐφίεται om. R 23 τῆς prius om. a ἠδυνή-
θη Z 25 πορρωτέρα a 27 εἶναι] om. R: μὴ εἶναι GT 28 πόρρῳ a
29 ἀλλ' οἷον GT 30 κατὰ] καὶ Z 30. 31 τὴν κύκλῳ κίνησιν a 31 τὰ γενό-
μενα R: τὸ γεννώμενον Z 32 ἀποκαθίστασθαι T

γένηται, κύκλος ἀποτελεῖται· σπέρμα γὰρ πρῶτον, κἀκ τούτου ἔμβρυον, 66r
εἶτα παῖς καὶ μειράκιον καὶ ἀνήρ, καὶ πάλιν σπέρμα καὶ ἔμβρυον. δῆλον
ἄρα ὅτι ἡ τοῦ εἴδους διαδοχὴ ἐπ' εὐθείας οὖσα τῷ μιμεῖσθαι τὴν κύκλῳ
φορὰν τὴν ἀιδιότητα ἔχει.

5 p. 336b29 Τὸ δὲ εἶναι ποσαχῶς λέγεται, ἐν ἄλλοις εἴρηται.

Τὸ εἶναι διττῶς λέγεται, ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ. ἕκαστον γὰρ εἶναι 10
λέγεται ἢ τῷ εἶδος αὐτοῦ φυλάττεσθαι ἢ τῷ τὸν ἀριθμόν· τὰ μὲν γὰρ οὐράνια
λέγεται εἶναι τῷ κατ' ἀριθμὸν μένειν τὰ αὐτά, τὰ δὲ γενητὰ καὶ φθαρτὰ
κατ' εἶδος ἔχει τὸ ἀεὶ εἶναι. ταῦτα οὖν ἐστιν ἅ φησιν ἀλλαχοῦ διῃρῆσθαι
10 σημαινόμενα τοῦ εἶναι. διὰ μέσου δὲ παρεμβέβληται τοῦτο τὸ ῥησείδιον.
ὥστε αὐτὸ σιωπήσαντα συνάπτειν χρὴ ὅλον τὸ ῥητόν· 'ἐπειδὴ ἑκάστου φύσις
τοῦ βελτίονος ὀρέγεται, βέλτιον δὲ τὸ εἶναι ἢ τὸ μὴ ⟨εἶναι⟩, τὸ δὲ εἶναι
κατ' ἀριθμὸν ἀδύνατον ἐν ἅπασιν ὑπάρχειν διὰ τὸ πόρρῳ τῆς ἀρχῆς 45
ἀφίστασθαι, διὰ τοῦτο, φησί, τῷ λειπομένῳ τρόπῳ τὸ ὅλον ἀνεπλή-
15 ρωσεν ὁ θεὸς ἐνδελεχῆ ποιήσας τὴν γένεσιν.' καὶ ἐντεῦθεν δῆλον ὅτι
καὶ τῶν ἀιδίων πάντων αἴτιον οἴεται εἶναι τὴν πρώτην ἀρχὴν ὁ Ἀριστοτέλης.
ὡς γὰρ τοῦ θεοῦ ποιήσαντος καὶ τὰ ἀίδια καὶ πάντῃ ἀμετάβλητα, ποιήσαντος
δὲ καὶ τὰ ἀίδια μὲν κατ' οὐσίαν σωματοειδῆ δὲ καὶ διαστατὰ καὶ τὴν
κατὰ τόπον ἔχοντα μεταβολήν, ἐπήγαγε τὸ τῷ λειπομένῳ τρόπῳ ἀνε-
20 πλήρωσεν τὸ ὅλον ὁ θεός· ἵνα γὰρ τέλειος ᾖ ὁ κόσμος, ἔλιπεν ἄλλος 50
τρόπος δημιουργίας, τῶν ἀίδιον μὲν τὸ εἶδος ἐχόντων τῇ διαδοχῇ, κατ'
ἀριθμὸν δὲ γενητῶν ὄντων καὶ φθαρτῶν. τῇ τούτων οὖν προόδῳ ἀνε-
πλήρωσε τὸν ὅλον ὑπ' αὐτοῦ δεδημιουργημένον κόσμον, ἐνδελεχῆ καὶ
ἀδιάκοπον ποιήσας τὴν γένεσιν.

25 p. 336b32 Οὕτως γὰρ ἂν μάλιστα συνείροιτο τὸ εἶναι διὰ τὸ ἐγγύ-
τατα εἶναι τῆς οὐσίας τὸ γίνεσθαι ἀεὶ καὶ τὴν γένεσιν.

Οὕτω γὰρ ἄν, φησί, τὸ εἶναι καὶ ἡ ὕπαρξις τῶν ὄντων εἱρμὸν ἂν
ἔχοι καὶ τεταγμένην πρόοδον τῆς ὑποστάσεως, εἰ μετὰ τὰ κατ' ἀριθμὸν

---

1 κἀκ] καὶ T 5. 6 lemma om. pergit ἰστέον δ' ὅτι τὸ εἶναι διττῶς a 5 λέγεται] λέγομεν Arist. 6 ἢ (post εἴδει) om. Z 8 εἶναι] μένειν a τῷ T²a: τὸ R: τὸν GT¹ 9 ἀλαχοῦ GT¹ 9. 10 διειρῆσθαι (om. σημαινόμενα) Z 10 εἶναι ἀεὶ GT παρεμβέληται (alterum ε in eras.) R: παραβέβληται GT 11 χρὴ οὕτως ὅλον a 11. 12 ἡ ἑκάστου φύσις ὀρέγεται τοῦ βελτίονος Z 12 ἢ τὸ μὴ εἶναι ex Ar. scripsi: om. RZ: ἢ τὸ μὴ GTa 13 ὑπάρχειν om. GTa 15 ἐνδελεχῆ] cf. Bonitz Ind. Ar. p. 249a23 17 πάντα T 18 μὲν om. R 19 τρόπῳ om. T 19. 20 συνεπλήρωσε Ar.; at cf. v. 14 sqq. 20. 21 ἄλλος τρόπος εἴληπε (sic) traicit a 23 τὸν] τὸ GT 24 ἀδῖκοπον (sic) R ποιήσαν T 25. 28 οὕτω γὰρ ἂν φησι συνείροιτο τὸ εἶναι, δηλονότι ἡ ὕπαρξις καὶ τὸ εἶναι τῶν ὄντων οὕτως ἂν εἱρμὸν ἔχοι a 25 ἂν om. Z 25. 26 ἐγγύτατα RZ: ἐγγύτατα τὸ GT, et τὸ εἶναι τῆς οὐσίας iterat T 26 ἀεὶ om. Z

ἀίδια [δὲ] μένον|τα εἴη τὰ κατὰ τὸ εἶδος ἀίδια κατ' ἀριθμὸν δὲ γενητὰ 66v
καὶ φθαρτά. ἐγγὺς γὰρ κατὰ τὴν οὐσίαν ἐστὶ τὸ μὲν γίνεσθαι τῷ εἶναι
(τὸ δὲ εἶναι πανταχοῦ τὸ κυρίως καὶ ἀεὶ ὡσαύτως ἔχειν νόει), τῇ δὲ
ἀιδιότητι ἡ παλιγγενεσία. ἑκάτερον γὰρ τῷ ἑτέρῳ ἀντέθηκεν, τῷ μὲν
5 εἶναι τὸ γίνεσθαι, τῇ δὲ ἀιδιότητι τὴν ἀεὶ γένεσιν, ὅπερ διὰ τοῦ ἀεὶ
γίνεσθαι ἐσήμανεν. ὥστε ἐγγύτατά ἐστι ταῖς οὐσίαις ἀλλήλων τὰ ὄντα
καὶ ἀίδια τοῖς γενητοῖς καὶ ἀειγενεσίαν εἰληχόσιν εἰκότως ἐφεξῆς ἀλλήλων 5
ἴσχουσι τὴν πρόοδον.

p. 337a2 Κατὰ τὰ πάθη καὶ τὰς δυνάμεις.

10 Ἢ ἐκ παραλλήλου τὸ αὐτό, ἢ δυνάμεις μὲν τὰς ῥοπὰς αὐτῶν φησι,
καθ' ἃς αἱ κινήσεις, πάθη δὲ τὴν θερμότητα καὶ ψυχρότητα καὶ τὰς λοιπὰς
ποιότητας· ἤγουν δυνάμεις μὲν τὸ θερμὸν καὶ ψυχρόν, πάθη δὲ τὸ
ὑγρὸν καὶ ξηρόν.

p. 337a7 Ἅμα δὲ δῆλον ἐκ τούτων ὅ τινες ἀποροῦσι. 9

15 Ἐκ τῶν προειρημένων περὶ τῶν στοιχείων, ὅτι μεταβάλλοντα εἰς 15
ἄλληλα εἰς ταὐτὸ ἀνακυκλεῖται, κατὰ κύκλον τινὰ τῆς γενέσεως προϊούσης,
πόρισμα εὑρίσκει εἰς λύσιν τινὸς ἀπορίας ἐπιφερομένης. ἔστι δὲ ἡ ἀπορία,
πῶς ἑκάστου τῶν ἁπλῶν σωμάτων τὸν οἰκεῖον τόπον καταλαβεῖν σπεύδοντος
μὴ ἐκ πολλοῦ τὰ στοιχεῖα διεκρίθησαν, ἑκάστου τὸν οἰκεῖον τόπον κατα-
20 λαβόντος, ὡς μηκέτι μήτε ἄνω ὕδωρ ἢ γῆν εἶναι μήτε πῦρ κάτω. ἐπι-
λύεται δὲ τὴν ἀπορίαν ἐκ τῶν προειρημένων. εἰ μὲν γάρ, φησίν, ἀμετά-
βλητα ἦν τὰ στοιχεῖα, εἰκότως τοῦτο ἄπορον ᾤοντο οἱ οὕτως λέγοντες· 20
ἐπειδὴ δὲ μεταβάλλουσιν ἀεὶ εἰς ἄλληλα, εἰ καὶ τόδε τὸ πῦρ ἐκ τοῦ κάτω
τόπου διεκρίθη, ἕτερον γίνεται ἐξ ἀνάγκης, καὶ ἀεὶ ἔσται καὶ κάτω πῦρ
25 καὶ ἄνω γῆ καὶ ὕδωρ, μὴ ἀποκεκριμένης ἑκάστῳ χώρας· τοῦτο γὰρ ἂν
ἦν ἀμεταβλήτων ὄντων.

p. 337a12 Μεταβάλλει μὲν οὖν διὰ τὴν φορὰν διπλῆν οὖσαν.

Διπλῆν φησι φορὰν ἢ τὴν κατὰ τὸν λοξὸν κύκλον τῇ προσόδῳ καὶ

1 ἀίδια διαμένοντα a: equidem delevi δὲ 2 τῷ] τὸ GT 3 δὲ εἶναι] εἶναι δὲ a
νόει R: νοεῖ Z: νοεῖν GT: δεῖ νοεῖν a 4 ἀντέθεικεν GT 5 τῇ ἀιδιότητι τὴν ἀειγενε-
σιαν Z 7 εἰληχόσι. καὶ εἰκότως a 9 τὸ δὲ κατὰ a 11 καὶ τὴν ψυχρότητα Z
12 ἤγουν R: ἢ γοῦν (cett.) a τὸ ψυχρὸν καὶ θερμόν a 14 ἐκ τούτων om. Z
οἵτινες GT 15 περὶ] ἐκ Z 16 ἀνακυκλοῦται ex ἀνεγκυκλοῦται corr. R
κατά] καὶ τὰ GT[1] 18 τὸν om. add. T[2] 20 μήτε πῦρ a: μὴ δὲ πῦρ cett.
22 εἰκότως ἂν a ἄπορον τοῦτο Z: τοῦτο τὸ ἄπορον a οὕτω GTa 23 ἐπεὶ
δὲ (G)a 25 ἀποκεκριμένης TZ 27. 28 om. lemm. pergit διπλῆν δέ φησι a
27 διὰ τὴν διαφορὰν R 28 ἢ in erasis T[2]

ἀφόδω. ἤγουν διπλῆν, διότι κινοῦνται τὴν μὲν τῇ ἀπλανεῖ ἑπόμε- 66v
νοι ἀπὸ ἀνατολῶν ἐπὶ δυσμάς, τὴν δὲ ἰδίαν ἔμπαλιν ἀπὸ δυσμῶν ἐπὶ 25
ἀνατολάς.

p. 337a15 Διότι μὲν οὖν ἔστι γένεσις καὶ φθορὰ καὶ διὰ τίνα
5 αἰτίαν, καὶ τί τὸ γενητὸν καὶ φθαρτόν.

Ὅτι μὲν οὖν ἔστι γένεσις καὶ φθορὰ ἔδειξε, καὶ ὅπως ἔδειξεν εἴρηται ἡμῖν πρότερον, καὶ διὰ τίνα δὲ αἰτίαν ἔστι γένεσις καὶ φθορὰ δέδεικται, ἐκ τοῦ τὴν ὕλην δυνάμει εἶναι τὰ ἐναντία· οὖσα γὰρ πῦρ ἐνεργείᾳ δυνάμει ἐστὶν ὕδωρ, ἐνεργείᾳ δὲ ὕδατος γινομένης φθείρεται τὸ πῦρ. καὶ
10 τί τὸ γενητὸν καὶ φθαρτόν· ὅτι ὃ δύναται εἶναι καὶ μὴ εἶναι.

p. 337a17 Ἐπειδὴ ἀνάγκη εἶναί τι κινοῦν, εἰ κίνησις ἔσται. 29

Ὥσπερ ἐν ταῖς ἄλλαις πραγματείαις ἐποίησε, μὴ καταμείνας μέχρι τῶν φυσικῶν αἰτίων, ἀλλ' ἀναγαγὼν ἑαυτὸν ἐπὶ τὰ ἐξῃρημένα αἴτια (ἐν 35
γοῦν τῇ Φυσικῇ διαλεχθεὶς περὶ φυσικῆς κινήσεως ὕστερον ἐν τῷ ὀγδόῳ
15 λόγῳ ἀνήγαγεν ἑαυτὸν ἐπί τι ἐξῃρημένον πάσης φυσικῆς κινήσεως αἴτιον ἀκίνητόν τε ὂν καὶ ἀίδιον, εἰπὼν 'ἐκ τοιαύτης ἄρα ἀρχῆς ἀνήρτηται ὅ τε οὐρανὸς καὶ ὁ κόσμος', καὶ ἐν τῷ Περὶ ψυχῆς δὲ ὡσαύτως ἐκ τῶν περὶ ψυχῆς λόγων ἐπὶ τὸν νοῦν ἀναδραμών), οὕτως δὲ κἀνταῦθα εἰπὼν τῆς ἀειγενεσίας ποιητικὸν αἴτιον εἶναι τὴν κυκλοφορίαν τοῦ οὐρανοῦ, νῦν δείκ-
20 νυσιν ὅτι καὶ τῆς κυκλοφορίας ἐστί τι ἐξῃρημένον αἴτιον ἀιδίως κινοῦν, ὃ 40
ἀκίνητόν τέ ἐστι καὶ ἀίδιον καὶ ἀναλλοίωτον καὶ ἓν κατ' ἀριθμόν. εἰ γάρ, φησίν, ἔστι τι κινούμενον ἀίδιον κίνησιν καὶ συνεχῆ, ἀνάγκη εἶναί τι καὶ τὸ ἀιδίως κινοῦν ἀκίνητον ὂν καὶ ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ, συνεχῆ γε κινοῦν κίνησιν. καὶ εἰ πολλά γε εἴη, φησί, τὰ κινούμενα τοιαύτην
25 κίνησιν, ἀίδιόν φημι καὶ συνεχῆ, ἀνάγκη καὶ τὰ κινοῦντα πολλὰ εἶναι, ἑνὸς ὄντος καθ' ἑκάστην κίνησιν τοῦ ἀιδίως κινοῦντος. καὶ ταῦτα δὲ τὰ πολλά, εἴπερ εἴη συντεταγμένα καὶ μὴ ἀπηρτημένα ἀλλήλων, ἀνάγκη μιᾶς 45
ἠρτῆσθαι ἀρχῆς ἐξ ἧς καὶ τὴν τάξιν ἔχουσι. δῆλον ἄρα ὅτι μία ἐστὶν ἀρχὴ τῆς πάντων κινήσεως ἀίδιός τε καὶ ἀκίνητος.
30 Ἐπειδὴ ἀνάγκη εἶναί τι κινοῦν, εἰ κίνησις ἔσται, ὥσπερ εἴρηται πρότερον ἐν ἑτέροις. ὁ μὲν σύμπας λόγος εἴη ἂν τελείως

1 ἤγουν] ἢ FR: ἢ γοῦν (cett.) a τὴν μὲν RZ: τῇ μὲν GTa 4 lemma om. a 9 ἐστὶν ὕδωρ RZ: εἶναι τὰ ἐναντία GT: ἐστὶ τὸ ἐναντίον a 9. 10 καὶ τί—μὴ εἶναι om. a 11 Ἐπεὶ δ' a Arist. τι τὸ κινοῦν a; at cf. Ar. codd. EF εἰ] ἢ Z 13 αἰτιῶν GRa 16 ὅ τε] ὁ a 18 δραμὼν GRT οὕτω a 21 ἀναλοίωτον R 23 καὶ συνεχῆ (G)a 24 γε prius om. GT εἰ πολλάκις εἴη T 27 ἀπηρτισμένα R 28 ἠρτίσθαι R ἀρχῆς] ἐξ ἀρχῆς GT¹a 30. 31 Ἐπειδὴ—ἑτέροις omissis pergit εἴη δ' ἂν ὁ σύμπας λόγος τελείως a 31 τελείως om. Z

προφερόμενος τοιῶσδε· ἐπειδὴ ἀνάγκη οὔσης ἀιδίου κινήσεως καὶ συνεχοῦς 66v
εἶναί τι τὸ ἀιδίως κινοῦν ἓν καὶ ταὐτὸ τῷ ἀριθμῷ, ἔστι δὲ ἀίδιος κίνησις
καὶ συνεχής, ἔστιν ἄρα τὸ ἀιδίως κινοῦν ἓν τῷ ἀριθμῷ καὶ ἀκίνητον καὶ
ἀναλλοίωτον. ὁ μὲν πᾶς λόγος τοιοῦτός ἐστι, δοκεῖ δὲ ἐλλιπῶς προ-
5 ενηνέχθαι παρὰ τοῦ Ἀριστοτέλους, διὰ τὸ παραλελοιπέναι τὴν πρόσληψιν 50
καὶ τὸ συμπέρασμα ὑποθετικοῦ ὄντος τοῦ τρόπου. ὅτι μὲν γάρ, εἰ ἔστιν
ἀίδιος κίνησις, ἀνάγκη εἶναι καὶ τὸ ἀιδίως κινοῦν εἴρηκεν (ἐδείχθη γὰρ
ὅτι πᾶν κινούμενον ὑπὸ κινοῦντος κινεῖται), ὅτι δὲ ὅλως ἐστὶν ἀίδιος κίνησις
οὐ τέθεικε διὰ προσλήψεως, ὅτι δὲ καὶ ἀκίνητον ἔσται ἔλαβεν ὡς προα-
10 ποδεδειγμένον (δέδεικται γὰρ ὅτι καὶ τὸ πρώτως κινοῦν ἀκίνητόν ἐστιν),
ὡσαύτως δὲ καὶ τὸ συνεχοῦς οὔσης τῆς κινήσεως ἓν εἶναι καὶ ταὐτὸν τῷ
ἀριθμῷ, | καὶ τοῦτο δέδεικται ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς· εἰ γὰρ διά- 67r
φορα εἴη κατὰ διαδοχὴν τὰ κινοῦντα, ἀδύνατον συνεχὴ γίνεσθαι τὴν
κίνησιν. καὶ τὸ ἐν ἑτέροις δὲ εἴρηται πρότερον περὶ τῶν ἐν τῇ
15 Φυσικῇ δεδειγμένων εἴη ἂν λέγων.

p. 337a20 Καὶ εἰ πλείους αἱ κύκλῳ κινήσεις. πλείους μέν. πάσας δέ πως εἶναι ταύτας ὑπὸ μίαν ἀρχήν.

Εἰ πλείους εἶεν, φησίν, αἱ κύκλῳ κινήσεις, καὶ αἱ κινοῦσαι αἰτίαι πλείους
ἂν εἶεν, ἀλλὰ καὶ εἰ πλείους εἶεν, ἀνάγκη πάσας ὑπὸ μίαν εἶναι. τὸ δέ
20 πως προστέθεικε διὰ τὸ τὸ 'ὑπό' ἐπὶ τῶν κατὰ τόπον περιεχόντων κυρίως 5
λέγεσθαι.

p. 337a22 Συνεχοῦς δὲ ὄντος τοῦ χρόνου ἀνάγκη τὴν κίνησιν συνεχῆ εἶναι.

Τεθεικὼς κατὰ τὴν ἀρχὴν τῇ δυνάμει, εἰ καὶ μὴ φανερῶς, ὅτι ἔστι
25 συνεχὴς κίνησις. καὶ τὸ ἑπόμενον τούτῳ δείξας, ὅτι τὸ κινοῦν ταύτην τὴν
κίνησιν ἀίδιόν ἐστι καὶ ἀκίνητον καὶ ἓν τῷ ἀριθμῷ. νῦν τὴν πρόσληψιν
τὴν δυνάμει τεθεῖσαν κατασκευῆς ἀξιοῖ, ὅτι ἔστι συνεχὴς κίνησις, καὶ
δείκνυσιν αὐτὸ ἐκ τοῦ χρόνου. ἐπειδὴ γὰρ συνεχὴς ὁ χρόνος, ἀνάγκη
καὶ τὴν κίνησιν συνεχῆ εἶναι· μέτρον γὰρ κινήσεως ὁ χρόνος, καὶ κινήσεως 10
30 δηλονότι τῆς συνεχοῦς. ἔστι δὲ τοιαύτη ἡ κύκλῳ μόνη. ὁ τοίνυν χρόνος
μέτρον ἐστὶ τῆς κύκλῳ κινήσεως.

1 τοιόσδε a ἀιδίου οὔσης Z 2 τὸ om. T¹a ταυτὸ R: τὸ αὐτὸ Z: ταυτὸν GTa ἀίδιος] ἀϊδίως GTa 3 ἔστιν om. R 4 ἀλλοίωτον T ὁ μὲν δὴ πᾶς a ἐστι om Z ἐλλειπῶς GT¹a 4. 5 προενέχθαι a 9 ὡς om. add. T² 11 ἓν εἶναι] ἐνεῖναι R 12 ὀγδόῳ λόγῳ R 15. 18 λέγων. τοῖς δὲ εἰρημένοις συνάπτει ὅτι εἰ πλείους a 16 αἱ R: μὲν αἱ GTZ: εἶεν αἱ Ar. (praeter EF) πλείους μὲν om. R 17 πως hic et infra libri ταύτας ἀνάγκη Arist. (praeter EL?); cf. v. 19 18 φησίν om. a 19 εἶεν ἂν tr. Z 20 διὰ τὸ τὴν ὑπσ̄ a: τὸ ὑπό om. R 22. 24 om. lemm. pergit τεθεικὼς δὲ a 26 ἓν] ἐν R 28 συνεχὴν ὁ a 30 τῆς om. GTa ἡ om. Z

p. 337a25 Καθάπερ ἐν τοῖς ἐν ἀρχῇ λόγοις διωρίσθη. 67r

Τοὺς ἐν ἀρχῇ λόγους φησὶ τοὺς τῆς Φυσικῆς ἀκροάσεως· αὕτη γὰρ ἄρχει καὶ προηγεῖται τῆς φυσικῆς θεωρίας.

p. 337a25 Συνεχὴς δ' ἡ κίνησις πότερον τῷ τὸ κινούμενον 13
5 συνεχὲς εἶναι ἢ τὸ ἐν ᾧ κινεῖται;

Λαβὼν ὅτι ἔστι κίνησις συνεχὴς ἧς μέτρον ἐστὶν ὁ χρόνος, καὶ ὅτι αὕτη ἐστὶν ἡ τοῦ κυκλοφορικοῦ σώματος, νῦν ζητεῖ πόθεν τὸ συνεχὲς τῇ κινήσει, πότερον τῷ τὸ κινούμενον συνεχὲς εἶναι ἢ τῷ συνεχὲς εἶναι τὸ ἐν ᾧ ἡ κίνησις. τὸ δὲ ἐν ᾧ καὶ καθ' ὃ ἡ κίνησις, πάθος ἐστὶ καὶ 20
10 τόπος. τὸ μὲν οὖν πάθος οὐκ ἂν λέγοιτο συνεχὲς πλὴν ἢ κατὰ συμβεβηκός, τῷ τὸ πρᾶγμα ἐν ᾧ θεωρεῖται εἶναι συνεχές. τὸ γὰρ λευκὸν λέγομεν εἶναι συνεχὲς τῷ τὸ σῶμα ἐν ᾧ θεωρεῖται εἶναι συνεχές· τὸ γὰρ συνεχὲς τοῦ ποσοῦ ἐστι καὶ περὶ τοῦτο θεωρεῖται. εἰ δέ τις λέγοι ὅτι τὸ αὐξόμενον μεγέθους προσθήκῃ αὔξεται, καὶ ταύτῃ εὐλόγως τὴν αὔξησιν
15 συνεχῆ λέγεσθαι, φαμὲν ὅτι συνεχὲς νῦν φησιν ὁ Ἀριστοτέλης οὗ ἔστι τινὰ ἀεὶ ἐφεξῆς λαβεῖν, τῆς δὲ αὐξήσεως οὐκ ἔστιν ἀεὶ ἐφεξῆς λαβεῖν· οὐ γὰρ ἐπ' ἄπειρον αὔξεται τὸ αὐξόμενον. ὥστε τὸ πάθος οὐκ ἂν εἴη συνεχές. 25
εἰ οὖν ὑπάρξει τινὶ τῶν ἐν ᾧ ἡ κίνησις τὸ συνεχές, τῷ τόπῳ μόνῳ ὑπάρξει· μέγεθος γάρ τί ἐστιν ὁ τόπος. καὶ τούτῳ δὲ οὐ παντὶ ὑπάρχει
20 τὸ συνεχές, ἀλλὰ μόνῳ τῷ κύκλῳ· ἐπὶ τούτου γὰρ ἔστιν ἀεί τι ἐφεξῆς λαβεῖν, τῷ μὴ εἶναι ἀρχὴν μηδὲ πέρας. ἆρ' οὖν ἐπειδὴ ὑπάρχει τῷ κύκλῳ τόπῳ τὸ συνεχές, διὰ τὸν τόπον φαμὲν τὴν κίνησιν ἔχειν τὸ συνεχές; ὅπερ αὐτὸς μηκέτι ζητήσας ἀλλὰ παραλιπών, περὶ τοῦ κινουμένου ποιεῖται τὸν λόγον λέγων ὅτι τούτου δὲ τὸ κύκλῳ μόνον συνεχές, 30
25 καὶ ἐφεξῆς αὐτὸ αἰτιᾶται τῆς συνεχοῦς κινήσεως. καὶ τοῦτο εἰκότως. εἰ γὰρ καὶ ἔχει τὸ συνεχὲς ὁ τόπος, οὐκ ἐξ ἑαυτοῦ, ἀλλ' ἐκ τοῦ σώματος τοῦ ἐν αὐτῷ. οὐ γὰρ ἔχει καθ' ἑαυτὸν ὕπαρξιν ὁ τόπος κατὰ Ἀριστοτέλην, ἀλλὰ τῷ σώματι συνυφίσταται τῷ οὗ ἐστι τόπος· σχέσις γάρ τίς ἐστι τοῦ περιέχοντος πρὸς τὸ περιεχόμενον. ὥστε τῷ τὸ σῶμα εἶναι
30 συνεχὲς καὶ ὁ τόπος συνεχής. εἰκότως ἄρα τὸ αἴτιον τῆς συνεχείας τῆς κατὰ τὴν κίνησιν τῷ κινουμένῳ ἀποδίδωσι.

---

1. 2 om. lemm. pergit ἐν ἀρχῇ δὲ λόγους a 1 ἐν τοῖς] ἐνίοις R 3 προηγεῖσθαι GT 4 πότερον Za: πότερον τὸ κινούμενον GRT 5 ἢ τὸ (cf. Ar. cod. EFH)] ἢ τῷ a 6 κίνησιν R 7 αὐτὴ GT κυκλοφορητικοῦ GTa 8 ἢ om. GT 8. 9 συνεχὲς εἶναι τὸ om. GTa 9 ἡ alterum in erasis T² 11. 12 πρᾶγμα — τῷ τὸ om. a 13 καὶ bis Z 16 αὐξήσεως ἀεὶ οὐκ ἔστι Z 17 ἐπ' RZ: om. GT: εἰς a 19 τοῦτο R¹ 20. 21 ἐφεξῆς — ἐπειδὴ om. R 24 λέγων om. GTa ὅτι δὲ τούτου a τὸ] τῷ R 25 τῆς δὲ συνεχοῦς GT 26 καὶ om. R ἐξ αὐτοῦ R 29 πρὸς τῷ GT¹ 31. p. 302,2 ἀποδίδωσι. διὰ ὅ, τούτου φησὶ τὸ κύκλῳ μόνον συνεχὲς, τοῦ μεγέθους δηλονότι. ἐπιστῆσαι a

p. 337a30 Τούτου δὲ τὸ κύκλῳ μόνον συνεχές. 67r

Τούτου μέν φησι τοῦ μεγέθους. ἐπιστῆσαι δὲ χρὴ ὅτι ἐξ ἀρχῆς εἰπὼν "δῆλον δὴ τῷ τὸ κινούμενον", τουτέστι τῷ τὸ κινούμενον συνεχὲς εἶναι καὶ ἡ κίνησις συνεχής, εἶτα διὰ μέσου περὶ τοῦ τόπου εἰπών, ἐπήγαγε τὸ τούτου δὲ τὸ κύκλῳ μόνον συνεχές, οὐκέτι περὶ τοῦ τόπου, ἀλλὰ περὶ τοῦ κινουμένου σώματος· τὸ γὰρ κυκλοτερὲς σῶμα αὐτὸ ἑαυτῷ συνεχές ἐστι, τουτέστιν ἑαυτῷ συναπτόμενον καὶ οὐ πρὸς ἄλλο ἔχον συνέχειαν. ἐκ τούτου δέ, φησί, τοῦ συνεχοῦς μεγέθους καὶ ἡ κίνησις ἔχει τὴν συνέχειαν, ἐκ δὲ τῆς κινήσεως ὁ χρόνος. ὥστε τὸ μὲν μέγεθος τῇ κινήσει, ἡ δὲ κίνησις τῷ χρόνῳ αἴτιον τῆς συνεχείας.

p. 337a34 Ἐπεὶ δ' ἐν τοῖς συνεχῶς κινουμένοις κατὰ γένεσιν ἢ ἀλλοίωσιν ἢ ὅλως μεταβολὴν ὁρῶμεν τὸ ἐφεξῆς ὂν καὶ γινόμενον τόδε μετὰ τόδε.

Δείξας ἐν τοῖς προλαβοῦσιν ὅτι ὑπάρχει τῇ γενέσει τὸ συνεχές, ἐπειδὴ τοῖς συνεχῶς κινουμένοις κατὰ γένεσιν ἐστὶ τὸ ἐφεξῆς καὶ τὸ γίνεσθαι τὸ δεύτερον μετὰ τὸ πρότερον, ζητεῖ εἰ ἔστι τὸ ἐξ ἀνάγκης ἐν τοῖς γινομένοις ὡς ἀνάγκῃ ἀκολουθεῖν τῷ προτέρῳ τὸ δεύτερον, ἢ οὐδέν ἐστιν ἀνάγκῃ γινόμενον, ἀλλὰ πάντα ἐνδεχόμενα, ὡς ἐνδέχεσθαι καὶ γίνεσθαι καὶ μὴ γίνεσθαι. ἀλλ' ὅτι μέν, φησίν, ἔ|νια ἐνδεχομένην ἔχει τὴν ἔκβασιν, πρό- 67v δηλον, ἀλλ' εἰ μὴ πάντα ἐστὶ τοιαῦτα ζητητέον. ὅτι οὖν οὐ πάντα ἐνδεχομένην ἔχει τὴν ἐπὶ τοῖς προτέροις ἀκολούθησιν, ἀλλ' ἔνια καὶ τὸ ἐξ ἀνάγκης ἔχει, ἐφ' ὧν ἀδύνατον τὸ μὴ ἀκολουθεῖν τοῖς προτέροις τὰ δεύτερα, δείκνυσι διχῶς, ἔκ τε τῆς χρήσεως τῶν ὀνομάτων καὶ ἐξ αὐτῶν τῶν πραγμάτων. ἀπὸ μὲν τῆς χρήσεως, διότι ἐπὶ τῶν μηδέπω ὄντων, ἀλλ' εἰς τὸν μέλλοντα χρόνον ἔσεσθαι δυναμένων, εἰώθαμεν τῷ 'μέλλει' καὶ τῷ 'ἔσται' κεχρῆσθαι. τὸ μὲν ἔσται ἐπὶ τῶν ἐξ ἀνάγκης ἑπομένων τάττοντες (ἀληθοῦς γὰρ ὄντος τοῦ ἔσται, ἀνάγκη εἶναί ποτε ὅπερ ἔφαμεν ἔσεσθαι), τὸ δὲ μέλλει ἐπὶ τῶν ἐνδεχομένων καὶ μὴ γενέσθαι· ἀληθοῦς γὰρ ὄντος τοῦ μέλλει, δύναται καὶ μὴ ἐκβῆναι ὅπερ ἔφαμεν μέλλειν. καὶ μὴ ἐκβεβηκότος οὐκ ἐψεύσατο ὁ μέλλειν εἰπών· τὸ γὰρ μέλλει ἐν ἴσῳ ἐστὶ τῷ ἐνδέχεται, τὸ δὲ δύνασθαι καὶ ἐνδέχεσθαι οὐ πρὸς τὴν ἔκβασιν κρίνεται, ἀλλὰ πρὸς τὴν ἀκώλυτον ἐπιτηδειότητα. δύναται γὰρ τὸ ξύλον καυθῆναι

1 τὸ] τῷ R κύκλον GT 2 ἐπιστῆσαι om. R 3 δὴ] δὲ GTa: δὴ ὅτι Ar. 5 τόπου RZ: τόπου φησὶν GT: τόπου τοῦτο λέγων a 8. 9 ἐκ τούτου — συνέχειαν om. GTa 11 συνεχές] ἐφεξῆς Z 17 ἀνάγκῃ (utrobique) codices: ἐξ ἀνάγκης altero loco a 20 τοιαῦτα] ταῦτα GT 23 τριχῶς GT 24 ἐπὶ μὲν τῶν R 26 χρῆσθαι FZa τὸ] τῷ a ἑπομένων FR: ἐσομένων cett. 27. 28 ἀληθοῦς — μὴ γενέσθαι om. GT: τὸ δὲ μέλλειν ἐπὶ τῶν ἐνδεχομένων suppleverat a 30 ἐψεύσαντο R¹ μέλλει] μέλλειν a 32 γὰρ om. GTa

κἂν μηδέποτε καυθῇ, καὶ ἡ παρθένος δύναται συνελθεῖν ἀνδρὶ κἂν μηδέ- 67v
ποτε συνέλθῃ. οὕτως τοίνυν εἰ μὲν φαίημεν ὅτι μετὰ τὸ ἔαρ ἔσται θέρος, 11
καὶ ἀνάγκη εἶναί ποτε τὸ θέρος * * * λέγομεν τοῦ σπέρματος καταβλη-
θέντος ὅτι μέλλει φῦναι στάχυς καὶ δυνατὸν φῦναι, ἀληθοῦς οὔσης τῆς
5 ἀποφάνσεως ἐνδέχεται μὴ φῦναι, διότι ἐνδεχομένη ἦν ἡ ἔκβασις. τοῦτον
μὲν οὖν τὸν τρόπον ἐκ τῆς χρήσεως πιστοῦται τὸ προκείμενον, ἐκ δὲ τῶν
πραγμάτων τῆς διαφορᾶς οὕτως. ἐπειδὴ τῶν ὄντων τὰ μὲν ἐξ ἀνάγκης ἔχει 15
τὸ εἶναι καὶ ἀδύνατον αὐτὰ μὴ εἶναι, τὰ δὲ δυνατὸν καὶ εἶναι καὶ μὴ εἶναι,
τὸν αὐτὸν τρόπον ἕξει κἀπὶ τῶν γινομένων, ὡς τὰ μὲν ἐξ ἀνάγκης γίνεσθαι
10 τὰ δὲ ἐνδεχομένως· εἴ τι μὲν γὰρ ἐξ ἀνάγκης ἔχει τὸ εἶναι, τοῦτο καὶ
τὴν γένεσιν ἐξ ἀνάγκης ἔχει. οἷον ὁ ἥλιος ἐν Κριῷ ὢν ἐξ ἀνάγκης τὸ
εἶναι ἔχει· οὐ γὰρ δυνατὸν ἦν μὴ εἶναι αὐτὸν ἐκεῖσε δηλονότι, καὶ ὅταν
μήπω ἦν, ἐξ ἀνάγκης ἐκεῖ γενήσεται, καὶ ἀδύνατον μὴ γενέσθαι ἐκεῖ.
ὡσαύτως δὲ ὅπερ ἐνδεχομένως ἔχει τὸ εἶναι, ἐνδεχομένην ἕξει καὶ τὴν 20
15 γένεσιν, ἅτε δὴ δυνάμενον καὶ εἶναι καὶ μὴ εἶναι. οἷον εἰ τὸ εἶναι τὴν
οἰκίαν ἢ γραμματικὸν εἶναι ἢ τέκτονα ἐνδεχομένως ἐστί, καὶ ἡ τούτων
γένεσις ἐνδεχομένη ἐστί· δυνατὸν γὰρ ἦν καὶ μὴ εἶναι μηδὲ γενέσθαι τούτων
ἕκαστον. καὶ εἰ μὴ ἀναγκαῖον ἔχει τὸ εἶναι ὅδε τις ὁ στάχυς, ἀλλ' ἐνδέχετο
καὶ μὴ εἶναι, δῆλον ὅτι καὶ ἡ τούτου γένεσις οὐκ ἀναγκαίως ἠκολούθησε
20 τῇ τοῦ σπέρματος εἰς γῆν καταβολῇ, ἀλλ' ἐνδέχετο καὶ μὴ ἀκολουθῆσαι.
Ἆρ' οὖν οὐδαμῶς, φησίν, ἐπὶ τούτων τὸ ἐξ ἀνάγκης ἐστί, λέγω δὴ 25
τῶν ἐνδεχομένων εἶναι καὶ μὴ εἶναι; ἢ ἔστι πως κἂν τούτοις τὸ ἀναγκαῖον,
καθ' ὅ φαμεν τοῦ δευτέρου ὄντος ἐξ ἀνάγκης προηγήσατο τὸ πρότερον;
καρπῶν γὰρ γενομένων ἐξ ἀνάγκης προκατεβλήθη τὸ σπέρμα. ὅπερ ἐξ
25 ὑποθέσεως ἀναγκαῖον ὀνομάζει. χρὴ γὰρ εἰδέναι ὅτι διττοῦ ὄντος τοῦ
ἀναγκαίου, τοῦ μὲν ἁπλῶς λεγομένου ἀναγκαίου καθ' ὅ φαμεν τῷ προτέρῳ
τὸ δεύτερον ἐξ ἀνάγκης ἀκολουθεῖν, τοῦ δὲ ἐξ ὑποθέσεως καθ' ὃ τοῦ δευ-
τέρου ἐκβεβηκότος ἐξ ἀνάγκης τὸ πρότερον ὑπέστη, κατὰ μὲν τὸ ἐξ ὑπο- 30
θέσεως ἀναγκαῖον πάντα τὰ ὄντα καὶ γινόμενα ἀλλήλοις κοινωνεῖ (πάντα
30 γὰρ κοινῶς μετέχει τούτου καὶ ἐν πᾶσι θεωρεῖται καὶ ἔστιν ἀναγκαῖα),
κατὰ δὲ τὸ ἁπλῶς ἀναγκαῖον οὐκέτι κοινωνεῖ ἀλλήλοις πάντα· οὐ γὰρ
ἕκαστον τῶν ἐξ ἀνάγκης ἐστίν, ἀλλὰ πολλὰ καὶ εἶναι καὶ μὴ εἶναι ἐνδέχεται.
δῆλον τοίνυν ὡς ἐφ' ὧν μέν ἐστι τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον, οὐ πάντως
ἐστὶ τὸ ἁπλῶς ἀναγκαῖον· ἐφ' ὧν δὲ τὸ ἁπλῶς ἀναγκαῖον, ἐπὶ τούτων
35 καὶ τὸ ἐξ ὑποθέσεως ὑπάρξει ἀναγκαῖον, ὡς ἀντιστρέφειν καὶ τοῦ δευτέρου 35

---

2 οὕτω a 3 λέγομεν RZ: καὶ ἐὰν λέγωμεν GT: lacunam signavi (fort. ⟨εἰ δὲ⟩)
4 ὅτι bis T καὶ ἀληθοῦς a 5 ἀποφάσεως libri τοῦτο^ν R 8 καὶ (post δυνατὸν) om. Z 9 ἕξει om. a 10. 11 τὸ εἶναι — ἔχει om. GT: coniectura suppleverat a, qui τοῦτο om. 12 καὶ ὅταν καὶ Z 13 ἦν] ᾖ emendat a 15 καὶ (ante μὴ) iterat init. vers. Z 16 εἶναι om. GTa 18 ὅδε τις om. R 19. 20 καὶ μὴ — ἐνεδέχετο om. R 19 ἀναγκαῖος T 22 ἢ om. R πῶς libri 23 fort. φαμεν ⟨ὅτι⟩ 25 ὀνομάζει ἀναγκαῖον a 32 πολλὰ] πολὺ R 34 ἐφ' ὧν δὲ τὸ ἁπλῶς ἀναγκαῖον om. Z

ὄντος εἶναι τὸ πρότερον ἐξ ἀνάγκης καὶ τοῦ προτέρου ὄντος ἐξ ἀνάγκης 67r
ἀκολουθεῖν καὶ τὸ δεύτερον. ἀλλ' οὐ διὰ τὸ πρότερον, φησίν, ἀλλὰ
δι' ἑαυτό. ὅταν γὰρ τῷ προτέρῳ τὸ δεύτερον ἐξ ἀνάγκης ἕπηται,
οὐ διὰ τὸ πρότερον ἕπεται, ἀλλὰ διὰ τὴν ἑαυτοῦ φύσιν, διότι τοιοῦτόν
5 ἐστι φύσει ὡς ἀδύνατον εἶναι μὴ γενέσθαι. διὸ καὶ ἁπλῶς ἀναγκαῖον
αὐτὸ εἰκότως ὠνόμασεν, διότι ἐξ ἑαυτοῦ τὸ ἀναγκαῖον ἔχει καὶ φύσει
ἐστὶν ἀναγκαῖον, τοῦ ἑτέρου κατὰ ὑπόθεσιν οὐ κατὰ φύσιν ἔχοντος τὸ 10
ἀναγκαῖον, ἀλλὰ μετὰ τὴν ἀπόβασιν λεγομένου τὸ ἐξ ἀνάγκης ἔχειν·
ὑποθέμενοι γὰρ τὸ δεύτερον ἐκβεβηκός, ἐξ ἀνάγκης φαμὲν τὸ πρότερον
10 προϋπάρξαι.

Ταῦτα οὕτως εἰρηκὼς δείκνυσιν ἐφεξῆς ὅτι τὸ ἁπλῶς ἀναγκαῖον τοῖς
κύκλῳ κινουμένοις μόνον ὑπάρχει, καὶ οὐ τοῖς ἐπ' εὐθείας. ὅτι δὲ ἀδύ-
νατον τοῖς ἐπ' εὐθείας ὑπάρχειν τὸ ἁπλῶς ἀναγκαῖον, κατασκευάζει ἐκ
διαιρέσεως. τὸ γὰρ ἐπ' εὐθείας, φησί, κινούμενον ἤτοι ἐπ' ἀπείρου ἢ ἐπὶ 15
15 πεπερασμένης εὐθείας κινεῖται· οὔτε δὲ τοῖς ἐπ' ἀπείρου εὐθείας κινου-
μένοις ὑπάρξει τὸ ἁπλῶς ἀναγκαῖον, οὔτε τοῖς ἐπὶ πεπερασμένης. τοῖς
μὲν ἐπ' ἀπείρου εὐθείας κινουμένοις οὐχ ὑπάρξει τὸ ἁπλῶς ἀναγκαῖον
διότι τὸ ἁπλῶς ἀναγκαῖον ἐλέγομεν εἶναι ἔνθα τῷ πρώτῳ τὸ δεύτερον ἐξ
ἀνάγκης ἀκολουθεῖ, ἐπὶ δὲ τοῦ ἀπείρου οὐκ ἔστι τὸ πρῶτον καὶ τὸ ὕστερον·
20 ἄναρχον γὰρ καὶ ἀπεράτωτον. οὐδὲ γὰρ ἐπὶ τῶν γεγονότων δυνατὸν τὸ
ἐξ ἀνάγκης ἁπλῶς λαβεῖν, ὥστε λέγειν διὰ τὸ πρότερον ἠκολουθηκέναι τὸ 50
γεγονὸς δεύτερον· ὅλως γὰρ οὐκ ἔστιν ἀρχὴν λαβεῖν οὔτε πρῶτον τοῦ
ἀπείρου. εἰ δὲ μὴ ἔστι τὸ πρῶτον λαβεῖν, οὐδὲ τὸ δεύτερον ἔσται. οὐ-
κοῦν οὐδὲ τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον ἔσται. ὅλως γὰρ οὐδὲ γενέσθαι τι
25 δυνατὸν ἐπὶ τοῦ ἀπείρου. ἕκαστον γὰρ τῶν λαμβανομένων ὡς γεγονὸς
ἄπειρον ἔχει τὸ διάστημα τὸ μέχρι τῆς ἀρχῆς, ὅπερ ἀδύνατον ἦν διεξελθὸν
καταντῆσαι ἐν ᾧ γέγονεν. οὕτως μὲν οὖν ἐπὶ τῶν γεγονότων, ὡσαύτως 68r
δὲ καὶ τῶν γενησομένων ἀδύνατον ἐπὶ τοῦ ἀπείρου τὸ ἁπλῶς ἀναγκαῖον·
οὐδὲ γάρ ἐστι τὸ ὕστερον ἐν τῷ ἀπείρῳ. οὐχ ἕξει ἄρα χώραν εἰπεῖν
30 ὅτι εἰ τόδε γέγονε, καὶ τὸ ὕστερον ἕψεται. ὅτι μὲν οὖν τοῖς κατ'
εὐθεῖαν ἐπ' ἄπειρον κινουμένοις οὐχ ὑπάρχει τὸ ἁπλῶς ἀναγκαῖον, ἐκ
τούτων δῆλον· ὅτι δὲ οὐδὲ τοῖς ἐπὶ πεπερασμένης εὐθείας, δείκνυσι
τοῦτον τὸν τρόπον. τὸ ἁπλῶς ἐξ ἀνάγκης γίνεσθαι τοῦτό ἐστιν, ὃ ἀδύ- 5
νατόν ἐστι μὴ γίνεσθαι· ὃ δὲ ἀδύνατόν ἐστι μὴ γίνεσθαι, ἀεὶ γίνεται·
35 τὸ δὲ ἀεὶ γίνεσθαι ἐπὶ πεπερασμένης εὐθείας ἀδύνατον. τοῦ γὰρ ἀεὶ
γίνεσθαι διχῶς νοουμένου, ἢ κατὰ τὸ συνεχῆ καὶ μίαν ἀεὶ τὴν γένεσιν
εἶναι ἢ κατὰ τὸ πάλιν καὶ πάλιν γίνεσθαι (ὡς ὅταν φῶμεν τὸν ἥλιον ἐξ

1 εἶναι τὸ πρότερον ἐξ ἀνάγκης] ἐξ ἀνάγκης ἀκολουθεῖν τὸ πρότερον Z 3 ἐξ ἀνάγκης τῷ προτέρῳ τὸ δεύτερον Z 7 καθ' ὑπόθεσιν GTa 14 ἐπὶ (post ἢ) om. a 16 περασμένοις T¹Z 19 ὕστερον] δεύτερον R 20 ἀπαράτωτον T 21 ὥστε] ὥσπερ GT 22 γεγονὼς compend. R οὔτε] fort. οὐδὲ 23 τὸ πρῶτον a: τὸ πρώτως ceff. 26 ἔχειν G 27 οὕτω a 34 ἐστι priore loco om. Z 35. 36 γὰρ ἀεὶ δύνασθαι διχῶς Z 37 γενέσθαι R

ἀνάγκης ἐν Κριῷ γίνεσθαι καὶ ἀεὶ ἐν Κριῷ γίνεσθαι, οὐ τῷ διὰ παντὸς 68r
ἐν Κριῷ κατὰ τὸ συνεχὲς γίνεσθαι, ἀλλὰ τῷ πάλιν καὶ πάλιν, καὶ τοῦτ'
ἀεί), εἰ μὲν τὸ ἐξ ἀνάγκης γίνεσθαι ἐπὶ τῆς πεπερασμένης εὐθείας τοιοῦτον 10
λάβῃς, ὡς συνεχῆ καὶ μίαν εἶναι τὴν γένεσιν, ἀδύνατον. συμβήσεται
5 γάρ, φησίν, ἀεὶ εἶναι τὸ ἐνδεχόμενον μὴ ἀεὶ εἶναι· τὸ γὰρ
ἐπὶ πεπερασμένης εὐθείας κινούμενον περανθείσης τῆς εὐθείας παύεται
τῆς κινήσεως καὶ οὐκέτι κινηθήσεται. ὅπερ οὖν ἀδύνατον ἀεὶ κινεῖσθαι,
ἐξ ἀνάγκης ἀεὶ κινούμενον ὑποτίθενται οἱ φάσκοντες ἐξ ἀνάγκης ἐπὶ
πεπερασμένης εὐθείας ἀεὶ κινεῖσθαι. εἰ δέ τις τὸ ἀεὶ κινεῖσθαι ὑπό-
10 θοιτο κατὰ τὸ πάλιν καὶ πάλιν κινεῖσθαι, ἀίδιόν τινα ἀνάκαμψιν εἰσάξει, 15
ἥτις τῇ ἀνακυκλήσει μόνως ὑπάρχει· ἐπὶ γὰρ εὐθείας οὐκ ἔστιν ἀνάκαμψις
ἀιδίως γινομένη. καὶ δῆλον μὲν πρῶτον ἐκ τῆς ἐναργείας, τῷ μηδὲν
εἶναι τοιοῦτον ὃ ἐπ' εὐθείας ἀιδίως ἀνάκαμψιν ποιεῖται· ἔπειτα εἰ τὸ
ἀιδίως κινούμενον ἀίδιόν ἐστι, τὸ δὲ ἀίδιον ἀιδίαν ἔχον τὴν δύναμιν οὐ
15 ποτὲ μὲν κινηθήσεται ποτὲ δὲ οὔ, ἀλλ' ἀεὶ κατὰ τὸ συνεχές, ἡ δὲ ἐπ'
εὐθείας κίνησις ἀνακάμπτουσα οὐ μένει συνεχὴς ἀλλ' ἐν μέσῳ ἡσυχίᾳ
διαλαμβάνεται, ἀδύνατον ἄρα ἀιδίως κατὰ συνέχειαν ἐπὶ πεπερασμένης 20
εὐθείας κινηθῆναι. καὶ ἄλλως οὐδὲν τῶν ἐπ' εὐθείας κινουμένων ἀίδιόν
ἐστιν, ἀλλὰ πάντα γενητά ἐστι καὶ φθαρτά. εἰ τοίνυν δέδεικται μήτε τοῖς
20 ἐπ' ἀπείρου μήτε τοῖς ἐπὶ πεπερασμένης εὐθείας κινουμένοις τὸ ἁπλῶς
ἀναγκαῖον ὑπάρχον, δῆλον ὅτι τοῖς ἐπ' εὐθείας ὅλως κινουμένοις μὴ ὑπάρξει.
τῇ κύκλῳ ἄρα· μόνη γὰρ ἡ κύκλῳ φορὰ τὸ ἁπλῶς ἀναγκαῖον ἔχει, ἐπειδὴ
καὶ μόνη ἡ κύκλῳ κίνησις ἀίδιος, μία οὖσα καὶ συνεχὴς κίνησις. τὰ δὲ 25
μέρη τῆς κινήσεως αὐτῆς τῷ μὲν ἀριθμῷ διάφορά ἐστι, τῷ εἴδει δὲ τὰ
25 αὐτά· ἡ γὰρ ἀπὸ Κριοῦ ἐπὶ Ταῦρον κίνησις τῇ ἀπὸ Ταύρου ἐπὶ Διδύμους
τῷ μὲν ἀριθμῷ οὐχ ἡ αὐτὴ εἴδει δὲ ἡ αὐτή, καὶ αἱ περίοδοι δὲ τῶν
ἀποκαταστάσεων εἴδει μὲν αἱ αὐταὶ διάφοροι δὲ τῷ ἀριθμῷ. μόνῃ ἄρα
τῇ ἀνακυκλήσει ὑπάρχει τὸ ἐξ ἀνάγκης καὶ ἀιδίως πάλιν καὶ πάλιν γίνεσθαι,
ὡς ὅταν εἴπωμεν τὸν ἥλιον ἐν Κριῷ ἐξ ἀνάγκης γίνεσθαι, διότι οὐδέποτε
30 διαλείπει κατὰ ἐνιαυσιαίαν περίοδον ἐν Κριῷ γινόμενος. ὥστε δέδεικται 30
ἐκ τῶν λελεγμένων ὅτι τὸ ἀναγκαῖον, εἴτε τὸ κατὰ τὴν συνεχῆ καὶ ἀδιάκοπον κίνησιν θεωρούμενον εἴτε τὸ κατὰ τὸ πάλιν καὶ πάλιν τῇ ἀνακυκλήσει νοούμενον λάβωμεν, μόνως τοῖς κύκλῳ κινουμένοις ὑπάρξει.

δυνάμενα συνδυάζεσθαι (τοῦτο δὲ ταὐτόν ἐστι τῷ πότερον ἔχουσι τὸ ἄρρεν
καὶ τὸ θῆλυ) ἢ οὔ; εἰ μὲν οὖν μὴ δύνανται συνδυάζεσθαι μηδ' ἔχειν τὸ
ἄρρεν καὶ τὸ θῆλυ, ἔδει μηδὲ τὰ σκωλήκια ἔχειν τὸ ἄρρεν καὶ τὸ θῆλυ·
διὰ τίνα γὰρ αἰτίαν τὰ μὲν τῶν σκωληκίων ἔκγονα ἀνομοειδῆ ὄντα τοῖς 40
σκωληκίοις οὐκ ἔχουσι τὸ ἄρρεν καὶ τὸ θῆλυ, τὰ δὲ σκωλήκια ἀνομοειδῆ
ὄντα ταῖς ψύλλαις ἕξουσιν; εἰ δὲ ἕξουσι καὶ τὰ τῶν σκωληκίων ἔκγονα τὸ
ἄρρεν καὶ τὸ θῆλυ καὶ δύνανται καὶ συνδυάζεσθαι καὶ γεννᾶν, ὁμοειδῆ
μὲν οὐκ ἂν γεννήσαιεν· ἔδει γὰρ καὶ τὰ σκωλήκια ἐξ ὁμοειδῶν γενέσθαι·
γεννήσουσιν ἄρα ἀνομοειδῆ, κἀκεῖνα πάλιν ἕτερα ἀνομοειδῆ διὰ τὰς αὐτὰς
ἀνάγκας, καὶ οὕτω προβήσεται ἡ τῶν ἀνομοειδῶν φύσις εἰς ἄπειρον, ὅπερ
ἀδύνατον.

Λέγει δὲ ἐν τοῖς φυτοῖς λέγεσθαι τὸ ἄρρεν καὶ θῆλυ καθ' ὁμοιότητα 45
καὶ ἀναλογίαν. τὰ μὲν γὰρ καρποφόρα θήλεα· τῶν γὰρ θηλέων τὸ γεννᾶν 4v
ἐν ἑαυτοῖς· τὰ δὲ μὴ τοιαῦτα ἄρρενα. ὁ δὲ ἰξὸς καθ' αὑτὸν μὲν οὐ γίνεται,
ἀλλ' ἐν τῇ δρυί· ἔστι γὰρ ὁ ἰξὸς ἐν τῇ δρυὶ ἔτι ὢν ὅμοιος τοῖς ψύλλοις 5
τοῦ κισσοῦ. τοῦτον οὖν συναγαγόντες οἱ ἰξευταὶ καὶ ἐν χύτρᾳ καινῇ ἐναπο-
τιθέντες κατορύττουσιν αὐτὸν μετὰ τῆς χύτρας ἐν τῇ κόπρῳ, καὶ ἐν ταύτῃ 10
σαπείς, εἶτα ἐλαίῳ μαλαχθεὶς ἀποτελεῖται ὁ ἐπαλειφόμενος ἰξὸς ἐν τοῖς
κλαδίοις πρὸς τὴν τῶν στρουθῶν θήραν.

Ἐπιβάλλοντα δὲ λόγον λέγει τὸν ἁρμόδιον καὶ προσήκοντα. ἐν δὲ 15
τῇ λέξει τῇ ἀπὸ τῶν εἰρημένων συνείροντας εἰρημένα λέγει τὸ ἄρρεν
καὶ τὸ θῆλυ. ἐν δὲ τῇ μετ' αὐτὴν πάλιν λέξει τῇ τοῦτο δὲ μάλιστ'
ἄν τις πιστεύσειε θεωρῶν πῶς γίνεται τὸ σπέρμα τὸ τοῦτο δηλω- 20
τικόν ἐστι τοῦ ὅτι δὲ τῆς γενέσεως ἀρχαὶ τὸ ἄρρεν ἐστὶ καὶ τὸ θῆλυ·
τοῦτο πιστεύσειεν ἄν τις θεωρῶν πῶς γίνεται τὸ σπέρμα, καὶ πόθεν. ἡ δὲ 25
τοῦ σπέρματος ἀπόκρισις (λεγέσθω γὰρ νῦν σπέρμα καὶ τὸ καταμήνιον)

1 καὶ τὸ θ. K 2 αὐτοῖς K 7 αὐτὰς ψύλλας a 8 ἑαυταῖς Ka
9 δύναται IL 9 et 10 πρότερον IL 12 μηδὲ] καὶ IL post σκωλήκια
add. μὴ L τὸ θῆλυ καὶ τὸ ἄρρεν coll. I 13 σκωλήκων I 14 τὸ ante
θῆλυ om. a 16 καὶ post δύνανται om. Ka 21 λέγεσθαι] γίνεσθαι IL

22 ἀναλογείαν a 22. 23 τῶν γὰρ – ἑαυτοῖς] τὸ γὰρ γεννᾶν θῆ ἐν ἑαυταῖς K
24 ἐν τῇ δρυὶ (post ἰξὸς) om. IL ἔτι] ἐστὶ a 25 συσχόντες K: συνάγοντες a
26 τῆς] τὰς a τῷ κόπρῳ a καὶ om. I 30 συνεγείροντα a
31 τὸ om. I 32 τὸ ante τοῦτο om. K 33 ἀρχὴ K ἐστὶ om. K
35 ἀπόκρισις post καταμήνιον ponunt Ka

καὶ ἐν τῷ θήλει ἐστὶ καὶ ἄρρενι καὶ ἐκ τούτων ἐξέρχεται. ὅταν μὲν γὰρ 4v
ἐκκριθῇ ἀπὸ τοῦ λεπτοτάτου αἵματος τοῦ τρέφοντος τὸ σῶμα καὶ μένῃ ἐν 30
τοῖς σπερματικοῖς πόροις, πάντως ἐστὶν ἐν τούτοις, ἐξέρχεται δὲ ἐκ τοῦ
ἄρρενος ἐν τῷ καιρῷ τοῦ συνδυασμοῦ, καὶ τὸ μὲν ἄρρεν γεννᾷ εἰς τὸ 35
θῆλυ, τὸ δὲ θῆλυ εἰς ἑαυτό· ἐν ἑαυτῷ γὰρ φέρει τὸ ἔμβρυον, ἕως ἂν τε-
λειωθῇ, τελειωθὲν δὲ γεννᾷ.

Ἐπεὶ δὲ δυνάμει τινὶ καὶ ἔργῳ διώρισται τὸ ἄρρεν καὶ θῆλυ, τῶν δὲ 10
διαφόρων δυνάμεων καὶ τὰ ὄργανα διάφορα, ἀναγκαῖον καὶ τὰ πρὸς τὴν
τέκνωσιν καὶ τὸν συν|δυασμὸν μόρια καὶ ὄργανα διαφέρειν ἀλλήλων, καθ' 5r
ἃ ὄργανα καὶ μορία διαφέρουσι τὸ ἄρρεν καὶ θῆλυ. εἰ γὰρ καὶ καθόλου
τοῦ Σωκράτους κατηγορεῖται τὸ ἄρρεν καὶ τῆς Ξανθίππης τὸ θῆλυ, ἀλλ' 5
οὐ καὶ κατὰ τὰς χεῖρας καὶ τοὺς ὀφθαλμοὺς ὁ μὲν ἄρρην ἡ δὲ θήλειά
ἐστιν, ἀλλὰ κατά τινα δύναμιν καὶ κατά τινα μόρια. περινέους δὲ λέγει 10
τοὺς φλεβώδεις πόρους, οἵτινες ἐπὶ μὲν τῶν ἐχόντων αἰδοῖον εἰς αὐτὸ τὸ
αἰδοῖον ἐξάγουσι τὸ σπέρμα, ἐκ δὲ τούτων διαδεξάμενον τὸ αἰδοῖον ἀφίησιν 15
εἰς τὸ θῆλυ, ἐπὶ δὲ τῶν μὴ ἐχόντων αἰδοῖον αὐτοὶ πρὸς τῇ οἰκείᾳ χρείᾳ
ἀποπληροῦσι καὶ τὴν τοῦ αἰδοίου. ταύτην δὲ ἐναντίωσιν εἶπε τὸ ἄρρεν
καὶ θῆλυ. 20

Λέγει δὲ ὅτι τὰ ζωοτόκα πάντα εἰς τὸ πρόσθεν ἔχει τοὺς ὄρχεις, ἀλλὰ
τὰ μὲν ἐκτός, ὥσπερ ἄνθρωποι, τὰ δ' ἐντὸς πρὸς τῷ τέλει τῆς γαστρός· 25
ἐν ᾧ γὰρ τόπῳ πληροῦται ἡ τῆς γαστρὸς θέσις, ἐν τούτῳ ἔχουσιν αὐτοὺς
κειμένους, ὥσπερ οἱ δελφῖνες· ἔχουσιν δὲ καὶ οὗτοι αἰδοῖον, οἷόν ἐστι τὸ
τῶν βοῶν. |

Τὰς δὲ ὑστέρας, αἳ καὶ μῆτραι καλοῦνται, τὰ μὲν ἔχει πρὸς τοῖς ἄρ- 5v
θροις, ὥσπερ αἱ γυναῖκες, λέγων ἄρθρα αὐτὰ τὰ τῶν γυναικῶν αἰδοῖα, τὰ 5
δὲ ἔχουσιν αὐτὰς πρὸς τῷ ὑποζώματι. ζωοτοκοῦσι δὲ καὶ ἐν ἑαυτοῖς καὶ
θύραζε ἄνθρωποι, βόες, ἵπποι καὶ τὰ ὅμοια· θύραζε δὲ μόνον ζωοτο-
κοῦσιν ὅσα ᾠοτοκοῦσιν, ἐκτὸς δὲ γίνονται τὰ τοιαῦτα ᾠὰ ζῷα. ὑπόζωμα 10
δὲ λέγει τὸ διάφραγμα, ὅπερ καὶ φρένες καλεῖται. τὰ δὲ ὑπὸ τῆς φύσεως
γινόμενα τὰ μὲν γίνεται διὰ τὸ ἀναγκαῖον, τὰ δὲ διὰ τὸ βέλτιον. ἀναγκαῖον 15
δὲ λέγεται τὸ ἐν ἅπαντι τῷ γένει εὑρισκόμενον, καὶ οὗ ἄνευ οὐκ ἐνδέχεται
γενέσθαι τι, βέλτιον δὲ τὸ μὴ τοιοῦτον. ἐπεὶ δὲ οἱ ὄρχεις οὔτε ἐν ἅπαντι 20
τῷ τῶν ἀρρένων εὑρίσκονται γένει, γίνεται δὲ γένεσις καὶ χωρὶς αὐτῶν,
οὔκ εἰσι διὰ τὸ ἀναγκαῖον, ἀλλὰ διὰ τὸ βέλτιον. |

35 p. 717a23 Ὥσπερ δὲ ἐν τοῖς περὶ τροφὴν τὰ εὐθυέντερα λαβρότερα. 6r

Ἐντεῦθεν τὰς αἰτίας ἐκτίθεται, δι' ἃς τὰ ἔχοντα ὄρχεις καὶ τὰ μὴ

---

1 θῆλυ a  μὲν γὰρ om. IL  2 μένει IIa  2. 3 ἐν τοῖς—εἰς ἑαυτό (5) om. K  3 πάντως a  5. 6 τελειωθῇ] τελειωθέν Ka  6 ante δὲ add. μὲν a  12 καθὰ a  θήλη a  13 περινέους K Arist. vulg.: περιναίους IIa Arist. PS  14 πόρους] τόπους IL  18 καὶ τὸ θῆλυ K  21 τρόπῳ K  24 δι' ὑστέρας a  27 καὶ om. I  28 post ᾠοτοκοῦσιν add. ἐντὸς Ka  29 λέγεται Ka  32 τι γενέσθαι K  οἱ om. La  34 διὰ post ἀλλὰ om. Ka  35 περὶ τὴν τροφὴν Arist.  36 τὰ post καὶ om. K

ἔχοντα τὰ μὲν ἔχει, τὰ δ' οὐκ ἔχει, καὶ τῶν ἐχόντων τὰ μὲν ἐντὸς ἔχει, 6r
ὥσπερ οἱ ὄρνιθες, τὰ δ' ἐκτός. φησὶν οὖν ὅτι, ὥσπερ τὰ εὐθυέντερα λα- 5
βρότερά ἐστι πρὸς τὴν ἐπιθυμίαν τῆς τροφῆς διὰ τὸ θᾶττον ἐξέρχεσθαι τὸ
περίττωμα διὰ τὴν εὐθυεντερίαν, τὰ δὲ μὴ εὐθυέντερα σωφρονέστερα καὶ 10
ὀλιγοτροφώτερα, οὕτω καὶ τὰ μὴ ἔχοντα ὄρχεις, πόρους δὲ μόνον, ὡς οἱ
ἰχθύες, ἢ ἔχοντα μὲν ἐντὸς δέ, ὡς οἱ ὄρνιθες· τὰ μὲν οὖν μηδ' ὅλως
ἔχοντα ὄρχεις εἰσὶ πρὸς τὴν ἐργασίαν τοῦ συνδυασμοῦ ταχύτερα πάντων,
τὰ δ' ἔχοντα μὲν ἐντὸς δὲ βραδύτερα πρὸς τὴν τοιαύτην ἐργασίαν τῶν μὴ
ἐχόντων ὄρχεις καὶ σωφρονέστερα, λαβρότερα δὲ καὶ ταχύτερα τῶν αὐτοὺς 15
ἐχόντων ἐκτός. ῥητέον δ' οὖν ἡμῖν πρῶτον μέν, τίνος ἕνεκεν τῇ φύσει πε-
φρόντισται τοῦ τὰ μὲν εἶναι σώφρονα καὶ πεποίηκε τῶν τοιούτων τοὺς
ὄρχεις ἐκτός, τὰ δὲ λαβρότερα καὶ ἐντός, τῶν δὲ καὶ παντελῶς κατωλι-
γώρηκε καὶ οὐκ ἀπέδωκεν ὄρχεις, καὶ διὰ τοῦτό εἰσι καὶ πάντων λαβρότατα.
ῥητέον δὲ πρὸς τοῦτο συντόμως ὅτι οὐδὲ τούτων κατωλιγώρησεν, ἀλλὰ καὶ
μᾶλλον κατὰ πολὺ πεφρόντικεν· ἐπειδὴ γὰρ ἐν ὕδατι ὄντα οὐ δύνανται ἐπὶ
πολὺ ἐνδιατρίβειν, ὡς καὶ αὐτὸς προϊὼν ἐρεῖ, τῇ ἁφῇ, οὐ δέδωκε πρὸς 20
τοῖς ἄλλοις οἷς μέλλει λέγειν λόγοις περὶ τούτων ὄρχεις· ἐν γὰρ τοῖς ἔχουσιν
ὄρχεις βραδεῖα δι' ἃς μαθησόμεθα αἰτίας ἡ πρόεσις τοῦ σπέρματος γίνεται.
ἀλλὰ τοῦτο μὲν οὕτως προλελέχθω· ἡμῖν δὲ τὰ εἰρημένα ῥητέον καὶ ἔτι
τὴν αἰτίαν καθ' ἣν συμβαίνει πρώτως καὶ μάλιστα σώφρονα εἶναι τὰ ἐκτὸς
ἔχοντα τοὺς ὄρχεις, δευτέρως δὲ καὶ ἧττον τὰ ἐντός, πάντων δὲ ἀκολαστό-
τατα τὰ μηδ' ὅλως τούτους ἔχοντα· καὶ οὕτως τὴν Ἀριστοτέλους ῥῆσιν
μετιτέον. ἰστέον οὖν ὡς ἐπειδὴ ἡ φύσις τοῦ ἀεὶ εἶναι ζῷα καὶ τὰ ἄλλα 25
πάντα ἐφίεται καὶ τούτου στοχάζεται, ὅσα οὐκ ἠδυνήθη φυλάξαι ἀεὶ τὰ
αὐτὰ τῷ ἀριθμῷ, τούτοις ἐπρυτάνευσε τὴν ἀιδιότητα διὰ τοῦ ἀεὶ ἄλλα ἐξ
ἄλλων γίνεσθαι. ἀλλ' ἐπεὶ ὁ συνδυασμὸς ὁ συνεχὴς ἔκλυσιν τοῦ σώματος
ἐμποιεῖ δι' ἃς ἐρεῖ αἰτίας ἐν τῷ παρόντι βιβλίῳ, ὅταν περὶ τῆς φύσεως
τοῦ σπέρματος λέγῃ τίς ἐστιν, ἐπεὶ οὖν ἔκλυσιν ἐμποιεῖ, τῇ ἐκλύσει δὲ
φιλεῖ ὡς τὰ πολλὰ παρέπεσθαι θάνατον, ὅσα τῶν ζῴων ὀλιγοτόκα πέφυκεν 30
(ἐρεῖ δὲ καὶ τῆς τούτων ὀλιγοτοκίας τὰς αἰτίας ἐν τῷ παρόντι βιβλίῳ καὶ
ἐν τοῖς ἐφεξῆς τούτου) ὅσα οὖν πέφυκεν ὀλιγοτόκα, γένονε σωφρονέστερα
τῶν ἄλλων προνοίᾳ φύσεως, ὅπως μὴ πολλάκις τῆς ἡμέρας συνδυαζόμενα
ἐκλύηται καὶ φθείρηται καὶ τάχιον ἐκποδὼν γένηται τὸ τοιοῦτον γένος.
ὅσα δὲ τίκτει μέν, ἀλλὰ πλείω μὲν τῶν ὀλιγοτόκων, ἐλάττω δὲ κατὰ πολὺ
τῶν πάνυ πολλὰ τικτόντων, ἧττόν ἐστι σωφρονέστερα τῶν ὀλιγοτόκων· εἰ 35
γὰρ καὶ συμβαίη αὐτοῖς φθορὰ ἐκ τοῦ πολλάκις συνδυάζεσθαι, ἀλλὰ διὰ τὸ

2 ante οἱ add. καὶ IL ὅτι om. IL 6 ἔχοντες K 8 δὲ post ἐντὸς om. a 9 ὄρχεις om. a 9. 10 ἐχόντων αὐτοὺς coll. Ka 10 ἕνεκα Ka 11 τοῦ] τὸ K τῶν τοιούτων] τούτων K 13 τοῦτό ἐστι Ka λαμπρότατα L 14 κατολιγώρηκεν Ka καὶ om. a 16 διατρίβειν ILa 18 πρόεσις Ka corr. L: προαίρεσις, ut vid. I 19 προλελέχθη a 21. 22 ἀκολαστότερα a 22 τὴν τοῦ Ἀριστοτέλους K 23 ζῷα om. K 27 ποιεῖ L ἐρεῖ] A 18 ὅτε Ka 28 λέγει Ka 30 τούτου K 31 τοῦτο IL 33 γίνηται Ka 34 ἐλάττων a 36 συμβαίνει a post αὐτοῖς add. ἴσως Ka

πλείω τοῖν δυοῖν καὶ τριῶν τίκτειν, ἔστι δ' ὅτε καὶ τῶν ἑπτὰ καὶ δέκα, 6r
οὐκ ἐπιλείψει τὸ τοιοῦτον γένος ἐκ τοῦ παντός. διὰ τοῦτο οὖν ἧττον
ἐφρόντισε τοῦ σώφρονα εἶναι ταῦτα. τῶν δὲ πάμπαν πολλὰ τικτόντων τίς
ἡ ἀνάγκη τούτων φροντίσαι; δῆλον γὰρ ὡς οὐκ ἐπιλείψουσι σωρηδὸν γινό-
5 μενα. ἡ μὲν οὖν αἰτία τοῦ τὰ μὲν εἶναι σώφρονα μᾶλλον τὰ δ' ἧττον τὰ
δ' οὐδ' ὅλως αὕτη.

Συμβάλλονται δὲ οἱ ὄρχεις οἱ μὲν ἐκτὸς πρὸς σωφρονισμὸν μᾶλλον, 10
οἱ δ' ἐντὸς ἧττον διὰ τάδε. ἴσμεν ἐκ τῆς Περὶ ζῴων ἱστορίας καὶ |
τῶν ἀνατομῶν ὡς φλεβώδεις εἰσὶ πόροι ἐν οἷς συνάγεται τὸ σπέρμα καὶ 6v
10 δι' ὧν ἐξέρχεται, καὶ τούτων ἕνεκα τῶν πόρων μεμηχανῆσθαι τοὺς ὄρχεις, 5
ἵνα ὥσπερ ἐν κραββάτῳ ἐν αὐτοῖς ἐπαναπαύωνται. κεῖνται δὲ ἐν τοῖς
ὄρχεσιν ἐπαναδεδιπλωμένοι οἱ τοιοῦτοι πόροι ὡς εἰπεῖν, ὥσπερ ἡ Α Β Γ
Δ Ε γραμμή. ἀλλ' ὅσων μὲν ἐκτός εἰσιν οἱ ὄρχεις, ἀνάγκη καὶ τὴν τῶν 10
φλεβῶν ἐπαναδίπλωσιν ἐκτὸς εἶναι· μέχρι γὰρ τῶν ὄρχεων οἱ πόροι εὐθεῖς
15 εἰσιν, ἐν αὐτοῖς δὲ ἐπαναδιπλοῦνται. ἐκτὸς δὲ ὄντων τῶν ὄρχεων καὶ διὰ 15
τὸ περιέχον ψυχομένων ἐξ ἀνάγκης ψύχονται οἱ πόροι καὶ στενοῦνται·
ψυχομένων δὲ καὶ στενουμένων χρεία θερμότητος, ἥτις εὑρυνεῖ αὐτοὺς καὶ
ποιήσει ἐπιτηδείους πρὸς ὑποδοχὴν ἅμα καὶ ἄφεσιν τοῦ σπέρματος· ἡ δὲ
θερμότης αὕτη γίνεται βραδέως διὰ τὸ ἐκ τῆς πρὸς ἄλληλα τῶν αἰδοίων
20 τοῦ ἄρρενος καὶ τοῦ θήλεος γίνεσθαι παρατρίψεως ἐν ταῖς ὀχείαις. ὥστε
τρία εἰσὶ τὰ συντείνοντα πρὸς τὸ μὴ ταχεῖαν γίνεσθαι τὴν τοῦ σπέρματος 20
ἄφεσιν, τό τε κατ' ὀλίγον συναθροίζεσθαι τὸ σπέρμα· ἐν γὰρ τοῖς πλεί-
στοις, ὡς μαθησόμεθα, ὅταν λέγῃ περὶ τῆς τοῦ σπέρματος φύσεως τίς
ἐστιν, οὐ προϋπάρχει τὸ σπέρμα, ἀλλ' ἐν τῷ καιρῷ τῆς ὀχείας καὶ γίνεται
25 καὶ ἀποκρίνεται. ἡ γὰρ ἐν τῷ καιρῷ τοῦ συνδυασμοῦ γενομένη θερμότης
ἅμα τε τὸ σπέρμα οὐσιοῖ καὶ συνίστησι καὶ τοὺς πόρους εὐρύνει καὶ περὶ
αὐτοὺς συναθροίζει. ἀλλ' εἰ μὴ ἔστιν ἐν τοῖς πλείστοις τῶν ἀνθρώπων 25
καὶ τῶν ἄλλων ζῴων ἐνεργείᾳ τὸ σπέρμα ἀλλὰ κατὰ τὸν καιρὸν τῆς ὁμι-
λίας γίνεται, τί τὸ διερεθίζον καὶ κινοῦν τὰ τοιαῦτα πρὸς τὴν τοιαύτην ἡδονήν;
30 κινοῦνται γὰρ καὶ πρὸ τῆς ὁμιλίας. ἢ κινοῦνται μέν, ἀλλ' ἔκ τινος φυσι-
κῆς δυνάμεως, ἣν καλοῦμεν γεννητικὴν ψυχήν, καὶ οὐκ ὑπὸ τοῦ σπέρματος.
τρία οὖν εἰσιν, ὡς εἴρηται, τὰ συντείνοντα, τό τε κατὰ βραχὺ τὸ σπέρμα
συναθροίζεσθαι, δεύτερον δὲ ἡ ἐπαναδίπλωσις (κωλύει γὰρ καὶ αὐτὴν τὴν
ἔξοδον διὰ τὸ σκολιὸν τῆς θέσεως) καὶ τρίτον ἡ ψῦξις ἡ πυκνοῦσα καὶ 30
35 στενοῦσα τοὺς πόρους. ἐπὶ δὲ τῶν ὀρνίθων καὶ πάντων τῶν ἐχόντων ἐντὸς
τοὺς ὄρχεις κωλύει μὲν ἡ ἐπαναδίπλωσις τῶν πόρων, ἀλλὰ διὰ τὸ ἐντὸς

2 τοιούτων I: τούτων Ka 4 τούτων] τοσοῦτον Ka 5 μᾶλλον om. ILa
8 ἐκ τῆς Περὶ ζῴων ἱστορίας] Γ 1 9 ἐν οἷς — πόροι (12) om. K 12 ἐπαναδιπλωμένοι Ka οἱ τοιοῦτοι πόροι post κεῖνται δὲ (11) ponunt Ka 15 ὄρχεων scripsi: πόρων libri 15. 16 διὰ τὸν La 16 post ψύχονται add. καὶ Ka 17 εὐρυνοῖ I: εὐρύνει a 18 post πρὸς add. τὴν K 19 διὰ τῆς ἐκ a 20 περιτρίψεως a 23 ὅτε λέγει a 25 γινομένη Ka 27 μὴ ἔνεστιν Ka
28 τὸν om. IL 29 κινοῦν αὐτὰ πρὸς Ka 30 πρὸς a 32 εἰσιν om. K
33 αὐτῇ a 36 τοὺς om. Ka τὸν πόρον K

εἶναι τοὺς ὄρχεις καὶ διὰ τοῦτο θερμοὺς καὶ διὰ τὴν θερμότητα ἀνεω- 6v
γμένους τοὺς πόρους ἀεὶ γίνεται καὶ ἡ συνάθροισις καὶ ἡ ἄφεσις τοῦ σπέρ-
ματος πολὺ ταχυτέρα τῶν ἐχόντων ἐκτὸς τοὺς ὄρχεις καὶ τοὺς ἐν αὐτοῖς
πόρους, καί εἰσιν διὰ τοῦτο λαβρότεροι οἱ ὄρνιθες καὶ τὰ ὁμοίως ἔχοντα
5 τούτοις. τὰ δὲ μὴ ἔχοντα ὄρχεις λαβρότερα πάντων· τάχιον γὰρ ἐξέρχεται 35
τὸ σπέρμα καὶ συναθροίζεται. τάχιον μὲν συναθροίζεται διὰ τὴν θερμότητα,
ἐξέρχεται δὲ καὶ διὰ τὸ ἀνεῳγμένους εἶναι τοὺς πόρους ὑπὸ τῆς θερμό-
τητος καὶ διὰ τὸ εὐθεῖς εἶναι καὶ μὴ ἐπαναδεδιπλωμένους· ἐν τοῖς ὄρχεσι
γὰρ ἡ ἐπαναδίπλωσις ὁρᾶται. ἔχουσιν οὖν τὰ μὲν ἐκτὸς τοὺς ὄρχεις τὰ
10 δ' ἐντὸς τὰ δ' οὐδ' ὅλως διὰ μίαν μὲν αἰτίαν τὴν εὖ καὶ τὸ οὗ ἕνεκα·
ἀποδώσει δὲ τῆς τοιαύτης τῶν ὄρχεων θέσεως αἰτίας καὶ ἀπὸ τῆς ὕλης, 40
οὐ μόνον δὲ τὴν εἰρημένην ἐρεῖ ἀπὸ τοῦ εὖ καὶ τοῦ οὗ ἕνεκα, ἀλλὰ καὶ
ἄλλας πλείονας. καὶ ταῦτα μὲν οὕτως προλελέχθω· τὴν δὲ λέξιν μετιτέον.
ἃ δεῖ, φησί, τῶν ζῴων σωφρονέστερα εἶναι, τούτων τῶν ζῴων ἔχουσιν
15 οἱ πόροι ἕλικας καὶ ἐπαναδιπλώσεις· ποιοῦσι γὰρ στασιμωτέραν καὶ βραδυτέραν
τὴν κίνησιν καὶ τὴν ἔξοδον τοῦ σπέρματος αἱ ἕλικες καὶ ἐπαναδιπλώσεις·
ταύτας δὲ τὰς ἐπαναδιπλώσεις σώζουσιν οἱ ὄρχεις. ὃν δὲ τρόπον ἔχει ἡ 45
ἐπαναδίπλωσις, δεῖ θεωρεῖν ἐκ τῆς Περὶ τὰ ζῷα ἱστορίας· ὅτι δὲ διὰ τὸ
σώζεσθαι τὰς τοιαύτας ἐπαναδιπλώσεις γεγόνασιν οἱ ὄρχεις, δῆλον· οὐδὲ
20 γάρ εἰσι μόριον τῶν πόρων, ἀλλὰ πρόσκεινται μόνον, ὥσπερ καὶ αἱ λαιαὶ
[χεῖρες] τοῖς ἱστοῖς· οὐδὲ γὰρ αὗται μέρος εἰσὶ τῶν ἱστῶν, ἀλλὰ μόνον
πρόσκεινται. ὅτι δὲ πρὸς ἀνάπαυσιν τῶν πόρων καὶ τὰς ἐπαναδιπλώσεις
γεγόνασιν οἱ ὄρχεις καὶ ἐκ τῶνδε δῆλον· ἀφαιρουμένων γὰρ καὶ ἀποτε- 7r
μνομένων τῶν ὄρχεων ἀνασπῶνται οἱ πόροι καὶ εἰσέρχονται ἐγγὺς πρὸς
25 τὸν θώρακα διὰ τὸ μὴ εἶναι τοὺς ἐν οἷς ἀναπαύσονται καὶ ἐπαναδιπλωθή-
σονται ὄρχεις. ἀνασπωμένων δὲ τούτων ἐντὸς συμβαίνει μὴ γεννᾶν τὰ
ἐκτεμνόμενα· εἰσερχομένων γὰρ ἐντὸς καὶ ἐμφραττομένων, καθ' ὅ τι μέρος
γέγονεν ἡ τομή, συμφύεται τοῦτο τὸ μέρος τῶν πόρων καὶ οὐ δύναται ἐξελ- 5
θεῖν τὸ σπέρμα, ἐπεὶ εἴπερ ἦσαν ἐκτὸς καὶ ἀνεῳγμένα τὰ πέρατα αὐτῶν
30 ἀλλὰ μὴ συμπεφυκότα, ἐγέννα ἂν τὰ ἐκτμηθέντα. σημεῖον δέ· καὶ γὰρ ταῦ-
ρός τις ἅμα τῷ ἐκτμηθῆναι πρὸ τοῦ ἀνασπασθῆναι τοὺς πόρους καὶ ἐμφρα-
γῆναι ὀχεύσας ἐπλήρωσεν, ἤτοι ἔγκυον ἐποίησε τὴν θήλειαν. ὥστε δῆλον
ὅτι οὔτε μόριόν εἰσι τῶν πόρων οἱ ὄρχεις οὔτε πρὸς τὸ γεννᾶν συμβάλλονται.
ἔστι μὲν οὖν βραδεῖα ἡ ἔξοδος τοῦ σπέρματος τοῖς ἔχουσιν ἐκτὸς τοὺς

---

1. 2 ἠνεωγμένους libri 2 αἰεὶ K 3 πολλῷ K ταχυτέρως IK exspectas ἢ ἐπὶ τῶν ἐχόντων 5 λαυρότερα K 8 ἀναδεδιπλωμένους K: ἐπαναδιπλωμένους a 9 γὰρ post ἐν (8) ponunt Ka ἐπαναδεδίπλωσις IL ἔχουσι δὲ IL τὰ μὲν ἐντὸς IL 9. 10 τὰ δ' ἐκτὸς IL 10 καὶ τοῦ οὗ K 12 καὶ τὸ οὗ a 16 καὶ αἱ ἐπαναδιπλώσεις Ka 17 ante σώζουσιν add. δὲ a 18 ἐκ τῆς Περὶ τὰ ζῷα ἱστορίας] Γ 1 19 οὐδὲν Ka 21 χεῖρες delevi αὗται K μόνων a 24 ἐγγὺς] ἐντὸς Ka 26 ante ὄρχεις add. οἱ I τούτων ἐκτὸς ILa 27 ὅ τι] ὃ Ka 28 post συμφύεται add. γὰρ K καὶ om. Ka 29 ἠνεωγμένα Ia 31 post πόρους add. ἐντὸς Ka 31. 32 ἐκφραγῆναι KLa 32 πεποίηκε Ka θήλην a

ὄρχεις διά τε τὰς ἐπαναδιπλώσεις καὶ τὴν κατάψυξιν καὶ τὴν ἐκ ταύτης 7r
τῶν πόρων πύκνωσιν. 10

Δέχονται δὲ οἱ ὄρχεις, τουτέστιν οἱ ἐν αὐτοῖς πόροι, καὶ ἐν τοῖς ὄρνισιν καὶ τοῖς ᾠοτόκοις τῶν τετραπόδων τὴν σπερματικὴν περίττωσιν, ὥστε βραδυτέραν εἶναι τὴν ἔξοδον διὰ τὰς ἐπαναδιπλώσεις ἢ τοῖς ἰχθύσι, 15 ταχυτέραν δὲ ἢ τοῖς ἀνθρώποις καὶ τοῖς ἵπποις, ταχυτέραν δὲ διὰ τὴν θερμότητα καὶ τὴν ἀπ' αὐτῆς γινομένην τοῖς πόροις εὐρύτητα. ὅτι δὲ καὶ οἱ 20 τῶν ὀρνίθων ὄρχεις δέχονται τὸ περίττωμα, ἐπὶ μὲν τῶν ἀλεκτρυόνων καὶ περιστερῶν καὶ τῶν ἄλλων τῶν κατὰ πᾶσαν ὥραν ἤγουν καὶ χειμῶνα καὶ ἔαρ καὶ μετόπωρον καὶ θέρος ὀχευόντων καὶ πρὸς τούτῳ καὶ πολλάκις τῆς 25 ἡμέρας οὐκ ἔστι δῆλον ἐπὶ τούτων· ἐπὶ δὲ τῶν ὀρνίθων, οἷον ἱεράκων, στρουθῶν, τῶν ἄλλων τῶν ἐν μιᾷ ὥρᾳ τοῦ ἔτους οἷον τῷ ἔαρι μόνον ὀχευόντων δῆλον γίνεται ὅτι δέχονται τὸ σπέρμα οἱ ὄρχεις [καὶ τῶν ἄλλων ὀρνίθων]· περὶ γὰρ τὸν καιρὸν τῆς ὀχείας πολλῷ μείζους ἔχουσι τοὺς ὄρχεις, ὡς πεπληρωμένων ὄντων ὑπὸ τοῦ σπέρματος· ὅταν δὲ ὁ χρόνος τῆς ὀχείας παρέλθῃ καὶ ἐκκενώσωσι τὸ σπέρμα, σχεδὸν ἄδηλοί εἰσιν. θᾶττον 30 μὲν οὖν ὀχεύουσι τὰ ἐντὸς ἔχοντα τοὺς ὄρχεις διὰ τὴν θερμότητα· καὶ γὰρ καὶ τὰ ἐκτὸς ἔχοντα οὐ πρότερον ἀφίησι τὸ σπέρμα, πρὶν ἀνασπάσαι τοὺς ὄρχεις· κατὰ βραχὺ γὰρ θερμαινόμενοι ὑπὸ τῆς ἐν τῷ συνδυασμῷ γενομένης θερμότητος κουφότεροι γίνονται καὶ ἀνέρχονται. τότε δὲ ἤδη καὶ οἱ πόροι τέλεον ἀνοιχθέντες ἀφίενται τὸ σπέρμα.

Μετὰ ταῦτα λέγεται καὶ διὰ τί τὰ μὲν τετράποδα τὸ πρὸς τὸν συν- 35 δυασμὸν ὄργανον (τοῦτο δ' ἐστὶ τὸ αἰδοῖον) ἔχουσιν, οἱ δὲ ὄρνιθες οὐκ ἔχουσιν, οὐδὲ μὴν τὰ ἄποδα. λέγει οὖν μὴ ἔχειν αὐτοὺς διὰ τὸ τῶν ὀρνίθων τὰ σκέλη ὑπὸ μέσην εἶναι τὴν γαστέρα, τοὺς δ' ἰχθύας ὅλως εἶναι ἀσκε- 40 λεῖς, τὴν δὲ τοῦ αἰδοίου φύσιν ἠρτῆσθαι ἐντεῦθεν, ἤτοι ἀπὸ τῶν σκελῶν, καὶ τὴν θέσιν ἐν τούτοις ἔχειν· ὥστε ἐπειδὴ ἤρτηνται τὰ αἰδοῖα ἀπὸ τῶν 45 σκελῶν, ταῦτα δ' ἔχουσιν οἱ ὄρνιθες ὑπὸ μέσην τὴν γαστέρα, εἴπερ εἶχον αἰδοῖον, ὑπὸ μέσην ἂν εἶχον αὐτὸ τὴν γαστέρα· εἰ δὲ τοῦτο, οὐκ ἂν ἠδύναντο 7v συνδυάζεσθαι. πῶς γάρ; οἵτινες διὰ τῶν πόρων δι' ὧν ἐξέρχεται τῆς ξηρᾶς τροφῆς περίττωσις συνδυαζόμενοι οὐδὲ οὕτω ῥᾳδίως συνδυάζονται ἀλλὰ πίπτουσι τὰ πλεῖστα ἐκ τῶν θηλειῶν μὴ ὀχεύσαντες· εἰ δὲ καὶ διὰ τῶν τοιούτων πόρων ὀχεύοντες δυσκολαίνουσι περὶ τὴν ὀχείαν, εἴπερ ὑπὸ μέσην εἶχον τὴν γαστέρα τὸ αἰδοῖον, οὐδαμῶς ἂν ἠδύναντο ὀχεύειν. ὅτι 5 δὲ ἀναγκαῖόν ἐστι τὸ αἰδοῖον ἐκ τῶν σκελῶν ἠρτῆσθαι, σημεῖόν φησι τὸ γίνεσθαι τὴν τῶν σκελῶν σύντασιν ἐν τῇ ὁμιλίᾳ· τείνονται γὰρ τὰ σκέλη,

---

4 τὴν om. K 11 ἐπεὶ δὲ a 11. 12 ἱεράκων καὶ στρουθῶν IL 12 post στρουθῶν add. καὶ a μόνω Ka 13 ante σπέρμα add. σπόρημον (sic) a καὶ—ὀρνίθων (14) delevi 14 πολλοῦ KLa 16 παρέλθοι I 19 ἀνασπάσαι Arist. vulg.: ἀνασπάσει Ka ex ἀναπαύσει corr. L: ἀναπαύσει I 20 γινομένης Ka κουφότερα K 21 δὲ] δὴ L οἱ—ἀνοιχθέντες] τῶν πόρων τέλος ἀνοιχθέντων Ka ἀφίενται scripsi: ἀφίεται libri 22 λέγει Ka 24 αὐτὸ a 27 ἐπεὶ Ka τῶν om. a 28 οἱ om. IL 29 τούτω a 30 τὸν πόρον δι' ὃν IL[1], sed corr. L[2] 31 ῥᾳδίως scripsi (sed cf. p. 18,35 n.): ῥάδιον libri 32 τὰς πλείστας ILa 36 σύστασιν IL[1]

καὶ μάλιστα πρὸς τῷ τέλει τῆς ὁμιλίας, ὥσπερ ἡ τοῦ τόξου νευρά, πρὸ 7v
τῆς ὁμιλίας κεχαλασμένα ὄντα. εἰπὼν δὲ ὅτι τείνονται ἐν τῇ ὁμιλίᾳ τὰ
σκέλη τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν τό τε γὰρ ὄργανον νευρῶδες
καὶ ἡ τῶν σκελῶν φύσις νευρώδης· ὥστ' ἐπεὶ τῆς αὐτῆς εἰσι φύσεως,
5 ἀνάγκη συμπάσχειν ὑπ' ἀλλήλων. τείνεται δὲ τὸ ὄργανον ἐν τῇ ὁμιλίᾳ· 10
ἀνάγκη ⟨ἄρα⟩ καὶ τὰ σκέλη αὐτοῦ συντείνεσθαι τότε. ὥστ' ἐπεὶ οὐκ
ἐνδέχεται τοὺς ὄρνιθας καὶ τοὺς ἰχθύας ἔχειν αἰδοῖον, τοὺς μὲν ὄρνιθας διὰ
τὸ ὑπὸ μέσην ἔχειν τὴν γαστέρα τὰ σκέλη, τοὺς δ' ἰχθύας διὰ τὸ ὅλως
ἀσκελεῖς εἶναι, ἀνάγκη καὶ ὄρχεις ἢ μὴ ἔχειν ἢ μὴ ἐν τοῖς σκέλεσιν· ἡ
10 γὰρ αὐτὴ θέσις ἀμφοτέρων αὐτῶν, τουτέστιν ἐν ᾧ κεῖται τὸ αἰδοῖον,
ἐνταῦθα καὶ οἱ ὄρχεις. ἔχομεν οὖν καὶ ἄλλην αἰτίαν διὰ τί τὰ μὲν ἐκτὸς 15
ἔχει τοὺς ὄρχεις τὰ δ' ἐντὸς τὰ δ' οὐδ' ὅλως.

Τὸ δὲ ἔτι δὲ τοῖς γε τοὺς ὄρχεις ἔχουσιν ἔξω διὰ τῆς κινήσεως
θερμαινομένου τοῦ αἰδοίου προέρχεται τὸ σπέρμα συναθροισθὲν 20
15 δηλωτικόν ἐστι τοῦ πολλάκις ἡμῖν εἰρημένου· ἐλέγομεν γὰρ ὅτι ἐκτὸς ὄντων τῶν
ὄρχεων καὶ κατεψυγμένων αὐτῶν τε καὶ τῶν πόρων, διὰ τῆς κινήσεως θερμαινο- 25
μένου τοῦ αἰδοίου καὶ κατὰ βραχὺ συναθροιζομένου τοῦ σπέρματος βραδεῖα γίνε-
ται ἡ τούτου συνάθροισις. ἐπειδὰν οὖν πάλιν ἐξέλθῃ, πάλιν χρεία πλείονος χρό-
νου, ἵνα γένηται συνάθροισις, διὰ τὸ ἐκ πολλῆς εὐχρήστου τροφῆς ὀλίγον πάνυ 30
20 συναθροίζεσθαι, ὡς ἐρεῖ ἐν τῷ παρόντι βιβλίῳ, ὅταν λέγῃ περὶ τῆς τοῦ
σπέρματος φύσεως, τίς ἐστι καὶ πόθεν συνίσταται. οἱ δ' ἰχθύες διὰ τὸ
θερμοὺς ἔχειν τοὺς πόρους καὶ διὰ τὴν θερμότητα συνηγμένον καὶ ἕτοιμον
τὸ σπέρμα ἢ δι' ἀδυναμίαν τοῦ πέττειν (γίνεται γὰρ καὶ δι' ἀδυναμίαν
τὸ σπέρμα, ὁμοίως δὲ καὶ διὰ δύναμιν, ὡς ἐρεῖ, ὅτε περὶ τῆς φύσεως
25 αὐτοῦ λέγει) ἔχοντες οὖν τὸ σπέρμα διὰ θερμότητα ἢ δι' ἀδυναμίαν συνη- 35
γμένον καὶ ἕτοιμον ἅμα τῷ θίξαι τοῦ θήλεος ἐξέρχεται. αὐτὸς δὲ καὶ τὴν
αἰτίαν ἅμα εἴρηκε τοῦ συνηγμένον ἔχειν καὶ ἕτοιμον τὸ σπέρμα καὶ πρὸ
τῆς θίξεως· διὰ γὰρ τὸ μὴ δύνασθαι, φησίν, ἐνδιατρίβειν καὶ χρονοτριβεῖν
ἐν τῷ συνδυασμῷ ἐν ὕδατι ὄντα μηδ' ἐπιβαίνειν ἐπὶ τὰ πρανῆ τοῦ θήλεος
30 ὥσπερ τὰ τετράποδα, ἔχουσι συνηγμένον καὶ οἱονεὶ προαποτεθησαυρισμένον
τὸ σπέρμα καὶ ἅμα τῷ θίξαι προΐενται αὐτό, ὥσπερ συμβέβηκε καὶ τοῖς
ἐχίνοις· οὐδὲ οὗτοι γὰρ δύνανται ἐπιβαίνειν ἐπὶ τὰ πρανῆ διὰ τὸ ἀκαν-
θῶδες αὐτῶν τῆς φύσεως. ὥστε εἰ δεῖ ταχεῖαν ἐπὶ τῶν ἰχθύων τὴν τοῦ 40
σπέρματος ἔκκρισιν γίνεσθαι διὰ τὰ ῥηθέντα, οἱ δὲ ὄρχεις πρὸς τοῦτο ἐμπο-
35 δίζουσιν, εἰκότως οὐκ ἔχουσιν ὄρχεις.

---

1 τέλει] χείλει K 2 post ὅτι add. τὸ IL 3 τούτων IK 6 ἄρα addidi
τὰ om. a συντείνεσθαι αὐτοῦ coll. K: σ. αὐτῶ a 14 θερμαινομένης IL
18 ἐπειδὰν—συνάθροισις (19) om. IL πάλιν post οὖν om. a ἐξέλθει Ka
20 et 24 ἐρεῖ] A 18 20 λέγει a 24 τὸ om. a καὶ om. a
25 ἢ] καὶ K 27 τὸ σπέρμα καὶ ἕτοιμον coll. Ka 28 χρονοτροβεῖν I
29 ὄντι a τῶν θηλέων Ka 30 προαποθησαυρισμένον a 31 ὅπερ Ka
καὶ om. K 32 ἐπὶ] πρὸς Ka ἀπρανῆ I 33 εἰ] καὶ a
34 τούτου a

p. 717ᵇ33 Ὅσα δὲ μὴ ἔχει ὄρχεις, διὰ τὸ μὴ εὖ ἀλλὰ τὸ ἀναγκαῖον μόνον οὐκ ἔχει τοῦτο τὸ μόριον. 7ᵛ

Δείξας ὅτι ὅσα ἔχει ὄρχεις οὐ διὰ τὸ ἀναγκαῖον ἔχει αὐτούς, ἀλλὰ διὰ τὸ βέλτιον, καὶ μεταξὺ εἰπὼν διὰ τί τὰ μὲν ἔχει ἐκτὸς αὐτοὺς τὰ δ' ἐντὸς τὰ δ' οὐδ' ὅλως, λέγει ὅτι ὅσα δὲ μὴ ἔχει τοὺς | ὄρχεις, καθάπερ 8ʳ δέδεικται, διὰ τὸ εὖ, οὐδὲ ὅλως αὐτοὺς ἔχει· εἰ γὰρ εἶχε, διὰ τὸ εὖ ἂν εἶχεν, ἐπεὶ δὲ οὐ διὰ τὸ εὖ, παντελῶς ἀφῄρηται αὐτούς, καὶ ὄρχεις μὲν οὐκ ἔχει, μόνον δὲ τὸ ἀναγκαῖον, λέγων ἀναγκαῖον τοὺς φλεβώδεις πόρους δι' ὧν ἕξεισι τὸ σπέρμα· τούτους γὰρ ἐξ ἀνάγκης ἔχει πάντα τὰ ἄρρενα· χωρὶς γὰρ τούτων ἀδύνατόν ἐστι γένεσιν γενέσθαι. ἔστι δὲ τὸ ἑξῆς τῆς λέξεως τοιοῦτον· ὅσα δὲ μὴ ἔχει ὄρχεις διὰ τὸ μὴ εὖ, οὐκ ἔχει τοῦτο τὸ μόριον ἤτοι τοὺς ὄρχεις, ἀλλὰ τὸ ἀναγκαῖον μόνον ἤγουν τοὺς πόρους. οὐκ ἔχουσιν οὖν ὄρχεις τὰ τοιαῦτα τῶν ζῴων διὰ τὸ μὴ χώραν ἔχειν ἐν τούτοις τὸ εὖ καὶ πρὸς τούτοις διὰ τὸ ἀναγκαῖον εἶναι ταχεῖαν γίνεσθαι τὴν τοῦ σπέρματος ἔκκρισιν, ὥσπερ ἐπὶ τῶν ἰχθύων καὶ τῶν ὄφεων. ἀναγκαῖον δὲ ταχεῖαν ἐπὶ τῶν ἰχθύων γίνεσθαι τὴν ἀπόκρισιν, διότι ὥσπερ οἱ ἄνθρωποι καὶ τὰ λοιπὰ ἐν τῷ τέλει τῆς ὁμιλίας κατέχοντες τὸ πνεῦμα καὶ οὐκ ἀναπνέοντες οὕτω τὸ σπέρμα προΐενται, ὥσπερ οὖν ἐπὶ τούτων, οὕτως ἀνάγκη γίνεσθαι καὶ ἐν τοῖς ἰχθύσι καὶ συγκλείειν τὰ τῶν βραγχίων ἐπικαλύμματα καὶ μὴ εἰσδέχεσθαι τὴν θάλατταν. συμβαίνει γάρ, ὡς ἐρεῖ ἐν τῷ Περὶ ἀναπνοῆς, τὸ ἀναπνεῖν τοὺς ἰχθύας εἰσδεχομένους τὴν θάλατταν, ὥσπερ καὶ ἡμεῖς τὸν ἀέρα· ὥσπερ γὰρ ὁ εἰσιὼν ἀὴρ ἐν τῇ ἀναπνοῇ καταψύχει τὸν πνεύμονα, οὕτω καὶ τὰ βράγχια, ἅπερ ἀναλογεῖ πνεύμονι, καταψύχει ἡ εἰσιοῦσα θάλασσα. ἐπεὶ οὖν, ὡς εἴρηται, ὥσπερ ἡμεῖς ἐν τῇ τοῦ σπέρματος προέσει κατέχομεν ἐντὸς τὸ πνεῦμα καὶ οὐκ ἀναπνέομεν, οὕτως ἀνάγκη καὶ τοὺς ἰχθύας τὴν θάλατταν — εἴπερ οὖν εἶχον ὄρχεις, βραδεῖα ἂν ἐγίνετο ἡ πρόεσις τῆς γονῆς, ὥσπερ καὶ ἐφ' ἡμῖν· εἰ δὲ τοῦτο, ἀπεπνίγετο ἂν τὸ γένος αὐτῶν διὰ τὸ εὔφθαρτον εἶναι· οὐ γὰρ δύναται ἐπὶ πολὺν χρόνον κατέχειν τὸ ὕδωρ ἐντός, ὥσπερ ἡμεῖς τὸν ἀέρα, ἀλλ' ὅσον ὡς εἰπεῖν τὰ βλέφαρα μῦσαι· πλείονα δὲ χρόνον εἴπερ κατάσχῃ, πνίγεται, ὥστε καὶ διὰ τοῦτο οὐ δέδονται τοῖς ἰχθύσιν ὄρχεις. οὐ δεῖ οὖν διὰ τὸ εὐφθάρτους εἶναι ἐν τῷ συνδυασμῷ συμπέττειν τὸ σπέρμα ὥσπερ τὰ πεζά, ἀλλ' ὑπὸ τῆς ὥρας, λέγων ὥραν τὸ ἔαρ· τότε γὰρ οὗτοι συνδυάζονται. πεττόμενον οὖν ὑπὸ τῆς ὥρας διὰ τὸ εὔκρατον αὐτῆς ἔχουσιν αὐτὸ ἕτοιμον, καὶ ἅμα τῷ θίξαι προΐενται, ὥστε οὐκ ἐν τῷ καιρῷ τῆς συνουσίας γίνεσθαι αὐτοῖς τὸ σπέρμα, ἀλλὰ προϋπάρχειν· τοῖς πλείστοις δὲ τῶν ἀνθρώπων καὶ πᾶσι τοῖς ἔχουσιν ἐκτὸς τοὺς ὄρχεις ἐν

1 μὴ ἔχει, καθάπερ εἴρηται, διά τε τὸ μὴ εὖ Arist. ἀλλ' ἀναγκαῖον K 4. 5 ἐκτὸς —ἐντὸς] αὐτοὺς ἐντὸς, τὰ δ' ἐκτὸς Ka 7 εἶχον a αὐτὸν K
19 συγκλύειν a 20 δέχεσθαι a 20. 21 ἐν τῷ Περὶ ἀναπνοῆς] c. 10
23 βράγχεια a 25 et 29 ἐκτὸς IKL 26 οὖν om. IL 30 μῦσθαι a
κατάσχῃ] κατάχυ a 36 γίνεται Ka προϋπάρχει KLa

τῷ καιρῷ τῆς ὁμιλίας, ὡς ἐρεῖ καὶ δείξει, ὅτε περὶ τῆς φύσεως αὐτοῦ τίς 8r
ἐστι καὶ γενέσεως λέγει. ἀλλὰ πῶς πρότερον λάβρους λέγοντες πρὸς συν- 40
ουσίαν τοὺς ἰχθῦς νῦν εἴπομεν ὅτι ἐν τῷ ἔαρι μόνον συνδυάζονται; ἢ
λάβροι λέγονται, ὅτι κατὰ τὸ ἔαρ, ὅταν συνδυάζωνται, πάνυ πολλάκις τῆς
ἡμέρας ἀλλήλων θιγγάνουσι. καὶ ὄρχεις μὲν οἱ ἰχθῦς οὐκ ἔχουσι, πόρους
δὲ ἐξ ἀνάγκης, καὶ τούτους ἁπλοῦς καὶ εὐθεῖς καὶ οὐκ ἐπαναδεδιπλωμένους· 45
οἱ γὰρ ἐν τοῖς ὄρχεσιν πεφύκασιν ἐπαναδιπλοῦσθαι. ἔχουσι δέ, φησίν,
ἁπλοῦς καὶ εὐθεῖς τοὺς πόρους, οἷον μικρὸν μόριον τοῖς τετράποσι
καὶ τοῖς ἀνθρώποις ὑπάρχει περὶ τοὺς ὄρχεις. τοῖς γὰρ τετράποσι καὶ
τοῖς ἀνθρώποις πρῶτον μέν εἰσιν οἱ πόροι εὐθεῖς ἄχρι τῶν ὄρχεων, ἐν δὲ
τούτοις γίνεται ἐπαναδίπλωσις· εἶτα πάλιν τὸ ἀπὸ τῶν ὄρχεών εἰς τὸ αἰδοῖον
ἐμβάλλον εὐθύνεται βραχύτατον ὄν. οἷον οὖν ἐστι τὸ μικρὸν μόριον τῶν
πόρων τὸ ἀπὸ τῶν ὄρχεων εἰς τὸ αἰδοῖον ἐμβάλλον (ἔστι δὲ ἁπλοῦν καὶ 50
εὐθύ) τοιοῦτός ἐστιν ὁ τῶν ἰχθύων ἅπας πόρος. σαφη|νείας δὲ χάριν 8v
ἔστω ὄρχις ὁ Η Θ, πόρος δὲ ὁ Α Β Γ Δ Ε Ζ· ὁ μὲν οὖν Α Β, ὅστις ἐστὶ
πρὸς τὸν ὄσχεον, εὐθύς ἐστι καὶ ἁπλοῦς, ὁ δὲ ΒΓ ΓΔ ΔΕ, ὅς ἐστιν ἐν
τῷ ὄρχει, ἐπαναδεδιπλωμένος κείμενος καὶ ἑλικοειδῆ τὴν θέσιν ἔχων. ὁ 5
δὲ Ε Ζ ἐστὶ τὸ μικρὸν μόριον τοῦ ὅλου τοῦ Α Β Γ Δ Ε Ζ [ὁ δὴ Δ Ε
Ε Ζ ἐστὶ τὸ μικρὸν μόριον]. τὸ εἰς τὸ αἰδοῖον εἰσερχόμενον εὐθὺ καὶ
ἁπλοῦν. ἡ μὲν οὖν τοῦ πόρου θέσις τοιαύτη· ἡ δὲ ἐπαναδίπλωσις αὐτοῦ
ἡ μὲν Β Γ Γ Δ ἔναιμός ἐστι, τουτέστι πλήρης αἵματος, ἡ δὲ Δ Ε ἄναι- 10
μος· οὐδαμῶς γάρ ἐστιν ἐν αὐτῇ αἷμα. τὸ μὲν οὖν αἷμα τὸ ἐν τῇ Β Γ
Γ Δ ἐπαναδιπλώσει ὂν καὶ ἅμα ἐν τῷ καιρῷ τοῦ συνδυασμοῦ καὶ συναθροι-
ζόμενον αὐτόθι καὶ συμπεττόμενον (ἔστι γὰρ τὸ σπέρμα, ὡς ἐρεῖ, περίττωμα
τῆς ἐσχάτης καὶ εὐχρήστου τροφῆς, λέγων ἐσχάτην τροφὴν τὸ αἷμα) τὸ
δὴ αἷμα τὸ ἐν τῇ Β Γ Δ ἐπαναδιπλώσει ἐν τῷ αὐτῷ καὶ ἑνὶ καιρῷ τοῦ
συνδυασμοῦ καὶ συναθροιζόμενον καὶ συμπεττόμενον καὶ εἰς σπέρμα μετα- 15
βαλλόμενον καὶ γονὴν δέχεται ὁ Δ Ε πόρος ἄναιμος ὤν. καὶ ὥσπερ τὸ
ἐν τῷ Β Γ Δ πόρῳ συναθροιζόμενον αἷμα κατὰ βραχὺ καὶ συναθροίζεται
καὶ συμπέττεται, οὕτως καὶ ἐν τῷ Δ Ε τὸ ἤδη σπέρμα ὄν· ἡνίκα δὲ
πληρωθῇ ὁ ΔΕ πόρος, διὰ τὸ βραχὺ τοῦ Ε Ζ πόρου ταχεῖα γίνεται ἡ
ἀπόλυσις καὶ πρόεσις τῆς γονῆς. ὥστε ἐν τῇ λέξει τῆς γὰρ ἐπανα-

1 ἐρεῖ] B 4 αὐτῆς IL 2 λαύρους K, et sic constanter
3 ἰχθύας Ka μόνῳ Ka: μὲν I 4 ὅτε συνδυάζονται Ka 5 ἰχθύες Ka
6 καὶ οὐκ—εὐθεῖς (8) om. K 7 οἱ γὰρ ἐν scripsi: οὐ γὰρ ἐν IKL: ἐν γὰρ a
πεφύκας a: προσπεφύκασιν IL: fort. πόροι πεφύκασιν 8 μόριον om. IL
15 ὄρχεις La H om. IL ὁ post δὲ om. Ka οὖν om. L
16 πρὸς τὸν ὄσχ̄ε̄ I: πρὸς τὸν ὄρχεα L: πρὸ τοῦ ὄρχεως Ka Γ et Δ semel habet K
ὅς ἐστιν] ἐστὶν ὁ Ka 18. 19 ὁ δὴ—μόριον delevi 18. 19 ὁ δὲ εζ K
19 ante εὐθὺ add. καὶ K 21 ἡ ante μὲν in ras. II litt. IL ΔΕ] εζ K
22 ἐν αὐτῷ IL τὸ ἐν τῷ IL 23 et 26 ἐπαναδίπλωσις I 25 ἐσχάτου K
26 δὴ] γοῦν K 27. 28 μεταβάλλον Ka 28 ὁ δ ε ζ πόρος K
τὸ om. IL 29 β γ δ ε IKL 30 ΔΕ] εζ K 31 πληρωθεῖ a
ταχεῖα] βραχεῖα IL

διπλώσεως τοῦ πόρου ὁ γάρ σύνδεσμος κατασκευαστικός ἐστι τοῦ τίνος 8r
ἕνεκα βραχύς ἐστιν ὁ Ε Ζ πόρος. ἕτερον δὲ μόριον ἐπαναδιπλώσεως καὶ 20
εὐθὺ λέγει τὸν Δ Ε προσνοουμένου καὶ τοῦ Ε Ζ.

Οἱ μὲν οὖν ἰχθύες οὐκ ἔχουσιν ὄρχεις διὰ τὰ εἰρημένα, οἱ δὲ
5 ὄφεις δι' ἃς λέγει αἰτίας. πρότερον δὲ προδιοριστέον τινὰ πρὸς σαφή-
νειαν ὧν μέλλει λέγειν. εἴρηται ἐν μὲν τοῖς Μετεώροις ὅτι πᾶν τὸ 25
πρότερον θερμανθὲν εἰς ψυχρὸν τόπον ἐμπεσὸν θᾶττον καὶ ψύχεται καὶ
ψυχρότερον γίνεται τοῦ μὴ προθερμανθέντος· κἀνταῦθα δὲ πρὸ ὀλίγου 30
ἔλεγεν ὅτι ὁ δεχόμενος πόρος τὸ ἤδη ἐκ τῆς πέψεως γεγονὸς σπέρμα ἄναι-
10 μός ἐστιν. εἰ δὲ ἄναιμος, καὶ ψυχρός· ὥστε εἰ ψυχρὸς καὶ διὰ τὴν φύσιν 35
τῶν ὄφεων (ψυχρότατοι γάρ εἰσιν) ἀναγκαῖον ἐν αὐτῷ τὸ σπέρμα ἐμπεσὸν
καὶ θερμὸν ὂν θᾶττον ψύχεσθαι. εἰ δὲ καὶ μακρότατός ἐστιν ὁ ἄναιμος 40
πόρος, ἐπὶ πλέον ψυχθήσεται διὰ τὸ ἐν πλείονι χρόνῳ τὸ ἰσοταχῶς κινούμενον τὴν πλείονα διάστασιν διέρχεσθαι. ἐπεὶ οὖν ἀνάγκη τὸ προθερ-
15 μανθὲν καὶ εἰς ψυχρὸν τόπον ἐμπεσὸν ψύχεσθαι, καὶ μᾶλλον ψύχεσθαι 45
τὸ μᾶλλον ἐν αὐτῷ χρονοτριβῆσαν, | μᾶλλον δὲ χρονοτριβεῖ τὸ ἰσοτα- 9r
χῶς κινούμενον τὴν πλείονα διάστασιν διιόν, φανερὸν ὅτι τὸ σπέρμα τὸ διὰ μακροῦ πόρου διερχόμενον μᾶλλον ψυχθήσεται τοῦ διὰ βραχέος πόρου διερχομένου· καὶ ᾗ μὲν κινεῖται ἐξερχόμενον τὸ σπέρμα ἔδει διὰ
20 τὴν κίνησιν θερμαίνεσθαι καὶ θερμαίνεται, ἀλλ' ἡ ἐπικράτεια τῆς τοῦ πόρου
ψυχρότητος ἐκκρούει καὶ νικᾷ τὴν ἐγγινομένην τῷ σπέρματι ἐκ τῆς κινήσεως 5
θερμότητα. ταῦτά τε προειλήφθω καὶ ὅτι τὸ ἀκινητίζον καὶ ἠρεμοῦν ψυχρότερόν ἐστι τοῦ κινουμένου. τούτων οὕτω προδιορισθέντων τὴν λέξιν μετιτέον. φησὶν οὖν οὐκ ἔχουσιν οἱ ὄφεις ὄρχεις διὰ τὸ μῆκος τοῦ σώματος·
25 μακρὸς γὰρ ὢν ὁ ὄφις καὶ ἐπὶ τούτῳ καὶ τῶν πόρων τοιούτων ὄντων,
εἴπερ εἶχον ὄρχεις οἱ ὄφεις, δῆλον ὅτι πρὸς τῇ ὀσφύι ἂν εἶχον αὐτοὺς
καὶ τὰς ἐπαναδιπλώσεις ἐν τοῖς ὄρχεσιν· εἰ δὲ τοῦτο, διχῶς ἂν ἐψύχετο
τὸ σπέρμα, διά τε τὸ τῶν πόρων ψυχρῶν ὄντων μῆκος καὶ διὰ τὴν ἠρε- 10
μίαν, ἣν ἔμελλεν ἠρεμεῖν ἐν τῇ τῶν ὄρχεων ἐπαναδιπλώσει· ἐπίστασιν γὰρ
30 τὴν μονήν φησι καὶ τὴν ἠρεμίαν. ψυχόμενον δὲ τὸ σπέρμα ἄγονον ἂν
ἦν, ὅπερ ἡ φύσις οὐ βούλεται. ὑγρότητα δὲ τῶν ὄφεων τοῦ σώματός φησι
τὰς κάμψεις· διὰ γὰρ τὸ εἶναι ὑγρὰν τὴν τοῦ σώματος αὐτῶν φύσιν κάμπτονται καὶ περιπλέκονται ἀλλήλοις. ὁμοίως δὲ καὶ σκευωρίαν λέγει τὴν ἐκ τῶν κάμψεων δυναμένην γίνεσθαι καὶ γινομένην περιπλοκήν.

35 Λέγει δὲ ὅτι τῶν ᾠοτοκούντων τὰ μὲν ἀτελῆ προΐεται τὰ ᾠά, ὥσπερ 15
τινὲς τῶν ἰχθύων· οὐ γὰρ ἐν ἑαυτοῖς αὐξηθέντα καὶ τελειωθέντα, ὥσπερ

---

2 post πόρος add. ἵνα ταχεῖα γένηται δηλονότι ἡ πρόεσις τῆς γονῆς a 5 post αἰτίας add. ὄρχεις οὐκ ἔχουσιν a προσδιοριστέον K 6 ἐν τοῖς Μετεώροις] Meteorol. A 12 p. 348ᵇ30 sqq. 7 προθερμανθὲν a 8 προτεθερμανθέντος I
9 ἐλέγομεν IK 11 ὄρχεων IK 13 τὸ post χρόνῳ om. a 17 post ὅτι add. καὶ Ka 19 ᾗ] εἰ IL post κινεῖται add. τὸ K 20 ἐπικρατία I
23 τούτου οὖν προδιορισθέντος K 25 ὄντων om. ILa 27 διχῶς] δικαίως K
29 ἠρεμεῖν] εὑρεῖν K 30 μονήν] μορφὴν IL¹ ἄγονον] ἄ . . ρον K
31 τοῦ σώματος τῶν ὄφεών φησι coll. IKa 33 ἀλλήλους a 35 post δὲ add. καὶ Ka

ἐπὶ τῶν ἀλεκτορίδων· αὗται γὰρ τέλεια τὰ ᾠὰ προΐενται. οὐ δὴ οὖν ἐν 9r
ἑαυτοῖς τελειωθέντα προΐενται, ἀλλ' ἀτελῆ ῥίπτουσιν αὐτὰ ἐν τῇ ἰλύι, εἶτα
ἐπιρραίνουσιν ἐπάνω αὐτῶν, ὡς ἐρεῖ προϊών, δύναμίν τινα οἱ ἄρρενες, ὑφ' 25
ἧς αὐξηθέντα καὶ τελειωθέντα προσηκόντως γίνεται ζῷα· αὕτη γὰρ ἡ δύνα-
5 μις καὶ αὔξει καὶ ζωοποιεῖ αὐτά.

Καὶ τὴν αἰτίαν, δι' ἣν ἀτελῆ προΐενται, ἐπάγει λέγων πολύγονοι γὰρ 30
ὄντες οἱ ἰχθύες, εἴπερ ἐν ἑαυτοῖς ἐτελεσιούργουν τὰ ᾠά, διερρήγνυντο ἂν
μὴ δυνάμενοι χωρεῖν αὐτὰ διὰ τὸ πλῆθος καὶ τὸ μέγεθος'. τοσοῦτον δέ 35
ἐστι τὸ πλῆθος τῶν ᾠῶν καὶ συμπεπιλημένα ἓν εἰς τὸ ἄλλο, ὥστε δοκεῖν
10 τὴν ὑστέραν ᾠὸν εἶναι· τὸ γὰρ πλῆθος τῶν ᾠῶν οὐ δίδωσι συναίσθησιν 40
αὐτῆς. εἰσὶ δὲ τὰ πολύγονα καὶ ζῷα καὶ φυτὰ μικρὰ τὴν φύσιν εὐλόγως· |
ἡ γὰρ μέλλουσα εἰς τὴν αὔξησιν αὐτῶν καταναλίσκεσθαι ὕλη τρέπεται εἰς 9v
τὴν τῶν ᾠῶν φύσιν. ἔχουσι δὲ τὴν ὑστέραν κάτω τὰ τίκτοντα ἀτελῆ 5
τὰ ᾠά· οὕτω γὰρ ἔσται πρὸ ὁδοῦ, τουτέστι πρόχειρον καὶ ῥᾷον προϊέναι
15 συντόμως τὰ ᾠὰ κάτω κειμένης αὐτῆς. ἄλλως τε καὶ πέφυκε μᾶλλον κάτω
κεῖσθαι ἡ ὑστέρα· ὅταν δέ τι φύσεως ἔργον ἐμποδίζῃ, πίπτει ἄνω. ὥστε 10
ἐφ' ὅσων ἄνω κεῖται ἡ ὑστέρα, οὐχ ὅτι πέφυκεν αὐτόθι κεῖσθαι τὴν θέσιν
ἄνω ἔχει (μᾶλλον γὰρ κάτω πέφυκε κεῖσθαι), ἀλλὰ διὰ τὸ ἐμποδίζειν τὴν 15
ἐν τῷ κάτω θέσιν αὐτῆς ἔργον τι φύσεως.

20 Εἰπὼν δὲ ὅτι τὰ σελάχη θύραζε μὲν ζωοτοκοῦσιν, ἐν ἑαυτοῖς δὲ
ᾠοτοκοῦσι, προσέθηκε πάνυ ἀκριβῶς τὸ πρῶτον. οὐ γὰρ ὥσπερ αἱ ἀλε- 20
κτορίδες ἐν ἑαυταῖς μὲν ᾠοτοκοῦσι, θύραζε δὲ ζωοτοκοῦσιν, οὕτω καὶ τὰ
σελάχη, ἀλλ' ἐν ἑαυτοῖς πρῶτον μὲν ᾠοτοκοῦσιν, εἶτα τὸ τοιοῦτον ᾠὸν 25
ἔτι ἐν ἑαυτοῖς ἔχοντες ζῷον γεγονὸς οὕτω προΐενται ζῷον, οὐκ ᾠόν. διὰ
25 τοῦτο οὖν πρόσκειται τὸ πρῶτον, δυνάμει λέγων ὅτι μὴ γάρ, ὥσπερ οἱ 30
ἄνθρωποι εὐθὺς ζωοτοκοῦσιν ἐν ἑαυτοῖς, οὕτω καὶ τὰ σελάχη, ἀλλὰ πρῶ-
τον ᾠοτοκεῖ ἐν ἑαυτοῖς, εἶτα ζωοτοκεῖ ἐν ἑαυτοῖς, εἶτα ζωοτοκεῖ θύραζε. 35
καὶ τὴν αἰτίαν, δι' ἣν οὐκ ᾠοτοκεῖ τὰ σελάχη θύραζε. ἐπήγαγεν εἰπὼν
ἐπεὶ δεῖ τὸ ἔξω τῶν ᾠῶν σκληρὸν εἶναι ὥσπερ τὸ τῶν ἀλεκτορίδων, ὃ
30 κέλυφος καλεῖται, ἵνα φυλάττῃ αὐτά, τὰ δὲ σελάχη ὀλιγόθερμα καὶ ψυχρὰ
ὄντα οὐ δύνανται ξηρᾶναι αὐτὸ καὶ ποιῆσαι οἷον κέλυφος, διὰ τοῦτο οὐκ
ᾠοτοκοῦσι θύραζε. εἶτα ἐπάγει καὶ τὴν αἰτίαν, δι' ἣν εἰσι ψυχρὰ τὰ
σελάχη, καί φησι διὰ τὸ εἶναι μαλακόδερμα· τάχιστα γὰρ διαπνεῖται καὶ 40
ἐξέρχεται ἀπὸ τῶν μαλακοδέρμων τὸ ἔμφυτον αὐτῶν θερμὸν διὰ τὴν τοῦ

---

1 ἐν om. IL 2 ἰλυΐ a 3 ἐρεῖ προϊών] A 21. Γ 5 οἱ ἄρρενες δύναμίν τινα coll. Ka 4 αὐξηθέντα καὶ om. IL 8 δυνάμενα K 11 αὐτοῖς a post δὲ add. φησι Ka 12 τὴν] τὸ ILa κατὰ ἀναλίσκεσθαι a 14 τὰ ᾠά] ζῶα IL 15 ἄλλως τε distinxi: ἀλλ' ὥστε libri 16 ὥστε] ὡς IL 17 ἐφ' ὅσον IL post ὅτι add. δὲ IL 18 γὰρ] δὲ L 21 post προσέθηκε add. καὶ IL 22 ἑαυτοῖς K 24 ante οὐκ add. καὶ Ka 25 ὅτι om. IL 26 εὐθὺς Ka 27 εἶτα ζωοτοκεῖ ἐν ἑαυτοῖς om. L, del. I 29 post ἐπεὶ add. γὰρ Ka τὸ post ὥσπερ om. IL 30 αὐτὸ ILa 31 αὐτὸ] αὐτὰ L 32. 33 ψυχρὰ τὰ σελάχη—μαλακόδερμα] τὰ ᾠὰ μαλακόδερμα· διὰ τὸ (διὰ γὰρ a) εἶναι τὰ σελάχη ψυχρά Ka 33 διαπνεῖται] ἀναπνεῖ IL

δέρματος μανότητα, ἀπὸ δὲ τῶν σκληροδέρμων βραδέως διὰ τὴν πύκνωσιν· 9v
πάντα γὰρ τὰ σκληρὰ πυκνά ἐστιν. ὥστε συλλογιστέον τῇδέ πῃ· τὰ
σελάχη μαλακόδερμα, τὰ μαλακόδερμα ὀλιγόθερμα, τὰ ὀλιγόθερμα ἀδυνατεῖ
ξηραίνειν τὸ τῶν ᾠῶν ἔσχατον, ἵνα φυλάττῃ αὐτά· τὰ σελάχη ἄρα ἀδυνατεῖ
5 ξηραίνειν τὸ τῶν ᾠῶν ἔσχατον, ἵνα φυλαχθῇ τὰ ᾠά. τούτου δὲ μὴ δυνα-
μένου ξηραίνεσθαι μένουσιν ἐν τοῖς σελάχεσι τὰ ᾠά, ἵνα ὑπ' αὐτῶν φυλάτ- 45
τηται τὴν φυλακήν, ἣν ἔμελλεν φυλάττεσθαι ὑπὸ τοῦ ἐσχάτου ξηρανθέντος.
ἀλλὰ πῶς, εἴπερ ἐκτὸς πίπτοντα τὰ ᾠὰ φυλακῆς δεῖται, ἵνα μὴ φθείρηται,
καὶ διὰ τοῦτο τὰ περιέχοντα τὰ τῶν ἀλεκτορίδων ᾠὰ σκληρά ἐστιν, οἱ
10 εἰρημένοι μικροὶ ἰχθύες ἀτελῆ αὐτὰ προΐενται; ἢ ἀτελῆ μὲν αὐτὰ προΐενται,
σκληρὰ δὲ καὶ θερμὰ διὰ τὴν τῶν γεννησάντων αὐτὰ | ἰχθύων θερμότητα. 10r
ὅτι δὲ σκληρά ἐστι, δῆλον καὶ ἐκ τῆς αἰσθήσεως· οἷον γὰρ ἀλέαντόν εἰσι
σίνηπι. ταῦτα μὲν οὕτως.

Τὸ δὲ ζῷον ἐν τοῖς σελάχεσι γίνεσθαί φησι τὸν αὐτὸν τρόπον ὅνπερ
15 καὶ ἐν τοῖς ὄρνισιν. ὥσπερ γὰρ ἐν τοῖς τῶν ὀρνίθων ᾠοῖς τὸ μὲν λευκὸν 5
πᾶν γίνεται τὸ ζῷον, τὸ δὲ ὠχρὸν καταλιμπάνεται εἰς τροφὴν τοῦ ζῳόυ,
οὕτω καὶ ἐν τοῖς τῶν σελαχῶν ᾠοῖς· μέρος μὲν γάρ τι τοῦ ᾠοῦ γίνεται 10
σελάχιον, μέρος δέ τι ἐᾶται πρὸς τροφὴν αὐτοῦ. οὐ γίνεται δὲ τὰ τῶν
σελαχῶν ᾠὰ ζῷα ἄνω, ἀλλ' ἄνω μὲν τελειοῦνται, κάτω δὲ ζωογονοῦνται, 15
20 ὥσπερ καὶ ἐπὶ τῶν ἐξ ἀρχῆς ζωοτοκούντων. διὸ καὶ τὴν ὑστέραν ἀνομοίαν
ἔχει τὰ σελάχη καὶ τοῖς ζωοτοκοῦσι καὶ τοῖς ᾠοτοκοῦσι· τὰ μὲν γὰρ 20
ᾠοτοκοῦντα ἄνω πρὸς τῷ ὑποζώματι ἔχει αὐτήν, τὰ δὲ ζωοτοκοῦντα
κάτω πρὸς τοῖς ἄρθροις· τὸ δὲ σέλαχος καὶ πρὸς τῷ ὑποζώματι ἔχει αὐτὴν
ὡς ᾠοτόκον καὶ κάτω παρήκουσαν ὡς ζωοτόκον. διττογονοῦντα δὲ λέγει 25
25 τὰ ᾠοτοκοῦντα καὶ ζωογονοῦντα· ἀμφοτέρων γὰρ μετειλήφασιν, καὶ τοῦ
ᾠοτοκεῖν καὶ τοῦ ζωοτοκεῖν.

p. 719a14 Πρὸς δὲ τούτοις ἀδύνατον ζῷα γίνεσθαι ἐν τοῖς ὑποζώμασιν.

Εἰπὼν τίνος ἕνεκα τὰ ᾠοτοκοῦντα πρὸς τοῖς ὑποζώμασιν ἔχουσι τὰς
30 ὑστέρας, τὰ δὲ ζωοτοκοῦντα κάτω πρὸς τοῖς ἄρθροις λέγει πρὸς δὲ τού- 30
τοις ἀδύνατον ζῷα γίνεσθαι ἐν τοῖς ὑποζώμασι. τὰ μὲν γὰρ
ἔμβρυα ἀναγκαῖον βάρος ἔχειν (σώματα γάρ εἰσι) καὶ κίνησιν·
κινοῦνται γὰρ ἐν ταῖς ὑστέραις ὄντα. ὁ δὲ πρὸς τῷ ὑποζώματι τόπος, ἐν 35
ᾧ αἱ φρένες, ἐπίκαιρος τουτέστιν ἀναγκαῖος ὢν πρὸς τὸ ζῆν, οὐκ ἂν δύναιτο

---

2 εἰσιν IL 3 τὰ δὲ ὁλ. a 4 φυλάττει a αὐτὰ—φυλαχθῇ (5) om. Ka σελαχώδη L 6 σελάχοις a ἀπ' αὐτῶν ILa 7 ἔμελλον IK 9 post ἐστὶν add. καὶ IL 10 ἢ—προΐενται om. K 12 δῆλον post αἰσθήσεως ponit K αἰσθήσεως] αἰσθητικῆς a 17 τι om. Ka 23 ἄρθροις] ἄκροις K ὁ δὲ σ. ILa 24 ὠοτόκος et ζωοτόκος ILa λέγεται K: λέγομεν a 25 ζωοτοκοῦντα Ka κατειλήφασι a 27 ἐν τοῖς] πρὸς τοῖς Arist. 30 ἄκροις K λέγει δὲ πρὸς coll. IL 31 ζῶον a μὲν om. K 33 γὰρ] τινὰ K

ὑπενέγκαι τὸ βάρος καὶ τὴν κίνησιν τοῦ ἐμβρύου· δυσπνοίας γὰρ ἂν καὶ 10r
ὅλως πνιγμοὺς ἐποίει τὸ ἔμβρυον περικείμενον τὰ ἀναπνευστικὰ μόρια αὐτόθι
κείμενα καὶ μὴ ἐῶν αὐτὰ ἀνεμποδίστως καὶ καλῶς ἀποπληροῦν τὸ οἰκεῖον
ἔργον. ὥστε ἀναγκαῖόν ἐστι μὴ κεῖσθαι τὰς τῶν ζωοτοκούντων ὑστέρας
5 πρὸς τῷ ὑποζώματι, ἵνα μὴ πνίγωνται ἐν τῷ τίκτειν. 40

Ἔτι δὲ ἄνω κειμένων τῶν ὑστερῶν ἀνάγκη δυστόκους γίνεσθαι διὰ
τὸ ἀπόστημα τὸ ἀπ' ἐκεῖσε ἄχρι τῶν ἄρθρων, ὅπου καὶ νῦν πρὸς τοῖς
ἄρθροις κειμένων τῶν ὑστερῶν, ἂν περὶ τὸν τόκον ἀνασπάσωσιν αὐ|τὰς πρὸς 10v
τὸ ὑπόζωμα χασμησάμεναι (ἕλκουσι γὰρ αὐτὰς καὶ ἀνάγουσιν αἱ χάσμαι)
10 δυστοκοῦσι, καὶ διὰ τὸ πεφυκέναι τὰς χάσμας ἀνάγειν πρὸς τὸ ὑπόζωμα 5
τὰς ὑστέρας οὐκ ἐῶσιν αἱ μαῖαι τὰς τικτούσας περὶ τὸν καιρὸν τοῦ τόκου
χασμᾶσθαι, μᾶλλον δὲ πταρμοὺς παρασκευάζουσι διὰ τὸ ἀπωθεῖν κάτω 10
τὰς ὑστέρας τοὺς πταρμούς. οὐ μόνον δὲ τῶν ὑστερῶν ἐχουσῶν ἔμβρυον
καὶ ἄνω πρὸς τὰς φρένας ἀνασπασθεισῶν δύσπνοιαι γίνονται διὰ τὸ περι-
15 κεῖσθαι αὐτάς, ὡς εἴρηται, τὰ ἀναπνευστικὰ μόρια καὶ διὰ τὸ τὰς φρένας 15
βλάπτεσθαι ὑπό τε τοῦ βάρους καὶ τῆς ἀπ' αὐτῶν ὑγρότητος. καὶ γὰρ
καὶ ἐπὶ τῶν ἀνδρῶν, ὅταν ὑπὸ πολλῆς οἰνοποσίας καὶ τῆς ἀπ' αὐτῆς πλείονος 20
ἀπογεννωμένης ἀναθυμιάσεως ὑγραινθῶσιν αἱ φρένες, βλάπτονται καὶ παρα-
φρονοῦσιν· ἡ γὰρ μέθη, ἣν παραφροσύνην καλεῖν δίκαιόν ἐστι, γίνεται 25
20 ὑγραινομένων τῶν φρενῶν ὑπὸ τῆς ἀναθυμιάσεως τῆς γενομένης ἀπὸ τῆς
πολλῆς οἰνοποσίας. ἀλλὰ περὶ τούτων εἴρηται καὶ ἐν τῷ Περὶ ζῴων μορίων·
ἡμῖν δὲ ἐλέγετο ὅτι οὐ μόνον ἐχουσῶν τῶν ὑστερῶν ἔμβρυον δύσπνοιαι
καὶ πνιγμοὶ γίνονται, ἀλλὰ καὶ κενῶν οὐσῶν καὶ ἀνασπασθεισῶν ἄνω
πνίγουσιν. ἐπεὶ δέ τις ἤμελλε λέγειν ὡς εἰ πνίγουσιν αἱ ὑστέραι ἄνω ἀνα- 30
25 σπώμεναι, ἀνάγκη σαρκώδεις αὐτὰς εἶναι (εἰ δὲ μὴ σαρκώδεις, δῆλον ὡς
οὐδὲ ὑγραί· ἀνάγκη οὖν σαρκώδεις εἶναι καὶ ἰσχυροτέρας τῶν τε φρενῶν
καὶ τῶν ἀναπνευστικῶν μορίων), ὅπερ οὖν ἔμελλέ τις ὡς ἄπορον ἐπάγειν,
οὗτος ὡς ἀληθὲς ὂν ὁμολογεῖ· φησὶ γὰρ πνίγουσιν οὖν αἱ ὑστέραι
ἄνω προσιστάμεναι· καὶ γὰρ ἀναγκαῖον τὰς μελλούσας ζῷον ἕξειν
30 ἰσχυροτέρας εἶναι τῶν φρενῶν καὶ τῶν ἀναπνευστικῶν μορίων καὶ σαρκώ- 35
δεις. ἀλλὰ πῶς αἱ τῶν ὀρνίθων ὑστέραι ἄνω οὖσαι πρὸς τῷ ὑποζώματι
οὐ πνίγουσι τὰς ὄρνιθας; ἤ, φησίν, ὑμενώδεις εἰσὶν αὗται καὶ οὐ σαρκώδεις,
τὸ δὲ ὑμενῶδες οὔτε ἰσχυρόν ἐστιν οὔθ' ὑγρὸν καὶ βαρὺ ὡς τὸ σαρκῶδες.
ἀλλὰ καὶ ἐπ' αὐτῶν, φησί, τῶν ποιουμένων διγονίαν, τουτέστι τῶν ζωοτο-
35 κούντων καὶ ζωοτοκούντων, φανερὸν ὅτι πνιγμοὶ γίνονται ἄνω κειμένων τῶν

---

1 ὑπενεγκεῖν Ka 2 παρακείμενον a 5 πνίγονται a 6 δυστοκίαν Ka
7 μέχρι a 8 ἀναπνεύσωσιν K 11 τὴν ὑστέραν K 14. 15 παρακεῖσθαι
αὐταῖς a 15 καὶ om. IL 18 ἀπογεννομένοις a βλάπτονταί τε καὶ Ka
19 παραφροσύνειν a 20 τῆς alterum om. a γεννωμένης a 21 τούτου a
ἐν τῷ Περὶ ζῴων μορίων] Γ 10 24 ἔμελλε Ka post ὑστέραι add. αἱ a
25 εἰ γὰρ μὴ Ka 27 ὅπερ οὖν—μορίων (30) om. KL 28 ὁμολογῇ a
29 προσιστάμεναι Arist. vulg.: προϊστάμεναι Ia Arist. P 33 ἰσχυρόν] ὑγρὸν IL
34 ἀπ' αὐτῶν K

ὑστερῶν· τὰ μὲν γὰρ ᾠὰ ἄνω καὶ ἐν τῷ πλαγίῳ ἴσχουσι διὰ τὸ μὴ κινεῖ- 10v
σθαι μηδὲ βάρος ποιεῖν, τὰ δὲ ζῷα κάτω.

Σαφῶς δὲ καταλέγει τὰς αἰτίας, δι' ἃς αἱ μὲν ὑστέραι πᾶσαι ἐντός 40
εἰσι, τῶν δὲ ὄρχεων οἱ μὲν ἐντὸς οἱ δὲ ἐκτός. καίτοι εἶπε περὶ τῶν ὄρχεων
5 ἱκανὰς αἰτίας, ἀλλά, φησί, πρὸς ταῖς εἰρημέναις ἔστωσαν καὶ αὗται. ἀνα- 45
σπᾶσθαι δέ φησι τοὺς ἐκτὸς ὄρχεις ἐν τῇ τῆς γονῆς προέσει, ἵνα γίνωνται 11r
οἱ ἐν αὐτοῖς ἑλικοειδεῖς πόροι ἐν τῇ ἀνασπάσει ἐπ' εὐθείας τῷ αἰδοίῳ·
εἰ γὰρ τὸ μέν ἐστιν ἄνω, οἱ δὲ ὄρχεις καὶ οἱ ἐν αὐτοῖς πόροι κάτω, οὐκ 5
ἂν ῥᾳδίως ἀνέρχοιτο ἀπ' αὐτῶν πρὸς τὸ αἰδοῖον ἡ γονή. ὥστε ἀνάγονται
10 μὲν καὶ διὰ τὴν θερμότητα, ὥσπερ εἴπομεν καὶ ἐν τῇ ἀρχῇ τοῦδε τοῦ 10
βιβλίου, ἀνάγονται δὲ καὶ διὰ τὴν λεχθεῖσαν νῦν αἰτίαν. ἔχουσι δὲ οἱ
ὄρνιθες ἐντὸς τοὺς ὄρχεις καὶ διὰ τὴν τοῦ δέρματος σκληρότητα καὶ διὰ τὸ
ἀσύμμετρον εἶναι κατὰ μέγεθος περιλαβεῖν καὶ σκέπειν τοὺς ὄρχεις. ὅμοιον
δέ ἐστι τὸ εἰρημένον, ὥσπερ ἂν εἴ τις εἴποι ἀσύμμετρον εἶναι τὸν μέδιμνον 15
15 κατὰ μέγεθος δύο ἅμα χωρῆσαι μεδίμνους. καὶ ἔστω, φησί, πρὸς ταῖς
εἰρημέναις αἰτίαις καὶ αὕτη τοῦ τὰ μὲν ἔχειν ἐκτὸς τὰ δ' ἐντὸς τοὺς ὄρχεις.
εἴη δ' ἂν αὕτη ἡ αἰτία ἀπὸ τῆς ὕλης καὶ ὅλως ὡς ὑλική.

p. 719b17 Κεῖνται δὲ τῇ θέσει αἱ ὑστέραι ὑπεναντίως τοῖς τε ζῳοτοκοῦσιν ἐν ἑαυτοῖς.

20 Ἐπειδὴ τῶν θέσεων ἡ μέν ἐστιν ἄνω καὶ κάτω, ἡ δὲ ἔμπροσθεν
καὶ ὄπισθεν, ἀποδοὺς τὰς αἰτίας, δι' ἃς τὰ μὲν τῶν ζῴων (ταῦτα δὲ ἦσαν 20
τὰ ᾠοτόκα) ἄνω ἔχουσι πρὸς τὸ ὑπόζωμα τὰς ὑστέρας, τὰ δὲ κάτω πρὸς
τὰ ἄρθρα (ταῦτα δ' ἦσαν τὰ ζῳοτόκα), τὰ δὲ τὸ μὲν τῆς ὑστέρας ἄνω τὸ 25
δὲ κάτω (ταῦτα δὲ πάλιν ἦσαν τὰ διγονοῦντα), νῦν ζητεῖ καὶ τὰς αἰτίας ἀπο-
25 δίδωσι τοῦ διὰ τί τὰ μὲν ἔμπροσθεν ἔχει αὐτὰς καὶ πρὸς τοῖς ἄρθροις 30
οὔσας, τὰ δὲ ὄπισθεν πρὸς τῇ ὀσφύι. ἀποδίδωσι δὲ τοῦ τὰ ζῳοτόκα ἐπὶ
τῆς γαστρὸς καὶ τῶν ὑπτίων, ὃ ταὐτόν ἐστι τῷ ἔμπροσθεν, ἔχειν τὰς 35
ὑστέρας δύο αἰτίας, ὧν μία αὕτη· ἐπειδὴ τὰ ὕπτια ἤγουν τὰ πρόσθια
σαρκώδη καὶ μαλακά ἐστι, τὰ δὲ πρανῆ καὶ ὄπισθεν ὀστώδη καὶ σκληρά,
30 αὔξεται δὲ τὸ ἔμβρυον κατὰ βραχὺ καὶ τελειοῦται, εἴπερ ἔκειντο τῶν 40
ζῳοτοκούντων αἱ ὑστέραι ὄπισθεν πρὸς τοῖς πρανέσι καὶ τῇ ῥάχει,
ἐνεποδίζετο ἂν καὶ ἐκωλύετο ἡ τῶν ἐμβρύων αὔξησις καὶ σωτηρία ἤγουν
ἀνάπαυσις διὰ τὴν σκληρότητα. τὸ γὰρ αὐξηθησόμενον εἰ μὲν ἐν μαλακῷ
ἐστι καὶ ὑπείκοντι ἢ δυναμένῳ τείνεσθαί τε καὶ ἐξαπλοῦσθαι καὶ διδόναι
35 τόπους τοῦ χωρεῖν, αὔξεται καὶ ἐπίδοσιν λαμβάνει, εἰ δὲ ἐν σκληρῷ 45
καὶ μηδ' ὅλως αὐτῷ ὑπείκοντι, οὐδαμῶς. διὰ τοῦτο γὰρ καὶ τὰ ζῷα
καὶ τὰ φυτὰ καὶ πάντα τὰ αὐξανόμενα αὔξει, ὅτι ὁ ἀὴρ ἐν ᾧ ἐσμεν

1. 2 κινεῖσθαι ex κεῖσθαι corr. I 10 καὶ διά] κατὰ K 14 τῷ εἰρημένῳ I
εἴποιεν IIa τὸ K μέδιμνα K 16 ἐντὸς τὰ δ' ἐκτὸς K 17 ἡ
om. IL 18 δὲ καὶ τῇ Arist. 20 Ἐπεὶ K 28 πρόσθεια a 29 σαρκώδει a
35 τόπον Ka 36 αὐτῷ] εἰς ἑαυτὸ Ka 37 αὐξόμενα Ka

ὑπείκει τε εἰς ἑαυτὸν καὶ δίδωσι χώραν ἡμῖν αὐξήσεως· εἰ δέ γε σιδηροῦς ἦν τὴν φύσιν ἢ ὅλως σκληρότατος, οὐδὲν ἂν ὅλως ηὐξήθη. ἐπεὶ οὖν ἀναγκαῖον τὰ ἔμβρυα ἐν ταῖς ὑστέραις αὔξειν καὶ τελειοῦσθαι, ὄπισθεν δὲ τῶν ὑστερῶν κειμένων τοῦτο γενέσθαι οὐκ ἠδύνατο, ὀστῶδῶν ὄντων καὶ II v
5 σκληρῶν τῶν ὄπισθεν, διὰ τὸ μᾶλλον βάρος καὶ θλῖψιν προσγίνεσθαι αὐτοῖς ἤτοι τοῖς ἐμβρύοις ἐκ τῆς σκληρότητος (τούτου γάρ ἐστι δηλωτικὸν τὸ μηδὲν ἐπεῖναι βάρος ἐπὶ ταῖς ὑστέραις) εὐλόγως οὐκ ὄπισθεν, ἀλλ' ἐπὶ τῇ κοιλίᾳ καὶ τοῖς ἔμπροσθεν (οὗτος γὰρ ὁ τόπος, ὡς εἴρηται, μαλακὸς καὶ σαρκώδης) κεῖνται. μία μὲν οὖν αἰτία τοῦ ἔμπροσθεν κεῖσθαι ἐπὶ τῶν 5
10 ζωοτοκούντων τὰς ὑστέρας αὕτη· δευτέρα δὲ ὅτι καὶ ὁ πόρος, δι' οὗ ἡ τῆς ὑγρᾶς τροφῆς περίττωσις ἐξέρχεται, ἔμπροσθεν κεῖται. ἐπεὶ οὖν ὁ πόρος οὗτος ἔμπροσθεν κεῖται, καὶ δι' αὐτοῦ ἐξέρχεται τὰ ἔμβρυα, εἴησαν ἂν καὶ διὰ τοῦτο αἱ ὑστέραι ἔμπροσθεν. οὗτος δὲ ὁ πόρος, δι' οὗ καὶ τὰ ἔμβρυα καὶ ἡ τῆς ὑγρᾶς τροφῆς ἐξέρχεται περίττωσις, καὶ ἔμπροσθέν
15 ἐστιν, ὡς εἴρηται, καὶ ἐπάνω κεῖται τοῦ πόρου, δι' οὗ ἐξέρχεται ἡ τῆς ξηρᾶς τροφῆς περίττωσις. δεῖ δὲ τὴν λέξιν τὴν οὗτος δὲ ἐπάνω καὶ ἐν 10 τοῖς ἐμπροσθίοις ὑπάρχει ὁ πόρος τῆς ξηρᾶς τροφῆς ὑπερβατῶς ἀναγινώσκειν οὕτως· οὗτος δὲ ὁ τῆς ὑγρᾶς τροφῆς πόρος ἐπάνω ὑπάρχει τοῦ πόρου τῆς ξηρᾶς τροφῆς καὶ ἐν τοῖς ἐμπροσθίοις. ὅτι δ' ἐπάνω,
20 δῆλον· μετὰ γὰρ τὴν ἥβην ἐστὶν οὗτος καὶ μετὰ τοῦτον ὁ τῆς ξηρᾶς τροφῆς, ὥστε ὥσπερ ἡ ἥβη ἐπάνω τούτου, οὕτω καὶ οὗτος τοῦ τῆς ξηρᾶς τροφῆς πόρου. καὶ εὐλόγως ἐπάνω κεῖται οὗτος· εἰ γὰρ ἔκειτο ὑποκάτω, ὁ δὲ τῆς ξηρᾶς τροφῆς ἄνω, ἔκειτο ἂν καὶ τὸ καλούμενον τυφλόν, ἐν ᾧ ἡ δυσώδης 15
ἐστὶ κόπρος, ἐπάνω τῆς ὑστέρας· οὕτω δ' ἂν ἀπεπνίγετο τὰ ἔμβρυα. οὐ
25 μόνον δὲ ἐπὶ τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ τῶν τετραπόδων κατὰ φύσιν ἐπάνω κεῖται οὗτος ὁ πόρος τοῦ τῆς ξηρᾶς τροφῆς πόρου. τὰ μὲν οὖν ζωοτοκοῦντα διὰ ταύτας τὰς αἰτίας ἔχει τὰς ὑστέρας ἔμπροσθεν.

Τὰ δὲ ᾠοτοκοῦντα μέν, ἀτελὲς δὲ τὸ ᾠὸν προϊέμενα, ὥσπερ οἱ εἰρη- 20
μένοι ἰχθύες, οὗτοι οὐχ ὑπὸ τῇ γαστρὶ καὶ ἔμπροσθεν ἔχουσι τὰς ὑστέρας,
30 ἀλλὰ πρὸς τῇ ὀσφύι καὶ ὄπισθεν. οὐ γὰρ αὔξεται ἐν αὐτοῖς τὰ ᾠὰ καὶ 25
τελειοῦται, ἵνα βάρος ἐγγίνηται ταῖς ὑστέραις καὶ πόνος, ἀλλ' ἔξω προΐεται καὶ τελειοῦται. πρὸς τούτῳ ἐπεὶ οὐκ ἄλλος ἐστὶν ὁ πόρος ἐν τούτοις ὁ τῆς ξηρᾶς τροφῆς, ἤτοι ὁ τοῦ περιττώματος τῆς ξηρᾶς τροφῆς, καὶ ἄλλος 30
ὁ τοῦ ὑγροῦ. ἀλλ' ὁ αὐτός, οὗτος δὲ ὄπισθεν κεῖται, καὶ διὰ τοῦτο ἐν
35 τούτοις αἱ ὑστέραι ὄπισθεν κεῖνται, ἵνα ῥᾳδίως δι' αὐτοῦ ἐξέρχηται τὰ ᾠά. ἐν μὲν οὖν τοῖς ζωοτόκοις καὶ διὰ τὸ βάρος καὶ διὰ τὸ δύο εἶναι τοὺς

2 ἢ ὅλος IL 5 post βάρος add. καὶ πόνον Ka αὐταῖς ILa 6 τὸ] τοῦ I 7 ὑπεῖναι Ka ἐπὶ om. Ka 8 ὡς εἴρηται ὁ τόπος coll. K 14 ὑγρᾶς in ras. L 16 ξηρᾶς a ex ὑγρᾶς corr. L: ὑγρᾶς IK 17 ἐμπροσθίοις libri et Arist. P: προσθίοις Arist. vulg. 21 post οὗτος add. ἐπάνω K τῆς om. IL 22 οὗτος] τούτου Ka 30 αὐξάνεται K 31 ἐγγένηται K 32 ante πρὸς add. καὶ Ka πρὸς τούτοις K ἄλλως a 34 δὲ om. K καὶ διὰ—κεῖνται (35)] καὶ διὰ τοῦτο καὶ αἱ ὑστέραι ὄπισθεν κεῖνται ἐπήγαγεν K, sed rursus del. 34. 35 ἐν τούτῳ a 35 ῥᾳδίως scripsi: ῥάδιον ILa: ῥάδια K δι' αὐτῶν IL

πόρους τῶν περιττωμάτων ἔκειντο ἔμπροσθεν αἱ ὑστέραι· ἐν δὲ τούτοις 11r
ὄπισθεν διά τε τὸ εἶναι τὸν πόρον ἕνα καὶ διὰ τὸ μὴ ποιεῖν βάρος.
εἰπὼν δὲ ὅτι διὰ τὸ εἶναι διττοὺς καὶ κεῖσθαι ἔμπροσθεν τὸν ἕνα διὰ τοῦτο
καὶ αἱ ὑστέραι ἔμπροσθεν κεῖνται, ἐπήγαγεν· ἕνεκα γὰρ τῆς γενέσεως γεγόνασι 35
5 διττοὶ οἱ πόροι, ἵνα διὰ τοῦ ἑνὸς εἴσεισιν ἡ γονὴ καὶ ἔξεισι τὸ ἔμβρυον·
καὶ ἐπεὶ διὰ τὴν γένεσιν γεγόνασιν, ἀναγκαῖον ἐν ᾧ ἐστιν ὁ πόρος, ἐν
τούτῳ εἶναι καὶ τὴν ὑστέραν, ἵνα καὶ ἡ τῆς γονῆς εἴσοδος καὶ ἡ τοῦ
ἐμβρύου ἔξοδος ῥᾳδία γίνηται. ἀλλὰ διὰ τί οὐχ ὥσπερ ἐπὶ τῶν ᾠοτο-
κούντων διὰ τοῦ αὐτοῦ καὶ ἑνὸς ἔξεισι τό τε ᾠὸν καὶ ἡ ξηρὰ περίττωσις,
10 οὐ γίνεται τοῦτο καὶ ἐπὶ τῶν ζωοτοκούντων; ἢ εἰ τοῦτο ἦν, ἥπτετο ἂν 40
τῆς ὑστέρας τὸ καλούμενον τυφλὸν ἕντερον καὶ ἀπεπνίγετο τὰ ἔμβρυα ἀπὸ
τῆς δυσώδους ὀσμῆς.

Τὸ δὲ δῆλον δὲ τοῦτο καὶ ἐκ τοῦ σπέρμα μὲν πάντα φέρειν
ταὐτόν ἐστι τῷ οὕτω λεγομένῳ· ὅτι δὲ ἕνεκα τῆς γενέσεως γέγονεν ὁ
15 ἔμπροσθεν πόρος καὶ οὐ διὰ τὴν ὑγρὰν περίττωσιν, δῆλον τοῦτό ἐστι καὶ
ἐκ τοῦ | σπέρμα φέρειν μὲν πάντα τὰ ζῷα, περίττωμα δὲ μὴ πάντα· ὥστε 12r
διὰ τὸ σπέρμα καὶ ὅλως διὰ τὴν γένεσιν γίνονται οἱ πόροι, ἀλλ' οὐ διὰ τὴν 5
ὑγρὰν περίττωσιν. εἰ γὰρ δι' αὐτὴν ἐγίνοντο, ὅσοις ἔνεισι πόροι, ἀνάγκη
πᾶσι τούτοις γίνεσθαι καὶ περίττωμα ὑγρόν.

20 Ὅσα δέ, φησίν, ᾠοτοκήσαντα ἐν ἑαυτοῖς ζωοτοκεῖ ἐκτός,
ταῦτα δ' ἀμφοτέρως ἔχει διὰ τὸ μετειληφέναι ἀμφοτέρων, τοῦ
τε ζωοτοκεῖν καὶ τοῦ ᾠοτοκεῖν. ἔστι δὲ ἐλλιπὴς ἡ λέξις, εἴη δ' ἂν τὸ
πλῆρες αὐτῆς τοιοῦτον. ὅσα δὲ ᾠοτοκήσαντα πρῶτον ἐν ἑαυτοῖς καὶ 15
ζωοτοκήσαντα, εἶτα ἐκτὸς ζωοτοκήσαντα, τούτων τὸ μὲν τῆς ὑστέρας ἄνω
25 καὶ ὑπὸ τὸ ὑπόζωμα κεῖται πρὸς τὰ πρανῆ διὰ τὸ ᾠοτοκεῖν, τοῦτο δὲ 20
ταὐτόν ἐστι τῷ ἄνω καὶ ὄπισθεν, προϊούσης δέ, τουτέστι τὸ δὲ λοιπὸν
μέρος αὐτῆς, κάτω καὶ ἐπὶ τῇ γαστρί, ὅπερ πάλιν ταὐτόν ἐστι τῷ
κάτω καὶ ἔμπροσθεν, διὰ τὸ ζωοτοκεῖν. ἰδίους δὲ πόρους τῶν ἀρρένων 25
λέγει τοὺς χωρὶς ὄρχεων καὶ καθ' ἑαυτοὺς ὄντας. ὅτι δὲ ἰδίους τούτους
30 εἶπε, δῆλον πεποίηκε διὰ τῆς ἐπαχθείσης λέξεως τῆς καὶ τῶν ἐχόντων 30
ὄρχεις, ὡς τινῶν μὲν πόρων χωρὶς ὄρχεων ὄντων, τινῶν δὲ ἐχόντων
ὄρχεις καὶ ἐν αὐτοῖς ἐπαναδεδιπλωμένων ὄντων. τούτους δὲ ἀμφοτέρους, 35
καὶ τοὺς ἰδίους καὶ τοὺς ἔχοντας ὄρχεις, λέγει ἐναντίως ἔχειν ταῖς ὑστέραις.
τῶν γὰρ ὑστερῶν αἱ μὲν ἔμπροσθεν κεῖνται, αἱ δὲ ὄπισθεν, οἱ δὲ πόροι
35 πάντες καὶ οἱ ἴδιοι καὶ οἱ μὴ τοιοῦτοι ὄπισθεν. καὶ τὴν αἰτίαν τοῦ διὰ τί
ὄπισθεν πάντες κεῖνται λέγει· δεῖ γάρ, φησίν, αὐτοὺς μὴ πλανᾶσθαι

---

4 καὶ om. La 8 γένηται K 9 καὶ ἐξ ἑνὸς a 11 ὑπὸ a
16 μὲν πάντα φέρειν coll. K 18 ὅσοι IL 19 τοῦτο K 21 ἕξει K
22 ἐλλιπὲς a 25 τούτου a 27 αὐτοῦ IL 28 ἰδίους—λέγει (29)]
cf. Arist. p. 720a25. 26 codd. PSY 28 et 29 ἰδίως IL 29 καθ' ἑαυτὸ IL
τοῦτο IL 32 post καὶ add. γὰρ IL post ὄντων add. τῶν πόρων K
33 ἰδία IL 34 οἱ δὲ πόροι — τοιοῦτοι ὄπισθεν (35) primo om. sed in marg. add. L
35 ἴδιοι] ὕδροι in marg. L οἱ ante μὴ om. a 36 δεῖ] δὴ a

μηδὲ τῇδε κἀκεῖσε φέρεσθαι, ἀλλ' ἑδραίους εἶναι καὶ ἐρηρεισμένους 12r
καὶ ἀμετακινήτους. ὁ δὲ ὄπισθεν πᾶς τόπος συνεχὴς ὢν καὶ εἷς διὰ τὸ 40
ὀστώδης εἶναι δίδωσιν αὐτοῖς στάσιν καὶ συνέχειαν, τουτέστι τὸ διόλου
ἐρηρεῖσθαι, καὶ μὴ τῇ μὲν ἐρηρεῖσθαι τῇ δ' ἀπολελύσθαι τῆς ἕδρας.
5 τοῖς μὲν οὖν ἔχουσι τοὺς ὄρχεις ἐντὸς ἅμα τοῖς ὄρχεσίν εἰσι πόροι πρὸς
τῇ ὀσφύι ἐρηρεισμένοι, τοῖς δὲ ἐκτὸς ἔχουσι τοὺς ὄρχεις οἱ πόροι μόνοι
εἰσὶν ἐν αὐτῇ ἐρηρεισμένοι. |

p 720b2 Τῶν δ' ἄλλων ζῴων τῶν ἀναίμων οὐχ ὁ αὐτὸς τρόπος 12v
τῶν μορίων.

10 Εἰπὼν περὶ τῶν γεννητικῶν μορίων τῶν ἐναίμων ὅπως ἔχουσι, λέγει
ὅτι τὰ δὲ ἄναιμα (εἰσὶ δὲ γένη τέτταρα) οὔτε ἑαυτοῖς ἔχουσιν ὁμοίως οὔτε 5
τοῖς ἐναίμοις, ἀλλὰ καὶ πρὸς τὰ ἔναιμα καὶ πρὸς ἑαυτὰ διαφέρουσι. τὸ δὲ
τούτων περὶ μὲν πάντων ἄδηλον τὸ τούτων περὶ τῶν ὀστρακοδέρμων
εἴρηται· περὶ πάντων γὰρ τῶν ὀστρακοδέρμων ἄδηλον. τὰ δὲ μαλα- 10
15 κόστρακα, φησί, συνδυάζεται, ὥσπερ τὰ ὀπισθουρητικά· ὀπι-
σθουρητικὰ δέ εἰσιν οἷον λέγω δασύπους. πῶς δὲ ὥσπερ ἐκεῖνα συνδυά- 15
ζεται, ἐπάγει· ὅταν γὰρ τὸ μὲν ὄπτιον τὸ δὲ πρανὲς ἐπαλλάξῃ τὸ
οὐραῖον. τὸ γὰρ θῆλυ ὄπτιον κείμενον καὶ τὴν οἰκείαν κεφαλὴν φέρε 20
εἰπεῖν ἔχον πρὸς ἄρκτον, τὸ δὲ οὐραῖον πρὸς νότον. τό τε ἄρρεν πάλιν
20 πρανὲς ὂν καὶ ἐναντίως τὴν κεφαλὴν ἔχον πρὸς νότον, τὸ δὲ οὐραῖον πρὸς
ἄρκτον, οὕτω δὴ ἔχοντα τὸν συνδυασμὸν ποιοῦνται, ὥστε μόνα τὰ οὐραῖα
ἅπτεσθαι ἀλλήλων καὶ τοῦ μὲν θήλεος τὸ οὐραῖον κάτω κεῖσθαι πρὸς τῇ
γῇ, τοῦ δὲ ἄρρενος τὸ οὐραῖον κεῖσθαι ἐπάνω τοῦ τῆς θηλείας οὐραίου, τὸ
δὲ λοιπὸν αὐτῶν σῶμα ἐκτάδην ἡπλωμένον κεῖσθαι πρὸς τῇ γῇ.
25 Ἀντὶ δὲ τοῦ εἰπεῖν ὅτι ἔχουσι δὲ αἱ θήλειαι τὰς ὀστέρας ἀνὰ δύο', 25
εἶπεν ἔχουσι δὲ τὰς ὀστέρας ἔνθεν καὶ ἔνθεν ἐσχισμένας, ὥστε τὸ
ἐσχισμένας ταὐτόν ἐστι τῷ διπλᾶς. τὰ δὲ μαλάκια συμπλέκεται μὲν κατὰ 30
τὸ στόμα ἀντερείδοντα καὶ διαπτύσσοντα, τουτέστι συμπλεκόμενα τὰ
ἄρρενα καὶ τὰ θήλεα ὑπ' ἀλλήλων κατὰ τὰς πλεκτάνας. ὡς γὰρ γυνὴ 35
30 τὸν ἄνδρα καὶ οὗτος αὐτὴν περιπλέκονται διὰ τῶν χειρῶν, οὕτως καὶ τὰ
μαλάκια ὑπ' ἀλλήλων ἐν τῷ συνδυασμῷ περιπλέκονται ταῖς πλεκτάναις.
συμπλέκονται δὲ κατὰ τὸ στόμα ἐξ ἀνάγκης· παρὰ τὸ στόμα γὰρ 40
συνήνωσε καὶ συνήγαγεν ἡ φύσις τὸν πόρον, δι' οὗ ἐξέρχεται ἡ τῆς ξηρᾶς
τροφῆς περίττωσις. λέγει δὲ ὅτι καὶ τὰ μαλακόστρακα καὶ τὰ μαλάκια 45

2 τὸ] τὶ a 3 τοῦ H.a διόλον K 5 ἐντὸς ex ἐκτὸς corr. I
7 αὐτοῖς La 11 ὅτι om. a 12 διαφέρ K: διαφέρει a 13 post τούτων
add. δὲ a, ut Arist. 16 λέγω scripsi: λέγων libri 17 ἐπάγειν a ἐπαλ-
λάξῃ H. 17. 18 τὸ οὐραῖον] sic IKL: τὰ οὐραῖα a, ut Arist. 22 κεῖσθαι
κάτω Ka 23 τὸ δὲ τοῦ ἄρρενος οὐραῖον K: τὸ δὲ ἄρρενος οὐρ. a 25 ὅτι
om. K 26 ὥς τὸ τὸ I 28 τὸ om. Ka διαπτύοντα a 30 περι-
πλέκεται K 32 περὶ Ka 33 ἡ φύσις συνήγαγε καὶ συνήνωσε coll. Ka

τὸν αὐτὸν τῆς ὑστέρας πόρον ἔχει καὶ τῆς ἑηρᾶς περιττώσεως· οὐ γὰρ ἄλλος μὲν ἐν τούτοις ὁ τοῦ περιττώματος πόρος, ἄλλος δὲ ὁ τῆς ὑστέρας, ἀλλ' ὁ αὐτὸς καὶ εἰς πρὸς ἀμφότερα λειτουργεῖ, πρός τε τὴν τοῦ θοροῦ 13r ἄφεσιν καὶ πρὸς τὴν τῆς ξηρᾶς περιττώσεως ἔξοδον· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἐστὶ γὰρ ᾗ ἀφίησι τὸν θορὸν διὰ τοῦ πόρου. ἐλλιπὴς δὲ ἡ λέξις ἐστίν, εἴη δ' ἂν τὸ πλῆρες καὶ τὸ εὐμαρὲς τῆς λέξεως τοιοῦτον· διὰ τοῦ πόρου γὰρ δι' οὗ ἀφίησι τὸν θορόν, διὰ τούτου ἕξεισι καὶ τὸ περίττωμα. ταῦτα δὲ τὰ μόρια, ἤτοι οἱ πόροι, δι' ὧν ὁ θορὸς καὶ ἡ περίττωσις ἐξέρχεται, ἐν τοῖς ὑπτίοις εἰσὶ τοῦ σώματος, ᾗ λήγει τὸ ἐν τοῖς πρανέσι κέλυφος. ὥσπερ γὰρ οὐ συνάπτουσιν αἱ δεξιαὶ τῶν ζωοτοκούντων πλευραὶ πρὸς τὰς ἀριστεράς, ἀλλ' εἰσὶ διεστηκυῖαι ἀπ' ἀλλήλων, οὕτως οὐδὲ τὸ τῶν καρκίνων καὶ καράβων κέλυφος συνάπτει ἐν τοῖς ὑπτίοις.

Λέγει δὲ καὶ θάλατταν εἰσέρχεσθαι διὰ τῶν τοιούτων πόρων. ἐπεὶ δὲ κατὰ τὸν καιρὸν τοῦ συνδυασμοῦ ὁ πολύπους ὁ ἄρρην ἐν τῷ αὐλῷ τοῦ θήλεος εἰσάγων τὴν ἑαυτοῦ πλεκτάνην ἔδοξε τοῖς ἁλιεῦσι διὰ τῆς πλεκτάνης ποιεῖσθαι τὴν ὀχείαν καὶ ταύτῃ χρῆσθαι ἀντὶ αἰδοίου, ἐπήγαγεν ἡ δὲ τῆς πλεκτάνης τοῦ ἄρρενος διὰ τοῦ αὐλοῦ τῆς θηλείας δίεσις καὶ εἰσέλευσις οὐ χάριν ὀχείας γίνεται ἀλλ' ἕνεκα συμπλοκῆς. ἔξω γὰρ καὶ πόρρω οὖσα αὕτη ἡ πλεκτάνη τοῦ πόρου, δι' οὗ ἐναφίησι τὴν γονὴν πρὸς τὴν θήλειαν, πῶς ἂν εἴη ὄργανον χρήσιμον πρὸς τὴν γένεσιν; πόρον δὲ καὶ σῶμα ἐκ παραλλήλου τέθεικεν. ὅτι δὲ αἱ ἀκρίδες καὶ συνδυάζονται καὶ ἐξ ἀκρίδων γίνονται, ὁμοίως δὲ καὶ τὰ λοιπά, ἃ καταλέγει, πολλάκις ὤπται.

Τῶν δ' ἐντόμων, φησί, τὰ πλεῖστα ἐναντίως ἔχουσι τοῖς ἄλλοις. οὐ γὰρ ἀφίησι τὸ ἄρρεν γονὴν ἐπὶ τούτων εἰς τὸ θῆλυ, ἀλλ' ἔμπαλιν τὸ θῆλυ κάτωθεν ἄνω πρὸς τὸν ἄρρενα δι' αὐλοῦ· ἐν δὲ τῷ ἄρρενι συστὰν τὸ ἐναφεθὲν πάλιν ὑποστρέφει πρὸς τὸ θῆλυ, ἀφ' οὗ καὶ ἐξῆλθε διὰ τοῦ αὐλοῦ. οὐ γὰρ πρότερον ἀπολύονται, πρὶν ἂν πρὸς τὸ θῆλυ ὑποστρέψῃ τὸ ἐξεληλυθὸς ἀπ' αὐτοῦ. τοῦτο οὖν τὸ τὸ θῆλυ εἰς τὸ ἄρρεν ἐναφιέναι τὴν γονὴν τεθεωρηκέναι φησὶν ἐπὶ πολλῶν, καὶ τὸ ἀναβαίνειν μᾶλλον τὸ θῆλυ εἰς τὸ ἄρρεν. ἀλλὰ περὶ μὲν τούτων αὐ|τὸς ἐρεῖ πρὸς τῷ τέλει γενόμενος 13v τοῦ παρόντος βιβλίου ἀκριβῶς, ὅπως γίνονται· ἡμεῖς δὲ ὅπερ ἐλέγομεν, ταῦτα μὲν ἐπὶ πολλῶν ἐθεάθη, ὥστε δὲ γένει διελεῖν καὶ εἰπεῖν ὡρισμένως ὅτι τουτὶ μὲν τὸ γένος ποιεῖ ταῦτα, τουτὶ δὲ οὐ ποιεῖ, οὔπω συνεώραται.

1 τὸν αὐτὸν om. IL 4 πρὸς τὸν τῆς K 5 τὸν θορὸν ἀφίησι coll. Ka
6 ἐστὶν ἡ λέξις coll. Ka 7 τὸ om. a 8. 9 ἡ περίττωσις] τὸ περίττωμα K
11 πρὸς om. L 12 τῶν om. I 14 ἄρρης IL 16 πλεκτάν? I
19 καὶ om. IL πόρρω] πόρου K πλεκτάνα I ἐπαφίησι K
21 αἱ] καὶ IKL καὶ post ἀκρίδες om. K 25 γονὴν τὸ ἄρρεν coll. K
26 post τὸ add. ἄνω Ka 27 ἀφεθὲν K 28 ἀπολύονται] ἀφίενται K
29 ἐληλυθὸς IL οὖν τὸ θῆλυ ILa διαφιέναι Ka 30 φησὶν—πολλῶν] διὰ πολλῶν φησί K 31 τούτου IL πρὸς] περὶ K τέλος a
32 ὅπου a 33 δὲ] καὶ IL

Τὸ δὲ σχεδὸν δὲ τοῦτο καὶ ἐπὶ τῶν ᾠοτόκων ἰχθύων τῶν 13v
πλείστων ἐστὶ καὶ ἐπὶ τῶν τετραπόδων καὶ ᾠοτόκων συνεχές ἐστι 10
τῷ τῶν δὲ συνδυαζομένων ἐν τοῖς πλείστοις τὰ θήλεα μείζω
τῶν ἀρρένων ἐστί. τὸ δὲ τοῖς δὲ θήλεσι τὸ ταῖς ὑστέραις αὐτῶν 15
5 ἀνάλογον μόριον καὶ τὰ ἑξῆς περὶ τῶν ἀναίμων εἴρηται. καὶ συμπεραίνεται
λοιπὸν τὸν λόγον.

Ἑφεξῆς δὲ τούτων λέγει πρῶτον περὶ γονῆς καὶ ἀπαγγέλλει ταῦτα 20
λίαν σαφῶς· ἐν δὲ τῇ λέξει τῇ διὸ τοῦ αὐτοῦ λόγου, πότερον τὸ
ἄρρεν καὶ τὸ θῆλυ προΐεται ἄμφω ἢ θάτερον μόνον ὑπο-
10 στικτέον εἰς τὸ μόνον, εἶτα ἐπακτέον τὸ καὶ πότερον ἀπὸ παντὸς 25
ἀπέρχεται καὶ τὰ ἑξῆς. εἴη δ' ἂν τὸ λεγόμενον τοιοῦτον· ὁ λόγος ὁ
ζητῶν, πότερον τὸ θῆλυ καὶ τὸ ἄρρεν προΐεται ἄμφω ἢ θάτερον μόνον, ὁ 30
αὐτὸς μέλλει ζητῆσαι καὶ πότερον ἀπὸ παντὸς ἀπέρχεται τοῦ σώματος ἢ
οὐκ ἀπὸ παντός· ἡ γὰρ θατέρου τούτοιν τοῖν προβλημάτοιν εὕρεσις καὶ 35
15 τῆς θατέρου γνώσεως αἰτία γενήσεται. ἔτι, φησίν, ὥσπερ τοῦ ὅλου ζῴου
ἐστί τι μόριον, ἐξ οὗ μορίου πρώτου γίνεται σπέρμα, εἴτε ἡ καρδία τοῦτό
ἐστι τὸ μόριον εἴτε ὁ ἐγκέφαλος (ἔτι γὰρ ἄδηλόν ἐστι, δῆ|λον δὲ γενήσεται 14r
προϊοῦσιν) ὥσπερ οὖν ἐστιν ἐκ τούτου τοῦ μορίου σπέρμα, οὕτως ἂν εἴη
καὶ ἐξ ἑκάστου τῶν ἄλλων. στίγμα δὲ λέγει ἐν τῷ βραχίονι, ἅπερ διὰ 5
20 μέλανος καὶ τῆς ὑπὸ τῶν βελονῶν κεντήσεως ποιοῦσιν οἱ ναῦται καὶ ἄλλοι
πολλοί. εἶναι δέ φησι Καλχηδόνιον τὸν ἔχοντα τὸ στίγμα. |

p. 722a3 Πρῶτον μὲν οὖν ὅτι οὐδὲν σημεῖον ἡ ὁμοιότης τοῦ 14v
ἀπιέναι.

Θεὶς πάνυ σαφῶς τὰ ἐπιχειρήματα τέτταρα ὄντα τὸν ἀριθμόν, δι'
25 ὧν ἐδόκουν κατασκευάζειν οἱ τῆς δόξης ταύτης προϊστάμενοι ὅτι ἀπὸ 5
παντὸς τοῦ σώματος ἀπέρχεται ἡ γονή, ὧν ἓν ἦν ὅτι εἰ μὴ ἀπὸ παντὸς
τοῦ σώματος ἐξήρχετο, οὐκ ἂν ἦσαν ὅμοιοι τοῖς πατράσιν οἱ παῖδες,
εὐθὺς ἐνίσταται πρὸς τοῦτο λέγων· ἐπεὶ γίνεται ἡ ὁμοιότης οὐ μόνον κατὰ 10
τὸ πρόσωπον καὶ τὰς χεῖρας καὶ τὰ τοιαῦτα, ἀλλὰ καὶ κατὰ τὴν φωνὴν καὶ
30 τὰς τρίχας καὶ τὴν βάδισιν (πολλοὶ γὰρ τῶν παίδων ἀπαραλλάκτως βαδί- 15
ζουσιν ὥσπερ οἱ γονεῖς) ἐπεὶ οὖν γίνεται καὶ κατὰ τὰς τρίχας καὶ τοὺς ὄνυχας
καὶ τὴν βάδισιν καὶ τὴν φωνὴν ὁμοιότης, ἀφ' ὧν τριχῶν καὶ ὀνύχων καὶ 20
φωνῶν καὶ βαδίσεων οὐδὲν ἔξεισιν ὅλως σπέρμα, γενήσεται καὶ κατὰ τὰ λοιπὰ

3 τῷ] τὸ IL 4 αὐτῶν post θήλεσι legitur apud Arist. 5 ἐναίμων IL
7 τούτοις K: τούτου a 9 post προΐεται add. σπέρμα L 10 καὶ τὸ coll. IL
12 ἄρρεν καὶ τὸ θῆλυ coll. K 12. 13 ὁ αὐτὸς—ζητῆσαι om. et horum vv. loco
repetit ὑποστικτέον εἰς τὸ μόνον εἶτα ἐπακτέον τὸ (10) K 15 τῆς] τοῦ IL
γνώμης a ἔτι] εἴ τι a 18 ἐστιν om. IK 20 βελῶν L 21 χαλκη-
δόνιον Ka 27 ἂν εἴησαν ILa 28 τοῦτον a 29 τὸ om. L
καὶ post ἀλλὰ om. K φωνὴν] κεφαλὴν IL comp. 30 ἀπαραλλα$^{\omega\varsigma}$ πως K
32 καὶ τὴν βάδισιν om. ILa 32. 33 καὶ φωνῶν καὶ ὀνύχων coll. Ka

μόρια ὁμοιότης καὶ γονῆς μὴ ἐξελθούσης ἀπ' αὐτῶν. καὶ ἐπὶ τῶν φυτῶν 11v
δὲ ὁ αὐτὸς λόγος· δῆλον γὰρ ὅτι καὶ τούτοις ἀπὸ πάντων ἂν τῶν μερῶν
ἀπήρχετο. ἐὰν γὰρ αἱ ὁμοιότητες τῶν παίδων πρὸς τοὺς γονεῖς γίνωνται
διὰ τὸ ἀπὸ πάντων τῶν μερῶν αὐτοῖς ἀπέρχεσθαι σπέρμα, καὶ ἐπὶ
5 τῶν φυτῶν τοῦτ' ἂν γίνοιτο· γεννῶσι γὰρ καὶ αὐτά· οὐ γίνεται δέ. καὶ 25
θεωρητέον, ὅπως τοῦτ' ἐπὶ τούτων οὐ γίνεται. τέμνει τις κλάδον ἀπὸ
τῆσδε τῆς ἐν Ἀθήναις οὔσης καρέας καὶ φυτεύσας αὐτὸν ἐν Πάτραις μετὰ
δύο ἢ καὶ τρεῖς χρόνους γεννᾷ κάρυα, πάντῃ πάντως καὶ τῷ μεγέθει καὶ
τῇ γεύσει καὶ τῇ χροιᾷ καὶ τοῖς ἄλλοις ἅπασιν ὅμοια ὄντα τοῖς γεγονόσι
10 καρύοις ὑπὸ τῆς ἐν Ἀθήναις καρέας, ἀφ' ἧς ὁ κλάδος ἐτμήθη. εἰ οὖν
τὰ ἀπὸ τῆς ἐν Ἀθήναις οὔσης καρέας κάρυα, ἀφ' ἧς ὁ κλάδος ἀφῃρέθη
καὶ ἐν Πάτραις πεφύτευται, εἰ δὴ τὰ ἀπὸ τῆς ἐν Ἀθήναις καρέας κάρυα 30
ὅμοιά εἰσιν ἀλλήλοις διὰ τὸ ἀπὸ πάντων τῶν τῆς καρέας μερῶν ἀπέρχεσθαι
πρὸς ἅπαντα τὰ κάρυα σπέρμα, εἰσὶ δὲ καὶ τὰ ἀπὸ τοῦ ἐν Πάτραις κλάδου
15 μεταφυτευθέντος γεγονότα ὅμοια τοῖς ἀπὸ τῆς ἐν Ἀθήναις καρέας καρύοις,
δῆλον κατὰ τοὺς τούτων λόγους ὅτι ἀπὸ πάντων τῶν μερῶν τῆς καρέας
σπέρμα ἀπῄει καὶ πρὸς τὰ ἐν τῷ κλάδῳ κάρυα καὶ διὰ τοῦτο γεγόνασιν
ὅμοια τὰ ἐν τῷ κλάδῳ κάρυα τοῖς ἐν τῇ καρέᾳ καρύοις, ὅπερ ἐστὶ κατα- 35
γέλαστον. πῶς γὰρ ἂν ἀπὸ Ἀθηνῶν εἰς Πάτρας ἀπῆλθε τὸ σπέρμα; καὶ
20 ἄλλως, ἐπειδὴ ὅμοιά εἰσι τὰ τοῦ κλάδου καὶ τῆς καρέας κάρυα, ἀνάγκη
κατὰ τοὺς ἐκείνων λόγους, ἐξ ὅσων τῷ ἀριθμῷ μερῶν ἀπῄει σπέρμα
πρὸς τὰ ἐν τῇ καρέᾳ κάρυα, ἐκ τοσούτων τῷ ἀριθμῷ ἀπιέναι καὶ πρὸς
τὰ ἐν τῷ κλάδῳ κάρυα· εἰ γὰρ μὴ ἐκ τοσούτων, ἀνόμοια ἂν εἴησαν καὶ
κολοβά. ἀλλὰ μὴν τὰ τῆς καρέας μόρια πάνυ εἰσὶ πολλαπλάσια τῶν τοῦ
25 κλάδου μερῶν. εἰ δὴ ἐπὶ τῶν φυτῶν αἱ ὁμοιότητες γίνονται οὐ διὰ τὸ 40
ἀπὸ πάντων, ὡς δέδεικται, τῶν μερῶν ἀπέρχεσθαι σπέρμα, ἀλλὰ δι' ἄλλο
τι, ὅπερ αὐτὸς τί ποτέ ἐστι προϊὼν ἐρεῖ, καὶ ἐπὶ τῶν ζῴων ὁμοίως ἕξει.
ἐν δὲ τῇ λέξει τῇ πολλὰ δὲ τὰ μὲν οὐκ ἔχει, τὰ δ' ἀφέλοι τις ἂν
λείπει τὸ μέρη· πολλὰ γὰρ τῶν φυτῶν οὐκ ἔχει μέρη, ὥσπερ εἴπομεν
30 ἐπὶ τοῦ κλάδου, ὅσα ἔχει ἡ καρέα· ἀλλὰ καὶ ἀπὸ τῆς καρέας ἀφαιρεθέντος
τοῦ κλάδου τὰ γεγονότα μετὰ τὴν ἀφαίρεσιν αὐτοῦ ὅμοιά εἰσι τοῖς γεγονόσι
καὶ πρὸ τῆς ἀφαιρέσεως. ἀλλὰ καὶ ἐν τῇ γῇ εἴ τις καταχώσει κάρυον 45
καὶ βλαστήσαν γεννήσει ἡ βλάστη κάρυα, ὅμοια γίνεται τῷ καταχωσθέντι
ἐν τῇ γῇ, οὐ μόνον κατὰ τὸν καρπόν, ἀλλὰ καὶ κατὰ τὸ περικάρπιον, ἀφ'
35 οὗ περικαρπίου ἐπιδήλως οὐδὲν ἄπεισιν. |

1 μόρια] μέρη K  ἐλθούσης IL  3 γὰρ om. IL  γίνονται a  4 αὐτοῖς om. IL: αὐτῶν a  ante σπέρμα add. τὸ Ka  5 γεννᾶ IK  6 ἐπὶ τούτοις K  οὐ om. IL  7 καρέας] sic libri, itemque porro  8 καὶ post ἢ om Ia  10 ὑπὸ] ἀπὸ Ka  15 μεταφυτευθέντα L  ἐν Ἀθήναις om. L  19 ἂν om. K  20 καὶ τὰ τῆς K  22 τοσούτων τῶν ἀριθμῶν a  23 τὰ om. a  24 ἀλλὰ μὲν K  μόρια] κάρυα K  29 τὸ μέρος K: τὰ μέρη a  30. 31 ἀφαιρεθεὶς ὁ κλάδος IL  31 εἰσι] τυγχάνουσι IL  32 πρὸς τὴν ἀφαίρεσιν IL comp.  καταχώσειε a  33 γεννῆσι a  34 περικάρδιον I  35 post ἄπεισιν add. διὰ τὸ μὴ (μὴ om. a) μετὰ τοῦ περικαρπίου φυτεύεσθαι Ka

p. 722ᵃ16 Ἔτι δὲ πότερον ἀπὸ τῶν ὁμοιομερῶν ⟨μόνον⟩ ἀπέρχεται ἀφ' ἑκάστου. 15r

Ἐκ διαιρέσεως ἐπάγει τὸν ἔλεγχον τοῖς ἀπὸ παντὸς λέγουσι τοῦ σώματος ἐξέρχεσθαι τὸ σπέρμα. ἐρωτᾷ οὖν, πότερον ἀπὸ τῶν ὁμοιομερῶν μόνον οἷον σαρκὸς καὶ ὀστοῦ καὶ νεύρου καὶ τῶν τοιούτων ἀπέρχεται τὸ σπέρμα, ἐκ δὲ τῶν ἀνομοιομερῶν οἷον προσώπου, χειρὸς καὶ τῶν ἄλλων οὐδαμῶς, ἢ ἐκ τούτων μέν, ἐκ δὲ τῶν ὁμοιομερῶν οὐδὲν ὅλως, ἢ καὶ ἐκ τούτων καὶ ἐξ ἐκείνων. εἰ μὲν οὖν ἀπ' ἐκείνων μόνων ἤτοι τῶν ὁμοιομερῶν ἀπέρχεται τὸ σπέρμα, ἐοίκασι δὲ μᾶλλον οἱ παῖδες τοῖς γονεῦσι κατὰ τὰ ἀνομοιομερῆ (οὐ γὰρ δὴ κατὰ τὴν σάρκα καὶ ὅλως τὰ ὁμοιομερῆ ἡ ὁμοιότης γίνεται, ἀλλὰ κατὰ τὸ πρόσωπον καὶ κατὰ τὰς χεῖρας καὶ πάντα τὰ ἀνομοιομερῆ) εἴπερ οὖν μηδὲ τὰ ἀνομοιομερῆ ὅμοιά εἰσι διὰ τὸ ἀπιέναι ἀπ' αὐτῶν σπέρμα, (ὑπόκειται γὰρ μὴ ἀπέρχεσθαι ἀπ' αὐτῶν), τί κωλύει καὶ τὰ ὁμοιομερῆ ὅμοια εἶναι μηδενὸς ἀπελθόντος ἀπ' αὐτῶν, εἶναι δὲ ὅμοια δι' ἄλλην τινὰ αἰτίαν; εἰ δέ φασιν ὅτι ἀπὸ τῶν ἀνομοιομερῶν μόνον ἐξέρχεται τὸ σπέρμα, πρῶτον μὲν ψεῦδος τὸ λέγειν ὅτι ἀπὸ πάντων τῶν μερῶν ἀπέρχεται· ὑπόκειται γὰρ ἀπὸ τῶν ὁμοιομερῶν μὴ ἀπέρχεσθαι· ἔπειτα ἐπειδὴ τὰ ἀνομοιομερῆ ὕστερά εἰσι τῶν ὁμοιομερῶν, (σύνθεσις γὰρ ὁμοιομερῶν τὰ ἀνομοιομερῆ) ἐπεὶ οὖν ὕστερά εἰσιν, εἰ μὴ ἀπὸ τῶν ὁμοιομερῶν ἀπέρχεταί τι, οὐδὲ ἀπὸ τῶν ἀνομοιομερῶν· εἰ γὰρ μήτε ἐκ τοῦ οἴνου ἀπέλθῃ τι μήτε ἐκ τοῦ μέλιτος, δῆλον ὡς οὐδ' ἐκ τοῦ συνθέτου τοῦ οἰνομέλιτος. εἰ οὖν λέγουσιν ὅτι καὶ ἀπὸ τῶν ὁμοιομερῶν καὶ ἀπὸ τῶν ἀνομοιομερῶν ἀπέρχεται σπέρμα, εἰπάτωσαν ἡμῖν τὸν τῆς γενέσεως τρόπον, πῶς ἐστι δυνατὸν γίνεσθαι ἄλλο μὲν ἀπὸ τῶν ὁμοιομερῶν σπέρμα, ἄλλο δὲ ἀπὸ τῶν ἀνομοιομερῶν, εἴπερ τὰ ἀνομοιομερῆ οὐδὲν ἄλλο εἰσὶν ἢ σύνθεσις τῶν ὁμοιομερῶν, ἡ δὲ σύνθεσις θέσις τις καὶ πάθος· ἐκ δὲ τοῦ πάθους καὶ τῆς θέσεως πῶς ἂν ἀπέλθοι σπέρμα; τὸ δὴ λέγειν ὅτι ἀπὸ τῶν ἀνομοιομερῶν ἀπέρχεται σπέρμα ταὐτόν ἐστι τῷ λέγειν ὅτι ἐκ τῶν ὁμοιομερῶν. ὥσπερ κἂν εἰ ἀπὸ τοῦ γεγραμμένου ὀνόματος (ἀναλογεῖ γὰρ τοῦτο τοῖς ἀνομοιομερέσιν) ὥσπερ οὖν ἐπὶ τούτου, εἰ ἀπὸ παντὸς ἀπήρχετό τι τοῦ Σωκράτους ὀνόματος, δῆλον ὅτι καὶ ἀπὸ τῆς σω συλλαβῆς καὶ ἀπὸ τῆς κρα καὶ τῆς της, εἰ δ' ἀπὸ τῶν συλλαβῶν, δῆλον ὡς πολὺ πρότερον καὶ ἀπὸ τῶν στοιχείων τοῦ σ καὶ τοῦ ω καὶ τῶν λοιπῶν,

1 ἀνομοιομερῶν L  μόνον ex Arist. addidi coll. vv. 5. 8. 16  4 ἐρωτῶ K  5 μόνων IKa  νεύρων a  ἐξέρχεται K  7 et 8. 9 ἀνομοιομερῶν IL, sed corr. L  10 τὰ post κατὰ om. IL  post ὅλως add. κατὰ Ka  11 post ἀλλὰ add. καὶ I  κατὰ ante τὰς om. Ka  12 μηδὲ scripsi coll. Arist. p. 722ᵃ21: μὴ διὰ IL: καὶ K: om. a  post εἰσι add. οὐ K, μὴ a  13 ante σπέρμα add. τὸ K  15 αἰτίαν τινὰ coll. Ka  16 μόνων IK  20 post ἀνομοιομερῶν add. ἀπέλθοι a  21 ἀπέλθοι Ka  22 οὖν om. IL  27 ἀπέλθῃ K  δή] δὲ IL  λέγει K  29 ὁμολογεῖ K  30 ἐπὶ τούτων La  31 συλλαβεῖς a  32 ἀπὸ ante τῆς om. Ka  33 τοῦ ante ω om. IKa

οὕτως εἰ ἀπὸ τῶν ἀνομοιομερῶν, πρότερον ἐκ τῶν ὁμοιομερῶν, εἰ δὲ ἐκ τούτων, πολὺ πρότερον ἀπὸ τῶν στοιχείων, πυρὸς καὶ γῆς καὶ τῶν λοιπῶν· ἀπὸ γὰρ τούτων σάρκες καὶ τὰ νεῦρα συνεστήκασι καὶ τὰ λοιπὰ ὁμοιομερῆ. πολὺ οὖν πρότερον εἰκὸς ἦν ἀπὸ τῶν στοιχείων ἀπέρχεσθαι σπέρμα· ἀπὸ γὰρ τῆς συνθέσεως, τουτέστιν ἀπὸ τῶν ὁμοιομερῶν ἢ τῶν ἀνομοιομερῶν, πῶς ἐνδέχεται; ὅπερ ἴσον ἐστὶ τῷ οὐκ ἐνδέχεται· δέδεικται γὰρ ὅτι 15v οὔτε ἀπὸ τῶν ὁμοιομερῶν οὔτε ἀπὸ τῶν ἀνομοιομερῶν δύναται σπέρμα ἀπιέναι. ἴσμεν δὲ καὶ ὅτι ἄνευ ταύτης τῆς συνθέσεως ἢ τῶν ἀνομοιομερῶν γενέσθαι ὁμοιότητα οὐ δυνατόν· εἰ δὲ χωρὶς τῆς συνθέσεως ἢ τῶν ἀνομοιομερῶν οὐκ ἐνδέχεται γενέσθαι, ἐκ δὲ τούτων δέδεικται ὅτι οὐδὲν ἀπέρχεται, ψεῦδος τὸ λέγειν ὅτι ἡ ὁμοιότης γίνεται διὰ τὸ ἀπὸ παντὸς τοῦ σώματος ἀπέρχεσθαί τι· ἀλλ' εἴπερ ἔστι τι τὸ δημιουργοῦν τὴν σύνθεσιν καὶ φύσιν τῶν ἀνομοιομερῶν, ἐκεῖνο ἂν εἴη καὶ τὸ τῆς ὁμοιότητος αἴτιον.

p. 722b3 Ἔτι εἰ μὲν διεσπαρμένα τὰ μέρη ἐν τῷ σπέρματι, πῶς ζῇ;

Πρὸ τῆς τῶν λεγομένων σαφηνείας ἄξιόν ἐστιν ἡμᾶς ἀναμνησθῆναι τῆς δόξης τῶν λεγόντων ἀπὸ παντὸς τοῦ σώματος, οὐ μόνον τοῦ ἄρρενος ἀλλὰ καὶ τοῦ θήλεος, ἀπέρχεσθαι τὸ σπέρμα, καὶ τίνα ἔλεγον εἶναι τὴν τοῦ σπέρματος φύσιν· οὕτω γὰρ ἂν σαφὴς ἡμῖν ἔσται ἡ τῶν λεγομένων διάνοια. ὁ Πλάτων ἀπὸ παντὸς τοῦ σώματος τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος λέγων ἀπέρχεσθαι τὸ σπέρμα οὐ τοιοῦτόν τι σπέρμα ἀπέρχεσθαι ἔφασκεν, ὁποῖον ἅπαντες ἴσμεν, ἀλλ' ὅτι ἀπὸ μὲν τῆς τοῦ πατρὸς κεφαλῆς ἕξεισι πάνυ σμικροτάτη κεφαλὴ καὶ ἀναίσθητος διὰ σμικρότητα, ὁμοίως καὶ ἀπὸ τῶν χειρῶν χεῖρες καὶ τῶν ποδῶν πόδες καὶ τοῦ ἥπατος ἧπαρ καὶ τῶν ἄλλων ὁμοίως, παραπλήσιον δὲ καὶ ἀπὸ τῆς μητρός, ἐν δὲ τῇ ὑστέρᾳ αὔξησίν τε καὶ σύνθεσιν λαβόντα οὕτως ἐξέρχεται θύραζε. τοῦτό τε ἔλεγε καὶ ὅτι τὸ συνάθροισμα τῶν τοιούτων μερῶν οὐ καθ' αὑτὸ ἐξέρχεται, ἀλλὰ καὶ μετά τινος ὑγρασίας περιεχούσης αὐτὰ τὰ μέρη, ὥσπερ ὁ ἀμφορεὺς τὸν οἶνον· καὶ κυρίως μέν, φησί, σπέρμα καὶ εἰσὶ καὶ λέγονται τὰ εἰρημένα μόρια· διὰ δὲ ταῦτα λέγεται καὶ ἡ περιέχουσα αὐτὰ ὑγρότης σπέρμα, ὥσπερ πολλάκις καὶ ὁ ἀμφορεὺς οἶνος διὰ τὸν περιεχόμενον ὑπ' αὐτοῦ οἶνον.

1 οὕτω καὶ εἰ K πρότερον ἀπὸ τῶν Ka 2 καὶ post πυρὸς om. K
5 τουτέστιν] ἤγουν K 7 ἀνομοιομερῶν οὔτε ἀπὸ τῶν ὁμοιομερῶν K 8 ὅτι καὶ coll. IL ταύτης om. Ka 8 et 9 ἢ om. L 8 ἢ] ἤτ (ἤτοι?) K
9 εἰ δὴ Ka 10 post ἐνδέχεται add. ὁμοιότητα Ka ὅτι om. L 11 ἀπὸ om. IL 12 τι post ἐστί om. I 14 διεσπαρμένα IKL Arist. PSYZ: διεσπασμένα Arist. vulg. 16 ὑπομνησθῆναι Ka 18 καὶ τίνα—τὸ σπέρμα (21) om. IL καί τινα a 20 ὁ Πλάτων] cf. Tim. p. 73 A sqq. 91 A sqq. 22 μὲν ἀπὸ coll. a
23 ὁμοίως om. L 24 χεῖρε K καὶ ἀπὸ τῶν ποδῶν a πόδε K
25 δὲ prius om. K 26 ἐξέρχεσθαι K τε post τοῦτο om. K ἔλεγον IL 28 καὶ om. K post ὑγρασίας add. καὶ IL περιεχούσης Ka
29 φασὶ IL

τούτων οὕτως ὑπομνησθέντων ἐπὶ τὴν τῶν λεγομένων σαφήνειαν ὁρμητέον. δείξας ὅτι ἀδύνατόν ἐστι διὰ τὴν ὁμοιότητα λέγειν ἀπὸ παντὸς ἀπέρχεσθαι τοῦ σώματος σπέρμα, νῦν εὐθύνει καὶ καθ' αὑτὸ τὸ δόγμα. ἐκ | διαιρέσεως 16r δὲ κἀνταῦθα τὸν ἔλεγχον ἐπάγει· διὰ δὲ τὸ μὴ θεῖναι τὴν διαίρεσιν, ἀλλὰ πρὸς ἕκαστον τῶν τμημάτων αὐτῆς ἐπάγειν τὸν ἔλεγχον ἀσάφειαν πάνυ πολλὴν πεποίηκεν. εἴη δ' ἂν ἡ διαίρεσις τοιαύτη· πότερον ἡ ἐξερχομένη ὑγρασία καὶ σπέρμα λεγομένη περιέχουσά τε ἐν ἑαυτῇ ὥσπερ ἀγγεῖόν τι κεφαλὴν πάνυ σμικροτάτην σπλῆνά τε ὁμοίως λίαν βραχύτατον καὶ χεῖρας καὶ τὰ λοιπὰ πάντα μέρη ζῶντά εἰσιν ἐν αὐτῇ, ὥσπερ καὶ λέγουσιν, καὶ ζῇ ἕκαστον τούτων καὶ αἰσθάνεται, ἢ νεκρά ἐστι; καὶ ἆρα συνεχῆ εἰσιν ἀλλήλοις ἢ κεχώρισται καὶ ἀπολέλυται ἀπ' ἀλλήλων; εἰ δὴ ζῶσι καὶ αἰσθάνονται, εἰσὶ δὲ ἀπολελυμένα ἀπ' ἀλλήλων, εἰπάτωσαν ἡμῖν, πῶς ζῶσιν; ὥσπερ γὰρ ἡ ἀποκοπεῖσα κεφαλὴ καὶ χωρὶς οὖσα τοῦ ὅλου οὐ δύναται ζῆν, ὁμοίως δὲ οὐδὲ ἡ χεὶρ οὐδ' ἄλλο οὐδέν. οὕτως οὐδὲ τὰ ἐν τῷ σπέρματι μέρη κεχωρισμένα καὶ διεσπαρμένα ὄντα ἀπ' ἀλλήλων δύνανται ζῆν. εἰ δέ εἰσι καὶ ζῶντα καὶ συνεχῆ, ἔσται τι ζῷον μικρὸν καὶ πρὸ τοῦ γενέσθαι ζῷον. τὸ γὰρ σπέρμα διὰ τοῦτο εἴσεισιν ἐν τῇ ὑστέρᾳ διὰ τὸ γενέσθαι ἐξ αὐτοῦ ὡς ἐκ μὴ ζῴου ζῷον· ἕκαστον γὰρ τῶν γινομένων ἐκ τῆς οἰκείας γίνεται ἀποφάσεως, ὡς ἐν τῷ A δέδεικται τῆς Φυσικῆς ἀκροάσεως. ἔσται ἄρα ζῷον καὶ πρὸ τοῦ εἰς τὴν ὑστέραν εἰσελθεῖν καὶ πρὸ τοῦ ζῷον ὅλως γενέσθαι. ἔτι εἰ κεφαλὴ ἀπέρχεται ἀπὸ τῆς τοῦ πατρὸς κεφαλῆς καὶ χεῖρες ἀπὸ τῶν χειρῶν, καὶ τἆλλα ἀπὸ τῶν ἄλλων, δῆλον ὡς καὶ αἰδοῖον ἄπεισιν ἐκ τοῦ αἰδοίου. ὅταν οὖν τέκῃ ἡ μήτηρ θῆλυ, πῶς οὐκ ἔχει τὸ τεχθὲν αἰδοῖον οἷον τὸ τοῦ πατρός, ἀλλ' ἕτερον οἷον τὸ τῆς μητρός; εἰ δὲ φήσουσιν ὅτι ὅσα ἀπὸ τοῦ πατρὸς ἀπέρχεται μέρη, τοσαῦτα καὶ ἀπὸ τῆς μητρός, καὶ ἐπὶ τούτῳ διαφέρει τὸ τοῦ γεννηθέντος αἰδοῖον πρὸς τὸ τοῦ πατρός, ἀνάγκη δύο τίκτειν ἀεὶ τὴν μητέρα, καὶ ᾧ μὲν προσήρμοσε τὸ ἀπὸ τοῦ πατρὸς αἰδοῖον, τοῦτ' εἶναι ἄρρεν, ᾧ δὲ τὸ ἀπὸ τῆς μητρός, τοῦτο θῆλυ. εἰ γὰρ πάντα, ὅσα συνίστησι τὸ ζῷον, ἔξεισιν ἀπὸ τοῦ πατρός, ταὐτὰ δὲ πάντα καὶ ἀπὸ τῆς μητρός, ἀνάγκη δύο τίκτειν ἀεί· νῦν δ' οὐχ ὁρῶμεν πάσας οὐδὲ πάντοτε ἀνὰ δύο τικτούσας τὰς γυναῖκας, ἀλλ' ὀλίγαι διδυμοτοκοῦσι καὶ οὐκ ἀεί. ἀλλ' εἴπερ οὕτω χρὴ λέγειν ὅτι ὁμοίως καὶ ἀπὸ πάντων τῶν τοῦ πατρὸς καὶ ἀπὸ πάντων τῶν τῆς μητρὸς μορίων ἐξέρχεται μόρια, εἰ χρὴ οὕτω λέγειν, συμφωνότερα τῷ τοιούτῳ λόγῳ καὶ ὁμολογούμενα μᾶλλον λέγει Ἐμπεδοκλῆς. ἀλλ' εἴπερ

2 τὴν] τὸ a 4 θεῖναι] εἶναι La 7 λεγομένη] λέγει IL 8 λίαν om. K 9 ἐν αὐτῇ post λέγουσιν Ka 10 συνεχῆ ἐστιν KLa 14 δὲ om. ILa οὐθὲν I 15 δύναται Ka 17 γὰρ] δὲ IL 19 ἐν τῷ A—τῆς Φυσικῆς ἀκροάσεως] A 5 20. 21 ὅλως πρὸ τοῦ ζῷον coll. Ka 21 εἰ ἡ κεφαλὴ IL 24 post οἷον prius add. ἐστὶ Ka 25 εἰ δὲ—μητρός (26) om. L, sed in marg. add. 26 ἐπὶ ex ἐπεὶ corr. L τοῦτο IL 29 εἰ δὲ πάντα IL 30 ταὐτὰ scripsi: ταῦτα libri δὲ om. K τεκεῖν a 33 post ὅτι add. ὅτε IL πάντων τῶν et porro πάντων om. K τῶν utrumque om. a 35 λέγει μᾶλλον coll. Ka

ἕτερά πῃ, τουτέστιν ἀλλ' εἴπερ ἕτερά εἰσι τὰ εὔλογα καὶ ἀληθῆ, ἃ μέλλει 16r
λέγειν αὐτός, πρὸς μὲν τὰ ὑπὸ τῶν ἄλλων λεγόμενα συμφωνότερα τὰ τοῦ 25
Ἐμπεδοκλέους, πρὸς δὲ τὰ ἀληθῶς ὑπὸ τούτου λεχθησόμενα λέγει οὐ καλῶς.
ὁ γὰρ δὴ Ἐμπεδοκλῆς ἔλεγεν ἀπέρχεσθαι καὶ ἀπὸ τοῦ πατρὸς καὶ ἀπὸ τῆς
5 μητρὸς μέρη, ἀλλ' οὐχ ὥσπερ ἐκεῖνοι· ἐκεῖνοι μὲν γὰρ ὅτι καὶ ἀπὸ τοῦ
πατρὸς πάντα ὅσα συνίστησι τὸ ζῷον καὶ ἀπὸ τῆς μητρὸς ὁμοίως τὰ
αὐτὰ πάντα, ὁ δὲ Ἐμπεδοκλῆς ἔλεγεν ὅτι τινὰ μὲν ἀπὸ τοῦ πατρὸς τινὰ
δὲ ἀπὸ τῆς μητρός, ἀπὸ μὲν οὖν τοῦ πατρὸς τὰ κυριώτερα, οἷον κεφαλὴ
καρδία ἧπαρ καὶ τὰ ὅμοια, ἀπὸ δὲ τῆς μητρὸς τὰ ἀκυρότερα, οἷον χεῖρες 30
10 πόδες τὰ ὅμοια. τοῦτό τε οὖν ἔλεγεν ὁ Ἐμπεδοκλῆς καὶ πρὸς τούτῳ
ὅτι καὶ τὰ ἀπὸ τοῦ πατρὸς ἐξερχόμενα ἔτι ὄντα ἐν τῷ πατρὶ ζῇ, καὶ τὰ
ἀπὸ τῆς μητρὸς ὁμοίως. ὥστε συμφωνότερα καὶ τοῖς φαινομένοις λέγει
Ἐμπεδοκλῆς· οὐ γὰρ ἀναγκάζει ὁ τούτου λόγος δίδυμα τίκτειν πάσας καὶ
πάντοτε τὰς γυναῖκας. οἷον οὖν σύμβολον καὶ συνδρομὴν καὶ συνέλευσιν
15 τῶν ἀπὸ τοῦ πατρὸς καὶ τῆς μητρὸς ἐξελθόντων μορίων ἀπεφαίνετο ὁ 35
Ἐμπεδοκλῆς εἶναι τὸ τεχθέν, ἀλλ' οὔτε μόνου τοῦ πατρὸς οὔτε μόνης τῆς
μητρός. εἰπὼν δέ "ἡ μὲν ἐν ἀνδρὸς" οὐκ ἀπέδωκε τὸ ἡ δὲ ἐν γυναικός.
ἔτι εἴπερ καὶ ἀπὸ τῆς μητρὸς πάντα ἐξέρχεται, ὅσα συνίστησι τὸ ζῷον,
ἔχει δὲ ἡ μήτηρ ἐν ἑαυτῇ οὐ μόνον ταῦτα πάντα τὰ δυνάμενα συστῆσαι
20 τὸ ζῷον, ἀλλὰ καὶ ὑποδοχήν, αὕτη δέ ἐστιν ἡ ὑστέρα, ἐν ᾗ συναθροίζεται
τὰ τοιαῦτα μέρη, διὰ τί οὐ γεννᾷ ἐξ αὐτῆς καὶ ἀνδρὶ μὴ πλησιάσασα; τὰ
μὲν οὖν ἄρρενα ἔστω μὴ γεννᾶν ἐξ αὐτῶν, ὅτι μηδὲ ὑστέραν ἔχει καὶ 40
ὑποδοχήν, τὰ δὲ θήλεα διὰ τίνα ποτὲ αἰτίαν καὶ χωρὶς ἄρρενος οὐ γεννᾷ;
καὶ δῆλον ὅτι οὐκ ἀπὸ παντὸς ἅπαντα ἀπέρχεται· ἢ γὰρ ἂν ἐγέννα ἐξ
25 αὐτῶν τὰ θήλεα· ἀλλ' εἴπερ ὅλως δοτέον ὅτι ἀπέρχεται, οὕτως ἂν ἀπήρ-
χετο, ὥσπερ Ἐμπεδοκλῆς λέγει ὅτι τὰ μὲν κυριώτερα ἀπὸ τοῦ πατρός, τὰ
δὲ μὴ τοιαῦτα ἀπὸ τῆς μητρός· ὥστε καὶ ἀνάγκη κατὰ τὸν τοῦ Ἐμπεδο-
κλέους λόγον ὁμιλίαν γενέσθαι καὶ συνδυασμόν, εἰ μέλλει σύλληψις γενέσθαι.
εἰ γὰρ μὴ συνέλθοι ἀμφότερα τό τε ἄρρεν καὶ τὸ θῆλυ, πῶς ἂν τὰ ἀπὸ 45
30 τοῦ πατρὸς ἐξερχόμενα (ταῦτα δ' ἦν τὰ κυριώτερα) μετὰ τῶν ἀπὸ τῆς
μητρὸς ἐξερχομένων ἑνωθεῖεν; ἀλλὰ καὶ τὰ ὑπὸ τοῦ Ἐμπεδοκλέους λεγό-
μενα ἀδύνατά ἐστι, κἂν συμφωνότερα τοῖς φαινομένοις τυγχάνῃ. καὶ πῶς
ἀδύνατα, ἐπάγει· ὥσπερ γάρ, φησί, καὶ μεγάλα ὄντα τὰ ἀνομοιομερῆ,
ἡνίκα τὸ νεῖκος τῆς φιλίας ἐπε|κράτησεν, οὐκ ἠδύνατο ἔμψυχα εἶναι 16v
35 (ἐμψύχους γὰρ καὶ αἴσθησιν ἐχούσας ἔλεγε τὰς ἀναύχενας κόρσας) ὥσπερ

1 ἑτέρᾳ Arist. 2 ἄλλων] πολλῶν K 3 ἀληθῆ Ka 4 ἀποέρχεσθαι K 8 οὖν om. K 8. 9 κεφαλὴν καρδίαν IL κεφαλὴ — οἷον om. K 9 καὶ om. a ἀκηρότερα a 9. 10 χεῖρας πόδας I: πόδες χεῖρες coll. Ka 10 τε] δὲ a οὖν om. Ka 17 εἰπὼν δὲ] fr. v. 326 Mullach ὁ μὲν K ἐξ ἀνδρὸς K ἐκ γυναικὸς K 19 πάντα ταῦτα coll. Ka 21 αὐτῆς et 22 αὐτῶν libri 23 ὑποδειχήν L: ἀποδοχήν a 24 ᾗ scripsi: ᾗ libri 27 τοῦ om. Ka 28 ὁμιλία a γίνεσθαι καὶ Ka μέλλοι IL 29 συνέλθοιεν Ia τε om. Ka τὸ post καὶ om. IKL 30 τῆς om. K 31 τοῦ om. Ka 32 τυγχάνωσι IL 33 ἀδύνατον a 35 ἀναύχενας scripsi, cf. Empedocl. fr. v. 307 Mullach: ἀναυχένους IKL: ἀν·αὐχένους a

οὖν αἱ μεγάλαι ἐκεῖναι κεφαλαὶ οὐκ ἠδύναντο ἔμψυχοι εἶναι καὶ αἰσθη- 16v
τικαὶ κεχωρισμέναι οὖσαι τῶν ὁλοτήτων, ὁμοίως δὲ οὐδὲ αἱ μεγάλαι
ἐκεῖναι χεῖρες καὶ τἆλλα, οὕτως ἀδύνατον καὶ τὴν ἀπὸ τοῦ πατρὸς ἐξερχο-
μένην βραχυτάτην κεφαλὴν καὶ τἆλλα, ὅσα λέγει ἐξ αὐτοῦ ἐξέρχεσθαι, 5
5 κεχωρισμένα ὄντα ἀπ' ἀλλήλων ζῆν τε καὶ αἰσθάνεσθαι. οὔτε οὖν ἄψυχα
ὄντα καὶ κεχωρισμένα ὄντα ἀπ' ἀλλήλων δύναται σώζεσθαι, ἀλλὰ σήπεται
καὶ φθείρεται, οὔτε μὴν ἔμψυχα καὶ ὥσπερ εἰ ζῷα ὄντα πλείω δύναται
συνελθεῖν καὶ συμφύεσθαι ἀλλήλοις εἰς ἑνὸς ζῴου ἀπαρτισμόν· οὐδὲν γὰρ
ζῷον ὁρῶμεν ἐκ πολλῶν ζῴων συγκείμενον. ἀλλὰ μὴν ὥσπερ Ἐμπεδοκλῆς
10 ἔλεγεν ἐπὶ τῆς φιλότητος, τουτέστιν ἐπὶ τῇ ἥττῃ μὲν τῆς φιλότητος
ἐπικρατείᾳ δὲ τοῦ νείκους, συναθροισθῆναι ἐν τῇ γῇ τὰς κεφαλὰς καὶ χεῖρας 10
καὶ τὰ ἄλλα πάντα μέρη ἔμψυχα ὄντα καὶ αἴσθησιν ἔχοντα, εἶτα ἐκ τούτων
ὥσπερ ἀπὸ ζῴων πολλῶν γενέσθαι ἕκαστον τῶν ζῴων, οὕτω συμβαίνει
λέγειν καὶ τοῖς ἀπὸ πάντων τῶν μερῶν ἀπιέναι πάντα λέγουσιν. ἀδύνατον
15 δὲ ζῷα ὄντα τὰ τοιαῦτα μέρη συνιόντα συναθροισθῆναι εἰς ἕνα τόπον καὶ
ἀλλήλοις συμφῦναι. εἶτα πῶς κεχωρισμένα ὄντα ἀπ' ἀλλήλων διέσπασται
ἤτοι τέτακται καὶ καθ' αὑτὸ ἀφώρισται τὸ ἄνω καὶ κάτω καὶ αἱ λοιπαὶ 15
δύο περιστάσεις; πῶς οὖν δὴ γέγονεν εὔτακτος ἡ τούτων θέσις, ἀλλὰ μὴ
ὡς ἔτυχε; τὰ μὲν οὖν λεγόμενα τοιαῦτα· τὴν δὲ λέξιν τὴν ὥσπερ γὰρ καὶ
20 μεγάλα ὄντα ἀδύνατον διεσπασμένα σώζεσθαι καὶ ἔμψυχα εἶναι,
καθάπερ Ἐμπεδοκλῆς γεννᾷ, οὕτως ἀναγνωστέον· ἀδύνατον γὰρ
διεσπασμένα σώζεσθαι καὶ ἔμψυχα εἶναι, ὥσπερ καὶ μεγάλα ὄντα, καθάπερ
φησὶν Ἐμπεδοκλῆς.

p. 722b30 Ἐπεὶ δὲ τὰ μέρη τὰ μὲν δυνάμει τὰ δὲ πάθεσι διώρισται.

25 Ἐπειδή, φησί, τὰ μέρη τὰ μὲν δυνάμει διώρισται, τὰ δὲ πάθεσι, τὰ 20
μὲν ἀνομοιομερῆ τῷ δύνασθαί τι ποιεῖν, οἷον γλῶσσα τῷ δύνασθαι γεύεσθαι
καὶ χεὶρ τῷ ἅπτεσθαι, τὰ δὲ ὁμοιομερῆ σκληρότητι, μαλακότητι καὶ τοῖς 25
ἄλλοις τοῖς τοιούτοις πάθεσιν, ἀλλὰ δὴ καὶ τὸ αἷμα οὐ πάντως ἔχον αἷμά
ἐστιν, οὐδὲ μὴν ἡ σὰρξ σάρξ, ἐπεὶ οὖν ταῦθ' οὕτως, ἀδύνατον τὸ ἀπελθὸν 30
30 συνώνυμον εἶναι τοῖς μέρεσιν. εἰ γὰρ ἐκ μὲν τοῦ αἵματος ἕξεισιν αἷμα,
ἐκ δὲ τῆς κεφαλῆς κεφαλὴ καὶ ἐκ τῶν λοιπῶν τὰ ἄλλα, ἔσται αἷμα πρὸ 35
τοῦ γενέσθαι αἷμα, καὶ ὅλως ζῷον πρὸ τοῦ γενέσθαι ζῷον· εἰ δὲ οὐκ ἐκ
τοῦ αἵματος ἄπεισιν αἷμα, ἀλλ' ἔστι τι τὸ δημιουργοῦν καὶ ποιοῦν τὸ αἷμα,
οὐδὲ τῆς ὁμοιότητος αἴτιον ἂν εἴη τὸ ἀπιέναι τι ἀπὸ πάντων τῶν μερῶν, 40
35 ἀλλ' ἱκανὸν ἀφ' ἑνὸς μόνου μορίου οἷον τοῦ αἵματος (περίττωμα γὰρ

2 post αἰσθητικαὶ add. ὡς K 4 τἆλλα om. K 5 ζῆν—αἰσθάνεσθαι] δύναται σώζεσθαί τε καὶ ζῆν καὶ αἰσθάνεσθαι K 6 σήπεται] ὄλλυται K 7 μὴν in ras. I: μὲν KLa ὥσπερ εἰ] ὡς περὶ Ka 8 συμφύναι Ka οὐδὲν] οὔτε IL 14 καὶ τῶν ἀπὸ I 15 τοιαῦτα] ποιοῦντα K 17 τῷ ἄνω IL 21 καθάπερ] ὥσπερ IL γὰρ om. a 24 Ἐπεὶ δὲ IKL[1] Arist. PSY: ἔτι L[2] Arist. vulg. 25 ἐπεὶ K δὲ τοῖς πάθεσι K 27 post σκληρότητι add. καὶ K 29 μὴν] μὲν a 31 ἐκ ante τῶν om. K πρὸ] ἐκ IL[1] 32 ὅλον I

αἵματός ἐστιν, ὡς ἐρεῖ καὶ δείξει, τὸ σπέρμα) ἱκανὸν οὖν ἀπὸ τούτου μόνου ἀπιέναι τὸ σπέρμα· τοῦτο δὲ τὸ σπέρμα ἢ μᾶλλον ἡ ἐν τούτῳ | δύναμις μετὰ τοῦ καταμηνίου ποιεῖ ἅπαντα τὰ τοῦ ζῴου μέρη. διὰ τί 17r γὰρ τοῦ αἵματος γινομένου ἐξ ἑνός τινος οὐ γενήσεται καὶ τὰ ἄλλα μέρη ὑπ' ἐκείνου; λέγει δὲ τὸν λέγοντα λόγον ἐξ αἵματος μὲν ἀπέρχεσθαι αἷμα καὶ ἐκ τῆς κεφαλῆς κεφαλὴν καὶ τὰ λοιπὰ ἐκ τῶν λοιπῶν ἐοικέναι τῷ τοῦ Ἀναξαγόρου λόγῳ τῷ λέγοντι μηδὲν γίνεσθαι· εἶναι γὰρ ἀεὶ τὰς ὁμοιομερείας καὶ ἅπαντα ἐν πᾶσιν. ἀλλ' ὁ μὲν τοῦ Ἀναξαγόρου λόγος δέδωκε πολλάκις εὐθύνας· τούτους δὲ ἐρωτητέον, τίνα τρόπον ἡ ἀπελθοῦσα ἐκ τῆς κεφαλῆς κεφαλὴ αὔξεται καὶ τὰ ἄλλα μόρια. ὁ μὲν γὰρ Ἀναξαγόρας ἔλεγε τὴν σάρκα αὔξεσθαι καὶ τὰ αἵματα καὶ τὰ ἄλλα μόρια ὑπὸ τῶν σαρκῶν καὶ αἱμάτων καὶ ὀστῶν τῶν ἐνόντων τῷ ἄρτῳ καὶ οἴνῳ· πάντα γὰρ ἐν πᾶσιν ἐκείνῳ ἐδόκει· τοῖς δὲ μὴ λέγουσι μὲν τὰ τοῦ Ἀναξαγόρου, ἀπὸ παντὸς δὲ τοῦ σώματος ἀπιέναι σώματα φάσκουσι πῶς ἑτέρου προσγινομένου μεῖζον ἔσται, εἰ μένει ἡ προσελθοῦσα τροφὴ ἄπεπτός τε καὶ ἀναλλοίωτος; εἰ δὲ φήσουσιν αὐτὴν πέττεσθαί τε καὶ μεταβάλλειν εἰς σάρκας καὶ αἵματα καὶ τὰ λοιπά, διὰ τί οὐκ εὐθὺς ἐξ ἀρχῆς τὸ σπέρμα τοιοῦτον εἶναι λέγουσιν, ὥστε δύνασθαι εἰς αἷμα καὶ σάρκας καὶ τὰ λοιπὰ μεταβάλλειν μέρη, ἀλλὰ λέγουσιν ὅτι ἐνεργείᾳ ἔνεισιν ἐν αὐτῷ αἷμα καὶ κεφαλὴ καὶ τὰ λοιπά; ἀλλὰ μὴν οὐδὲ τοῦτο λέγειν αὐτοὺς ἐνδέχεται ὅτι ὥσπερ ἐν τῷ οἴνῳ ἐμμιγνύμενον καὶ κατακεραννύμενον τὸ ὕδωρ αὔξει τὸν οἶνον, οὕτω καὶ ἡ τροφὴ εἰς αἷμα μὲν καὶ σάρκας οὐ μεταβάλλει, ἐμμιγνυμένη δὲ αὐτοῖς αὔξει. οὐδὲ τοῦτο οὖν ἐνδέχεται λέγειν· διὰ τί; ὅτι ὥσπερ ὁ οἶνος πρὸ τοῦ εἰσελθεῖν ἐν αὐτῷ τὸ ὕδωρ ἄκρατος ἦν καὶ καθαρὸς καὶ ὄντως οἶνος, μιχθεὶς δὲ καὶ κατακερασθεὶς οὐκέτι, οὕτω καὶ τὸ αἷμα ἦν ἂν αἷμα πρὸ τοῦ μιχθῆναι τὴν τροφήν, μιχθείσης δὲ οὐκέτι αἷμα, ἀλλά τι ἄλλο· νῦν δὲ ὁρῶμεν ὅτι ὕστερον μᾶλλον καὶ τὸ αἷμα καὶ ἡ σὰρξ καὶ τἆλλα τοῦτό εἰσιν ὅπερ λέγονται, καὶ οὐ πρότερον. ἔτι τὸ λέγειν ὅτι ἔνεισιν ἐν τῷ σπέρματι ἐνεργείᾳ νεῦρα καὶ ὀστᾶ λίαν ἐστὶν ὑπὲρ ἡμᾶς τὸ λεγόμενον· οὐδέποτε γὰρ εἴδομεν ἐν αὐτῷ νεῦρα καὶ σάρκας.

p. 723ᵃ23 Πρὸς δὲ τούτοις εἰ τὸ θῆλυ καὶ τὸ ἄρρεν ἐν τῇ κυήσει διαφέρει.

Ὅτι μὲν οὖν τὰ αἵματα, ἐξ ὧν γίνεται τὰ ἄρρενα, διαφέρει ἐν τῇ κυήσει τῶν αἱμάτων, ἐξ ὧν γίνεται τὰ θήλεα, τεθεώρηται ἱκανῶς· καθαρώτερα γὰρ καὶ θερμότερα ἀφ' ὧν τὰ ἄρρενα γίνεται, ψυχρότερα δὲ τὰ

2. 3 ἡ—δύναμις] τὴν—δύναμιν Ka 3 μετὰ] καὶ K ποιεῖν L 4 post ἄλλα add. πάντα Ka 7 post μηδὲν add. ἐξ αἵματος Ka 8 et 13 τοῦ om. K 18 εἶναι τοιοῦτον coll. K 19 αἵματα Ka ἐν αὐτῷ αἵματα ἔνεισιν coll. K 23 αὐτοῖς om. K 24 ἦν] εἴη IL 27 ἡ om. IK 28 εἰσὶν ex ἐστὶν corr. L 29 post λίαν add. δὲ a 31 τὸ ante ἄρρεν om. I 34 τῶν αἱμάτων in ras. L 35 γίνονται τὰ ἄρρενα K

ἀφ' ὧν τὰ θήλεα. λέγει δὲ τοῦτο καὶ Ἐμπεδοκλῆς· ἀσαφῶς δὲ τέθεικε 17r
τὰ τοῦ Ἐμπεδοκλέους διὰ τὸ μὴ ὁλόκληρα ἀπαγγεῖλαι τὰ ἔπη, ἀλλὰ μόνας
αὐτῶν τὰς ἀρχὰς καὶ ταύτας οὐκ ἀπὸ τῶν ἐφεξῆς ἀλλήλοις ὄντων στίχων,
ἀλλὰ πόρρω ἀπ' ἀλλήλων ὄντων. καὶ τὸ μὲν δηλούμενον διὰ τοῦ "ἐν δ'
5 ἐχύθη καθαροῖσι" τοιοῦτον ἂν εἴη· τὸ δὲ ἄρρεν χέεται ἤτοι συνίσταται
ἀπὸ καθαρωτέρων καὶ θερμοτέρων αἱμάτων, τὰ δὲ τῶν αἱμάτων τελέθουσι
καὶ γίνονται γυναῖκες ψυχθέντα. ἐν δὲ τῇ λέξει τῇ πρὸς δὲ τούτοις εἰ 40
τὸ θῆλυ καὶ τὸ ἄρρεν ἐν τῇ κυήσει διαφέρει λείπει τὸ ἀδύνατον
ἀπὸ παντὸς σώματος ἀπιέναι πάντα· εἰ γὰρ νῦν μὲν θερμότερά εἰσι τὰ
10 αἵματα νῦν δὲ ψυχρότερα, οὐκ ἐξέρχονται ἐνεργείᾳ ἀπὸ τοῦ σώματος,
ἀλλ' ἔστι τι τὸ δημιουργοῦν αὐτὰ τοιάδε ἢ τοιάδε κατὰ τὴν οἰκείαν
ἐπικράτειαν.

p. 723a26 Φαίνονται δ' οὖν μεταβάλλουσαι γυναῖκες καὶ ἄνδρες,
ὥσπερ ἐξ ἀγόνων γόνιμοι.

15 Πολλαὶ τῶν γυναικῶν θηλυτοκοῦσαι, εἶτα ὑπὸ ἰατρῶν ἐπιμεληθεῖσαι
καὶ ἐκ ψυχροτέρας κράσεως | μεταπεσοῦσαι εἰς θερμοτέραν γεγόνασιν ἀντὶ 17v
θηλυτόκων ἀρρενοτόκοι, ὁμοίως δὲ καὶ ἄρρενες πολλοὶ ἐκ θηλυτόκων γεγό-
νασιν ἀρρενοτόκοι· ἀλλὰ καὶ ἐξ ἀγόνων γόνιμοι καὶ ἄνδρες καὶ γυναῖκες. 5
εἰ δὲ τοῦτο, οὐ διὰ τὸ ἀπέρχεσθαι ἀπὸ τοῦ αἰδοίου ἄρρενος αἰδοῖον ἢ
20 θήλεος γίνονται τῶν παίδων τὰ μὲν θήλεα, τὰ δ' ἄρρενα, ἀλλὰ διά τινα 10
ἄλλην αἰτίαν, οἷον διὰ θερμοτέραν ἢ ψυχροτέραν κρᾶσιν. εἰ οὖν διαφορὰ
γίνεται τοῦ ἄρρενος καὶ τοῦ θήλεος διὰ τῆς τῶν ἰατρῶν ἐπιμελείας καὶ τῆς 15
τοιᾶσδε γενομένης ὑπὸ τῶν προσφερομένων φαρμάκων κράσεως, οὐ διὰ τὸ
τοιάδε ἀπέρχεσθαι αἰδοῖα γίνονται τὰ ἔγγονα ἄρρενα καὶ θήλεα, ἀλλὰ διὰ
25 τὴν τοιάνδε κρᾶσιν· ὥστε ἐπεὶ οὐκ ἀπὸ τῶν αἰδοίων ἄπεισιν αἰδοῖα, δῆλον
ὡς οὐδ' ἀπὸ τῶν κεφαλῶν κεφαλαὶ οὐδὲ τῶν χειρῶν χεῖρες οὐδὲ ἄλλο τι
οὐδέν, ἀλλὰ τὸ αὐτὸ καὶ ἓν σπέρμα, εἰ μὲν εἰς τοιάνδε κρᾶσιν ἐμπέσοι,
γενήσεται ἄρρεν, εἰ δὲ εἰς τοιάνδε, θῆλυ, ὥσπερ καὶ τὸ αὐτὸ καὶ ἓν νέφος 20
ὧδὶ μὲν ἐμπεσὸν γίνεται χάλαζα, ὧδὶ δὲ ὕδωρ. ἄλλως τε εἴπερ δειχθείη
30 ὅτι ἀπὸ τῆς ὑστέρας οὐκ ἐξέρχεται σπέρμα, τουτέστιν ὑστέρα, καὶ ὅμως
τίκτεται παιδίον θῆλυ ἔχον ὑστέραν, δῆλον ὅτι οὐδ' ἀπὸ τῆς κεφαλῆς
κεφαλὴ οὐδ' ἀπ' ἄλλου οὐδενὸς τῶν μορίων οὐδέν.

Ἔτι πολλὰ τῶν ζῴων γίνεται οὔτε ἐξ ὁμογενῶν οὔτε ἐξ ἀνομογενῶν, 25
ἀλλ' ἐκ σαπείσης τινὸς ὕλης. ἀπὸ ποίας οὖν κεφαλῆς ἡ τούτων κεφαλὴ

---

1 καὶ τοῦτο coll. IL ἀσαφῶς—Ἐμπεδοκλέους (2)] καὶ τέθεικε τὰ Ἐμπεδοκλέους ἀσαφῶς K 3 ἀλλήλοις—στίχων om. K 4 ἀλλ' ἀπὸ τῶν πόρρω K 4. 5 ἐν—καθαροῖσι] cf. Empedocl. fr. vv. 329. 330 Mullach 5 χέεται] sic libri 6 ὑπὸ IKa 7 εἰ om. K 8 κινήσει K 9 μὲν om. K 11 δημιουργὸν La τοῖα ἢ τοῖα K: τοιὰ ἢ τοιὰ a 14 ἀγόνου IL 18 καὶ ἄνδρες om. K 19 αἰδοῖον] αἰδοίων I 20 fort. παιδίων 23 γινομένης Ka 25 ἐπεὶ] ἐπὶ a ἀπὸ] ἐκ a 28 γεννήσεται IL εἰ δὲ εἰς] εἰς δὲ IL ὥσπερ] ὥστε La 29 χάλαζα] θάλασσα IL 31 τίκτεται in ras. L

καὶ τὰ λοιπὰ μέρη ἐξῆλθον; ἔτι εἰ ἐν τῇ μιᾷ συνουσίᾳ μία γίνεται ἀπόκρισις, δῆλον ὡς καὶ μία κεφαλὴ καὶ ὅλως ἑνὸς ζῴου μέρη ἐξῆλθεν ἀπὸ τοῦ πατρὸς ἐν τῇ μιᾷ συνουσίᾳ. νῦν δὲ πολλὰ τῶν ζῴων ἀπὸ μιᾶς συνουσίας πολλὰ συλλαμβάνεται καὶ γεννᾷ, καὶ τὰ φυτὰ ἐν μιᾷ κινήσει, ἥτις συνδυασμῷ ἄρρενος καὶ θήλεος ἀναλογεῖ καὶ κατὰ τὸ ἔαρ γίνεται, πολλοὺς φέρει καρπούς. ἐπεὶ δὲ οἱ ταύτης προϊστάμενοι τῆς δόξης ἐξετραγῴδουν ὅτι ἀπὸ πάντων μὲν τῶν τοῦ γεννῶντος μερῶν ἐξέρχεται πάντα τὰ μέρη, συγκεχυμένως μέντοι κείμενα ἐν τῇ ὑγρασίᾳ καὶ ἀτάκτως, ἐν δὲ τῇ ὑστέρᾳ χωρίζονται καὶ τάττονται καὶ μετὰ τὴν κεφαλὴν εὐθὺς πίπτει ὁ αὐχήν, εἶτα ὦμοι καὶ ἐφεξῆς τὰ ἐφεξῆς, ἐπεὶ οὖν ταῦθ' οὕτως ἔλεγον, ἐπήγαγε τὸ ἐν δὲ ταῖς ὑστέραις χωρίζεσθαι ἀδύνατον. ἐπειδὴ γὰρ ἕκαστον αὐτῶν καὶ κεχωρισμένων ὄντων ἀπ' | ἀλλήλων ζῇ, ὥς φασι, καὶ 18r αἰσθάνεται, οὕτως ἂν ἐχωρίζετο, ὥσπερ οἱ κλάδοι ἀπὸ τοῦ νεοφύτου ἢ ἀπό τινος ζῴου ἐκ πολλῶν ζῴων συγκειμένου, ἀλλ' οὐχ ὥσπερ ἐκ σπέρματος· τὸ γὰρ σπέρμα δυνάμει ταῦτα καὶ οὐκ ἐνεργείᾳ.

Ἔτι ἐπεὶ τὰ ἀποφυτευόμενα, ὥσπερ εἴπομεν ἐπὶ τοῦ ἀπὸ τῆς καρέας κλάδου, τὸ αὐτὸ φέρει σπέρμα, καὶ πρὸ τοῦ ἀποφυτευθῆναι ἄρα καὶ ἀποκοπῆναι οὐκ ἀπὸ πάσης τῆς καρέας ἀπήρχετό τι, ἀλλ' ἀπὸ μόνου τοῦ κλάδου. μέγιστον δὲ τούτων τεκμήριον· τεθεωρήκαμεν ἱκανῶς, καὶ πρότερον εἴρηκεν ὡς ἐν τοῖς πλείστοις τῶν ἐντόμων τεθεωρήκαμεν μὴ τὸ ἄρρεν εἰς τὸ θῆλυ, ἀλλὰ τὸ θῆλυ εἰς τὸ ἄρρεν μέρος τι αὐτοῦ ἐναφιέναι· εἰσφέροντος γὰρ τοῦ θήλεος τὴν ὅλην ὑγρότητα οὖσάν τινα τὴν δεκτικὴν τοῦ σπέρματος, συνίσταται εἰς ζῴου φύσιν, ὥσπερ καὶ ἐν αὐτῇ τῇ τοῦ θήλεος ὑστέρᾳ· καὶ διὰ τὸ ἐν τῷ ἄρρενι συνίστασθαι τὴν ἀπὸ τοῦ θήλεος εἰς αὐτὸ εἰσελθοῦσαν ὑγρασίαν πολὺν συμπλέκεται χρόνον, διαλυθέντα δὲ γεννᾷ ταχέως. συνδεδύασται μὲν γάρ, μέχρις ἂν συστῇ ἡ ἀπὸ τοῦ θήλεος ὑγρότης καὶ εἰς αὐτὸ πάλιν ὑποστρέψῃ· ἐπειδὰν δὲ τοῦτο γένηται, λέγω δὴ τὸ συστῆναι καὶ εἰς τὸ θῆλυ ὑποστρέψαι, ἀπολύονται καὶ μετὰ βραχύν τινα χρόνον προΐεται τὸ κύημα. οὐ γὰρ τελέως οὔτε ἐν τῷ ἄρρενι εἰς ζῴου φύσιν συνίσταται οὔτε ἐν τῷ θήλει, ἀλλὰ εἰς φύσιν κυήματος, καὶ οὕτω προέρχεται ἀτελὲς ὥσπερ σκώληξ. ὥστε φανερὸν καὶ ἐκ τούτων ὅτι οὐδ' ὅσα προΐεται τῶν ἀρρένων εἰς τὸ θῆλυ, τὸ ἀπὸ παντὸς τοῦ σώματος ἀπιέναι αἴτιόν ἐστι τῆς γενέσεως, ἀλλ' ἄλλον τινὰ γίνονται τὰ γινόμενα τρόπον, περὶ οὗ ἐνταῦθα ἐρεῖ. εἰ δὲ καὶ χρὴ λέγειν ὅτι τῷ ἀπὸ παντὸς ἀπιέναι συμβαίνει ἡ γένεσις, οὐ δεῖ λέγειν αὐτοὺς ὅτι ἀπὸ πάντων τῶν μερῶν, ἀλλ' ἀπὸ τοῦ δημιουργοῦντος ἤτοι τρέφοντος καὶ ζῳογονοῦντος, ὅπερ ἐστὶ τὸ αἷμα, μᾶλλον δὲ καὶ πρῶτον ἀπὸ τῆς καρδίας (αὕτη γὰρ καὶ τὸ αἷμα δημιουργεῖ,

---

1 ἐν om. IL γίνεται μία coll. K 2 ἐξῆλθον K 4 πολλάκις KLa
5 γίνεται] κἂν καὶ a 6 ἐπειδὴ a 6. 7 ἐξετραγῴδων a 8 μέν τι a
11 δὲ om. K ἐπεὶ K 13 αἰσθάνονται K ἐξεχωρίζετο K τῶν νεοφύτων Ka 14 συγκειμένων La 21 αὐτοῦ scripsi: αὐτοῦ ILa: αὐτῆς K
εἰσφέροντα L: εἰσφέροντ̄ I 22 τινὰ οὖσαν coll. K τὴν om. K 27 συστῆναι] συνιστάναι K 29 εἰς—φύσιν] ἡ ζῴου φύσις IL 34 καὶ om. K τῷ om. K

οὗπερ αἵματος δειχθήσεται περίττωμα τὸ σπέρμα) καὶ πρὸ τῆς καρδίας 18r
ἀπὸ τῆς ἐν αὐτῇ ψυχῆς· αὕτη γὰρ σὺν αὐτῇ καὶ τὰ ἄλλα δημιουργεῖ.
ἀπὸ δὴ τοῦ δημιουργοῦντος χρὴ λέγειν ἀπέρχεσθαι τὸ σπέρμα καὶ οὐκ
ἀπὸ πάντων τῶν μερῶν· τὰ γὰρ ἄλλα μέρη τὰ μὲν ὡς ὕλη τὰ δὲ ὡς 40
5 ὄργανά εἰσι τῷ δημιουργοῦντι. ὥσπερ γὰρ οὐκ ἀπὸ τοῦ ξύλου καὶ ὅλως
τῆς ὕλης ἐξέρχεται τὰ ἐν αὐτῷ ὑπὸ τῆς τέχνης ἐναποτιθέμενα εἴδη, ἀλλ'
ἀπὸ τοῦ τέκτονος, ὥσπερ οὖν οὐκ ἀπὸ τῆς ὕλης ἢ τοῦ σκεπάρνου καὶ
τῶν λοιπῶν ὀργάνων, ἀλλ' ἀπὸ τοῦ τεχνίτου, οὕτως οὐδ' ἀπὸ παντὸς τοῦ
σώματος, ἀλλ' ἀπὸ τοῦ δημιουργοῦντος· ὅ τί ποτε δ' ἂν εἴη τὸ δημιουργοῦν,
10 ἐρεῖ ἐν τῷ ἐφεξῆς βιβλίῳ. νῦν δὲ οἱ λέγοντες ἀπὸ παντὸς ἀπέρχεσθαι
τοῦ σώματος, ὅπερ ταὐτόν ἐστι τῷ λέγειν ἀπὸ τῆς ὕλης καὶ τῶν ὀργάνων, 45
ὅμοιόν φασιν, ὥσπερ κἂν εἴ τις θεάσοιτό τινα ὅμοιον ὄντα τῷ πατρὶ καὶ
πρὸς τούτῳ ὅμοια ὑποδήματα φοροῦντα τοῖς τοῦ πατρὸς ὑποδήμασι, λέγοι
ὅτι ὥσπερ διὰ τὸ ἀπὸ παντὸς ἀπιέναι τοῦ πατρὸς πάντα γέγονεν αὐτῷ
15 ὅμοιος ὁ παῖς, οὕτω καὶ ἀπὸ τῶν τοῦ πατρὸς ὑποδημάτων | ἀπῄει τι, καὶ 18v
ἐπὶ τούτῳ γεγόνασι τὰ τοῦ υἱοῦ ὑποδήματα ὅμοια τοῖς τοῦ πατρός. οὐκ
εἴποι δὲ τοῦτο οὐδ' ἂν εἷς· διὰ τί; διὰ τὸ πάντας εἰδέναι ὅτι καὶ τὰ τοῦ
πατρὸς καὶ τὰ τοῦ υἱοῦ ὑποδήματα ὄργανά εἰσιν, οὐδὲν δὲ ἀπὸ τῶν ὀργάνων
πρὸς τὰ ὄργανα ἄπεισιν· εἰ δὲ μὴ τοῦτο, οὐδ' ἂν ἀπὸ τοῦ σώματος εἴποι
20 τις ἀπέρχεσθαί τι, εὖ λέγων· ὄργανον γὰρ καὶ τὸ σῶμα τοῦ δημιουργοῦντος,
ὥσπερ καὶ τὰ ὑποδήματα τῶν ποδῶν, καὶ ὥσπερ τῆς τῶν ὑποδημάτων 5
τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ὁμοιότητος οὐ τὸ ἀπὸ παντὸς τοῦ ὑποδήματος
ἀπέρχεσθαί τί ἐστιν αἴτιον, ἀλλ' ὁ τεχνίτης, οὕτως οὐδὲ τῆς τοῦ υἱοῦ καὶ
πατρὸς ὁμοιότητος τὸ ἀπέρχεσθαι μέρη ἀπὸ μερῶν, ἀλλά τι ἄλλο.

25 Ἐπεὶ δὲ σημεῖον τοῦ ἀπὸ παντὸς τοῦ σώματος ἀπέρχεσθαί τι παρῆγον 10
τὴν γινομένην ἡδονὴν ἐν τῇ ὁμιλίᾳ σφοδρὰν οὖσαν καὶ πολλήν (πᾶν δὲ τὸ
ἀπὸ πολλῶν γινόμενον πλεῖον γίνεται τοῦ ἀπὸ ὀλίγων γινομένου), λέγει
μηδὲν εἶναι τοῦτο σημεῖον τοῦ ἀπὸ παντὸς ἀπέρχεσθαί τι τοῦ σώματος· 15
γίνεσθαι δέ φησιν ἰσχυρὰν τὴν ἡδονὴν διὰ τὸ κνησμὸν καὶ παράτριψιν τότε
30 γίνεσθαι τῶν δύο αἰδοίων, τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος. ὅτι δὲ ἀπὸ 20
τοῦ κνησμοῦ γίνεται τοιαύτη ἡδονὴ καὶ δι' αὐτὸν συμβαίνει, τεκμήριον
ἱκανὸν τὸ ἐπισυμβαῖνον· ἂν γὰρ πολλάκις τις τῆς ἡμέρας συνδυάζηται, οὐ 25
γίνεται σφοδρὰ ἡ ἡδονή, ἀλλ' ἀνειμένη, ὥσπερ καὶ ἐπὶ τῶν γαργαλιζομένων.
κἀκείνους γὰρ εἰ διὰ πολλῶν ἡμερῶν καὶ βραδέως τις γαργαλίζει, σφόδρα 30
35 γαργαλίζονται, εἰ δὲ καθ' ἡμέραν ἢ καὶ πολλάκις τῆς ἡμέρας, ἢ οὐδ'

1 περίττωμα δειχθήσεται coll. Ka 3 δὴ om. et post δημιουργοῦντος add. οὖν K 5 οὐκ om. IL¹ ὕλης K 6 ὑπὸ] ἀπὸ Ka 9 ὅτι δέ ποτ' ἂν K: ὅτι ποτ' ἂν a 13 λέγοι scripsi: λέγει libri 14 διὰ τὶ ἀπὸ a 15 ὅμοια K: ὁμοίως a 17 et 19 εἴπη IL 17 οὐδ' ἂν εἷς scripsi: δ' ἂν εἷς a: ἂν εἷς IL: πάντως τίς K 22 τοῦ πατρὸς καὶ τοῦ υἱοῦ coll. K: τοῦ πατρὸς καὶ υἱοῦ a οὐ τὸ] οὔτε a τοῦ post παντὸς om. K 25 τὸ ἀπὸ K 26 ἐν τῇ ὁμιλίᾳ τὴν γινομένην ἡδονὴν coll. IL 27 ὀλίγου IL 28 τι om. IL 29 διὰ τὸν κνησμὸν a παράτριψιν] περίτριψιν ἰσχυρὰν Ka 31 δι' αὐτῶν IL 33 ἡ om. a 34 κἀκείνοις L 35 καθ' ἑκάστην ἡμέραν Ka

ὅλως γαργαλίζονται ἢ λίαν ἠρέμα. ὥστε εἰ μὴ διὰ κνησμὸν ἡ ἡδονὴ 18v
ἐγίνετο, ἀλλὰ δι' ἀπουσίαν τινός, σφοδρὰ ἂν καθ' ἑκάστην ὁμιλίαν ἐγίνετο
ἡ ἡδονὴ τοῖς πυκνῶς συνδυαζομένοις· καθ' ἑκάστην γὰρ ὁμιλίαν ἀπέρχεταί
τι. ἔτι ἡ χαρὰ καὶ ἡ συναίσθησις τῆς σφοδρᾶς ἡδονῆς πρὸς τῷ τέλει 35
5 γίνεται τῆς ὁμιλίας, ὅτε καὶ ἡ τῶν σκελῶν τάσις γίνεται· οὐκ ἔδει δέ, εἰ
διὰ τὸ ἀπέρχεσθαί τι ἐγίνετο, πρὸς τῷ τέλει γίνεσθαι οὐδ' ἅμα, ἀλλ' εἰ
μὲν ἀπῆλθε πρότερον ἀπὸ τῆς κεφαλῆς τὸ σπέρμα, εἶτα ἀπὸ τοῦ ὤμου,
πρῶτον μὲν ἀνάγκη ἦν γίνεσθαι τὴν ἡδονὴν ἐν τῇ κεφαλῇ, εἶτα ἐν τοῖς
ὤμοις· νῦν δὲ οὔτε ἐν τοῖς τοιούτοις μέρεσι γίνεται ἡ ἡδονή, ἀλλ' ἐν τῷ
10 αἰδοίῳ, οὐδ' ἡ μὲν πρότερον ἡ δὲ ὕστερον, ἀλλ' ἅμα. τοῦ δὲ ἐκ 40
κολοβῶν, φησί, γίνεσθαι κολοβὰ ἡ αὐτή ἐστιν αἰτία, δι' ἣν καὶ
ὅμοια τοῖς γονεῦσι γίνονται. δι' ἣν γὰρ αἰτίαν γίνεται ὅμοια τοῖς γονεῦσι,
διὰ τὴν αὐτὴν δειχθήσεται γίνεσθαι καὶ ἐκ κολοβῶν κολοβά, καὶ ἐρεῖ τὰς
αἰτίας ἐν τῇ παρούσῃ πραγματείᾳ. ἀλλὰ καὶ δι' ὧν, φησί, λόγων καὶ
15 αἰτιῶν δειχθήσεται ὅτι οὐ προΐεται τὸ θῆλυ σπέρμα, (δείξει δὲ προϊών)
διὰ τῶν αὐτῶν δειχθήσεται μηδ' ἀπὸ παντὸς ἀπιέναι, καὶ ἔμπαλιν δι' ὧν
ὅτι οὐκ ἀπὸ παντὸς ἄπεισι, διὰ τῶν αὐτῶν ὅτι οὐ προΐεται τὸ θῆλυ σπέρμα.
τὰ μὲν οὖν ἐπιχειρήματα, δι' ὧν ἤλεγξε τὴν τοῦ Πλάτωνος δόξαν, ταῦτα. 45
ὅτι δὲ οἷα εἴπομεν ἔφασκεν ἐκ τοῦ πατρὸς ἐξέρχεσθαι μόρια, καὶ ταῦτα
20 ζῶντα, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ὅτι ἡ μήτρα καὶ τὸ τοῦ ἄρρενος
μόριον τὸ γεννητικὸν ζῷά εἰσιν, ἄκουσον τί φησιν ἐν τῷ Τιμαίῳ πρῶτον
μὲν περὶ τοῦ γεννητικοῦ | μορίου τοῦ ἄρρενος καὶ τοῦ θήλεος· γράφει γὰρ 19r
κατὰ λέξιν οὕτως "τὸν τῆς συνουσίας ἔρωτα οἱ θεοὶ ἐτεκτήναντο, ζῷον τὸ
μὲν ἐν ἡμῖν τὸ δ' ἐν ταῖς γυναιξὶ συστήσαντες ἔμψυχον"· ὥστε ζῷα καὶ
25 ἐν ἡμῖν λέγει, δι' ὧν αἱ γενέσεις, τό τε μόριον τοῦ ἄρρενος καὶ τῆς
γυναικὸς τὴν μήτραν, ζῷα δὲ οὐχ ὅτι ζῶσι μόνον, ἀλλ' ὅτι καὶ κατήκοα
τῆς αὐτοκινήτου κατ' ἐκεῖνον ψυχῆς. λέγει γὰρ "τὸ περὶ τὴν τῶν αἰδοίων
φύσιν ἀπειθές τε καὶ αὐτοκρατὲς γεγονός, οἷον ζῷον ἀνυπήκοον τοῦ λόγου, 5
πάντων δι' ἐπιθυμίας οἰστρώδεις ἐπιχειρεῖ κρατεῖν". περὶ δὲ τῆς μήτρας
30 ὅτι τε ζῷόν ἐστι καὶ αὕτη καὶ τὰ ἀπὸ τοῦ πατρὸς ἐξερχόμενα μόρια,
ταῦτα πάλιν λέγει Πλάτων "αἱ δ' ἐν ταῖς γυναιξὶν αὖ μῆτραί τε καὶ
ὑστέραι λεγόμεναι διὰ τὰ αὐτὰ ταῦτα, ζῷον ἐπιθυμητικὸν ἐνὸν τῆς παιδο-
ποιίας, ὅταν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον πολὺν γίνηται, χαλεπῶς
ἀγανακτοῦν φέρει καὶ πλανώμενον πάντῃ κατὰ τὸ σῶμα τὰς τοῦ πνεύματος 10
35 διεξόδους ἀποφράττον καὶ ἀναπνεῖν οὐκ ἐῶν εἰς ἀπορίας τὰς ἐσχάτας

---

1. 2 ἐγίνετο ἡ ἡδονὴ Ka 3 πυκνοῖς I 4 ἡ post καὶ om. IL 6 ἐγίνετο] ἐγγίνεται K 8 γενέσθαι K 9 ὤμοισι a 13 post αὐτὴν add. αἰτίαν K καὶ post γίνεσθαι om. K ἐρεῖ] Δ 3 14 post αἰτίας add. ἐν τῷ παρόντι K 15 τὸ θῆλυ οὐ προΐεται coll. Ka 21 τῷ om. a 22 μὲν om. K 23 οὕτως] ταῦτα Ka τὸν τῆς συνουσίας κτλ.] Platō Tim. p. 91 A ἐτεκτήναντο corr. ex ἐκτήναντο I 24 et 26 καὶ om. Ka 27 γὰρ] δὲ IL τὸ περὶ τὴν τῶν αἰδοίων κτλ.] Tim. p. 91 B τῶν om. IL 28 τῷ λόγῳ IL 29 ἐπιχειρεῖ] ἐπιθυμεῖ K 30 καὶ post ἐστι om. K 31 αὖ om. IL 33 περὶ τῆς ὥρας K γίγνεται a 34 πάντα IL πνεύματος a, ut Plato: πρς (i. e. πατρὸς) K: σώματος IL

ἐμβάλλει καὶ νόσους παντοδαπὰς ἄλλας παρέχει, μέχριπερ ἂν ἑκατέρων ἡ 19r
ἐπιθυμία καὶ ὁ ἔρως ξυναγαγόντες οἷον ἀπὸ δένδρων καρπὸν καταδρέψαντες
ὡς εἰς ἄρουραν τὴν μήτραν ἀόρατα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῷα
κατασπείραντες καὶ πάλιν διακρίναντες μεγάλα ἐντὸς ἐκθρέψωνται καὶ μετὰ
5 τοῦτο εἰς φῶς ἀγαγόντες ζῴων ἀποτελέσωσι γένεσιν". ταῦτα μὲν οὖν τὰ
τοῦ Πλάτωνος διαρρήδην ζῷα ἀπὸ τοῦ πατρὸς ἐξέρχεσθαι ἀνακηρύττει. 15

p. 724a14 Ἀρχὴ δὲ καὶ ταύτης τῆς σκέψεως καὶ τῶν ἑπομένων πρῶτον λαβεῖν περὶ τοῦ σπέρματος τί ἐστιν.

Δείξας ὅτι οὐκ ἀπὸ παντὸς τοῦ σώματος οὔτε τοῦ ἄρρενος οὔτε τοῦ
10 θήλεος ἄπεισιν, ὥς φασι, τὸ σπέρμα, πρὸς δὲ τῷ τέλει τῆς ἀποδείξεως 20
εἰπὼν ὡς εἰ δειχθείη τὸ θῆλυ μὴ προϊὲν σπέρμα, τοῦ αὐτοῦ ἐστι λόγου
τὸ μηδὲ ἀπὸ παντὸς ἀπιέναι τοῦ σώματος, κἂν εἰ μὴ ἀπὸ παντός, οὐδὲν
ἄλογον τὸ μηδ' ἀπὸ τοῦ θήλεος, ἐπήγαγεν ὅτι ἐχόμενόν ἐστι τοῦτο δεῖξαι. 25
ἐπειδὴ δὲ πρὸς ταύτην τὴν δεῖξιν μέγα μέρος συμβάλλεται τὸ γνῶναι τίς 30
15 ἐστιν ἡ τοῦ σπέρματος φύσις (εἰ γὰρ τοῦτο γνῶμεν, ῥᾷστ' ἂν κατίδοιμεν,
εἰ ἐνδέχεταί τινα τοιαύτην φύσιν ἀπὸ τοῦ θήλεος ἀπέρχεσθαι) ἐπάγει
ἀρχὴ δὲ καὶ ταύτης τῆς σκέψεως τῆς εἴτε προΐησι σπέρμα τὸ θῆλυ 35
εἴτε μή, καὶ τῶν ἄλλων τῶν ἑπομένων πρῶτον λαβεῖν τί ἐστι σπέρμα.
οὕτω γὰρ καὶ περὶ τῶν ἔργων αὐτῶν τῶν σπερμάτων, ἅπερ ἐργάζονται 40
20 καὶ τῶν συμβαινόντων τῷ σπέρματι καὶ τοῖς ἔργοις αὐτοῦ ἔσται μᾶλλον
εὐθεώρητον. τίνα δὲ τὰ συμβαίνοντα αὐτῷ μετ' ὀλίγον ἐρεῖ καὶ ἡμεῖς
ὑπομνήσομεν ἐν τῷ τόπῳ γενόμενοι. φησὶ δὴ βούλεται οὖν τὸ σπέρμα
τοιοῦτον εἶναι ἐξ οὗ πρώτου τὰ κατὰ φύσιν συνιστάμενα γίνεται, οὐ τῷ
ἐξ ἐκείνου τι εἶναι τὸ ποιοῦν οἷον τοῦ ἀνθρώπου, τουτέστιν οὐκ ἐν
25 τῷ εἶναί τι τὸ ποιοῦν ἤτοι τὸ σπέρμα ἐκ τῶν μερῶν ἐκείνου τοῦ γινομένου. 45
τὸ γὰρ σπέρμα φέρε εἰπεῖν, ἐξ οὗ πρώτου γέγονεν ὁ Σωκράτης, οὐκ ἔστι
τι τῶν τοῦ Σωκράτους μερῶν· οὔτε γὰρ χεὶρ Σωκράτους ἐστὶν οὔτε
ὀφθαλμὸς οὔτε ἄλλο οὐδὲν τῶν αὐτοῦ μερῶν. καὶ σκόπει ὅπως πάνυ
ἀκριβῶς εἰπὼν μηδέν τι εἶναι τῶν τοῦ γινομένου | μερῶν τὸ σπέρμα 19v
30 ἠνίξατο μὴ εἶναι ὑλικὸν αἴτιον· ἡ γὰρ ὕλη μέρος ἐστὶ παντὸς τοῦ γινομένου
ἐξ αὐτῆς· τὸ δὲ οἷον τοῦ ἀνθρώπου πρόσκειται, ὡς εἰ ἔλεγεν ἔστιν

---

1 μέχρις γὰρ ἂν IL ἑκατέρων om. K 2 ὁ om. IL 2 ξυναγαγόντες K: συνάγοντες IL: ἐξαγαγόντες a: ξυνδιαγαγόντες Plato 3 ὡς om. K 4 ἐκθρέψωνται K Plato: ἐκθρέψονται a: ἐκθρέψαντες IL 4. 5 μετὰ ταῦτα a
7 ἐπισκέψεως IL 8 περὶ τοῦ σπέρματος om. IKL¹, in marg. add. L²
11 προϊὲν scripsi: προϊὸν libri 12 οὐδὲν] οὐδὲ IL¹ 13 τούτου K
post δεῖξαι add. τὸ μὴ ἀπὸ παντὸς ἀπέρχεσθαι (τι add. a) τοῦ σώματος libri, sed rursus del. L 14 ἐπεὶ K δὲ om. a 15 γὰρ] γοῦν K τούτου a
17 πρόεισι ILa τὸ σπέρμα K 18 λαμβάνειν IL 19 αὐτῶν libri et Arist. SY: αὐτοῦ Arist. vulg. 20 post τῷ add. τε Ka 21 ὑμεῖς K
23 et 26 πρῶτον IL 25 ἐκ om. K 28 αὐτῶν I 31 αὐτοῦ IL

οὖν τὸ σπέρμα, οἷον φέρε εἰπεῖν τὸ τοῦ ἀνθρώπου, ἐξ οὗ πρώτου γίνεται 19v
ὁ ἄνθρωπος, μὴ ὄν τι τῶν τοῦ ἀνθρώπου μερῶν. ποιοῦν δὲ τὸ σπέρμα
εἴρηκε, διότι γίνεται ἐκ τοῦ σπέρματος ὁ ἄνθρωπος οὐχ ὥσπερ λέγομεν
ἐκ τῶν μερῶν γίνεσθαι τὸ ὅλον, ἀλλ' ὅτι τοῦτό ἐστι τὸ σπέρμα, τουτέ- 5
στιν ἀλλ' ὅτι τὸ ποιοῦν τὸν ἄνθρωπον τοῦτό ἐστι τὸ σπέρμα ἤτοι ἡ ἐν
τῷ σπέρματι ἐνοῦσα δύναμις. τὰ δὲ σημαινόμενα τοῦ ἔκ τινος, ἅπερ
ἐκτίθεται, εἴρηκε καὶ ἐν τῷ Δ τῶν Μετὰ τὰ φυσικά. τὸ δὲ ἐκ τῆς δια-
βολῆς γίνεσθαι λοιδορίαν, ἐκ δὲ τῆς λοιδορίας μάχην, ἐκ δὲ ταύτης τραύματα,
ἐκ δὲ τούτων θανάτους, τὴν δὴ τοιαύτην τῶν αἰτιῶν σωρείαν ἐποικοδόμησιν
10 ἐκάλεσεν ὁ Ἐπίχαρμος· ταῦτα δὲ τὰ τῆς ἐποικοδομήσεως αἴτιά εἰσιν ὡς
ἔκ τινος ἡ ἀρχὴ τῆς κινήσεως ἤτοι ὡς ποιητικά. 10

Τῶν δὲ κατηριθμημένων αἰτίων ἐνίων μὲν ἐν αὐτοῖς ἡ ἀρχὴ τῆς
κινήσεώς ἐστιν (εἰ γὰρ μέρος ἡ διαβολὴ τῆς πάσης ταραχῆς, τὰ δὲ μέρη 15
ἐν τῷ ὅλῳ, δῆλον ὅτι ἐν τῇ ταραχῇ ἐστιν ἡ διαβολή), ἐνίων δὲ ἔξω· εἰ
15 γάρ τις λαβὼν ἀνημμένον λύχνον καὶ ἀνάψας τὴν πλήρη χόρτου οἰκίαν
ὑποχωρήσει ἔχων τὸν λύχνον, δῆλον ὅτι ἐκτός ἐστιν ὁ λύχνος τῆς καιομένης 20
οἰκίας, αἴτιος ὢν τοῦ καίεσθαι αὐτήν. θεὶς οὖν τὰ τοῦ ἔκ τινος σημαινό-
μενα ἐπάγει τὸ τὰ γινόμενα ἐκ σπέρματος λέγειν γίνεσθαι ἢ ὡς ἐξ ὕλης 25
αὐτοῦ γίνεσθαι δὴ λέγει ἢ ὡς ἐκ πρώτου κινήσαντος· πρῶτον δὲ κινοῦν
20 ἐστι τὸ ποιητικόν. οὐ γὰρ ἁρμόττει λέγειν ὅτι ὡς τόδε μετὰ τόδε, οἷον 30
ἐκ τῶν Παναθηναίων ὁ πλοῦς, οὐδὲ μὴν ὡς ἐξ ἐναντίου τὸ ἐναντίον· ἐπὶ
γὰρ τῶν ἐναντίων ἅμα τῷ φθείρεσθαι θάτερον τὸ ἕτερον γίνεται, οἷον
φθειρομένου τοῦ λευκοῦ γίνεται τὸ μέλαν, καὶ ἔχουσί τι ὑποκείμενον. ὥστε 35
εἴπερ γέγονεν ὁ Ἀλέξανδρος ὡς ἐξ ἐναντίου τοῦ σπέρματος, ὥσπερ ὑπό-
25 κειταί τι τῷ μέλανι, οὕτως ἔδει καὶ τῷ Ἀλεξάνδρῳ ὑποκεῖσθαί τι, καὶ ἦν 40
ἂν ὁ Ἀλέξανδρος συμβεβηκός. τοῖν δυοῖν ἄρα ληπτέον, πότερον τὰ γινό-
μενα ὡς ἐξ ὕλης καὶ πάσχοντος γίνεται τοῦ σπέρματος ἢ ὡς ἐξ εἴδους 45
καὶ ποιοῦντος· εἴρηται γὰρ πολλάκις ὅτι ἐν τοῖς φύσει γινομέ|νοις τὸ εἶδος 20r
καὶ τὸ ποιοῦν ταὐτόν ἐστι. πότερον οὖν ὕλη ἐστὶ τὸ σπέρμα ἢ εἶδος καὶ
30 ποιοῦν, ἢ καὶ ὕλη καὶ εἶδος; ἅμα δ' ἐκ τούτων δῆλον ἔσται καὶ πῶς
φαμεν ἐξ ἐναντίων γίνεσθαι τὰ γινόμενα, ἐπειδὴ φυσική ἐστιν ἡ ἐκ τῶν
ἐναντίων γένεσις. ἰστέον δὲ ὅτι ἡ ἐν τῷ Α τῆς Φυσικῆς ἀκροάσεως
λεγομένη γένεσις ἑτέρα ἐστὶ τῆς ἐνταῦθα παραδιδομένης· ἐκεῖ μὲν γὰρ τὸ
ἐξ ἐναντίων γίνεσθαι τὰ γινόμενα οὕτως ἐλέγετο ὅτι φθειρομένου τοῦ ἑνὸς 5
35 τῶν ἐναντίων γίνεται θάτερον, οἷον φθειρομένης τῆς στερήσεως γίνεται τὸ
εἶδος καὶ τοῦ εἴδους ἡ στέρησις· ἐνταῦθα δὲ τὸ ἐξ ἐναντίων ἀντὶ τοῦ ἐκ

---

2 ὧν K 3 εἴρηται a 5 ante ἤτοι add. ἢ a 7 καὶ om. IL
ἐν τῷ Δ τῶν Μετὰ τὰ φυσικά] c. 24 10 ὁ Ἐπίχαρμος] cf. Lorenz p. 116; fr. 148 C. G. F. p. 118 Kaibel 11 ποιητική a 12 αἰτιῶν a 13 ἐστιν post αὐτοῖς (12) ponunt Ka 14 ἐστὶ καὶ διαβολή K 16 ὑποχωρήσοι a καομένης et
17 κάεσθαι K 18 γίνεσθαι—λέγει (19): δεῖ γίνεσθαι λέγειν Ka 21 μὴν] μὲν a
post ἐπὶ add. μὲν IL 22 γίνεται τὸ ἕτερον coll. Ka 30 καὶ post ἔσται om. K

31 ἐπεὶ K 32 ἐν τῷ Α τῆς Φυσικῆς ἀκροάσεως] Α 5: ἐν τῶ τεταρ̄ I 33 παρα-
δεδομένης IL τὸ] τῶ IL 34 γενόμενα a 36 δὲ om. IL

συνδρομῆς καὶ συνελεύσεως τῶν ἐναντίων, λέγων ἐνταῦθα ἐναντία τὸ ἄρρεν 20r
καὶ τὸ θῆλυ, ὥσπερ ἐκεῖσε τὴν στέρησιν καὶ τὸ εἶδος· ὥστε τὸ λέγειν
ἐνταῦθα ἐξ ἐναντίων γενέσθαι τὰ ζῷα ταὐτόν ἐστι τῷ ἐκ συνελεύσεως καὶ
ὁμιλίας ἄρρενος καὶ θήλεος. ἀλλά τινα μὲν τῶν γινομένων ἐκ τῶν προσεχῶς
5 ῥηθέντων ἐναντίων οἷον ἄρρενος καὶ θήλεος γίνεται, τινὰ δὲ ἐξ ἑνὸς μόνου, 10
οἷον τὰ φυτά. καὶ πῶς μὲν τὰ φυτὰ ὧδὶ μὲν ἐξ ἑνὸς μόνου γίνεται, ὧδὶ
δὲ ἐκ δυοῖν, ἐρεῖ σαφέστατα πρὸς τῷ τέλει σχεδὸν γενόμενος τοῦ παρόντος
βιβλίου. καὶ ἔνια τῶν ζῴων, ἐν ὅσοις οὐκ ἔστι διωρισμένον τὸ ἄρρεν καὶ
τὸ θῆλυ, ἐξ ἑνὸς γίνεται. ἢ οὔτε τὰ φυτὰ οὔτε τῶν ζῴων οὐδὲν ἐξ ἑνὸς
10 γίνεται, ἀλλ' ἐκ δυοῖν· καὶ ὅπως, ἐρεῖ, ὡς εἴπομεν, ἐν τῷ παρόντι λόγῳ.
ταῦτα εἰπὼν διαιρεῖ τὴν γονὴν ἀπὸ τοῦ σπέρματος, καί φησι γονὴ μὲν 15
καλεῖται τὸ ἀπὸ τοῦ γεννῶντος οἷον τοῦ ἄρρενος ἀπιὸν αἴτιον· τοῦτο δὲ
τὸ αἴτιον πρῶτόν τε λέγεται καὶ ἔχον ἀρχὴν καὶ δύναμιν γενέσεως·
σπέρμα δὲ τὸ ἐξ ἀμφοτέρων ἄρρενος καὶ θήλεος τὰς ἀρχὰς ἔχον, οἷά εἰσι
15 τὰ τῶν φυτῶν γένη καὶ ἐνίων ζῴων. ὥσπερ γὰρ τὸ γινόμενον ἐκ θήλεος
καὶ ἄρρενος πρῶτον μῖγμα καὶ ὂν ὥσπερ εἰ κύημά τι ἢ ζῷον, κἂν μήπω
ἀληθῶς ζῷον ᾖ (τοιοῦτον δέ ἐστι τὸ ἐκ τῆς γονῆς καὶ τοῦ καταμηνίου
κρᾶμα καὶ σύστημα) ὥσπερ οὖν τὸ τοιοῦτον μῖγμα ἢ κύημα ἢ κρᾶμα ἢ 20
ζῷον ἢ ὅ τί ποτ' ἄλλο καλεῖν αὐτὸ χρεών, ἀμφότερα ἔχει τήν γε τοῦ
20 ἄρρενος καὶ τοῦ θήλεος ἀρχήν τε καὶ δύναμιν καὶ ἐξ ἀμφοτέρων συνέστηκεν,
ὥσπερ τὸ οἰνόμελι ἐξ οἴνου καὶ μέλιτος, οὕτω καὶ τὸ σπέρμα, οἷον ὁ
καρπός, μῖγμά ἐστιν ἀρχῆς ἄρρενος καὶ θήλεος. ἐν δὲ τῷ καὶ γὰρ
ταῦτα ἤδη ἔχει τὸ ἐξ ἀμφοῖν, τὸ ταῦτα περὶ τῶν καρπῶν καὶ τῶν
φυτῶν εἴρηκεν. ἔχουσι γάρ, ὡς δειχθήσεται ἐν τῷ παρόντι λόγῳ, καὶ οἱ
25 καρποὶ καὶ τὰ φυτὰ ἐν ἑαυτοῖς ὥσπερ τὸ κύημα τὴν τοῦ ἄρρενος καὶ 25
θήλεος ἀρχήν· καὶ ἔστι καρπὸς μὲν τὸ ἐξ ἄλλου γεγονός, σπέρμα δὲ τὸ
ποιῆσαν ἄλλο· ὁ μὲν γὰρ ἐν τῇ αὔλακι πεσὼν σῖτος καλεῖται σπέρμα, ὁ
δ' ἐκ τούτου γεγονὼς καρπός.

p. 724b21 Ἡ δὲ τοῦ λεγομένου σπέρματος φύσις ἡ πρώτη λεκτέα
30 τίς ἐστιν.

Ἐπειδὴ τὸ σπέρμα διαιρεῖται εἴς τε τὴν γονὴν τὴν ἐκ συνδυασμοῦ
καὶ ὁμιλίας ἄρρενος καὶ θήλεος γινομένην, οἷον τὴν ἐκ Σωκράτους καὶ 30
Ξανθίππης, αὐτήν φημι, ἣν προΐεται τὸ ἄρρεν ἐν τῷ τῆς ὁμιλίας καιρῷ
καὶ εἰς τὸ ἰδίως καλούμενον σπέρμα τὸ ἔχον ἐν ἑαυτῷ ἀμφοτέρας τὰς 35

---

2 τὸ ante θῆλυ om. a  τὸ post ὥστε om. a  3 γίνεσθαι Ka  6 μὲν post πῶς om. K  γίνεται μόνου coll. a  7 ἐρεῖ κτλ.] c. 23  σαφέστερον K  γενόμενος K  8 τὸ ἄρρεν διωρισμένον coll. IL  9 τὸ om. ILa  οὐδὲ τὰ φυτὰ οὐδὲ IL  10 πῶς IL  12 ἀπιὸν αἴτιον] sic libri: ἀπιὸν Arist. P, αἴτιον Arist. vulg.  16 μήπως a  19 γε om. K: τε a  τοῦ om. IL  22 ἀρχῆς om. K  27 τῷ αὔλακι a  29 λεκτέα] πάλιν λεκτέα Arist.  32 Σωκράτους] σώματος I  33 φησι a

δυνάμεις τήν τε τοῦ ἄρρενος καὶ τὴν τοῦ θήλεος, οἷον οἱ καρποί, εἰπὼν 20r πρῶτον μὲν περὶ τῆς γονῆς τί ἐστιν, εἶτα προσεχῶς καὶ ἐφεξῆς περὶ τοῦ 40 σπέρματος λέγει ὅτι λεκτέον τίς ἐστιν ἡ πρώτη φύσις τοῦ λεγομένου σπέρματος, τουτέστι τίς ἡ γονή. καὶ εἴη ἂν ἡ πρώτη ἴσον τῷ πρότερον, ὡς εἶναι τὸ λεγόμενον ἡ δὲ κατὰ τὸν πρότερον τρόπον λεχθεῖσα φύσις τοῦ σπέρματος, αὕτη δέ ἐστιν ἡ γονή, λεκτέα τίς ἐστι. τὸ δὲ σύντηγμα γίνεται ἐκ τῆς παρὰ φύσιν ἐν τοῖς ζῴοις γινομένης θερμότητος. ἐπειδὰν γὰρ πολλὴ 45 γένηται ἡ παρὰ φύσιν θερμότης ἔν τινι ζῴῳ, τήκονται ὑπ' αὐτῆς αἱ σάρκες, ὥσπερ ἡ πιμελὴ διὰ τηγάνου καὶ πυρός, καὶ ἐξέρχονται διὰ τῶν οὔρων καὶ κόπρων, καὶ ἐπιπλέουσιν ἐν τοῖς οὔροις ὥσπερ ἔλαιον ἐν ὕδατι. ἔστιν οὖν, φησί, σύντηγμα τὸ ἀποκριθὲν ἐκ τοῦ αὐξήματος | ὑπὸ 20v τῆς παρὰ φύσιν ἀναλύσεως, λέγων αὔξημα τὰς ἀναλυομένας ὑπὸ τῆς παρὰ φύσιν θερμότητος σάρκας. ἐκάλεσε δ' αὐτὰς αὔξημα διὰ τὸ αὔξεσθαι ὑπὸ τῆς προσκρινομένης τροφῆς. ταῦτα εἰπὼν λέγει, ὅτι μὲν οὖν οὐκ ἔστι μέρος τὸ σπέρμα, δῆλον. εἰ γὰρ ἦν, ἢ ὁμοιομερὲς ἂν ἦν ἢ ἀνομοιομερές. ἀνομοιομερὲς μὲν οὖν οὐκ ἔστιν· ὁρᾶται γὰρ φανερῶς ὁμοιομερὲς ὄν. ἀλλὰ μὴν οὐδὲ ὁμοιομερές· εἰ γὰρ ἦν ὁμοιομερές, ἔδει συγκεῖσθαι ἐξ 5 αὐτοῦ καὶ ἄλλου τινὸς ἀνομοιομερές τι, ὥσπερ ἐκ σαρκὸς καὶ νεύρου καὶ ὀστοῦ δάκτυλος. οὐδὲν δὲ τῶν ἀνομοιομερῶν σύγκειται ἐκ σπέρματος καὶ ἄλλου τινός.

Ἔτι τὰ μὲν ἄλλα πάντα μέρη κεχωρισμένα τέ ἐστι καὶ καθ' ἑαυτά, τὸ δὲ σπέρμα ἐν τῷ καιρῷ τῆς ὁμιλίας τὴν ὕπαρξιν λαμβάνει· ἐν ὀλίγοις 10 γὰρ πάμπαν εὑρίσκεται πρὸ τοῦ συνδυασμοῦ, τοῖς δὲ πλείστοις κατὰ τὸν καιρὸν τοῦ συνδυασμοῦ. ἐπεὶ οὖν τὰ μέρη ἀεὶ πάρεισιν ἡμῖν, τὸ δὲ σπέρμα 15 οὐκ ἀεί, ἀλλά ποτε, οὐκ ἂν εἴη μέρος. ἀλλὰ μὴν οὐδὲ παρὰ φύσιν οὐδὲ πήρωμα ὑπάρχει τὸ σπέρμα· τὸ μὲν γὰρ σπέρμα ἐν πᾶσιν ὑπάρχει, τὸ δὲ 20 πήρωμα οὐκ ἐν πᾶσιν, καὶ ἐκ μὲν τοῦ σπέρματος γίνεται τὰ φυσικά, ἐκ δὲ τοῦ παρὰ φύσιν οὐδέν· ὥστε οὔτε πήρωμά ἐστιν οὔτε παρὰ φύσιν. 25 ἀλλὰ μὴν οὐδὲ τροφή ἐστι τὸ σπέρμα· ἡ μὲν γὰρ τροφὴ ἐπείσακτος καὶ ἔξωθεν εἴσεισι, τὸ δὲ σπέρμα οἰκεῖον καὶ ἐξ ἡμῶν αὐτῶν θύραζε ἔξεισιν. ὥστε λείπεται ἢ περίττωμα ἢ σύντηγμα εἶναι τὴν γονήν. καὶ ἐπεί, ὡς 30 εἴρηται, σύντηγμά ἐστι τὸ ἀποκρινόμενον ἐκ τῆς σαρκὸς διὰ θερμότητα, ἔλεγον δὲ καὶ οἱ ἀρχαῖοι ἀπὸ παντὸς τοῦ σώματος ἀπέρχεσθαι τὸ σπέρμα διὰ θερμότητα τὴν ἀπὸ τῆς ἐν τῇ ὁμιλίᾳ γινομένης κινήσεως, ἐοίκασι 35 σύντηγμα λέγειν τὴν γονήν. ἀλλὰ σύντηγμα μὲν οὐκ ἔστι δι' ἃ σαφῶς 40 ἐπάγει· λείπεται οὖν περίττωμα λέγειν αὐτήν, καὶ περίττωμα ἢ ἀχρήστου ἢ χρησίμης τροφῆς. ἰστέον δὲ ὅτι ἀχρήστου τροφῆς λέγεται περίττωμα, 45

---

1 τὴν om. IL οἱ καρποί] καρπὸς a ante εἰπὼν add. καὶ ILa 3 τίς] τί ILa 4 ἴσον τὸ a 7 ἐκ τῆς] ἐν τοῖς L περὶ φύσιν a ἐπειδὴ a 8 γενήσεται a περὶ φύσιν a 9 τυγάνου a 15 ἂν om. IL 19 δὲ om. IL ὁμοιομερῶν IL 24 post τὰ add. δὲ a 29 ἐπείσακτον Ka 31 καὶ ἐπεὶ] ἐπεὶ δὲ K 32 ἐκ] ἀπὸ K 33 τοῦ om. K 34 τὴν] τῆς IL 37 χρησίμου Ka

ἡνίκα πάμπαν ὀλίγον τι μέρος τῆς εἰσελθούσης τροφῆς δυσπέπτου καὶ μοχθηρᾶς
ἢ ἁπλῶς ἢ πρὸς τόνδε οὔσης πεφθῇ καὶ προσκριθῇ, τὸ δ' ἄλλο πᾶν περιτ- 21r
τεύσῃ· τοῦτο δὴ τὸ περιττεῦσαν λέγεται περίττωμα ἀχρήστου τροφῆς. ἄχρηστον
μὲν καὶ τὸ πεφθὲν καὶ προσκριθὲν καὶ διὰ τὴν ἄγαν ὀλιγότητα καὶ διὰ τὴν 5
5 μοχθηρίαν· τὸ γὰρ ἐκ μοχθηρᾶς καὶ κακοχύμου προσκρινόμενον τροφῆς καὶ
αὐτὸ μοχθηρόν· ἀλλὰ κἂν ἀπὸ εὐχύμου τροφῆς προσκριθῇ, ἀνοικείου δὲ 10
τῷ τρεφομένῳ (ἐνδέχεται μὲν γὰρ εὔχυμον εἶναι ἁπλῶς τὴν τροφὴν καὶ
χρήσιμον, οἷον εἰ πέρδιξ εἴη ἢ φασιανός, πρὸς δὲ τόνδε τὸν νοσοῦντα τοι-
ἁνδε νόσον εἶναι ἄχρηστον καὶ κακόχυμον) κἂν δὴ ἀπὸ εὐχύμου τροφῆς 15
10 προσκριθῇ, ἄχρηστον λέγεται καὶ τὸ προσκριθὲν καὶ τὸ περιττεῦσαν.
εὐχρήστου δὲ τροφῆς περίττωμα λέγεται τὸ ἐναντίον τῆς ἀχρήστου.
ἐπειδὰν γὰρ πᾶσα σχεδὸν ἡ τροφὴ προσκριθῇ, ὀλίγον δέ τι ἐναπομείνῃ,
δυνάμενον καὶ τοῦτο τροφὴ γενέσθαι, τοῦτο δή ἐστι τὸ τῆς εὐχρήστου 20
τροφῆς περίττωμα. τὰ μὲν οὖν τῆς ἀχρήστου καὶ εὐχρήστου τροφῆς
15 περιττώματα ταῦτα· σκεπτέον δὲ ποίας τροφῆς ἐστι τὸ σπέρμα περίττωμα.
τῆς μὲν οὖν ἀχρήστου τροφῆς ὅτι οὐκ ἔστι, δῆλον· τοῖς γὰρ κάκιστα δια-
κειμένοις διὰ νόσον ἢ ἡλικίαν πάνυ πρεσβυτικὴν περίττωμα μέν ἐστιν
ἀχρήστου τροφῆς, σπέρμα δὲ οὐδαμῶς· ὥστε εἴπερ ἦν τὸ σπέρμα ἀχρήστου
περίττωμα τροφῆς, τοῖς κάκιστα διακειμένοις ἔδει τοῦθ' ὑπάρχειν· ἔχουσι
20 γὰρ ἀχρήστου τροφῆς πολὺ περίττωμα. οὐκ ἄρα ἐστὶν ἡ γονὴ περίττωμα 25
ἀχρήστου τροφῆς· εὐχρήστου ἄρα τροφῆς περίττωμα καὶ μέρος τί ἐστι τὸ
σπέρμα, μέρος δὲ εἶπε, διότι πᾶν τὸ περιττεῦσαν μέρος ἐστὶ τοῦ ἀφ' οὗ
ἐπερίττευσε. καὶ ἐπεὶ τῆς εὐχρήστου τροφῆς ἡ μέν ἐστι πρώτη οἷον ἄρτος,
οἶνος καὶ τὰ ὅμοια, ἡ δὲ ἐσχάτη, ἥτις προσκρίνεταί τε καὶ τρέφει ἕκαστον
25 τῶν μορίων, τοῦτο δέ ἐστι τὸ λεπτότατον αἷμα, οὐ τῆς πρώτης τροφῆς
ἐστιν ἡ γονὴ περίττωμα, ἀλλὰ τῆς ἐσχάτης. χρησιμώτατον οὖν καὶ χρησι-
μωτάτη τροφὴ τὸ ἔσχατον, οἷον τὸ αἷμα, ἐξ οὗ ἤδη γίνεται καὶ τρέφεται 30
ἕκαστον τῶν μορίων. ταύτης οὖν τῆς ἐσχάτης τροφῆς περίττωμά ἐστιν ἡ
γονή· τὸ γὰρ γεγονὸς αἷμα ἐκ τῆς πρώτης τροφῆς λεπτυνόμενον ὑπὸ τῆς
30 φύσεως καὶ πεττόμενον (πρῶτον γὰρ λεπτύνεται καὶ οὕτω συμπέττεται)
καὶ μεριζόμενον πρὸς ἕκαστον τῶν μορίων καὶ προσκρινόμενον διόλου καὶ
συνεχῶς αὐτοῖς. τούτου τοῦ λεπτοτάτου αἵματος ὅσον ἂν μὴ κρατηθῇ ὑπὸ
τῆς φύσεως (ὀλίγον δὲ πάμπαν ἐστὶ τὸ μὴ κρατηθέν) τούτου οὖν ὁπόσον
μὴ κρατηθῇ μηδὲ οὕτως πεφθῇ, ὥστε σάρξ γενέσθαι, ἀλλ' ἐναπομείνῃ 35

2 τόδε a οὔσης om. a ἀποκριθῇ K πάμπαν K 2. 3 περιττεύσει ILa
4 μὲν καὶ] μέντοι K καὶ post προσκριθὲν om. K 6 αὐτῷ μοχθηρῶν a
7 μὲν om. IL 8 πρὸς δὲ τὸν νοσούντων a τὸν om. K 8. 9 τοιαύτην IL
11 εὐχρήστου ex ἀρχήστου corr. L² 12 πᾶσα om. et post τροφὴ add. ὅλη K
ἐναπομείνειε ILa 13 ἐστι om. K εὐχρήστου] ἀχρήστου IL¹ 15 ταῦτά
ἐστι a δὲ] δὴ a 17 νόσων a 21 μέρος τί ἐστι om. K 23 ἐπε-
ρίστευσε K οἷον ἄριστος K 24 καὶ ante τὰ om. Ka προκρίνεται a
τε om. a 26 ἡ γονὴ om. IL 26. 27 χρησιμωτάτη οὖν καὶ εὐχρηστος τροφὴ K
27 τὸ post οἷον om. K 28 ἐστι τροφῆς περίττωμα coll. Ka 31. 32 καὶ συνεχῶς
αὐτοῖς] αὐτοῦ IL 32 κρατηθείη IL 33 ἐστὶ om. K 34 ἐναπομείνειε ILa

συμπεφθὲν καὶ ἀλλοιωθὲν ἄλλην τινὰ ἀλλοίωσιν καὶ πέψιν, γίνεται σπέρμα 21r
ἀλλοιότερον πάντως ὂν τοῦ αἵματος. εἰ γὰρ τὴν αὐτὴν ἠλλοιώθη καὶ
ἐπέφθη πέψιν, ἣν καὶ τὸ γεγονὸς σὰρξ καὶ μὴ ἄλλην, ἐγεγόνει ἂν καὶ
αὐτὸ σάρξ· ὥστε ἠλλοιώθη μὲν καὶ ἐπέφθη, ἀλλοιοτέραν δέ. ἐν ὀλίγοις
5 μὲν οὖν τῶν ζῴων καὶ ὀλιγάκις τὸ τοιοῦτον αἷμα ὑπ' αὐτῆς, ὡς εἴρηται,
τῆς φύσεως πρὸ τοῦ καιροῦ τῆς ὁμιλίας συμπέττεται τὴν τοιαύτην πέψιν, 10
ἐξ ἧς συνίσταται καὶ οὐσίωται τὸ σπέρμα καὶ ἡ γονή. ὁ μὲν γὰρ σκοπὸς
καὶ τὸ κυριώτατον καὶ πρῶτον βούλημα τῆς φύσεώς ἐστι τὸ ταύτην
ἀλλοιῶσαι τὸ αἷμα τὴν ἀλλοίωσιν, ἀφ' ἧς σάρκες γενήσονται καὶ τὰ λοιπά·
10 ὅταν δὲ ἀδυνατήσῃ τοῦτο ποιῆσαι, τότε κατὰ δεύτερον λόγον κινεῖ καὶ ἄγει
αὐτὸ εἰς γονῆς καὶ σπέρματος φύσιν καὶ εἶδος, καὶ ἐπὶ τούτῳ τινὲς
τῶν ἀνθρώπων καί τινα τῶν ζῴων ἔχουσι καὶ πρὸ τοῦ καιροῦ τῆς ὁμιλίας
γονήν. ὡς οὖν εἴρηται, ἐν ὀλίγοις καὶ ὀλιγάκις, ἐπειδὰν ἀδυνατήσῃ ἡ 15
φύσις τὸ οἰκεῖον ποιῆσαι βούλημα, πρὸ τοῦ καιροῦ τῆς ὁμιλίας τὴν τοιαύτην
15 πέψιν καὶ γένεσιν τῆς γονῆς ἀπεργάζεται, τὰ πολλὰ δὲ καὶ ἐν τοῖς πλείστοις
ἐν αὐτῷ τῷ τῆς ὁμιλίας καιρῷ· τότε γὰρ καὶ τὸ ἤδη γινόμενον καὶ εἰς
εἶδος σαρκὸς ἀγόμενον αἷμα πέττεται καὶ ἀλλοιοῦται ἀλλοίωσιν, καθ' ἣν
γίνεται ἡ γονή. πέττεται δὲ τὴν τοιαύτην πέψιν ὑπὸ τῆς ἐγγινομένης
θερμότητος ἐκ τῆς ἐν τῷ συνδυασμῷ κινήσεως. ἡ γὰρ τοιαύτη κίνησις
20 καὶ ἡ ἐκ ταύτης θερμότης σφοδροτέρα οὖσα τῆς φυσικῆς | κινήσεως ἁρπάζει 21v
τὸ πεττόμενον ὑπὸ τῆς φύσεως καὶ ἤδη γινόμενόν τε καὶ ἀγόμενον εἰς
σάρκα, καὶ ἄγει εἰς εἶδος καὶ φύσιν γονῆς. ἀλλὰ περὶ μὲν τούτων καὶ
αὖθις ἐροῦμεν, ὁπηνίκα καὶ οὗτος περὶ τούτων λέγει· ἐπανιτέον δὲ ὅθεν
ἐξέβημεν. ἐλέγομεν δὲ διττὸν εἶναι τὸ περίττωμα, καὶ τῆς μὲν πρώτης
25 τροφῆς τὸ πρῶτον περίττωμα τὸ φλέγμα, τὸ δὲ τῆς ἐσχάτης καὶ τελευταίας
περίττωμα τροφῆς τὴν γονήν. πᾶν γὰρ ὃ μὴ ἦχθη πρὸς ὃ ἠβούλετο ἡ 5
φύσις, κἂν εὔχρηστον ᾖ, περίττωμα λέγεται. ἐπεὶ οὖν καὶ τὸ αἷμα οὐκ
εἰς σάρκα, ὅπερ ἦν σκοπὸς τῆς φύσεως, ἀλλ' εἰς γονῆς εἶδος ἐτράπη,
εἰκότως περίττωμα ἂν λεχθείη τῆς ἐσχάτης τροφῆς ὡς περιττεῦσαν καὶ
30 μὴ εἰς σάρκα ἀχθέν. τῆς μὲν οὖν πρώτης, ὥσπερ εἴρηται, τροφῆς καὶ
πρῶτον περίττωμα τὸ φλέγμα ἐστί. τὸ δὲ τελευταῖον ἐκ πλείστης
τροφῆς ὀλίγιστον, τουτέστι τὸ δὲ τελευταῖον περίττωμα, ὅπερ ἐστὶ τὸ
σπέρμα καὶ ἡ γονή, ἐκ πολλῆς τροφῆς ὀλίγον γίνεται. καὶ τὴν αἰτίαν 10
δι' ἣν ἐκ πολλοῦ αἵματος καὶ πολλῆς τροφῆς ὀλίγον γίνεται περίττωμα καὶ
35 σπέρμα ἐπάγων εἶπεν ἐννοεῖν δὲ δεῖ ὅτι μικρῷ αὐξάνεται τὰ
ζῷα καὶ τὰ φυτὰ τὸ καθ' ἡμέραν πᾶν. σαφὲς δ' ἂν εἴη τὸ λεγό-

---

1 γίνεται—πέψιν (3) om. sed in marg. add. L 2 πάντη K 3 ἂν γέγονεν K
4 ὀλίγω IL 5 τὸ τοιοῦτον αἷμα om. IL 8 πρῶτον καὶ κυριώτατον coll. Ka
11 καὶ ἐπεὶ τοῦτο I 13 γονὴ K καὶ] δὲ K 14 post φύσις add. πρὸς
τὸ a 16 γινόμενον] τηκόμενον K 18 ἀπὸ IL γινομένης Ka
22 τούτου IL 23 δὴ Ka 28 et 30 σάρκας Ka 28 εἰς γονὴν ἐτράπη K
30 οὖν om. IL 33 et 34 ὀλίγιστον K 34. 35 σπέρμα καὶ περίττωμα coll. a
35 ἐπήγαγεν εἰπὼν Ka 36 σαφῶς a ἂν οἶμαι τὸ λεγόμενον εἴη Ka

μενον οὕτως εἰποῦσι· πολλῆς οὔσης τῆς καθ' ἑκάστην ἐκ τοῦ σώματος 21v
τῶν ζῴων γινομένης ἀπορροίας πλείονος δεῖται καὶ τῆς τροφῆς, ἵνα ἀνα-
πληρώσῃ τὸ ἐνδεὲς καὶ ἀπορρεῦσαν· καὶ οὐ μόνον δεῖται τῆς τροφῆς πρὸς
ἀναπλήρωσιν τοῦ ἀπορρεύσαντος, ἀλλὰ καὶ πρὸς αὔξησιν. τούτου δὲ οὕτως 15
5 ἔχοντος καὶ τῆς πρώτης τροφῆς, οἷον τοῦ ἄρτου καὶ οἴνου, μὴ διαρκούσης
τοσοῦτον ἀπογεννῆσαι αἷμα ἀρκοῦν πρός γε ἀναπλήρωσιν καὶ προσέτι
προσθήκην, ἀφ' ἧς αὔξησις γενήσεται, ἢ οὐδ' ὅλως περιττεύσει εἰς
σπέρματος γένεσιν ἢ κἂν περιττεύσῃ, λίαν ὀλίγον καὶ τοῦτο, τυραννηθείσης
πως τῆς φύσεως ὑπὸ τῆς ἐν τῇ ὁμιλίᾳ κινήσεως. ἐπεὶ οὖν χρεία πολλῆς
10 τροφῆς πρὸς ἀναπλήρωσιν τοῦ ἀπορρεύσαντος καὶ ἔτι καὶ ἄλλης πλείονος,
ἵνα προστεθείσης τῇ εἰς ἀναπλήρωσιν τοῦ ἀπορρεύσαντος ληφθείσῃ αὔξησις 20
γένηται (εἰ γὰρ ὅσῃ ἀπορρεύσειε τοσαύτῃ προσκριθῇ, οὐδαμῶς ἂν αὐξήσειε
τὸ τρεφόμενον, ἀλλὰ δῆλον ὅτι τότε αὐξηθήσεται, ὅταν λαβὸν τὴν ἴσην τῷ
ἀπορρεύσαντι προσλάβῃ καὶ ἄλλην) ἐπεὶ οὖν χρεία πολλῆς τροφῆς καὶ ἐν
15 τῇ αὐξήσει, πῶς ἂν ἀρκέσαι ἡ πρώτη τροφή, ὥστε γίνεσθαι καὶ πολλὴν
τὴν γονήν; γίνεται οὖν ἡ γονὴ οὐ κατὰ περισσείαν τῆς εἰς τὰ μέρη δια-
διδομένης τροφῆς, ἀλλὰ καθ' ὑστέρησιν μᾶλλον καὶ τυραννίδα ἀλλοτρίας 25
κινήσεως. ὥσπερ γὰρ εἴ τις ἀπὸ τοῦ ἀρκοῦντος ἄρτου ἑνὶ μέρος ἀφελὼν
δοίη καὶ ἄλλῳ, εἴ τις εὖ φρονῶν ὁρῴη, οὐκ ἂν εἴποι ἐκ τοῦ περισσεύματος
20 τοῦ ἑνὸς τραφῆναι καὶ τὸν ἄλλον, ἀλλὰ μᾶλλον ἐκ τοῦ ὑστερήματος καὶ τῆς
ἐλλείψεως τῆς ἀρκούσης αὐτῷ τροφῆς, οὕτω καὶ τὸ σπέρμα ἀφαίρεσίς τίς
ἐστι καὶ μέρος τῆς ἀρκούσης ἑκάστῳ μέρει τροφῆς καὶ οὐ περισσεία. ὅτι δὲ
ἐκ πολλῆς τροφῆς τὸ καθ' ἡμέραν, τουτέστι καθ' ἑκάστην ἡμέραν, πάμπαν
μικρὰ γίνεται ἡ προσθήκη καὶ ἡ ἐκ ταύτης αὔξησις βραδεῖα (ἡ γὰρ ἐν 30
25 πεντήκοντα φέρε εἰπεῖν ἡμέραις προσκριθεῖσα τροφὴ μόλις ἂν αὐξήσειεν
ὅσον ἐστὶ τὸ τοῦ ὄνυχος πάχος) δῆλον. εἰ γὰρ ἐγίνετο ἐκ βραχείας τροφῆς
οἷον ἐκ τῆς τήμερον πρὸς τῇ ἀναπληρώσει τοῦ ἀπορρεύσαντος καὶ αὔξησίς
τις καὶ ἐκ τῆς εἰς αὔριον ἄλλη τις αὔξησις, καὶ οὕτως καθ' ἑκάστην,
ὑπερμεγέθη ἂν ἐγίνετο καὶ ἴσα ὄρεσι μεγάλοις τὰ τῶν ζῴων σώματα· εἰ
30 γὰρ καὶ πάνυ βραχεῖα ἦν ἡ καθ' ἑκάστην γινομένη αὔξησις, ἀλλὰ διὰ
τὸ καὶ τὰς ἡμέρας ἐν αἷς γίνεται παμπόλλας εἶναι, μέγιστα ἂν ἐγίνετο 35
τὰ ζῷα.

Δείξας οὖν ὅτι περίττωμά ἐστιν ἡ γονὴ εὐχρήστου τροφῆς, ἐπάγει τοὐναντίον ἄρα ἃ οἱ ἀρχαῖοι ἔλεγον λεκτέον· οἱ μὲν γὰρ ἔλεγον
35 σπέρμα καὶ γονὴν τὸ ἀπιὸν ἀπὸ παντὸς τοῦ σώματος, ἡμεῖς δέ φαμεν

---

2. 3 ἀναπληρώσει ILa 3 ἐνδέον, ut vid., K καὶ ante οὐ om. Ka post μόνον add. δὲ Ka 5 καὶ τοῦ οἴνου K ἐξαρκούσης Ka 6 αἷμα] ἡμῖν K γε] τε Ka 8 γέννησιν K 10 καὶ ἔτι] ἔτι δὲ K 12 γίνηται a αὐξήσει K 13 ὅταν] ὅτε I 15 ἀρκέσαι scripsi: ἀρκέση libri 16. 17 διδομένης K 17 ὑστέρισιν IL 18 ἑνὶ—ἀφελὼν] ἑνὶ ἀνδρὶ ἀφελὼν μέρος Ka 19 εἴπη K 20 post ἀλλὰ add. καὶ K 22 ὅτε δὲ K 24 αὔξησις] ἄθροισις IL ἡ ante γὰρ ex εἰ corr. K 27 καὶ om. K 28 τις ante καὶ om. K ἐκ—αὔριον] τῇ ἐκ τῆς αὔριον IL 30 ἡ om. K 31 καὶ τὰς] καὶ τὸ τῆς K παμπόλους Ka ἂν om. I ἐγένετο a 35 γονὴν] τροφὴν IL παντὸς om. IK post δέ add. φησὶ Ka

εἶναι σπέρμα τὸ πρὸς ἅπαντι εἶναι πεφυκός. πέφυκε γὰρ τὸ σπέρμα, 21v
ἐπειδὴ περίττωμά ἐστιν εὐχρήστου τροφῆς πρὸς ἅπαντι εἶναι, τουτέστιν
ὅμοιον γίνεσθαι παντὶ μέρει. ὥσπερ γὰρ ἡ ἐσχάτη τροφή, ἀφ' ἧς ἐπερίτ- 40
τευσε τὸ σπέρμα, γέγονε σὰρξ καὶ νεῦρον καὶ τὰ λοιπά, οὕτω καὶ τοῦτο
5 πέφυκεν ὅμοιον γίνεσθαι τοῖς μέρεσι καὶ ἐγεγόνει ἄν, ἐπειδὴ πέφυκεν, εἰ
μὴ ἡ ἀπὸ τῆς ὁμιλίας κίνησις τυραννικῶς ἀφείλετο αὐτὸ ἀπὸ τῆς φύσεως
τῆς δημιουργούσης τὰ νεῦρα, τὰς σάρκας καὶ τὰ λοιπά. καὶ οἱ μὲν ἀρχαῖοι,
φησί, σύντηγμα αὐτὸ ἔλεγον, ἡμεῖς δὲ περίττωμα· εὐλογώτερον γὰρ
ὅμοιον εἶναι τὸ προσιὸν ἔσχατον καὶ τὸ περιττὸν γινόμενον τοῦ
10 τοιούτου. λέγει δὲ προσιὸν ἔσχατον τὴν ἐσχάτην τροφήν, οἷον τὸ 45
λεπτότατον αἷμα, περιττὸν δὲ τὸ σπέρμα καὶ τὴν γονήν. εἴρηται
γὰρ ὅτι τοῦ τοιούτου, λέγω δὴ τοῦ προσιόντος ἐσχάτου, περιττὸν ἤτοι
περίττωμά ἐστιν ἡ γονή. τὸ δὲ λεγόμενον οὕτως ἐπῆκται, ὡς εἰ ἔλεγεν
ἐπειδὴ γὰρ καὶ τὸ προσιὸν ἔσχατον σάρκας ποιεῖ καὶ ὀστᾶ καὶ νεῦρα καὶ
15 τὰ λοιπὰ ὁμοιομερῆ, ποιεῖ δὲ ταῦτα πάντα καὶ τὸ σπέρμα, εὐλογώτερόν
ἐστιν ὅμοια ἀλλήλοις εἶναι τό τε αἷμα καὶ τὴν γονήν. τὰ γὰρ τῶν αὐτῶν 22r
ποιητικὰ τὰ αὐτὰ καὶ ὅμοια ἀλλήλοις ἐστίν· ἃ δὲ ποιεῖ τὸ αἷμα (ποιεῖ
δέ, ὡς εἴρηται, τὰ ὁμοιομερῆ) ταῦτα πάντα ποιεῖ καὶ τὸ σπέρμα· ὅμοια
ἄρα ἀλλήλοις καὶ ταὐτὰ τὸ αἷμα καὶ ἡ γονή. τὸ αἷμα οὖν, ὅπερ ἔσχατον
20 πρόσεισι καὶ ἐσχάτη ἐστὶ τροφή, ὅμοιόν ἐστι τῇ γονῇ, ἥτις ἐστὶν αὐτοῦ 5
περίττωμα. ἀνδρείκελον δὲ λέγεται ἡ εἰκὼν φέρε εἰπεῖν τοῦ Σωκράτους
ἡ ἐκ χρωμάτων ὑπὸ ζωγράφου ποιηθεῖσα. ὥσπερ οὖν ἐπὶ τῆς ζωγραφίας
τὰ περιττεύσαντα ἐν οἷς εἰσιν ἀγγείοις χρώματα ὅμοιά εἰσι τοῖς ἀναλωθεῖσιν
εἰς γένεσιν καὶ ποίησιν τοῦ ἀνδρεικέλου, οὕτως καὶ τὸ περίττωμα ἡ γονὴ
25 ὁμοία ἐστὶ τῷ ἀναλωθέντι αἵματι εἰς γένεσιν σαρκὸς καὶ τῶν ἄλλων ὁμοιο-
μερῶν. εἰπὼν δὲ τὸ σπέρμα ὅμοιον εἶναι τῷ ἀφ' οὗ ἐπερίττευσεν αἵματι
(φαίνονται δὲ διάφορα· ἔστι γὰρ τὸ μὲν αἷμα ἐρυθρόν, τὸ δὲ σπέρμα
λευκόν) ἐπήγαγε συντηκόμενον δὲ καὶ φθειρόμενον πᾶν ἐξίσταται τῆς 10
φύσεως. ὃ δὲ λέγει δυνάμει τοιοῦτόν ἐστι· τῇ μὲν δυνάμει τὸ σπέρμα
30 ὅμοιόν ἐστι τῷ αἵματι, γίνεται δὲ λευκὸν διὰ τὸ συντήκεσθαι καὶ ἀλλοι-
οῦσθαι ὑπὸ τῆς ἐν τῇ ὁμιλίᾳ γινομένης κινήσεως. καὶ ἐνταῦθα μὲν περὶ
τῆς λευκότητος αὐτοῦ τοσοῦτον εἶπεν, ἀκριβέστερον δὲ ἐρεῖ περὶ τούτου
ἐν τῷ ἐφεξῆς βιβλίῳ. ὅτι δὲ τὸ σπέρμα οὐκ ἔστι σύντηγμα, πρὸς τοῖς
εἰρημένοις τεκμήριον ἱκανὸν καὶ τὸ τὰ μεγάλα τῶν ζῴων ὀλιγοτόκα εἶναι·
35 ἐπειδὴ γὰρ ἐν αὐτοῖς πολὺ γίνεται τὸ σύντηγμα, εἴπερ ἦν τὸ σπέρμα 15

---

1 ἅπαντι scripsi coll. v. 2 et Arist. (p. 725a22) codd. PSY: ἅπαντα K: ἅπαν ILa
5 γενέσθαι K 6 ἀφείλατο K 7 post νεῦρα add. καὶ Ka 8 αὐτὴν IL
14 ἐσχάτως I: ex ἐσχάτως corr. L 15 πάντα ταῦτα coll. a εὐλογώτερα K
20 πρόεισι K καὶ ἔσχατον K 21 ἀνδρείκελος KLa: ἀνδρείκελλ o I φέρε
εἰπεῖν ἡ εἰκὼν coll. K Σωκράτους] σώματος 22 ἐκ χρώματος IL ζωγράφου]
ζωγραφίας L: ζωγραφείας a 24 ἀνδρεικέλλου I περίττευμα IL 29 δὴ K
29. 30 ὅμοιόν ἐστι τὸ σπέρμα coll. K 31 καὶ om. IL 32 τούτων K
33 ἐν τῷ ἐφεξῆς βιβλίῳ] B 2 34 τεκμήρια ἱκανὰ IKL

σύντηγμα, ἦν ἂν ἐν αὐτοῖς πολὺ τὸ σπέρμα· εἰ δὲ τοῦτο, ἦσαν ἂν καὶ 22r πολυτόκα.

Ἔτι τοῖς μὲν συντήγμασιν οὐδεὶς γέγονε τόπος ἀφωρισμένος, ἀλλὰ ῥεῖ, ὅπου ἂν εὐοδήσῃ καὶ συρρεύσῃ, εἴτε διὰ τοῦ αἰδοίου εἴτε διὰ τῆς 20 ἕδρας· τοῖς δὲ κατὰ φύσιν ἅπασι περιττώμασιν ἀφώρισεν ἡ φύσις τόπους· ὥστε ἐπεὶ καὶ τῷ σπέρματι τόπος ἀφώρισται. περίττωμά ἐστι καὶ οὐ 25 σύντηγμα. καὶ τεκμήρια τὰ συμβαίνοντα ὅτι τὸ εἰρημένον σπέρμα ἐστί. ταῦτα δὲ συμβαίνει. ταῦτα δὲ λέγει τὰ συμβαίνοντα ἀπὸ τοῦ σπέρματος. εἰπὼν δὲ πρὸ ὀλίγου "ἀρχὴ δὲ καὶ ταύτης τῆς σκέψεως καὶ 30 τῶν ἑπομένων πρῶτον λαβεῖν περὶ σπέρματος τί ἐστιν· οὕτω γὰρ καὶ περὶ τῶν ἔργων αὐτῶν καὶ τῶν περὶ αὐτὰ συμβαινόντων μᾶλλον ἔσται εὐθεώρη- 35 τον" (εἴπομεν δὲ ἡμεῖς ταύτην μετερχόμενοι τὴν λέξιν "τίνα δὲ τὰ συμ- βαίνοντα, αὐτὸς μετ' ὀλίγον ἐρεῖ καὶ ἡμεῖς ὑπομνήσομεν ἐν τῷ τόπῳ 40 γενόμενοι") εἰπὼν οὖν ὅτι πρῶτον δεῖ λαβεῖν τί ἐστι τὸ σπέρμα καὶ ἀποδοὺς αὐτὸ περίττωμα τῆς ἐσχάτης καὶ μᾶλλον εὐχρήστου τροφῆς, νῦν λέγει καὶ περὶ τῶν ἑπομένων. μαρτυρεῖν γάρ φησι καὶ τὰ συμβαίνοντα 45 καὶ ἐπακολουθοῦντα τῷ σπέρ|ματι ὅτι ἡ φύσις τοῦ σπέρματος περίττωμά 22v ἐστι τῆς ἐσχάτης καὶ μᾶλλον εὐχρήστου τροφῆς. ἡ γὰρ γινομένη ἔκλυσις καὶ ἀδυναμία ἐλαχίστου σπέρματος ἀφ' ἡμῶν ἀπιόντος διαρρήδην βοᾷ· 5 γίνεται γὰρ ἡ ἔκλυσις στερισκομένων τῶν σωμάτων τοῦ ἐκ τῆς τροφῆς γινομένου τέλους καὶ ἀναπληρώματος. ὃ γὰρ ἤμελλε τροφὴ γενέσθαι καὶ 10 ἤδη ἐγένετο συντακέν πως καὶ δι' ἀλλοιώσεως ὑποστρέψαν ἐκ τῆς εἰς ἣν ἤγετο φύσεως καὶ εἴδους εἰς φύσιν σπέρματος ἐξῆλθεν ἄτροφον καταλιπὸν τὸ σῶμα. πάντως δὲ ὅτι τῇ ἐνδείᾳ ἔκλυσις παρέπεται, οὐ δεῖ δεικνύναι· 15 ἴσμεν γὰρ ἅπαντες τοῦτο. πολλάκις δὲ εἴπομεν ὅτι ὑπὸ τῆς ἐν τῇ ὁμιλίᾳ σφοδρᾶς γινομένης κινήσεως εἰς φύσιν σπέρματος ἡ τροφὴ τρέπεται, ὅμως 20 ὑπομιμνησκέσθω καὶ νῦν. ἰστέον δὲ ὅτι οὐ πᾶσι παρέπεται ἔκλυσις, ἀλλὰ ὅσοις γίνεται τὸ σπέρμα ἐν τῷ καιρῷ τοῦ συνδυασμοῦ, διὰ τὸ στερίσκεσθαι 25 τῆς οἰκείας τροφῆς· ὅσοις δὲ τοῦτο συμβαίνει γίνεσθαι πρὸ τοῦ τῆς ὁμιλίας καιροῦ (ὀλίγοις δὲ πάντως) καὶ πλεονάσει διά τε τὸ προϋπάρχον καὶ διὰ τὸ ἐν τῷ τῆς ὁμιλίας καιρῷ ἐξ ἀνάγκης γινόμενον, τούτοις μᾶλλον κουφισμός, 30 ἀλλ' οὐκ ἔκλυσις γίνεται διὰ τὸ βάρος ἐμποιεῖν περὶ τοὺς νεφροὺς πλεονάσαν, καὶ μᾶλλον ὅταν ἐξερχόμενον συνεξάξῃ καὶ ἄλλα τινὰ περιττώματα, μᾶλλον 35 ἐμποιεῖ κουφισμὸν τῷ σώματι. ζητήσειε δ' ἄν τις, εἰ τοῖς πλείστοις ἐν τῷ καιρῷ τῆς ὁμιλίας γεννᾶται τὸ σπέρμα, πῶς μὴ προϋπάρχοντος σπέρ- 40

---

1 τούτω a 3 Ἔτι δὲ τοῖς a γέγονε] δέδοται Ka 4 εὐοδήσῃ ex εὐοδώσῃ corr. K: εὐοδόσῃ a 5 ἀφορίσασα IL 6 ἀφωρισμένος K 8 δὲ ante λέγει om. K λέγω a 9 πρὸ ὀλίγου] p. 724a14 12 εἴπομεν] p. 34,21 15 αὐτὸ ex αὐτῷ corr. K εὐχρήστου om. IL 16 καὶ prius om. L μαρτυρεῖ K 18 ἐσχάτης καὶ om. Ka 22 ἐγίνετο Ka συντακέντως καὶ La 23 ἤγετο] ἐγένετο K 24 post ὅτι add. ἐν a post δεῖ add. δὲ K 25 post ὅτι add. καὶ Ka 26 σφοδρᾶς om. Ka τρέπεται] πέττεται Ka 27 ὑπομεμνήσθω Ka δὲ om. K 29 τοῦ et 30 καιροῦ om. Ka 30 προϋπάρχειν a 31 γίνεσθαι a 32 ἀλλ' om. Ka 34 ἐμποιῇ L ante τῷ add. ἐν Ka 35 γένηται a

ματος τοῦ διερεθίζοντος ὅμως κινεῖται καὶ ὀρέγεται τὰ ζῷα. ἢ οὐ πάντῃ 22v
πάντως ὑπὸ μόνου τοῦ σπέρματος διερεθίζεται, ἀλλὰ μᾶλλον καὶ μάλιστα 45
ὑπὸ τῆς γεννητικῆς δυνάμεως τῆς ψυχῆς. εἰ δὲ συμβαίη γενέσθαι πρὸ
τῆς ὁμιλίας σπέρμα, δῆλον ὅτι διερεθίζεται καὶ ὑπὸ τούτου. ἔτι, φησί,
5 σύντηγμα μὲν γί|νεται καὶ ἐν τῇ πρώτῃ ἡλικίᾳ καὶ ἐν γήρᾳ καὶ ἐν νόσοις, 23r
σπέρμα δὲ οὐδαμῶς· οὐκ ἄρα σύντηγμα τὸ σπέρμα. εἰπὼν δὲ μὴ γίνεσθαι
σπέρμα μήτε ἐν νόσοις μήτε ἐν γήρᾳ διὰ ἀσθένειαν καὶ ἀδυναμίαν (οὐδα- 5
μῶς γὰρ ἐν τούτοις γίνεται κίνησις, ἀφ ἧς τὸ σπέρμα συνίσταται) ναὶ μὴν
οὐδὲ ἐν τῇ πρώτῃ ἡλικίᾳ, διὰ τὸ μηδὲ ἐν ταύτῃ τὴν τοιαύτην γίνεσθαι 10
10 κίνησιν καὶ δηλονότι καὶ διὰ τὸ πλεονάζειν τότε τὸ ἐν ἡμῖν θερμὸν καὶ
μὴ ἐᾶν τι περιττεῦσαι, πιστοῦται τοῦτο διὰ τῆς ἐπαγωγῆς. οἱ γὰρ
εὐεκτικοὶ τῶν ἀνθρώπων καὶ εὔκρατοι ἧττον προΐενται σπέρμα διὰ τὸ κατα-
ναλίσκεσθαι ὑπὸ τῆς εὐκρασίας πᾶσαν τὴν τροφὴν εἰς σάρκα καὶ τὰ λοιπὰ
τῶν ὁμοιομερῶν καὶ μηδέν τι καταλιμπάνεσθαι, ὅπερ ἐστὶν αἴτιον καὶ τῆς
15 πολυσαρκίας αὐτῶν. εἰ δὲ μὴ οὗτοι, διὰ τοῦτο εὐλόγως μηδὲ τοὺς τὴν 15
πρώτην ἡλικίαν ἄγοντας προΐενει σπέρμα συμβαίνει. ὅμοιον δὲ τούτοις
γίνεται καὶ περὶ τὰς τραγώσας ἀμπέλους· οὐδὲ γὰρ αὗται προΐενται καρπούς.
τῶν γὰρ ἀμπέλων εἴ τις τὰς ἀχρήστους βλάστας σιδήρῳ ἀποκόψειε περὶ
τροπὰς χειμερινὰς ἢ ὕστερον ὀλίγον ἢ μικρῷ πρόσθεν, ὅπερ ἡ συνήθεια
20 καὶ ὁ πολὺς ἄνθρωπος κλαδεύειν λέγει (τὴν γὰρ τοιαύτην ἀνακάθαρσιν
τῶν κλημάτων κλαδείαν ὀνομάζομεν) εἰ δὴ τὰς ἀμπέλους κλαδεύσειέ τις,
φέρουσι καρπόν, εἰ δὲ μὴ κλαδεύσει ἐξυβρίζουσι, τουτέστιν εὐθηνοῦσι καὶ 20
πρὸς τῷ εὐμήκεις γίνεσθαι τοὺς προϋπάρχοντας κλάδους ἔτι φύονται καὶ
ἕτεροι πολλοὶ διὰ τὸ εἰς αὐτοὺς καταναλίσκεσθαι τὴν ἀπὸ τῆς γῆς ἀναδιδο-
25 μένην τροφήν, καρπὸν δὲ οὐ φέρουσιν· ὡς οὖν αὗται διὰ τὸ μὴ φέρειν
καρπὸν εὐκληματοῦσιν, οὕτως καὶ τὸ ζῷον δι' αὐτὸ τοῦτο πολύσαρκον
γίνεται. ὡς γὰρ ἐν ταῖς ἀμπέλοις διὰ τὸ τὴν τροφήν, ἥτις ἤμελλε τρέφειν
τοὺς βότρυας καταναλίσκεσθαι εἰς αὐτὰς εὐκληματοῦσιν, οὕτω καὶ ἐπὶ τῶν
ζῴων ἡ μέλλουσα εἰς σπέρματος γένεσιν ἀναλίσκεσθαι εἰς σάρκας διαλυομένη 25
30 εὐσάρκους ἀποτελεῖ τοὺς τοιούτους τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων.
λέγονται οὖν αἱ τοιαῦται ἄμπελοι αἱ εὐκληματοῦσαι καὶ καρπὸν μὴ φέρουσαι
τραγᾶν ἀπὸ τοῦ πάθους τῶν τράγων· ἧττον γὰρ καὶ οὗτοι πίονες ὄντες
φέρουσι σπέρμα. ὁρίζεται δὲ καὶ τὴν πιμελὴν λέγων πιμελή ἐστι περίτ-
τωμα ὑγιεινὸν δι' οὐσίαν, λέγων οὐσίαν τὸ ἔμφυτον θερμόν· ἡ γὰρ

---

1 πάντα K 2 ἀπὸ L 4 σπέρματα a διερεθίσεται a 5 γήρει IKa
νόσω a 6 δὲ prius ex μὲν corr. K 7 γήρει Ka 8 ναὶ] fort. καὶ
10 κίνησιν] διάγνωσιν Ka τὸ ante ἐν om. a 11 διὰ] ἐκ Ka 12. 13 κατα-
ναλίσκεται a 13 σάρκας Ka 15 μὴ om. IL 17 τρυγώσας a: τραγώγας I
οὐδὲ] οὐ IL καρπὸν Ka 18 εἴ τις om. Ka βλάβας K post
βλάστας add. ἤν τις Ka ἀποκόψειε σιδήρῳ coll. a 18. 19 περὶ τροπὴν χει-
μερινὴν ἢ ὕστερον ὀλίγῳ Ka 20 λέγουσι Ka 21 κλαδίαν a ὀνομά-
ζουσιν Ka 23 ἔτι om. K 24 εἰς αὐτὰς a 24. 25 διδομένην ILa
29 διαλυμένη a 31 αἱ post ἄμπελοι om. a 32. 33 ἧττον—φέρουσι] ὄντες γὰρ καὶ
οὗτοι πίονες οὐ φέρουσι K 34 δι' οὐσίαν] sic libri et Arist. SY: δι' εὐβοσίαν Arist. vulg.

οὐσία τῶν ζῴων ὡς εἰπεῖν τὸ ἔμφυτόν ἐστι θερμόν· ἀποσβεσθέντος γὰρ 23r
αὐτοῦ φθείρεται. ἐλλιπῶς δὲ δοκεῖ ἀπηγγέλθαι ἡ λέξις ἡ ὁμοίως δὲ καὶ 30
πολυχρόνιά ἐστι καὶ πολύσπερμα· εἴη δ' ἂν τὸ πλῆρες τοιοῦτον·
ὁμοίως δὲ καὶ ὀλιγοχρόνιά ἐστι καὶ πολυχρόνια καὶ ὀλιγόσπερμα καὶ πολύ-
5 σπερμα, ὀλιγοχρόνια μὲν δι' ἀδυναμίαν, πολυχρόνια δὲ διὰ δύναμιν, ὁμοίως
δὲ καὶ ὀλιγόσπερμα δι' ἀδυναμίαν, ὥσπερ ἐν ταῖς νόσοις, καὶ διὰ δύναμιν,
ὡς ἐπὶ τῶν εὐεκτούντων, καὶ πολύσπερμα ὁμοίως δι' ἀδυναμίαν, ὡς ἐν
ταῖς γονορροίαις, περὶ ὧν μετ' ὀλίγον ἐρεῖ ὅπως γίνονται. ὥσπερ γὰρ ἐν 35
ταῖς παρὰ φύσιν θερμότησι τήκεται ἡ τῶν σαρκῶν φύσις καὶ ἕξεισι (καλεῖται
10 δέ, ὡς εἶπε, τὸ τοιοῦτον πάθος σύντηγμα) οὕτω καὶ διά τινα δυσκρασίαν
καὶ ἀδυναμίαν φύσεως ἀναλύεται ἡ ἐσχάτη καὶ εὔχρηστος τροφὴ εἰς φύσιν
σπέρματος νοσώδους καὶ ἕξεισι καὶ ὀδευόντων καὶ ἱσταμένων καὶ καθευ-
δόντων τῶν τὴν τοιαύτην νόσον νοσούντων, ἣν γονόρροιαν οἱ ἰατροὶ ὀνομά-
ζουσιν. ἀλλ' εἰ μὲν εὐοδεῖται καὶ ἐξέρχεται θύραζε τὸ τοιοῦτον περίττωμα
15 ἄχρηστότατον καὶ παρὰ φύσιν ὄν, ὑγιαίνει ὁ νοσῶν, εἰ δὲ μή, ἀναιρεῖται. 40
τὸ δὲ συντήκονται δὲ ταύτῃ δυνάμει τοιοῦτόν ἐστιν· ὥσπερ αἱ σάρκες
διὰ τοῦ οὔρου ἐξέρχονται, οὕτω καὶ τὸ ἄχρηστον περίττωμα μετὰ τοῦ
εὐχρήστου. ἄχρηστον δὲ λέγομεν τὸ τῆς γονορροίας, εὔχρηστον δὲ τὸ ἀπὸ
τῆς τοῦ ἄρρενος καὶ θήλεος γινόμενον ὁμιλίας. ἔτι ὁ πόρος ὁ αὐτὸς
20 τῷ περιττώματι καὶ τῷ σπέρματι. καὶ τοῦτο κατασκευαστικόν ἐστι
τοῦ μὴ εἶναι σύντηγμα τὸ σπέρμα. τὸ μὲν γὰρ σπέρμα ἐν τοῖς ἔχουσιν
αἰδοῖον διὰ τοῦ αἰδοίου ἕξεισι μόνου, δι' οὗ καὶ τὸ τῆς ὑγρᾶς τροφῆς 45
περίττωμα, τὸ δὲ σύντηγμα καὶ διὰ τοῦ αἰδοίου καὶ διὰ τῆς ἕδρας· οὐκ
ἄρα τὸ σπέρμα σύντηγμα. τὸ δὲ ἡ γὰρ τροφὴ πάντων ὑγρὰ μᾶλλον
25 πανάληθες· καὶ γὰρ ἡ ξηρὰ τροφὴ ὑγραίνεται πρῶτον καὶ χυλοποιεῖται,
εἶθ' οὕτως ἐξαιματοῦται. ἀλλὰ καὶ ἐν τῷ οἷς δὲ μή ἐστιν αὕτη,
κατὰ τὴν τῆς ξηρᾶς ὑποστάσεως ἀποχώρησιν τὸ αὕτη περὶ τῆς
περιττώσεως εἴρηται τῆς ὑγρᾶς τροφῆς. ἔστι δὲ τὸ λεγόμενον ὅτι οἷς μή
ἐστι περίττωμα ὑγρᾶς τροφῆς, ὥσπερ τοῖς ὄρνισι, τούτοις τὸ σπέρμα 50
30 ἕξεισιν ὅθεν καὶ ἡ τῆς ξηρᾶς τροφῆς περίττωσις.

p. 726a28 Μετὰ δὲ ταῦτα διοριστέον περίττωμά τε ποίας τροφῆς καὶ περὶ καταμηνίων.

Εἰπὼν ὅτι τὸ σπέρμα περίττωμά ἐστι τῆς ἐσχάτης καὶ εὐχρήστου

1 ἀποσβεσθέντος scripsi: ἀπὸ σβεσθέντος libri 2 ὁμοίως δὲ δοκεῖ καὶ IL
3 πολυχρόνια] sic libri et Arist. PSY: πολύχρα Arist. vulg. 4 ἐστι om. IL
6 δὲ om. a 9 τῶν om. IL 10 διὰ τὴν ἀκρασίαν K 11 τῆς φύσεως K
ἄγρηστος L 12. 13 καθευδόντων καὶ ἱσταμένων coll. IL 13 τῶν] τοῦ a
15 καὶ παρὰ φύσιν om. K 16 δυνάμει] τὸ IL 17 μετὰ] τὰ μὴ IL
19 τῆς τοῦ] τῆς om. a; τοῦ om. IL post αὐτὸς add. ἐστὶ I 20 τῷ post καὶ
om. ILa 23 διὰ ante τῆς om. K 24 ὑγρὰ πάντων coll. K 25 καὶ
γὰρ καὶ ἡ a 26 αὐτὴ ILa 27 ἀποχώρησιν a ut Arist.: ὑποχώρησιν IKL
τὸ αὕτη] τὸ αὐτὸ IL: τὸ δὲ αὐτὴ a 29 ante ὑγρᾶς add. τῆς a post ὥσπερ
add. ἐν a

τροφῆς, τίς δέ ἐστιν ἡ ἐσχάτη τροφὴ μὴ εἰπὼν ὁπομιμνήσκει, τίνα μὲν τὰ | λεχθέντα τίνα δὲ τὰ μὴ ῥηθέντα, καί φησιν ὅτι μὲν οὖν ἡ γονὴ 23ᵛ περιττωμά ἐστι τῆς ἐσχάτης τροφῆς φανερὸν ἐν τοῖς προειρημένοις, τουτέστι φανερὸν γέγονεν ἀπὸ τῶν προειρημένων· μετὰ δὲ ταῦτα σαφηνιστέον καὶ διοριστέον, τίς ἐστιν ἡ ἐσχάτη τροφή, ἧς φαμεν εἶναι τὸ σπέρμα περίττωμα. καὶ ἐπεὶ ἔλεγόν τινες ὅτι καὶ τὸ θῆλυ προΐεται ὑγρότητά τινα ἐν τῇ ὁμιλίᾳ ἐπίσης τῷ ἄρρενι, καὶ τοῦτό ἐστι τὸ σπέρμα, τὸ μῖγμα τὸ ἐκ τῆς ὑγρότητος τῆς ἀπὸ τοῦ θήλεος καὶ τὸ ἐκ τῆς ὑγρότητος τῆς ἀπὸ τοῦ ἄρρενος — οὔτε γὰρ ἡ τοῦ ἄρρενος μόνου ὑγρότης ἐστὶ σπέρμα οὔτε ἡ τοῦ θήλεος· ὥσπερ γάρ, φασίν, οὔτε τὸ μέλι μόνον ἐστὶ οἰνόμελι, οὔθ' ὁ οἶνος, ἀλλὰ τὸ ἐξ οἴνου καὶ μέλιτος μῖγμα, οὕτως οὐδετέρα ὑγρασία, οὔτε ἡ τοῦ ἄρρενος οὔτε ἡ τοῦ θήλεος, ἐστὶ γονὴ καὶ σπέρμα, ἀλλὰ τὸ ἐξ ἀμφοῖν ταῖν ὑγρασίαιν, ὅπερ μῖγμα μετὰ τοῦ ἀπὸ τοῦ θήλεος καταμηνίου ποιεῖν φασι τὸ ζῷον. τρία γάρ, φασίν, εἰσὶ τὰ ζῴου συστατικά, τό τε καταμήνιον καὶ αἱ εἰρημέναι δύο ὑγρότητες· καὶ τὸ μὲν καταμήνιον καὶ τὴν μίαν ὑγρασίαν χορηγεῖ τὸ θῆλυ, τὴν δὲ ἑτέραν ὑγρασίαν τὸ ἄρρεν. ὅτι δὲ τὸ θῆλυ προΐεται ὑγρότητά τινα ὁμοίαν τῇ τοῦ ἄρρενος ὑγρότητι ἐπειρῶντο κατασκευάζειν, ὡς καὶ αὐτὸς προϊὼν ἐρεῖ, λόγῳ τοιῷδε. ἐπειδὴ γὰρ τὸ ἄρρεν τῆς παμπλείστης καὶ σχεδὸν ἀρρήτου ἡδονῆς αἴσθησιν λαμβάνει, ὅτε προΐεται τὴν γονήν (ἥδεται μὲν γὰρ ἐν ἅπαντι τῷ τῆς ὁμιλίας καιρῷ, ἀλλὰ τὴν ἄρρητον καὶ πάνυ ἄκραν ἡδονὴν ἐν τῷ τέλει τοῦ τοιούτου καιροῦ πάσχει, ὅτε ἕξεισιν ἡ γονὴ καὶ εὐθὺς ἀφίσταται τοῦ θήλεος), τῆς δὲ τοιαύτης ἡδονῆς συναισθάνεται καὶ τὸ θῆλυ, δῆλον ὅτι προΐεται ὑγρότητα καὶ τὸ θῆλυ ἀνάλογον τῇ τῶν ἀρρένων ὑγρότητι. διὰ τίνα γὰρ αἰτίαν τὸ μὲν ἄρρεν πάθοι ἂν ταυτηνὶ τὴν ἡδονὴν καὶ|τὰ πρόεσιν 24ʳ ὑγρότητός τινος, τὸ δὲ θῆλυ πάθοι μέν, οὐ κατὰ πρόεσιν δὲ τοιαύτης ὑγρότητος; ὥστε ἢ οὐδὲ τὸ ἄρρεν πάσχει τὴν τοιαύτην ἡδονὴν κατὰ πρόεσιν ὑγρότητος, ἢ εἰ πάσχοι διὰ ταύτην, ἀνάγκη καὶ τὸ θῆλυ διὰ πρόεσιν ὑγρότητος συναισθάνεσθαι αὐτῆς — οὕτω μὲν οὖν καὶ τοιούτῳ λόγῳ ἐπειρῶντο δεικνύναι ὅτι ἡ γονὴ μῖγμά ἐστιν ἀμφοῖν ταῖν ὑγροτήτοιν. ἠπάτων δὲ καὶ παρελογίζοντο ἑαυτούς, ὡς δειχθήσεται. ἡμεῖς δὲ ὅπερ ἐλέγομιν ἦν ὅτι διοριστέον καὶ περὶ καταμηνίων· φανερὸν γὰρ ἔσται διὰ τούτων καὶ περὶ τοῦ θήλεος, πότερον προΐεται σπέρμα, καὶ μῖγμά ἐστι τὸ

---

1 τίς δ' ἡ ἐσχάτη K 2 τίνα δὲ] καὶ τίνα ILa post ὅτι add. τὸ IL
4. 5 διοριστέον καὶ σαφηνιστέον coll. a 7 τὸ ante σπέρμα om. Ka 8 τὸ ἐκ post καὶ fort. delenda sunt 9. 10 τοῦ (post ἡ)—σπέρμα] ὑγρότης μόνη ἐστὶ σπέρμα τοῦ ἄρρενος IL
10 τῆς θήλεος IL φησὶν K 13 τῶν ὑγρασιῶν K: ταῖς ὑγρασίαις μῖγμα a
μετὰ τὸ IL 14 καταμήνιον I φασίν om. IL τὰ τοῦ ζῴου Ka
16 τὴν δὲ] καὶ τὴν a ὑστέραν IL¹ 17 προΐεται τὸ θῆλυ coll. K
18 τοιωδὶ Ka 19 τῆς πάνυ πλείστης Ka ἡδονῆς ante καὶ ponit L
20 λαμβάνειν a ἐν ἅπαντι] καὶ ἐν K 24 ὑγρότητι τῶν ἀρρένων coll. Ka
25 μὲν supra vers. L ταύτην K 26 δὲ τῆς τοιαύτης K 27 οὐδὲν K
ταύτην τὴν ἡδονὴν Ka 28 ὑγρότητός τινος ἢ K πάσχοι] τοῦτο Ka
31. 32 ὅπερ—ἦν K: ὅπερ ἐλέγομεν νῦν IL: φαμὲν ὅπερ ἔλεγεν νῦν a 33 τοῦτον a
πρότερον K ante μῖγμα add. ἡ a

κυρίως σπέρμα καὶ ἡ κυρίως γονή, ἥτις κινεῖ καὶ συνίστησι τὸ καταμήνιον, 24ʳ
δυοῖν ὑγροτήτοιν, ἃ οὐδὲν ἀποκρίνεται σπέρμα ἀπὸ τοῦ θήλεος· καὶ εἰ μὴ
σπέρμα, οὐδὲ ἄλλο οὐδὲν συνεργεῖ πρὸς τὴν γένεσιν καὶ συνεισφέρει, ἀλλὰ
μόνον τόπον καὶ χώραν παρέχεται τῷ ἐμβρύῳ (λέγων τόπον τὴν ὑστέραν)
5 ἢ συμβάλλεται. ἔχειν δὲ λέγει τὸ σπέρμα μεγάλην δύναμιν εἰς τὸ ποιεῖν 20
ἔκλυσιν καὶ ἀδυναμίαν ἀφ' οὗπερ ἀπέρχεται, διὰ τὸ εἶναι περίττωμα τῆς
αἱματικῆς τροφῆς. τὸ γὰρ καθαρώτατον καὶ ὑγιεινὸν αἷμα, ὅπερ ἔμελλε
τὰ μόρια θρέψαι, πεφθέν πως καὶ ἀλλοιωθὲν καὶ εἰς σπέρματος μεταμειφθὲν
φύσιν καὶ θύραζε ἐξελθὸν λυτικόν, τουτέστιν ἐκλυτικὸν γίνεται. εὔλογον
10 δέ φησι καὶ τὸ ὅμοια γίνεσθαι τὰ ἔκγονα τοῖς γεννήσασι· τὸ γὰρ προσελθὸν
αἷμα τοῖς τοῦ γεννῶντος μορίοις καὶ θρέψαν αὐτὰ ὅμοιόν ἐστι τῷ ἀπο- 25
λειφθέντι καὶ διὰ κινήσεώς πως εἰς φύσιν σπέρματος ἀμειφθέντι· ἐπεὶ οὖν
τὸ ἀπολειφθὲν καὶ σπέρμα γεγονὸς ὅμοιον ἦν τῷ προσκριθέντι (μέρος γὰρ
ἐκείνου) εὐλόγως τὸ ἐκ τοῦ ἀπολειφθέντος γενόμενον παιδίον ὅμοιόν ἐστι
15 τῷ πατρί. τὸ γὰρ σπέρμα τὸ ἐκ τοῦ πατρικοῦ αἵματος ὅλον ἐστὶ δυνάμει
τὸ παιδίον, ὅπερ δαιμονίως αὐτὸς σαφηνίσει ἐν τῷ ἐφεξῆς βιβλίῳ· μετ'
ὀλίγον γὰρ τῆς τοῦ δευτέρου βιβλίου ἀρχῆς δείκνυσι, πῶς ἐστι τὸ σπέρμα
δυνάμει τὸ παιδίον. εἰπὼν δὲ καὶ οἷον ἐκείνων ἕκαστον ἐνεργείᾳ, 30
τοιοῦτον τὸ σπέρμα δυνάμει ἐπήγαγεν ἢ κατὰ τὸν ὄγκον τὸν
20 ἑαυτοῦ ἢ ἔχει τινὰ δυνάμιν ἐν ἑαυτῷ. ἔστι δὲ καὶ κατὰ τὸν ἑαυτοῦ
ὄγκον ὁ χαλκὸς δυνάμει ἀνδριάς· ὅσος γάρ ἐστιν ὁ τοῦ χαλκοῦ ὄγκος,
τοσοῦτός ἐστι καὶ ὁ ἐξ αὐτοῦ γεγονὼς ἀνδριάς· τὸ δὲ σπέρμα τῷ μὲν ὄγκῳ
βραχύτατον ὂν πῶς ἂν εἴη τῷ ὄγκῳ δυνάμει τὸ ζῷον; λείπεται ἄρα τῇ
ἑαυτοῦ δυνάμει. ὥσπερ γὰρ καὶ τῆς κεγχραμίδος, ἀφ' ἧς ἡ συκῆ, ὁ μὲν
25 ὄγκος πάνυ σμικρός, ἡ δὲ δύναμις ἀφ' ἧς τὸ τηλικοῦτον δένδρον γέγονε 35
πολλή, οὕτως καὶ ἐπὶ τῆς γονῆς τῶν ζῴων. ἔστιν οὖν καὶ ἡ γονὴ καὶ
ἡ κεγχραμὶς τὸ ζῷον καὶ ἡ συκῆ δυνάμει, ἀλλ' οὐ τῷ ὄγκῳ, τῇ δὲ ἐν
αὐτοῖς κινητικῇ καὶ ποιητικῇ αἰτίᾳ. εἰπὼν δὲ ὅτι τοιοῦτόν ἐστι τὸ σπέρμα
δυνάμει ἢ κατὰ τὸν ὄγκον τὸν ἑαυτοῦ ἢ ἔχει τινὰ δύναμιν ἐν
30 ἑαυτῷ, τὴν αἰτίαν ταύτης τῆς προσθήκης ἐπήγαγεν εἰπὼν τοῦτο γὰρ οὔπω
δῆλον ἡμῖν, πότερον τὸ σῶμα καὶ ὁ ὄγκος τοῦ σπέρματός ἐστιν
αἴτιον τῆς γενέσεως ἢ ἔχει τινὰ ἕξιν. δείξει δὲ καὶ τοῦτο, λέγω δὴ ὅτι 40
οὐ τὸ σῶμα τοῦ σπέρματος ἀλλ' ἡ ἐν αὐτῷ ἕξις ἐστὶν αἰτία τῆς γενέσεως,
ἐν τῷ ἐφεξῆς βιβλίῳ. ἰστέον δὲ ὅτι εἰ κατὰ τὸν ὄγκον ἦν δύναμις, ὑλικὸν
35 ἦν καὶ οὐ ποιητικόν. ὥσπερ δέ, φησίν, ἡ λιθίνη χεὶρ ὁμωνύμως ἐστὶ χείρ,

1 σπέρμα καὶ ἡ κυρίως om. sed in marg. add. L 8 ἀμειφθὲν IL 10 φασι IL τὰ ὅμοια IL γενέσθαι a ἔγγονα a 12 καὶ διὰ—ἀμειφθέντι om. IL 13 ἦν] ὢν a 14 γινόμενον K 16 τὸ om. L αὐτὸς δαιμονίως coll. K ἐν τῷ ἐφεξῆς βιβλίῳ] B 1 p. 734ᵇ19 sqq. 17. 18 δυνάμει τὸ σπέρμα coll. K 18 τὸ om. K 20 ἔχειν K καὶ om. Ka 22 μὲν om. K 23 ὂν] ἂν a 24 ἑαυτῷ I: ἐν ἑαυτῷ Ka καὶ] ἐν IL 25 δὲ om. a γέγονε δένδρον coll. Ka 28 αὐτῷ IL: ἑαυτῷ K 28. 29 δυνάμει τὸ σπέρμα coll. a 29 εἰ ἔχει I 30 εἰπὼν om. K 31 καὶ om. IL 32 ὅτι om. IL¹ 34 ἐν τῷ ἐφεξῆς βιβλίῳ] B 1

οὕτως καὶ τὸ σπέρμα, εἰ μὴ εἶχε ψυχικήν τινα καὶ γεννητικὴν δύναμιν, 24r
ὁμωνύμως ἂν ἦν σπέρμα. μετὰ ταῦτα λέγει καὶ περὶ τῆς σπερματικῆς
συντήξεως τῆς καὶ γονορροίας λεγομένης, ὅπως γίνεται. ὥσπερ γάρ, φησί,
πολλάκις εἰς τοὺς τοίχους ἐναλείψαντες οἱ οἰκοδόμοι ἄσβεστον ἢ ἄλλο τι 45
5 κονίαμα, συμβαίνει ἅμα τῷ ἀλεῖψαι πεσεῖν ἐπὶ γῆς διὰ τὸ μὴ καλῶς
κεκρατηκέναι τε καὶ κεκολληκέναι ἐν τῷ τοίχῳ, οὕτω χρὴ νοεῖν τοιοῦτόν
τι συμβαίνειν καὶ γίνεσθαι ἐπὶ τοῦ σπέρματος τῶν ζῴων· ἡ γὰρ προσ-
ληφθεῖσα αἱματικὴ τροφὴ παρὰ τῆς ἑλκτικῆς δυνάμεως τῆς ψυχῆς καὶ
προσκριθεῖσα τῇ σαρκί, δι' ἀσθένειαν δέ τινα τῆς καθεκτικῆς μὴ κρατη-
10 θεῖσα φύσεως | καὶ πεφθεῖσα τελέως, ἀλλὰ μέσον οὖσα σαρκὸς καὶ αἵματος, 24v
πάλιν διαλύεται εἰς τὸ αἷμα, ἀφ' οὗπερ ἐλήφθη, καὶ οὕτω πως ἀλλοιωθεῖσα
κακῶς γίνεται οἷον γονὴ καὶ ἕξεισιν ὡς εἰπεῖν καθ' ἑκάστην ὥραν παρ'
ὅλον τὸν τῆς νόσου καιρόν. καὶ ἡ μὲν τῶν λεγομένων διάνοια αὕτη, τὰ
δὲ τῆς λέξεως ὧδέ πη ἔχει· συμβαίνει δὲ τοῦτο, τουτέστιν ἡ σπερ-
15 ματικὴ σύντηξις, ὅταν ἡ προσκριθεῖσα αἱματικὴ τροφὴ ἀναλύηται εἰς τὸ 5
προσελθόν, τουτέστιν ἀφ' οὗ προσελήφθη αἵματος, ἢ εἰς τὸ προσελθὸν
ἀντὶ τοῦ εἰς τὴν φύσιν καὶ τὸ εἶδος τοῦ αἵματος· αἷμα γὰρ ἦν τὸ προ-
σελθόν, καὶ διὰ τοῦτο πάλιν διαλύεται εἰς αἵματος φύσιν. τὸ γὰρ τελευταῖον
περίττωμα, ἤτοι τὸ προσληφθέν, εἶτα ἀναλυθὲν ταὐτόν ἐστι τῷ αἵματι·
20 τοῦτο γὰρ εἶπε πρῶτον περίττωμα. διὰ γὰρ τὸ πᾶν, ὃ δύναται εἴς τι δι'
ἀλλοιώσεως καὶ πέψεως μεταβαλεῖν, περίττωμα εἶναι τρόπον τινὰ πρὸς
ἐκεῖνο, πρὸς ὃ μεταβαλεῖν δύναται, εἶπε καὶ τὸ αἷμα περίττωμα· πρὸς γὰρ 10
τὴν σάρκα περίττωμά ἐστι. καὶ περὶ μὲν τούτων ταύτῃ διωρίσθω. ἐπεὶ
δέ, φησίν, ἀναγκαῖον καὶ τῷ ἀσθενεστέρῳ ζῴῳ γίνεσθαι περίττωμα
25 πλέον μὲν τῷ ὄγκῳ καὶ τῷ μεγέθει, ἧττον δὲ τῇ πέψει (τὰ μὲν γὰρ
ἰσχυρότερα τῶν ζῴων καὶ θερμότερα ὀλίγον μὲν προΐεται περίττωμα, ἀλλὰ
μᾶλλον πεπεμμένον, τὰ δὲ ψυχρότερα πολὺ μὲν τῷ μεγέθει καὶ τῷ ὄγκῳ,
ἄπεπτον δέ· τὸ γὰρ πλέον περίττωμα δι' ἀπεψίαν γίνεται) ἐπεὶ οὖν ἀναγ-
καῖον καὶ τῷ ἀσθενεστέρῳ γίνεσθαι πλέον μέν, ἀπεπτότερον δὲ τῶν θερμο- 15
30 τέρων ζῴων περιττώματος, πᾶν δὲ τὸ πλέον καὶ ἀπεπτότερον περίττωμα
αἱματώδους ἐστὶν ὑγρότητος πλῆθος, ἀναγκαῖον καὶ τὸ καταμήνιον περίττωμα
εἶναι. συλλογιστέον οὖν ὧδε· τὸ θῆλυ ἀσθενέστερον καὶ ψυχρότερον, τὸ
τοιοῦτον πλέον καὶ ἀπεπτότερον προΐεται περίττωμα, τὸ τοιοῦτον πλῆθος
αἱματώδους ἐστὶν ὑγρότητος, τὸ τοιοῦτον καταμήνιον· τὸ καταμήνιον ἄρα
35 περίττωμα..

---

3 τῆς om. K 4 πολλάκις post τοίχους ponit K exspectas ἐναλειψάντων τῶν οἰκοδόμων, sed similia saepius occurrunt 5 κατὰ γῆς Ka 6 οὕτω] οὗ τῷ Ka 7 ἐπὶ τοῦ σώματος Ka 8 παρὰ] περὶ a 9 καθελκτικῆς I 9. 10 κρατηθεῖ K 10 φύσεως om. IL τελείως K 11 ἀναλύεται Ka οὗπερ] οὗ K 13 νόστου IL[1] 14 τοῦτο om. IL τουτέστιν—προσελθόν (16) om. L 18 ἀναλύεται Ka 20 πρῶτον περίττωμα] cf. Arist. (p. 726b29) codd. PSY 21 πέψιν K 23 περὶ] πρὸς K 26 μὲν om. a προΐενται Ka 27 τῷ ὄγκῳ καὶ τῷ μεγέθει coll. K 29 τῷ om. a 31 ἐστὶν om. K 32 καὶ συλλογιστέον ὧδε K

p. 727a4 Ὅτι δὲ ὀρθῶς εἴρηται, σημεῖα τὰ συμβαίνοντα περὶ αὐτῶν. 24v

Εἰπὼν καὶ δείξας ὅτι καὶ ἡ γονὴ καὶ τὸ καταμήνιον περίττωμά ἐστι τῆς ἐσχάτης τροφῆς, πιστοῦται τοῦτο καὶ ἀπὸ τῶν συμβαινόντων αὐτοῖς, τῷ τε ἄρρενι καὶ τῷ θήλει. ἐπεὶ γὰρ κατὰ τὸν αὐτὸν χρόνον τῆς ἡλικίας (οὗτος δέ ἐστιν ὁ τεσσαρεσκαιδέκατος) καθ' ὃν τὸ ἄρρεν προΐεται τὴν γονήν, ἐναλλαγή τε τῆς φωνῆς γίνεται καὶ τῶν μαστῶν ἄρσις (ὀγκοῦνται γὰρ καὶ οἱ τῶν ἀρρένων τότε μαστοὶ ὁμοίως τοῖς τῶν θηλέων), καὶ τὰ ἄλλα πάντα πάσχει, ἃ σαφῶς καταλέγει. κατὰ τὸν αὐτὸν δὲ χρόνον τὰ αὐτὰ συμβαίνει καὶ τοῖς θήλεσι (μεταβάλλει γὰρ καὶ τὸ θῆλυ τὴν φωνὴν καὶ τὰ ἄλλα πάντα πάσχει), δέδεικται δὲ ὅτι τὸ σπέρμα περίττωμα, δῆλον ὡς καὶ τὸ καταμήνιον περίττωμά ἐστιν. αἱμορροΐδας δὲ λέγουσι τὰ περὶ τὴν ἕδραν καὶ ἐντὸς καὶ ἐκτὸς γινόμενα διά τινα νόσον φύματα, ἀφ' ὧν αἷμα ἀπορρεῖ. ἀλλὰ καὶ φλεβώδεις λέγει τοὺς μεγάλας καὶ ἐπιδήλους ἔχοντας φλέβας. λέγει δὲ καὶ τὰ θήλεα γλαφυρώτερα ἤτοι εὐειδέστερα τῶν ἀρρένων εἶναι καὶ λεῖα 25r διὰ τὸ τὸ τραχύτητα ποιοῦν περίττωμα συνεξέρχεσθαι τοῖς καταμηνίοις. πολλῶν γὰρ καὶ παντοδαπῶν ἡμῖν ἐπιγινομένων περιττωμάτων καὶ μὴ δυναμένων ῥαδίως καὶ συντόμως ἐξελθεῖν συρρέουσι περί τε τὸ πρόσωπον καὶ τὰ λοιπὰ μέρη· καὶ τούτων εἰ ἀσθενής ἐστιν ἡ ἀποκριτικὴ δύναμις καὶ μὴ δύναται ἀπωθεῖν αὐτά, καὶ ποιοῦσιν ὀχθώδεις καὶ διηρμένους τοὺς τόπους. ἡ δὲ τοιαύτη ἀνωμαλία καὶ τραχύτης τῶν μελῶν δυσειδέστερα ἀπεργάζεται τὰ ἄρρενα τῶν θηλέων. ἐπεὶ δὲ τὸ καταμήνιον οὕτω γίνεται ἐν τοῖς θήλεσιν ὥσπερ ἡ γονὴ ἐν τοῖς ἄρρεσι, δύο δὲ ἀπὸ τοῦ αὐτοῦ καὶ ἑνὸς ζῴου σπερματικὰς οὐκ ἐνδέχεται ἀπιέναι ἀποκρίσεις (εἰ γὰρ ἐνεδέχετο δύο ἀπὸ τοῦ θήλεος ἀπέρχεσθαι, καὶ ἀπὸ τοῦ ἄρρενος δύο ἂν ἀπήρχοντο· τοῦ γὰρ αὐτοῦ καὶ τοῦτο λόγου), ἐπεὶ οὖν δύο οὐκ ἐνδέχεται ἀπὸ τοῦ αὐτοῦ ἀπιέναι, φανερὸν ὅτι τὸ θῆλυ οὐ συμβάλλεται οὐδὲ χορηγεῖ σπέρμα εἰς τὴν γένεσιν· εἰ μὲν γὰρ σπέρμα ἦν ἐν αὐτῷ, καταμήνια οὐκ ἂν ἦσαν, ἐπεὶ δέ εἰσι καταμήνια, σπέρμα οὐκ ἔστιν.

p. 727a31 Λάβοι δ' ἄν τις εἰς τοῦτο μαρτύρια ἔνια τῶν συμβαινόντων τοῖς ζῴοις.

Καὶ ἐκ τῶν συμβαινόντων, φησί, τοῖς ζῴοις λάβοι ἄν τις τὴν πίστιν

---

2 αὐτῶν libri et Arist. Z: αὐτά Arist. vulg. 3 περιττώματα εἰσὶ Ka 7 μαθῶν a 9 καταλέξει K 12 λέγει Ka τὰς ἕδρας L: τῆς ἕδρας I 13 φύματα] φῦντα I: φῦν L 14 ἀλλὰ καὶ φλεβώδεις vix sana λέγων τοὺς Ka μεγάλους a 15 γλαφυρότερα IL 16 post τὸ τὸ add. τὰς Ka τραχύτητας Ka ἐμποιοῦν L, sed ἐμ del. συνδιέρχεσθαι IL 17 ἐν ἡμῖν γινομένων Ka 18 συνεξελθεῖν K 19 εἰ scripsi: ἡ libri 20 post αὐτά add. δὲ IL 22 θηλειῶν IL 23 τοῖς ante ἄρρεσι om. IL 24 γὰρ om. K 26 τοῦτο λόγος IL: τούτου λόγου a 26. 27 ἀπὸ τοῦ αὐτοῦ post δύο (26) ponit K 28 τὰ καταμήνια IKa ἂν εἴησαν a 29 σπέρματα a

ὅτι τὰ καταμήνια καὶ τὸ σπέρμα περιττώματά εἰσι τῆς αἱματικῆς τροφῆς. 25r
εὐλόγως οὖν, φησίν, ἐλλείπει τὰ περὶ τὴν γονήν, ἀνηλωμένης τῆς αἱματικῆς 25
περιττώσεως τῆς γενησομένης σπέρμα εἰς τὴν πιμελήν. τὰ δὲ λεγόμενα περὶ
τῶν ἀναίμων καὶ τῶν μαλακίων σαφῆ ἂν γένοιτο, εἰ ὑπομνησθείημεν πρό- 30
5 τερον περί τινων. τὰ δὲ ὑπομνησθησόμενά εἰσι τάδε· ὥσπερ τὸ ἐν τῇ
σπερματικῇ συντήξει προσκριθὲν αἷμα εἰς αἷμα πάλιν ἀναλύεται καὶ ὁ 35
γεγονὼς ἀὴρ ἐξ ὕδατος εἰς ὕδωρ ἀναλύεται καὶ ἁπλῶς πάντα, ὅσα γίνεται,
εἰς ἐκεῖνα ἐξ ὧν γεγόνασιν, ἀναλύονται, οὕτως ἐπειδὴ καὶ ἡ πιμελὴ ἐξ
αἵματος γέγονεν, εἰς αἷμα λαβοῦσα δύναμιν πάλιν ἀναλυθήσεται. τούτων
10 ὑπομνησθέντων τὰ λεγόμενα περὶ τῶν μαλακίων εἴη ἂν τοιαῦτα· ὅτι μὲν
οὖν τῷ εἰς τὴν πιμελὴν ἀναλίσκεσθαι τὴν αἱματικὴν περίττωσιν, ἐξ ἧς τὸ
σπέρμα γίνεται, ἐλλείπει τὰ περὶ τὴν γονήν, δῆλον. τὰ γὰρ μαλάκια καὶ
τὰ μαλακόστρακα ἐπειδὴ κατὰ τὸν καιρὸν τῆς κυήσεως εὐεκτεῖ, καὶ ἦν 40
ἀκόλουθον ἐν τῷ καιρῷ τούτῳ πιμελώδη γίνεσθαι, οὐ γίνεται δὲ διὰ τὸ
15 ἄναιμα εἶναι (ἡ γὰρ πιμελὴ αἱμά ἐστι πεπεμμένον) τὸ μέλλον γενέ-
σθαι ἐν αὐτοῖς κατὰ τὸν καιρὸν τῆς κυήσεως ἀνάλογον τῇ πιμελῇ ἀπο-
κρίνεται εἰς τὸ σπερματικὸν περίττωμα, ὃ καλοῦσιν οἱ πολλοὶ ᾠόν· ὥστε
ἡ φύσις ἐκείνη ἡ γεγονυῖα ᾠὸν ἔοικε τῷ περιττώματι τῷ δυναμένῳ γενέ-
σθαι σπέρμα, μὴ γεγονότι δὲ σπέρμα ἀλλὰ πιμελή. ἐπεὶ οὖν, ὡς εἴρηται,
20 ἐν ᾧ καιρῷ τὰ μαλάκια εὐεκτεῖ καὶ τὰ μαλακόστρακα, τὸ ἀναλογοῦν τῷ 45
τῆς εὐχρήστου τροφῆς περιττώματι καὶ γινομένῳ ἢ σπέρμα ἢ πιμελὴ ᾠὸν
γέγονεν, ὅπερ πάλιν ᾠὸν ἀναλογεῖ τῇ πιμελῇ, φανερὸν ὅτι, ὅπερ ἤμελλε
γίνεσθαι σπέρμα, γέγονε πιμελὴ ἐν τοῖς εὐεκτοῦσι, καὶ ἐπὶ τούτῳ ἐλλείπει
ἐν αὐτοῖς | ἡ γονή. ἡ δὲ ἀναλογία ἐστὶ τοιαύτη· ὡς τὸ ἀναλογοῦν τῷ 25v
25 περιττώματι τῆς εὐχρήστου τροφῆς ἔχει πρὸς τὸ ᾠόν, οὕτως ἔχει καὶ ἡ
εὔχρηστος τροφὴ καὶ δυναμένη γενέσθαι σπέρμα πρὸς πιμελήν, καὶ ἐναλλάξ,
ὡς τὸ ἀναλογοῦν τῇ εὐχρήστῳ τροφῇ πρὸς τροφήν, οὕτω καὶ τὸ καλού-
μενον ᾠὸν πρὸς τὴν πιμελήν. ἀλλὰ μὴν ἐξ ἐκείνου γίνεται ᾠόν· καὶ ἐκ
τῆς εὐχρήστου ἄρα τροφῆς πιμελή. εἰκότως ἄρα τῆς εὐχρήστου τροφῆς 5
30 ἀναλισκομένης εἰς τὴν πιμελὴν ἐλλείπει τὰ περὶ τὴν γονήν. λέγει δὲ τὰ
μαλάκια παρὰ τὴν κύησιν εἶναι ἄριστα, ἤτοι ἡδύτατα καὶ εὔβρωτα.

p. 727b5 Σημεῖον δ' ὅτι οὐ τοιοῦτον σπέρμα προΐεται τὸ θῆλυ οἷον τὸ ἄρρεν.

Εἴρηται ἡμῖν καὶ πρότερον, ὅτι οἱ λέγοντες τὸ σπέρμα μῖγμα εἶναι

---

2 οὖν] ἂν IL 5 τὸ] γὰρ Ka 6 post συντήξει add. τὸ K 8 ἀναλύονται om. IK 9 δύναμιν] λύσιν K 14 ἀκολούθως I 15. 16 ἐν αὐτοῖς γίνεσθαι K 19 σπέρμα post δὲ om. K 21 γινομένη IL ἢ prius om. K πιμελὴν Ka 22 ᾠὸν om. Ka ἀναλογοῦν K ἔμελλε Ka 23 γενέσθαι La ἐπὶ τοῦτον a 24 γονή] πιμελὴ IKL τὸ ἀναλογοῦν τῷ ex τῷ ἀναλογοῦντι corr. L: τῷ ἀναλογοῦν τῷ I 25 ἔχει post οὕτως om. et post σπέρμα (26) ponunt Ka 26 καὶ ἡ δυναμένη K 27 τῇ om. IL 30 τὴν ante πιμελὴν om. IK 31 περὶ Ka εὔρωστα IL 32 σπέρμα] αἷμα IL

δύο ὑγροτήτων, τῆς τε ἀπὸ τοῦ ἄρρενος καὶ τοῦ θήλεος, κατεσκεύαζον τὸ 25v
δόγμα λόγῳ τοιῷδε· ἐπειδή, φασί, καθ' ὃν χρόνον ἕξεισι τὸ σπέρμα, γίνε-
ται ἡ πλείστη ἡδονὴ περὶ τὸ αἰδοῖον (γίνεται μὲν γὰρ καὶ ἐν ἅπαντι τῷ 15
τῆς ὁμιλίας καιρῷ ἡδονή τις, ἀλλ' οὐ τοιαύτη ὁποία ἐστὶν ἡ πρὸς τῷ τέλει
5 τῆς μίξεως, ὅτε καὶ τὸ σπέρμα ἕξεισιν) ἐπεὶ οὖν τὴν τοιαύτην ἡδονὴν κατὰ 20
τὴν τοῦ σπέρματος πρόεσιν ἥδεται καὶ πάσχει τὸ ἄρρεν, πάσχει δὲ ταύτην
καὶ τὸ θῆλυ, ἀναγκαῖον καὶ τοῦτο κατὰ προέσιν σπέρματος πάσχειν αὐτήν.
ταύτην οὖν τὴν δόξαν ἀνασκευάζει ὁ Ἀριστοτέλης ἐπὶ ἀξιώματι τοιῷδε· 25
εἰ τὸ σπέρμα καὶ ὅλως ἡ γονὴ μῖγμά ἐστι τῶν ἀπὸ τοῦ ἄρρενος καὶ θήλεος
10 ὑγροτήτων, καὶ οὐδετέρα τούτων δύναται αὐτὴ καθ' αὑτὴν κινῆσαι τὴν
ὅλην καὶ ζῷον ἀποτελέσαι, πρὶν ἂν ἀμφότεραι μιχθῶσιν, ἀνάγκη ὅλως
μὴ γίνεσθαι σύλληψιν, πρὶν ἂν μιχθῶσιν ἀμφότεραι αἱ ὑγρότητες. ἀλλὰ
μὴν συλλαμβάνει τὸ θῆλυ καὶ ἀπὸ μόνης τῆς τοῦ ἄρρενος ὑγρότητος, ὡς 30
δειχθήσεται· οὐκ ἄρα ἡ γονὴ μῖγμά ἐστι δυοῖν ὑγροτήτοιν. δείκνυσι δὲ
15 ὅτι τὸ σπέρμα ἀπὸ μόνου τοῦ ἄρρενός ἐστιν ἐξ αὐτῶν τῶν ὑπ' ἐκείνων
λεγομένων· ῥητέον δὲ ἡμῖν πρὸς τὴν τῶν λεχθησομένων σαφήνειαν τάδε.
ἡ εἰρημένη ἡδονή, ἣν ἔφαμεν γίνεσθαι ἐν τῇ τοῦ σπέρματος προέσει, οὐ
πάντοτε ἰσόδρομος γίνεται τῷ ἄρρενι καὶ τῷ θήλει, ὥστε ὅτε ταύτην ἥδεται
τὸ ἄρρεν, τότε καὶ κατὰ τὸν αὐτὸν καιρὸν καὶ τὸ θῆλυ, ἀλλ' ὁτὲ μὲν
20 ταύτην πάσχει τὸ ἄρρεν καὶ ἀφίσταται τοῦ θήλεος μήπω ταύτην παθόν- 35
τος καὶ διὰ τοῦτο βουλομένου ἔτι προσδιατρίβειν τῇ ὁμιλίᾳ, ὁτὲ δὲ ἀνά-
παλιν τὸ θῆλυ πεπονθὸς καὶ ἡσθέν, τὸ ⟨δ'⟩ ἄρρεν οὔπω πέπονθεν· ὁτὲ
δὲ ἰσοδρομοῦσι, καὶ ἡνίκα καὶ ὅτε πάσχει ταύτην τὸ θῆλυ, τότε καὶ τὸ
ἄρρεν. ἐπεὶ οὖν καὶ προγίνεται ἡ τοιαύτη ἡδονὴ τῷ θήλει καὶ ἰσοδρομεῖ
25 καὶ ἐπιγίνεται, δῆλον ὅτι οὐδέποτ' ἂν συλλήψεται τὸ θῆλυ, εἰ μὴ ἰσόδρο-
μος γένηται ἡ ἡδονή. εἰ γὰρ ἡ γονή, ἥτις συνίστησι τὸ καταμήνιον, μῖγμά
ἐστι δυοῖν ὑγροτήτοιν, ἡ δὲ ὑγρότης αὕτη ἕξεισιν, ὅτε καὶ ἡ ἄφατος γίνε- 40
ται ἡδονή, δῆλον ὅτι, ὅτε προγένηται τῷ ἄρρενι καὶ ἀποστῇ ἀπ' αὐτοῦ
τοῦ θήλεος, οὐδέν τι τοιοῦτον τὸ θῆλυ προέπεμψεν· οὔπω γὰρ ἔπαθε τὴν
30 ἡδονήν, ὥστε οὐδ' ἀφῆκεν ὑγρότητα· εἰ γὰρ ἀφῆκε, καὶ ἔπαθεν. ὥστε
δῆλον ὅτι οὐκ ἄν ποτε συλλήψεται τὸ θῆλυ προγεγονυίας τῷ ἄρρενι τῆς
ἡδονῆς. νῦν δὲ συλλαμβάνει καὶ προγεγονυίας αὐτῆς τῷ ἄρρενι· οὐκ ἄρα
μῖγμα ἡ γονή. τούτων οὕτω προρρηθέντων τὴν λέξιν μετιτέον. σημεῖον
δέ, φησίν, ὅτι τὸ θῆλυ οὐ προΐεται σπέρμα οὐδὲ ὅλως μῖγμά ἐστι τὸ σπέρμα 45
35 καὶ ἡ γονὴ δυοῖν ὑγροτήτοιν τῆς τε ἀπὸ τοῦ ἄρρενος καὶ τοῦ θήλεος, ὅτι
πολλάκις τὸ θῆλυ συλλαμβάνει οὐ γεγονυίας αὐτῷ τῆς ἐν τῇ ὁμιλίᾳ ἡδονῆς

---

1 τῆς] τοῦ IL 2 τοιωδί K: τοιαδί a 6 τοῦ σώματος L 7 αὐτὸ L
10 αὐτὴ καθ' αὑτὴν δύναται coll. Ka 12 ἀμφότερα IL 14 post δὲ add. καὶ Ka 19 ὅτε μὲν libri 20 πάσχει ταύτην coll. Ka post μήπω add. τὸ θῆλυ IL, τοῦ θήλεος a 20. 21 παθὸν IL 21 βουλόμενον IL
ὁτὲ] ποτὲ K 22 δ' addidi 23 ταύτην πάσχει coll. K 24 ἐπειδὴ οὖν I προσγίνεται L αὕτη ἡ ἡδονὴ L 25 συλλήψηται a
27 δὲ om. K 27. 28 ἡδονὴ γίνεται coll. Ka 31 συλλήψηται Ia
35 ὑγροτήταιν I

καὶ δηλονότι οὐδὲ ἀφέσεως ὑγρότητος σπερματικῆς, ἐπειδὴ τῇ προέσει τῆς τοιαύτης ὑγρότητος ἕπεται ἡ τοι|αύτη ἡδονή. ὥστε ἐπειδὴ συλλαμβάνει 26r καὶ μὴ προπέμψαν σπέρμα καὶ ὑγρότητά τινα, οὐκ ἂν εἴη τὸ σπέρμα μῖγμα δυοῖν ὑγροτήτοιν, ἀλλ' ἢ μόνη ἡ τοῦ ἄρρενος. συλλαμβάνει γάρ, ὡς εἴρηται, τὸ θῆλυ καὶ μὴ γινομένης ἐν αὐτῷ τῆς ἡδονῆς καὶ γινομένης πάλιν οὐ συλλαμβάνει· γίνεται γὰρ ἡ τοιαύτη ἐν τῷ θήλει ἡδονή, καὶ ὅμως οὐ συλλαμβάνει. ὁμοίως δὲ καὶ ἰσοδρομησάντων τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος περὶ τὴν ἡδονὴν οὐ γίνεται σύλληψις, ἂν μὴ τῶν καταμηνίων ἡ ἰκμάς, τουτέστι τὰ καταμήνια, σύμμετρος ὑπάρχῃ. καὶ διὰ τὸ γίνεσθαι τὴν σύλληψιν ἐν συμμετρίᾳ τῶν καταμηνίων οὔτε ὅλως γεννᾷ τὸ θῆλυ μὴ γινομένων τῶν καταμηνίων, οὔτε γινομένων ὅταν ἐξικμάζῃ, τουτέστιν ὅταν ἀσυμμέτρων καὶ πολλῶν ὄντων συνεξάγηται αὐτοῖς ἡ γονή· ἐξερχόμενα γὰρ τὰ καταμήνια συνεξάγουσι καὶ τὴν ἀπὸ τοῦ ἄρρενος ἐν τῷ θήλει γενομένην γονὴν καὶ εἰσελθοῦσαν. γινομένων οὖν τῶν καταμηνίων οὐ γεννᾷ ἤτοι συλλαμβάνεται τὸ θῆλυ, ἀλλὰ μετὰ τὴν κάθαρσιν. ἢ τὸ ἐξικμάζει ἀντὶ τοῦ εἰς ἀτμὸν ἀναλύει· πολλὰ γὰρ ὄντα τὰ καταμήνια καὶ διὰ τοῦτο θερμὰ ἐξικμάζουσι τὸ σπέρμα καὶ ξηραίνουσι καὶ ἄγονον ποιοῦσιν. εἰπὼν δὲ ὅτι οὔτε γινομένων συλλαμβάνεται τὸ θῆλυ, οὔτε μὴ γινομένων τὴν τούτου αἰτίαν ἐπήγαγεν εἰπὼν ὅταν μὲν γὰρ οὐ γίνηται τὰ καταμήνια, οὐκ ἔχει τροφὴν οὐδὲ ὕλην, ἐξ ἧς δύναται συστῆναι τὸ ζῷον ὑπὸ τῆς ἀπὸ τοῦ ἄρρενος γονῆς· ὥσπερ γὰρ ὁ ἀνδριαντοποιὸς χωρὶς χαλκοῦ ἢ ὅλως ὕλης ἀδυνατεῖ ἀνδριάντα ποιῆσαι, οὕτως καὶ ἡ γονὴ χωρὶς τῶν καταμηνίων συστῆσαι ζῷον. οὔτε δὴ μὴ γινομένων τῶν καταμηνίων συνίσταται ζῷον, οὔτε αὖ πάλιν γινομένων διὰ τὸ συνεκκλύζεσθαι καὶ συνεξέρχεσθαι τοῖς καταμηνίοις τὸ σπέρμα· ἀλλ' ἐπειδὰν ἀπέλθῃ τὸ πλῆθος καὶ ἡ ἀμετρία τούτων, καταλειφθῶσι δέ τινα σύμμετρα καὶ δυνάμενα συνίστασθαι ὑπὸ τῆς γονῆς, τότε γεννᾷ τὸ θῆλυ.

p. 727b18 Ὅσαι δὲ μὴ γινομένων τῶν καταμηνίων συλλαμβάνουσιν ἢ μεταξὺ γινομένων.

Εἰπὼν ὅτι οὔτε γινομένων τῶν καταμηνίων οὔτε μὴ γινομένων γίνεται σύλληψις, ἀλλὰ μετὰ τὴν κάθαρσιν τοῦ περιττοῦ καὶ ἀσυμμέτρου καὶ παράληψιν τοῦ συμμέτρου, ἐπειδὴ συλλαμβάνουσί τινες καὶ μηδ' ὅλως παθοῦσαι τὴν τῶν καταμηνίων ῥύσιν (πολλαὶ γὰρ μεχρὶ τῶν ἑκατὸν ζήσασαι χρόνων

---

2 ἐπεὶ K 4 μῖγμα om. IL 5 μὴ γενομένης K 7. 8 θήλεος καὶ τοῦ ἄρρενος coll. K 9 συμμέτρως a ὑπάρχῃ scripsi: ὑπάρχει libri 12 συνεξάγηται—γονή] συνεξάγωσιν ἑαυτοῖς τὴν γονήν IL 12. 13 ἐξερχομένων γὰρ τῶν καταμηνίων συνεξάγουσι IL 13. 14 γενομένην—εἰσελθοῦσαν] εἰσελθοῦσαν γονὴν Ka 16 ἀτμὴν La ἀναλύσει ILa πολλὰ—θερμὰ (17)] πολλῶν γὰρ ὄντων τῶν καταμηνίων καὶ διὰ τοῦτο θερμῶν IL 18 τὴν] αὐτὴν IL: fort. αὖ τὴν 19 γίνεται Ka 22 ἀνδριαντοποιῆσαι Ka 24 αὖ] οὖν a συνεκκλύεσθαι IL 25 ἀπέλθοι a 26 καταληφθῶσι K 28 δὲ om. IL 31. 32 περίληψιν Ka 32 τοῦ om. ILa

οὐκ εἶδον ὅλως τίνα ποτέ εἰσι τὰ καταμήνια ἢ ὅλως τὴν τοιαύτην αἱματι- 26r
κὴν ῥύσιν πεπόνθασιν, ἀλλὰ διετέλεσαν ἐπίσης τοῖς ἀνδράσιν ἄνευ τῆς 30
τῶν καταμηνίων προέσεως, καὶ ὅμως συνελάβοντο καὶ ἀπέτεκον) ἐπεὶ οὖν
συλλαμβάνονταί τινες καὶ μὴ γινομένων ἐν αὐταῖς ὅλως θύραζε τῶν κατα- 35
5 μηνίων. καὶ αὖ πάλιν ἄλλαι τινὲς μεταξὺ τῆς προέσεως, αὐτὸς δὲ εἶπε μὴ γίνε-
σθαι σύλληψιν οὔτε γινομένων καὶ προϊεμένων οὔτε μὴ γινομένων, τὴν αἰτίαν 40
τούτου διὰ τούτων ἐπήγαγε λέγων ὅσαι δὲ μὴ γινομένων πώποτε ἐν αὐταῖς
καταμηνίων συλλαμβάνουσιν, ἢ μεταξὺ ὅτε προΐενται, ὕστερον δὲ μή,
αἴτιον τούτου ὅτι ταῖς μηδ' ὅλως πασχούσαις πρόεσιν καταμηνίων τοσαύτη
10 γίνεται ἱκμάς, ἤτοι τοσαῦτα γίνεται καταμήνια, ὅσα μετὰ τὴν κάθαρσιν
ὑπολείπεται ταῖς γονίμοις, ὥστε συλλαμβάνουσι μὲν διὰ τὸ ὅλως
γίνεσθαι ἐν αὐταῖς καταμήνια, οὐκ ἐξέρχονται δὲ ἔξω διὰ τὸ ὀλίγα εἶναι 45
καὶ τοσαῦτα ὅσα μετὰ τὴν κάθαρσιν ὑπολείπεται ταῖς γονίμοις. αὗται
μὲν οὖν διὰ ταῦτα συλλαμβάνονται, ταῖς δ' ἄλλαις συμβαίνει συλλαμβάνειν
15 μεταξὺ διὰ τὸ συμμύειν μετὰ τὴν κάθαρσιν τὸ στόμα τῶν ὑστερῶν, ἀλλ'
οὐ μεταξύ, ὅτε τυγχάνουσιν οὖσαι ἀνεῳγμέναι | διὰ τὴν τῶν καταμηνίων 26v
ἔξοδον. εἰπὼν δὲ τὰ καταμήνια ὑλικὸν αἴτιον, τὸ δὲ σπέρμα, μᾶλλον δὲ
τὴν ἐν τῷ σπέρματι δύναμιν ποιητικόν, ἐπειδὴ ἔν τισι τῶν γυναικῶν καὶ
μετὰ τὴν σύλληψιν γίνεται καταμήνια, εἶπε δ' ἄν τις ὡς εἴπερ ὡς ἐξ ὕλης
20 τῶν καταμηνίων γίνεται τὸ ζῷον, πῶς μετὰ τὴν σύλληψιν γίνεται καταμήνια;
λέγει οὐδὲν δὲ ἄτοπον καὶ συνειληφυίαις ἔτι φοιτᾶν ἐξ αὐτῶν κατα- 5
μήνια ὀλίγα καὶ οὐ διὰ παντὸς τοῦ καιροῦ τῆς κυήσεως· οὐ γὰρ εἰ ἐννέα μῆνας
φέρει τὸ ἔμβρυον ἡ γυνή, καὶ ἐννάκις ἐξ αὐτῆς φοιτᾷ, ἀλλ' ἅπαξ ἢ δίς·
οὐδὲν οὖν ἄτοπον τοῦτο συμβαίνειν αὐταῖς διά τινα νόσον.

25 p. 727b33 Ὃ δ' οἴονταί τινες σπέρμα συμβάλλεσθαι ἐν τῇ συνουσίᾳ
τὸ θῆλυ διὰ τὸ γίνεσθαι παραπλησίαν αὐταῖς τὴν χαρὰν ἐνίοτε.

Ἤδη εἴρηται ἡμῖν ὅτι οἱ λέγοντες καὶ ἐκ τοῦ θήλεος ἀπέρχεσθαι
σπέρμα κατεσκεύαζον τοῦτο οὕτως· ἐπεὶ ἡ χαρὰ καὶ πάνυ πολλὴ ἡδονὴ 10
ἐν τῇ τοῦ σπέρματος προέσει γίνεται, πάσχει δὲ ταύτην τὴν χαρὰν καὶ τὸ
30 θῆλυ, δῆλον ὅτι προΐεται σπέρμα. ἄλλως τε, φασίν, ἐπεὶ καὶ ὑγρασίαν 15
τινὰ ἐν τῇ ὁμιλίᾳ ἀποκρίνει τὸ θῆλυ, τί ἂν ἄλλο εἴη ἡ ὑγρότης αὕτη, εἰ
μὴ σπέρμα; πρὸς ταῦτα ἀπαντῶν ὁ Ἀριστοτέλης, καὶ πρῶτον πρὸς τὸ 20
δεύτερον, λέγει μὴ εἶναι σπέρμα τὴν τοιαύτην ὑγρασίαν, ἀλλ' ἰδιότητά τινα
τοῦ τόπου, λέγων τόπον τὴν ὑστέραν· ἴδιον γὰρ τοῦτο τῆς ὑστέρας ἀπο-

1 τινὰ libri ποτὲ τινὰ coll. IL 2 διετέλεσεν I 4 συνελάβοντό τινες Ka
ὅλως ἐν αὐταῖς coll. Ka 6 καὶ προϊεμένων] καταπροϊεμένων I: κατὰ προϊεμένων L
12 ἐν αὐταῖς γίνεσθαι coll. K 15 τὸ στόμα τῶν ὑστερῶν μετὰ τὴν κάθαρσιν coll. K
15. 16 ἀλλ' οὐ scripsi: ἀλλὰ libri 17. 18 μᾶλλον καὶ τὴν IK 18 ἐπεὶ K
19 εἶπεν ἄν IL 20 ante καταμήνια add. τισὶ Ka 21 λέγομεν a καὶ om. IL
22 τοῦ om. IKa ποιήσεως K 26 παραπλησίαν τε χαρὰν ἐνίοτε αὐταῖς Arist.
28 τοῦτο] αὐτὸ Ka ἡ om. K post πολλὴ add. ἡ IL 30 καὶ et 31
ἐν τῇ ὁμιλίᾳ om. K 31 ἡ om. a ἡγρότης I

κρίνειν τοιαύτην ὑγρότητα, ἥτις ἐστὶν ἄχρηστος. ὥσπερ καὶ τῶν ὀφθαλμῶν 26v
τὸ πέμπειν δάκρυον. ἄλλως τε, φησίν, οὐδὲ πάσαις ταῖς γυναιξὶ γίνεται
τοῦτο, ἀλλὰ μόναις ταῖς λευκοχροίοις καὶ θηλυκαῖς, τουτέστι ψυχροτέραις. 30
διὰ γὰρ ἔνδειαν θερμοῦ ἡ λευκότης, ὥστε ἐπειδὴ ψυχρότεραι αἱ λευκαὶ
5 τῶν μὴ λευκῶν, εἰκότως ἐν αὐταῖς μόναις γίνεται τὸ τοιοῦτον περίττωμα 35
καὶ ἡ τοιαύτη ὑγρασία· πᾶσα γὰρ περίττωσις δι' ἔνδειαν θερμοῦ γίνεται.
ἀρρενωποὺς δὲ λέγει τὰς θερμοτέρας· διὰ τοῦτο γὰρ μέλαιναι, διότι καὶ 40
θερμαί. οὕτως οὖν ἐνστὰς πρὸς τὸ δεύτερον καὶ πρὸς τὸ πρῶτον ἀπαντᾷ
φάσκων οὕτω, μὴ μόνον γίνεσθαι τὴν ἡδονὴν διὰ τῆς τοῦ σπέρματος προέ-
10 σεως, ἀλλὰ καὶ διὰ τὸ συναθροιζόμενον πνεῦμα, ὅπερ πνεῦμα συνίσταται 45
εἰς σπέρμα, ὥσπερ καὶ ὁ ἀὴρ εἰς ὕδωρ. ἐπειδὴ οὖν, ὡς λέγομεν, ἡ τοι-
αύτη γίνεται ἡδονὴ ἐν τῷ ἄρρενι καὶ χωρὶς τῆς τοῦ | σπέρματος προέ- 27r
σεως διὰ πνεῦμα, γενήσεται καὶ ἐν τῷ θήλει διὰ πνεύματος ἄθροισιν
καὶ οὐ διὰ σπέρματος πρόεσιν. ἀλλὰ καὶ τοῖς παισὶ τοῖς μήπω προϊέ-
15 μένοις σπέρμα γίνεται ἡ τοιαύτη ἡδονή, ἡνίκα διὰ τῶν χειρῶν ξύουσι τὸ
σφῶν αἰδοῖον. ἀλλὰ καὶ τῶν διεφθαρμένων περὶ τὴν γένεσιν ἀναλύονται,
τουτέστι φθείρονται αἱ κοιλίαι διὰ τὸ ἀποκρίνεσθαι περίττωμα εἰς τὴν
κοιλίαν μὴ δυνηθὲν εἰς σπέρμα μεταβαλεῖν, καὶ ὅμως γίνεται καὶ τούτοις, 5
λέγω δὴ τοῖς περὶ τὴν γένεσιν διεφθαρμένοις καὶ μὴ προϊεμένοις σπέρμα,
20 ἡ τοιαύτη ἡδονή. ἀλλὰ καὶ ἐπειδὴ ἡ γυνὴ ἔοικε παιδὶ διά τε τὴν φωνὴν
(ὀξύφωνοι γὰρ ἀμφότεροι), διά τε τὸ ἀτρίχωτον ἔχειν τὴν γένυν διά τε
ἄλλα πολλά, συλλογιστέον τῇδέ πῃ· ἡ γυνὴ ἔοικε παιδίῳ, οὐδὲν δὲ παιδίον
προΐεται σπέρμα, οὐδεμία ἄρα γυνὴ προΐεται σπέρμα. λέγει δὲ καὶ ὅτι αἱ
μὲν αἱμορροΐδες γίνονται διὰ νόσον, ἡ δὲ τῶν καταμηνίων ῥύσις φύσει.

25 p. 728a27 Ὥσπερ ἐν τῇ περὶ τοὺς καρποὺς γενέσει, ὅταν ᾖ μήπω διηττημένη, ἔνεστι μὲν ἡ τροφή.

Καρποὺς νῦν λέγει τὰ ἄλευρα, γένεσιν δὲ τὴν ζύμωσιν, ἐξ ἧς ἡ ζύμη, 10
μήπω δὲ διηττημένην τὴν μήπω κεκοσκινισμένην. ἐκ τοῦ διαττῶ τὸ κοσκι-
νίζω. εἴη δ' ἂν τὸ λεγόμενον τοιοῦτον· ὥσπερ γὰρ ἐν τοῖς ἀλεύροις τοῖς 15
30 μὴ κεκοσκινισμένοις, ἀλλ' οὖσιν ἀναμεμιγμένοις μετὰ τῶν πιτύρων ἔνεστι
μὲν ἡ τροφή (λέγων τροφὴν αὐτὰ τὰ καθαρὰ ἄλευρα τὰ ἀπὸ τῶν πιτύρων
διὰ τοῦ κοσκίνου ἀποκριθέντα καὶ διὰ ζυμώσεως καὶ ἰπνοῦ ἄρτος γεγενη-

---

3 τοῦτο] αὕτη ἡ ὑγρασία Ka λευκοχροίαις libri ὑγρότεροις IL 7 post γὰρ add. καὶ Ka 8 ἀπαντᾷ post δεύτερον ponunt Ka 9 οὕτω om. Ka 10 ὅπερ] ὃ IL 11 εἰς σπέρμα om. K ὥσπερ] ὡς IL ὡς om. IL ἐλέγομεν IK 11. 12 γίνεται ἡ τοιαύτη coll. Ka 16 σφῶν om. a τῶν om Ia 17 φθείρονται K²: φέρονται IK¹La 18 δυνηθὲν ex δυνηθεὶς corr. L καὶ τούτοις] ἐκ τούτων IL 21 ὀξύφωνα et ἀμφότερα a γένην a 23 καὶ om. IL 26 διηττημένη Arist. Z: διητημένη IKL Arist. vulg.: διηθημένη coni. Bonitz Ind. Ar. p. 181a23 cf. 195a61 27 post ἧς add. καὶ Ka 28 διηττημένην scripsi: διητημένην IKL: διηττημένα a διαττῶ a: διηθω (sic) IL: διαιτῶ K 30 τῶν om. Ka

μένα) ὥσπερ οὖν ἐν τοῖς ἀναμεμιγμένοις ἀλεύροις ἔνεστιν ἡ σεμίδαλις, 27ʳ δεῖται δὲ ἐργασίας καὶ κοσκινίσεως πρὸς τὸ ἀποκριθῆναι ἀπὸ τῶν πιτύρων, οὕτως ἔχει καὶ τὰ καταμήνια· εἰσὶ γὰρ σπέρμα οὐ καθαρόν, τοῦτο δὲ ταὐ- 20 τόν ἐστι τῷ σεμίδαλις μετὰ πιτύρων, καὶ δεῖται, ὥσπερ ταῦτα τοῦ κοσκινί- 5 σοντος, οὕτω τὰ καταμήνια τοῦ ἐργασομένου καὶ συστήσοντος αὐτὰ σπέρματος. καὶ ὥσπερ δὲ εἴ τις μὴ κεκοσκινισμένων ἀλεύρων ἕνα πίνακα ἐμμίξει δέκα πίναξι καθαρᾶς σεμιδάλεως, δύναται τὸ μῖγμα τῶν ἕνδεκα πινάκων τρέφειν, οὕτω καὶ ἡ γονὴ γεννᾷ μιγνυμένη τοῖς καταμηνίοις.

p. 728ᵃ31 Σημεῖον δὲ τοῦ τὸ θῆλυ μὴ προΐεσθαι σπέρμα καὶ τὸ
10 γίνεσθαι ἐν τῇ ὁμιλίᾳ τὴν ἡδονήν.

Εἴρηται καὶ πρότερον ὅτι ἡ ἀπὸ τῶν λευκοχροίων γυναικῶν γινομένη 25 ὑγρασία οὐκ ἐξέρχεται θύραζε διὰ τοῦ αἰδοίου αὐτῶν, ὥσπερ τὸ ἀφ' ἡμῶν ἀπιὸν σπέρμα, ἀλλ' ἐξ ἁπάσης τῆς ὑστέρας ἐκκρίνεται, εἴς τι δὲ μέρος 30 αὐτῆς συναθροίζεται. τούτου ὑπομνησθέντος εἴη ἂν τὸ λεγόμενον δυνάμει 15 τοιοῦτον· εἰ σπέρμα ἦν ἡ τοιαύτη ὑγρασία ἡ ἀπὸ τῶν λευκοχροίων γυναι- 35 κῶν ἀποκρινομένη ἐν τῷ καιρῷ τῆς ὁμιλίας, ἔδει, ὥσπερ γίνεται ἐπὶ τῶν ἀρρένων, οὕτω γίνεσθαι καὶ ἐπὶ τῶν θηλειῶν· οὐ γίνεται δέ, οὐκ ἄρα ἐστὶ σπέρμα. πῶς δὲ οὐ γίνεται, ῥητέον. οἱ ἄρρενες καὶ τὴν ἁφὴν καὶ τὴν 40 ἡδονὴν καὶ τὴν σπερματικὴν πρόεσιν διὰ τοῦ αὐτοῦ καὶ ἑνὸς μορίου, λέγω 20 δὴ τοῦ αἰδοίου, πάσχουσι. καὶ γὰρ καὶ διὰ τοῦ αἰδοίου σφῶν ἐν τῇ ὁμιλίᾳ 45 καὶ τὴν παράτριψιν καὶ τὴν ἁφὴν ἐν τῷ τῶν γυναικῶν αἰδοίῳ ποιοῦνται, καὶ τὴν ἡδονὴν ἐν τούτῳ πάσχουσι καὶ τὴν σπερματικὴν ὑγρασίαν ὁμοίως διὰ τού|του προΐενται. τὸ δὲ θῆλυ τὴν μὲν ἁφὴν καὶ τὴν ἡδονὴν διὰ τοῦ 27ᵛ αἰδοίου πάσχει, τὴν δὲ ἰκμάδα οὐ προΐεται διὰ τοῦ αἰδοίου, οὐδὲ ὅλως 25 ἔξεισι διὰ τούτου θύραζε, ἀλλ' ἐν μέρει τινὶ τῆς ὑστέρας συναθροίζεται. 5 ἐπεὶ οὖν πᾶσα γονὴ καὶ πᾶν σπέρμα διὰ τοῦ αἰδοίου ἐν τῇ ὁμιλίᾳ πρόεισι θύραζε, ἡ δὲ τοιαύτη ὑγρασία οὐκ ἔξεισι θύραζε, ἀλλὰ μᾶλλον ἐντὸς συνα- 10 θροίζεται ἐν τῇ ὑστέρᾳ, οὐκ ἂν εἴη ἡ τοιαύτη ὑγρασία γονή. ἢ τὸ λεγόμενον μᾶλλόν ἐστιν· ἐπεὶ δύο ὀπαί εἰσιν ἐν τῷ τῆς γυναικὸς αἰδοίῳ, μία 15 30 μὲν ἀφ' ἧς ἔξεισι τὸ οὖρον, ἄλλη δὲ ἀφ' ἧς τὸ καταμήνιον, ὁμοίως δὲ καὶ ἡ ὑγρασία, εἴπερ ἦν ἡ ὑγρασία σπέρμα, ἐκ τῆς ὀπῆς ἀφ' ἧς τὸ οὖρον ἔξεισιν, ἐξήρχετ' ἄν, ἀλλ' οὐκ ἀπὸ τῆς ὀπῆς ἀφ' ἧς τὸ καταμήνιον. ἔτι 20 εἴπερ ἐκ τοῦ θήλεος ἐξήρχετο ὑγρασία τις, ὥσπερ καὶ ἀπὸ τοῦ ἄρρενος, καὶ ὄντως μῖγμα ἦν τὸ σπέρμα δυοῖν ὑγροτήτοιν, ἔδει ταύτην τὴν ὑγρασίαν 25 35 ἀπιέναι καὶ ἀπὸ τῶν ἀναίμων θηλειῶν· νῦν δὲ ἀπὸ μόνων ἄπεισι τῶν

1 οὖν] γὰρ IL 4. 5 κοσκινίσαντος a 5 συστήσαντος a 6 κεκοσκινισμένα ἄλευρα Ka 7 καθαροῦ IL 8 γονὴ] γῦνὴ IL γεννᾶν Ka 13 δὲ om. Ka 14 αὐτῆς scripsi: ἑαυτῆς libri 17 θηλέων Ka 18 ἄρρενες κατὰ τὴν L τὴν ante ἡδονὴν om. a 20 καὶ post γὰρ om. K 21 καὶ prius om. Ka ποιεῖται a 27 ἡ δὲ τοιαύτη—θύραζε om. IL in lac. 32 ἐξήρχετο K ἐξήρχεται a 33 ἐκ τοῦ—ἐξήρχετο om. IL ἐξήρχετο scripsi: ἐξήρχεται Ka 35 θηλέων Ka νῦν δὲ—θηλειῶν (p. 55,2) om. IL in lac.

ἐναίμων (ταῦτα γὰρ εἶπεν αἱματικά) καὶ οὐδ' ἀπὸ πάντων τῶν ἐναίμων 27v
ἄπεισι θηλειῶν ἀλλ' ὅσων αἱ ὑστέραι πρὸς τοῖς ἄρθροις εἰσὶ καὶ μὴ ἐν
τῷ ὑποζώματι. εἰπὼν δὲ τοῖς μὴ ἔχουσιν αἷμα μὴ γίνεσθαι κάθαρσιν
καταμηνίων, μήτε μήν τισι τῶν ἐναίμων (ἔκ τινων γάρ, ὡς εἴπομεν,
5 γυναικῶν οὐδ' ὅλως φοιτᾷ καταμήνια) λέγει ὅτι αἰτία δὲ τούτοις τοῦ μὴ
φοιτᾶν ἐξ αὐτῶν καταμήνια ἡ τῶν σωμάτων ξηρότης. λέγει δὲ καὶ τίνα
εἰσὶ τὰ ζωοτοκοῦντα ἄνευ ὠοτοκίας, ὅτι οἱ ἄνθρωποι καὶ τῶν τετραπόδων
ὅσα κάμπτει τὰ ὄπισθεν σκέλη ἐντός, ἤτοι πρὸς τὴν κυρτὴν περιφέρειαν·
τίς δὲ ἡ κυρτὴ περιφέρεια, εἴρηταί μοι ἀκριβῶς ἐν τῷ εἰς τὸ Περὶ ζῴων
10 πορείας ὑπομνήματι. τούτοις οὖν, φησί, πᾶσι τοῖς ζωοτοκοῦσιν ἄνευ ὠοτο-
κίας γίνεται καταμήνια, καὶ ἔξω οὐ προΐενται πλὴν τῶν πλείστων γυναι- 28r
κῶν. οὐ προΐενται δὲ ἔξω διὰ τὴν ὀλιγότητα· τοσαῦτα γὰρ γίνεται τοῖς
εἰρημένοις τετράποσι καί τισι τῶν γυναικῶν, ὅσα ἱκανὰ πρὸς τὴν γένεσιν.
πολλὰ δὲ λέγει ταῖς γυναιξὶ πρὸς τὴν τοῦ σώματος ἀναλογίαν καὶ τὸ μέγεθος
15 βραχὺ ὂν γίνεσθαι τὰ καταμήνια, καὶ τοῖς ἄρρεσι τὸ σπέρμα. καὶ λέγει
τὴν αἰτίαν, δι' ἣν ἡμεῖς τὴν σπερματικὴν περίττωσιν πλείστην καὶ αἱ
γυναῖκες τὴν τῶν καταμηνίων προΐεμεν, τὰ δὲ τετράποδα ὀλίγην· φησὶν
οὖν ὅτι ἐπὶ τῶν τετραπόδων οὐ γίνεται πλείστη διὰ τὸ τρέπεσθαι ταύτην
τὴν περίττωσιν εἰς τροφὴν καὶ αὔξησιν κεράτων, ὁπλῶν, χαυλιοδόντων καὶ
20 τριχῶν, οἱ δ' ἄνθρωποι μηδέν τι τούτων ἔχοντες εὐλόγως πολλὴν ποιοῦνται
ταύτην τὴν ἀπόκρισιν. εἰπὼν δὲ ὅτι ἐν τοῖς καταμηνίοις ἔνεστι τὸ σπέρμα
ὥσπερ καὶ ἐν τοῖς καρποῖς τοῖς μήπω διηττημένοις ἡ τροφή, ἀλλὰ δεῖται
ἐργασίας, καὶ μεταξὺ τὰ προσεχῶς ῥηθέντα ἐπεμβαλὼν πάλιν ἀνέδραμεν
ἐπ' ἐκεῖνο λέγων σημεῖον δὲ ὅτι ἔνεστιν ἐν τοῖς καταμηνίοις τὸ
25 σπέρμα· καὶ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ τῆς ἡλικίας τοῖς τε ἄρρεσι γίνεται
ἡ γονὴ καὶ ταῖς γυναιξὶ τὸ καταμήνιον, καὶ ἅμα διισταμένων καὶ ἐπίδοσιν
λαμβανόντων καὶ ἐν τούτοις καὶ ἐν ἐκείναις τῶν τόπων τῶν δεχομένων τὰ
καταμήνια καὶ τὴν γονήν. μελλόντων δὲ διίστασθαι τῶν τόπων ἀνοιδοῦσιν
αὐτοὶ οἱ τόποι ὑπὸ τοῦ γεννωμένου ἐν αὐτοῖς πνεύματος, καὶ τοῖς μὲν
30 ἄρρεσιν ἀνοιδοῦσι τότε καὶ μείζους γίνονται οἱ ὄρχεις, τοῖς δὲ θήλεσι τὰ
αἰδοῖα· ὁμοίως δὲ καὶ οἱ μαστοί, ἀλλὰ τῶν μὲν ἀνδρῶν οἱ μαστοὶ ὀλίγον,
τῶν δὲ θηλειῶν μᾶλλον. καὶ περὶ μὲν τούτων οὕτως. ἐν δὲ τοῖς φυτοῖς,
ἐν οἷς μὴ κεχώρισται τὸ ἄρρεν τοῦ θήλεος, ἐν τούτοις τὸ σπέρμα οἷον
κύημά ἐστι. καὶ τί ἐστι τὸ κύημα λέγει, ὅτι τὸ πρῶτον μῖγμα ἐκ
35 θήλεος καὶ ἄρρενος. εἶπε δὲ αὐτὸ πρῶτον μῖγμα, ὅτι καὶ μετὰ τὴν
τούτων μῖξιν εἰσέρχονταί τινες αἱματικαὶ ὑγρότητες ἐν τῷ κυήματι καὶ
ἐμμίγνυνται αὐτῷ, μέχρις ἂν ζῷον γένηται. ἀλλὰ πᾶσαι αὗται ὡς τροφὴ

---

5 αἴτιον Ka 7 ἐστὶ a 7. 8 ὅσα τῶν τετραπόδων coll. Ka 8 τὰ σκέλη τὰ ὀπίσθια Ka 9. 10 περὶ ζῴων μορίων Ka 11 προΐεται IL 13 πρὸς] μόνα εἰσὶν εἰς K: εἰσὶ μόνον εἰς a 14 λέγεται IL 15 post ἄρρεσι add. καὶ K 16 post ἡμεῖς add. καὶ IL, τε a 18 ὅτι om. IKL 21 τὴν ἀπόκρισιν ταύτην coll. K 22 διητημένοις IL: διηρτισμένοις K 27 καὶ ἐκείναις a ἐκείνοις IL 29 οἱ τόποι αὐτοὶ coll. K 31 ὁμοίως δὲ om. IL μασθοὶ utrobique I; ante ὀλίγον etiam La μὲν om. K 35 διότι Ka

εἰσέρχονται τοῦ πρώτου μιχθέντος, λέγω δὴ τοῦ κυήματος· ἔχει γὰρ τοῦτο 28r
τὴν θρεπτικὴν ψυχήν, ὡς δείξει ἐν τῷ ἐφεξῆς βιβλίῳ. ἔστιν οὖν, φησί,
τὸ κύημα ἀτελὲς ζῷον, ζῷον μὲν ᾗ ἔνεισιν ἐν αὐτῷ τὰ ἐξ ὅσων ἤδη τὸ
ζῷον γενήσεται, ἀτελὲς δέ, ὅτι οὔπω ἐζώωται. καὶ διὰ τὸ εἶναι τὸ κύημα 40
ἤδη ζῷον, τὸ δὲ ἓν ζῷον πολλὰ ζῷα γενέσθαι οὐ δύναται, ἓν σῶμα ἐξ ἑνὸς
γίνεται σπέρματος, οἷον ἐξ ἑνὸς πυροῦ [καὶ ἑνὸς σπέρματος] εἷς πυθμήν,
λέγων ἕνα πυθμένα τὴν μείζονα ῥίζαν, ἥτις πρώτη γίνεται, ἐξ αὐτοῦ δὲ
ὥσπερ ἀπό τινος πηγῆς ἄλλαι μικραὶ ῥίζαι. καὶ ἀναλογεῖ ὁ μὲν πυθμὴν
καὶ ἡ πρώτη ῥίζα κεφαλῇ, αἱ δ' ἀπ' αὐτοῦ φύουσαι θριξίν. ὀφείλων δὲ
εἰπεῖν ὅτι ἐξ ἑνὸς κυήματος (ὁ γὰρ πυρὸς κυήματι ἔοικεν) ἓν γίνεται σῶμα,
οἷον ἐξ ἑνὸς πυροῦ εἷς πυθμήν, εἶπεν ὅτι ἐξ ἑνὸς σπέρματος ἓν γίνεται 45
σῶμα ἀκολουθήσας τῇ συνηθείᾳ· σύνηθες γὰρ τοῖς πολλοῖς καὶ σχεδὸν
πᾶσι τὸν ἐν τῇ αὔλακι ῥιπτόμενον σῖτον σπέρμα λέγειν, ἀλλ' οὐ κύημα.
γίνεται οὖν ἐκ τοῦ ἑνὸς σπέρματος καὶ κυήματος εἷς πυθμήν, ὥσπερ καὶ
ἐξ ἑνὸς ᾠοῦ (καὶ γὰρ καὶ τὸ ᾠὸν κύημά ἐστιν) ἓν ζῷον· τὰ γὰρ δίδυμα
τῶν ᾠῶν, τουτέστι τὸ γὰρ ᾠόν, ἀφ' οὗ δύο γίνονται νεοσσοί, δίδυμον καὶ
δύο ᾠά ἐστι. ὅτι δὲ καὶ τὸ ᾠὸν μῖγμά ἐστι θήλεος καὶ ἄρρενος καὶ ὅλως 50
κύημα, δῆλον· οὐ μόνον γὰρ ὑπὸ τῶν ὀρνίθων θερμαινόμενα τὰ ᾠὰ ζῳο-
γονεῖται, ἀλλὰ κἂν εἰς κόπρον ἢ ἄλλο τι θερμότατον κατορύξειέ τις αὐτά.
ὥστε | τὸ μὲν ᾠόν ἐστι κύημα, ἡ δ' ἀπὸ τῆς κόπρου θερμότης ἀναλογεῖ 28v
τῇ τῆς μητρὸς ἐπὶ τῶν ζωοτοκούντων θερμότητι. μετὰ ταῦτα λέγει ὅτι
ἐν ὅσοις δὲ τῶν γενῶν οἷον τοῖς ζῴοις διώρισται τὸ θῆλυ καὶ τὸ ἄρρεν,
ἐν τούτοις ἐνδέχεται ἀφ' ἑνὸς σπέρματος πολλὰ γενέσθαι ζῷα· οὐ γάρ
ἐστι τὸ σπέρμα τούτων κύημα ὥσπερ τὸ τῶν φυτῶν, ἀλλὰ διαφέρει.
σημεῖον δὲ ὅτι τὸ τῶν φυτῶν σπέρμα διαφέρει πρὸς τὸ τῶν ζῴων τὸ
δύνασθαι ἀπὸ μὲν ἑνὸς σπέρματος ζῴου πολλὰ γενέσθαι ζῷα, ὥσπερ καὶ 5
ἀπὸ ἑνὸς ἀνδριαντοποιοῦ πολλοὺς ἀνδριάντας, ἀπὸ ἑνὸς δὲ κυήματος πολλὰ
μὴ δύνασθαι γενέσθαι, διὰ τὸ ἤδη ζῷον εἶναι τὸ κύημα· ὁμοίως δὲ καὶ
τὸ τῶν φυτῶν ἤδη φυτόν. ἐπεὶ δὲ ἀπὸ μιᾶς ὀχείας γίνεται πολλὰ ζῷα,
τεκμήριον καὶ τοῦτο ἄλυτον τοῦ μὴ ἀπὸ παντὸς τοῦ σώματος πάντα ἀπέρ-
χεσθαι· εἰ γὰρ ἀπὸ παντὸς πάντα ἀπήρχετο, συνέβαινεν ἄν, ὁπηνίκα τέκῃ
ἡ ὗς πέντε δελφάκια, πέντε μὲν ἀπέρχεσθαι ἀπὸ τῆς κεφαλῆς κεφαλάς, 10
πέντε δὲ πόδας ἀφ' ἑκάστου τῶν ποδῶν καὶ ἀπὸ τῶν ἄλλων μορίων ὁμοίως.
ἀλλ' ἀδύνατον· οὔτε γὰρ κεχωρισμέναι εὐθὺς ἀπ' ἀλλήλων ἀποκρίνονται αἱ
πέντε κεφαλαὶ καὶ τὰ ἄλλα ὁμοίως (πῶς γὰρ ἂν κεχωρισμέναι εἴησαν
ἀποκριθεῖσαι ἀπὸ ἑνὸς καὶ τοῦ αὐτοῦ μέρους; μᾶλλον μὲν γὰρ ἀναγκαῖον

---

1 δὴ] καὶ IL 2 ἐν τῷ ἐφεξῆς βιβλίῳ] B 3 4 διὰ τὸ] τῷ K 4. 5 ἤδη τὸ κύημα coll. K 5 ἓν prius om. IL 6 καὶ—σπέρματος delevi 7 λέγει K πρώτως IL 7 et 9 αὐτῆς Ka 10 πυρὸς] πυρετὸς K 15 ᾠὸν] ζῶον IL 17 ὅλως] ὅμως K 20 μὲν] γὰρ a 23 ἐνδέχεται ἐν τούτοις coll. IL ἐν τοῖς τοιούτοις K 25 ὅτι τὸ] ὅτι τε a 26 ζῴου σπέρματος coll K γίνεσθαι I post ζῷα add. καὶ a 27 πολλοὶ ἀνδριάντες K ἀπὸ δὲ ἑνὸς coll. K 27 28 πολλὰ—δύνασθαι] γενέσθαι πολλὰ οὐ δύναται IL 32 μὲν om. IL 35 πῶς γὰρ ἐκ κεχωρισμένων εἴησαν IL 36 ἀποκριθεῖσαι post μέρους Ka

ἡνωμένας εἶναι) οὔτε ἅμα καὶ ἁπτόμεναι ἀλλήλων ἢ συνεχεῖς οὖσαι εἰς 28v
τὰς ὑστέρας ἠδύναντο ἀποκρίνεσθαι καὶ χωρίζεσθαι ἀπ' ἀλλήλων δι' ἃς
εἴπομεν πρότερον αἰτίας. εὐλόγως δὲ συμβαίνει καὶ τὸ ἀπὸ μιᾶς ὀχείας 15
πολλὰ γίνεσθαι ζῷα διὰ τὸ τὸ μὲν ἄρρεν παρέχειν τὸ εἶδος καὶ τὸ ποιητικὸν
5 αἴτιον, τὸ δὲ θῆλυ τὴν ὕλην. ὥσπερ γὰρ ἡ αὐτὴ καὶ μία πυετία εἰς διά-
φορα γάλακτα μερισθεῖσα πάντα πήγνυσι καὶ συνίστησιν, οὕτω καὶ τὸ αὐτὸ
καὶ ἓν σπέρμα εἰς διάφορα καὶ πλείονα μερισθὲν καταμήνια συνίστησιν
ἅπαντα συμμέτρως ἔχοντα. δι' ἣν δ' αἰτίαν ἐν ἄλλοις μὲν οἷον κυσὶ καὶ
ὅλως ἐν πᾶσι τοῖς πολυτόκοις μερίζεται εἰς πλείω τὸ σπέρμα, ἐν ἄλλοις
10 δὲ εἰς ἕν, ἐρεῖ ἐν τῇ παρούσῃ πραγματείᾳ. ὅπερ δὲ ἐλέγομεν, διὰ τὸ μὴ 20
διαφέρειν τῷ εἴδει, ἂν μόνον σύμμετρον ᾖ τὸ διαιρούμενον πρὸς τὴν ὕλην,
καὶ μήτε ἔλαττον ὥστε μὴ πέττειν μηδὲ συνιστάνειν, μήτε πλεῖον ὥστε
ξηραίνειν (ξηραίνει γὰρ διὰ τῆς ἐν αὐτῷ θερμότητος οὔσης καὶ διατμίζει
τὰ καταμήνια, εἰ πλέον εἴη), εἰ δὲ μήτε πλέον εἴη μήτε ἔλαττον, γεννᾶται
15 πλείω. καὶ ἀπὸ μὲν τοῦ ἑνὸς καταμηνίου καὶ τοῦ ἑνὸς σπέρματος, εἰ ἔχουσι
πρὸς ἄλληλα ὥσπερ εἴρηται, γεννᾶται πλείω, ἀπὸ δὲ τοῦ συνιστάντος πρῶ-
τον, τουτέστιν ἀπὸ δὲ τοῦ πρῶτον συσταθέντος (λέγων συνεστηκὸς πρῶτον 25
τὸ κύημα) ἀπὸ δὴ τοῦ τοιούτου ἑνὸς ἓν γίνεται μόνον ζῷον· ἤδη γὰρ
ζῷόν ἐστι τὸ κύημα, ἓν δὲ ζῷον πλείω γενέσθαι οὐ δύναται. καὶ συμπε-
20 ραίνεται λέγων δῆλον εἶναι ἐκ τῶν εἰρημένων, τί ποτέ ἐστιν ὃ συμβάλλεται
τὸ θῆλυ εἰς τὴν γονήν. δῆλον οὖν, φησίν, ἐκ τῶν εἰρημένων καὶ ἐκ τοῦ
λόγου καὶ καθόλου, λέγων λόγον καὶ καθόλου τὴν ἀπόδειξιν· αἱ γὰρ ἀπο-
δείξεις ἐκ τῶν καθόλου. καίτοι εἶπε καὶ πρότερον ἀποδείξεις τούτου καὶ
νῦν λέγει καὶ πάλιν ἐρεῖ. καὶ τίς ὁ καθόλου λόγος, ἐπάγει· ἀνάγκη γὰρ 30
25 εἶναι τὸ γεννῶν καὶ ἐξ οὗ, τουτέστι τὸ θῆλυ, καὶ τοῦτο τὸ ἄρρεν καὶ τὸ
θῆλυ, ἂν καὶ ἓν ᾖ τῷ ὑποκειμένῳ ὡς ἐπὶ τοῦ σπέρματος τῶν φυτῶν,
ἀλλὰ τῷ εἴδει διαφέρει καὶ τῷ τὸν λόγον αὐτῶν εἶναι ἕτερον. ἐν μὲν
οὖν τοῖς τοιούτοις τὸ μὲν σῶμα καὶ τὸ ὑποκείμενον ταὐτὸν τοῦ ἄρρενος
καὶ τοῦ θήλεος, ὁ λόγος δὲ ἕτερος, ἐν δὲ τοῖς ζῴοις καὶ τὰ σώματα καὶ
30 αἱ φύσεις ἕτεραι. λέγει δὲ καὶ ὅτι ἡ φύσις τῶν καταμηνίων κατὰ τὴν
πρώτην ἐστὶν ὕλην, λέγων πρώτην ὕλην ἀφ' ἧς καὶ τοῦ σπέρματός ἐστι 35
τὸ κύημα· αἱ γὰρ ἄλλαι ὕλαι τροφή εἰσι τούτου.

---

3 εἴπομεν] εἶπε Ka 5 πιτύα K 5. 6 διάφορον γάλα Ka 6 πάντα] πάνυ Ka 7 διάφορα καὶ om. Ka 9 εἰς πλείω om. IL εἰς πλείω μερίζεται coll. a 10 ἐρεῖ ἐν τῇ παρούσῃ πραγματείᾳ] Δ 4 p. 772 10. 11 μὴ φέρειν IL 12 ὡς μὴ L συνιστάνει a πλείω I 12. 13 ὥστε ξηράναι (sic) IKa 13 τῆς] τε a 15 ἑνὸς ante σπέρματος om. I 16 συνιστάντος] sic etiam Arist. codd., sed exspectas συστάντος 16. 17 συνιστάντος—ἀπὸ δὲ τοῦ om. K 16. 17 πρώτου a 18 ἀπὸ δὴ—κύημα (19) om. K 19 post γενέσθαι add. ζῷα K: idem post πλείω a 20 λέγων] λέγει δὲ IL 23 καὶ πρότερον εἶπεν coll. K 24 λόγος] λέγω a 25 τὸ post καὶ om. IL a 26 καὶ om. IL 27 λόγον αὐτὸν a 28 οὖν om. IL τὸ αὐτὸ Ka 30 λέγων δὲ IL 31 ὑφ' ἧς Ka

p. 729a34 Ἅμα δὲ ἐκ τούτων φανερόν, περὶ ὧν ἐχόμενόν ἐστιν 28v
ἐπισκέψασθαι, πῶς ποτε συμβάλλεται εἰς τὴν γένεσιν τὸ ἄρρεν.

Πρὸ τῆς τῶν λέξεων σαφηνείας ἄξιόν ἐστιν ἡμᾶς ὑπομνησθῆναι ὅτι μόριον καὶ ἐνυπάρχον τῷ γινομένῳ σώματι καὶ ἐνταῦθα καὶ ἐν τῷ τετάρτῳ τῆς Μετὰ τὰ φυσικὰ πραγματείας τὴν ὕλην λέγει, οἷον τοῦ μὲν ἀνδριάντος μόριον καὶ ἐνυπάρχον ὁ χαλκός, τῆς δὲ κλίνης τὸ ξύλον, τοῦ δὲ ζῴου τὸ καταμήνιον. ζῴου δὲ λέγει τοῦ γινομένου καὶ μήπω ὄντος· τοῦ γὰρ ὄντος μόριά εἰσιν σάρκες, ὀστᾶ, νεῦρα καὶ τὰ λοιπά. σῶμα δὲ λέγει τὸ ἐξ ἀμφοῖν, τὸ ἐξ ὕλης καὶ εἴδους, οἷον τόνδε τὸν ἀνδριάντα | καὶ τήνδε τὴν 29r
κλίνην καὶ τόδε τὸ ζῷον. τούτων οὕτως ὑπομνησθέντων, ἐπειδὴ ἔδειξεν ὅτι τὸ μὲν σπέρμα ποιητικόν ἐστι, τὸ δὲ καταμήνιον ὑλικόν, λέγει φανερὸν εἶναι, πῶς ποτε συμβάλλεται εἰς τὴν γένεσιν τὸ ἄρρεν, καὶ τοῦτο θεὶς ἐρωτᾷ, πότερον τὸ σπέρμα μιγνύμενον τῇ ὕλῃ τῇ παρὰ τοῦ θήλεος ἐνυπάρχει καὶ μόριον εὐθὺς γίνεται τοῦ γινομένου, τουτέστιν ὕλη καὶ αὐτὸ γίνεται τοῦ γινομένου, ὥσπερ καὶ τὸ καταμήνιον. καὶ ἐρωτήσας ἀποκρίνεται λύων τὴν ἀπορίαν καί φησιν ἢ τὸ μὲν σῶμα τοῦ σπέρματος ἤτοι ἢ τὸ μὲν σπέρμα οὐδὲν κοινωνεῖ οὐδὲ μέρος γίνεται καὶ ὕλη, ἀλλ' ἢ ἕξεισιν ἢ ἀπατμίζει, ὡς ἐρεῖ ἐν τῷ ἐφεξῆς βιβλίῳ, ἡ δ' ἐν αὐτῷ δύναμις· αὕτη γάρ ἐστιν ἡ κινοῦσα καὶ εἰδοποιοῦσα, τὸ δὲ λοιπὸν τὸ εἰδοποιούμενον καὶ λαμβάνον τὴν μορφὴν ἐστι τὸ τοῦ θήλεος περίττωμα. ἰστέον δέ, ὡς καὶ αὐτὸς ἐρεῖ ἐν τῷ δευτέρῳ βιβλίῳ, ὅτι τὸ σπέρμα εἰσελθὸν ἐν τῇ ὑστέρᾳ καὶ ἀναμιχθὲν μετὰ τοῦ καταμηνίου ἑπτὰ ποιεῖ ἡμέρας, ἕως ἂν ἡ ἐν αὐτῷ ποιητικὴ δύναμις χωρισθεῖσα ἀπ' αὐτοῦ ἐμμιχθείη τῷ καταμηνίῳ, εἶθ' οὕτως μετὰ τὴν ἑβδόμην ἢ ἕξεισιν ἢ διαλύεται εἰς πνεῦμα. ὅτι δὲ διὰ τοῦ αἰδοίου μετὰ τὴν ἑβδόμην ἕξεισι θύραζε, ὦπται ἱκανῶς. ἐπειδὴ γὰρ ποιότης τις καὶ ἕξις ἐστὶν ἡ ἐν τῷ σπέρματι ποιητικὴ δύναμις, οὐδὲν δὲ ποιὸν οὐδὲ ἕξις καθ' αὑτὸ εἶναι δύναται χωρὶς ὑποκειμένου τινός, ἐναποτίθησιν ἡ φύσις τὴν τοιαύτην δύναμιν ἐν τῷ τοῦ σπέρματος σώματι ὥσπερ ἐν ὀχήματι, καὶ διὰ τούτου ὡς δι' ὀργάνου τινὸς καὶ ὀχήματος ἐναφίησι τὴν τοιαύτην δύναμιν εἰς τὸ θῆλυ· ἐν τούτῳ δὲ εἰσελθὸν καὶ ἀπορρυὲν εἰς τὸ καταμήνιον αὐτὸ ἢ ἕξεισι θύραζε ἢ διαλύεται εἰς πνεῦμα. ὥστε τῷ μὲν σπέρματι χρῆται ἡ φύσις ὡς ὀργάνῳ, ἣν δὲ ἐν αὐτῷ ἀποτίθησι δύναμιν ὡς ποιητικῷ. εἰ δὴ πᾶν ὑλικὸν αἴτιον ὑπομένει καὶ μόριον γίνεται τοῦ γινομένου, τὸ δὲ σπέρμα οὐχ' ὑπομένει, δῆλον ὅτι οὐκ ἔστι μόριον τοῦ γινομένου σώματος. καὶ ταῦτα μὲν οὕτως· εἰπὼν δὲ ὅτι καὶ

3 ἡμῶν a 4. 5 ἐν τῷ τετάρτῳ τῆς Μετὰ τὰ φυσικὰ πραγματείας] Δ 25 p. 1023b 19 sqq. 7 λέγω Ka 17 μὲν om. IL οὐδὲ] οὐδὲν IL 18 ἢ] καὶ IL ἐν τῷ ἐφεξῆς βιβλίῳ] B 3 19 αὐτὴ ILa post εἰδοποιοῦσα add. λέγει δυναμὶς (sic) IK 19. 20 εἰδόμενον IL 21 ἐν τῷ δευτέρῳ βιβλίῳ] cf. B 3 p. 737a7 sqq. 24 τὴν om. Ia 28 ἡ φύσις] ὁ θεὸς IL 29 διὰ τοῦτο a 31 ἀπορρυὲν] ἀποκριθὲν K: ἀποθὲν a αὐτὸ] αὐτοῦ a 32. 33 ἐναποτίθησι K 33 ποιητικὴν L 34 σπέρμα – σώματος (35) om. L, sed in marg. add. 35 καὶ post ὅτι om. ILa

ἐκ τῶν γινομένων καὶ ἐκ τοῦ λόγου δῆλον περὶ τῶν εἰρημένων πῶς
ἔχου|σι, καὶ εἰπὼν τὰ ἐκ τοῦ λόγου ἐπήγαγεν οὐ μόνον γὰρ κατὰ τὸν 29ᵛ
λόγον οὕτω φαίνεται, ἀλλὰ καὶ ἀπὸ τῶν γινομένων ἔργων. καθόλου γὰρ
ἐπισκοποῦσιν οὐδέν τι φαίνεται ἐκ τῆς ὕλης (ταύτην γὰρ εἶπε παθητικήν)
5 καὶ τοῦ ποιοῦντος, ἤτοι τοῦ ὀργάνου, ὡς σώματος καὶ ὄγκου ἐμμιγνυμένου
τῇ ὕλῃ, οὐδὲν οὖν φαίνεταί τι οὕτω γινόμενον· οὐ γὰρ μίγνυται ὁ πρίων
τῷ ξύλῳ καὶ ἀποτελεῖ τὴν κλίνην, οὔτε μὴν ἡ χεὶρ τοῦ ἀνδριαντοποιοῦ 5
τῷ χαλκῷ καὶ γεννᾶται ὁ ἀνδριάς, ἀλλ' ὁ χαλκὸς μετὰ τῆς ἀπὸ τῆς χειρὸς
ἐν αὐτῷ διδομένης ἐνεργείας καὶ τοιασδὶ κινήσεως, ἥτις τοιαδὶ κίνησις καὶ
10 ἐνέργειά ἐστι τὸ τοῦ ἀνδριάντος εἶδος. οὕτως οὖν οὐδὲ τὸ σπέρμα (ὄργανον
γάρ) μετὰ τοῦ καταμηνίου ἐμμίγνυται, ἀλλ' ἡ ἐν τῷ σπέρματι δύναμις, ἣν
ἐν τῷ ἐφεξῆς ἐρεῖ βιβλίῳ θερμότητα ἀνάλογον τῆς ἀπὸ τοῦ ἡλίου καὶ τῶν
ἄλλων ἀστέρων θερμότητος· γίνεται γὰρ ἐκ τῆς τοῦ ἡλίου θερμότητος ζῷα, 10
οἷον σκώληκες καὶ ἄλλα πολλά. θῆλυ δέ, ᾗ θῆλυ, καὶ παθητικὸν λέγει
15 τὴν ἀπὸ τοῦ θήλεος διδομένην ὕλην, αὐτὸ δὴ τὸ καταμήνιον ἢ τὸ ἀνά-
λογον, ἄρρεν δέ, ᾗ ἄρρεν, καὶ ποιητικὸν τὸ σπέρμα καὶ τὴν ἐν αὐτῷ ποιη-
τικὴν δύναμιν, ἤτοι τὴν ἀνάλογον τῇ τοῦ ἡλίου θερμότητι θερμότητα, ἥτις
δύναμις τοιωσδὶ κινοῦσά τε καὶ ἀλλοιοῦσα τὸ καταμήνιον σχηματίζει κατὰ
τοὺς ἐνόντας αὐτῷ λόγους. ἐπεὶ οὖν τὸ θῆλυ, ᾗ θῆλυ, παθητικὸν καὶ τὸ
20 ἄρρεν, ᾗ ἄρρεν, ποιητικόν (οὐ γὰρ καθὸ ζῷα· πολλὰ γὰρ τῶν ζῴων οὐ 15
γεννᾷ), ἂν ληφθῇ τὰ ἄκρα καὶ ἡ ἐναντίωσις τοῦ ἄρρενος καὶ τοῦ θήλεος,
καθ' ἃ ἄκρα ἠναντίωται, ταῦτα δ' ἐστὶ τὸ ποιητικὸν καὶ παθητικόν, οὐκ
ἔστι τὸ γινόμενον ἐκ τούτων, τουτέστι τοῦ καταμηνίου καὶ τοῦ σπέρματος,
ἕν· οὐ γὰρ ποιητικὸν τὸ σπέρμα, ἀλλ' ὄργανον· οὐκ ἔστιν οὖν τὸ ἐκ τού-
25 των γινόμενον ἕν, ἀλλ' ἐκεῖνο ἔσται ἓν τὸ ἐκ τοῦ καταμηνίου καὶ τῆς ἐν
τῷ σπέρματι φύσεώς τε καὶ δυνάμεως. τέκτονα δὲ λέγει τὴν τεκτονικήν,
ἤτοι τὸ ἀπὸ τῆς τεκτονικῆς ἐν τῷ ξύλῳ γεγονὸς τοιονδὶ σχῆμα. καὶ ὅτι 20
τέκτονα τὸ ἀπὸ τῆς τεκτονικῆς δημιουργηθὲν εἶδος εἶπεν, ἐδήλωσε διὰ τοῦ
ἢ ὡς ἐκ τοῦ κηροῦ καὶ τοῦ εἴδους ἡ σφαῖρα.

30 p. 730ᵃ4 Ἐάν τε γὰρ ὑπηνέμια τύχῃ κύουσα ἡ ὄρνις, ἐὰν μετὰ
ταῦτα ὀχεύηται, μεταβεβληκότος τοῦ ᾠοῦ ἐκ τοῦ ὠχρὸν ὅλον
εἶναι.

Ὑπηνέμια λέγεται ᾠά, ἃ γεννῶσιν αἱ ὄρνιθες μὴ ὀχευθεῖσαι· τῶν

---

1 ἐκ τῶν εἰρημένων καὶ ILa: fort ἐκ τῶν ἔργων, cf. Arist. p. 729 ᵇ 9 4 post ὕλης add. γινόμενον a παθητικήν] παθητικῆς K: εἶναι τοῦ παθητικοῦ a 5 ante τοῦ ποιοῦντος add. οὐ a post σώματος add. καὶ ὕλης I: idem post ὄγκου add. K ἐπιμιγνυμένου K 9 καὶ τοίας δὴ a 10 οὖν om. K 11 post ἣν add. ὡς a 12 post θερμότητα add. φαμεν a τῇ et 13 θερμότητι Ka 13 γίνεσθαι I ἐκ] ἀπὸ K 16 ᾗ ἄρρεν] ᾗ θῆλυ I 18 τε om. K 19 ἐν αὐτῷ ἐνόντας K 22 καθ' ἃ ἄκρα scripsi: καθὸ ἄκρα IL: καθὰ τὰ ἄκρα Ka 24 post γὰρ add. τὸ IL 26 τὴν τεκτονίαν K 28 τέκτονα] κλίνην a 30 lemma om. I μετὰ] μὲν L 31 ὀχεύηται μεταβεβληκότος KL et Arist. PSY: post ὀχεύηται add. μήπω Arist. vulg. ὅλον] αὐτὸ L 33 λέγει K

γὰρ ἀλεκτρυόνων μηδ' ὅλως ὀχευσάντων αὐτὰς γεννῶσιν ᾠά, ἃ καλεῖται ὑπηνέμια. ὑπηνέμια οὖν ἐστι τὰ χωρὶς τοῦ τῶν ἀρρένων σπέρματος γενόμενα· διὸ καὶ οὐ γίνεται ἐξ αὐτῶν ζῷα. κύειν δὲ λέγει τὸ ἔτι ἐν τῇ γαστρὶ φέρειν καὶ ἔχειν τὸ κύημα. ὠχρὸν δὲ ᾠοῦ τὸ ἐνδοτέρω πάντων κείμενον, οἷον, ἵνα ἀπὸ τοῦ ὁρωμένου ἄρξωμαι, πρῶτον μέν ἐστι τὸ ὁρώμενον κέλυφος, εἶτα ἐντὸς τούτου καὶ ἐφεξῆς ὑμήν τις λεπτότατος, εἶτα ἐφεξῆς τοῦ ὑμένος λευκόν, ὅπερ λευκὸν γίνεται νεόττιον, ὡς δειχθήσεται, εἶτα ἐφεξῆς τῷ λευκῷ τὸ ὠχρόν, ῥέπον ἐπὶ τῶν εὐτραφῶν καὶ λιπαρῶν ὀρνίθων ἐπὶ τὸ ἐρυθρότερον, ὅπερ ἐρυθρὸν τροφὴ γίνεται τῷ νεοττῷ. ἰστέον δὲ ὅτι τὸ ὠχρὸν πρῶτον μὲν αὔξεται, ἕως ἂν ἔλθῃ εἰς τὸ κατὰ φύσιν μέγεθος, εἶθ' οὕτως λευκαίνεται καὶ λευκαίνεται οὐ πᾶν, ἀλλά τι μέρος αὐτοῦ κύκλῳ περιέχον τὸ | μὴ λευκανθέν, ὥσπερ ὁρῶμεν. καὶ τότε 30r κυρίως λέγεται ᾠόν, ὁπηνίκα λευκανθῇ· πρὶν γὰρ λευκανθῇ, οὐ κυρίως λέγεται ᾠὸν οὔτε μὴν τέλειον ᾠόν, ἀλλ' ἀτελὲς ᾠόν, ὥσπερ καὶ ἀνδριάντα ἀτελῆ ⟨λέγομεν⟩ ἐν ᾧ λείπει τι ἤ τινα τῶν συνιστώντων αὐτόν. καὶ ἔστιν ἡ ὁλότης καὶ ἡ τελειότης τοῦ ᾠοῦ καὶ τὸ κυρίως ᾠὸν τὸ ἐξ ὠχροῦ καὶ περιέχοντος τὸ ὠχρὸν λευκοῦ· ὁ γὰρ ὑμὴν καὶ τὸ ὀστρακῶδες κέλυφος φυλακῆς ἕνεκα καὶ σκέπης εἰσὶ τοῦ ᾠοῦ. καὶ ταῦτα μὲν οὕτω προειλήφθω πρὸς σαφήνειαν τῶν λεχθησομένων. δείκνυσι δὲ καὶ ἀπὸ τῶν ᾠῶν τῶν τε ὑπηνεμίων καὶ τῶν ἀπὸ ὀχείας γινομένων ὅτι οὐδέν τι συμβάλλεται τὸ ἄρρεν εἰς τὸ θῆλυ ὡς ὅλη. φησὶν οὖν, ἐὰν τύχῃ ἡ ὄρνις κύουσα καὶ κατὰ γαστρὸς ἔχουσα ὑπηνέμια, ἐὰν μετὰ ταῦτα ὀχεύηται, ἡνίκα μεταβάλλῃ ἐκ τοῦ ὠχρὸν ὅλον εἶναι εἰς τὸ λευκαίνεσθαι, γόνιμα τὰ ᾠὰ γίνονται. τότε οὖν ἂν ὀχεύηται, γίνεται γόνιμα, ἂν δὲ ἢ πρὸ τοῦ ἄρξασθαι λευκαίνεσθαι ἢ μετὰ τὸ λευκανθῆναι πᾶν ὅσον ἦν εἰκὸς λευκανθῆναι ὀχευθῇ, οὐ γίνεται γόνιμα. ὥστε ἐπεὶ τότε ὀχευθεῖσα γόνιμα γεννᾷ, δῆλον ὅτι οὐδαμῶς τὸ ἄρρεν συνεβάλετο ὄγκον καὶ σῶμα καὶ ὅλως ὅλην· ἤδη γὰρ τέλειόν ἐστι τὸ ᾠόν· ὅσον γὰρ ἦν εἰκὸς αὐξηθῆναι, ἅπαν ηὔξηται. εἰ γὰρ μὴ αὐξηθῇ τὴν προσήκουσαν καὶ κατὰ φύσιν ἐπιβάλλουσαν αὐτῷ αὔξησιν, οὐκ ἄρχεται λευκαίνεσθαι. ἔστιν οὖν καὶ τότε τέλειον ἔχον τὸ οἰκεῖον μέγεθος, ἡνίκα ἄρξηται λευκαίνεσθαι, καὶ μετὰ τὸ λευκανθῆναι· οὐ γὰρ προσετέθη τι αὐτῷ, οὐδὲ ἔλαβέ τινα ἐπίδοσιν ὁ ὄγκος αὐτοῦ κατὰ τὸν καιρὸν τῆς λευκάνσεως, ἀλλὰ τοῦ ἐνόντος μεγέθους τὶ μὲν γέγονε λευκόν, τὶ δὲ καταλέλειπται οἷον ἦν. ἔστιν οὖν καὶ τότε τέλειον καὶ μετὰ τὴν λεύκανσιν, ἀλλὰ πρὸ τοῦ ἄρξασθαι λευκαίνεσθαι ἐλέγετο τέλειον διὰ τὸ ἤδη ἴσχειν ἅπαν τὸ προσῆκον μέγεθος καὶ τὸν ἐπιβάλλοντα φυσικῶς ὄγκον καὶ πεπαῦσθαι τῆς εἰς μέγεθος

---

1 μηδὲν ὅλως Ka 2. 3 γινόμενα Ka 3 ἔτι post γαστρὶ (4) K 7 νεοττὸν I: νεοττὸς Ka 11 οὐχ ἅπαν K 15 λέγομεν addidi 16 κύριον K 19 πρὸς] εἰς K δείκνυσι] δεῖ κυρίως a 19. 20 ᾠῶν τῶν τε om. K 21 ὡς ὅλην a 22 μεταβάλλει a 23 γίνονται] γίνεται IK 24 et 25. 26 γίνεται γόνιμον K 26 ante γεννᾷ add. οὐ Ka 28 ἅπαν ηὔξηται] ὑπερηύξηται IL 29 καὶ om. IL 30 τό τέλειον (sic) IL ἔχων La 31 ἄρξεται K 34 μετὰ] κατὰ a πρὸ μὲν τοῦ K 35 ἐλέγετο] ἔλεγε τὸ K: ἐγένετο IL ἤδη ἔχειν IKa 36 φυσικὸν K εἰς om. a

καὶ ὄγκον φυσικῆς ἐπιδόσεως, μετὰ δὲ τὸ λευκανθῆναι λέγεται τέλειον ὡς 30r
ᾠόν· ἐν τούτῳ γὰρ κυρίως οὐσίωται τὸ ᾠόν, καὶ τὸ εἶναι αὐτῷ, τὸ ᾠῷ 35
εἶναί ἐστιν ἐν τῷ εἶναι ἐξ ὠχροῦ καὶ λευκοῦ. ὥστε πάμπαν ἐστὶν ἐκ τού-
των δῆλον καὶ φανερώτατον ὅτι τὸ ἄρρεν οὐδέν τι συμβάλλεται ὡς ὑλικόν,
5 ἀλλὰ χρῆται τῷ τοῦ σπέρματος σώματι ὡς ὀργάνῳ, ὥσπερ ὁ τέκτων τῷ
πρίονι. ἀλλὰ κἂν ὑφ' ἑτέρου, φησί, πρῶτον ὀχευθεῖσα ἡ ἀλεκτορίς, οἷον
μέλανος ἀλεκτρυόνος καὶ βραχέος τὴν ἡλικίαν καὶ τὸ μέγεθος, εἶτα ἔτι
ὠχροῦ ὄντος καὶ μήπω λευκανθέντος ἂν ὀχεύσῃ αὐτὴν ταύτην ἕτερος λευκὸς 40
καὶ μέγας, γίνεται ὁ νεοττὸς ὅμοιος τῷ ὕστερον ὀχεύσαντι. γίνεται οὖν
10 ὅμοιος καὶ κατὰ τὸ χρῶμα καὶ κατὰ τὸ μέγεθος· κεκοπιακυίας γὰρ τῆς
δυνάμεως, ἣν ἐκόμισε τὸ τοῦ πρότερον ὀχεύσαντος ἀλεκτρυόνος σπέρμα
καὶ ἀσθενησάσης ἐν τῷ συνιστάναι καὶ δημιουργεῖν τὸ ὠχρόν, ὕστερον
εἰσελθοῦσα τοῦ ὕστερον ὀχεύσαντος δύναμις ἀκμάζουσα ἐκκρούει τὴν προτέραν
καὶ ἄγει τὸ προδημιουργηθὲν εἰς τὴν ἑαυτοῦ φύσιν. ὥστε ποιητικὴν μόνην
15 δύναμιν τὸ ἄρρεν δίδωσιν, ἀλλ' οὐχ ὕλην· εἰ γὰρ ὕλην, οὐκ ἂν ἐγίνετο ὁ 45
νεοττὸς ὅμοιος τῷ ὕστερον ὀχεύσαντι. οὐ γὰρ αἱ ὗλαι εἰς ἑαυτὰς μετα-
βάλλουσι τὰς τῶν πραγμάτων φύσεις καὶ ποιοῦσιν αὐτὰς οἷαί εἰσιν αὐταί,
ἀλλὰ τὰ ποιητικά· οὐ γὰρ τὰ ξύλα μεταβάλλουσι τὸ πῦρ εἰς ξύλα, ἀλλὰ
τὸ πῦρ τὰ ξύλα εἰς πῦρ. εἰ δέ τις ἐνίσταται λέγων καὶ μήν τινος εἰς
20 πολὺν οἶνον σταλαγμὸν ἐκχέαντος ὕδατος, μεταβέβληται ὑπὸ τοῦ οἴνου καὶ
γίνεται καὶ αὐτὸ οἶνος, | ἴστω ὡς οὐδέτερον τούτων τὸ μέν ἐστιν ὡς ποιοῦν, 30v
τὸ δὲ ὡς ὕλη. καὶ τοῦτο δῆλον· εἰ γὰρ ἐγχέοι ἔμπαλιν σταλαγμὸν οἴνου
εἰς πολὺ ὕδωρ, μεταβάλοι ἂν ὁ οἶνος εἰς ὕδωρ. ἡ μὲν οὖν τῶν λεγομένων,
οἶμαι, διάνοια αὕτη, τὰ δὲ κατὰ τὰς λέξεις τοιαῦτα· ὀχεῖα λέγει τοὺς ἀλεκ-
25 τρυόνας καὶ πάντα τὰ ἄρρενα· ἔστι γὰρ ἡ εὐθεῖα τὸ ὀχεῖον. τὸ δὲ μετα-
βάλλοντες τὰ πρῶτα ὀχεῖα καὶ τὰ ὕστερα ἴσον ἐστὶ τῷ ἐπάγουσι 5
μετὰ τοὺς πρῶτον ὀχεύσαντας ὕστερον τοὺς γενναίους καὶ μεγάλους ὄρνιθας.
γενναίους γὰρ ἐνταῦθα τοὺς μεγάλους εἶπεν, ἀλλ' οὐ τοὺς ἰσχυρούς· τίς
γὰρ ἡ χρεία τῶν ἰσχυρῶν ἀλεκτρυόνων; ἢ τὸ γενναίους δύναται ὡς δηλω-
30 τικὸν εἰλῆφθαι καὶ τοῦ μεγάλου καὶ τοῦ ἰσχυροῦ· χρεία γὰρ καὶ μεγάλων
καὶ ἰσχυρῶν περδίκων τοῖς περὶ τὰς ἔριδας τούτων ἐπτοημένοις. τὸ δὲ
λεγόμενον διὰ τοῦ ὥστε εἶχεν ἂν δὶς τὰ αὐτὰ μέρη δυνάμει τοιοῦτόν
ἐστιν· εἰ οὖν ἀπὸ τῆς κεφαλῆς τοῦ πρότερον ὀχεύσαντος ἀπῆλθε κεφαλὴ 10
καὶ ἀπὸ τῶν ποδῶν πόδες καὶ ἀπὸ τῶν λοιπῶν τὰ λοιπά, ὁμοίως δὲ καὶ
35 τὰ αὐτὰ πάντα ἀπὸ τοῦ ὕστερον ὀχεύσαντος, ἐπειδὴ οὐκ ἐχώρισε καὶ ἀπέρ-
ριψεν ἐκτὸς τὰ ἐκ τοῦ ὑστέρου ἐπεισελθόντα μέρη τὰ τοῦ προτέρου, ἀλλὰ

---

1 φυσικῆς scripsi: φυσικῶς IL: om. Ka λέγει K 2 αὐτῷ τῷ ᾠῷ Ka
4 οὐδέ τι a 8 αὐτὴν om. K 9 μέγας ex μέλας corr. I 12 συνιστάνειν Ka
14 αὐτοῦ IL 16 εἰς αὐτὰς a 17 αὐτὰς] αὐτὰ a αὐταί scripsi: αὗται libri
18 τὸ ποιητικόν a 19 τινος] τις IL: τινὲς a 20 ἐκχέαντος] ἐκχέας IL:
ἐγχέαντες a 21 αὐτὸς IL 22 ἐγχέει Ka οἴνου σταλαγμὸν coll. K
23 μεταβάλλοι Ka 25. 26 μεταβάλλοντα L 26 ὕστερα] δεύτερα K
30 τοῦ ante ἰσχυροῦ om. K 32 τὰ αὐτὰ] ταῦτα a 33 οὖν om. K
36 ἐπεισελθόντος KL

μένει κἀκεῖνα καὶ ταῦτα, εἶχεν ἂν ὁ γεννηθεὶς νεοττὸς δύο μὲν κεφαλάς, 30v
τέτταρας δὲ πόδας, καὶ τὰ λοιπὰ πάντα διττά. ἀλλὰ κἀν τῇ λέξει τῇ
τοῦτο γὰρ ἐνδέχεται ποιεῖν τοῦτο λέγει τὸ ποιάν τινα τὴν ὕλην ποιῆσαι·
θερμαίνει γὰρ αὐτὴν ἡ ἀπὸ τοῦ ἄρρενος δύναμις καὶ συμπέττει τὸ πρότε- 15
ρον ἅμα τῷ εἰσελθεῖν. καὶ τὰ μὲν ἄλλα ζῷα χωρὶς ἄρρενος οὐ δύναται
γεννᾶν δι' ἃς εἴρηκεν αἰτίας, αἱ δὲ ὄρνιθες δύνανται χωρὶς ἄρρενος ἄχρι
τινός· γεννῶσι γὰρ τὰ καλούμενα ὑπηνέμια. τὴν δὲ αἰτίαν τούτου ἐρεῖ ἐν
τῇ παρούσῃ πραγματείᾳ, ὅτε περὶ τούτων λέγει. τὴν δὲ λέξιν τὴν ἀλλ'
οὐκ εἰς τὸ ἄρρεν, οὔτε αὖ τὸ ἄρρεν προΐεται τὴν γονὴν ὡς ἕν τι
ἀναγνωστέον οὕτως· οὔτε αὖ τὸ ἄρρεν εἰς τὸ ἄρρεν, τουτέστιν εἰς ἑαυτὸ 20
προΐεται τὴν γονὴν οὔτε τὸ θῆλυ· οὔτε γὰρ τὸ θῆλυ προΐεται γονὴν
εἰς τὸ ἄρρεν οὔτε μὴν τὸ ἄρρεν αὐτὸ εἰς ἑαυτό. ἀλλὰ τὸ μὲν ἄρρεν εἰς
τὸ θῆλυ γονήν, τὸ δὲ θῆλυ εἰς τὸ ἄρρεν γονὴν μὲν οὔ, ὕλην δέ,
ὥσπερ εἴπομέν τινα ποιεῖν τῶν ἐντόμων. ὁμοίως δὲ καὶ τὸ λεγόμενον
διὰ τοῦ καὶ εὐθὺ τὴν μὲν ἀθρόον ὑπάρχειν ἀναγκαῖον καὶ τῆς
συνεχοῦς τούτῳ λέξεως τοιοῦτόν ἐστι· καὶ τὴν μὲν πρώτην ὕλην, ἐξ
ἧς καὶ τοῦ σπέρματος συνίσταται τὸ κύημα, ἀναγκαῖον ἀθρόον καὶ πᾶσαν
ἅμα ὑπάρχειν, ἄλλην δ' ἐπιγίνεσθαι πρὸς τροφὴν καὶ αὔξησιν τοῦ κυή- 25
ματος, εἰ δύναται δηλονότι τρέφεσθαι τὸ κύημα· πολλὰ γὰρ τῶν ζῴων
ἐξήμβλωσε διά τινα συμπτώματα.

p. 730 b 4 Ὥστε ἀνάγκη ἐν τῷ θήλει ὑπάρχειν τὸν τόκον· καὶ γὰρ πρὸς τῷ ξύλῳ ὁ τέκτων.

Τέκτονα πάλιν ἐνταῦθα τὴν τοῦ τέκτονος ἐνέργειαν λέγει. τὸ δὲ
παρὸν ἐπιχείρημα ἤρτηται καὶ τὸ κῦρος ἔχει ἀπὸ τῶν ἐν τῇ Φυσικῇ 30
ἀκροάσει δειχθέντων· δέδεικται γὰρ ἐκεῖσε ὅτι ἡ ἐνέργεια τοῦ ποιοῦντος ἐν
τῷ πάσχοντι καὶ γινομένῳ καὶ ὅλως ὕλης λόγον ἐπέχοντί ἐστιν. ἡ γὰρ 35
τοῦ διδάσκοντος ἐνέργεια ἐν τῷ μανθάνοντι γίνεται καὶ ἐστίν. ἔστι μὲν
γὰρ ἡ τοῦ διδάσκοντος ἐνέργεια ἐν αὐτῷ, ἀλλὰ καὶ ἐν τῷ μανθάνοντι·
ὁμοίως γὰρ καὶ ἡ τοῦ πυρὸς ἐν τῷ θερμαινομένῳ ὕδατι, ὥστε καὶ ἡ τοῦ 40
κατ' ἐνέργειαν τέκτονος ἐνέργεια ἐν τῷ ξύλῳ. εἰ δὴ ταῦθ' οὕτως, ἐστὶ
δὲ καὶ ἡ τοῦ σπέρματος ἐνέργεια ἐν τῷ τοῦ θήλεος περιττώματι, ἐν τῷ 45
θήλει ἂν εἴη ὁ τόκος καὶ ἡ ὕλη καὶ οὐκ | ἐν τῷ ἄρρενι. ἐν δὲ τῇ 31r
λέξει τῇ κινοῦσι τὰς χεῖρας ἤ τι ἕτερον μόριον κινεῖ μὲν τὰς χεῖ-
ρας ἡ ψυχὴ ἐν τοῖς τεχναστοῖς, ἐν δὲ ταῖς τῶν ἀρρένων πρὸς τὰ θήλεα 5
ὁμιλίαις ἕτερόν τι, οἷον αἰδοῖον ἢ ἄλλο τι τοιοῦτον. ὅτι δὲ καὶ ἄλλην

1 μὲν] μόνον IL 4 αὐτὴν] αὐτὸς L τὸ om. IKL 5 ἅμα εἰσελθὼν a
7 γεννῶσαι a γὰρ om. a ἐρεῖ] Γ 1 9 et 10 αὖ] οὖν a 16 τούτου K
17. 18 ἅμα καὶ πᾶσαν coll. K 18 ἄλλην] ἀλλὰ a 19 εἰ] οὐ L¹: ἢ corr. L²
23 τέκτονα ex τέκτων corr. K 24. 25 ἐν τῇ Φυσικῇ ἀκροάσει] Γ 3 28 post
ἐνέργεια add. καὶ Ka et supra vers. I αὐτῷ K 29 γὰρ om. Ka
post πυρὸς add. καὶ ἐν αὐτῷ καὶ a 32 ὁ τόκος εἴη coll. K 33. 34 ἡ ψυχὴ
τὰς χεῖρας coll. K

μὲν κίνησιν κινεῖ τὰς χεῖρας ἡ ψυχή, ὅταν ποιῇ κλίνην, ἄλλην δὲ ὅταν 31r
σφαῖραν, δῆλον. πάνυ δὲ σαφέστατα ἀπαγγέλλει ὃ πολλάκις ἡμεῖς εἴπομεν, 10
ὅτι τῷ σπέρματι ἡ φύσις ὡς ὀργάνῳ, οἷον σκεπάρνῳ, ἢ ὀχήματι χρῆται.
καὶ ὅσα μὲν προΐεται σπέρμα, χρῆται ὡς ὀργάνῳ τῷ σπέρματι καὶ ἔοικε 15
5 τοῖς τεκταινομένοις· πάντες γὰρ οὗτοι δι' ὀργάνων ποιοῦσιν, ὅσα ἂν ποιήσωσιν. ἐν ὅσοις δὲ τὸ θῆλυ ἐναφίησί τι τῶν αὐτοῦ μορίων πρὸς τὸ ἄρρεν 20
δι' ἀσθένειαν καὶ τὸ μὴ δύνασθαι ὀργάνῳ χρῆσθαι, ὥσπερ τινὰ τῶν ἐντόμων, ταῦτα δὴ πάντα τὰ δεχόμενα εἰς ἑαυτά τι τῶν τοῦ θήλους, ἐοίκασιν 25
τοῖς πλάσταις· οὐ γὰρ δι' ὀργάνων οὗτοι τὰς χύτρας ἢ τὸν κηρὸν ἕτεροι
10 καὶ ἄλλοι τὴν κέραμον πλάττουσιν, ἀλλὰ διὰ τῶν οἰκείων χειρῶν μόνων.

Ἀποδέχεται δὲ τὸν Ἐμπεδοκλέα εἰπόντα "οὕτω δ' ᾠοτοκεῖ μικρὰ 30
δένδρεα πρῶτον ἐλαίας". λέγει δὲ μικρὰ δένδρεα καὶ ἐλαίας τοὺς πυρῆνας,
ὧν τὸ περικάρπιον ἐσθίομεν. ἀντὶ γοῦν τοῦ εἰπεῖν οὕτω, τὰ δένδρα αἱ ἐλαῖαι 35
γεννῶσιν ἐλαίας, ὧν οἱ πυρῆνες ἐν τῇ γῇ σπαρέντες, πρῶτον μὲν γίνονται
15 ἐξ αὐτῶν μικρὰ δένδρα, εἶθ' οὕτως ἐλαῖαι, εἶπεν "οὕτω δ' ᾠοτοκεῖ". 40
διὰ γὰρ τὸ εἶναι τὸ ᾠόν, οὐ τὸ ὑπηνέμιον, ἀλλὰ τὸ ἐξ ὀχείας γεγονὸς
κύημα, εἶναι δὲ καὶ ἕκαστον τῶν πυρήνων κύημα, τροπῇ χρησάμενος ὡς
ποιητὴς εἴρηκε τὰς ἐλαίας, αὐτά φημι τὰ ἤδη καρποφορεῖν δυνάμενα δένδρα, 45
ὄρνιθας ᾠοτοκούσας οὐχὶ ᾠά, ἀλλὰ ἐλαίας· δένδρα δὲ μικρὰ ἐκάλε|σεν 31v
20 αὐτάς, ὅτι δυνάμει δένδρα εἰσίν. ὥσπερ δέ, φησί, μέρος μέν τι τοῦ ᾠοῦ
γίνεται νεοττός, μέρος δέ τι καταλιμπάνεται εἰς τροφὴν τοῦ νεοττοῦ, οὕτω 5
καὶ ἐπὶ τῶν καρπῶν μέρος μέν τι γίνεται βλάστη, μέρος δέ τι τροφὴ τῆς
βλάστης, ἥτινι τροφῇ ἐπιγίνεται καὶ ἄλλη καθ' ἑκάστην ἐκ τῆς γῆς, καὶ
οὕτω κατὰ βραχὺ αὔξεται ἡ βλάστη. ὥστε καὶ διὰ τοῦτο εἴη ἂν ὁ Ἐμπε-
25 δοκλῆς εἰπὼν τὰς ἐλαίας ᾠοτοκεῖν. πρώτη δὲ ῥίζα λέγεται ἣν πρότερον
εἴρηκε πυθμένα. ὅτι δὲ τὸ ἄρρεν καὶ τὸ θῆλυ ὡς ἕν τι ζῷον γίνονται ἐκ
δυοῖν ζῴοιν ἐν τῷ καιρῷ τοῦ συνδυασμοῦ, δῆλον τῇ ὄψει. ἐπείσακτον δὲ 10
μόριον τὸ σπέρμα λέγει· πᾶν γὰρ περίττωμα ἐπείσακτόν ἐστιν· ὅπερ ἐπείσακτον μόριον ἐν πλείονι χρόνῳ συνίστησι τὸ κύημα ἤπερ τὰ ἄναιμα.
30 τὸ μὲν γὰρ τῶν ἐναίμων σπέρμα καὶ ἡ ἐν αὐτῷ δύναμις ἐν ἑπτὰ τοὐλάχιστον ἡμέραις συνίστησι τὸ κύημα, ἡ δὲ τῶν ἀναίμων, ἐν οἷς τὸ θῆλυ προΐεται εἰς τὸ ἄρρεν τι τῶν ἑαυτοῦ, ἐν μιᾶς ἡμέρας μορίῳ· ὥστε ἐν πλείονι ἡ τῶν ἐναίμων δύναμις συνίστησι τὸ κύημα χρόνῳ.

1 ἄλλην] ἄλλως IL 1. 2 δὲ ὅτε σφαῖραν Ka 2 ἀσαφέστατα corr. K²
6 τῶν ἑαυτοῦ τι μορίων Ka 10 τὴν κέραμον] sic libri 11 οὕτω δ' ᾠοτοκεῖ κτλ.] Emp. v. 286 Mullach 11 et 12 μικρὰ libri et Arist. PSY: μακρὰ Arist. vulg. 12 δένδρα utrobique IL τὰς πυρίνας ILa 13 περικάρδιον K ἀντὶ οὖν a 14 οἱ πυρῆνες] αἱ πυρῆναι L: αἱ πυρίναι Ia οἱ πυρῆνες post γῇ K σπαρεῖσαι ILa 17 ἕκαστον scripsi: ἑκάστην libri πυρινῶν Ia 18 δένδρα] ζῶα K 23 ἥτινι τροφῇ scripsi: ἤ τινι τροφή libri 24. 25 τὸν Ἐμπεδοκλέα Ka 25 εἰπὼν scripsi: εἰπεῖν libri πρώτην δὲ τὴν ῥίζαν λέγειν La: eadem omisso τὴν K 27 δυοῖν ζώων K 28 περίττωμα] σπέρμα K 29 ἐπίστησι a 30 post ἑπτὰ add. ἡ a 32 προΐεται post ἄρρεν ponit K

p. 731 a 24 Καὶ ταῦτα πάντα εὐλόγως ἡ φύσις δημιουργεῖ ἕως τοῦ 31v
τέλους τοῦ βιβλίου.

Ἀνάγει ἑαυτὸν συνήθως πρὸς τὴν πρώτην ἀρχήν· ταύτην γὰρ εἶπε φύσιν καὶ πρῶτον αἴτιον, ὅπερ πρῶτον αἴτιον ἐν τῷ Λ τῶν Μετὰ τὰ φυσικὰ ζῷον ἀίδιον ἄριστον εἴρηκε. σύνηθες δὲ αὐτῷ τὴν τοιαύτην ἀρχήν, τὸν πολυτίμητον νοῦν, φύσιν καλεῖν· σαφῶς οὖν καὶ διὰ τούτων δείκνυται πρόνοιαν τῶν ἐνταῦθα ὁμολογῶν. εἰπὼν δὲ πολλάκις ὅτι οἱ καρποὶ μῖγμά εἰσιν ἄρρενος καὶ θήλεος καὶ οἷον κύημα, ἐπὶ δὲ τῶν ζῴων, ὥσπερ καὶ φαίνεται, κεχώρισται τὸ ἄρρεν ἀπὸ τοῦ θήλεος, τὴν ἑκατέρου τούτων αἰτίαν διὰ τούτων ἐπήγαγεν. εὐλόγως οὖν, φησίν, ὁ θεὸς καὶ ἡ φύσις ταῦτα ἐδημιούργησεν· ἐπειδὴ γὰρ τῶν φυτῶν οὐδέν ἐστιν ἄλλο ἔργον οὐδὲ πρᾶξις οὐδεμία πλὴν τοῦ τρέφεσθαι καὶ γεννᾶν ὅμοια ἑαυτοῖς, οὐκ ἐχώρισεν ἐπὶ τούτων τὸ ἄρρεν ἀπὸ τοῦ θήλεος· τί γὰρ ἂν ὠφέλει κεχωρισμένα ὄντα; ἀλλὰ περὶ μὲν τῶν φυτῶν εἴρηκε καὶ ἐν τῇ Περὶ φυτῶν πραγματείᾳ. τῶν δὲ ζῴων ἐπειδὴ οὐ μόνον ἐστὶν ἔργον τὸ γεννῆσαι, ἀλλὰ καὶ γνώσεώς τινος πάντα μετέχει, διττῆς δὲ οὔσης τῆς γνώσεως, καὶ τῆς μὲν διὰ νοῦ καὶ θεωρίας, τῆς δὲ δι' αἰσθήσεως (γνῶσις γάρ τις καὶ ἡ αἴσθησις· κρίνει γὰρ καθόλου εἰπεῖν | τὰ ἡδέα καὶ λυπηρά) τὰ μὲν μετέχοντα πρὸς ταῖς 32r
αἰσθήσεσι καὶ νοῦ ὥσπερ ὁ ἄνθρωπος πλειόνων μετέχουσι γνώσεων, τὰ δὲ ἐλαττόνων, τὰ δὲ τὴν ἁφὴν μόνον ἔχοντα πάμπαν μικρᾶς, ἐπεὶ οὖν πρὸς τῷ γεννᾶν μετέχουσιν καὶ γνώσεως, ἐχώρισεν ἀπ' ἀλλήλων ἐν τούτοις τὸ ἄρρεν καὶ θῆλυ, ἵν' ἀνεμποδίστως καὶ καλῶς διατελῶσι περὶ τὰς γνώσεις ὧν μετειλήφασι· σύγχυσις γὰρ ἂν ἐγίνετο ὑπ' ἀλλήλων μεμιγμένων ὄντων τοῦ ἄρρενος καὶ θήλεος, καὶ πάμπαν ἀδρανὴς ἦν ἡ γνῶσις αὐτῶν καὶ συγκεχυμένη καὶ οὐ καθαρὰ καὶ ἑδραία. διὰ μὲν οὖν ταῦτα ἐχώρισεν αὐτὰ ἀπ ἀλλήλων ὁ θεός· ὅταν δὲ δεήσῃ ἐκπληρῶσαι τὸ τοῦ ζῶντος ἔργον, οἷον τὴν γέννησιν, τότε συνδυάζεται καὶ γίνεται ἓν ὥσπερ φυτόν. τὰ δὲ ὀστρακόδερμα ἐπειδὴ μεταξύ ἐστι τῶν ζῴων καὶ τῶν φυτῶν, οὐδετέρων γίνεται μόνον ἔργον, ἀλλ' ὡς μὲν φυτὰ οὐκ ἔχει τὸ θῆλυ καὶ τὸ ἄρρεν (οὐδὲν γὰρ τῶν φυτῶν ἢ θῆλυ ἢ ἄρρεν ἐστίν, ἀλλ' ἔχει ἕκαστον ἐν ἑαυτῷ ἀμφοτέρων τοῦ τε θήλεος καὶ τοῦ ἄρρενος μεμιγμένας τὰς δυνάμεις, κἂν λέγηταί τινα τούτων τὰ μὲν θήλεα τὰ δ' ἄρρενα, κατὰ μεταφορὰν λέγονται) ὡς μὲν οὖν φυτὰ οὐδέτερόν ἐστι τούτων ἄρρεν ἢ θῆλυ ὡς δὲ ζῷα οὐ φέρει ἐξ ἑαυτῶν καρπόν· τοῦτο γὰρ τὸ ἐξ ἑαυτῶν φέρειν καρπὸν τῶν

---

3 τὴν πρὸς a 4 ἐν τῷ Λ τῶν Μετὰ τὰ φυσικὰ] Λ 7 p. 1072 b 29 7 εἶπον I πολλοῖς I 8 καὶ ante οἷον om. K 9 τὴν ἑκατέρου] ἑκατέρων a 16 μετέχειν K 18 post μὲν add. γὰρ IL, οὖν K 18. 19 τὴν αἴσθησιν a 20 μικρὰν IL 21 ἐχώρησαν a 22 καὶ τὸ θῆλυ a 23 ἂν om IL ἐγένετο IL ἀπ' ἀλλήλων L μιγνυμένων K 27 γένεσιν IL 28 οὐδέτερον a 29 γίνεται μόνον] cf. Arist. p. 731 b 9. 10 codd. SY ἔργον] ἔρως a 30. 31 ἐν αὐτῷ ἀμφότερα a 31 τοῦ ante ἄρρενος om. a 33 ante φυτὰ add. τὰ a τούτων ἐστὶν coll. Ka 34 αὐτῶν utrobique a καρπὸν τὸ τῶν IL

φυτῶν ἐστιν ἴδιον. ἡ μὲν οὖν λεγομένη σύμπασα ἕως τοῦ τέλους τοῦ 32r
βιβλίου ἔννοια αὕτη. κατὰ δὲ τὴν λέξιν τὴν ταύτης δὲ τὸ τίμιον καὶ
τὸ ἄτιμον πολὺ διαφέρει σκοποῦσι πρὸς φρόνησιν καὶ πρὸς τὸ 20
τῶν ἀψύχων γένος, ὅτι περὶ τῆς αἰσθήσεως αὐτῷ εἴρηται τοῦτο, δῆλον.
5 δ δ' ἂν λέγοι, τοιοῦτον ἂν εἴη· εἰ μὲν οὖν ἡ αἴσθησις συγκρίνοιτο πρὸς
φρόνησιν καὶ τὸ μεγαλεῖον τῆς φρονήσεως, ἄτιμός ἐστιν· εἰ δέ τις αὐτὴν
παραβάλλει πρὸς τὰ ἄψυχα καὶ τὴν αὐτῶν ἀναισθησίαν καὶ τὸ τεθνεὸς
καὶ μὴ ὄν, ὄψεται αὐτὴν μέγιστόν τι καὶ τίμιον. |

---

2 διάνοια Ka 2. 3 ἄτιμον καὶ τὸ τίμιον coll. IL 3 σκοποῦσι om. IL
5 λέγει a εἰ corr. ex ἡ K 7 παραβάλλη K: παραβάλοι a τεθνεὼς K
8 ὄψεται αὐτὴν καὶ μὴ ὄν coll. IL τέλος τοῦ πρώτου βιβλίου ἀρχὴ τοῦ δευτέρου
subscr. K: Τέλος τῶν εἰς τὸ πρῶτον a

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΒΙΒΛΙΟΝ ΤΩΝ ΠΕΡΙ ΓΕΝΕΣΕΩΣ ΖΩΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ 32v

Ἐν τῷ πρώτῳ βιβλίῳ πρὸς τοῖς ἄλλοις οἷς ἐν ἐκείνῳ ἔδειξεν ὁρισάμενος τί ἐστι τὸ ἄρρεν καὶ θῆλυ, καὶ ἄρρεν μὲν εἶναι φήσας τὸ εἰς ἄλλο γεννῶν, θῆλυ δὲ ἐν ᾧ ἄλλο γεννᾷ, δείξας δὲ ὅτι ἀρχαί εἰσι τὸ ἄρρεν καὶ θῆλυ γενέσεως, τὸ μὲν ἄρρεν ὡς κινοῦν καὶ ποιοῦν, τὸ δὲ θῆλυ ὡς διδὸν τὴν ὕλην, ἐν τῷ παρόντι δευτέρῳ βιβλίῳ ζητεῖ πρὸ τῶν ἄλλων ἁπάντων, ὧν ἐν τούτῳ τὴν μνείαν ποιήσεται, τίνος ἕνεκέν ἐστιν ἐν τῷ παντὶ τὸ ἄρρεν καὶ θῆλυ καὶ τίς ἡ ὠφέλεια αὐτοῦ ἐν τοῖς οὖσι. τὸ γὰρ ζητεῖν τὴν αἰτίαν τὴν ἕνεκά τινος, ἥπερ ἐστὶν ἡ τελική, τὸ δὴ ζητεῖν τίνος ἕνεκα καὶ διὰ τί ὅλως ἐστὶ τὸ ἄρρεν ἐν τῷ παντὶ καὶ τὸ θῆλυ, τὸ ζητεῖν ἐστι τί συμβάλλεται ἐν τῷ κόσμῳ καὶ τίς ἡ ὠφέλεια αὐτοῦ· καὶ ἐπεὶ κεῖται καὶ δέδεικται ὅτι τὸ ἄρρεν καὶ τὸ θῆλυ ἀρχαὶ γενέσεώς εἰσι, ζητεῖ, τίς ἡ τῆς γενέσεως ἐν τῷ κόσμῳ ὠφέλεια, καὶ τοῦτο εὑρηκὼς ἔχει καὶ τίς ἡ τοῦ ἄρρενος καὶ θήλεος. εἰ γὰρ καὶ τὸ ἄρρεν καὶ τὸ θῆλυ ἀρχαὶ γενέσεως, ἡ δὲ γένεσις πρὸς τόδε τι συμβάλλεται καὶ ὠφελεῖ καὶ τούτου ἕνεκά ἐστι, δῆλον ὅτι καὶ τὸ ἄρρεν διὰ τοῦτο ἂν εἴη, δι' ὃ καὶ ἡ γένεσις. δείκνυσι δὲ τὴν τῆς γενέσεως ἐν τῷ κόσμῳ ὠφέλειαν λέγων δυνάμει τοιάδε. τὰ θεῖα βούλεται ἀεὶ πάντα ποιεῖν ὅμοια ἑαυτοῖς, ἤτοι ἀίδια τῷ ἀριθμῷ· ὁ γὰρ ἥλιος ὁ αὐτὸς καὶ εἷς τῷ ἀριθμῷ ἐστιν, ὁμοίως δὲ καὶ ἕκαστον τῶν θείων σωμάτων· καὶ ἔτι μᾶλλον τὰ τούτων κινητικὰ βούλεται μὲν ἀίδια πάντα τῷ ἀριθμῷ ποιεῖν, διά τε τὴν οἰκείαν αὐτοῖς ἀγαθότητα καὶ διὰ τὸ βέλτιον τυγχάνειν τὸ εἶναι τοῦ μὴ εἶναι καὶ τὸ ζῆν τοῦ μὴ ζῆν.

1. 2 Σχόλια—Ἀριστοτέλους rubro IL: Ἀριστοτέλους περὶ ζῴων γενέσεως μετὰ τῶν τοῦ Φιλοπόνου σχολίων βιβλίον β a 3 ἐδίδαξεν K 4 καὶ τὸ θῆλυ K εἶναι] οὖν IL 5 δὲ καὶ ὅτι Ka 6 διδὸν] διδοῦν K: παρέχον a 7 παρόντι βιβλίῳ δευτέρῳ ὄντι ζητῆ πρῶτον ἄλλων a 10 post τελική add. ζητεῖ a δὴ] γοῦν K 11 post διὰ τί add. τὸ IL 12 ἐπειδὴ a 15 καὶ post γὰρ om. K 16 τι] τὸ a 17 post ἄρρεν fort. addenda καὶ τὸ θῆλυ 18 τοιάδε] τάδε Ka 19 πάντα om. et ποιεῖν ἀεὶ ὅμοια coll. K 20 γὰρ] δὲ K 21 τούτου K post μὲν add. οὖν Ka 22 ποιεῖν τῷ ἀριθμῷ coll. K 23 τὸ ante εἶναι om. Ka

ἀλλὰ διὰ τὸ μὴ δύνασθαι πᾶσι τοῖς ἐν γενέσει τὴν ὑποκειμένην καταδέχε- 32v
σθαι ὕλην τὴν τοιαύτην ἀιδιότητα (ἀλλοιοῖ γὰρ καὶ μετατρέπει τὰ εἴδη 25
καὶ νῦν μὲν τάδε δέχεται ἀποπτύσασα ἅπερ πρότερον εἶχεν, ὁτὲ δὲ ἄλλα)
πεποίηκεν αὐτὰ ἀίδια τῷ εἴδει καὶ τῇ καθ' ἕκαστον διαδοχῇ. διαδέχεται
5 γὰρ παῖς τὸν πατέρα καὶ τὸν παῖδα ὁ ἐξ αὐτοῦ γεγονώς, καὶ οὕτως ἀεὶ
τῇ διαδοχῇ καὶ τῷ εἴδει φυλάττουσι τὴν ἀιδιότητα. διὰ τὴν τοιαύτην
οὖν διαδοχήν ἐστιν ἡ γένεσις, διὰ δὲ τὴν γένεσιν τὸ ἄρρεν καὶ θῆλυ.

Ἡ μὲν οὖν τοῦ λόγου συναγωγὴ καθ' ὃν δείκνυται, τίνος ἕνεκεν ἐν τοῖς
οὖσίν ἐστι τὸ ἄρρεν καὶ θῆλυ καὶ τίς ἡ ὠφέλεια αὐτῶν, αὕτη· ἤδη δὲ 30
10 βαδιστέον ἐπὶ τὴν τῶν λέξεων σαφήνειαν. τὸ δὲ θῆλυ, φησί, καὶ τὸ
ἄρρεν ὅτι μέν εἰσιν ἀρχαὶ γενέσεως καὶ τίς ἡ φύσις αὐτοῖς, εἴρηται
πρότερον. διὰ ποίαν δὲ ὕλην γίνεται καὶ ἔστι τὸ θῆλυ καὶ τὸ ἄρρεν,
ὁμοίως δὲ καὶ τί τὸ προσεχῶς ποιοῦν τὸ μὲν ἄρρεν τὸ δὲ θῆλυ, μετὰ
ταῦτα ἐροῦμεν· τίνος δὲ ἕνεκεν καὶ τί τὸ τέλος αὐτῶν καὶ ἡ ὠφέλεια,
15 ἄνωθεν ἔχει τὴν ἀρχήν, τουτέστι διὰ τὴν τῶν ἄνωθεν βούλησιν ἔχει
τὴν ἀρχὴν καὶ αἰτίαν τοῦ εἶναι. ἄνωθεν λέγοι ἂν τάχα μὲν τὰ θεῖα καὶ
κυκλοφορητικὰ σώματα (αὐτὰ γὰρ προσεχέστερον ὁρᾷ καὶ ποιεῖ εἰς τὰ 33r
τῇδε), τάχα δὲ καὶ τὰς ἀσωμάτους καὶ θειοτάτας καὶ μακαριωτάτας φύσεις
ὑφ' ὧν αὐτὰ κινεῖται, ἢ καὶ ἀμφοτέρας. εἴη δ' ἂν τὸ ἑξῆς τῆς λέξεως
20 τοιοῦτον· διὰ τί δὲ γίνεται καὶ ἔστι τὸ μὲν θῆλυ τὸ δ' ἄρρεν, ὡς
μὲν ἐξ ἀνάγκης καὶ ποίας ὕλης καὶ τοῦ ἤτοι τίνος πρώτως κινοῦν-
τος (τὸ γὰρ τοῦ ἀντὶ τοῦ τίνος εἴληπται) προϊόντα πειρᾶσθαι δεῖ
φράζειν. τὸ δ' ἐξ ἀνάγκης καὶ ποίας ὕλης ἐκ παραλλήλου κεῖται· ἐρεῖ 5
οὖν ἐφεξῆς, ὡς εἴπομεν, ἐκ ποίας μὲν ὕλης γίνεται τὸ ἄρρεν, ποίας δὲ τὸ
25 θῆλυ, ὁμοίως δὲ καὶ τί τὸ προσεχῶς ποιοῦν αὐτά.

p. 731b24 Ἐπεὶ γάρ ἐστι τὰ μὲν ἀίδια καὶ θειότατα τῶν ὄντων.

Ἐντεῦθεν δείκνυσι τίνος ἕνεκα τὸ ἄρρεν ἐστὶ καὶ θῆλυ καὶ τί συμ-
βάλλεται ἐν τῷ κόσμῳ· δείκνυσι δὲ τοῦτο δεδειχώς, τίνος ἕνεκά ἐστιν ἐν 10
τοῖς οὖσι γένεσις. λέγει οὖν ἐπεὶ γάρ ἐστι τὰ μὲν ἀίδια καὶ θειότατα
30 τῶν ὄντων, οἷον τά τε κυκλοφορητικὰ σώματα καὶ τὰ τούτων κινητικά, 15

1. 2 πᾶσι τὴν ὑποκειμένην ὕλην τοῖς ἐν γενέσει καταδέχεσθαι coll. K: τὴν ὑποκειμένην πᾶσι τοῖς ἐν γενέσει ὕλην καταδέχεσθαι a 1 ἐν γενέσει] εὐγενέσι L 2 ἀλλοιεῖ I γὰρ] δὴ IL 3 ὅτε libri 5 γεγονὼς] γεννηθεὶς K post ἀεὶ add. καὶ a 6 διαφυλάττουσι K 7 καὶ τὸ θῆλυ Ka 8 οὖν om. IL συναγωγὴ scripsi: οὖν ἀγωγὴ IL: ἀναγωγὴ Ka 8. 9 τίνος εἰσὶν ἕνεκα ἐν τοῖς οὖσι K 9 ἤδη δὲ] καὶ δὴ Ka 10 τὸ θῆλυ γὰρ a φησί om. a 11 αὐτῶν Ka 13 δὲ prius om. IL 14 αὐτοῦ Ka 15 ἄνωθεν ἀπὸ τοῦ παντὸς ἔχει τὴν ἀρχὴν a τῶν om. a ἔχουσι Ka 16 post ἄνωθεν add. δὲ Ka 17 κυκλοφορικὰ a αὐτὰ] fort. ταῦτα 19 καὶ om. K 20 διότι δὲ a 22 τοῦ post ἀντὶ om. La προϊόντα a Arist.: προϊόντος IKL δεῖ] δὴ I 24 post ἄρρεν add. ἐκ Ka 26 θειότατα libri et Arist. PS: θεῖα Arist. vulg. 27 τὸ ἄρρεν—τίνος ἕνεκά ἐστιν (28) om. sed infra lin. add. L καὶ τὸ θῆλυ K 27. 28 συμβάλλοντα a 30 κυκλοφορικὰ L τούτου K

τὰ δ' ἐνδεχόμενα καὶ εἶναι καὶ μὴ εἶναι, οἷον πάντα τὰ ὑπὸ γένεσιν, 33r
τὸ δὲ καλὸν καὶ τὸ θεῖον (λέγων καλὸν καὶ θεῖον ἅπερ προσεχῶς
εἴρηκεν ἄνωθεν) αἴτιον ἀεὶ τοῦ βελτίονος κατὰ τὴν ἑαυτοῦ φύσιν
ἐν τοῖς ἐνδεχομένοις (ἀεὶ γὰρ ἐπὶ τῶν ἐνδεχομένων τοῦ βελτίονός ἐστιν
5 αἴτιον), τὸ δὲ μὴ ἀίδιον ἐνδεχόμενόν ἐστι μεταλαμβάνειν καὶ τοῦ
χείρονος καὶ τοῦ βελτίονος, βέλτιον δὲ ψυχὴ μὲν σώματος καὶ
τὸ εἶναι τοῦ μὴ εἶναι καὶ τὸ ζῆν τοῦ μὴ ζῆν, διὰ ταύτας γέγονε
τὰς αἰτίας γένεσις τῶν ζῴων. ἔστιν οὖν ἡ συναγωγὴ τοῦ λόγου τοι-
αύτη· ἐπεὶ τὸ μὴ ἀίδιον ἐνδεχόμενόν ἐστι καὶ εἶναι καὶ μεταλαμβάνειν
10 τοῦ χείρονος καὶ τοῦ βελτίονος, βέλτιον δὲ τὸ εἶναι τοῦ μὴ εἶναι, τὸ δὲ
θεῖον ἀεὶ αἴτιόν ἐστι τοῦ βελτίονος, καὶ τῷ μὴ ἀιδίῳ ἄρα αἴτιον ἔσται
καὶ χορηγὸν τοῦ βελτίονος καθ' ὃν ἐνδέχετοι τρόπον. ἐνδέχεται δὲ διὰ
γενέσεως· διὰ τοῦτο ἄρα ἐστὶν ἐν τοῖς οὖσι γένεσις, διὰ δὲ ταύτην τὸ
ἄρρεν καὶ θῆλυ. φανερὸν ἄρα τίνος ἕνεκέν ἐστι τὸ ἄρρεν καὶ θῆλυ. εἰπὼν
15 δὲ ὅτι διὰ ταύτας τὰς αἰτίας γένεσις τῶν ζῴων ἐστὶ πάλιν ἐπαναλαμβάνει
καὶ σαφέστερον ἐκτίθεται τὸν λόγον. ἐπεὶ γάρ, φησίν, ἀδύνατος ἡ φύσις
τοῦ τοιούτου γένους, ἤτοι τοῦ ἐνδεχομένου καὶ εἶναι καὶ μὴ εἶναι, ἀίδιος
εἶναι τῷ ἀριθμῷ, γέγονεν ἀίδιος τῇ διὰ γενέσεως διαδοχῇ· τούτου γάρ
ἐστι δηλωτικὸν τὸ καθ' ὃν ἐνδέχεται τρόπον, κατὰ τοῦτόν ἐστιν
20 ἀίδιον τὸ γινόμενον. πάντα γὰρ τὰ ζῷα καὶ τὰ φυτὰ τῷ μὲν εἴδει
καὶ τῇ κοινῇ φύσει καὶ τῇ διὰ γενέσεως διαδοχῇ δύναται εἶναι ἀίδια, τῇ
δὲ οἰκείᾳ οὐσίᾳ φθαρτὰ διὰ τὸ τρεπτικὸν καὶ ἀλλοιωτικὸν τῆς ὑποκειμένης
αὐτοῖς ὕλης. ἐπεὶ δέ τις ἔμελλε λέγειν ὅτι, ἐπειδὴ ὁ ἄνθρωπος καὶ ὁ
ἵππος καὶ τὰ ἄλλα, ᾗ ἄνθρωπος καὶ ᾗ ἵππος, ἄφθαρτά ἐστι καὶ ἀίδια,
25 τίνος ἕνεκεν οὐ λέγει αὐτὰ ἁπλῶς ἀίδια, ἀλλὰ ἀριθμῷ μὲν οὐκ ἀίδια, τῷ
εἴδει δὲ ἀίδια, ἐπήγαγεν τὸ ἡ γὰρ οὐσία τῶν ὄντων ἐν τῷ καθ'
ἕκαστον, δυνάμει λέγων ἐπειδὴ γὰρ τὰ κυρίως ὄντα καὶ αἱ κυρίως οὐσίαι
τὰ καθ' ἕκαστά εἰσι (τὰ γὰρ καθόλου ἐξ ἀφαιρέσεως καὶ ἢ οὐδέν εἰσιν ἢ
ὕστερα τῶν καθ' ἕκαστα, ὡς ἐν τῷ Περὶ ψυχῆς εἴρηται) ἐπειδὴ οὖν κυρίως
30 ὄντα τὰ μερικά εἰσιν, ἅπερ καὶ φθείρεται, πῶς ἂν ἁπλῶς ἀίδια ῥηθεῖεν
καὶ οὐχ ὥσπερ εἴρηται; |

p. 732a3 Βελτίονος δὲ καὶ θειοτέρας τὴν φύσιν οὔσης τῆς 33v
αἰτίας τῆς κινούσης πρῶτον, ᾗ ὁ λόγος ὑπάρχει.

Εἶπε καὶ ἐν τῷ τέλει τοῦ πρώτου βιβλίου τίνος ἕνεκεν ἐν τοῖς ζῴοις
35 κεχώρισται τὸ ἄρρεν ἀπὸ τοῦ θήλεος καὶ πάλιν αὐτὸ τοῦτο διὰ τῶν προ-

2 ὅπερ K 3 τοῦ βελτίονος post φύσιν Ka Arist. 4 ἐπὶ scripsi: ἀπὸ IKL: ἐπεὶ a 6 ψυχὴ—καὶ om. K 7 καὶ τὸ ζῆν—μὴ εἶναι (10) om. K 9 μεταλαμβάνειν] μεταβάλλειν IL 11 ἔσται] ἐστὶ K 14 καὶ τὸ θῆλυ K φανερὸν—θῆλυ om. K 15 τῶν om. K 20 τὰ ante φυτὰ om. a 24 post ᾗ ἵππος add. καὶ ᾗ τὸ δέ τι Ka 25 ἀλλὰ om. K 28 τὰ καθέκαστον ILa 29 τῶν καθέκαστον a ἐν τῷ Περὶ ψυχῆς] A 1 p. 402b7 30 φθείρονται K 33 πρῶτον IL Arist. P: πρώτης K Arist. vulg. ᾗ] ἡ Arist. 35 θήλεως L

κειμένων αἰτιολογεῖ. φησὶ γὰρ ἐπειδὴ βελτίων καὶ κρείττων τὴν φύσιν 33v
ἐστὶ τῆς ὕλης ἡ κινοῦσα, ἣ ὁ λόγος ὑπάρχει καὶ τὸ εἶδος, τουτέστιν ἥτις
κινητικὴ αἰτία λόγος ἐστὶ καὶ εἶδος (ὡς γὰρ πολλάκις εἴρηται, ἐν τοῖς γινο- 10
μένοις τὸ κινητικὸν καὶ τὸ εἶδος ταὐτόν ἐστιν) ἐπεὶ οὖν βελτίων ἐν τού-
5 τοις ἡ κινοῦσα αἰτία, χείρων δὲ ἡ ὕλη, βέλτιόν ἐστι καὶ τὸ κεχωρίσθαι 15
ἐν οἷς ἐνδέχεται τὸ κρεῖττον τοῦ χείρονος. κρεῖττον δὲ καὶ θειότερον τὸ
ἄρρεν τοῦ θήλεος· βέλτιον ἄρα καὶ τὸ κεχωρίσθαι τὸ θῆλυ ἀπὸ τοῦ ἄρρε-
νος. ἔστι δὲ τὸ μὲν ἄρρεν ἀρχὴ κινήσεως, τὸ δὲ θῆλυ ὕλη. τὰ μὲν οὖν 20
λεγόμενα τοιαῦτα ἂν εἴη· ἐν δὲ τῇ λέξει τῇ βέλτιον δὲ τὸ κεχωρί-
10 σθαι τὸ κρεῖττον τοῦ χείρονος παρέλκει ὁ δέ σύνδεσμος. ἀλλὰ καὶ 25
ἐν τῇ βέλτιον γὰρ καὶ θειότερον ἡ ἀρχὴ τῆς κινήσεως, ἣ ἄρρεν
ὑπάρχει τοῖς γινομένοις τὸ ἣ ἄρθρον ἐστὶ δηλωτικὸν τοῦ ἥτις ἀρχὴ
κινήσεως, ὁμοίως δὲ καὶ ἐν τῇ ἣ θῆλυ· καὶ γὰρ καὶ τοῦτο ἄρθρον ἐστίν. 30
εἰπὼν δὲ ὅτι τὰ μὲν προΐεται σπέρμα, τὰ δ' οὐ προΐεται ἐπήγαγε τοῦ
15 δὲ τὰ μὲν προΐεσθαι σπέρμα, τὰ δὲ μὴ προΐεσθαι αἴτιον ὅτι τὰ τιμιώτερά 35
εἰσι καὶ αὐταρκέστατα τὴν φύσιν. τοσοῦτον δέ εἰσιν αὐταρκέστατα,
ὥστε καὶ μεγέθους μείζονος μετείληφε διὰ τὴν αὐτάρκειαν· μείζονα γὰρ 40
εἰσι κατὰ μέγεθος τῶν ἀτιμοτέρων. τὸ δὲ μείζονος μεταλαβεῖν μεγέθους
οὐκ ἔστιν ἄνευ θερμότητος ψυχικῆς· ἡ γὰρ θερμότης κινητική· ὅπου δὲ
20 πλείων θερμότης, ἐκεῖ καὶ σπέρματος πρόεσις. ἐπεὶ οὖν τὰ αὐταρκέστατα 45
διὰ τὴν θερμότητα μείζονά ἐστι τὸν ὄγκον, ἐν ᾧ δὲ πολ|λὴ θερμότης, 34r
ἐν τούτῳ καὶ σπέρματος πρόεσις, εἰκότως ἄρα τὰ μὲν αὐταρκέστατα προΐε-
ται σπέρμα, τὰ δὲ μὴ τοιαῦτα οὐδαμῶς, ἀλλὰ μᾶλλον τὸ θῆλυ εἰς τὰ 5
τοιαῦτα ἄρρενα ἐναφίησί τι τῶν ἑαυτοῦ. σκώληξ δέ, φησίν, ἐστὶν ἐξ οὗ
25 ὅλου ἄλλο τι ὅλον γίνεται· τινῶν γὰρ σκωλήκων ὅλη ἡ ὁλότης μεταβάλλει
εἰς ἕτερόν τι εἶδος. λέγει δὲ καὶ ἄποδας χελώνας τὰς θαλαττίας· αἱ γὰρ 10
χερσαῖαι πόδας ἔχουσιν. ὁ δὲ σάτυρός ἐστι ζῷον ὅμοιον σαύρῳ μέλαν
καὶ ἄπουν. κατὰ δὲ τὴν λέξιν τὴν καὶ ἐκ συνδυαζομένων γίνεταί τι 15
αὐτῶν, ἀτελὲς μέντοι τὸ γινόμενον τὸ ἀτελὲς ἀντὶ τοῦ ἀνόμοιον
30 τὸ γινόμενον εἴρηται. ἢ εἶπεν αὐτὸ τάχα ἀτελὲς καὶ διὰ τὸ μηδὲν γίνεσθαι 20
ἐξ αὐτοῦ· τὸ γὰρ μὴ γεννῶν πήρωμα καὶ οὐ τέλειον· τελείου γὰρ τὸ γεννᾶν.
εἶπε δὲ περὶ τούτων εὐθὺς ἐν ἀρχῇ τοῦ πρώτου βιβλίου.

1 post ἐπειδὴ add. γὰρ IL 1. 2 ἐστὶ τὴν φύσιν coll. K 3 ἐστὶ] ὑπάρχει Ka
9 βέλτιον καὶ τὸ Arist. vulg. 10 παρέλκει ἂν K 11 κινήσης a ἣ ἄρρεν
libri 12 τὸ μὲν ἄρθρον K 13 ἐν τῷ K 14 προΐεται post οὐ om. K
15 post δὲ prius add. τὸ IL 16 καὶ αὐταρκέστατα ILa Arist. PY: καὶ αὐταρκέστερα
K Arist. vulg. 17 μείζονα K μετείληφε om. K 19 κινητική ex κινη-
τικὸν corr. L 20 ἐπεὶ ex ἐπὶ corr. L 23 οὐδαμοῦ K 24 τι om. L
25 ὅλη ἡ ὁλότης] ὅλα IL 27 σάτυρος] cf. Arist. p. 732b3 cod. S (σαῦραι Arist.
vulg.) σαύρᾳ a 28 ἄπουν] ἀὴρ IL 29 μέν τι La: μὲν K
ante ἀντί add. δὲ ILa ἀντὶ τοῦ] αὐτοῦ a 30 ἢ om. IK μηδὲν]
μηδέ τι a 32 εὐθὺς om. a ἐν τῇ ἀρχῇ a: ἐν ταῖς ἀρχαῖς K

p. 732b15 Συμβαίνει δὲ πολλὴ ἐπάλλαξις τοῖς γένεσιν· οὔτε γὰρ 34r
τὰ δίποδα πάντα ζῳοτοκεῖ.

Ἐπάλλαξιν λέγει τὴν κοινωνίαν· οὕτω γὰρ καὶ ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς εἴρηται "ἐπαλλάττουσι δὲ τὰ καλούμενα στοιχεῖα" ἀντὶ τοῦ κοινωνοῦσι. δείκνυσι δὲ ἐκ τῆς τοιαύτης ἐπαγωγῆς ὅτι οὔτε ἡ ἀποδία οὐθ' ἡ ποδότης οὔθ' ἡ διποδία οὔθ' ἡ πολυποδία ἐστὶν αἰτία τοῦ τὰ μὲν εἶναι ζῳοτόκα, τὰ δὲ ᾠοτόκα, ἀλλὰ τὸ τέλειον καὶ καθαρώτερον καὶ ἀτελὲς καὶ μὴ καθαρώτερον. ἀλλὰ μὴν εἴρηται πρὸ ὀλίγου ὅτι τοῦ τελείου αἴτιον τὸ θερμόν· δῆλον ἄρα τὸ συμπέρασμα. καταλέξας δὲ πάντα τὰ προκείμενα λίαν σαφῶς ἐπήγαγε ταύτῃ μὲν οὖν οὐκ ἔστι διελεῖν, τουτέστιν οὕτω μὲν οὖν διὰ τῶν πορευτικῶν ὀργάνων οὐκ ἔστι διαίρεσιν ποιήσασθαι ζῳοτόκων καὶ ᾠοτόκων, ὡς εἰπεῖν οἷον φέρε τῶν ζῴων τὰ μὲν ἄποδα ᾠοτοκεῖ, τὰ δ' ὑπόποδα ζῳοτοκεῖ, ἢ ἔμπαλιν, ἢ ὅλως κατά τινα τῶν οἰκείων διαφορῶν· οὐκ ἔστιν οὖν διὰ τούτων διαίρεσιν ποιήσασθαι τῶν ζῳοτόκων καὶ ᾠοτόκων, ἀλλὰ τῷ τελείῳ καὶ ἀτελεῖ. τελειότερα | δὲ 34v
τὰ θερμότερα τὴν φύσιν καὶ ὑγρότερα, ἀλλὰ μὴ γεώδη, τουτέστιν ἀλλ' οὐ τὰ ψυχρὰ καὶ ξηρά· ψυχρᾶς γὰρ καὶ ξηρᾶς οὔσης τῆς γῆς διὰ τοῦ γεώδους ἐδήλωσε τὸ εἰρημένον. ἀλλὰ πῶς τῆς μὲν θερμότητος καὶ ψυχρότητος ἐν τῷ τετάρτῳ τῶν Μετεώρων ποιητικῶν λεγομένων, τῆς δὲ ὑγρότητος καὶ ξηρότητος παθητικῶν καὶ ὅλης λόγον ἐχόντων, ἐνταῦθα ποιητικὸν λέγει τὸ θερμὸν καὶ ὑγρόν, ὑλικὸν δὲ τὸ ψυχρὸν καὶ ξηρόν; καὶ ὅτι μὲν ποιητικὰ καὶ ζωωτικὰ τὸ θερμὸν καὶ ὑγρόν, δῆλον ἐκ τοῦ θανάτου· εἰ γὰρ ὡμολόγηται τὸν θάνατον εἶναι ψυχρὸν καὶ ξηρόν, δῆλον ὡς ἡ ζωὴ ὑγρὸν καὶ θερμόν. ἢ ἐν τοῖς Μετεώροις λειοτήτων καὶ τραχυτήτων σκληρότητῶν τε καὶ μαλακοτήτων καὶ τῶν τοιούτων ἐλέγετο ποιητικὸν τὸ θερμὸν καὶ ψυχρόν, ζῴων δὲ ποιητικὰ καὶ γεννητικὰ οὐκ αὐτά, ἀλλὰ τὸ θερμὸν καὶ ὑγρόν. διὰ τοῦτο τὰ μὲν θερμότερα καὶ ὑγρότερα τῶν ζῴων τελειότερα πάντων ἐστί, δεύτερα δὲ τὰ ἧττον μὲν θερμά, ὑγρὰ δ' ἐπίσης τοῖς τελείοις ἢ μικρὸν παρεκκλίνοντα ἐπὶ τὸ μᾶλλον καὶ ἧττον, τὰ δὲ θερμὰ καὶ ξηρὰ ἀτελέστερα τῶν εἰρημένων καὶ τρίτην ἔχοντα τάξιν· ὥστε φίλιον μᾶλλον τὸ ὑγρὸν τῷ θερμῷ εἰς γένεσιν ζῴων ἤπερ τὸ ξηρόν. εἰπὼν δὲ τελειότερα εἶναι τὴν φύσιν τὰ θερμότερα καὶ ὑγρότερα παραδίδωσιν ἡμῖν κανόνα δι' οὗ ἂν δυνηθείημεν γνωρίζειν τὰ ἁπλῶς θερμὰ καὶ διακρίνειν ἀπὸ τῶν μὴ

3. 4 ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς] quae dicit, illic non leguntur, sed cf. A 10 p. 328b9
3 ἐν τῇ a 4 εἴρηκεν Ka 5 τῆς om. IL 6 ἐστὶν om. IL 7 εἶναι] οὖν I
καθαρώτατον IL 12 post ὡς εἰπεῖν add. καὶ ὡς εἰπεῖν I 14 οἰκείων] εἰρημένων Ka 15 τελειότατα IL δὲ] γὰρ IL 17 οὐ] μὴ K: οὐδὲ a
19 ἐν τῷ τετάρτῳ τῶν Μετεώρων] Δ 1 p. 378b12 21 ποιητικὸν μὲν λέγεται Ka
22 ζωοτικὰ I: ζωτικὰ Ka 23 γὰρ] δὴ IL 24 post ἐν add. μὲν IKa
25 τε om. L: δὲ I 26 ποιητικὸν καὶ γεννητικὸν K 27 καὶ ὑγρότερα om. IL
29 παρεγκλίνοντα K 30 φίλον IL 31 τῷ θερμῷ τὸ ὑγρὸν coll. I
post ὑγρὸν add. σὺν a 32 τὴν φύσιν εἶναι coll. Ka 32. 33 δι' ὅν a

θερμῶν, καὶ τῶν θερμῶν τὰ ποῖα μᾶλλόν ἐστι θερμότερα, ποῖα δὲ ἧττον· 34r
καί φησι τῆς δὲ φυσικῆς θερμότητος ὅρος καὶ κανὼν ὁ πνεύμων.
στιφρὸν δὲ λέγει τὸ ὑπόξηρον, τὸ δὲ ἀλλ' ἔναιμον καὶ μαλακὸν ἀντὶ τοῦ 30
θερμὸν καὶ ὑγρὸν εἴληπται· τὸ μὲν γὰρ θερμὸν διὰ τὸ αἷμα, τὸ δὲ μαλακὸν
5 διὰ τὸ ὑγρόν. ὅτι δὲ τὰ θερμότερα καὶ ὑγρότερα τελειότερά ἐστι τῶν
θερμῶν καὶ ξηρῶν, δείκνυσιν ἀπὸ τῶν ὑπ' αὐτῶν γινομένων· τὰ μὲν γὰρ
ὑγρὰ καὶ θερμὰ ζῳοτοκεῖ, τὰ δὲ θερμὰ καὶ ξηρὰ ᾠοτοκεῖ· ὅσον δὲ τελει-
ότερον τὸ ζῷον ᾠοῦ, τοσοῦτον κἀκεῖνα τῶν θερμῶν καὶ ξηρῶν. ὅτι δὲ
καὶ τὸ ὑγρὸν μᾶλλον τοῦ θερμοῦ συμβάλλεται εἰς τὴν γένεσιν, δῆλον ἐκ 35
10 τῶν σελαχῶν· ἧττον γὰρ ὄντα θερμὰ τῶν ᾠοτοκούντων ὅμως διὰ τὴν
ἐνοῦσαν σφίσιν ὑγρότητα ζῳοτοκεῖ ἐν ἑαυτοῖς πρῶτον ᾠοτοκήσαντα. ἀλλὰ
πῶς, εἴπερ τὰ ᾠοτόκα θερμά (καὶ ὅτι θερμά, καὶ αὐτὸς αὐταῖς λέξεσιν
οὕτως εἶπεν οἱ μὲν γὰρ ὄρνιθες καὶ τὰ φολιδωτὰ διὰ θερμότητα
τελεσιουργοῦσι) πῶς οὖν, εἴπερ τὰ ᾠοτόκα θερμά, περὶ τῶν ἄλλων
15 οὕτω λέγει ᾠοτοκεῖ μέν, ὅτι ψυχρά; ἢ πάντα τὰ ᾠοτόκα θερμά· οὐδὲν
γὰρ χωρὶς ψυχικῆς θερμότητος εἶναι ὅλως δύναται, μή τί γε γεννᾶν. πάντα 40
μὲν οὖν θερμά, ὀλίγον δὲ τὰ ᾠοτόκα ἔχουσι τὸ θερμόν· ὥστε ἂν λέγηται
ψυχρά, οὐχ ἁπλῶς λέγεται, ἀλλὰ πρὸς τὰ τελειότερα καὶ πολλὴν ἔχοντα
θερμότητα. πολλαχῶς γὰρ λέγεται τὸ ψυχρὸν ὥσπερ καὶ τὸ θερμόν, ὡς
20 ἐν δευτέρῳ τῶν Περὶ ζῴων μορίων εἴρηται βιβλίῳ. καὶ οἱ μὲν ὄρνιθες
κατ' ἄμφω τῶν τελείων ἐλαττοῦνται, καὶ κατὰ τὸ θερμὸν καὶ κατὰ τὸ
ὑγρόν· ξηροὶ γὰρ οὐχ ἁπλῶς, ἀλλ' ὅτι ὀλίγον ἐν αὐτοῖς τὸ ὑγρόν· τὰ δὲ
σελάχη κατὰ μόνον τὸ θερμόν. ἐπεὶ οὖν τὸ μὲν ὑγρὸν αἴτιον τοῦ ζῷον 45
γίνεσθαι ἐξ αὐτοῦ, τὸ δὲ ξηρὸν οὐκέτι, διὰ τοῦτο ζῳοτοκεῖ τὰ σελάχη,
25 καίπερ ὄντα ὀλιγόθερμα. |

p. 733a12 Ἐπεὶ δ' οὔτε πτερωτὰ οὔτε φολιδωτὰ οὔτε λεπιδωτά 35r
ἐστιν, ἃ σημεῖα ξηρᾶς.

Τὴν αἰτίαν διὰ τούτων ἀποδίδωσιν τοῦ γεννᾶν τὰ σελάχη ᾠὰ μαλακὰ
καὶ οὐ σκληρά, καὶ συλλογίζεται δυνάμει ὧδε· πάντα τὰ ξηρὰ καὶ γεώδη 5
30 τὴν φύσιν τὰ ᾠὰ σκληρὰ γεννᾷ, οὐδὲν δὲ τῶν σελαχῶν ξηρὸν καὶ γεῶδες
τὴν φύσιν ἐστίν· οὐδὲν ἄρα τῶν σελαχῶν σκληρὸν ᾠὸν γεννᾷ. ὁ συλλο-
γισμὸς ἐν δευτέρῳ σχήματι. τούτων τῶν προτάσεων τὴν λέγουσαν ὅτι τὰ 10
γεώδη σκληρὰ γεννᾷ δείξει μετὰ ταῦτα· τὴν δὲ οὐδὲν δὲ τῶν σελαχῶν
ξηρὸν καὶ γεῶδες τὴν φύσιν ἐστὶ δείκνυσι διὰ τοῦ ἐπεὶ δὲ οὔτε πτερωτὰ 15
35 οὔτε λεπιδωτά ἐστι, δυνάμει καὶ διὰ τούτων συλλογιζόμενος ὧδε· πάντα

---

3 στιφνὸν a 5 εἰσὶ K 12 ὅτι] εἴπερ L 14 ἄλλων] legendum videtur σελαχῶν 15 post ψυχρὰ add. δὲ a 16 δύναται ὅλως εἶναι coll. K μή τί γε] γε om. I: μήτοι γε K: μήτοι L 17 ἔχει a κἂν K 20 ἐν δευτέρῳ τῶν Περὶ ζῴων μορίων] B 2 p. 648b11 sqq. 22 ξηρὸν I ἐν αὐτοῖς ὀλίγον coll. K 23 ζῷον scripsi: ζώου libri 25 καίπερ] ὥσπερ K ὄντων ὀλιγοθέρμων IL 28 διὰ τοῦτο a 29 ξηρὰ] σκληρὰ IL καὶ τὰ γεώδη IL 35 ἐστι om. a συλλογιζόμεθα a

τὰ ξηρὰ καὶ γεώδη τὴν φύσιν ἢ πτερωτὰ ἢ λεπιδωτὰ ἢ φολιδωτά ἐστιν, 35r
οὐδὲν δὲ σέλαχος πτερωτὸν ἢ λεπιδωτὸν ἢ φολιδωτόν ἐστιν· οὐδὲν ἄρα
σέλαχος ξηρᾶς καὶ γεώδους ἐστὶ φύσεως. ἡ μὲν οὖν ἀγωγὴ τοῦ συλλο- 25
γισμοῦ αὕτη ἂν εἴη. εἰπὼν δὲ οὔτε πτερωτὰ οὔτε λεπιδωτὰ οὔτε φολι-
5 δωτά ἐστίν, ἐπήγαγεν ἃ σημεῖά ἐστι ξηρᾶς καὶ γεώδους φύσεως,
τουτέστιν ἅτινα τό τε πτερωτὸν καὶ λεπιδωτὸν καὶ φολιδωτὸν ξηρᾶς καὶ 30
γεώδους ἐστὶ φύσεως. ὡς γὰρ ὁ καπνὸς σημεῖόν ἐστι πυρὸς καὶ ἡ περὶ
τὴν σελήνην τελεία ἅλως βροχῆς, οὕτως ταῦτα τῆς γεώδους φύσεως. 35
ὥσπερ δὲ οὐδὲ ἐν τῷ σώματι τῶν σελαχῶν ἐστι τὸ γεῶδες καὶ ξηρόν,
10 οὕτως οὐδὲ ἐν τῷ ᾠῷ αὐτοῦ ἐπιπολάζει τὸ ξηρόν. λέγει δὲ καὶ ὅτι
πάντα τὰ ἔντομα ἄναιμά ἐστιν, οὐ μὴν ἅπαντα τὰ ἄναιμα ἔντομα· τὰ γὰρ 40
μαλάκια καὶ τὰ ὀστρακόδερμα ἄναιμα, ἔντομα δ' οὔ. εἰπὼν δὲ ὅτι τὰ
ἄναιμα οὐ πάντα σκωληκοτοκεῖ ἁπλῶς τὴν αἰτίαν τούτου ἐπήγαγε 45
διὰ τοῦ ἐπαλλάττουσι γὰρ ἀλλήλοις τὰ ἔντομα καὶ τὰ ἀτελὲς
15 τίκτοντα τὸ ᾠόν, οἷον οἵ τε ἰχθύες οἱ λεπιδω|τοὶ καὶ τὰ μαλά- 35v
κια, ὡς εἰ ἔλεγεν ἐπὶ τούτῳ εἶπον μὴ σκωληκοτοκεῖν ἁπλῶς, ὅτι οἱ
γινόμενοι ἐξ αὐτῶν σκώληκες οὐ μένουσι διὰ τέλους σκώληκες, ἀλλὰ γίνονται 5
ἐξ αὐτῶν αἱ καλούμεναι χρυσαλλίδες ᾠώδεις οὖσαι. χρυσαλλίδες δ' εἰσὶ
τὰ εὑρισκόμενα ἐν τοῖς τοίχοις ὅμοια ὄντα ταῖς ἐν τῷ ὕδατι, ὅτε βρέχει, 10
20 γινομέναις πομφόλυξι, λευκαὶ οὖσαι ὥσπερ οἱ ἐν τοῖς τῶν ἀλεκτορίδων ᾠοῖς
ὑμένες. οὐ σκωληκοτοκοῦσιν οὖν ἁπλῶς, ὅτι ἐπαλλάττουσι καὶ κοινωνοῦσι
τοῖς ἀτελὲς τίκτουσι τὸ ᾠόν. ὥσπερ γὰρ τούτων (εἰσὶ δὲ ταῦτα οἵ τε 15
ἰχθύες οἱ λεπιδωτοὶ καὶ τὰ μαλάκια καὶ τὰ μαλακόστρακα) τὰ ᾠὰ σκω-
ληκώδη γίνονται, οὕτως κἀκείνων οἱ σκώληκες ᾠοειδεῖς· γίνονται γὰρ 20
25 χρυσαλλίδες, αἵτινές εἰσιν ᾠοειδεῖς. λέγει δὲ τὸ πέμπτον γένος, ὅπερ ἐστὶ
ψυχρότατον πάντων τῶν προσεχῶς ῥηθέντων, μὴ ᾠοτοκεῖν ἐξ ἑαυτοῦ, ἀλλὰ 25
σκωληκοτοκεῖν, συμβαίνειν δὲ γίνεσθαι τοὺς σκώληκας ᾠοειδεῖς, ἤτοι χρυ-
σαλλίδας. γίνεται μὲν οὖν κατὰ πρώτην μεταβολὴν ὁ σκώληξ, εἶτα οὕτω
μεταβάλλει εἰς χρυσαλλίδα καὶ τρίτον αὖτη εἰς ζῷον. 30

30 Ταῦτα εἰπὼν λέγει ἀπορίαν εἶναι πλείονα, πῶς ποτε γίνεται ἐκ τοῦ
σπέρματος τὸ φυτόν. ἀνάγκη γὰρ τὸ γινόμενον καὶ ἔκ τινος γίνεσθαι, 35
οἷον ἐξ ὕλης, καὶ ὑπό τινος, οἷον ποιητικοῦ, καί τι, οἷον αὐτὸ τὸ γινό-
μενον. καὶ ἡ μὲν ὕλη ἐξ οὗ γίνεταί ἐστιν, ὡς εἴρηται, ἥστινος ὕλης τὴν
μὲν πρώτην ἀφ' ἧς συνίσταται καὶ ἣν ἔχει ἐν ἑαυτῷ (αὕτη δ' ἐστὶ τὸ
35 καταμήνιον ἢ τὸ ἀνάλογον) ἔχει πάντα ἐκ τοῦ θήλεος, τὴν δὲ δευτέραν

1 λεπιδωτὸν ἢ πτερωτὸν IL 3 fort. συναγωγὴ 5 ἐστι post γεώδους ponit Ka
6 τουτέστιν—φύσεως (7) om. K 6 τε] γε a 7 ὡς γὰρ] καὶ γὰρ ὡς a 8 τέλειος K
10 λέγεται a καὶ om. Ia 11 τὰ primum om. a 12. 13 οὐ πάντα τὰ ἄναιμα
coll. K 14 τοῦ] τοῦτο a τὰ post καὶ om. K ἀτελῆ Ka 15 τὰ ᾠὰ K
16 τούτων IL 18 χρυσαλλὶς IKL δέ ἐστι IL 19 βρέχη K 21 ὑμέναις a
κοινῶσι I 24 γίνεται οὕτως K οὕτως] οὔτε La 26 ῥηθέντων] εἰρημένων a
ἐξ αὐτοῦ Ia 27 συμβαίνει IL ὠοδεῖς L: ὠειδεῖς a 28 οὗτος Ka
29 τρίτος IIa 32 ποιητικῆς K 33 ἡ μὲν] τὸ μὲν a ὕλη om. K
post εἴρηται add. ἡ ὕλη Ka 34 ἐν ἑαυτοῖς a 35 τὴν δὲ—θήλεος (73,1) om. L

ὕλην, ἥτις ἐστὶ τροφή, τινὰ μὲν ἔχει ἐκ τοῦ θήλεος μέχρι πόρρω, τουτέστιν ἄχρι πολλοῦ, οἷον ὅσα θηλάζει (ταῦτα γὰρ οὐ μόνον τὴν πρώτην, ἐξ ἧς καὶ τῆς ἐν τῷ σπέρματι οὔσης δυνάμεως συνέστηκεν, ἐκ τοῦ θήλεος λαμβάνει, ἀλλὰ καὶ τὴν εἰς τροφὴν ἀναλισκομένην, ἐκ τῆς ὑστέρας μὲν ὅτε διαπλάττεται, ὕστερον δὲ θύραζε ἐξελθόντα ἐκ τῶν μαστῶν)· ὅσα δὲ σκωληκοτοκεῖται μόνην τὴν πρώτην ἔχει ἐκ τοῦ θήλεος, τὴν δὲ δευτέραν οὐδαμῶς. ἐξ οὗ μὲν οὖν γίνεταί ἐστιν ἡ ὕλη, περὶ ἧς οὐδὲν ἀπορεῖται· ζητεῖται δὲ ὑφ' οὗ γίνεται, πότερον ἐξωθέν τι ὂν ποιεῖ, ὥσπερ ὁ οἰκοδόμος τὴν οἰκίαν, ἢ ἐνυπάρχει τῷ γινομένῳ καὶ μέρος γίνεται αὐτοῦ· εἴτε δὲ ἐνυπάρχει εἴτε μή, μέρος τί ἐστι ψυχῆς ἢ ψυχὴ ἢ ἔχει ψυχήν. 35v

p. 734 a 2 Τὸ μὲν οὖν ἔξωθέν τι ποιεῖν ἕκαστον ἢ τῶν σπλάγχνων ἢ τῶν ἄλλων μερῶν ἄλογον ἂν δόξειεν.

Ἐφ' ἑκάτερα ἐπιχειρεῖ, καὶ πρῶτον μὲν διά τινων ἐνδόξων πιθανῶς, οὐ | μέντοι ἀληθῶς δείκνυσι μὴ εἶναι ἐνδεχόμενον τῶν ἐκτός τι εἶναι τὸ ποιοῦν ἕκαστον τῶν σπλάγχνων καὶ τῶν ἄλλων μερῶν, ὡς καταλείπεσθαι τὸ εἶναί τι τὸ ποιοῦν μέρος τοῦ γινομένου. εἶτα ἐνίσταται καὶ πρὸς τοῦτο καὶ δείκνυσιν ὅτι ψεῦδός ἐστι τὸ λέγειν μέρος εἶναι τὸ ποιοῦν τοῦ γινομένου, καὶ εἶθ' οὕτω διαρθροῖ τὸν λόγον καί φησι καὶ εἶναι καὶ μὴ εἶναι. ὁ μὲν γὰρ πατὴρ ὁ διδοὺς διὰ τοῦ ἀπ' αὐτοῦ ἀπιόντος σπέρματος τὴν ποιητικὴν δύναμιν ἑκάστου μέρους καὶ ἔχουσαν ἐν ἑαυτῇ τοὺς λόγους αὐτῶν ἐνεργείᾳ ἐστὶν ἐκτὸς καὶ ἔχει ἕκαστον μέρος ἐνεργείᾳ· ἔστι γὰρ ἐν τῷ πατρὶ ἡ κεφαλὴ καὶ τὰ ἄλλα μέρη ἐνεργείᾳ. ἡ δὲ ἀπ' αὐτοῦ ὡς δι' ὀργάνου τοῦ σπέρματος διδομένη ποιητικὴ δύναμις καὶ ἔχουσα, ὡς εἴρηται, τοὺς λόγους χωρὶς ὕλης ἑκάστου τῶν σπλάγχνων καὶ τῶν ἄλλων μερῶν, ὥσπερ καὶ ὁ νοῦς τὰ ἔνυλα εἴδη (καὶ οὗτος γὰρ χωρὶς τῆς ὑποκειμένης αὐτοῖς ὕλης ἔχει τὰ εἴδη καὶ τοὺς λόγους αὐτῶν) ἡ δὴ ἀπ' αὐτοῦ διδομένη δύναμις ἐντὸς καὶ μέρος γίνεται τοῦ γινομένου, μέρος δὲ οὐχ ὥσπερ ἡ ὕλη ἀλλ' ὡς εἶδος· καὶ ἔστιν αὕτη ἡ αἰσθητικὴ ψυχὴ συνεζευγμένας ἑαυτῇ ἔχουσα καὶ τὴν θρεπτικὴν καὶ αὐξητικήν, ὡς ἐρεῖ πρὸς τῷ τέλει σχεδὸν τοῦ παρόντος βιβλίου γενόμενος. καὶ ὥσπερ δὲ ὁ διδάσκαλος ἐνεργείᾳ ἔχων τοὺς τῶν ἐπιστητῶν λόγους ἄγει τὸν δυνάμει ἐπιστήμονα εἰς ἐνέργειαν, οὕτω καὶ ἡ ἐν τῷ σπέρματι δύναμις ἐνεργείᾳ ἔχουσα τοὺς λόγους τῶν μερῶν ἄγει τὴν ὕλην δυνάμει οὖσαν τὰ μέρη εἰς ἐνέργειαν. καὶ ταῦτα μὲν προειρήσθω πρὸς ἔνδειξιν τῆς τοῦ Ἀριστοτέλους

---

2 ἄχρι] μέχρι K 5 ἐξελθόντος lL 7 οὖν om. KLa 8 ἀφ' οὗ lLa 11 Τὸ μὲν lL Arist. PY: τῷ μὲν K: τῶν μὲν Arist. vulg. ποιεῖν lK Arist.: ποιοῦν L 13 ἐπιχειρεῖν a: ἐπιχωρεῖ l 14 μέν τι a 18 καὶ post φησι om. K 23 ἔχουσι a 23. 24 ὡς εἴρηται post λόγους ponit K 24 λόγους post ὕλης a 26 δὴ ex δὲ corr. L: δὲ I: δὴ οὖν Ka 26. 27 ἀπ' αὐτοῦ τοῦ δεδομένου K 27 post ἐντὸς add. ἐστὶ K 28. 29 συνεζευγμένην a 29 ἑαυτῇ om. a ἐρεῖ] B 5 30 δὲ om. a 32 καὶ om. a ἔχουσα post μερῶν (33) ponit K 34 προειρήσθωσαν a τοῦ om. a

γνώμης ὅτι τὸ πρώτως ποιοῦν ἐκτός ἐστι καὶ ὅτι ἐκ τοῦ ἐνεργείᾳ ὄντος 36r
γίνεται τὸ δυνάμει. ἐπιχειρεῖ οὖν πρῶτον ὅτι τὸ ποιοῦν οὐκ ἔστιν ἐκτός,
λέγων ὅτι τὸ μὲν οὖν ἔξωθέν τι εἶναι τὸ ποιοῦν, ἤτοι τὸ μὲν οὖν εἶναι
τὸ ποιοῦν τι τῶν ἐκτὸς ὄντων τῆς μητρικῆς κοιλίας ἄτοπον ἂν δόξειεν καὶ 30
5 ἄλογον. καὶ τὴν αἰτίαν τῆς ἀλογίας σαφῶς ἐπήγαγεν. * * οὐδὲν οὖν
οἷόν τε εἶναί τι τῶν ἐκτὸς τῆς μητρικῆς κοιλίας τὸ ποιοῦν τὰ τοῦ ζῴου
μέρη· λείπεται ἄρα ἐν αὐτῷ εἶναι τῷ κυήματι. ἐν αὐτῷ δὲ ὂν πότερον
μόριόν ἐστι τοῦ γινομένου, οἷον ὀφθαλμὸς ἢ χεὶρ ἢ ἄλλο τι τοιοῦτον, ἢ
οὐκ ἔστι μόριον, καθάπερ οὐδὲ ὁ πλωτὴρ τοῦ πλοίου; καὶ ἐρωτήσας πρῶ-
10 τον μὲν δείκνυσιν οὕτως ὅτι οὐκ ἐνδέχεται ἐν αὐτῷ ὂν μὴ εἶναι μόριον
αὐτοῦ, δείκνυσι δὲ καὶ τοῦτο ἐκ διαιρέσεως· εἶτα δείκνυσιν ὅτι οὐκ ἔστιν 35
αὐτοῦ μόριον. τέως δὲ πρῶτον πειρᾶται δεῖξαι ὅτι μόριον αὐτοῦ ἐστιν οὕτως·
τὸ μὲν οὖν, φησί, λέγειν μὴ εἶναι μόριον τὸ ποιοῦν τοῦ γινομένου, ἀλλ'
ὥσπερ ὁ πλωτὴρ ἐν τῷ πλοίῳ, ἄλογον. ἐρωτητέον γὰρ τοὺς λέγοντας μὴ
15 εἶναι μόριον αὐτοῦ, πότερον μετὰ τὸ τελειωθῆναι τὸ ζῷον (περὶ γὰρ τῆς
τῶν ζῴων γενέσεως ὁ λόγος) μένει καὶ σώζεται τὸ ποιῆσαν καὶ συνεξέρ-
χεται τῷ ζῴῳ, ἢ φθείρεται. τὸ μὲν δὴ λέγειν ὅτι μένει καὶ συνεξέρχεται
αὐτῷ μὴ ὂν αὐτοῦ μέρος ψεῦδος· οὐδὲν γὰρ φαίνεται συνεξερχόμενον τῷ 40
ζῴῳ ἕτερόν τι παρὰ τὰ μόρια αὐτοῦ. τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἀλλ'
20 οὐδὲν τοιοῦτον φαίνεται ἐνόν, ὃ οὐ μόριον τοῦ ὅλου. οὐκ ἄρα
οἷόν τε λέγειν ὅτι ἐν αὐτῷ ὂν τῷ κυήματι μένει καὶ συνεξέρχεται τελειω-
θέντι καὶ ζωωθέντι· φθείρεται ἄρα. ἀλλὰ μὴν εἴ γε φθείρεται, πάντα
ποιῆσαν ἐφθάρη ἤ τινά. καὶ πρὸς μὲν τὸ ἓν τμῆμα τὸ πάντα ποιῆσαν
οὐδέν τι λέγει, πρὸς δὲ τὸ λοιπὸν ἁπαντᾷ λέγων τὰ λοιπὰ γάρ τί ποιή-
25 σει; ἔστω γὰρ ὅτι πεποίηκε τὴν καρδίαν καὶ τὸ ἧπαρ· τὰ λοιπὰ τί ἂν 45
ποιήσειεν; εἰ γάρ τις λέγει ὅτι ἐκεῖνο ποιῆσαν τὴν καρδίαν ἔφθαρται, ἡ δὲ
καρδία τὸ ἧπαρ καὶ τοῦτο τὸν πνεύμονα κἀκεῖνος ἄλλο, καὶ οὕτως τὰ λοιπὰ
γέγονεν ἅπαντα, ἀκουσάτω ὧ λῷστε, ὥσπερ γὰρ ἐκεῖνο ποιῆσαν τὴν καρ-
δίαν ἐφθάρη, οὕτω καὶ ταύτην ἀναγκαῖον ποιήσασαν τὸ ἧπαρ φθαρῆναι·
30 διὰ τί γὰρ ἐκεῖνο ἅμα τῷ ποιῆσαι τὴν καρ|δίαν ἔφθαρται, αὕτη δὲ τὸ 36v
ἧπαρ ποιήσασα οὐ φθαρήσεται; ἀποκληρωτικὸν γὰρ τοῦτο. εἰ δὲ τοῦτο
ἀδύνατον, σώζεται ἄρα· εἰ δὲ σώζεται, μέρος ἐστὶ τοῦ γινομένου. εἰ γὰρ
μὴ ἦν μέρος, ἔδει συνεξέρχεσθαι τῷ ζῴῳ ἕτερόν τι ὂν παρ' ἐκεῖνο· ἀλλ'
οὐδὲν τοιοῦτον φαίνεται συνεξερχόμενον, ἀλλὰ μόνον ὑγρότητές τινες εἰδεχθέ-
35 σταται· μόριον ἄρα ἐστὶ τοῦ γινομένου τὸ ποιοῦν. καὶ ἀληθὴς ὁ λόγος,
εἴ τις περὶ τῆς ἐν τῷ σπέρματι ἐνούσης ψυχῆς τὸν λόγον ἀκούοι· μέρος 5
γὰρ ὡς ἀληθῶς καὶ μέρος ὡς εἶδος αὕτη τοῦ γεγονότος· εἰ δέ γε περὶ

3 ὅτι om. IL τι om. a ἤτοι et οὖν om. IL 4 post τῶν add. ἔξωθεν ἤτοι a ὄντων scripsi: ὂν τῶν libri 5 lacunam indicavi: addenda ex Arist. p. 734a3. 4 κινεῖν τε γὰρ μὴ ἁπτόμενον ἀδύνατον κτλ. οὐδὲν οὖν] οὐδὲ γὰρ K 11 ἐκ om. K 12 τέως] τελέως a ἐστιν αὐτοῦ IK 13 post φησί add. μὴ IK 14 γὰρ] ἐστὶ a 19 παρὰ] περὶ a 20 οὐ om. IL 22 μὴν] μὲν K 25 τί] τίς IL 29 ποιήσασαν ἀναγκαῖον coll. K 31 εἰ γὰρ τοῦτο IL 36 ἀκούει K 37 ὡς ante ἀληθῶς om. a

τοῦ πρώτως ποιοῦντος, οἷον τοῦ πατρός, τὸν λόγον ἀκούοι, περὶ οὗ καὶ 36ᵛ
οὗτος τὸν λόγον ποιεῖται, ψευδής· καὶ πῶς ψευδής, ἐπάγει.

p. 734ᵃ14 Εἰ δὲ μή ἐστι τῆς ψυχῆς μηδέν, ὃ μὴ τοῦ σώματός ἐστιν ἔν τινι μορίῳ.

Δείκνυσι διὰ τούτου, ὥσπερ ἤδη εἴπομεν, ὅτι τὸ πρώτως ποιοῦν οὐκ ἔστιν ἐν τῷ γινομένῳ οὔτε ὅλως μόριόν ἐστιν αὐτοῦ. ὅτι δὲ τὸ πρώτως καὶ κυρίως ποιοῦν ὁ πατήρ ἐστι, δῆλον· ἐξ αὐτοῦ γὰρ τὸ σπέρμα καὶ ἡ ἐν αὐτῷ δύναμις. συγχεῖ δὲ καὶ τῇδε κἀκεῖσε ταλαντεύει τὸν λόγον διὰ τὸ μὴ προαναφωνῆσαι ὅτι περὶ τοῦ πρώτως, οἷον τοῦ πατρός, ποιοῦντός ἐστι νῦν αὐτῷ ὁ λόγος, ἀλλ' ἀορίστως περὶ τούτου ζητεῖν. δείκνυσι δὲ ὅτι οὔτε ἔνεστιν ἐν τῷ σπέρματι ὁ πατὴρ οὔθ' ὅλως μέρος ἐστὶ τοῦ γινομένου. δείξας πρότερον ὡς εἴπερ ἐστὶ μέρος αὐτοῦ, ἀνάγκη ἔμψυχον εἶναι καὶ ἔχειν ψυχικήν τινα δύναμιν ὥσπερ καὶ τὰ ἄλλα μόρια, λέγει νῦν εἰ δὴ μή ἐστι τῆς ψυχῆς μηδέν, ὃ μὴ τοῦ σώματός ἐστιν ἔν τινι μορίῳ, τουτέστιν εἰ οὖν πάντα τὰ τῆς ἀλόγου ψυχῆς μόρια εἴδη καὶ ἐντελέχειαί εἰσιν ἑκάστου τῶν τοῦ σώματος μερῶν, ὡς ἐν τῇ Περὶ ψυχῆς δέδεικται, καὶ ἐν τοῖς τοῦ σώματός εἰσι μέρεσιν ὡς εἴδη ἐν ὕλαις, εἴπερ ἐστὶ τὸ ποιοῦν μέρος τοῦ ζῴου, ὑπάρξαι ἂν καὶ ἐν αὐτῷ μέρος τι ἢ δύναμίς τις τῆς ψυχῆς, καὶ ἔμψυχον ἄν τι εἴη μόριον εὐθὺς ἐν τῷ σπέρματι ὄν· εἶτα τούτῳ συναπτέον τὸ ἀλλὰ μὴν καὶ τὸ ἐν τῷ σπέρματι εὐθὺς ἐνυπάρχειν τι μόριον τοῦ ζῴου ἢ φυτοῦ γεγενημένον, εἴτε δυνάμενον ποιεῖν τὰ ἄλλα εἴτε μή, ἀδύνατον· οὕτω γάρ ἐστι τὸ ἐφεξῆς τῆς λέξεως, τὰ δ' ἄλλα μεταξὺ παρεμβέβληται. τὸ δὲ λεγόμενόν ἐστι τοιοῦτον· ἔμψυχον ἄν τι εἴη εὐθὺς ἐν τῷ σπέρματι, ἀλλὰ μὴν ἀδύνατον ἔμψυχόν τι εἶναι, εἴτε δύ|ναται ποιεῖν τὰ ἄλλα, κἂν 37ᵛ τε μὴ δύναται. εἰ γάρ ἐστιν ἔμψυχον, πᾶν δὲ ἔμψυχον ἐκ σπέρματος, ἀνάγκη εἶναι πρὸ τοῦ σπέρματος ἐν ᾧ ἐστιν ἄλλο σπέρμα, ἀφ' οὗ γέγονεν. ὅτι μὲν γὰρ τοῦτο ὑπὸ τοῦ ποιήσαντος τὸ σπέρμα ἐν ᾧ ἐστι γέγονε, δῆλον, ἀλλ' ἀνάγκη πρὸ τούτου τε καὶ τοῦ ἐν ᾧ ἐστι σπέρματος ἄλλο εἶναι σπέρμα, ἐξ οὗ γέγονε· πᾶν γὰρ ἔμψυχον ἐκ σπέρματος· ὥστε ἔσται τοῦ σπέρματος σπέρμα, καὶ τοῦτ' εἰς ἄπειρον. οὐθὲν ἄρα οἷόν τε τὸ ποιοῦν μόριον ὑπάρχειν τοῦ γινομένου· δέδεικται δὲ ὅτι οὐδὲ ἔξω ὂν δύναται ποιεῖν. διό, φησί, πειρατέον ταῦτα λύειν. ἡ μὲν οὖν τοῦ λόγου συνέχεια αὕτη·

1 ἀκούει a 2 ψευδὲς utrobique a 3 δὲ libri (sed iidem infra v. 13 δὴ) et Arist. S: δὲ δὴ Arist. vulg. τῆς Arist.: τι libri, sed iidem v. 14 τῆς 5 δεικνὺς a διὰ τούτων Ka 6 ὅλως] ἄλλως IK τὸ om. Ka 8 καὶ ἐκεῖσε K 9 πρῶτος La 10 περὶ τοῦτο a 11 ἐν σπέρματι ἔνεστιν a 13 νῦν scripsi: οὖν libri 15. 16 ἐντελέχεια a 16 ἐν τῇ Περὶ ψυχῆς] B 1 ἐν τῷ περὶ K 18 ἐστὶ a ὑπάρξαι scripsi: ὑπάρξη IL: ὑπάρξοι Ka ἂν om. K ἐν om. IL 21 ἐνυπάρχει L¹ 23 post μεταξὺ add. καὶ IL παρεμβέβληνται IL 25. 26 κἂν τε καὶ μὴ IKa 26 δύνηται K 28 ἐστὶ om. IL 30 ἐκ τοῦ σπέρματος Ka 33 αὕτη] τοιαύτη K

τὰ δ' ἄλλα, ὥσπερ εἴρηται, μεταξὺ παρεμβέβληται, διὸ καὶ τούτοις ἄξιον 37r
ἐπιστῆσαι. εἰπὼν ὅτι εἴπερ ἐστὶ τὸ ποιοῦν καὶ κινοῦν μόριον τοῦ γινο-
μένου, ἀνάγκη ἔμψυχον εἶναι, ἐπήγαγε τὰ οὖν ἄλλα πῶς; τουτέστι τὰ
οὖν ἄλλα μόρια, ἃ μέλλει ἀπ' αὐτοῦ γενέσθαι, πῶς γενήσεται; ἆρά γε 10
5 πάντα ἅμα γίνεται ἢ οὔ; καὶ ὅτι μὲν οὐχ ἅμα πάντα, καὶ τῷ λόγῳ καὶ
τῇ αἰσθήσει δῆλον· καὶ πῶς τῷ λόγῳ δῆλον, ἐρεῖ προϊὼν ἐν τῷ παρόντι
βιβλίῳ. ἐπεὶ δέ τινες ἔλεγον ἅμα πάντα γίνεσθαι, ἀλλ' ὅσα μέν εἰσι μεί-
ζονα φαίνεται διὰ μέγεθος, ὅσα δὲ βραχύτατα ἄδηλα τυγχάνει διὰ σμι-
κρότητα, καὶ ἐπὶ τούτῳ τὰ μὲν φαίνεται τὰ δ' οὔ, καίτοι ἅμα πάντων
10 γινομένων, ἐπήγαγεν· ὥσπερ νῦν ἐπὶ τῶν τελείων ζῴων ἐστὶ μείζων τὸ
μέγεθος ὁ πνεύμων τῆς καρδίας, οὕτως καὶ ἐν τῇ γενέσει, ὅτε ἦσαν ἅπαντα 15
μικρότατα, μείζων ἂν ἦν αὐτῆς. εἰ δὲ τοῦτο, ἐπειδὴ φαίνεται ἐν τῇ γενέσει
ἡ καρδία, καίτοι πάνυ σμικροτάτη οὖσα, ἐφαίνετο ἂν καὶ ὁ πνεύμων, καὶ
τοσοῦτον μᾶλλον, ὅσον ὑπερέχει τῆς καρδίας. νῦν δὲ ἡ μὲν καρδία φαί-
15 νεται τότε, οὗτος δὲ οὐ φαίνεται, ὡς μήπω δηλονότι γεγονώς· εἰ γὰρ ἐγε-
γόνει, καὶ ἐφαίνετο. ὥστε οὐχ ἅμα γίνονται, ἀλλ' ἡ μὲν καρδία πρῶτον,
τὰ δ' ἄλλα ἅμα μὲν διαγράφεται, τελειοῦται δὲ τὸ μὲν πρῶτον τὸ δ'
ὕστερον, ὡς ἐρεῖ προϊών. καὶ ἐπεί, φησί, τὸ μὲν γίνεται πρῶτον, τὸ δ' 20
ὕστερον, πότερον τὸ πρῶτον γεγονὸς ποιεῖ τὸ δεύτερον καὶ τοῦτο τὸ τρίτον;
20 καὶ ἐρωτήσας ἐπικρίνει λέγων ἢ μᾶλλον μετὰ τόδε γίνεται τόδε;
τουτέστιν ἢ οὐ ποιεῖ τὸ πρῶτον τὸ ἐχόμενον; λόγος δὲ καὶ αἰτία τοῦ μὴ
γίνεσθαι τὰ δεύτερα, φησίν, ὑπὸ τῶν προτέρων, ὅτι ὑπὸ τοῦ ἐντελεχείᾳ
ὄντος τὸ δυνάμει ὂν γίνεται ἐν τοῖς φύσει. τὸ δὲ λεγόμενον τοιοῦτον ἂν
εἴη· ὥσπερ τὸ δυνάμει πῦρ ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος πυρὸς γίνεται ἐνεργείᾳ
25 πῦρ, καὶ ὁ δυνάμει γραμματικὸς ὑπὸ τοῦ ἐνεργείᾳ ὁμοίως γίνεται γραμμα- 25
τικός, οὕτως εἰ ἡ καρδία ἐποίει τὸν πνεύμονα, ἦν ἂν ἡ καρδία πνεύμων,
καὶ ἦν ἅμα καὶ καρδία καὶ πνεύμων. ἰστέον δὲ ὅτι παραλογίζεται ἡμᾶς·
ὡς γὰρ δείξει προϊών, ἡ ἐν τῷ σπέρματι ἐνοῦσα δύναμις πρῶτον μὲν ποιεῖ
τὴν καρδίαν καὶ ἐντίθησιν ἐν αὐτῇ τοιαύτην δύναμιν, λέγω δὴ ποιητικήν,
30 καὶ οὕτως αὕτη ποιεῖ τὰ λοιπά. πῶς δὲ ταῦτα συμβαίνει, ἐρεῖ ἐν τῷ
παρόντι βιβλίῳ, ὅτε καὶ ἡμεῖς εἴποιμεν ἂν τὰ δοκοῦντα ἡμῖν.

p. 734ᵇ4 Πειρατέον δὴ ταῦτα λύειν· ἴσως γάρ τι τῶν εἰρημένων ἐστὶν οὐχ ἁπλοῦν.

Ἐπιχειρήσας, ὥσπερ εἴρηται, καὶ συλλογισάμενος ἐφ' ἑκάτερα ὅτι οὔτε 30

1 παρεντίθεται K: παρεντέθειται a τούτοις] τοῖς ἄλλοις K 4 μέλλη a
5 ἅμα πάντα coll. Ka 8 exspectas φαίνεσθαι—τυγχάνειν—φαίνεσθαι (9)
τυγχάνουσι a 9 ἐπὶ τούτου a καίτοι] καὶ IL 10 νῦν] οὖν K
τελείων om. K μείζων om. IL: post πνεύμων (11) ponit a 12 αὐτῆς]
αὐτοῦ IL: αὐτῶν a 13 ἐμφαίνετο Ka 18 ὡς ἐρεῖ—ὕστερον (19) om. IL
γίνεται τὸ πρῶτον a 23 τοῖς φυσικοῖς a 26 εἰ] καὶ La ἡ καρδία ὁ
πνεύμων IL 27 ante ἅμα add. ἂν a καὶ ἡ καρδία a 29 ἐναποτί-
θησιν K ἐν om. K τὴν τοιαύτην K post δὴ add. τὴν K
30. 31 ἐν τῷ παρόντι βιβλίῳ] B 4 p. 740ᵃ3 sqq. 32 δὴ om. IL

ἔξωθεν εἶναι δύναται τὸ ποιοῦν οὔτε ἐν αὐτῷ τῷ κυήματι, ἐπειδὴ τὸ 37r
ἔξωθεν οὐχ ἁπλοῦν ἐστι, τοῦτο λέγει εἶναι αἴτιον τοῦ παραλογισμοῦ. εἰ 35
μὲν γάρ τις λέγει ὅτι τὸ ἔξω ἀμέσως ποιεῖ καὶ χωρίς τινος ὀργάνου, ψεύ-
σεται, εἰ δὲ διὰ μέσου τοῦ σπέρματος καὶ τῆς ἐν αὐτῷ δυνάμεως ὡς δι' 40
5 ὀργάνων τινῶν, ἀληθεύσει· ὥστε ἐρωτωμένων ἡμῶν, πότερον τὸ ποιοῦν
ἔξω ὂν δύναταί τι ποιεῖν ἢ οὔ, ἀποκριτέον ἔστι μὲν οὖν ὡς δύναται, ἔστι 45
δ' ὡς οὔ· διὰ μὲν ὀργάνων τι|νῶν δύναται, χωρὶς δὲ τούτων οὐ δύναται. 37v
τὸ δὴ ποιοῦν, φησίν, εἴτε τὸ σπέρμα χρὴ λέγειν εἶναι εἴτε τὸ ἀφ' οὗ, οὐδὲν
διαφέρει. ᾗ μὲν γὰρ ἔχει ἐν ἑαυτῷ τὸ σπέρμα τὴν δύναμιν ἐν ᾗ εἰσιν οἱ 5
10 τῶν μερῶν λόγοι, ταύτῃ οὐδὲν διαφέρει τὸ σπέρμα τοῦ ἀφ' οὗ ἐξῆλθεν.
ὡς γὰρ τὸ σκέπαρνον κατὰ τὴν κίνησιν, ἣν ὑπὸ τοῦ τέκτονος ἅμα κινού- 10
μενον κινεῖ καὶ τοιωσδὶ τὸ ξύλον σχηματίζει, οὐδὲν διαφέρει τοῦ τέκτονος,
οὕτω καὶ τὸ σπέρμα, ᾗ ἔχει τὴν κίνησιν καὶ τὴν ποιητικὴν δύναμιν ἐν
ἑαυτῷ, οὐδὲν διαφέρει, ἀλλὰ ταὐτόν ἐστι τῷ ἀφ' οὗ ἐξῆλθεν. αὐτόματα
15 δὲ θαύματα λέγει τὰ ξύλινα ὄργανα, ἃ παρῆγον ἐν τοῖς γάμοις. ὥσπερ γὰρ
ἐν τούτοις ὁ θαυματοποιὸς κινεῖ τόδε μὲν τὸ ξύλον καὶ ἀπέρχεται, τοῦτο
δὲ ὑπὸ τῆς ἐνδοδείσης αὐτῷ κινητικῆς δυνάμεως διά τινος μηχανῆς κινεῖ
ἕτερον, κἀκεῖνο ἄλλο, κἀκεῖνο τὸ εἴδωλον, τοῦτο δὲ δοκεῖ ὑφ' ἑαυτοῦ 15
κινεῖσθαί τε καὶ ὀρχεῖσθαι, ὅμως οὐ κινεῖται ὑφ' ἑαυτοῦ, ἀλλὰ ὑπὸ τοῦ
20 πρώτως κινήσαντος, οὕτω κἀν τούτοις ὁ μὲν πατὴρ δέδωκε τῷ σπέρματι
κινητικήν τινα δύναμιν, ὥσπερ καὶ ὁ θαυματοποιὸς τῷ πρώτως ὑπ' αὐτοῦ
κινηθέντι ξύλῳ· αὕτη δὲ ἡ κινητικὴ δύναμις κινεῖ τὸ καταμήνιον ἢ τὸ ἀνά-
λογον, καὶ οὕτω γίνεται τὸ ζῷον. εἰπὼν δὲ ὅτι οἷον τὰ αὐτόματα τῶν
θαυματοποιῶν ἐπήγαγε ἔχοντα γάρ πως ὑπάρχει δύναμιν τὰ μόρια
25 ἠρεμοῦντα. τὰ γὰρ μόρια τοῦ εἰδώλου καὶ τὰ λοιπὰ ξυλάρια ὅτε ἠρε- 20
μοῦσι δυνάμει ἔχουσι τὸ κινηθῆναι, καὶ ὥσπερ ἐν τοῖς αὐτομάτοις καὶ μὴ ἁψα-
μένου τοῦ θαυματοποιοῦ τοῦ εἰδώλου ὅμως ἁψαμένου τινὸς ἄλλου ξυλαρίου,
εἶτα ὑποχωρήσαντος κινεῖται τὸ εἴδωλον, οὕτως καὶ ὁ πατὴρ μὴ ἁψάμενος
τοῦ καταμηνίου, ἁψάμενος δέ τινος ποιεῖ τὸ ζῷον. τὴν δὲ ἐν τῷ σπέρ-
30 ματι ἐνοῦσαν δύναμιν ἅπτεσθαί φαμεν τοῦ καταμηνίου ὃν τρόπον λέγεται
καὶ ἡ οἰκοδόμησις ἅπτεσθαι τοῦ οἴκου καὶ ἡ λοιδορία τοῦ λοιδορουμένου.
τὸ δὲ τρόπον τινὰ πρόσκειται, διότι τὸ κυρίως ἅπτεσθαι ἐπὶ σωμάτων λέ- 25
γεται, ἡ δὲ ἐν τῷ σπέρματι δύναμις καὶ ἡ λοιδορία ἀσώματος. καὶ λοιπὸν
συμπεραίνεται λέγων ὅτι ἔστι τι ὃ ποιεῖ, οὐχ οὕτω δὲ ὡς τόδε τι. ὃ

---

1 δύναται] δυνα$^{\mu\nu}$ IA ἐπεὶ a 6 οὖν om. K 8 δὲ K 9 ἡ μὲν IL: εἰ μὲν a ἐν ᾧ La 10 τοῦ] τὸ IL 11 ὡς γὰρ—ἐξῆλθεν (14) om. K κατὰ om. IL ἀπὸ L 13 οὕτως οὐδὲ τὸ a 14 τὸ ἀφ' οὗ La 15 ὄργανα] εἴδωλα Ka 16 μὲν τόδε coll. K 17 ὑπὸ] διὰ K κινητικῆς] κινῆται a: κινεῖται K 20 πρώτως] πρότερον a 21 πρώτῳ a 24 δυνάμει a 25 ὅτι K 26 δύναμιν ἔχουσι τοῦ κινηθῆναι Ka post ὥσπερ add. δὴ Ka 29 τῆς δὲ et 30 ἐνούσης δυνάμεως IL 30. 31 λέγεται—οἰκοδόμησις] καὶ ὁ οἰκοδόμος λέγεται K: λέγει μὲν καὶ ἡ οἰκοδομικὴ a 31 τῆς οἰκίας Ka 32 τὸ post διότι om. L ἅπτεσθαι ex ἔπεσθαι corr. K 33 ἡ post καὶ om. a ἀσώματα K

δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι μὲν οὖν ἐστί τι τὸ ποιοῦν καὶ τοῦτό ἐστιν ἡ 37v
ἐν τῷ σπέρματι δύναμις, οὐχ οὕτω δὲ ἔχει ἐν ἑαυτῷ ἐνεργείᾳ τὰ μόρια
ὡς τὸ πρώτως ποιοῦν οἷον ὁ πατήρ, ἀλλὰ δυνάμει μὲν τὰ μόρια ἐνεργείᾳ
δὲ τοὺς λόγους, δῆλον.

5 p. 734b19 Πῶς δέ ποτε ἕκαστον γίνεται, ἐντεῦθεν δεῖ λαβεῖν ἀρχὴν ποιησαμένους.

Εἰπὼν τί τὸ ποιοῦν προτίθεται εἰπεῖν καὶ πῶς τὰ ὑπ' αὐτοῦ γινόμε- 30
να γίνεται. πρότερον δὲ πάλιν λέγει τε καὶ διορίζεται, τί τε τὸ ὄργανον
μεθ' οὗ ποιεῖ, καὶ ἄλλα τινὰ ἀκόλουθα τοῖς προκειμένοις, εἶθ' οὕτως ἐπά- 35
10 νεισι διὰ πολλοῦ ἐπὶ τὸν τρόπον τῆς γενέσεως αὐτῶν. ἀρχὴν οὖν. φησί,
ποιητέον τήνδε· ὅσα γίνεται φύσει ἢ τέχνῃ, ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος γίνε- 40
ται ἐκ τῆς ὅλης τῆς δυνάμει οὔσης τόδε τι. γίνεται γὰρ ὁ ἀνδριὰς ὑπὸ
τῆς ἐνεργείᾳ οὔσης τέχνης ἐκ τοῦ χαλκοῦ τοῦ δυνάμει ὄντος ἀνδριάντος. 45
ἔστι δὲ καὶ τὸ σπέρ|μα τοιοῦτον· ἔχει γὰρ ἐν ἑαυτῷ ἐνεργείᾳ τοὺς λόγους 38r
15 ἑκάστου τῶν γινομένων, καθάπερ καὶ ὁ τεχνίτης τοὺς τῶν τεχνητῶν. καὶ
παυομένης τῆς κινήσεως, φησί, γίνεται ἕκαστον τῶν μορίων. ὥσπερ 5
γὰρ ἐπὶ τῶν αὐτομάτων θαυμάτων ὁ μὲν θαυματοποιὸς κινήσας τόδε τι
πέπαυται τοῦ κινεῖν, τοῦτο δὲ τὸ προσεχῶς ὑπ' αὐτοῦ κινηθὲν ἐκίνησεν 10
ἄλλο, κἀκεῖνο ἕτερον, οὕτω καὶ ἡ ἐν τῷ σπέρματι δύναμις ἐκίνησε τὴν ὅλην
20 καὶ πεποίηκε πρῶτον τὴν καρδίαν καὶ ἐνέσπειρεν ἐν αὐτῇ δύναμιν οἵα ἐστὶν 15
αὐτή, εἶτα πέπαυται· ἡ δὲ ἐν τῇ καρδίᾳ δύναμις ποιεῖ τὰ ἄλλα. παυο-
μένης οὖν τῆς κινήσεως τῆς ἀπὸ τῆς ἐν τῷ σπέρματι δυνάμεως γινομένης, 20
ἐνεργούσης δὲ τῆς ἐν τῇ καρδίᾳ ἐνσπαρείσης δυνάμεως γίνεται ἕκαστον τῶν
ἄλλων μορίων. γίνεται δὲ οὐ μόνον τοιόνδε κατὰ τὸ σχῆμα, ἀλλὰ καὶ
25 ἔμψυχον· πᾶν γὰρ τὸ ἔχον τὴν αὐξητικὴν καὶ δηλονότι καὶ θρεπτικὴν ψυχὴν
ἔμψυχόν ἐστι. καὶ ἄλλως δὲ εἰ μὴ ἦσαν ἔμψυχα, ὁμωνύμως ἂν αἱ χεῖρες
ἐλέγοντο χεῖρες καὶ οἱ ὀφθαλμοὶ ὀφθαλμοί, καὶ τὰ λοιπὰ ὁμοίως. εἰπὼν
οὖν περὶ τοῦ ποιητικοῦ ἃ προσεχῶς εἴρηκεν, ἐπειδή τινες ἔλεγον ὅτι τὸ 25
δημιουργοῦν καὶ ποιοῦν τὰ τοῦ ζῴου μέρη ἡ ἐν τῇ μητρὶ θερμότης ἐστίν,
30 ἐπάγει λέγων ὥσπερ γὰρ ἐπὶ τῶν τεχνητῶν οὐδ' ἂν πέλεκυν οὐδὲ ἄλλο
τι οὐδὲν φήσαιμεν ποιῆσαι τὸ πῦρ μόνον, ἀλλ' ὁ τεχνίτης μετὰ τοῦ πυρὸς
καὶ τῶν οἰκείων ὀργάνων, οὕτως οὐδὲ πόδας καὶ χεῖρας ποιεῖ τὸ ἐν τῇ
μητρὶ θερμὸν μόνον, ἀλλ' ἡ τοῦ σπέρματος δύναμις. σκληρὰ μὲν γὰρ καὶ
κραῦρα ποιήσαιεν ἂν πῦρ καὶ ψυχρότης, ὥσπερ δέδεικται ἐν τετάρτῳ τῶν 30
35 Μετεώρων, καὶ ἡμεῖς ὁρῶμεν τὸν κρύσταλλον ὑπὸ ψύχους γινόμενον· τοὺς

1 μὲν οὖν ἐστί τι infra vers. add. L ἐστί om. I 3 ποιοῦν πρώτως K
οἷος K 5 ἐνταῦθα IL 7 προστίθεται IL[1] 8 τε post τί om. Ka
10 οὖν] δὲ K 15 γινομένων] μορίων Ka τοὺς om. a τεχνιτῶν a
20 ἑαυτῇ IKL 21 αὐτή om. K 23 σπαρείσης K 25 πᾶν] πῶς K
καὶ prius om. IL καὶ τὴν θρ. Ka 26 ἄψυχον K 27 ὀφθαλμοὶ semel
habet a 28 ἃ] ἅπερ a εἴρηται a 33 γὰρ om. ILa 34 καὶ ἡ ψυχρότης a
34. 35 ἐν τετάρτῳ τῶν Μετεώρων] Δ 10 35. 79,1 τὸν δὲ λόγον K

δὲ λόγους καὶ τὴν φύσιν καὶ τὴν ἐνέργειαν καὶ τὸ εἶδος, καθ' ἃ τὸ μέν 38ʳ
ἐστι χείρ, τὸ δὲ ὀφθαλμός, οὐκέτι ποιήσειεν ἂν τὸ πῦρ, ἀλλ' ἡ κίνησις ἡ
ἀπὸ τοῦ γεννήσαντος (λέγων γεννήσαντα καὶ ἐντελεχείᾳ ὄντα τὸν πατέρα)
ἐν τῷ σπέρματι ἐνοῦσα. εἰπὼν δὲ ὅτι ἀπὸ τοῦ γεννήσαντος τοῦ ἐντελε-
5 χείᾳ ἔχοντος ἅπαντα τὰ μόρια, ἐπήγαγεν ὅ ἐστι δυνάμει ἡ ἐξ οὗ γίνε-
ται. ἐλλείπει δὲ τῇ λέξει τὸ ὕλη καὶ τὸ γινόμενον, εἴη δ' ἂν τὸ τῆς 35
λέξεως πλῆρες τοιοῦτον, ὅ ἐστι δυνάμει ἡ ὕλη, ἐξ ἧς γίνεται τὸ γινόμενον.
ἡ γὰρ ὕλη δυνάμει ἐστὶ τοῦτο, λέγω δὴ τὸ ποιοῦν, ὥσπερ καὶ τὰ ξύλα
δυνάμει πῦρ. ὅτι δὲ τὰ ὄργανα κατὰ τὸν τῆς τέχνης λόγον κινεῖται, δῆλον·
10 εἰ γὰρ ἄλλην τινὰ ἐκινεῖτο καὶ μὴ ταύτην, οὐκ ἂν ἐγεγόνει ποτὲ τὸ
τεχνητόν. ἀλλ' ἡ μὲν κίνησις, ἣν κινεῖται καὶ τὰ ὄργανα καὶ τὰ δι' αὐτῶν
γινόμενα τεχνητά, ἐκτός ἐστιν αὐτῶν (ὁ γὰρ τεχνίτης ἐκτός), ἐπὶ δὲ τῶν
φύσει γινομένων ἐν αὐτοῖς ἐστι τοῖς γινομένοις τὸ ποιοῦν καὶ κινοῦν. ἑτέραν 40
δὲ φύσιν καὶ ἔχουσαν ἐνεργείᾳ τὸ εἶδος τὸν πατέρα λέγει. |

15 p. 735ᵃ4 Πότερον δ' ἔχει ψυχὴν τὸ σπέρμα ἢ οὔ; ὁ αὐτὸς λόγος καὶ περὶ τῶν μορίων.

Τὸ ζητούμενόν ἐστιν, ἆρα ἔχει ψυχὴν καὶ τὸ σπέρμα τινὰ καὶ τὰ 38ᵛ
μόρια, ἢ πάντῃ πάντως ἄψυχα τυγχάνει ὄντα; τὸ γὰρ ὁ αὐτὸς λόγος καὶ
περὶ τῶν μορίων ἴσον ἐστὶ τῷ τὸ αὐτὸ δὴ τοῦτο ζητητέον καὶ περὶ τῶν 5
20 μορίων, ἆρ' ἔχουσι ψυχὴν ἢ οὔ. εἰ γὰρ μὴ ἔχει τὸ σπέρμα ψυχήν, φη-
σίν, οὐδ' ἐν ἄλλῳ τῶν μορίων, οἷον ὀφθαλμῷ, χειρί, τοῖς τοιούτοις ἔσται 10
ψυχή, πλὴν ἐν ἐκείνῳ οὗ γέ ἐστι, τουτέστι πλὴν ἐν τῷ πατρὶ ἀφ' οὗ
τὸ σπέρμα ἀπῆλθεν. ὥστε εἰ μὴ ἐν τῷ σπέρματί ἐστι ψυχή, ὑφ' οὗ τὰ
μόρια γέγονεν, οὐδὲ τὰ μόρια ἕξει, ἀλλ' ἄψυχα ἔσται. ἀλλ' εἰ μὴ ἔχουσι 15
25 ψυχήν, οὐδὲ μόρια ἔσται τοῦ γεγονότος, ἀλλ' ἢ ὁμωνύμως. πῶς γὰρ
αὐτοῦ μὲν ὄντος ἐμψύχου, τούτων δὲ ἀψύχων, μόρια ἔσται αὐτοῦ; δῆλον
οὖν, φησίν, ὅτι καὶ ἔχει τὸ σπέρμα ψυχὴν καὶ δηλονότι δι' αὐτὸ καὶ τὰ
μόρια, καὶ ἔστι δυνάμει. ἀλλὰ πῶς ψυχὴν ἔχον οὐκ ἐνεργείᾳ ἐστὶν ἔμψυ-
χον, ἀλλὰ δυνάμει; ἢ οὕτως ἐστί, φησί, δυνάμει πρὸ τοῦ ἅψασθαι τοῦ
30 καταμηνίου, ὡς ὁ ἐνεργείᾳ γεωμέτρης καὶ μὴ ἐνεργῶν διὰ στέρησιν βιβλίου·
ἐπειδὰν δὲ ἅψηται τῆς ὕλης καὶ κινῇ καὶ οἱονεὶ ἐμψυχοῖ αὐτήν, ἔοικε τῷ 20
ἔχοντι βιβλίον καὶ ἐνεργοῦντι. λέγει δὲ καὶ τὸ σπέρμα καὶ τὸν γεωμέτρην
ἐγγυτέρω αὐτὰ ἑαυτῶν γίνεσθαι καὶ πόρρω. ὡς γὰρ ὁ αὐτὸς καὶ εἷς γεω-

2 ποιήσαιεν IL πῦρ] καταμήνιον a ἡ post κίνησις om. a 3 λέγει I γεννήσαντα scripsi: γεννῆσαν libri 5 ἡ om. a 6 ἡ ὕλη K: τὸ ἡ ὕλη a 8 ὕλη δύναμις K 10 ἄλλην] ἄλλα I 11 τὰ δ' ἑαυτῶν a 12 γινόμενον a ὁ] ὂν La 14 ἐνεργείαν a 16 περὶ] ἐπὶ K 17 ἐστιν om. K καὶ prius om. Ka τινὰ om. K 18 πάντα πάντως a 21 post χειρὶ add. καὶ a 22 τοῦ τέ ἐστι πλὴν a 23 ἐξῆλθεν K ἐστὶν ἡ ψυχὴ L 24 οὐδὲν K 25 ἐστὶ a 28. 29 ἀλλὰ πῶς—ἀλλὰ δυνάμει om. K 29 οὕτως] οὔτε K 31 κινεῖ ILa 32 καὶ post δὲ om. K 33 ἑαυτῶν] αὐτῶν IL πόρρω] immo πορρωτέρω

μέτρης ὅταν μὲν καθεύδῃ, πορρωτέρω ἐστὶ τοῦ ἐνεργοῦντος, ἐγγυτέρω δὲ 38ᵛ
ὅταν ἐγρηγορῇ, οὕτω καὶ τὸ σπέρμα. ἔστιν οὖν τὸ σπέρμα ἐνεργείᾳ μὲν
ἔμψυχον, ὥσπερ καὶ ὁ ἐγρηγορὼς γεωμέτρης ἐνεργείᾳ γεωμέτρης, δυνάμει
δὲ ὡς μὴ ἐνεργοῦν, ὥσπερ καὶ ὁ μὴ ἐνεργῶν γεωμέτρης· ᾗ μὲν γὰρ
5 ἔχουσι τὴν ἕξιν, ἐνεργείᾳ εἰσίν, ᾗ δὲ μὴ ἐνεργοῦσι, δύνανται δὲ ἐνεργῆσαι, 25
δυνάμει.

p. 735ᵃ12 Ταύτης μὲν οὖν οὐδὲν μόριον αἴτιον τῆς γενέσεως, ἀλλὰ τὸ πρῶτον κινῆσαν ἔξωθεν.

Ταύτης λέγει τῆς διαπλαττούσης καὶ ποιούσης τὰ μόρια. οὐδὲν οὖν,
10 φησί, μόριον αὐτὸ ἑαυτῷ αἴτιόν ἐστι τῆς διαπλαστικῆς γενέσεως· οὐδὲν
γὰρ αὐτὸ ἑαυτὸ γεννᾷ καὶ παράγει, ὡς ἐν ἄλλοις ἡμῖν δέδεικται, ἀλλὰ 30
γίνεται μὲν ὑπὸ τοῦ ἔξωθεν ποιοῦντος, τρέφεται δ' ὑφ' αὑτοῦ. τὴν μὲν
γὰρ θρεπτικὴν ἔχει ἕκαστον ἐν ἑαυτῷ καὶ διὰ τοῦτο γεγονὸς τρέφει αὐτὸ 35
ἑαυτό, τὴν δὲ διαπλαστικὴν καὶ ποιητικὴν οὐκέτι, ἀλλὰ ἔξωθεν· τὸ δὲ ἔξω-
15 θεν ταὐτόν ἐστι τῷ οὐ σύμφυτον, ἀλλ' οἱονεὶ ἁπτομένην. εἰπὼν δὲ ὅτι
αὔξει ἤδη αὐτὸ ἑαυτό, ἐπήγαγε διόπερ πρῶτόν τι γίνεται καὶ οὐχ
ἅμα πάντα, τουτέστι καὶ διὰ τὸ μηδὲν αὐτὸ ἑαυτὸ ποιεῖν καὶ παράγειν,
ἀλλὰ πᾶν τὸ γινόμενον ὑπ' ἄλλου γίνεσθαι γίνεταί τι πρῶτον. εἰ γὰρ μὴ 40
ὑπ' ἄλλου ἐγίνοντο, ἀλλ' ὑφ' ἑαυτῶν, διὰ τί ὥσπερ ἡ καρδία φέρε εἰπεῖν
20 ἐποίησεν αὐτήν, οὐ κατὰ τὸν αὐτὸν καιρὸν καὶ ἕκαστον τῶν ἄλλων ἑαυτὸ
παρήγαγε καὶ ἅμα πάντα γέγονε; ζητήσειε δ' ἄν τις, εἰ μηδὲν αὐτὸ ἑαυτὸ
παράγει, ἀλλά τι ἄλλο ἔχον ἐν ἑαυτῷ ἐνεργείᾳ τοὺς λόγους, διὰ τί οὐχ
ἅμα πάντα ποιεῖ, ἀλλὰ πρῶτον τὴν καρδίαν; ἢ ὥσπερ ὁ τέκτων ἐνεργείᾳ
μὲν ἔχει τὸν τῆς ξυλίνης σφαίρας λόγον καὶ τὸν τῆς κλίνης καὶ ἄλλων 45
25 πολλῶν, οὐχ ἅμα δὲ ποιεῖ πάντα, ἀλλὰ πρῶτον μέν, εἰ οὕτως ἔτυχε, τὴν
σφαῖραν, εἶτα τὴν κλίνην, οὕτως καὶ αὕτη ἡ δύναμις ἅμα μὲν πάντα σκια-
γραφεῖ, πρῶτον δὲ δημιουργεῖ τὸ ἀναγκαιότατον, εἶτα τὸ ἐφεξῆς. εἰπὼν δὲ
διόπερ πρῶτόν τι γίνεται, ἐπήγαγε τοῦτο δὲ γίνεσθαι ἀνάγκη
πρῶ|τον ὃ αὐξήσεως ἀρχὴν ἔχει, τουτέστι τοῦτο δὲ ἀνάγκη πρῶτον 39ʳ
30 γίνεσθαι, ὃ δύναται ὥσπερ ἀκρόπολίς τις δέξασθαι καὶ φυλάσσειν τὴν θρε-
πτικὴν καὶ αὐξητικὴν καὶ γεννητικὴν ψυχήν. αὗται δὲ τῷ μὲν ὑποκειμένῳ
μία εἰσί, τῷ λόγῳ δὲ διάφοροι. τοῦτο δέ, φησί, τὸ θρεπτικὸν τὸ γεννη-
τικόν ἐστιν οἷον αὐτό· παντὸς γὰρ ζῴου καὶ φυτοῦ τελείου τοῦτό
ἐστιν ἔργον τὸ γεννῆσαι οἷον αὐτό.

2 γρηγορῇ Ka ἔστιν—σπέρμα om. IL 3 γρηγορῶς a post ἐνεργείᾳ add. δὲ IL
4 ἐνεργῶν] ἐνεργοῦν Ia 5 ἐστίν K 10 μόριον om. K αὐτὸ] αὐτῷ I
11 ἐν ἄλλοις] nescio quo respiciat 15 οἱονεὶ om. IL 18 γενόμενον a
19 διὰ τί scripsi: δι' ἃ Ka: om. IL 20 αὐτήν libri οὐ om. L in lit. II
litt. 21 καὶ om. a καὶ ἅμα—παράγει (22) om. L 22 παράγει] παρή-
γαγε I 24 ἔχει μὲν Ka 25 δὲ om. IL 31 καὶ αὐξητικὴν om. L
γεννητικὴν ILa ψυχήν post θρεπτικὴν ponit K 32 εἰσί] ἐστί a τὸ θρεπτικὸν τὸ
om. a 33 post ἐστιν ex Arist. addendum ἑτέρου post ἐστιν add. τὸ γεννὸν
(l. τὸ γεννῶν) a

p. 735a19 Ἀνάγκη δὲ διὰ τόδε, ὅτι ὅταν γένηται, αὐξάνεσθαι ἀνάγκη.

Εἰπὼν ὅτι τοῦτο γίνεσθαι ἀνάγκη πρῶτον, ὃ αὐξήσεως ἀρχὴν ἔχει, καὶ διὰ μέσου τινὰ παρενείρας ἐπήγαγε τὸ ἀνάγκη δὲ διὰ τόδε, καὶ ἔστι συνεχὲς τούτῳ ἐκεῖνο. ὃ δὲ λέγει οὕτως ἐπῆκται, ὡς εἰ ἔλεγε διὰ τί δὲ εἶπον τὸ ἀνάγκη γίνεσθαί τι πρῶτον καὶ ἔχειν αὐξήσεως ἀρχήν; διὰ τόδε. καὶ τί τοῦτο; διὰ τὸ ἀναγκαῖον εἶναι πᾶν τὸ γεγονὸς αὐξάνεσθαι. εἰ δὲ ἕν τί ἐστι καὶ τοῦτο τὸ ἔχον τὴν αὐξητικὴν πρώτως ψυχήν (οὐ γὰρ πολλὰ μέρη ἔχει), ταύτην πρώτως ἀνάγκη πρῶτον τῶν ἄλλων γίνεσθαι.

p. 735a29 Περὶ δὲ τῆς τοῦ σπέρματος φύσεως ἀπορήσειεν ἄν τις.

Ὃ ζητεῖ τοιοῦτόν ἐστι, πότερον τὸ σπέρμα ὕδωρ ἐστὶν ἢ μῖγμα ὕδατος καὶ γῆς. εἰ μὲν οὖν ὕδωρ, οὐδὲν δὲ ὕδωρ παχύνεται ὑπὸ θερμοῦ καὶ στερεώτερον αὐτὸ ἑαυτοῦ γίνεται. ἔδει μηδὲ τὸ σπέρμα ὕδωρ ὂν παχύνεσθαι ὑπὸ τῆς ἐν τοῖς ζῴοις θερμότητος· νῦν δὲ ἕξεισι παχὺ καὶ συνεστηκὸς ὥσπερ μέλι ἐψηθέν, ἀλλ' οὐ διαρρέον καὶ ἐξατμιζόμενον ὥσπερ τὸ ὕδωρ. ἕξεισι μὲν οὖν παχύ, ψυχόμενον δὲ γίνεται ὑγρὸν καὶ διαρρέον· ἔδει δέ, εἴπερ ὕδωρ ἦν, μὴ διαρρεῖν ὑπὸ τοῦ ψύχους, ἀλλὰ μᾶλλον πήγνυσθαι καὶ ὥσπερ κρύσταλλον γίνεσθαι. ἐπεὶ οὖν τὸ ὕδωρ ὑπὸ μὲν θερμοῦ οὐ παχύνεται, ὑπὸ δὲ ψυχροῦ πήγνυται, τὸ δὲ σπέρμα παχύνεται μὲν ὑπὸ τοῦ θερμοῦ, ὑπὸ δὲ τοῦ ψυχροῦ ὑγραίνεται ὡς ὑπὸ τοῦ ἐναντίου ἤτοι τοῦ θερμοῦ παχυνθέν (ὃ γὰρ ἔπηξε τὸ ἐναντίον, τοῦτο τήκεται ὑπὸ θατέρου τῶν ἐναντίων, ὡς ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν Μετεώρων εἴρηται) οὐκ ἂν εἴη τὸ σπέρμα ὕδωρ. ἀλλὰ μὴν οὐδὲ μῖγμα γῆς καὶ ὕδατος· ἔδει γὰρ ἐν τοῖς πάγοις πήγνυσθαι καὶ στερεοῦσθαι, ὥσπερ ὁ πηλός· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ οὐκ ἔδει ὑγρὸν πᾶν γίνεσθαι καὶ ὕδωρ. ἔδει οὖν πήγνυσθαι· οὐ πήγνυται δέ, ὥσπερ εἴρηται. |

p. 735b7 Ἢ οὐ πάντα τὰ συμβαίνοντα διῃρήκαμεν.

Θεὶς τὴν ἀπορίαν λύει αὐτὴν διὰ τῶν προκειμένων δυνάμει λέγων ἢ ἡ ἀπορία χώραν ἔσχεν ἐκ τοῦ ἀτελῆ καὶ μὴ τελείαν ἡμᾶς ποιεῖσθαι τὴν διαίρεσιν. εἴρηται γὰρ ὅτι παχύνεται μὲν ὑπὸ πυρὸς τὸ ἐκ γῆς καὶ ὕδατος ὄν, οὐ παχύνεται δὲ τὸ ὕδωρ· οὐ μόνον δὲ τὸ ἐκ γῆς καὶ ὕδατος παχύνεται ὑπὸ πυρός, ἀλλὰ καὶ τὸ ἐξ ὕδατος καὶ ἀέρος. ὥστε δειχθέντος ὅτι τὸ σπέρμα ἐξ ὕδατος καὶ ἀέρος ἐστί, συλλογιστέον ὧδέ πως· τὸ σπέρμα ἐξ ὕδατός ἐστι καὶ ἀέρος, πᾶν τὸ ἐξ ὕδατος καὶ ἀέρος ὂν παχύνεται ὑπὸ τοῦ

1 post ὅταν add. τι Arist. 3 post τοῦτο add. δὲ a 5 τοῦτο ἐκείνῳ Ka 6 τὸ] ὅτι Ka ἔχειν post ἀρχὴν ponit Ka 8 πρώτως om. L 9 ταύτην] exspectas τοῦτο πρῶτον om. K 15 μέλι] γάλα a 17. 18 κρύσταλλος libri 21 θατέρων K 21. 22 ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν Μετεώρων] Δ 6 24 διὰ τὸ a 25 καὶ] τὸ Ka 28 δυνάμεων IL 29 ἀτελῆ ex ἀτελοῦς corr. L¹ μὴ τελείαν] μήτε λίαν a ποιήσασθαι Ka 34 ὂν om. IKa

θερμοῦ, καὶ τὸ συμπέρασμα δῆλον. ὅτι δὲ τὸ ἐξ ὕδατος καὶ ἀέρος ὂν 39v
παχύνεται ὑπὸ τοῦ θερμοῦ, δείκνυσι διὰ τῆς ἐπαγωγῆς. ὅ τε γὰρ ἀφρὸς 20
ἐξ ὕδατός ἐστι καὶ ἀέρος· ἡ γὰρ γινομένη ἐκ τοῦ κινεῖσθαι καὶ φέρεσθαι
θερμότης τῷ ὕδατι μετὰ τοῦ πνεύματος ἢ τοῦ ἀέρος, ἐν ᾧ ἐστι, (πᾶσα 25
γὰρ θερμότης ἔν τινι) αὕτη οὖν μετὰ τοῦ οἰκείου ὑποκειμένου τοῦ ἀέρος
ἐμμιγνυμένη τῷ ὕδατι παχύνει καὶ ποιεῖ τὸν ἀφρόν. ὅτι δὲ ὁ ἀφρὸς
παχύτερος καὶ στερεώτερος τοῦ ὕδατος, δῆλον· τὸ μὲν γὰρ ὕδωρ ῥεῖ καὶ 30
οὐδένα ἔχει οἰκεῖον ὅρον, ὁ δ' ἀφρὸς ἵσταται οἰκείῳ ὅρῳ περιωρισμένος
ὥσπερ ὁ κηρὸς ἢ ἄλλο τι τῶν στερεωτέρων καὶ οἰκείῳ ὅρῳ περιοριζομένων. 35
καὶ ὅσῳ ἂν ἐλάττους ὦσιν αἱ πομφόλυγες, τοσοῦτον στρυφνότερος καὶ
στερεώτερος ὁ ἀφρός. διὰ τὰς αὐτὰς δ' αἰτίας καὶ τὸ λευκαινόμενον ἔλαιον 40
(λευκαίνουσι γὰρ καὶ τοῦτον ἐν τῷ ἡλίῳ ὥσπερ τὰ λίνεια ὑφάσματα) παχύ-
τερον γίνεται· τὸ γὰρ ἐνὸν ἐν αὐτῷ ὑδατῶδες ἐξατμισθὲν ὑπὸ τῆς ἀπὸ τοῦ 45
ἡλίου ἐγγινομένης θερμότητος καὶ ἀναμιχθὲν τῷ ἐλαίῳ ἐπάχυνεν αὐτό. ἡ
δὲ μολίβδαινα εἶδός ἐστιν ὑγρὰ καὶ χυ|τὴ ὥσπερ ὁ ὑδράργυρος. παχύνει 40r
δὲ τὸ ὑγρὸν ἡ μολίβδαινα διὰ τὸ ἐγκαταμίγνυσθαι πνεῦμα ἐν τῇ κινήσει
τῇ γινομένῃ ἐν τῇ μίξει· μίξαντες γὰρ αὐτὴν τῷ ὑγρῷ κινοῦσιν ἐπὶ πολύ, 5
ἕως ἂν κερασθῶσιν ἄκρως, κινοῦσι δὲ ἐπὶ πολὺν χρόνον, ὅτι οὐ ταχέως
οὐδὲ ῥᾳδίως ἀνακεράννυται μετὰ τοῦ ὑγροῦ, ἀλλὰ βραδέως, ὥσπερ καὶ τὸ 10
ἔλαιον μετὰ τοῦ ὕδατος. δείξας οὖν ἀπό τε τοῦ ἀφροῦ ἀπό τε τοῦ ἐλαίου
ὅτι τὸ ὑγρὸν παχύνεται καὶ ὑπὸ τοῦ ἀέρος ἐπάγει ὥσπερ οὖν ὑπό τινος 15
παχύνεται τὸ ἔλαιον καὶ τοῦτο τὸ παχῦνον αὐτό ἐστι θερμότης, οὕτως καὶ
τὸ σπέρμα παχύνεται μὲν ὑπὸ τοῦ ἐν ἡμῖν θερμοῦ, ἐξελθὸν δὲ ὅταν ἀπο-
πνεύσῃ ἀπὸ τοῦ ψύχους τὸ θερμὸν καὶ δηλονότι καὶ ἀήρ τις σὺν αὐτῷ, ὁ 20
δὲ ἐναπομείνας καὶ μὴ ἐκπνευσθεὶς ψυχθεὶς ὕδωρ γένηται, μᾶλλον δὲ ὕδωρ
μὲν οὔ, παχύτερος δὲ ἀέρος, λεπτότερος δὲ ὕδατος, ὁποία ἐστὶν ἡ ἀτμίς, 25
ὑγραίνεται· λείπεται γὰρ τὸ ὕδωρ ἡ ἀτμὶς καὶ βραχύ τι γεῶδες. ὅτι δὲ
λείπεταί τι γεῶδες, φανερόν· ξηραινομένου γὰρ τοῦ σπέρματος ἐμφαίνεταί 30
τι γεῶδες ἐν τῷ ἐξ ὀλιγίστων συγκεῖσθαι μορίων· τὸ δὲ ὀλιγίστων ἀντὶ
τοῦ μικρῶν. κυρίαν δὲ τῆς μίξεως τὴν Ἀφροδίτην λέγει.

p. 736 a 27 Διορίσαι τε δεῖ πότερον μεταλαμβάνει τὸ συνιστάμενον ἐν τῷ θήλει.

Εἰπὼν τούτου δ' ἐχόμενόν ἐστιν ἀπορῆσαι καὶ εἰπεῖν, πάλιν 35

1 δηλοῖ I 4 τῷ ὕδατι θερμότης coll. K 5 post οὖν add. ἡ θερμότης Ka
6 ὁ om. a 7 παχὺς L 10 ὦσιν] οὖσιν a πομφόλυγγες K: πομφόληγες a
τοσούτω a στρυφνότερος IL: στριφνότερος Arist. SYZ: στιφρότερος Ka Arist. vulg.
11 post στερεώτερος add. ἐστὶ Ka 12 τῷ om. Ka λίνια IL 13 ἐν
om. Ka ἀπὸ] ὑπὸ IL 14 γινομένης K τῷ] αὐτῷ Ka 15 post
ἐστιν add. μολίβδου Ka 16 δὲ] γὰρ K διατὶ a ἐσκαταμίγνυσθαι I
18 οὐδὲ ταχέως IL 19 ἀνακεράννυνται L 20 ἀπὸ—ἀφροῦ om. IL
22 θερμότης] τὸ ψῦχος Ka 23 ὅτε K 23. 24 ἀποπνεύσει K: ἀποπνεύσι a
24 ὑπὸ Ka 25 ἐκπνευθεὶς a ψυχθεὶς om. K 27 ἡ] ἢ K
ὅτι—γεῶδες (28) om. IL 28 ξηρουμένου a 29 δὲ om. IKa 30 τοῦ]
τῶν K 33 ἐστὶ καὶ ἀπορῆσαι Ka

ἐπαναλαμβάνει τὸν λόγον, ὡς εἰ ἔλεγε περὶ τοῦ προκειμένου δεῖ διορίσαι, 40r
τοῦτο δὲ ἢν πότερον μεταλαμβάνει τὸ συνιστάμενον καὶ τελειούμενον ἐν τῷ 40
θήλει ζῷον ἀπὸ τοῦ ἄρρενος· περὶ δὴ τούτου δεῖ διορίσαι καὶ περὶ ψυχῆς.
τὸ δὲ οὐδὲν γὰρ ἧττον τὰ σπέρματα καὶ τὰ κυήματα τῶν ζῴων
5 ζῇ τῶν φυτῶν ἴσον ἐστὶ τῷ ὥσπερ γὰρ τὰ φυτὰ ζῇ, οὕτω καὶ τὰ 45
σπέρματα τῶν ζῴων, καὶ τὰ κυήματα δέ, φησί, μέχρι τινός εἰσι γόνιμα·
μέχρι γὰρ τοῦ | γενέσθαι τὸ κύημα ζῷόν ἐστι γόνιμον, γεγονὸς δὲ οὐκέτι 40v
ἐστίν, ὥσπερ καὶ τὸ ᾠόν, ἕως μὲν ἂν ᾖ ᾠόν, γόνιμόν ἐστιν (ἔχει γὰρ δύ-
νάμιν, καθ' ἣν δύναται ζῷον γενέσθαι), γεγονὸς δὲ οὐκέτι ἐστὶν ᾠὸν ἢ 5
10 κύημα ἢ σπέρμα γόνιμον, ἀλλὰ ζῷον γόνιμον δυνάμενον γεννῆσαι οἷον αὐτό.
φανερὸν δέ, φησίν, ἐκ τῶν περὶ ψυχῆς διωρισμένων, διὰ τί τὴν θρεπτικὴν 10
λαμβάνουσι πρῶτον· ἔχουσι μὲν οὖν τὰ κυήματα, ὡς πρὸ ὀλίγου δέδεικται,
τὴν θρεπτικὴν ψυχήν, προϊόντα δὲ λαμβάνει καὶ τὴν αἰσθητικὴν καὶ ἔτι 15
προϊόντα, ὥσπερ οἱ ἄνθρωποι, καὶ τὴν λογικήν. καὶ οὐ τοῦτό φαμεν ὅτι
15 κατὰ διαφόρους χρόνους ταύτας λαμβάνει τὰς δυνάμεις, ἀλλ' εὐθὺς πάσας 20
ἀπὸ τῆς πρώτης συστάσεως καὶ κατὰ γαστρὸς ὂν λαμβάνει ταύτας τὸ ζῷον.
εἰ γὰρ μὴ πολλαὶ αὗται ψυχαί, ἀλλὰ δυνάμεις μιᾶς ψυχῆς, οἷον φέρε εἰ-
πεῖν τῆς λογικῆς (ταύτης γὰρ αἱ δυνάμεις αἱ μέν εἰσι τιμιώτεραι, αἱ δὲ 25
ἀτιμότεραι, οὐ δύνανται δὲ αἱ τιμιώτεραι οἷον ἡ ἐπιστημονική τε καὶ διανοη-
20 τικὴ εἶναι χωρὶς τῆς θρεπτικῆς καὶ αἰσθητικῆς, καὶ ὅλως χωρὶς τῶν κατα- 30
δεεστέρων· τὴν γὰρ ἔχουσαν τὴν νοητικὴν δύναμιν ψυχὴν ἀνάγκη καὶ τὰς
ἄλλας ἔχειν, οὐ μὴν τὴν τὰς ὑφειμένας ἔχουσαν δυνάμεις ἀνάγκη ἔχειν καὶ 35
τὴν νοητικήν) δῆλον ὅτι ὁπηνίκα ἂν ἐγγένηται ἡμῖν αὕτη ἡ ψυχή, καὶ αἱ
λοιπαὶ πᾶσαι δυνάμεις αὐτῆς· συνεισφέρει γὰρ ἑαυτῇ ἡ λογικὴ τὰς ἀλόγους, 40
25 ἀλλ' οὐ συνεισφέρεται αὐταῖς. οὐ δὴ οὖν τοῦτό φαμεν, ὥσπερ εἴρηται, ὅτι
κατὰ διαφόρους χρόνους ἄλλη καὶ ἄλλη ψυχικὴ δύναμις ἡ ψυχὴ ἡμῖν
ἐγγίνεται· οὕτω γὰρ ἂν πολλὰς εἴχομεν ψυχὰς καὶ κεχωρισμένας ἀπ' ἀλλή-
λων· ἀλλ' ἐπειδὴ πάντα ἀπὸ τῶν οἰκείων ἐνεργειῶν χαρακτηρίζεταί τε καὶ 45
κατονομάζεται, τὰ δὲ ζῷα εὐθὺς γινόμενα καὶ κατὰ γαστρὸς ὄντα τρέφεται μέν,
30 οὐκ αἰσθάνεται δέ (παρόντων γὰρ τῶν αἰσθητῶν τὸ αἰσθάνεσθαι), τὴν μὲν θρεπτι-
κὴν ψυχὴν φαμεν ἔχειν αὐτά, τὴν δ' αἰσθητικὴν ἐγγίνεσθαι αὐτοῖς ὕστερον
ἀποτεχθεῖσι· τότε γὰρ αἰσθάνονται. αἱ γὰρ συστολαί τε καὶ ἐκτάσεις τῶν
μερῶν, ἃς ποιοῦνται κατὰ γαστρὸς ἔτι ὄντα, οὐ γίνεται κατ' οἰκείαν αἴ- 41r
σθησιν αὐτοῖς, ἀλλ' ὡς ἐμψύχου μέρος κατὰ ταῦτα κινεῖται. ὅτι μὲν οὖν
35 τὰς δυνάμεις πάσας ἅμα λαμβάνουσι, τὰς δὲ τῶν κρειττόνων ἐνεργείας
ὕστερον, καὶ ἐντεῦθεν δῆλον· εἰ γάρ ἐστιν ἡ αἴσθησις δύναμις ψυχῆς, καθ'

1 προειρημένου Ia 3 post ἄρρενος fort. addendum τι ἢ οὐδέν 6 τῶν ζῴων om. L. ἐστὶ a 8 ᾖ] εἴη IL ἔχουσι K 9 ἐστὶν ᾠὸν ex ἐστὶ ζῷον corr. I 9. 10 κύημα ἢ ᾠὸν coll. K 14 οὐ post ὅτι ponit L 17 δύναμις a 17. 18 εἰπεῖν om. K 18 μὲν δὲ εἰσὶ a 20 εἶναι] καὶ a: om. IL 22 μὲν K τὴν] καὶ L: ἡ I ἔχουσα L 23 ἡμῖν ἐγγένηται coll. Ka 25 οὖν om. Ka 26 ἢ scripsi: ἡ libri 27 ἔχωμεν L: ἔχομεν I 29 κατὰ ὀνομάζεται a γενόμενα IKa 32 ἀποτεχθεισῶν a 34 ἐμψύχου μέρους a: ἐμψυχουμένοις IL. 35 πάσας ἀναλαμβάνουσι IL

ἦν τὸ ἔχον αὐτὴν οἷόν τέ ἐστιν ὁμοιούμενον τοῖσδε τοῖς αἰσθητοῖς διά τινος 41r
ἀλλοιώσεως τῇ πρὸς αὐτὰ ἐνεργείᾳ κρίνειν αὐτά (ὡς γὰρ ἡ θρεπτικὴ δύ- 5
ναμις τροφῆς ἐδεῖτο πρὸς τὸ ἐνεργεῖν περὶ ταύτην τὴν ἐνέργειαν αὐτῆς,
οὕτω καὶ ἡ αἰσθητικὴ τῶν αἰσθητῶν· περὶ γὰρ ταῦτα ἡ ἐνέργεια αὐτῆς
5 καὶ τούτων ἐστὶν ἀντιληπτική τε καὶ κριτική) εἰ δὴ τοῦτό ἐστιν ἡ αἰσθη-
τικὴ ψυχὴ καὶ μὴ παρόντων τῶν αἰσθητῶν ἐνεργεῖν οὐ δύναται, οὐ πάρει-
σι δὲ ταῦτα ἐν τῇ τῆς μητρὸς γάστρί, δυνάμει μὲν αἰσθητικὸν ἂν ῥηθείη
καὶ ἀτελὲς ἀναλόγως τοῖς ἔχουσιν ἐπιστήμην καὶ μὴ ἐνεργοῦσι κατ' αὐτήν·
ἐξελθὸν δὲ καὶ ἐνεργοῦν ἤδη αἰσθητικὸν καὶ τέλειον. οὕτως οὖν καὶ ἐπὶ 10
10 τῆς λογικῆς· ἔχει μὲν γὰρ δύναμιν καὶ ἐπιτηδειότητα τοῦ δέξασθαι τὴν ἀπὸ τοῦ
πράττειν καὶ νοεῖν ἐγγινομένην τῷ πράττοντι καὶ μανθάνοντι ἕξιν. ἣν ὅτε
δὴ καὶ δέξεται, κυρίως ἄνθρωπος εἶναι λέγεται. διττὴ δὲ ἡ δύναμις αὕτη
καὶ ἐπιτηδειότης τῆς ψυχῆς τῷ διαφέροντα εἶναι καὶ τὰ περὶ ἃ ἡ δύναμίς
τε καὶ ἐνέργεια αὐτῆς ἐστι· πρὸς γὰρ τὰ κατὰ φύσιν διαφέροντα καὶ τῶν
15 τῆς ψυχῆς μορίων ἕτερον τῇ φύσει τὸ πρὸς ἑκάτερον πεφυκός, ὥσπερ ἐν
τοῖς ἐπιγραφομένοις Νικομαχείοις ἠθικοῖς εἴρηται, εἴπερ καθ' ὁμοιότητά 15
τινα καὶ οἰκειότητα ἡ γνῶσις αὐτοῖς γίνεται. διαφέρει δ' ἀλλήλων τὰ ὑπο-
κείμενα ταῖς λογικαῖς δυνάμεσι τῷ τὰ μὲν πρακτὰ εἶναι καὶ ἐνδεχόμενα
καὶ ἄλλως ἔχειν, τὰ δὲ ἀΐδιά τε καὶ ἀναγκαῖα, καὶ τὰ μὲν δοξαστὰ τὰ δὲ
20 ἐπιστητά. διὸ καὶ τῶν τῆς ψυχῆς δυνάμεων ἡ μέν ἐστι δοξαστικὴ ἡ δὲ
ἐπιστημονική· καλεῖται δ' ἑκατέρα νοῦς, ἀλλ' ὁ μὲν πρακτικὸς καὶ
δοξαστικὸς καὶ βουλευτικός, ὃς ἀρχὴ γίνεται πράξεως, ὅταν ἡ βούλευσις 20
καὶ ἡ ὄρεξις συνοδεύσῃ τοῖς ὑπ' αὐτοῦ κριθεῖσιν, ὁ δὲ ἐπιστημονικὸς καὶ
θεωρητικός· τὰ μὲν γὰρ ζητοῦμεν πράξεως χάριν, τὰ δὲ γνώσεως. γίνεται
25 οὖν ὁ ἄνθρωπος οὐκ εὐθὺς ἔχων τὴν τοιαύτην ἕξιν, ἀλλ' ἔχει μὲν δύναμιν
καὶ ἐπιτηδειότητα τοῦ δέξασθαι, ὕστερον μέντοι λαμβάνει αὐτήν. ὅπερ ἐστὶ
καὶ τέλος οὐ τελειότατον, τέλος δ' οὖν ὅμως κάλλιστον. τὸ γὰρ ἄριστον καὶ
θειότατον τέλος ἡμῖν ἐγγίνεται δεξαμένοις τὸν θύραθεν νοῦν· τίς δ' οὗτος
καὶ πόθεν καὶ πῶς καὶ πηνίκα ἡμῖν ἐλλάμπει, εἴρηταί μοι ἐν ἄλλοις ἀκρι- 25
30 βέστερον. τούτων οὕτως ἐχόντων πάνυ ἀκριβῶς εἴρηται τῷ Ἀριστοτέλει
οὐ γὰρ ἅμα γίνεται ζῷον καὶ ἄνθρωπος, ἄνθρωπος δηλονότι ὁ τὰς
προσεχῶς ῥηθείσας ἔχων ἕξεις· ὕστερον γὰρ αὗται ἐγγίνονται. τὸ δὲ ἴδιόν
ἐστι τὸ ἑκάστου τῆς γενέσεως τέλος ταὐτόν ἐστι τῷ τὸ τέλος τῆς
ἑκάστου γενέσεως οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ἑκάστου ἴδιον. περὶ δὲ τοῦ νοῦ

1 τοῖς δὲ τοῖς libri 2 κρίνειν—ἐνέργεια (4) om. L 3 αὐτοῖς IL
5 τε om. IL 6 δύνανται L 7 αἰσθητικὴ ἂν ῥηθῇ IL 8 ἐνεργοῦσιν
ἐν ἑαυτῇ IL 10 γὰρ om. ILa 11 καὶ τῷ μανθάνοντι K ἣν et 12
δέξεται om. Ka 13 post prius καὶ add. ἡ IL καὶ τὰ om. K
14 αὐτῆς] αὐτοῖς IL κατὰ τὴν φύσιν Ia 15 τῆς om. K πρὸς ἕτερον a
15. 16 ἐν τοῖς—Νικομαχείοις ἠθικοῖς] Eth. Nic. Z 2 p. 1139a8 18 πρακτὰ scripsi:
πρακτικὰ libri 22 γίνεται] ἐστί a ὅτε K βούλησις Ka 25 μὲν
om. a 26 μέντοι] μέν τι a 29 καὶ πόθεν om. Ka 30 post ἐχόντων
add. καὶ K 31 ἄνθρωπος semel habet Ia 34 ἢ scripsi: ἡ libri

λέγει μὲν προθυμεῖσθαι λέγειν, οὐ λέγει δὲ ἐν τῇ παρούσῃ πραγματείᾳ· 41ʳ
εἴρηκε δὲ ἔν τε τοῖς Περὶ ψυχῆς καὶ ἐν τῷ Λ τῆς Μετὰ τὰ φυσικά. 30

Ὅτι δὲ καὶ τὰ σπέρματα καὶ τὰ κυήματα χωριστὰ ὄντα, τουτέστι χωρὶς τροφῆς ὄντα, καθ' ἣν τραφήσεται, δυνάμει ἐστὶ θρεπτικά, δῆλον· πᾶν γὰρ τὸ μὴ ἔχον πρὸς ὃ πέφυκεν ἐνεργεῖν καὶ διὰ τοῦτο μὴ ἐνεργοῦν δυνάμει θετέον, ἐνεργείᾳ δὲ οὔ, πρὶν ἢ ἕλκει τροφὴν καὶ ποιεῖ καὶ ἐνεργεῖ τὸ τῆς θρεπτικῆς ψυχῆς ἔργον, καθάπερ τὰ χωριζόμενα τῶν κυημάτων. οὕτω γάρ ἐστι τὸ ἑξῆς τῆς λέξεως τῆς πρὶν ἢ καθάπερ τὰ χωριζόμενα τῶν κυημάτων ἕλκει τὴν τροφὴν καὶ ποιεῖ τὸ τῆς τοιαύτης ψυχῆς ἔργον. χωριζόμενα δὲ τῶν κυημάτων νῦν εἴρηκεν οὐ 35
τὰ κυρίως κυήματα, ἀλλὰ τὰ θηλάζοντα βρέφη· ταῦτα γὰρ ὅταν θηλάζῃ, ἐνεργείᾳ ἔχει τὴν θρεπτικὴν ψυχήν. δύναται δὲ τοῦτο καὶ ἐπὶ τῶν κυρίως κυημάτων λέγεσθαι· τρέφεται γὰρ καὶ αὐτὰ ἕως οὗ εἴη ἐν τῇ ὑστέρᾳ. ἐν δὲ τῇ λέξει τῇ καὶ ἐγγίνεσθαι ἢ ἐν τῇ ὕλῃ μὴ εἰσελθούσας πρότερον ἐν τῷ τοῦ ἄρρενος σπέρματι ὕλην λέγει τὸ καταμήνιον ἢ τὸ ἀνάλογον. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἀναγκαῖον τὰς τοιαύτας ψυχὰς ἢ ἐν τῷ καταμηνίῳ εὐθὺς ἐγγίνεσθαι μὴ εἰσελθούσας πρότερον ἐν τῷ τοῦ 40
ἄρρενος σπέρματι, ἢ πρότερον μὲν ἐν τῷ σπέρματι, ἐκ δὲ τούτου εἰς τὸ καταμήνιον. εἰπὼν δὲ ὅτι πότερον πᾶσαι προϋπάρχουσιν ἢ οὔ, δείκνυσιν ὅτι οὐχ οἷόν τε πάσας προϋπάρχειν λέγων ὅσων γὰρ ἀρχῶν καὶ ψυχικῶν δυνάμεων αἱ ἐνέργειαι σωματικαί, ἤτοι ἄνευ σώματος καὶ ὀργάνου οὐ δύνανται τὸ οἰκεῖον ἐκπληροῦν ἔργον, δῆλον ὅτι ταύτας ἄνευ σώματος οὐχ οἷόν τε ὑπάρχειν, ὡς ἐν τοῖς Περὶ ψυχῆς δέδεικται, εἰ δὲ τοῦτο, οὐδὲ προϋπάρχειν οὔτε μεθυπάρχειν. εἰ γὰρ ἀδύνατον αὐταῖς χωρὶς σώματος 45
τὰς οἰκείας ἐνεργεῖν ἐνεργείας, εἰ μὴ ἕξουσι σῶμα, μάτην ἂν εἶεν. ἄλλως τε κἂν προϋπῆρχον, ἢ μετὰ σώματός τινος εἰσήρχοντο ἢ χωρὶς σώματος. χωρὶς μὲν οὖν σώματος ὅλως εἶναι μὴ δυνάμεναι, πῶς ἂν χωρὶς σωμάτων εἰσελεύσονται; εἰ δὲ μετὰ σώματος, δῆλον ὅτι μετὰ τοῦ σπέρματος. ἀλλὰ τὸ σπέρμα, ὡς εἴρηται, περίττωμα μεταβαλλούσης ἐστὶ τροφῆς· εἰ δὲ 41ᵛ
περίττωμα, πῶς ἂν εἴη ἐν αὐτῷ ὁ νοῦς; λείπεται ἄρα τὸν νοῦν μόνον θύραθεν ἐπεισιέναι· οὐδὲν γὰρ αὐτοῦ τῇ ἐνεργείᾳ κοινωνεῖ σωματικὴ ἐνέργεια, τουτέστιν οὐδαμῶς γὰρ δεῖται σωματικῆς ἐνεργείας καὶ σώματος εἰς τὸ ἐνεργεῖν τὰς οἰκείας ἐνεργείας.

2 ἔν τε τοῖς Περὶ ψυχῆς] Γ 4 sqq.: ἐν τῷ περὶ K ἐν τῷ Λ τῆς Μετὰ τὰ φυσικά] Λ 6 sqq. 6 post ἕλκει add. τὴν Ka 8 καθὰ IL 10 νῦν om. IL 12 δὲ] δὴ IL 13 ἕως ἂν εἴημεν Ka 14 ἐγγίνεσθαι om. IL 14. 15 πρότερον om. Ka 15 ὕλην — ἄρρενος σπέρματι (18) om. IL ὕλη a 16 post ἀναγκαῖον add. δὲ a 18 πρῶτον μὲν IL 19 ὅτι om. K 23 ἐν τοῖς Περὶ ψυχῆς] B 1. 2: ἐν τῷ K οὐδὲ] οὔτε Ka 24 post προϋπάρχειν add. τῶν σωμάτων Ka σώματος χωρὶς coll. K 25 τὰς οἰκείας om. K 25. 26 ἀλλ' ὥστε a 28 εἰσελεύσωνται IKL 29 μεταβαλούσῃ a περίττωμα ἐστὶ μεταβαλλούσης τῆς τροφῆς K 30 ὁ νοῦς ἐν αὐτῷ coll. K μόνον om. IL 31 ἐνεργείᾳ κοινωνεῖ] κοινωνία ἐνεργεῖ IL 32 οὐδαμῆ K

p. 736b29 Πάσης μὲν οὖν ψυχῆς δύναμις ἑτέρου σώματος ἔοικε κεκοινωνηκέναι. 41v

Ὃ λέγει τοιοῦτόν ἐστι· πᾶσα ψυχῆς δύναμις ἐν σώματί ἐστι κρείττονι ὄντι καὶ τιμιωτέρῳ τῶν τεσσάρων στοιχείων· ὥστε καὶ ὁ νοῦς καὶ ἡ λογικὴ ψυχὴ ὅσῳ κρείττω τῶν ἄλλων ἐστί, τοσούτῳ καὶ τὸ ὑποκείμενον αὐτοῖς κρεῖττον ἔσται τῶν ὑποκειμένων ταῖς ἄλλαις. τοῦτ' εἰπὼν λέγει ὅτι ἡ ἐν ἑκάστῳ τῷ τῶν ζῴων σπέρματι ἐνυπάρχουσα δύναμις καὶ ποιοῦσα αὐτὰ γόνιμα θερμότης ἐστὶ ψυχικὴ δηλονότι, ἀνάλογος οὖσα τῇ τοῦ ἡλίου θερμότητι καὶ τῇ τῶν ἄλλων ἀστέρων· ὥστε ἀνάγκη καὶ ἐν τῷ σπέρματι ἐνεῖναι καὶ περιέχεσθαι ὑπ' αὐτοῦ σῶμά τι ἀνάλογον ὂν τῷ τῶν ἀστέρων στοιχείῳ ἤτοι σώματι. τῇ μὲν οὖν φύσει ταὐτὸν ὂν ἅπαν τὸ ὑποκείμενον ἑκάστῃ ψυχῇ, διαφέρον δὲ τῷ τιμίῳ καὶ τῷ ὑπερτέρῳ καὶ ὑφειμένῳ, ὥσπερ καὶ αἱ σφαῖραι· καὶ γὰρ αὗται καὶ οἱ ἐν αὐταῖς ὄντες ἀστέρες τῇ μὲν φύσει οὐδὲν διαφέρουσι, διαφέρουσι δὲ τῇ τιμιότητι· τιμιωτέρα γὰρ πασῶν ἡ ἀπλανής, εἶθ' ἡ Κρονικὴ καὶ ἐφεξῆς. ὅτι δὲ οὐ πῦρ ἡ ἐν τῷ σώματι θερμότης (λέγω δὲ σῶμα τὸ ἀνάλογον τῷ τῶν ἀστέρων σώματι) ὅτι οὖν οὐ πῦρ, ἀλλ' ἀνάλογος τῇ ἀπὸ τῶν ἀστέρων θερμότητι, ἥτις ἡ ἀπὸ τῶν ἀστέρων θερμότης καὶ ζῷα καὶ φυτὰ παράγει καὶ γεννᾷ (βραχείσης γὰρ τῆς γῆς καὶ θερμανθείσης ὑπὸ τοῦ ἡλίου σκώληκές τε καὶ ἄλλ' ἄττα ἀναδίδονται) δείκνυσι δυνάμει συλλογιζόμενος ὧδε· οὐδὲν πῦρ ζῷα γεννᾷ, πᾶν τὸ ἐν τοῖς σπέρμασι θερμὸν ζῷα γεννᾷ· οὐδὲν ἄρα τὸ ἐν τοῖς σπέρμασι θερμὸν πῦρ ἔσται, ἀλλά τις πνευματώδης φύσις ἐμπεριειλημμένη τῷ ἀφρώδει τοῦ σπέρματος. τὸ δὲ πνεῦμα καὶ ἡ ἐν τῷ πνεύματι φύσις ἐκ παραλλήλου κεῖται. οὐ μόνον δέ, φησίν, ἡ τοῦ ἡλίου καὶ τῶν ζῴων θερμότης ζῷα γεννᾷ, ἀλλὰ κἂν τι περίττωμα τύχῃ, οἷον ἰχὼρ ἢ πύον. ἀλλότριον πάντως ὂν τῆς ἑκάστου φύσεως, ἐξ αὐτοῦ δὲ ὅμως ὄν, ἔχει καὶ τοῦτο ζωτικὴν ἀρχήν· γίνονται γὰρ ἐκ πύων σκώληκες.

p. 737a7 Τὸ δὲ τῆς γονῆς σῶμα, ἐν ᾧ συναπέρχεται τὸ σπέρμα τὸ τῆς ψυχικῆς ἀρχῆς.

Ψυχικὴν ἀρχὴν λέγει τὴν ψυχήν, σπέρμα δὲ ἤτοι ῥίζαν καὶ δημιουργὸν καὶ παραγωγὸν τῆς ψυχῆς λέγει τὸ θερμὸν τὸ ἀναλογοῦν τῇ τῶν ἀστέρων θερμότητι· τοῦτο γὰρ τὴν ἄλογον παράγει ψυχὴν καὶ τὴν μετ' αὐτήν,

---

6 αὐτοῖς $L^2$: αὐτῇ K: αὐτῆς $IL^1a$ ἐστι IL 7 τῷ om. K 8 αὐτὸ γόνιμον Ka 10 σώματι ἀνάλογον libri 12 διαφέρειν ILa 13 post γὰρ add. καὶ Ka ἐν αὐτῷ K 14 πᾶσιν K 15 ἡ [illegible]ρονιακὴ L 16 ἀναλογοῦν Ka 19 ἄλλάττα IKL: τὰ ἄλλα a 21. 22 ἐν τῷ σπέρματι utrobique K 22 πῦρ ἐστιν Ka ἐμπεριειλυμένη a ante τῷ add. ἐν Ka 23 post ἀφρώδει add. τῷ IK τὸ δὲ σπέρμα καὶ ἡ ἐν τῷ σπέρματι a 26 πάντα La φύσεως om. K 30 λέγων LK ψυχήν] ἄρχήν K

μᾶλλον δ᾽ εἰ χρὴ τὸ δοκοῦν εἰπεῖν, αὕτη ἡ θερμότης ἐστὶ δυνάμει πως ἡ ψυχή. τὸ μὲν οὖν | τῆς λέξεως τοιοῦτον. εἰπὼν δὲ πρότερον, πότερον ἔχει τὸ σπέρμα ψυχὴν ἢ οὔ, καὶ ἄρά γε ἀπέρχεται τὸ σπέρμα ἢ μέρος γίνεται τοῦ γινομένου, καὶ εἰπὼν τότε ὅτι ἔχει μὲν τὸ σπέρμα ψυχὴν ἀνάλογον τῷ ἐγρηγορότι γεωμέτρῃ καὶ μὴ ἐνεργοῦντι, νῦν δὲ εἰπὼν καὶ τίς ἐστιν αὕτη, ὅτι θερμότης τις, λέγει καὶ περὶ τοῦ σώματος τῆς γονῆς, ἐν ᾗ ἐστιν ἡ τῆς ψυχῆς ἀρχή, σῶμα γονῆς λέγων αὐτὴν τὴν γονήν, ὅτι ποτὲ μὲν διαλύεται καὶ πνευματοῦται φύσιν ἔχον ὑγράν, ὁτὲ δὲ ἔξεισι θύραζε. λείπει δὲ ἐν τῇ λέξει τῇ τὸ δὲ τῆς γονῆς σῶμα, ἐν ᾧ συναπέρχεται τὸ σπέρμα τὸ τῆς ψυχικῆς ἀρχῆς, τὸ ἧς, ἵν᾽ ᾗ τὸ πλῆρες τῆς ψυχικῆς ἀρχῆς, ἧς ψυχῆς τὸ μέν ἐστι χωριστόν, οἷον ὁ νοῦς ὁ θύραθεν, τὸ δ᾽ ἀχώριστον. εἴη δ᾽ ἂν τὸ τῆς λέξεως ἑξῆς τοιοῦτον· τὸ τῆς γονῆς σῶμα, τοῦτο δὴ τὸ σπέρμα τῆς γονῆς, τουτέστιν αὕτη δὴ ἡ γονὴ διαλύεται· τὰ δ᾽ ἄλλα μεταξὺ εἴρηται.

p. 737ᵃ18 Τοῦ δὲ σπέρματος ὄντος περιττώματος καὶ κινουμένου κίνησιν τὴν αὐτήν.

Διὰ τούτων τὰ ἔργα, ἅπερ ἐργάζεται ἡ ἐν τῷ σπέρματι θερμότης, ἥτις ἦν ἀνάλογος τῇ τῶν ἀστέρων θερμότητι, ἀπαγγέλλει καί φησι τοῦ δὲ σπέρματος ὄντος, ὥσπερ δέδεικται, περιττώματος καὶ κινουμένου τὴν αὐξητικὴν δύναμιν, τουτέστιν ἔχοντος ἐν ἑαυτῷ τὴν αὐξητικὴν δύναμιν ἢ ψυχὴν καὶ δηλονότι καὶ τὴν θρεπτικήν (ἡ αὐτὴ γὰρ καὶ μία ψυχὴ διὰ μὲν ταύτης τῶν ἑαυτῆς δυνάμεων ποιεῖ, διὰ δὲ ταύτης τρέφει καὶ αὔξει τὰ μέρη τοῦ ζῴου μεριζομένης ἐν αὐτοῖς τοῖς μέρεσι τῆς ἐσχάτης τροφῆς, αὕτη δὲ ἦν τὸ αἷμα) ὅταν ἔλθῃ εἰς τὴν ὑστέραν, συνίστησι καὶ κινεῖ τὰ καταμήνια (ταῦτα γὰρ εἶπε θήλεος περιττώματα) † ἥνπερ αὐτὰ τυγχάνει κινούμενα κἀκεῖνο. ὥσπερ γὰρ ἐπὶ τῶν τεχνητῶν, ὁποίαν κινοῦνται κίνησιν οἱ τεχνῖται καὶ τὰ ὄργανα, τὴν αὐτὴν καὶ ταῦτα κινοῦνται, οὕτω καὶ τὰ καταμήνια τὴν αὐτὴν κινοῦνται κίνησιν, ἥνπερ καὶ τὸ σπέρμα ὑπὸ τῆς ἐν αὐτῷ ψυχῆς. ζητήσειε δ᾽ ἄν τις εἰκότως, εἰ τὴν αὐτὴν κίνησιν κινεῖται τὸ σπέρμα, ἥνπερ καὶ τὰ καταμήνια, τὰ δὲ καταμήνια συνίσταταί τε καὶ τρέφεται καὶ δηλονότι καὶ αὔξεται, εὔλογον καὶ τὸ τοῦ σπέρματος σῶμα συ|νίστασθαι καὶ τρέφεσθαι καὶ αὔξεσθαι. ἢ ὥσπερ τὸ ξύλον κινεῖται μὲν ὑπὸ τοῦ σκεπάρνου καὶ τοῦ τεχνίτου τὴν κίνησιν καθ᾽ ἣν σφαιροῦται τὸ

1 δυνάμει scripsi: δυνα L: δύναμις IKa 2 πρότερον] p. 735ᵃ4 sqq. 4 ἔχει τὸ μὲν coll. K 7 ἡ om. a 10 τὸ ἧς—ἀρχῆς (11) om. IL 11 ὁ θύραθεν νοῦς K θύραζε IL 12 τῶν λέξεων a τὸ δὲ τῆς γονῆς Ka 20 τουτέστιν — δύναμιν om. K αὐτῷ a 21 θρεπτικήν] ποιητικὴν Ka 22 τῇ ἑαυτῆς δύναμιν K: τῇ ἑαυτῇ δυνάμει a 25 περίττωμα a ἥνπερ—κἀκεῖνο (26)] fort. legendum τὴν αὐτὴν κίνησιν ἥνπερ αὐτὸ τυγχάνει κινούμενον κἀκεῖνο τυγχάνη IL¹ 26 κινοῦνται —ταῦτα κινοῦνται (27)] ἂν αὐτὰ κινῆται κίνησιν, τὴν αὐτὴν κινεῖται καὶ τὰ ὄργανα, ὑφ᾽ ὧν ὀργάνων καὶ τοῦ τεχνίτου γίνονται Ka 27 οὕτω δὲ τὰ Ka 28 κινεῖται a 28. 29 ἐν αὐτῷ] ἑαυτῶν IL¹ 30 ἥνπερ] ἣν Ka

ξύλον ἢ ἄλλο τι γίνεται, κινεῖται δὲ τὴν αὐτὴν ταύτην καὶ τὸ σκέπαρνον 42v
(εἰ γὰρ ἄλλην μὲν ἐκινεῖτο τὸ ξύλον, ἄλλην δὲ τὸ σκέπαρνον, οὐδ' ἂν
οὐδέπω περιέθηκε τὸ τοιοῦτον εἶδος ὁ τεχνίτης εἰς τὸ ξύλον), ὥσπερ οὖν 10
καὶ τὸ ξύλον καὶ τὸ σκέπαρνον τὴν αὐτὴν καὶ μίαν κινοῦνται κίνησιν, ὅμως
5 τὸ σκέπαρνον οὐ σφαιροῦται τοῦ ξύλου σφαιρουμένου, ὁμοίως δὲ καὶ 15
ὁ ἀὴρ δέχεται μὲν τὸ τοιονδὶ χρῶμα καὶ διαπορθμεύει πρὸς τόνδε τὸν
τοῖχον ἢ ὅ τι ἂν εἴη τὸ στερεὸν αὐτὸς μὴ χρωννύμενος (εἴρηται δὲ περὶ
τοῦ ἀέρος ὅπως διαπορθμεύει τὰ χρώματα αὐτὸς μὴ χρωννύμενος ἀκριβῶς
ἡμῖν ἐν τῷ δευτέρῳ λόγῳ Περὶ ψυχῆς), οὕτω καὶ τὸ σπέρμα κινηθήσεται
10 μὲν τὴν κίνησιν, ἣν καὶ τὸ καταμήνιον κινούμενον συνίσταταί τε καὶ
τρέφεται, αὐτὸ μὴ συνιστάμενον μηδὲ τρεφόμενον, διὰ τὸ ὄργανον εἶναι
ὥσπερ τὸ σκέπαρνον καὶ οὐχ ὕλην. εἰπὼν δὲ ὅτι κινεῖ τὸ τοῦ θήλεος 20
περίττωμα ἐπήγαγε καὶ γὰρ ἐκεῖνο περίττωμα, τουτέστι καὶ γὰρ καὶ
τὸ καταμήνιον περίττωμα, καὶ πάντα τὰ μόρια ἔχει δυνάμει, καθὸ
15 γίνεται τά τε ἄρρενα καὶ τὰ θήλεα. ζητήσειε δ' ἄν τις, εἰ καὶ τὸ σπέρμα
δυνάμει ἔχει πάντα τὰ τοῦ ζῴου μέρη, ἔχει δὲ ταῦτα δυνάμει καὶ τὸ
καταμήνιον, τί διαφέρει τὸ σπέρμα τοῦ καταμηνίου; ἢ τὸ μὲν σπέρμα ἔχει
δυνάμει ταῦτα ὡς δυνάμενον ποιῆσαι αὐτὰ ἐν ἄλλῳ, ὥσπερ καὶ ὁ τεχνίτης
τὰ εἴδη καὶ τοὺς λόγους τῶν τεχνητῶν. τὸ δὲ καταμήνιον ἔχει δυνάμει ταῦτα 25
20 ὡς δυνάμενον δέξασθαι. ἐπεὶ οὖν ἀμφότερα δύναται τὸ καταμήνιον, καὶ τὰ τοῦ
ἄρρενος καὶ τὰ τοῦ θήλεος, ἐπικρατησάσης τῆς φύσεως καὶ τοιωσδὶ κινησάσης
αὐτὸ ὁτὲ μὲν ἄρρεν ὁτὲ δὲ θῆλυ γίνεται. ἀλλὰ περὶ τῆς τοῦ ἄρρενος καὶ
θήλεος γενέσεως αὐτὸς ἐρεῖ ἐν τῷ τετάρτῳ λόγῳ τῆς παρούσης πραγματείας.
τὸ δὲ ἐκ πεπηρωμένων γίνεσθαι πεπηρωμένα ὥσπερ παράδειγμα εἴληπται·
25 ὡς γὰρ ἐκ τούτων ποτὲ μὲν γίνονται ἄρτια καὶ ὑγιῆ, ὅταν σύμμετρον ἔχωσι 30
τὴν ὕλην, ὁτὲ δὲ πεπηρωμένα δι' ἔνδειαν ὕλης, οὕτω καὶ ἐκ τῶν καταμηνίων
ὁτὲ μὲν γίνονται ἄρρενα δι' ἐπικράτειαν φέρε εἰπεῖν τῆς φυσικῆς θερμότητος,
ὁτὲ δὲ δι' ἔνδειαν αὐτῆς θήλεα. ἐπεὶ οὖν, φησίν, ἔχει τὸ τοῦ θήλεος
περίττωμα, αὐτὸ δὴ τὸ καταμήνιον, δυνάμει τὰ τοιαῦτα μόρια, ἀνάγκη
30 καὶ ἐν ὅσοις τῶν ὀρνίθων ὑπηνέμια γίνεται, ἔχειν τὸ συσταθὲν ᾠὸν δυνά-
μει ἀμφοτέρων καὶ τοῦ ἄρρενος καὶ τοῦ θήλεος, ἀλλὰ διὰ τὸ μὴ ἔχειν
τὴν ἐκ τοῦ ἄρρενος διὰ τοῦ σπέρματος ἐνδιδομένην ψυχήν, ἤτοι τὴν 35
αἰσθητικήν, οὐ μεταβάλλει εἰς ζῷον. ὥσπερ δὲ ἐν τοῖς ἑψήμασιν οἷον τῷ
ἀλληλεσμένῳ κυάμῳ ἢ τῇ σεριδάλει, ἣν μετὰ γλήχωνος καὶ μέλιτος ἕψοντες
35 ἐσθίουσιν οἱ ῥεύμασι περιπίπτοντες, ὥσπερ οὖν ἐν τούτοις ἑψηθεῖσιν, εἶτα
ψυχθεῖσι περιίσταταί τι περίξηρον ἐοικὸς ὑμένι, ὃ καλοῦσι γραῦν, ὡς καὶ αὐτὸς

2. 3 οὐδ' ἂν δέ πω a 3 τοιόνδε Ka εἰς τὸ ξύλον ὁ τεχνίτης coll. Ka
5 σφαιρομένου I 7 δὲ om. IL 9 ἐν τῷ δευτέρῳ λόγῳ Περὶ ψυχῆς] cf. Philoponi comm. in Arist. de an. B 7 p. 335,14 sqq.: τῶν περὶ ψυχῆς Ia 10 κινούμενον om. IL 11 εἶναι om. IL 14 καθὸ] fort. καθ' ἃ 16 τοῦ om. K
19 τεχνιτῶν K 22 post περὶ add. μὲν a 23 ἐν τῷ τετάρτῳ λόγῳ τῆς παρούσης πραγματείας] Δ 1 24 πεπηρωμένον K 25 ἔχωσι] ἔχων a 27 γίνεται I
29 δὴ] δὲ IL 31 post θήλεος fort. addendum τὰ μέρη 34 γλήχωνος] γλίχωνος ILa: γλίσχρων K 35. 36 ἑψηθεῖσα εἶτα ψυχθεῖσα IL

προϊὼν ἐρεῖ, οὕτω καὶ ἐν τοῖς καταμηνίοις (ταῦτα γὰρ εἶπεν ὑγρὰ καὶ 42r
σωματώδη, λέγων πάλιν σωματώδη τὰ ἔχοντα γεῶδες) θερμαινομένοις ὑπὸ
τῆς ἐν τῷ σπέρματι θερμότητος τῆς ἀναλόγου τῇ τῶν ἀστέρων θερμότητι 10
περιίσταται τὸ γλίσχρον ἀνάλογον τῷ τῶν ἑψημάτων περιξήρῳ· ὅπερ
5 γλίσχρον προϊοῦσι καὶ μείζοσι γενομένοις τοῖς ἐμβρύοις λαμβάνει ἡ τοῦ
νεύρου φύσις· γλισχρότερον γὰρ τὸ νεῦρον καὶ δέρματος καὶ φλεβὸς καὶ
ὑμένος. τῆς γὰρ τῶν γλίσχρων μορφῆς καὶ φύσεώς ἐστι καὶ ὑμὴν καὶ
φλὲψ καὶ δέρμα. ἔστι δὲ γλισχρότης δύναμις συνεκτικὴ τῶν ὧν ἂν ἅψηται
καὶ ὧν οὐδέν τι καθ' αὑτὸ συνέχεσθαι δύναται, ἀλλ' ἤ ῥεῖ, εἴπερ ὑγρόν 15
10 ἐστιν, ἢ θρύπτεται, εἴπερ ξηρόν. τέλειον δὲ κύημα λέγει τὸ ἔχον ἐνεργείᾳ
ἤδη τὰ μόρια καθ' ἃ χαρακτηρίζεται, εἴτε ἄρρεν ἐστὶ τὸ κυοφορούμενον
εἴτε θῆλυ· ταῦτα δ' ἐστὶ τὰ αἰδοῖα. |

p. 737b15 Τὰ δὲ ζωοτοκοῦντα ἐν αὑτοῖς τὰ τέλεια τῶν ζῴων. 43r

Τὴν αἰτίαν παραδοῦναι βουλόμενος τοῦ τῶν μὲν τὰ ᾠὰ ἀπολύεσθαι ἐκ
15 τῶν ὑστερῶν, καθάπερ τοῖς πλείστοις τῶν σελαχῶν, οὕτω δὲ καὶ ἀπολυ- 5
θέντα μὲν αὐτῆς, ἐν αὐτῇ δ' ὅμως ὑπάρχοντα ζῷα γίνεσθαι, τὰ δὲ μὴ
ἀπολύεσθαι, καθάπερ τὰ τοῦ λείου γαλεοῦ (σέλαχος γὰρ καὶ οὗτος), ὑπο-
μιμνήσκει ἡμᾶς σαφῶς καὶ τὰ περὶ τῶν μὴ ᾠοτοκούντων. ἐλλιπῶς δὲ ἡ 10
λέξις ἀπηγγέλθαι δοκεῖ ἡ ὅσα δὲ θύραζε μὲν ζωοτοκεῖ, εἴη δ' ἂν τὸ
20 πλῆρες ὅσα δὲ καὶ ἐν αὑτοῖς καὶ θύραζε ζωοτοκεῖ (εἴρηται γὰρ ὅτι τὰ 15
σελάχη πρῶτον μὲν ᾠοτοκεῖ ἐν αὑτοῖς, εἶτα ζωοτοκεῖ ἐν αὑτοῖς, εἶτα
θύραζε) τούτων τῶν ἐν ἑαυτοῖς μὲν πρῶτον ᾠοτοκούντων, εἶτα ἐν ἑαυτοῖς 20
ζωοτοκούντων, εἶτα θύραζε ζωοτοκούντων ἐνίων ἀπολύεται τὸ ᾠὸν ἀπὸ
τῆς ὑστέρας. πρῶτον μὲν γὰρ συμπεφυκός ἐστιν ἐν αὐτῇ, εἶτα ἀπολυθὲν
25 ἐν αὐτῇ δὲ ὂν ὥσπερ ὕδωρ φέρε εἰπεῖν ἐν ἀγγείῳ ζῷον γίνεται τέλειον,
καὶ οὕτω ἕξεισι θύραζε. δι' ἣν δὲ αἰτίαν ἀπολυθὲν ζωοῦται, δῆλον ἔσται
ἐκ τοῦ ἐπαγομένου περὶ τῶν μὴ ἀπολυομένων· ἐπάγει οὖν περὶ τούτων
ἐνίων δὲ ὅταν καταναλωθῇ ἡ ἐν τῷ ᾠῷ τροφή, τελειοῦται ἀπὸ
τῆς ὑστέρας, δυνάμει λέγων ἐπὶ τούτων δὲ μὴ ἀρκούσης τῆς τοῦ ᾠοῦ 25
30 οὐσίας καὶ ὁλότητος εἰς ἀποπλήρωσιν ζῴου ἀλλ' ἐλλιπῶς ἐχούσης συμπέ-
φυκε τῇ ὑστέρᾳ, ἵν' ἀπ' αὐτῆς λαμβάνῃ τὸ ᾠὸν διά τινων πόρων, ὡς ἐρεῖ
ἐν τῷ ἐφεξῆς βιβλίῳ, ἐκ δὲ τοῦ ᾠοῦ ὁ ὀμφαλὸς τελειωθείη. ὅταν οὖν
καταναλωθῇ ἡ ἐν τῷ ᾠῷ τροφή, τουτέστιν ὅταν οὖν καταναλωθῇ τὸ ᾠὸν

1 προϊὼν ἐρεῖ] c. 6 p. 743b7 τῷ καταμηνίῳ K 2 πάλιν] πάντα a
γεῶδες om. L post ἔχοντα add. τὸ I θερμαινομένη L¹: θερμαινομένῳ K
3 ἀναλογούσης Ka 5 γενομένοις HL Arist. Y: γινομένοις Ka Arist. vulg.
8 ὧν] οἵων K 9 οὐδέτι a συνεχὲς HL 10 θρύπτεται K: θερμαίνεται
L¹H: θραύεται corr. L²: θρύβεται a 13 τὰ τέλη K 15 καὶ om. Ka
17 λείου] τελείου La: λαιοῦ I 19 λέξει a 20 ἑαυτῷ K 23 ἀπογίνεται HL
24 ἐν om. a 26 ἔστι a 27 μὴ om. HL δ' οὖν Ka
28 ὅτε a 30 ἀναπλήρωσιν K 31 λαμβάνῃ scripsi: λαμβάνων HL: λαμβάνον Ka
31. 32 ἐρεῖ ἐν τῷ ἐφεξῆς βιβλίῳ] Γ 2 32 ὅτε HK

εἰς σύστασίν τε ἅμα καὶ τροφήν τινων μορίων, λαμβάνει ἐκ τῆς ὑστέρας 43ʳ
τὴν λοιπήν, ἕως ἂν τελειωθὲν ἐκπεσεῖται θύραζε. ὥστε ἐπειδὴ δι' ἔλλειψιν
ὅλης ταῦτα οὐκ ἀπολύεται, τὰ ἄρα ἀπολυόμενα ἀπολύεται διὰ τὴν αὐτάρ- 30
κειαν καὶ τὸ μὴ δεῖσθαι τῆς ἀπὸ τῶν ὑστερῶν ἐπικουρίας.

5 p. 737ᵇ27 Ἡ μὲν οὖν ἀπόκρισις γίνεται πᾶσι τοῦ σπέρματος ὥσπερ ἄλλου τινὸς περιττώματος.

Τὸ λεγόμενον δυνάμει τοιοῦτόν ἐστιν· ὥσπερ γὰρ ἡ τῆς ξηρᾶς καὶ ὑγρᾶς
τροφῆς περίττωσις οἰκείους ἔχουσα τόπους φύσει ἔρχεταί τε καὶ συναθροίζεται 35
εἰς αὐτούς, εἶτα διὰ τῶν συνεχῶν τοῖς τοιούτοις τόποις πόρων ἐξέρχεται θύραζε,
10 οὕτω καὶ τὸ σπέρμα περίττωμα ὂν ἔχει οἰκεῖόν τινα τόπον, ὃν τίς ποτέ ἐστι 40
μετὰ βραχὺ ἐρεῖ, καὶ εἰς τοῦτον φύσει καὶ οὐ βίᾳ συναθροιζόμενον ἔξεισι διὰ
τῶν φλεβικῶν πόρων θύραζε. τὰ δὲ ῥηθησόμενα ἴσως ἔσται σαφῆ, εἰ τὴν
δόξαν πρότερον ἐκθησόμεθα τὴν λέγουσαν ὅτι τὰ περιττώματα τῆς ξηρᾶς 45
καὶ ὑγρᾶς τροφῆς βίᾳ ἐξέρχονται, ὁμοίως καὶ τὰ σπέρματα. ἔλεγον | οὖν 43ᵛ
15 οἱ τῆς δόξης ταύτης προϊστάμενοι ὅτι, ὥσπερ ἡ τῶν εἰρημένων δύο τροφῶν
περίττωσις βίᾳ ἐξέρχεται ἀπωθουμένη ὑπὸ τοῦ ἐν ἡμῖν ἐντὸς ὄντος πνεύ- 5
ματος (σημεῖον δέ φασιν ὅτι ὑπὸ τοῦ τοιούτου πνεύματος βιαζομένη καὶ
ἀκοντιζομένη ἔξεισι· καὶ γὰρ ὅταν μὴ ῥᾳδίως ἔξεισιν ἡ τῆς ξηρᾶς τροφῆς
περίττωσις ὥσπερ ἐν ταῖς τῆς γαστρὸς ἐποχαῖς διὰ ξηρότητα, οὐκ ἐκπνέομεν, 10
20 ἀλλὰ κατέχομεν ἐντὸς τὸ πνεῦμα, ὡς δηλονότι ὑπὸ τούτου βιασθησομένης
καὶ ἐκτὸς ἀκοντισθησομένης· τοῦτο δὲ ποιοῦμεν καὶ ἐπὶ τῆς ὑγρᾶς) ὥσπερ 15
οὖν αὕτη ἡ περίττωσις βίᾳ ἐξέρχεται, οὕτω καὶ τὸ σπέρμα ἀκοντιζόμενόν
τε καὶ ὠθούμενον ὑπό τε τῆς ἐν αὐτῷ οὔσης θερμότητος ὑπό τε τῆς τοῦ 20
ὅλου σώματος, καὶ προσέτι ἑλκόμενον καὶ ὑπὸ τῆς τῶν αἰδοίων θερμότητος,
25 ὥσπερ ὑπὸ τῶν σικυῶν τὸ αἷμα (ὄργανα δὲ ταῦτα ἰατρικά) ἔξεισι βίᾳ καὶ 25
οὐ φύσει. τούτων προλεχθέντων τὴν λέξιν μετιτέον. φέρεται γάρ, φησίν,
ἕκαστον εἰς τὸν οἰκεῖον τόπον, λέγων ἕκαστον τό τε σπέρμα καὶ τὴν
τῶν δυεῖν τροφῶν περίττωσιν. τὸ δὲ τῷ τε πνεύματι βιαζομένων
δύναται καὶ περὶ τῶν σπερμάτων ἀκούεσθαι μόνων, δύναται δὲ καὶ περὶ
30 τῶν τριῶν, τοῦ τε σπέρματος καὶ τῶν δυεῖν περιττώσεων. ἐξέρχονται οὖν,
φησί, βιαζομένων, ἤτοι βιαζομένων τῷ πνεύματι. ἐν δὲ τῷ μὴ βιασα- 30
μένων ταύτην περίττωσιν τὸ βιασαμένων περὶ τῶν πνευμάτων εἴρηται.
ὃ λέγει τοιοῦτόν ἐστι δυνάμει· λέγουσιν οὖν, φησί, βίᾳ ἐξέρχεσθαι, ὥσπερ

1 τινῶν τροφὴν coll. K 3 ἀπόλλυται I τὴν om. Ka 5 πᾶσα IL
7 post τὸ add. δὲ IL 8 ἔχουσι L ἔρχονται IL συναθροίζονται IL
9 πόροις τόπων Ka ἐξέρχονται IL 10 περίττωμα om. Ia τόπον ὅστις
ποτὲ I 11 βραχεῖ a 12 ἴσως om. L εἰ] εἰς I 13 ἐκθώμεθα Ka
post ὅτι add. καὶ IKa 16 ἐντὸς om. K 18 ἡ] καὶ a 19 ξηρότητος ILa
22 καὶ τὸ σπέρμα om. IL 25 σικυῶν] συκιῶν IL: σικυιῶν Ka ταῦτα] αὗται Ka
27 ἕκαστον post τόπον ponit L 28 δυοῖν IKa 30 δυοῖν I: δύο Ka 31 ἤτοι]
τουτέστι K ἤτοι βιαζόμενα a μὴ om. IL 31. 32 βιαζομένων utrobique Ka
33 λέγουσιν] λέγει IL

ἐνδεχομένου ὄντος τὴν τῆς ξηρᾶς καὶ ὑγρᾶς τροφῆς περίττωσιν καὶ ἄλλοθί 43v
που πορευθῆναι, οἷον ἐν τῷ στόματι ἢ τοῖς μυκτῆρσι μὴ βιασαμένων
αὐτὴν τῶν πνευμάτων καὶ ἀκοντισάντων πρός τε τὴν κόστιν καὶ τὰ ἔντερα.
λέγουσι δέ, φησίν, οἱ ταύτης τῆς δόξης προϊστάμενοι βίᾳ ἐξέρχεσθαι τὸ
περίττωμα, διότι τὰς ἐξόδους αὐτῶν τῶν περιττωμάτων οἱ ἄνθρωποι συνεκ- 35
κρίνουσιν ὁμοίως καὶ τὰ λοιπὰ ζῷα τῷ ἀθροισθέντι ἐντὸς πνεύματι· τούτου
γάρ ἐστι δηλωτικὸν τὸ ὅτι τὰς ἐξόδους αὐτῶν ἠθροισμένῳ τῷ πνεύ-
ματι συνεκκρίνουσι. θεὶς δὲ τὴν δόξαν ἐνίσταται λέγων οὐ μόνον γὰρ
ἐν τῇ ἐξόδῳ τούτων τὸ πνεῦμα κατέχομεν, ἀλλὰ κἂν τι βάρος ἆραι
βουληθῶμεν, ὁμοίως κατέχομεν τὸ πνεῦμα· ἐγγίνεται γὰρ ἡμῖν ἐκ τῆς τοῦ
πνεύματος κατοχῆς ἰσχύς, εἴπερ ἡ ἰσχὺς διὰ θερμότητος, τὸ δὲ πνεῦμα
θερμόν. ὥστε οὐχ ἁπλῶς διὰ τὴν τῶν περιττωμάτων ἀκόντισιν τοῦτο 40
κατέχομεν, ὡς ἄνευ τοῦ πνεύματος μὴ δυναμένων ἐξελθεῖν, ἀλλὰ δι' ἰσχύν.
ἀλλὰ καὶ ὑπνώττουσιν ἡμῖν ἂν ἄνετοί τε καὶ ἀσθενεῖς οἱ τόποι τύχωσιν,
οἷον ἥ τε κόστις καὶ τὰ ἔντερα, ὡς μὴ δύνασθαι κατέχειν, ἐκκρίνονται·
οὐροῦσι γὰρ πολλοὶ καὶ μᾶλλον οἱ παῖδες ὑπνώττοντες διὰ τὸ ἀσθενῆ εἶναι
τὴν τῶν τοιούτων καθεκτικὴν δύναμιν, ἀλλ' οὐ διὰ τὸ κατέχειν τὸ πνεῦμα.
πῶς γὰρ κατέχουσι ὑπνώττοντες; σαφῶς δὲ τὴν τῶν καταμηνίων γένεσιν
ἀπαγγέλλει, πλὴν τοῦ ὅτι αἱ φλέβες ἡ μεγάλη καὶ ἡ ἀορτὴ τέμνεται εἰς 45
πολλάς, ἓν δέ τι τῶν τμημάτων εἰς τὴν ὑστέραν εἰσελθὸν τέμνεται εἰς
πολλὰ καὶ λεπτὰ φλεβία. ἐμήνυσε δὲ διὰ τοῦ σχιζομένων ἄνωθεν τῶν
φλεβῶν· τοῦτο γὰρ ἴσον ἐστὶ τῷ εὐθὺς ἐν τῇ τῆς καρδίας ἐπιφανείᾳ τὴν
σχίσιν δεχομένων. ἀλλὰ καὶ τὸ τῆς φύσεως διὰ ψυχρότητα οὐ
πέττειν δυναμένης ταὐτόν ἐστι τῷ καὶ μὴ δυναμένης τῆς τοῦ θήλεος
φύσεως τὸ ἐν τοῖς τοιούτοις φλεβίοις αἷμα πέττειν τε καὶ εἰς σαρκὸς φύσιν
μεταβάλλειν, ἐκκρίνεται ἀπὸ τῶν τοιούτων φλεβίων καὶ πίπτει ἐν τῇ ὑστέρᾳ, 50
ἐξ αὐτῆς δὲ ὑπὸ τῆς φύσεως ἀκοντίζεται θύραζε. |

p. 738a22 Μεταβεβληκότος μὲν οὖν εἰς αἷμα τοῦ περιττώματος 44r
βούλεται γίνεσθαι τὰ καταμήνια κατὰ τὴν εἰρημένην περίοδον.

Μεταβάλλον εἰς αἷμα περίττωμα λέγει τὴν κεχυλοποιημένην ἐν τῇ
γαστρὶ τροφήν, ἣν ἕλκουσιν ἀπ' αὐτῆς αἱ εἰς αὐτὴν ἐρριζωμέναι φλέβες 5
καὶ ἐν ἑαυταῖς ἐξαιματοῦσιν. ἡ γὰρ πρώτη τροφή, οἷον ὁ ἄρτος, πρῶτον
μὲν χυλοποιεῖται ἐν τῇ γαστρὶ ὑπὸ τῆς ἐμφύτου θερμότητος, εἶτα ἀπ'
αὐτῆς ὥσπερ ῥίζαι ἀπὸ γῆς ἕλκουσιν αὐτὴν αἱ τῶν δύο φλεβῶν, τῆς 10
μεγάλης καὶ τῆς ἀορτῆς, εἰς αὐτὴν ἐρριζωμέναι παραφυάδες, καὶ οὕτως
ἐντὸς αὐτῶν μεταβάλλει εἰς αἷμα· ἁπλῶς γὰρ πᾶν αἷμα ἐν ταῖς φλεψὶ γί- 15

1 ὑγρᾶς καὶ ξηρᾶς coll. Ka 4 λέγουσι] λέγομεν L 4. 5 τὰ περιττώματα Ka
5. 6 συνεκκρίνουσιν — πνεύματι om. IL 10 post ἐγγίνεται add. μὲν I 11 θερμότητα IKa 12 ἀκόντησιν I 13 μὴ] οὐ I 14 ἀλλὰ κἂν Ka ἂν om. Ka 19 πλὴν τ' ὅτι Ka καὶ om. K 23 ψυχρότητα] θερμότητα L'IK
27 ὑπὸ ex ἀπὸ corr. K 32 ἐξαιματοῦσιν scripsi: ἐξαιματοῦσαι libri

νεται αἷμα. ἔχουσι δὲ τὴν ἀρχὴν ἡ μεγάλη φλὲψ καὶ ἡ ἀορτὴ ἀπὸ τῆς 44r
καρδίας. ἐκάλεσε δὲ τὴν ὑπὸ τῶν φλεβίων ἀπὸ τῆς γαστρὸς ἑλκομένην 20
τροφὴν περίττωμα, διότι πᾶσαν τὴν τροφὴν τὴν πρώτην ἡ κοιλία ὡς
οἰκείαν μὲν ἕλκει, οὐ πᾶσαν δὲ τρέφεται, ἀλλά τι μέρος. τὸ δ' ἐναπο-
5 μεῖναν ἕλκουσιν αἱ φλέβες, ὅπερ καλεῖται οὐχ ἁπλῶς περίττωμα, ἀλλὰ 25
περίττωμα τῆς τροφῆς, ἀφ' ἧς ἐτράφη ἡ κοιλία. καὶ εἴη ἂν διὰ τοῦτο,
οἶμαι, τὸ τῆς λέξεως πλῆρες τοιοῦτον· μεταβεβληκότος μὲν οὖν εἰς αἷμα 30
τοῦ περιττώματος τῆς τροφῆς τῆς κοιλίας. λέγει δὲ περίοδον ἑκάστην
τὴν τοῦ ἡλίου καὶ τῆς σελήνης σύνοδον. εἰπὼν δὲ ὅτι πεφθέντος δὲ καὶ 35
10 μεταβεβληκότος εἰς αἷμα τοῦ περιττώματος, τῆς δὲ φύσεως μὴ δυνηθείσης
ἀπὸ αἵματος μεταβαλεῖν αὐτὴν εἰς σάρκας, ἐκκρίνεται εἰς τὴν ὑστέραν καὶ
γίνεται τὰ καταμήνια, ἐπήγαγε μὴ πεπεμμένου δὲ κατὰ μικρὸν ἀεί
τι ἀποκρίνεται, τουτέστι μὴ πεφθείσης δὲ ἐν ταῖς φλεψὶ μηδὲ εἰς αἷμα 40
μεταβεβληκυίας, ἀλλ' οὔσης οἷα ἦν ὅτε ἐκ τῆς γαστρὸς ἐλήφθη (ἦν δὲ
15 λευκή· ὁ γὰρ χυλὸς λευκός) ἀεί τι ἀπὸ τούτων εἰς τὰς ὑστέρας ἐκκρίνεται
λευκόν, καὶ ἐπὶ τούτῳ ταῖς νέαις γυναιξίν, οὐ πάσαις ἀλλά τισιν, ἀντὶ
καταμηνίων ἀποκρίνεται θύραζε λευκά τινα. ἀλλὰ πῶς ταῖς νεωτέραις τῶν
γυναικῶν πλεῖον ὂν τὸ ἔμφυτον θερμὸν ἤπερ ταῖς παλαιοτέραις οὐ μᾶλλον
πέττεται αὕτη ἡ χυλοποιηθεῖσα τροφὴ καὶ εἰς αἷμα μεταβάλλει, ἀλλὰ μένει
20 ἐν ταῖς φλεψὶν οἷα ἦν ὅτε ἐλήφθη ἐκ τῆς γαστρός; ἢ πλέον μέν ἐστιν ἐν 45
αὐταῖς τὸ θερμόν, οὐ σφοδρὸν δέ, ἀλλ' ἀνειμένον. ὥσπερ γὰρ καὶ ἡ τοῦ
κυαθιαίου θερμοῦ ὕδατος ἐπιτεταμένη θερμότης ἥττων μέν ἐστι τῆς τῶν
μυρίων κυάθων χλιαρῶν θερμότητος, ὅμως σφοδροτέρα ἐστὶ καὶ δραστικωτέρα,
οὕτω καὶ ἡ τῶν παλαιοτέρων γυναικῶν θερμότης | ἥττων ἐστὶ τῆς τῶν 44v
25 νεωτέρων θερμότητος, δραστικωτέρα μέντοι καὶ σφοδροτέρα. διά τε οὖν
τοῦτο καὶ τὸ πλείονι τροφῇ χρῆσθαι τὰ νεώτερα οὐ γίνονται καλῶς αἱ πέψεις.
ποιοῦσι δὲ νόσον τὰ καταμήνια μὴ γινόμενα, πολλὰ δὲ γινόμενα καὶ μὴ συμ-
μέτρως καθαίρεσιν ἐργάζονται τῶν τοῦ σώματος ὄγκων. ὃ γὰρ ἤμελλε προσ-
κριθῆναι τῷ σώματι, ὥστε αὐξῆσαι αὐτό, ἀνάγκη ἐξιὸν καθαίρεσιν ποιεῖν τοῦ 5
30 ὄγκου. τὸ δὲ ὅπως οἷον ἤμελλε τοιοῦτον γένηται ἕτερον τοιοῦτόν ἐστι·
τὸ καταμήνιον εἴπερ ἐπέφθη καὶ προσεκρίθη, ἀνάγκη ἦν σάρκας ἐξ αὐτοῦ καὶ
ὀστᾶ καὶ τὰ λοιπὰ ἕτερα μόρια γενέσθαι· ἐπεὶ δ' οὐ προσεκρίθη, κατα-
χρῆται αὐτῷ ἡ φύσις πρὸς ἄλλου γένεσιν ζῴου ὁμοίου τῷ πατρὶ ἢ τῇ
μητρί· δυνάμει γάρ ἐστιν ἀμφότερα τὰ καταμήνια. οἷον οὖν πρᾶγμα καὶ
35 οἷα φύσις ἤμελλε γενέσθαι προσκριθέν (ἐγεγόνει δ' ἂν σάρκες καὶ πάντα
τὰ ἄλλα μόρια) γίνεται πάλιν ἕτερα τοιαῦτα· ἔχει γὰρ τὸ γεγονὸς πάντα, 10

2 ὑπὸ scripsi: ἀπὸ libri ante ἀπὸ add. τῶν a 4 δ' om. IL 6 ἀφ' ἧς—κοιλία om. I
6. 7 οἶμαι διὰ τοῦτο coll. Ka 7 οἶμαι] οἷον IL μὲν om. IL 9 τῆς σελήνης
καὶ τοῦ ἡλίου coll. Ka 14 μεταβεβηκυίας a 19 αὕτη—τροφὴ om. Ka
20 ἐν post ἐστιν om. Ka 21 post ἡ add. ἐπὶ K 22 ἐπιτεταμένη θερμοῦ ὕδατος
coll. Ka 24 ἥττων—θερμότητος (25) om. K 25 διά τοι οὖν K 26 γίνεται a
28 καθαίρεσιν ἐργάζονται om. Ka 28. 29 προκριθῆναι I 31 ἦν] οἷον IL
32 ἕτερα om. Ka 32. 33 καταχρᾶται IL 35 γενέσθαι ex γίνεσθαι corr. K
προσκριθέντος K ἐγεγόνασι a δὲ σάρκα IL: ἂν σάρκες a

ὅσα τὸ γεννῆσαν αὐτό· κἂν γὰρ τῇ μητρὶ τοῦ Σωκράτους προσεκρίθη, σάρκας 44v
ἂν ἐποίησε πάντως καὶ ὀστᾶ καὶ τὰ λοιπά, καὶ ἐν τῷ Σωκράτει τὰ αὐτὰ
πεποίηκε.

p. 738b9 Τοῦ δ' ἐν μὲν τοῖς θήλεσι πᾶσιν ὑπάρχειν περίττωμα
5 τοιοῦτον.

Διὰ τούτων τὴν αἰτίαν λέγει, δι' ἣν τὰ μὲν θήλεα πάντα προΐεται ἢ
καταμήνιον ἢ τὸ ἀνάλογον τῷ καταμηνίῳ, οὐ πάντα δὲ τὰ ἄρρενα ἢ 15
σπέρμα ἢ τὸ ἀνάλογον. τινὰ γὰρ τῶν ἐντόμων, ἐν ὅσοις τὸ θῆλυ εἰς τὸ
ἄρρεν ἀφίησί τι τῶν ἑαυτοῦ, ὡς πολλάκις εἴρηται, οὐ προΐεται οὔτε σπέρμα 20
10 οὔτε τὸ ἀνάλογον οὔθ' ὅλως τι. διὰ μακροῦ δὲ τὴν τοῦ λόγου πεποίηκεν
ἀπόδοσιν, διὰ τὸ πολλὰ μεταξὺ παρεμβαλεῖν. ῥητέον δὲ πρῶτον μὲν τὴν
τῶν λεγομένων διάνοιαν, εἶθ' οὕτω τὴν λέξιν καταστῆσαι πειρατέον. τοῦ 25
μὲν οὖν τοῖς θήλεσι, φησί, πᾶσιν γενέσθαι περίττωμα, ἤτοι καταμήνιον ἢ
τὸ ἀνάλογον, τοῖς δὲ ἄρρεσι μὴ πᾶσιν αἴτιον ὅτι πᾶν ζῷον σῶμα ἔμψυχόν 30
15 ἐστι, καὶ τὴν μὲν ὕλην ἐξ ἧς τὸ σῶμα παρέχει τὸ θῆλυ, τὴν δὲ ψυχὴν
καὶ τὸ εἶδος τὸ ἄρρεν ὡς δι' ὀργάνου τοῦ σπέρματος. ἐν οἷς οὖν ἐνδέχεται 35
τὴν ψυχὴν δίδοσθαι ἄνευ ὀργάνου καὶ σπέρματος, τούτοις οὐκ ἀνάγκη
περίττωμα ἔχειν σπερματικόν· ἐνδέχεται δὲ δίδοσθαι ταύτην χωρὶς ὀργάνου
ἐν οἷς ἐντόμοις τὸ θῆλυ τῶν ἑαυτοῦ τι εἰς τὸ ἄρρεν ἀφίησιν. ἐπεὶ οὖν 40
20 χωρὶς ὕλης καὶ εἴδους οὐδέν τι δύναται γενέσθαι, χωρὶς δὲ ὀργάνων πολλά,
ὥσπερ ἐπὶ τῆς πλαστικῆς, τὴν δὲ ὕλην | παρέχει τὸ θῆλυ, ἀνάγκη πᾶσι 45r
τοῖς θήλεσιν εἶναι περίττωμα γεννητικόν, τουτέστι καταμήνιον ἢ τὸ ἀνά-
λογον, τοῖς δ' ἄρρεσιν οὐκ ἀνάγκη πᾶσι γίνεσθαι σπέρμα ἤτοι ὄργανον, διὰ 5
τὸ δύνασθαι, ὥσπερ εἴρηται, καὶ χωρὶς τοῦ τοιούτου ὀργάνου ἄλλως πως
25 δίδοσθαι τῇ ὕλῃ τὴν ψυχὴν καὶ τὸ εἶδος. ἡ μὲν οὖν αἰτία, δι' ἣν οὐ 10
πᾶσι τοῖς ἄρρεσι γίνεται σπέρμα ἢ τὸ ἀνάλογον, τοῖς δὲ θήλεσι πᾶσιν,
αὕτη. ἡ δὲ τῆς λέξεως ἀπόδοσις καὶ τὸ συνεχὲς καὶ ἡ τῶν μεταξὺ 15
παρεμβληθέντων ἔννοια ὧδέ πως ἔσται δήλη. καὶ πρῶτον ἡ τῆς λέξεως·
τοῦ δὲ ἐν μὲν τοῖς θήλεσι πᾶσιν ὑπάρχειν περίττωμα τοιοῦτον,
30 ἐν δὲ τοῖς ἄρρεσι μὴ πᾶσιν, αἴτιον δὴ τοῦ τοῖς μὲν ἄρρεσι μὴ 20
πᾶσιν εἶναι περίττωμα γεννητικόν· τὰ δὲ λοιπὰ μεταξὺ παρενεβλήθη,
διὸ καὶ αὐτὸς εἰδὼς ὡς παρενέβαλέ τε καὶ ἐμέστωσε τὸν λόγον, τέθεικε 25
τὸν ἀρκτικὸν τὸν δή σύνδεσμον εἰπὼν αἴτιον δή. ἀλλὰ τὸ μὲν τῆς λέξεως
ἀκόλουθον τοιοῦτον, ἡ δὲ τῶν μεταξὺ παρεμβληθέντων διάνοια αὕτη· ὥσπερ 30
35 γὰρ τὰ προϊέμενα γονήν, οἷον ἄνθρωπος καὶ τὰ τοιαῦτα τῶν ζῴων, τῇ ἐν

2 πάντως om. Ka πάντως κἂν ὀστᾶ IL σωκράτη libri ante τὰ αὐτὰ add. δὲ Ka 3 πεποίηκεν ἂν L 4 Τοῦ] τὸ IL ὑπάρχον IL 6 πάντα om. Ka 7 οὐ—γὰρ τῶν (8) in marg. add. L 11 μὲν om. Ka 13 γίνεσθαι Ka 14 ἄρρενος a σῶμα om. Ka 15 ἐξ ἧς τὸ σῶμα om. Ka 17 ἀναγκαῖον a 18 ἔχειν περίττωμα coll. K ὀργάνων Ka 25 ἡ ψυχὴ IL 26 τοῖς ἄρρεσι om. K ἢ τὸ] ἤτοι IL 31 παρεμβλήθησαν a 32 παρέμβαλε a 33 τὸν post ἀρκτικὸν om. Ka δή prius om. K: δῆ I δή post αἴτιον om. I 35 τοιαῦτα] λοιπὰ K

τῇ γονῇ κινήσει, ἤτοι τῇ ποιητικῇ ὑπ' αὐτῶν ἐνδιδομένῃ διὰ τῆς γονῆς θερμότητι, δημιουργεῖ τὸ ζῷον (τοῦτο γὰρ εἶπε συνιστάμενον· συνέστησε γὰρ ὁ Σωφρονίσκος τὸν Σωκράτην ἔκ τε τῆς ἀπὸ τῆς Ξανθίππης ὕλης καὶ τῆς ἀπ' αὐτοῦ δοθείσης ψυχικῆς θερμότητος) οὕτω καὶ τῶν ἐντόμων ὅσα μὴ προΐεται γονήν, ἀλλὰ δέχεται τὴν ἐκ τοῦ θήλεος ὑγρότητα, συνιστῶσιν αὐτὴν ὑπὸ τῆς ἐνούσης αὐτοῖς ποιητικῆς δυνάμεως. | εἰπὼν δὲ ὅτι 45v συνιστῶσιν ἣν ἀπὸ τοῦ θήλεος δέχονται ὕλην ὑπὸ τῆς ἐν αὐτοῖς δυνάμεως, σαφηνίζων ἐν τίνι τῶν μορίων ἐστὶν αὕτη ἡ δύναμις, ἐπήγαγεν ἐν τούτῳ τῷ μορίῳ, ὅθεν ἀποκρίνεται τὸ σπέρμα, τουτέστιν ἐν τούτῳ τῷ μορίῳ ἔχουσι τὰ τοιαῦτα ἔντομα τὴν ποιητικὴν δύναμιν, τῷ ἀναλογοῦντι τῷ ἐφ' ἡμῖν μορίῳ, ἀφ' οὗ ἀποκρίνεται τὸ σπέρμα. ἐν ἡμῖν δὲ εἰς τὸ καλούμενον διάφραγμα καὶ ὑπόζωμα καὶ φρένας συνάγεται πρῶτον, ἐκεῖθεν δ' ἐξέρχεται διὰ τῶν πόρων. συνάγεται δ' ἐνταῦθα διὰ τὴν τοιαύτην αἰτίαν· ἐπειδὴ γὰρ ἐν τῷ σπέρματι ἐκ τῆς καρδίας διαδίδοται ἡ θερμότης ἡ πολλάκις ῥηθεῖσα ἀνάλογος τῇ ἀπὸ τοῦ ἡλίου θερμότητι, ἡ δὲ καρδία ἢ τὸ ἀνάλογον ἐνταῦθα κεῖται, εἰκότως καὶ τὸ σπέρμα ἢ τὸ ἀνάλογον τῷ σπέρματι ἐνταῦθα συναθροίζεται, ἵνα δέξηται ἀπ' αὐτῆς ἢ ἀπ' αὐτοῦ τὴν τοιαύτην δύναμιν. ἔστιν οὖν, φησίν, ἡ καρδία ἀρχή, τὸ δὲ κάτω τῆς καρδίας προσθήκη καὶ χάριν αὐτῆς· τὸ γὰρ κυρίως ζῷον ἡ καρδία, τὰ δ' ἄλλα χάριν αὐτῆς εἰσιν. εἰπὼν δὲ ὅτι τὸ σπέρμα ὄργανον ὂν οὐκ ἀναγκαῖον ὑπάρχειν ἐν τοῖς γινομένοις οὐδὲ μέρος γίνεσθαι αὐτοῖς, ἐπήγαγεν οὔτε τὸ ποιοῦν πάνυ ἀκριβῶς· οὔτε γὰρ ὁ τέκτων ἐνυπάρχει τῇ θύρᾳ οὔθ' ἡ ἐν τῷ σπέρματι θερμότης τῷ γινομένῳ ζῴῳ, ἀλλὰ γίνεται μὲν ὑπ' αὐτοῦ, οὐκ ἐνυπάρχει δὲ αὐτῷ. ὅτι δὲ ἡ μὲν ὕλη ἐκ τοῦ θήλεός ἐστιν, ἡ δὲ ψυχὴ καὶ τὸ εἶδος ἐκ τοῦ ἄρρενος, πιστοῦται 15v καὶ ἐκ τῶν μὴ ὁμογενῶν, λέγων μὴ ὁμογενῆ τὰ μὴ ὁμοειδῆ. εἰ γὰρ μιχθείη ἀλώπηξ ἄρρην κυνὶ θηλείᾳ καὶ γεννήσει, τὸ γεννηθὲν μεταξύ ἐστι κυνὸς καὶ ἀλώπεκος καὶ ἔοικεν ἀμφοτέροις· εἶτα τὸ γεννηθὲν ἐξ ἀμφοῖν εἴ ἐστιν ἄρρεν, μιχθείη δὲ τῇ κυνί, τὸ γεννηθὲν μᾶλλον μὲν ἀφέστηκε τῆς τῶν ἀλωπέκων ὁμοιότητος, ἐγγίζει δὲ τῇ τῶν κυνῶν, καὶ τέλος ἀποβαίνει καὶ γίνεται κύων. προσεχῶς γὰρ ἡ κύων παρέχουσα τὴν ὕλην, τὸ δ' ἄρρεν τὸ εἶδος δι' ἄλλης καὶ ἄλλης ὁμοιότητος ἐξασθενεῖ, καὶ γίνεται τὸ γινόμενον κατὰ τὴν τῆς ὕλης καὶ τῆς χορηγούσης αὐτὴν ἐπικράτειαν. ὅτι δὲ ἀεὶ δι' ἄλλου καὶ ἄλλου, δῆλον· πρῶτον μὲν γὰρ ἀλώπηξ ἣν ὁ δέδωκε τὸ εἶδος, εἶτα τὸ μεταξὺ ἀλώπεκος καὶ κυνός, εἶτα τὸ μεταξὺ τούτου καὶ κυνός, καὶ οὕτως ἐφεξῆς. εἰπὼν δὲ ὅτι ὅσα τῶν μὴ ὁμογενῶν μίγνυται, ἐπήγαγε

---

2 συνέστηκε Ka 3 τὸν σωφρονίσκον ὁ σωκράτης a 8 ἔν τινι libri
9 τουτέστιν—σπέρμα (11) om. K 10. 11 τῷ ἐν ἡμῖν a 11 post δὲ add. ἐστὶ Ka
12 φρένες ἐκεῖσε μὲν συνάγεται a 13 ἐντεῦθεν IL 14 διαδίδοται] δια in ras. L
14. 15 ἡ πολλάκις ῥηθεῖσα θερμότης Ka 15 ἀναλογοῦσα Ka 17 ἀπ' αὐτοῦ ἢ L 19 προσθ$^{\xi}$ I αὐτοῦ L 22 αὐτοῖς] αὐτῆς L 26 primum μὴ om. IL ὁμοιογενῶν I μὴ post τὰ om. I, in marg. add. L 28 ἔοικεν] ἐοικὸς Ka 36 ὅσοι a μίγνυνται IL

μίγνυται δὲ ὧν ἴσοι οἱ χρόνοι καὶ ἐγγὺς ἀλλήλαις κυήσεις, δυνάμει λέγων ἐκεῖνα τῶν μὴ ὁμογενῶν μιγνύμενα γεννῶσιν, ὅσα ἐν ἴσοις χρόνοις γεννῶσιν· ἐν ὅσοις γὰρ μησὶ κύει ἡ κύων, οἷον εἰ τέτρασιν, ἐν τοσούτοις καὶ ἡ ἀλώπηξ. εἰ δὲ τοδὶ μὲν πέφυκε φέρειν κατὰ γαστρὸς τὸ ἔμβρυον ἐν μησὶν ἐννέα τοδὶ δὲ ἐν τέτρασι καὶ μιχθῶσιν, οὐκ ἂν ἀπογεννήσαιεν. δεῖ οὖν μὴ μόνον ἴσους εἶναι τοὺς χρόνους, ἀλλὰ καὶ τὰ μεγέθη σύμμετρα· εἰ γὰρ ἴσοι μέν εἰσιν οἱ χρόνοι, ἀσύμμετρα δὲ τὰ μεγέθη, οὐδ' οὕτως ἂν γενήσεται σύλληψις· πῶς γὰρ ἂν ἐκ κυνὸς καὶ ἵππου ἢ ἐξ ἐλέφαντος καὶ ἀλώπεκος; ὅτι δὲ ὥσπερ ἐπὶ κυνὸς καὶ ἀλώπεκος τοῦτο συμβαίνει γίνεσθαι καὶ ἐν τοῖς σπέρμασι, δῆλον. εἰ γάρ τις ἐξ Αἰγύπτου ἐν Ἀθήναις κομίσειε σῖτον καὶ σπείρειεν, ὁ γεγονὼς μεταξύ ἐστι τοῦ τε Αἰγυπτιακοῦ σίτου καὶ τοῦ ἐν Ἀθήνησιν· ὁ δὲ ἐκ τούτου τοῦ μεταξὺ σπαρέντος γεγονὼς ἔοικε μᾶλλον τῷ ἐν Ἀθήνησι καὶ τέλος γίνεται ἀπαραλλάκτως οἷος ὁ ἐν Ἀθήνησι γεωργούμενος. τὴν δὲ λέξιν τὴν αὕτη γὰρ ἡ τὴν ὕλην παρέχουσα καὶ τὸ σῶμα τοῖς σπέρμασίν ἐστιν οὕτως ἀναγνωστέον· αὕτη γάρ ἐστιν ἡ παρέχουσα τοῖς σπέρμασι τὴν ὕλην καὶ τὸ σῶμα. οὐ μόνον δὲ ἐκ τούτων δῆλον ὅτι τὸ θῆλυ παρέχει τὴν ὕλην, ἀλλὰ καὶ ἐκ τοῦ μὴ εἶναι τοῖς θήλεσι τὸ δεκτικὸν μόριον τοῦ καταμηνίου πόρον, οἷός ἐστιν ὁ τῶν ἀρρένων, ἀλλὰ πλατὺ καὶ εὐρύχωρον. πανταχοῦ γὰρ τῆς ὕλης ἀναλόγου οὔσης τῷ συνισταμένῳ ἐξ αὐτῆς μεγέθει εἴτε ἀψύχῳ εἴτε ἐμψύχῳ (οὐδὲν γὰρ τῶν τοιούτων πάνυ βραχύτατόν ἐστι τελειωθὲν ὥσπερ φέρ' εἰπεῖν κέγχρος, ἀλλ' ἔχει μέγεθος) ἀνάγκη καὶ τὴν δεξαμένην εἰς αὐτὴν ὑστέραν τὴν ἐξ ἧς τοῦτο γέγονεν ὕλην εὐρυχωροτάτην εἶναι. τὸ δὲ τῶν περιττωμάτων ἕκαστον ἅμα ἔν τε τοῖς οἰκείοις τόποις ἐστὶ καὶ γίνεται περίττωμα πρὸς σύστασιν ἐπῆκται τοῦ καὶ τὸ καταμήνιον, κἂν αἷμά ἐστιν ὅτε ἐμπέσῃ ἐν τῇ ὑστέρᾳ, ὅμως ἐν ἐκείνῃ ὡς καταμήνιον εἰδοποιεῖσθαι. οὐ γάρ ἐστιν αἷμα καταμήνιον, ἀλλὰ πίπτει ἐν τῇ ὑστέρᾳ ὡς αἷμα, γίνεται δὲ ἐν αὐτῇ τοιονδὶ αἷμα, οἷον καταμήνιον. καταμήνιον δ' ἐστὶ τὸ ἤδη δύναμιν ἔχον μεταβαλεῖν εἰς ζῷον ὑπὸ τοῦ κινοῦντος καὶ μεταβάλλοντος. μετὰ ταῦτα λέγει καὶ τὴν αἰτίαν, δι' ἣν πρῶτον τὸ εἰσιὸν σπέρμα ἀπὸ τοῦ ἄρρενος τὸ γλίσχρον ποιεῖ, ὅπερ γλίσχρον ἀναλογοῦν ἐλέγομεν τῷ ἐν τοῖς ἐψήμασι περιξήρῳ (ὅπερ γλίσχρον μετὰ βραχὺ χόριον ἐρεῖ), καί φησι συνίστησι γὰρ τὸ καθαρώτατον τοῦ περιττώματος καὶ ποιεῖ δηλονότι τὸ χόριον, ἤτοι τὸν ὑμένα, μεθ' οὗ συνεξέρχεται θύραζε τὸ ζῷον. καὶ διὰ τί τοῦτο πρῶτον τῶν ἄλλων ἁπάντων συνίστησι, λέγει· τὸ γὰρ πλεῖστον, φησίν,

2. 3 ὅσα—γεννῶσιν om. K χρόνοις γεννᾷ a 3 μησὶ] μίσει I 4 ἡ om. Ka
5 ἂν om. Ka 7 ἀσύμμετροι a 8 κυνὸς] μυὸς a 9 ὥσπερ] ὅπερ Ka
10 post Αἰγύπτου add. καὶ a 11 κομίσει K τε om. a 12 ἐν Ἀθήνησιν] sic libri, itemque v. 13 13. 14 ἐν Ἀθήναις a 16 παρέχουσι I
17 τὴν ὕλην] τὸ σπέρμα IL 20 μεγέθη a γὰρ] δὲ Ka 22 τὸ δεξόμενον Ka εἰς αὐτὴν ὑστέραν scripsi: εἰς τὴν ὑστέραν IL: om. Ka 25 post τοῦ add. δὲ IL κἂν] καὶ K 26 εἰδοποιεῖσθαι scripsi: εἰδοποιεῖται libri
27 ἐστιν scripsi: εἴ τι libri 29 μεταβάλλειν K 31 ἀναλογεῖν Ka
33 περιττώματος] σπέρματος a 34 συνέρχεται a

ἄχρηστον καὶ ἐν τοῖς καταμηνίοις ἐστὶν ὑγρόν, τουτέστι τὸ γὰρ πλεῖστον ὑγρὸν ἄχρηστα ποιεῖ πρὸς | ζῴου σύστασιν τὰ καταμήνια, καὶ 46r
ἐπὶ τούτῳ ποιεῖ πρῶτον τὸ χόριον, ἵνα ἐντὸς μὲν περιλήψεται τὸ χρήσιμον ὑγρόν, ἐκτὸς δὲ καταλείψει τὸ ἄχρηστον. τὸ οὖν πολὺ ὑγρὸν ἄχρηστον,
5 φησί, καὶ ἐν τοῖς καταμηνίοις, ὥσπερ καὶ τῆς τοῦ ἄρρενος γονῆς τὸ ὑγρότατον καὶ αὐτῆς τῆς εἰσάπαξ προέσεως. ἐπεὶ γὰρ οὐχ ἅμα πᾶσα οὐδ' ἐν ἀτόμῳ νῦν ἔξεισιν ἡ γονή, ἀλλ' ἐν χρόνῳ, τὸ πρότερον ἐξιὸν ἀχρηστότερόν ἐστι τῶν ἐφεξῆς ἐξερχομένων διὰ τὸ ὑγρότατον εἶναι. 5
τούτου γὰρ ἐστι δηλωτικὸν τὸ καὶ αὐτῆς τῆς εἰσάπαξ προέσεως·
10 ἅπαξ γὰρ πρόεσιν λέγει τὴν ἐν τῇ μιᾷ ὁμιλίᾳ. ἀλλὰ κἂν δὶς πλησιάσῃ τις γυναικί, ἡ ἐκ τῆς πρώτης ὁμιλίας γονὴ ἀγονωτέρα ἐστὶ τῆς ἐκ τῆς δευτέρας· τοῦτο γὰρ πάλιν ἐδήλωσε διὰ τοῦ καὶ ἡ προτέρα τῆς ὑστέρας ἄγονος. καὶ τοῦτο εὐλόγως· πλείονος γὰρ οὔσης ἀεὶ τῆς προτέρας καὶ ἐπὶ τούτῳ μὴ καλῶς πεφθείσης, ὑγροτέρα ἕξεισι· τὸ γὰρ πλεῖον ὑπὸ τῆς
15 αὐτῆς δυνάμεως ἧττον πάσχει τοῦ ἐλάττονος. τὸ ἐλάττω γὰρ ἔχει θερμό- 10
τητα ψυχικὴν διὰ τὴν ἀπεψίαν ταὐτόν ἐστι τῷ τὸ γὰρ πλεῖον ἐλαττόνως πεφθὲν ἐλάττονα ἔχει καὶ τὴν ψυχικὴν θερμότητα· ἡ πλείων γὰρ ψυχικὴ θερμότης ἐκ τῆς πλείονος πέψεως γίνεται.

p. 739a22 Μάλιστα δ' ἂν δόξειεν, ὅτι καθάπερ τοῖς ἄρρεσι,
20 γίνεται καὶ ταῖς γυναιξὶ νύκτωρ ὃ καλοῦσιν ἐξονειρώττειν.

Ἡ μὲν οὖν γινομένη ὑγρότης μετὰ τῆς ἡδονῆς, φησίν, οὐδὲν ἦν, ὥσπερ δέδεικται, σημεῖον τοῦ τὸ θῆλυ προΐεσθαι γονήν. μάλιστα δ' ἂν δόξειε 15
καὶ τὸ θῆλυ προΐεσθαι γονὴν ἐκ τοῦ καὶ τὰ θήλεα ἐξονειρώττειν ὥσπερ καὶ τὰ ἄρρενα. ἐξονειρώττειν δὲ λέγεται τὸ προϊέναι γονὴν ἐν τοῖς ὕπνοις· 20
25 φαίνεται γὰρ πολλοῖς ὑπνώττουσιν ὁμιλεῖν γυναικί, ἐξ οὗ συμβαίνει αὐτοῖς προϊέναι γονήν. ὃ δὴ πάσχουσιν καὶ γυναῖκες πολλαί· δοκεῖ γὰρ καὶ 25
αὐταῖς ὑπνωττούσαις ὀπύεσθαι ὑπ' ἀνδρῶν, διὸ καὶ αὗται προΐενται ὑγρότητά τινα. οὐδὲν οὖν, φησίν, ἐστὶ σημεῖον καὶ πίστις τοῦ προΐεσθαι τὸ θῆλυ γονὴν τὸ συμβαίνειν αὐταῖς ἐξονειρώττειν· γίνεται γὰρ ἐξονείρωξις καὶ τοῖς 30
30 νέοις τῶν ἀρρένων τοῖς ἤδη μέλλουσιν ἐγγίσαι τῇ ἡλικίᾳ, καθ' ἣν δύνανται γεννᾶν, καὶ ἢ οὐ προΐενται ἢ προΐενται μέν, ἄγονον δέ. οὕτως οὖν καὶ 35
ταῖς γυναιξὶν ἢ οὐ γίνεται πρόεσις ἐξονειρωττούσαις, ἢ κἂν γένηται, ἀλλ' οὐ γονή, ἀλλ' ὑγρότης, ὡς εἴρηται, ἴδιος τοῦ τόπου, καὶ τῷ προϊεμένῳ 40

1 ἐστὶν ὑγρῶν L¹ 3 περιλήψεται scripsi: περιλήψηται libri 4 καταλείψει scripsi: καταλείψῃ libri 5 τοῦ om. IL 6 ἅπαξ K ἐπειδὴ Ka 7 πᾶσιν K ἐν ἐντόμοις νῦν a χρόνῳ] ἀρχὴ a 8 τοῦ et ἐξερχομένου Ka ὑγρότερον Ka 9 τοῦτο I τὸ] τοῦ L 10 λέγει] εἶπε K 12 πάλιν om. K 14 πεφθείσης] τεθείσης a τὸ γὰρ πλεῖον—ἐστι τῷ (16) om. K 15 τὸ γὰρ ἐλάττω coll. IL 20 καλοῦμεν IL 21 φησίν post ὑγρότης ponit K 22 μάλιστα—γονὴν (23) om. IL 26 δὴ om. K πάσχουσιν post πολλαί ponit K 27 ὀχεῖσθαι L: ὀπνοῦσθαι I: ὀτνοῦσθαι a 29 ἐξονείρωσις a ἐξονείρωξις post ἀρρένων (30) ponit K 32 οὐ γενήσεται Ka post πρόεσις add. ἢ οὐ γενήσεται IL 33 post ὑγρότης add. τις a

ἄγονον ὑγρότητα γίνεται πρόεσις ἀληθῶς ὁμιλοῦντι γυναικί, ὅμως οὐκ ἔστι γονή· εἰ γὰρ ἦν γονή, ἐπλήρωσεν ἂν τὴν γυναῖκα· ὥστε εἰ καὶ προΐεται 45 ὅλως καὶ τὸ θῆλύ τι, ἀλλ' οὐ γονήν, ὑγρότητα δέ τινα. εἰπὼν δὲ ἀδύνατον συλλαβεῖν ἄνευ | τῆς τῶν γυναικείων περιττώσεως ἐπήγαγεν ἢ 46v θύραζε προελθούσης· τοῦτο δὲ εἶπε διὰ τὰ ἔντομα τὰ μὴ δεχόμενα ἐκ τοῦ ἄρρενος ἐν ἑαυτοῖς τι, ἀλλὰ μᾶλλον αὐτὰ προϊέμενα εἰς τὸ ἄρρεν τι τῶν ἑαυτῶν. 5 καὶ μὴ συμβαινούσης δέ, φησίν, ὡς πολλάκις εἴρηται, τῆς εἰωθυίας γίνεσθαι τοῖς θήλεσιν ἡδονῆς συλλαμβάνουσιν, ἂν τύχῃ ὁ τόπος ὀργῶν, τουτέστιν ἐπιτήδειος ὢν πρὸς σύλληψιν. καὶ σαφηνίζων τὴν τοῦ τόπου ἐπιτηδειότητα 10 τίς ἐστιν ἐπήγαγε καὶ καταβεβηκυῖαι αἱ ὑστέραι ἐγγύς· ἀνέρχονται γὰρ καὶ κατέρχονται. γίνεται οὖν καὶ μὴ γινομένης τῆς ἡδονῆς σύλληψις, ἥτις ἡδονὴ γίνεται ἐν αὐταῖς, ὅτε ἐκκρίνεται τὸ ὑγρὸν εἰς τὰς ὑστέρας, οὐ πᾶν δὲ ἐν αὐταῖς, ἀλλ' ὀλίγον τι καὶ ἐκτός· ἀλλ' ὡς ἐπὶ τὸ πολὺ ἐκείνως, τουτέστι γινομένης τῆς ἡδονῆς, συλλαμβάνονται διὰ τὸ μὴ συμμύειν ἀλλ' ἀνεῳγμένα εἶναι τότε τὰ τῶν ὑστερῶν στόματα ἐκκρινομένου τοῦ ὑγροῦ· εὐοδεῖται γὰρ μᾶλλον καὶ τὸ τοῦ ἄρρενος σπέρμα εἰσελθεῖν ἀνεῳγμένων 15 οὐσῶν. λέγει δὲ ὅτι κἂν ἀνεῳγμέναι τύχωσιν αἱ ὑστέραι, οὐκ εὐθὺς ἐκ τοῦ αἰδοίου τοῦ ἄρρενος ἐντὸς εἰς τὸ κύτος τῶν ὑστερῶν ἀκοντίζεται ἡ γονή, ἀλλ' ἐκτὸς καὶ λίαν σύνεγγυς τοῦ στόματος αὐτῶν, ἤγουν εἰς τὸ βάθος τοῦ αἰδοίου, κἀκεῖθεν ἕλκει αὐτὸ ἐντὸς ἡ ὑστέρα διὰ τὴν ἐνοῦσαν αὐτῇ θερμότητα, ὥσπερ αἱ σικύαι, τὰ ἰατρικὰ ὄργανα, τὸ αἷμα. ἕλκουσι δὲ αἱ ὑστέραι τὴν γονὴν οὐχ ὕστερον, ὅτε ἀποστῇ ὁ ἄρρην ἀπὸ τῆς γυναικὸς κἀκείνη ὄρθιος στῇ (ἀνάγκη γὰρ ὀρθίου σταθείσης πίπτειν τὴν 20 γονὴν θύραζε), ἀλλ' εὐθὺς τότε ἕλκει ἅμα τῷ ἐγγίσαι εἰς τὸν τόπον ἐκεῖνον, ὥστε φθάνει μᾶλλον ἡ ὑστέρα ἐντὸς ἑλκύσαι τὴν γονὴν ἤπερ τὸ ἄρρεν ἀποστῆναι τῆς γυναικός. οὐκ ἐντὸς οὖν εὐθὺς ἀκοντίζεται, ἀλλ' εἰς τὸ πρόσθεν, οὗπερ τὸ θῆλυ προΐεται τὴν ἰκμάδα, ἤτοι τὸ καταμήνιον. καὶ γὰρ τὸ καταμήνιον οὐκ εὐθὺς ἐκ τῶν ὑστερῶν εἰς τοὺς μηροὺς ἀκοντίζεται τῶν γυναικῶν, ἀλλ' εἰς τὸν τόπον τοῦ αἰδοίου τὸν πλησίον ὄντα τῷ στόματι τῆς ὑστέρας, ἐν ᾧ 25 πρῶτον καὶ ἡ γονή, ὡς εἴρηται, πίπτει, καὶ οὕτως ἐκ τούτου ῥεῖ ἔξωθεν. προσέθηκε δὲ τὸ ἐνίαις, διότι οὐ πᾶσα γυνή, ὡς εἴρηται, προΐεται θύραζε καταμήνια. καὶ τὸ ἐάν τις ἐξικμάσῃ ἀντὶ τοῦ ἐάν τις προπέμψῃ εἴρηται· εἰ γὰρ μὴ προπέμψει ὅλως, πῶς ἂν ἐκεῖσε γένοιτο; ὁτὲ μὲν οὖν, φησίν, ἀνεῳγμένων τῶν ὑστερῶν εἴσεισιν ἡ γονὴ φυσικῇ τινι ὁρμῇ, ὁτὲ δὲ κἂν κεκλεισμέναι ὦσι, τύχωσι δὲ θερμαὶ διὰ τὴν κάθαρσιν (τὸ γὰρ αἷμα θερμὸν ὂν ὅταν συναθροισθῇ εἰς αὐτάς, θερμαίνει αὐτάς) σπῶσιν εἴσω τὴν γονὴν

---

6 αὐτὰ scripsi: ταῦτα libri 7 συμβαίνουσι a 12 ἐν ἑαυταῖς ὅτι IL τὰς om. a τὴν ὑστέραν K 13 ἐκείνης IL[1] 14 συμμύειν K: συμμένειν I: συμ ... ν L (in marg. add. μεμι): συνημένα (sic) a 15 ἠνεωγμένα IKa τότε τὰ] τά τε IL 16 post σπέρμα add. εἰς τὸ Ka 17 ἠνεωγμέναι IKa 20 αὐτὸ] αὐτὰ K: αὐτῷ a ἐν τῇ ὑστέρα K 21 συκίαι L: συκεῖαι I: σικυῖαι Ka 22 ἄρρεν La 23 ὀρθισταθείσης a εἰσπίπτειν IL 24 ἐγγίσαι] ἐνεῖναι K 25 φθάνειν Ka ἑλκύσασα K 32 προπέμψει a 34 ἠνεωγμένων IKa, itemque porro 36 τὴν γονὴν εἴσω coll. K

διὰ τὴν θερμότητα. οὐ λέγει δὲ οὕτως αὐτὰς κεκλεισμένας, ὥσπερ φασὶ 46ᵛ
μετὰ τὴν σύλληψιν κλείεσθαι· τότε γὰρ μετὰ τὴν σύλληψιν οὕτως κλείονται,
ὡς μήτε εἴσοδον μήτε μὴν ἔξοδον δίδοσθαί τινι· ἀλλὰ κεκλεισμέναι μέν
εἰσιν ὡς πρὸς εἴσοδον γονῆς, ἀνεῳγμέναι δέ, ἀλλὰ πάνυ βραχέως. ὥστε
5 ἀνεῳγμέναι μέν εἰσιν, λέγονται δὲ κεκλεισμέναι διὰ τὸ μὴ χώραν διδόναι
εἰσόδου τῇ γονῇ, ὥσπερ ἂν εἴποιμεν κεκλεισμένην θύραν τὴν ἀνεῳγμένην,
οὕτως δὲ ἀνεῳγμένην, ὡς μὴ δύνασθαι εἰσελθεῖν σε ἢ ἄλλον τινὰ τῶν 35
ἀνθρώπων. εἰπὼν δὲ ὅτι ἂν τύχῃ οὖσα θερμὴ διὰ τὴν κάθαρσιν ἡ ὑστέρα,
σπᾷ εἴσω τὴν γονήν, ἐπήγαγε σημεῖον δὲ ὅτι θερμαίνονται ὑπὸ τοῦ αἵματος
10 ἐν τῇ καθάρσει· καὶ γὰρ τότε, ὅτε καθαίρονται αἱ γυναῖκες, βρέχουσαι ἔρια
ἢ ἄλλ' ἄττα ἐμβιβάζουσιν ἐν τοῖς αἰδοίοις ἑαυτῶν, ὕστερον δὲ ἐξάγουσιν
αὐτὰ πάμπαν ξηρά· οὐ μετὰ πολὺν δὲ χρόνον ἐξάγουσαι αὐτὰ ὁρῶνται
κατάξηρα, ἀλλὰ μετὰ βραχύ. ἐξάγονται δὲ ξηρὰ ὡς τῆς τῶν ὑστερῶν 40
θερμότητος ἐξικμασάσης τὴν τῶν ἐρίων ὑγρότητα. τὸ δὲ ἐμπυρεύει
15 θερμότητα ἐν τῷ τόπῳ τούτῳ ἴσον ἐστὶ τῷ ἀνάπτει θερμότητα ἐν τῷ
τόπῳ τῆς ὑστέρας. ἀκόνιτα δὲ ἀγγεῖα λέγει τὰ ἀπίσσωτα· εἰ γὰρ
ὄντων ἐμπεπισσωμένων ἐμβιβάσοι τις ἐν αὐτοῖς θερμὸν ὕδωρ, οὐκ ἐᾷ ἡ
πίσσα θερμανθῆναι.

p. 739ᵇ14 Ὡς δέ τινες λέγουσι, τοῖς ὀργανικοῖς πρὸς τὴν συνου-
20 σίαν μορίοις.

Ὀργανικὰ τῆς συνουσίας μόρια λέγει τούς τε ὄρχεις καὶ τὰ αἰδοῖα
τῶν τε ἀρρένων καὶ τῶν θηλειῶν καὶ τὰς ὑστέρας. ὃ δὲ λέγει δυνάμει 45
τοιοῦτόν ἐστι· τὸν μὲν τρόπον ὃν εἴπομεν (ἦν δὲ ὁ τρόπος ὅτι διὰ 47ʳ
θερμότητα ἕλκουσιν αἱ ὑστέραι τὴν γονήν), τὸν μὲν δὴ τρόπον τοῦτον
25 δυνατόν ἐστι γενέσθαι σπάσιν τῆς γονῆς, καὶ γίνεται· ὡς δέ τινες λέγουσι
τὰ αἰδοῖα καὶ τοὺς ὄρχεις σπᾶν τὴν γονὴν ὥσπερ εἰ σικύαι (ὄργανα δ'
αὗται ἰατρικά), οὐκ ἐνδέχεται. ἀνάπαλιν δέ, τουτέστιν ἀνάπαλιν δὲ
συμβαίνει· ἐκεῖνοι μὲν γὰρ ἔλεγον τοὺς ὄρχεις καὶ τὰ αἰδοῖα τῶν ἀρρένων 5
ἕλκειν τὴν γονήν, τὰ δὲ τῶν θηλέων (ὅσοι καὶ τὰ θήλεα προΐεσθαι γονὴν
30 ἔλεγον) τὰ δὴ τῶν θηλέων προϊέναι· ἡμεῖς δὲ ἀνάπαλίν φαμεν τὰ μὲν τῶν
θηλέων ἕλκειν καὶ σπᾶν, τὰ δὲ τῶν ἀρρένων προΐεσθαι. ἔλεγον δὲ τοὺς
ὄρχεις ἕλκειν πρὸς ἑαυτοὺς τὸ σπέρμα ἀπὸ παντὸς τοῦ σώματος διὰ τῆς
ἐν τῇ ὁμιλίᾳ γινομένης θερμότητος, ἀπὸ παντὸς δὲ τοῦ σώματος οὐ τοῦ
θήλεος, ἀλλὰ τοῦ ἄρρενος.

3 ὡς] ὥστε K  μὴν om. K  8 ἡ om. K  9 σπῶσιν IL  αἵματος] αἷμ in ras. L²: ὕδατος I  10 ἔρια] ἔργα I  11 ἢ ἀλλὰ τὰ a  δὲ om. a
12 αὐτὰ prius om. K  13 βραχὺν Ka  14 ὑγρότητα] θερμότητα IL¹  15 τόπῳ] μορίῳ Arist.  16 ἀκόνητα IL  ἀγγεῖα om. K  17 πεπισσωμένων Ka
21 λέγοντες IL  τε om. K  22 τῶν post καὶ om. K  δυνάμει om. L
25 γενέσθαι] γίνεσθαι Ka  σπάσιν scripsi: σπᾶσι libri  26 συκίαι L: σικυῖαι IKa
post σικύαι add. τὸ αἷμα a  27 ἀνάπαλιν — τουτέστιν om. K  30 τὰ δὴ τῶν θηλέων om. a  post μὲν add. δὴ IL  31 προϊέναι Ka  ἔλεγε IL¹

p. 739b16 Καὶ τοῖς λέγουσι προΐεσθαι καὶ τὴν γυναῖκα σπέρμα· 47r
προϊεμέναις γὰρ ἔξω συμβαίνει ταῖς ὑστέραις εἴσω πάλιν σπᾶν.

Λείπει τῇ λέξει τὸ συμβαίνει λέγειν οὐκ εὔλογον. καὶ εἴη ἂν τὸ τῆς λέξεως πλῆρες τοιοῦτον· καὶ τοῖς λέγουσι προΐεσθαι καὶ τὴν γυναῖκα σπέρμα συμβαίνει λέγειν οὐκ εὔλογον. ἐπειδὴ γάρ φασιν ὅτι ἡ γονὴ μῖγμά ἐστιν ἀμφοῖν ταῖν ὑγροτήτοιν, τῆς τε ἀπὸ τοῦ θήλεος καὶ τῆς ἀπὸ τοῦ ἄρρενος, δέδεικται δὲ ὅτι ἡ ὑστέρα εἴσω σπᾷ τὴν γονήν, οὐδὲν ἄλλο συμβαίνει ἢ ἐξέρχεσθαι ἀπὸ τῆς ὑστέρας τὴν τοῦ θήλεος ὑγρότητα καὶ πίπτειν ἐν τῷ τόπῳ, ἐν ᾧ καὶ ἡ τοῦ ἄρρενος, κἀκεῖσε μιγνυμένων τῶν τε ἀπὸ τοῦ ἄρρενος καὶ θήλεος ὑγροτήτων πάλιν εἴσω σπᾶν τὴν ὑστέραν τὸ ὅλον μῖγμα. τὸ δὲ ἐξάγειν καὶ εἰσάγειν περίεργον· εἰ γὰρ μῖγμα ἦν ἡ γονὴ ἀμφοῖν ταῖν ὑγροτήτοιν, ἔδει τὴν τοῦ θήλεος ὑγρότητα εἴσω μένειν κἀκεῖσε εἰσελθούσης καὶ τῆς τοῦ ἄρρενος μίγνυσθαι, καὶ μὴ ἐξέρχεσθαι, εἶτα εἰσέρχεσθαι.

p. 739b20 Ὅταν δὲ συστῇ ἡ ἐν ταῖς ὑστέραις ἀπόκρισις τοῦ θήλεος ὑπὸ τῆς τοῦ ἄρρενος γονῆς.

Ἡ ἀπόδοσις καὶ τὸ ἀκόλουθον τῆς λέξεώς ἐστιν ἐν τῷ συνιόντος δὲ τοῦ σωματώδους, παρέλκει δὲ ὁ δέ σύνδεσμος· ἦν γὰρ ἂν σαφεστέρα, εἰ χωρὶς τοῦ δέ συνδέσμου εἶχεν οὕτως, ὅταν συστῇ ἡ ἐν ταῖς ὑστέραις ἀπόκρισις τοῦ θήλεος ὑπὸ τῆς τοῦ ἄρρενος γονῆς, συνιόντος τοῦ σωματώδους καὶ γεώδους ἐκκρίνεται τὸ ὑγρόν. πανάληθες δὲ τὸ τὴν αὐτὴν εἶναι φύσιν γάλακτος καὶ καταμηνίων· τὸ γὰρ γάλα καταμήνιόν ἐστι πεπεμμένον· περὶ οὗ γάλακτος ἐν τῷ τετάρτῳ βιβλίῳ ἐρεῖ. ἀληθὲς δὲ καὶ τὸ τὰ ἔσχατα καὶ ὑπὸ θερμοῦ καὶ ὑπὸ ψυχροῦ ξηραίνεσθαι. τὸ δὲ καὶ δεῖ μὴ ἐν ὑγρῷ εἶναι τῆς ἕνεκέν τινος αἰτίας ἐστὶ μηνυτικόν· γίνονται γὰρ τὰ χόρια, ἵνα χωρίσωσιν ἐκτὸς τὰ περιττὰ καὶ ἄχρηστα τῶν ὑγρῶν. ταῦτα δὲ τὰ χόρια καὶ τοὺς ὑμένας ὁ μὲν Ἀριστοτέλης δύο φησίν, οἱ δὲ νεώτεροι τρεῖς.

p. 739b33 Ὅταν δὲ συστῇ τὸ κύημα ἤδη, παραπλήσιον ποιεῖ τοῖς σπειρομένοις. ἡ μὲν γὰρ ἀρχὴ καὶ ἐν τοῖς σπέρμασιν ἐν αὐτοῖς ἐστιν ἡ πρώτη.

Νῦν ἀρχὴν λέγει τὸ ἀνάλογον τῇ καρδίᾳ· φησὶ γὰρ εἶναι καὶ ἐν τοῖς

2 εἴσω post σπᾶν ponit K 3 οὐκ εὔλογον—λέγειν (5) om. L¹: in marg. add. L² 5 φησιν IKL 6 et 12 τοῖν a ὑγροτήταιν I, itemque 12 7 σπᾷ post γονὴν ponit K 8 post ἐξέρχεσθαι add. μὲν Ka 9 τόπῳ] τότε a 10 καὶ τοῦ θήλεος Ka 13 εἰσελθοῦσαν καὶ τὴν Ka 15 ἡ om. K 16 ἀπὸ IL 19 post ὅταν add. δὲ Ka συστῇ] στῇ a 22 καὶ καταμηνίου a 23 ἐν τῷ τετάρτῳ βιβλίῳ] Δ S 24 ὑπὸ ante ψυχροῦ om. IL 25 αἴτιον K 29 ποιεῖ om. IL

σπειρομένοις σπέρμασι δυνάμει τὰ ἀναλογοῦντα τῇ καρδίᾳ· ἥτις ἀρχή, 47ᵛ
ἐπειδὰν καταβληθῶσιν εἰς τὴν γῆν καὶ ἐνεργείᾳ γένηται, (δυνάμει γὰρ ἦν, 5
ὡς εἴπομεν, πρὸ τῆς καταβολῆς τὸ ἀνάλογον τῇ καρδίᾳ) ὅταν οὖν ἀποκριθῇ
καὶ ἐνεργείᾳ γένηται τὸ ἀνάλογον τῇ καρδίᾳ, ποιεῖ τήν τε ῥίζαν καὶ τὸν
5 βλαστὸν καὶ δίδωσι τῇ ῥίζῃ δύναμιν ἕλκειν τὴν τροφήν, ἵνα αὔξηται τὸ 10
φυτόν. ὡς οὖν ἐπὶ τῶν σπειρομένων, οὕτως ἔχει καὶ ἐπὶ τῶν κυημάτων·
ἔνεισι γὰρ δυνάμει καὶ ἐν αὐτοῖς πάντα τὰ μόρια, ἀλλὰ μᾶλλον ἡ ἀρχὴ 15
ἤτοι ἡ καρδία ἐστὶ πρὸ ὁδοῦ, τουτέστιν ἑτοιμοτέρα εἰς τὸ γενέσθαι
ἐνεργείᾳ, διὸ καὶ γίνεται πρώτη. ὥσπερ γὰρ δυνάμει λέγεται μὲν καὶ τὰ 20
10 ξύλα πῦρ, δυνάμει δὲ πῦρ καὶ αἱ δᾷδες, μᾶλλον δέ εἰσιν ἑτοιμότεραι καὶ
ἐπιτηδειότεραι αἱ δᾷδες εἰς τὸ γενέσθαι πῦρ ἐνεργείᾳ παρὸ τὰ ξύλα, οὕτω 25
καὶ τὰ μόρια πάντα εἰσὶ μὲν δυνάμει ἐν τῷ κυήματι, ἀλλὰ μᾶλλον ἡ καρδία·
διὸ καὶ ἀποκρίνεται καὶ ἐνεργείᾳ γίνεται πρώτη, εἶτα ἅμα τε ποιεῖ τὰς
φλέβας ἀναλογούσας ταῖς ῥίζαις καὶ δίδωσιν αὐταῖς δύναμιν ἑλκτικὴν τροφῆς, 30
15 δι' ἧς τραφήσεται τὸ κύημα. τὸ δὲ ἀλλὰ καὶ ἐπὶ τοῦ λόγου οὐ περὶ
τοῦ γενέσθαι πρῶτον τὴν καρδίαν εἴρηται, ἀλλὰ περὶ τοῦ ὅτι γεγονυῖαν 35
ἀνάγκη ἔχειν τὴν θρεπτικὴν ψυχήν, ὡς εἶναι τὸ λεγόμενον διὰ τοῦ οὐ
μόνον ἐπὶ τῆς αἰσθήσεως δῆλον (συμβαίνει γὰρ οὕτως), ἀλλὰ καὶ 40
ἐπὶ τοῦ λόγου δυνάμει τοιοῦτον· ὥσπερ γὰρ διὰ τῆς αἰσθήσεως δῆλον
20 ἡμῖν γέγονεν ὅτι πρώτη τῶν ἄλλων γέγονεν, οὕτως ἀπὸ τοῦ λόγου δῆλον
ἡμῖν γενήσεται ὅτι γεγονυῖα ἔχει τὴν θρεπτικὴν ψυχήν. καὶ τίς ὁ λόγος,
ἐπάγει· ὅταν γὰρ ἡ καρδία ἀποκριθῇ ἀπ' ἀμφοῖν, ἀπό τε τοῦ καταμηνίου
ἀπό τε τῆς ἐν τῷ σπέρματι ποιητικῆς δυνάμεως, ὅταν οὖν ἀποκριθῇ καὶ
συστῇ, δεῖ ἔχειν τὴν θρεπτικὴν ψυχήν, ἵνα αὐτὴ ἑαυτὴν τρέφῃ τε καὶ διοικῇ.
25 ὥστε οὐ μόνον δεῖ τὴν καρδίαν τὴν θρεπτικὴν ἔχειν δύναμιν ἀλλὰ καὶ τὴν 45
ποιητικήν, ὑφ' ἧς μετὰ τὴν τῆς καρδίας γένεσιν τὰ λοιπὰ διαπλασθήσεται
καὶ διακοσμηθήσεται μέρη τοῦ ζῴου. εἰ δέ τις, ὥσπερ Δημόκριτος, λέγει
μὴ ἐν τῇ καρδίᾳ εἶναι τὴν θρεπτικὴν καὶ ποιητικὴν δύναμιν (ἡ αὐτὴ γὰρ
καὶ μία τῷ ὑποκειμένῳ ἥ τε ποιητικὴ καὶ θρεπτική, τῷ λόγῳ δ' ἕτεραι),
30 εἰ οὖν τις λέγει μὴ εἶναι ἐν αὐτῇ, ἀλλ' ἐκτὸς ὥσπερ καὶ ὁ ἀν|δριαντοποιός 48ʳ
(οὐ γὰρ ἐν τῷ ἀνδριάντι ὁ ἀνδριαντοποιός), ὕστερον δέ ποτε εἰσέρχεσθαι
ἐν τῇ καρδίᾳ τὴν τοιαύτην ψυχήν, οὐ μόνον διαπορήσειεν ἄν τις καὶ
ζητήσειε, πότερον μετὰ τὸ τελειωθῆναι τὸ τοῦ ζῴου πᾶν σῶμα εἴσεισιν ἢ
οὔ. εἰ μὲν οὖν μετὰ τὸ τελειωθῆναι φήσειε, ψεύδεται· ἐναργῶς γὰρ ἐν
35 ταῖς ἀνατομαῖς ὁρῶμεν μόνης τῆς καρδίας οὔσης καὶ μήπω τινὸς ἄλλου
μέρους γεγονότος κινουμένην αὐτὴν καὶ τρεφομένην. οὐ μόνον οὖν τοῦτο 5
διαπορήσειεν ἄν τις, ἀλλὰ καὶ ἀνενδοιάστως ἐκ τῶν πολλάκις ῥηθέντων
ἀποφανεῖται ὅτι ἀνάγκη, ἡνίκα ἕκαστον τῶν μερῶν χωρίζηται καὶ ἐνεργείᾳ

2 καταβληθῇ K: καταβλήθει a 3 ὡς εἴπομεν post καταβολῆς ponit K
5 τὴν δύναμιν K 7 μᾶλλον] μόνον IL 9. 10 δυνάμει μὲν πῦρ λέγεται καὶ τὰ ξύλα coll. Ka 13 πρώτων a 16 γίνεσθαι IKa πρώτην K 19 post τοιοῦτον add. λέγων I 20 πρώτων a 24 τρέφῃ τε] τρέφεται a 25 ὥστε] ὥσπερ La 27 διακοσμηθήσονται K 29 ἑτέρα IL 34 μὲν om. K
35 τῇ ἀνατομῇ K 38 χωρίζηται scripsi: χωρίζεται libri

γένηται, ταύτην ὑπάρχειν τὴν δύναμιν πρῶτον ἑκάστῳ τῶν γινομένων, ἐξ 48r
ἧς αὐξηθήσονται, ἕξουσι δὲ ταύτην τὴν δύναμιν ἀπὸ τῆς καρδίας. ἐπειδὴ
δὲ πανταχοῦ ἔλεγεν ὅτι ἀνάγκη γίνεσθαι πρῶτόν τι ἀρχῆς λόγον ἔχον, τὸ
δὲ τὶ ἀόριστον, νῦν δὲ ὡρισμένως εἶπεν 'ἀρχὴ δὲ ἡ καρδία', ἐπήγαγεν ἤδη 10
γὰρ αὐτὴν ἀρχὴν ἄξιον ἀκοῦσαι, ὡς εἰ ἔλεγεν ἄξιόν ἐστιν ἤδη ὡρι-
σμένως εἰπεῖν, ἀνάγκη γενέσθαι πρώτην τὴν καρδίαν, ἀλλὰ μὴ ἀορίστως
λέγειν ἀνάγκη γενέσθαι τι. δεῖ δὲ τότε λέγειν αὐτὴν ἀρχήν, ὅταν δεῖται
τροφῆς τὸ ζῷον, ἀλλ' οὐ πρότερον.

p. 740a24 Ἐπεὶ δὲ δυνάμει μὲν ἤδη ζῷον ἀτελὲς δέ, ἄλλοθεν
10 ἀναγκαῖον λαμβάνειν τὴν τροφήν.

Πρὸς σαφήνειαν πάντων τῶν λεχθησομένων ἄνωθεν ῥητέον οὕτως· ἡ 15
ἐν τῷ σπέρματι δύναμις εἰσελθοῦσα καὶ πρῶτον μὲν τὴν ἐκτὸς ἅπασαν
ἐπιφάνειαν συστήσασα τοῦ καταμηνίου καὶ ποιήσασα τὸ καλούμενον χόριον,
εἶτα τὸ ἐντὸς ἅπαν τοῦ χορίου κινήσασα καὶ περιγράψασα καὶ ἐκ τοῦ 20
15 πρώτου δυνάμει εἰς ἄλλο τι δυνάμει ἀγαγοῦσα (ἦν μὲν γὰρ τὸ κατα-
μήνιον καὶ πρὸ τοῦ σπέρμα τι εἰς τὴν ὑστέραν ἐλθεῖν δυνάμει πάντα 25
τὰ τοῦ ζῴου μέρη, ἀλλ' οὐχ οὕτως· τότε μὲν γὰρ δυνάμει ἦν ταῦτα,
ὥσπερ τὸ παιδίον λέγομεν δυνάμει γραμματικόν, νῦν δ' ἔχει τούτων
πάντων τὰς περιγραφὰς λίαν ἐοικυίας ταῖς τῶν ζωγράφων σκιαγραφίαις. 30
20 ὡς γὰρ οἱ ζωγράφοι πρῶτον μὲν ὑπογράφουσι ταῖς γραμμαῖς, εἶθ' οὕτω
τοῖς χρώμασιν ἐναλείφουσι καὶ ἀπαρτίζουσι τὸ γραφόμενον ζῷον, οὕτω 35
καὶ ἡ ἐν τῷ σπέρματι δύναμις πρῶτον μὲν περιγράφει καὶ τελειοῖ τὴν
καρδίαν μετὰ τὸ ἀπεργάσασθαι τὸ χόριον, καὶ ἐντίθησιν ἐν αὐτῇ τὰς
ψυχικὰς δυνάμεις, θρεπτικήν, αὐξητικήν, αἰσθητικήν), αὕτη δὲ ἡ ψυχὴ καὶ φύσις
25 περιγράφει μὲν ὁμοῦ ἅπαντα τὰ μόρια, εἶθ' οὕτω τελειοῖ τὰς φλέβας, αἳ
καλοῦνται ὀμφαλός, καὶ φέρουσα ἐμφυτεύει καὶ συνάπτει τῇ ὑστέρᾳ τῆς 40
μητρός, ἀφ' ἧς ὑστέρας διὰ τοῦ ὀμφαλοῦ ἕλκουσα τὴν τροφήν (συνεχῶς
γὰρ καὶ διόλου ἡ ὑστέρα τὸ τοιοῦτον περίττωμα δέχεται) καὶ τοιωσδὶ ἢ
τοιωσδὶ συμπέττουσα καὶ τρέφουσα διὰ τοῦ ὀμφαλοῦ αὔξει καὶ τελειοῖ τὸ
30 ζῷον. καὶ ἔοικεν ἡ μὲν προτέρα διαγραφὴ σκιαγραφίᾳ, αἱ δὲ μαλακότητες
καὶ σκληρότητες καὶ τὰ τοιαῦτα, ἔτι δὲ καὶ τὰ χρώματα καὶ πάνθ' ἁπλῶς
ἅπερ ὕστερον λαμβάνουσιν ἐκ τῆς ἀπὸ τῆς ὑστέρας λαμβανομένης διὰ τοῦ
ὀμφαλοῦ τροφῆς τοιῶσδε πεττομένης καὶ προσκρινομένης αὐτοῖς, πάντα οὖν 45
τὰ τοιαῦτα, ὅσα ὕστερον λαμβάνουσιν, ἐοίκασι τοῖς ἐναλειφομένοις χρώμασιν
35 ὑπὸ τῶν ζωγράφων. ταῦτα μὲν οὖν εἴρηταί μοι κεφαλαιωδῶς πρὸς
σαφήνειαν τῶν διεξοδικώτερον ἡμῖν ὑπὸ τούτου λεγομένων διὰ τῶν προκει-

1 ἕκαστον a 5 ἀρχὴν ταύτην Ka Arist. ὡς εἰ ἔλεγεν] τουτέστιν K
6 πρῶτον Ia 7 ὅτε Ka 9 ἤδη om. IL, sed cf. p. 102,1 16 σπέρμα τι] σπέρματος IK: τὸ σπέρμα a 22 ἡ om. IL δυνάμει IL 24 δὲ] fort. δὴ
30 προτέρα] πρώτη Ka 31 καὶ τὰ τοιαῦτα ἔτι δὲ om. K τοῖς χρώμασιν a
34 ὅσα] ἅπερ Ka 35 ὑπὸ] ἀπὸ IL τοῦ ζωγράφου K 36 τούτων IL

μένων ἡμῖν | εἰς σαφήνειαν ῥητῶν. ἐπεὶ δὲ δυνάμει μὲν ἤδη ζῷον, 48v
ἀτελὲς δέ· ἐπεὶ οὖν, φησί, τὸ σύστημα δυνάμει μέν ἐστι ζῷον, καὶ
δυνάμει οὐχ ὡς τὸ παιδίον τὸ δυνάμει γραμματικὸν μηδὲν ὅλως ἴχνος
ἔχον γραμματικῆς, ἀλλ' ὡς ἡ σκιαγραφία δυνάμει λέγεται εἶναι τὸ
5 γεγραμμένον ζῷον, ἐπεὶ οὖν ἐστι δυνάμει καὶ ἀτελές, πᾶν δὲ τὸ τοιοῦτον
ἀτελὲς τελειοῦται ὑπὸ τροφῆς (ὡς γὰρ τὰ χρώματα τοιῶσδε ὑπὸ τῶν
ζωγράφων κεράννυνται καὶ ἐναλειφόμενα τελειοῖ τὸ γραφόμενον ζῷον, οὕτω 5
καὶ τῆς τροφῆς ὑπὸ τῆς φύσεως τοιωσδὶ πεττομένης καὶ ἑκάστῳ τῶν
μορίων προσκρινομένης τελειοῦται τὸ ἐκ τῶν τοιούτων μορίων συνιστάμενον
10 ζῷον) ἄλλοθεν ἀναγκαῖον λαμβάνειν τὴν τροφήν· τὸ γὰρ ἐντὸς τοῦ χορίου
ἐναπολειφθὲν καταμήνιον ἤδη συνέστη καὶ ἤδη σκιοειδῶς ἐστι πάντα τὰ
τοῦ ζῴου μέρη. διὸ χρῆται τῇ ὑστέρᾳ καὶ τῇ μητρὶ τῇ ἐχούσῃ τὴν
ὑστέραν, ὥσπερ γῇ φυτόν, ἕως ἂν τελειωθῇ καὶ ἤδη γένηται ζῷον 10
δυνάμει πορευτικόν. δυνάμει δὲ πορευτικὸν εἶπεν αὐτό, διότι καὶ ἐν
15 τῇ γαστρὶ τῆς τικτούσης ὂν δυνάμει ἐστίν, ἀλλὰ καὶ θύραζε ἐξελθόν, καὶ
τότε δυνάμει ἐστὶ πορευτικόν, ἕως ἂν ἄρξηται πορεύεσθαι καὶ ἐνεργεῖν τὴν
κατὰ τόπον μεταβολήν. μένει δὲ τὸ ζῷον ἐν τῇ ὑστέρᾳ, ἕως ἂν τελειωθῇ.
διὰ τί; ἵνα λαμβάνῃ τροφὴν ἐξ αὐτῆς, καὶ οὐχ ὥσπερ Δημόκριτος λέγει·
ἐκεῖνος γὰρ φησι μένειν ἐν αὐτῇ, ἵνα διαπλάττηται τὰ μόρια κατὰ τὰ
20 μόρια τῆς τεκούσης. ἐπεὶ γάρ, φησί, τοιόνδε μέν ἐστιν ἡ χείρ, τοιόνδε δὲ 15
ἕκαστον τῶν ἄλλων μερῶν τῆς μητρός, μένει ἐν τῇ ὑστέρᾳ, ἵνα ὥσπερ εἰς
παράδειγμα πρὸς ταῦτα ἀφορῶσα ἡ φύσις κατ' αὐτὰ σχηματίζῃ τε καὶ
διαπλάττῃ καὶ τὰ τοῦ ἐμβρύου μέρη.

p. 740b2 Ἀπορήσειε δ' ἄν τις, εἰ τὸ αἷμα μὲν τροφή.

25 Ὅπερ ἀπορεῖ τοιοῦτόν ἐστιν· εἰ τὸ αἷμα τροφή ἐστιν ἑκάστῳ τῶν
μερῶν, ἡ δὲ τροφὴ θύραθεν διὰ τοῦ ὀμφαλοῦ εἴσεισι, πόθεν καὶ διὰ τίνος 20
ἡ πρώτη τροφή, ἀφ' ἧς ἡ καρδία ἐτράφη καὶ ἐτελειώθη. εἰσῆλθεν; ὁ γὰρ
ὀμφαλὸς οὔπω ἦν. λύει οὖν τὴν ἀπορίαν λέγων μὴ εἶναι ἀληθὲς τὸ πᾶσαν 25
τροφὴν θύραθεν ἐπεισελθεῖν· ἀλλ' ὥσπερ τῶν σπερμάτων πεσόντων εἰς
30 τὴν γῆν καὶ ὑγρανθέντων γίνεταί τι ἐν αὐτοῖς ὑπὸ τῆς φύσεως οἷον γάλα, 30
ἔχον πάντα τὰ μόρια ὑπογεγραμμένα (καὶ δῆλον τὸ τοιοῦτον γαλακτῶδες
μᾶλλον ἐπὶ τοῦ σίτου), ἐκ δὲ τοῦ τοιούτου γαλακτώδους γεγονυῖα βλάστη
τις πάμπαν σμικρὰ ἀναλογοῦσα τῇ καρδίᾳ καὶ τραφεῖσα μετρίως εἶτα ἐξ 35
αὐτοῦ πεποίηκε καὶ ῥίζαν, ἣν εἰς πολλὰ κατέτεμεν (ἀρκεῖ γὰρ τὸ τοιοῦτον
35 γαλακτῶδες εἰς τὰ τοιαῦτα πάντα), διὰ δὲ τῆς ῥίζης ἀπὸ τῆς γῆς λαμβάνουσα

---

5 τὸ om. Ka 6 ὑπὸ τῆς τροφῆς a τῶν χρωμάτων Ka 7 κεραννυμένων καὶ ἐναλειφομένων Ka τελειοῦται Ka 8 ἑκάστου a
10 ἄλλοθι K 11 συνέστηκεν Ka σκιωδῶς K 18 αὐτῆς ex αὐτοῦ corr. L
20 ἐπειδὴ γὰρ Ka δὲ om. a 21 εἰς] ὡς K 22 εἰς ταῦτα K
ἀφορῶν a κατ' αὐτὸ a 25 ἑκάστου a 27 πρώτη om. IL
ἐτράφη τε καὶ K 29 θύραζε IL ἐπεισεληλυθέναι Ka 31 τὸ om. a
31. 32 μᾶλλον γαλακτῶδες coll. IL

τροφὴν αὐτή τε τρέφεται καὶ τὰ ἄλλα πάντα, οὕτω καὶ ἐν τοῖς ζῴοις τοῦ 48v
ἐναπολειφθέντος ἐντὸς τοῦ χορίου καταμηνίου μέρος μέν τι γίνεται αὐτοῦ ἡ
καρδία καὶ ἡ τροφὴ τῆς καρδίας, ἐν δὲ τῷ λοιπῷ μέρει διαγράφονται τὰ
λοιπά, καὶ οὕτως αὔξονται ὑπὸ τῆς ἑλκομένης διὰ τοῦ ὀμφαλοῦ τροφῆς. ἡ
5 μὲν οὖν τῶν λεγομένων διάνοια αὕτη· τὸ δὲ τῆς λέξεως τῆς οὕτω καὶ 40
ἐν τῇ ὅλῃ τῶν ζῴων τὸ περίττωμα τῆς συστάσεως τροφή ἐστι
ταὐτόν ἐστι τῷ ἡ σύστασις τοῦ περιττώματος καὶ τοῦ καταμηνίου τροφὴ
γίνεται τῇ καρδίᾳ. ὡς γὰρ εἴρηται, εἰς δύο διαιρεθὲν τὸ καταμήνιον τὸ
μὲν ἓν μέρος ἀναλίσκεται εἰς διαγραφήν τε ἅμα καὶ τροφὴν τῆς καρδίας
10 καὶ τοῦ εὐθὺς μετ' αὐτὴν γινομένου ὀμφαλοῦ, τὸ δὲ λοιπὸν εἰς διαγραφὴν
τῶν ἄλλων μορίων πάντων. θαυμάσαι δὲ δίκαιον τὸ τῆς φύσεως εὐμήχανον,
πῶς τρόπον τινὰ ἡ καρδία τὴν καρδίαν τρέφει. ἡ μὲν γὰρ μητρικὴ καρδία
γεννᾷ πᾶν τὸ αἷμα τῆς μητρός, ἀφ' οὗ καὶ τὸ καταμήνιον, ἐκ δὲ τοῦ κατα-
μηνίου τρέφει τε τὰ ἄλλα μόρια καὶ αὐτὴ τρέφεται ἡ τοῦ ἐμβρύου καρδία·
15 ὥστε ἡ καρδία τρέφει τὴν καρδίαν. ἐν δὲ τῇ λέξει τῇ καὶ τοῖς ζῴοις
αὐτοῖς ὅταν ἀπολυ|θῶσιν ἐκ τῆς ἐν αὐτοῖς τροφῆς ὑποστικτέον 49r
εἰς τὸ ἀπολυθῶσιν, εἶτα ἐπακτέον τὸ ἐκ τῆς ἐν αὐτοῖς τροφῆς.
καὶ τὸ μὲν ἀπολυθῶσι σημαντικόν ἐστι τοῦ ὅταν χωρισθῶσιν ἀπὸ τῆς
ὑστέρας καὶ ἐξέλθωσι θύραζε. ἡ δὲ πᾶσα τοῦ ῥητοῦ διάνοια τοιαύτή τις
20 ἂν εἴη· ὥσπερ γὰρ τὰ φυτὰ διὰ τῶν ῥιζῶν ἐκ τῆς γῆς τὴν τροφὴν
λαμβάνουσιν, ὁμοίως δὲ καὶ ἡμεῖς καὶ ἵπποι καὶ τὰ ὅμοια διὰ τῶν φλεβῶν
τῶν συναπτουσῶν πρὸς τὴν ἑκάστου κοιλίαν ἀπὸ τῆς ἐν αὐτῇ τῇ κοιλίᾳ 5
οὔσης τροφῆς (ταύτην γὰρ εἶπεν ἐν αὐτοῖς τροφήν), οὕτω καὶ ὁ ὀμφαλὸς
ἀπὸ τῆς ὑστέρας λαμβάνει τὴν τροφήν.

25 p. 740b12 Ἡ δὲ διάκρισις γίνεται τῶν μορίων οὐχ ὥς τινες ὑπο-
λαμβάνουσι, διὰ τὸ πεφυκέναι φέρεσθαι τὸ ὅμοιον πρὸς τὸ ὅμοιον.

Τοῦ διακριθῆναι τὰ μόρια ἀπ' ἀλλήλων, οἷον τοὺς πόδας ἀπὸ τῆς
κεφαλῆς, καὶ τὴν μὲν ἄνω γενέσθαι, τοὺς δὲ κάτω, καὶ ὅλως τοῦ πάντα 10
τὰ ἑκάστου τῶν ζῴων μέρη κεῖσθαι ἐν ᾧ τυγχάνουσιν ὄντα αἰτίαν ἀπεδίδου
30 Ἐμπεδοκλῆς τὸ φέρεσθαι τὸ ὅμοιον πρὸς τὸ ὅμοιον. ἔλεγε γάρ, ἐπειδὴ 15
τὰ μὲν κοῦφα πέφυκε φέρεσθαι ἄνω, πάντα δὲ τὰ κοῦφα ᾗ κοῦφα ὅμοια,
τῶν μερῶν ὅσα μέν εἰσι κοῦφα, κατέσχε τὸν ἄνω τόπον, ὅσα δὲ βαρέα,
τὸν κάτω, τὰ δὲ μεταξὺ τὸν μέσον. ἐπισκώπτει οὖν ὁ Ἀριστοτέλης λέγων 20
ὡς εἰ τοῦτο ἦν ἀληθές, ἔδει πάντα τὰ ὀστᾶ, εἰ κοῦφα ἦσαν, ἄνω εἶναι,
35 εἰ δὲ βαρέα, κάτω, καὶ μὴ τὰ μὲν ἄνω τὰ δὲ κάτω, ὁμοίως δὲ καὶ τὰ 25
λοιπὰ πάντα. σαφῶς δὲ τὰ ἑξῆς ἀπαγγέλλει, πλὴν ὅτι ἐν τῇ λέξει τῇ

1 τε om. IL 2 αὐτοῦ γίνεται coll. IL 5 post δὲ add. διὰ IL 7 ταὐτόν ἐστι om. IL: ἴσον supra scr. L² τῷ] τοῦ a 9 διαγραφήν] διατροφὴν K
11 δίκαιον] δεῖ καὶ K 12 μὲν om. K 16 αὐτοῖς post ἐν ex αὐτῆς corr. K
17 ἐπανακτέον IL 21 λαμβάνει K 22 συναπτόντων ILa τὴν om. Ka
29 ἑκάστου] ἐν ἑκάστῳ a 29. 30 ἀπεδίδου Ἐμπεδοκλῆς] cf. fr. 62,6 sqq. Diels
32 κατέσχον Ka 36 τὰ ἑξῆς libri

οὕτως ἡ τῆς θρεπτικῆς ψυχῆς δύναμις δεῖ ἐν τῷ δύναμις τελείαν 49r
στίξαι, εἶτα τὸ ὥσπερ καὶ ἐν αὐτοῖς τοῖς ζῴοις καὶ τοῖς φυτοῖς
καὶ τὸ λοιπὸν τῆς λέξεως ὡς ἄλλο τι καθ' αὑτὸ ἐπακτέον. ἦν δ' ἂν
σαφέστερον, εἰ προέταξε τὸν καί σύνδεσμον οὕτω, καὶ ὥσπερ ἐν αὐτοῖς 35
5 τοῖς ζῴοις. ἐπεὶ δέ, φησίν, ἐκ τῆς αὐτῆς ὕλης ἄχρι τοῦ θανάτου τρέφεται,
ἐξ ἧς ἀρχῆθεν συνέστη (αἷμα γὰρ ἀμφότεραι), δῆλον ὅτι καὶ ἡ ποιοῦσα 40
δύναμις τὸ αὐτὸ τῷ ἐξ ἀρχῆς, τουτέστιν ἡ αὐτὴ τῇ ἐξ ἀρχῆς, πλὴν
ὅτι ἐξ ἀρχῆς μὲν ἀσθενεστέρα ἦν, ὕστερον δὲ μείζων, τουτέστιν ἰσχυροτέρα. 45
εἰπὼν δὲ ὅτι ἡ δύναμις ἡ ὕστερον ἡμῖν ἐνοῦσα παρ' ὅλον τὸν τῆς ζωῆς
10 χρόνον ἡ αὐτή ἐστι τῇ ἐξ' ἀρχῆς, μό|νῳ τούτῳ διαφέρουσα τῷ ἰσχυροτέρῳ 49v
καὶ ἀσθενεστέρῳ, σαφηνίζων τίς ἐστιν αὕτη ἡ δύναμις ἐπήγαγεν εἰ οὖν
αὕτη ἐστὶν ἡ θρεπτικὴ ψυχή, αὕτη ἐστὶ καὶ ἡ γεννῶσα, τουτέστιν
ἐπειδὴ ἡ ἐξ ἀρχῆς ἡμῖν ἐνοῦσα ἡ θρεπτική ἐστιν, αὕτη ἐστὶ καὶ ἡ ὕστερον
ἐνοῦσα, ὑφ' ἧς οὐ μόνον τρεφόμεθα ἀλλὰ καὶ γεννῶμεν, καὶ τοῦτ'
15 ἐστὶν ἡ ἑκάστου φύσις· ἡ γὰρ ἑκάστου φύσις ἐστὶ κυρίως καὶ φαίνεται
ἐν τῷ γεννᾶν οἷον αὐτό· αἴσθησις δὲ καὶ λόγος διὰ τὸ εὖ σύνεισι τοῖς ἐν 5
οἷς εἰσιν.

p. 741a6 Καίτοι τις ἀπορήσειε διὰ τίν' αἰτίαν, εἴπερ ἔχει τὸ θῆλυ τὴν ψυχήν.

20 Τὸ καίτοι τις ἀπορήσειεν ἴσον ἐστὶ τῷ ἀπορήσειεν δ' ἄν τις.
εἰπὼν δὲ ὅτι ἡ ἑκάστου φύσις ἡ θρεπτική ἐστιν, ἥτις ἅμα καὶ γεννητική,
ἀπορεῖ πάνυ εὔλογον ἀπορίαν. ἀπορήσειε δ' ἄν τις λέγων, εἰ ἡ ἑκάστου 10
φύσις ἡ θρεπτική ἐστι ψυχή, δῆλον ὅτι τὸ τοῦ ἄρρενος σπέρμα οὐδὲν ἄλλο
εἰσάγει ἢ ταύτην· εἴπερ οὖν ἔχει ταύτην καὶ τὸ θῆλυ, πρὸς δὲ τῷ ἔχειν 15
25 αὐτὴν ἔχει καὶ τὴν ὅλην τὸ περίττωμα, τί προσδεῖται τοῦ ἄρρενος, ἀλλ'
οὐκ αὐτὸ ἐξ ἑαυτοῦ γεννᾷ καὶ χωρὶς τοῦ ἄρρενος; τὴν γὰρ ψυχὴν καὶ 20
φύσιν, ἣν εἰσάγει τὸ ἄρρεν, ταύτην ἔχει ἐν ἑαυτῷ. λύει οὖν τὴν ἀπορίαν
λέγων 'αἴτιον δὲ καίπερ ἔχον τὸ θῆλυ ἐν ἑαυτῷ τὴν τοιαύτην ψυχὴν τοῦ
μὴ γεννᾶν, ὅτι τὸ ζῷον τοῦ φυτοῦ διαφέρει κατὰ τὴν αἴσθησιν, τὴν δὲ 25
30 αἰσθητικὴν ψυχὴν μόνον τὸ ἄρρεν παρέχειν δύναται'. εἰ γὰρ ἠδύνατο τὸ
θῆλυ πρὸς τῇ θρεπτικῇ ψυχῇ διδόναι καὶ τὴν αἰσθητικήν, μάτην ἂν ἦν 30
τὸ ἄρρεν· οὐδὲν δὲ μάτην ἡ φύσις οὐδ' ὁ θεὸς ποιεῖ. ἐπεὶ οὖν τῷ ζῴῳ
τὸ εἶναί ἐστι τῷ αἴσθησιν ἔχειν, ταύτην δὲ τὸ ἄρρεν μόνον δύναται διδόναι, 35
ἀναγκαίως ἄρ' οὐκ ἐξ ἑαυτῶν τίκτει τὰ ζωοτόκα. ἀλλὰ πλησιάσαντα τῷ

1 ἐν τῷ δυνάμει a 6 ἀρχῆθεν] ἐξ ἀρχῆς a 7 τῶ αὐτῶ τὸ ἐξ ἀρχῆς I, itemque omisso τὸ L 10 μόνον a 11 ἐπήνεγκεν K 12 αὕτη (post οὖν) Arist.: αὐτὴ libri 15 κυρίως φύσις ἐστὶ coll. Ka 16 αἴσθησιν δὲ καὶ λόγον IL¹ 18 ἀπορήσειε IL Arist. SYZ: ἀπορήσειεν ἂν a Arist. vulg. διὰ τὴν αἰτίαν IL 19 τὴν αὐτὴν ψυχήν Arist. 22 ἡ om. L¹ 23 τὸ om. K 27 post ἔχει add. καὶ Ka 28 exspectas αἴτιον δὲ τοῦ μὴ γεννᾶν καίπερ ἔχον τὸ θῆλυ ἐν ἑαυτῷ κτλ. 29 post τοῦ add. μὲν a δὲ om. a 32 post μάτην add. οὐδ' K 34 τίκτει ex τίκτη corr. L

ἄρρενι. ὅτι δέ, φησί, δίδωσι καὶ τὸ θῆλυ χωρὶς τοῦ ἄρρενος τὴν θρε- 49v
πτικὴν ψυχήν, δῆλον ἐκ τῶν ὑπηνεμίων ᾠῶν· τρέφεται γάρ, φησί, καὶ 40
αὔξεται. ὑπὲρ ὧν, φησί, καὶ ἀπορήσειεν ἄν τις, πῶς ζῶσιν. ὅτι μὲν γὰρ
ζῶσι τὰ ὑπηνέμια δῆλον· τρέφονται γὰρ καὶ αὔξονται, πᾶν δὲ τὸ τρεφό- 45
5 μενον καὶ αὐξόμενον ζῇ. ποίαν οὖν ζῶσι ζωήν; οὔτε γὰρ ὡς τὰ γόνιμα
ζῶσιν οὔτε παντελῶς εἰσιν ἄψυχα, ὥσπερ ὁ λίθος. μαρτύριον δὲ τοῦ ζῆν
αὐτὰ ἐπήγαγε τὸ ἔστι γὰρ καὶ τούτων φθορά τις καὶ θάνατος· ὅταν
γὰρ οὔρια γένηται, ἐφθάρθαι φαμὲν αὐτά. ὡς καὶ αὐτὸς προϊὼν ἐρεῖ.
ζητήσας οὖν, ποίαν τὰ ᾠὰ ταῦτα ζῇ ζωήν, λέγει ὅτι τὴν θρεπτικὴν μόνην
10 καὶ | ἐπὶ τούτῳ οὐκ ἀποτελεῖται ζῷον ἐξ αὐτοῦ· δεῖται γὰρ καὶ τῆς 50r
αἰσθητικῆς. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια τοιαύτη· τὰ δὲ κατὰ τὰς
λέξεις καὶ πρῶτον τὴν μὴ ἐνούσης αἰσθητικῆς ψυχῆς ἢ ἐνεργείᾳ ἢ
δυνάμει, καὶ ἢ πῇ ἢ ἁπλῶς, δυνάμει μέν ἐστιν ἐν πᾶσι τοῖς μέρεσι
τῶν ζῴων ἡ αἰσθητικὴ ψυχὴ ἐν ὕπνοις, ἐνεργείᾳ δὲ ἐγρηγορόσι, καὶ ἁπλῶς
15 μὲν ἐν τῷ νεύρῳ ἅπαντι καὶ τῇ σαρκὶ ἁπάσῃ καὶ τοῖς τοιούτοις, πῇ δὲ 5
ἐν τοῖς δακτύλοις, ἐν τῇ κεφαλῇ· οἱ γὰρ ὄνυχες καὶ αἱ τρίχες ἐπιεικῶς
ἀναίσθητοι. τὸ δὲ τὸ γὰρ εἰρημένον ἦν τὸ ἄρρεν εἶναι ταὐτόν ἐστι
τῷ τῷ γὰρ ἄρρενι τὸ εἶναι οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ εἰρημένον, τοῦτο δὲ
ἦν τὸ τοῦτο μόνον δύνασθαι διδόναι τὴν αἰσθητικὴν ψυχήν. ἐν δὲ τῷ
20 πῶς τις αὐτῶν τὰ ᾠὰ φήσει ζῆν τὸ αὐτῶν περὶ τῶν ὀρνίθων εἴρηται·
πῶς οὖν φήσειέ τις αὐτῶν τῶν τὰ ὑπηνέμια τικτόντων ὀρνίθων τὰ ᾠὰ ζῆν;

p. 741 a 32 Εἰ δὲ ἔστι τι γένος ὃ θῆλυ μέν ἐστιν, ἄρρεν δὲ μὴ ἔστι κεχωρισμένον.

Εἰπὼν ὅτι τοῦ ἄρρενος ἡ οὐσία καὶ τὸ εἶναί ἐστιν ἐν τῷ μόνον αὐτὸ 10
25 δύνασθαι τὴν αἰσθητικὴν διδόναι ψυχήν, ἐπήγαγεν εἰ δ' ἔστι τι γένος ὃ
θῆλυ μέν ἐστιν, ἄρρεν δὲ μὴ ἔστιν, ἐν τούτῳ δοίη ἂν τὸ θῆλυ καὶ 15
τὴν αἰσθητικὴν ψυχὴν καὶ γεννήσει ἐξ ἑαυτοῦ. σαφῆ δὲ τὰ περὶ τῶν
ὀρνίθων· λέγει δὲ εἶναι καὶ ἐν τῷ τῶν ἰχθύων γένει ζῷα οὔτε θήλεα οὔτε 20
ἄρρενα, οἷον αἱ ἐγχέλυες· ἐκ σηπομένης γὰρ καὶ αὗται γίνονται ὕλης ὥσπερ
30 καὶ οἱ καλούμενοι γῆς ἔντερα σκώληκες· οὗτοι γάρ, ὡς ἐρεῖ, μεταβάλλουσιν
εἰς ἐγχελύων φύσιν. τὸ δὲ συνείρεται τὸ ἐφεξῆς ἴσον ἐστὶ τῷ τόδε 25
μετὰ τόδε γίνεται, οἷον μετὰ τὴν καρδίαν φλέβες καὶ μετὰ τὰς φλέβας
ἄλλο, καὶ οὕτως ἐφεξῆς τὰ λοιπά. καὶ ὅ, φησί, βούλονται λέγειν τινὲς 30

1 τὸ θῆλυ καὶ coll. a χωρὶς καὶ χωρὶς τοῦ K 2 φησί om. Ka 5 τὰ om. a 7 ἐπηγάγετο τὸ I 9 τὰ τοιαῦτα ᾠὰ Ka λέγει om. a 10 τὸ ζῶον K: τὰ ζῶα a 11 τοιαύτη] αὕτη a 12 τὴν scripsi: τῆς IKL: τε a 14 ἐν τοῖς ὕπνοις Ka ἐνέργεια libri 15 καὶ ἐν τῇ Ka τοῖς om. a 17 ἀναίσθητα Ka ἦν om. IK τῷ ἄρρενι IK: τῷ ἄρρεν a 18 τὸ post ἄρρενι om. a 19 δύναται IL 20 φήσει] φησὶ IL 21 post οὖν add. φησὶ a ὑπήνεμα a τὰ post ὀρνίθων om. IL 22 μὴ ἔστι] sic libri: μὴ ἔχει Arist. 26 μὴ ἔχει a ἂν iterat I 27 γεννήση K: γεννήσοι a ἑαυτῆς a 29 καὶ om. Ka 30 post ἔντερα add. γίνονται, sed rursus del. L ἐρεῖ] Γ 11 p. 762 b 26 31 τῇ ἐφεξῆς a 33 ἄλλος a

τῶν φυσικῶν, ὅτι φέρεται τὸ ὅμοιον πρὸς τὸ ὅμοιον, οὐχ οὕτω δεῖ 50r
νομίζειν ὡς τόπον ἐκ τόπου μεταβάλλουσιν, ἀλλ' ὅτι ἑκάστου τῶν μορίων
περιγραφὴ μαλακότητα ἢ σκληρότητα δεχομένη γίνεται ἐνεργείᾳ. ὃ ἦν 35
δυνάμει. ὡς γὰρ τὸ σκιαγραφηθὲν ὅμοιον ἦν τῇ δυνάμει τῷ ὕστερον διὰ
5 τῶν χρωμάτων τελειωθέντι ζῴῳ, οὕτω καὶ αἱ τῶν μορίων ἑκάστου διαγραφαί. 40
εἰσὶ μὲν οὖν πάντα τὰ τοῦ ζῴου μέρη διαγεγραμμένα· ὃ δ' ἐστὶν ἐπιτη-
δειότερον καὶ μᾶλλον ἐγγίζον τῇ ἐνεργείᾳ, τοῦτο καὶ τελειοῦται πρῶτον. 45
ὅτι δὲ ἡ καρδία πρώτη τῶν ἄλλων γίνεται, δῆλον καὶ ἀπὸ τοῦ τελευταίου.
τὸ γὰρ πρῶτον πάντων | γεγονὸς ὕστερον πάντων φθείρεται· ὕστερον δὲ 50v
10 πάντων φθείρεται ἡ καρδία, αὕτη ἄρα πρώτη τῶν ἄλλων γίνεται. ὃ γάρ
ἐστιν ἀναγκαιότατον καὶ οὗ ἄνευ τὰ ἄλλα εἶναι οὐ δύναται, τοῦτο πρῶτον 5
ποιεῖ, καὶ τοῦτο σκέπει καὶ μάλιστα τῶν ἄλλων περιέπει. τὸ δὲ
διαυλοδρομεῖν δῆλον ἔσται ἐπὶ χρώματος τὸν λόγον ποιησαμένοις. γίνεται 10
μὲν οὖν πρῶτον ἐκ τοῦ λευκοῦ τὸ ἐρυθρόν, εἶτα τὸ ἀλουργόν, εἶτα τὸ πράσινον,
15 εἶτα τὸ φαιόν, εἶτα ἔστω γε τὸ μέλαν· εἰ οὖν μέλλει ἡ φύσις παλινδρομῆσαι 15
καὶ οἷον δίαυλον δραμεῖν, φθείρεται πρῶτον τὸ μέλαν, ὃ ὕστερον πάντων
γέγονεν, εἶτα τὸ φαιὸν καὶ ἑξῆς τὸ πράσινον καὶ μετὰ τοῦτο τὸ ἀλουργὸν
καὶ ὕστερον πάντων τὸ ἐρυθρόν, ὅπερ πρῶτον πάντων γέγονεν· ὡς οὖν 20
ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν ζῴων. φαίνεσθαι δὲ λέγει πρότερον τὰ
20 μείζονα διὰ τὸ μέγεθος, καίτοι πλὴν τῆς καρδίας ἅμα πάντων διαγραφέντων·
αὕτη γὰρ μόνη πάντων πρώτη διαγράφεται καὶ τελειοῦται. εἶθ' οὕτως ἡ
ἐν αὐτῇ ψυχὴ διαγράφει ὁμοῦ τὰ ἄλλα πάντα. ἐν δὲ τῇ λέξει τῇ οὐδ' 25
ἔνια γινόμενα πρότερον τὸ γινόμενα ἀντὶ τοῦ διαγραφέντα εἴληπται.
οὐ γὰρ πρότερον φέρε εἰπεῖν διεγράφη ἡ κεφαλή, εἶτα ἐτελειώθη, καὶ
25 οὕτως αἱ χεῖρες, ἀλλ' ἅμα πάντα διεγράφη· τελειοῦται δὲ πρότερον τὸ
ἐπιτηδειότερον καὶ ἀναγκαιότερον. ὅσα γὰρ τῶν κυημάτων διά τινα νόσον
διὰ εἴκοσιν ἡμερῶν τῆς συλλήψεως ἢ ἐλαττόνων τῶν εἴκοσιν ἢ καὶ πλειόνων
θύραζε ἐπεπτώκει, πάντα ὡράθη ἔχοντα ἅπαντα τὰ μέρη τοῦ ζῴου δια-
γεγραμμένα. λέγει δὲ πρῶτον διαρθροῦσθαι τὰ ἐντός, καὶ τῶν ἐντὸς τὰ 30
30 ἄνω τοῦ ὑποζώματος, οἷον πνεύμονα καὶ τὰ ἄλλα· ἡ γὰρ καρδία, ὡς
πολλάκις εἴρηται, πρώτη τῶν ἄλλων διαρθροῦται. ἐπὶ δὲ τῶν ἐντόμων
τοὐναντίον συμβαίνει· ὕστερον γάρ, φησίν, ἐπὶ τούτοις αὔξεται τὰ ἄνω.

1 πρὸς] εἰς Ka τὸ om. a 2 ἐκ τόπου om. Ka μεταβάλλουσα a
ἑκάστη Ka 4 σκιογραφὲν a 5 οὕτω] οὔ a post ἑκάστου add. τῶν
ζώων K 8 ἀπὸ τῆς τελευτῆς Ka 11 ἀναγκαιότερον L 13 τὸν λόγον
ἐπὶ χρώματος coll. K 14 οὖν om. a 15 ἔστω γὰρ K: ἔσται γὰρ a: an ἐς τὸ τέλος?
Diels 16 δρομεῖν L² post δραμεῖν add. καὶ a 17 εἶτα—γέγονεν (18) om. K
19 πρῶτον K 21 πάντων πρώτη] πρώτη τῶν ἄλλων K 23 πρότερον ex πρῶτα
corr. K τὰ γινόμενα Ka 25 ἅμα] ὅλα Ka 26 ἀναγκαιότατον K
27 μετὰ εἴκοσιν ἡμέρας a ἐλάττους a post καὶ add. ὀλίγον a πλείονας Ka
28 ὡράθη] sic libri ἅπαντα om. a 30 πνεῦμον a 32 συμβαίνειν a

p. 741 b 37 Διορίζεται δὲ τὰ μέρη τῶν ζῴων πνεύματι, οὐ μέντοι 50v
οὔτε τῷ τῆς γεννώσης οὔτε τῷ αὐτοῦ.

Τὸ μὲν τῆς λέξεως τοιοῦτον· διορίζεται δὲ τὰ μέρη τῶν ζῴων, οὔτε μέντοι τῷ τῆς γεννώσης πνεύματι οὔτε τῷ ἑαυτοῦ, καθάπερ τινὲς τῶν φυσικῶν φασιν. εἰ γὰρ μὴ οὕτω τὴν λέξιν μετατάξομεν, ἀδιανόητος καὶ ὅλως ἐναντία τοῖς ἐπαχθεῖσι φαίνεται. ὃ δὲ λέγει, δῆλον ἔσται πρότερον ἐκθεμένοις τὴν δόξαν, πρὸς ἣν αὕτη ἡ λέξις ἐνίσταται. ἐπειδὴ καὶ ὁ πνεύμων καὶ τὸ ἧπαρ ἐσχισμένα φαίνεται καὶ οἱονεὶ ἕκαστον τούτων διπλοῦν, ἀλλὰ καὶ οἱ ὀφθαλμοὶ κεχωρισμένοι ἀπ' ἀλλήλων καὶ τὰ ὦτα καὶ αἱ χεῖρες καὶ τὰ λοιπὰ πάνθ' ὁμοίως, τὴν αἰτίαν τοῦ διορισμοῦ καὶ 51r χωρισμοῦ ἀποδιδόναι τινὲς πειρώμενοι ἔλεγον ὅτι τὸ πνεῦμα, ὅπερ ἀναπνεῖ ἡ μήτηρ καὶ τὸ ἐν τῇ γαστρὶ αὐτῆς ἔμβρυον (ἀναπνεῖ γὰρ καὶ τοῦτο ἐν τῇ ὑστέρᾳ ὄν) τὸ δὴ πνεῦμα ἀμφοτέρων, φασίν, διὸν διακρίνει καὶ διαχωρίζει ταῦτα ἀπ' ἀλλήλων, ὥσπερ ἔλεγον καὶ οἱ Πυθαγόρειοι ὅτι τὸ κενὸν καὶ τὸ πνεῦμα τὸ ἀναπνεόμενον ὑπὸ τοῦ οὐρανοῦ χωρίζει τὰ ζῷα ἀπὸ τῶν δένδρων καὶ Σωκράτην ἀπὸ Πλάτωνος καὶ ὅλως πάντα ἀπὸ πάντων. πρὸς τὴν δόξαν οὖν ταύτην τὴν λέγουσαν ὅτι τὸ ἀναπνεόμενον ὑπό τε τῆς μητρὸς ὑπό τε τοῦ ἐμβρύου πνεῦμα διαχωρίζει τὰ τοῦ ἐμβρύου μόρια ἀπ' ἀλλήλων ἐνιστάμενος λέγει ὅτι κεχωρισμένα μέν εἰσιν ἀληθῶς ταῦτα, ἀλλ' οὐ τῷ ἀναπνεομένῳ ἢ ὑπὸ τῆς μητρὸς ἢ ὑπὸ τοῦ ἐμβρύου πνεύματι, ἀλλ' ὑπὸ τῆς δημιουργούσης αὐτὰ φύσεως. ἐλέγχει δὲ τὴν δόξαν πρὸς ἄλλοις καὶ ἀπὸ τῶν νεοττῶν· οὗτοι γὰρ ἐξ ᾠῶν γίνονται ἐκτὸς ὄντων τῆς τεκούσης αὐτὰ ὄρνιθος. εἰ μὲν γὰρ ἐντὸς τῶν ᾠῶν ὄντων ἐν τῇ ὑστέρᾳ μετέβαλλον εἰς ζῷα, ἦν ἂν λέγειν ὅτι τὸ ἀναπνεόμενον πνεῦμα ὑπὸ τῆς ὄρνιθος διορίζει αὐτά· ἐκτὸς δ' ὄντων τί ἂν εἴποιμεν; καὶ τοῦ κυνὸς δὲ τὰ βλέφαρα διὰ τί οὐκ ἐν τῇ μήτρᾳ διίσταται ἀναπνέοντος καὶ αὐτοῦ καὶ τῆς κυνός, ἀλλὰ γεννᾶται τυφλὸς ἔχων τὰ βλέφαρα συμπεφυκότα, ὕστερον δὲ μετὰ εἴκοσιν ἡμέρας διίσταται καὶ ὁρᾷ; πνεῦμα μὲν οὖν, φησίν, ἀναγκαῖον εἶναι ἐν πάσῃ τῇ σαρκὶ ἐγκατῳκοδομημένον καὶ τοῖς ἄλλοις ἅπασι μέρεσιν· ὑγροῦ γὰρ ὄντος τοῦ πνεύματος καὶ τοιωσδὶ πεττομένου ἀνάγκη σὺν τῇ σαρκὶ καὶ τοῖς ἄλλοις γενέσθαι πνεῦμα· ὅμως τοῦτο οὐκ ἔστι τὸ διαιροῦν ταῦτα ἀπ' ἀλλήλων, ἀλλ' ἡ φύσις, ὥσπερ εἴρηται.

---

4 μέντοι] μέν τι a: om. IL ἑαυτῷ a 6 ὅλοις IL ἐναντίος IKL
7 post ἐπειδὴ add. γὰρ K 8 φαίνεται] γίνονται a 13 διὸν] εἰσὶν K: εἶναι ὃ a
13. 14 χωρίζει K 14 ταῦτα om. K καινὸν a 17. 18 ὑπὸ τοῦ ἐμβρύου ἢ ὑπὸ τῆς μητρὸς K 21 ἀπὸ] ἐκ K 23 ἐν τῇ ὑστέρᾳ ὄντων τῶν ᾠῶν coll. Ka μεταβάλλον IL¹ 23. 24 εἰς τὸ ζῶον a 25 εἴποιεν Ka 25. 26 διὰ τὸ οὐκ a 26 μήτρᾳ] μητρὶ IL 27 τυφλὰ IL ἔχων] ἐχόντων ex ἔχων corr. L² συμπεπτωκότα K 28 διίσταναί τε καὶ Ka 29 τῇ om. K 29 et 30 καὶ ἐν τοῖς Ka 31 γεννᾶσθαι a τοῦτο — διαιροῦν] οὐκ ἔστι τούτῳ διαιρεῖν a τοῦτο post ἔστι ponit K

p. 742ᵃ16 Τῶν δ' ἀρχαίων τινὲς φυσιολόγων τί μετὰ τί γίνεται τῶν μορίων ἐπειράθησαν λέγειν. 51r

Κακίζει τοὺς φυσικοὺς διὰ τὰς αἰτίας ἃς ἀπεδίδουν τοῦ πρῶτον μὲν γίνεσθαι τὴν καρδίαν ἢ τὸν ἐγκέφαλον, δεύτερον δὲ τόδε καὶ τρίτον τόδε καὶ ἐφεξῆς τὰ λοιπά. ἔλεγον οὖν ὅτι ὅπερ ἔχει τὸν οὗ ἕνεκα λόγον, τοῦτο γίνεται πρῶτον, ὃ δὲ τὸν τούτου ἕνεκα, ὕστερον, καὶ πιστοῦσθαι τὸν οἰκεῖον ἐπειρῶντο λόγον ἐκ τῶν τέχνων λέγοντες· ὥσπερ γὰρ ἐπὶ τῆς αὐλητικῆς οὗ μὲν ἕνεκα ὁ αὐλητής ἐστι, τούτου δὲ ἕνεκα ὁ αὐλός, καὶ πρῶτον μὲν γίνεται ὁ αὐλητής, εἶθ' οὕτως οἱ αὐλοί (μάτην γὰρ ἂν ἦσαν οἱ αὐλοὶ τοῦ δυναμένου χρῆσθαι μὴ ὄντος), οὕτως ἔλεγον καὶ ἐπὶ τῶν φυσικῶν πρῶτον μὲν ἀναγκαῖον γίνεσθαι τὸ οὗ ἕνεκα καὶ οὕτως τὸ τούτου ἕνεκα. ἐγκαλεῖ γοῦν αὐτοῖς λέγων, εἰ χρὴ οὕτως ἀποδιδόναι, συμβήσεται τὸ αὐτὸ καὶ ἓν τοῦ αὐτοῦ | καὶ ἑνὸς 51v ἅμα εἶναι καὶ πρότερον καὶ ὕστερον, ὅπερ ἀδύνατον· ὁ γὰρ διδάσκαλος, ᾗ διδάσκαλος, ἕνεκεν τοῦ μαθητοῦ ἐστιν, ὥστε ἔσται πρότερον ὁ μαθητὴς ὡς οὗ ἕνεκεν, ὕστερον δὲ ὁ διδάσκαλος ὡς τούτου ἕνεκα. ἀλλὰ μήν ἐστιν ὁ διδάσκαλος, ᾗ διδάσκαλος, καὶ πρότερος τοῦ μαθητοῦ· ὁ διδάσκαλος ἄρα καὶ πρότερος καὶ ὕστερος τοῦ μαθητοῦ, ᾗ ὁ μὲν διδάσκαλος ὁ δὲ μαθητής, ὅπερ ἀδύνατον. λέγει οὖν ἠπατῆσθαι αὐτοὺς διὰ τὸ διττὸν καὶ ὁμώνυμον εἶναι τὸ τούτου ἕνεκεν. λέγεται γὰρ τούτου ἕνεκεν καὶ τὸ κινοῦν καὶ ποιοῦν, οἷον ὁ διδάσκαλος, λέγεται δὲ τούτου ἕνεκεν καὶ τὸ ὄργανον· καὶ γὰρ ὁ διδάσκων τὴν αὐλητικὴν καὶ οἱ αὐλοὶ ἕνεκεν τοῦ μανθάνοντος τὴν αὐλητικήν εἰσι. γεννητικὸν γὰρ εἶπε τὸ ποιοῦν, οἷον τὸν διδάσκαλον, ὀργανικὸν δὲ τὸ ὄργανον, οἷον τοὺς αὐλούς. λέγει οὖν ὁ Ἀριστοτέλης ὅτι τῶν τούτου ἕνεκα τὸ μὲν ὡς ὄργανον ἐνδέχεται ὕστερον γεγενῆσθαι τοῦ οὗ ἕνεκεν, τὸ δὲ ποιοῦν ἀδύνατον. τριῶν οὖν ὄντων, ἑνὸς μὲν τοῦ οὗ ἕνεκα καὶ τοῦ τέλους, δευτέρου δὲ τοῦ τούτου ἕνεκα (καὶ τοῦτό ἐστιν ἡ κινητικὴ ἀρχὴ καὶ γεννητική· ἐκ παραλλήλου γὰρ κεῖται τὸ τῆς ἀρχῆς τῆς γεννητικῆς καὶ κινητικῆς) καὶ τρίτου τοῦ χρησίμου, οἷον τοῦ ὀργάνου ᾧ χρῆται τὸ τέλος (ὁ γὰρ μαθητής, ὃς ἦν τὸ τέλος, χρῆται τῷ αὐλῷ), πρῶτον ἀναγκαῖον ὑπάρχειν τὸ ποιοῦν, οἷον ἡ καρδία· καὶ γὰρ εὐθὺς τοῦτο τὸ μόριόν ἐστιν ἓν καὶ κυριώτατον τοῦ τέλους, τουτέστι καὶ γὰρ εὐθὺς ἐν τῇ συστάσει ἀπὸ τῶν μερῶν τοῦ τέλους (λέγων τέλος τὸ ὅλον ζῷον) τοῦτο τὸ κινητικὸν καὶ κυριώτατον πρῶτον γέγονε καὶ ἔστιν. εἶτα γίνεται τὸ ὅλον καὶ τὸ τέλος, λέγων ὅλον καὶ τέλος τὰ ἄνωθεν τοῦ διαζώματος· ὅλον γὰρ κυρίως καὶ τέλος καὶ ζῷον τὰ ἄνωθεν τοῦ διαζώμα|τός εἰσι. 52r

1 τινὲς φυσιολόγων] φυσιολογοῦντες τινὲς K 5 οὖν] γὰρ a 7 post λόγον add. τοῦτο γίνεται πρῶτον sed rursus del. L 8 post μὲν prius add. οὖν ILa 9 ἂν om. a 11 οὖν a 14 ἕνεκα Ka, itemque porro πρότερος Ka 15 ὡς prius in ras. L ὕστερος Ka 16 ᾗ διδάσκαλος om. L post ᾗ add. ὁ a 18 οὖν] δὲ K 19 λέγει a post γὰρ add. καὶ IL, τὸ K καὶ ante τὸ om. K καὶ τὸ ποιοῦν IL 20 post δὲ add. καὶ IL, τὸ K 23 ὅτι] καὶ τί IL 24. 25 τὸ δὲ ποιοῦν—οὗ ἕνεκα om. IL 30 τὴν καρδίαν Ka 35 κυρίως ζῶον καὶ τέλος Ka

καὶ τρίτον καὶ τελευταῖον γίνονται τὰ ὀργανικά, οἷον πόδες, ἕντερα καὶ τὰ 52r
ὅμοια. ἀρχὴν δὲ καὶ τέλος εἶπε τὴν καρδίαν, διότι ἐν τῇ γεννήσει πρῶτον 5
αὕτη γίνεται, ἐν δὲ τῇ φθορᾷ φθείρεται ἐσχάτη καὶ ὕστερον πάντων.
ὥστε τῶν μορίων τῶν ὀργανικῶν ὅσα ἐστὶ γεννητικὰ τὴν φύσιν,
τουτέστι ποιητικά (ταῦτα δέ ἐστιν ἥ τε καρδία καὶ τὸ ἀνάλογον) ἀεὶ δεῖ 10
πρότερον ὑπάρχειν αὐτά. τὸ γὰρ ἄλλου τινὸς ἕνεκεν ὄν, μὴ ὡς ὄργανον
δέ, ἀλλ' ὡς ἀρχὴ καὶ ὡς ποιοῦν, ἀνάγκη προϋπάρχειν τῶν ὑπ' αὐτοῦ 15
γενησομένων· ὅσα δὲ μὴ τοιαῦτα τῶν ἄλλου ἕνεκεν, ὕστερον, τουτέστιν
ὅσα δὲ ἀπὸ τῶν ἄλλου ἕνεκα μὴ ἔστι τοιαῦτα, ἤτοι ποιητικά, ἀνάγκη
ὕστερον γίνεσθαι. ἐπεὶ οὖν, ὡς εἴρηται, διττόν ἐστι τὸ τούτου ἕνεκεν, οὐ
ῥᾴδιον διελεῖν καὶ ἁπλῶς εἰπεῖν ὅτι τῶν τούτου ἕνεκεν πρότερόν ἐστι τὸ 20
οὗ ἕνεκεν, ἢ ἀνάπαλιν· παρεμπίπτοντα γὰρ καὶ ἐμφαινόμενα τοῖς ὀργάνοις
τὰ ποιητικὰ καὶ κινητικὰ τῶν μορίων οὐκ ἐᾷ ἁπλῶς ἀποφαίνεσθαι περὶ
αὐτῶν, ἀλλ' ἀνάγκη λέγειν ὅτι τῶν τούτου ἕνεκεν τὰ μέν εἰσι πρότερα
οἷον τὰ ποιητικά, τὰ δὲ ὕστερα, οἷον τὰ ὀργανικά. διὸ πρῶτον μὲν γίνεται
ἡ καρδία ὡς ποιητικὴ τῶν ἄλλων, εἶτ' εὐθὺς τὸ ἄνω κύτος. γινομένου δὲ
καὶ τελειουμένου πρῶτον ἀνάγκη τὰ ἄνω φαίνεσθαι μέγιστα τοῖς ἐμβρύοις,
τὰ περὶ τὴν κεφαλὴν καὶ τὰς χώρας, ἐν αἷς εἰσιν οἱ ὀφθαλμοί· τελειωθέντων 25
γὰρ τῶν ἄνω, ἀτελῶν δὲ ἔτι ὄντων τῶν κάτω καὶ μόνῃ διαγραφῇ τὸ εἶναι
ἐχόντων ἀνάγκη μείζω φαίνεσθαι τὰ ἄνω. ἐν τῇ λέξει δὲ τῇ ἀρχὴ δὲ
ἐν μὲν τοῖς ἀκινήτοις τὸ τί ἐστιν ἀκίνητα τὰ μαθήματα λέγει· ἐν τούτοις
γὰρ ἀρχαὶ οἱ ὅροι εἰσίν. ἐν δὲ τοῖς ἄλλοις, φησίν, ἤδη πλείους· τέτταρες
γάρ, ὕλη εἶδος ποιητικὸν τέλος· οὐ πᾶσαι δὲ τὸν αὐτὸν τρόπον εἰσὶν αἰτίαι,
ἀλλὰ τὸ μὲν ὑλικὸν ὡς συνόν, ὁμοίως καὶ τὸ εἰδικόν, τὸ δὲ ποιητικὸν ὡς
περιτιθὲν τὸ τοιονδὶ εἶδος περὶ τὴν τοιαύτην ὕλην, καὶ τὸ τελικὸν ἄλλως. 30
γίνεται οὖν, φησίν, ἡ καρδία πρώτως, ἐκ δὲ ταύτης αἱ φλέβες διατεταμέναι,
καθάπερ οἱ τοὺς κανάβους γράφοντες ἐν τοῖς τοίχοις. κάναβος δέ ἐστιν ἡ
δεξαμενή, ἣν κινστέρναν ἡ Ῥωμαίων οἷδε γλῶσσα καλεῖν. ὥσπερ γὰρ οἱ
ζωγράφοι ἐν τοῖς τοίχοις ζῷα παντοδαπὰ γράφουσιν, οὕτω καὶ κανάβους καὶ
ὕδατα, τὸ μὲν δῆθεν ἐξερχόμενον ἐκ τοῦ μέρους τοῦδε τοῦ κανάβου, τὸ δὲ
ἐξ ἄλλου. ὡς οὖν τὰ πολλὰ ταῦτα γεγραμμένα ὕδατα ἀρχὴν μίαν ἔχει 35
τὸν γεγραμμένον κάναβον, οὕτω, φησί, καὶ αἱ φλέβες πᾶσαι τὴν καρδίαν·
τὰ γὰρ μέρη, ἤτοι αἱ φλέβες, περὶ ταύτας ἤτοι τὰς καρδίας εἰσίν.

---

1 post οἷον add. οἱ Ka 2 γενέσει Ka πρῶτον post γίνεται (3) ponit Ka
3 post φθείρεται add. καὶ IL ὑστέρα K 6 αὐτὴν IL 9 δὲ om. a τοιαύτη ILa
ἤτοι] ἤ τι La 11 πρότερα Ka 11. 12 ἐστι τὸ οὗ scripsi: εἰσὶ τὰ τούτων libri
14 ἀλλ' om. IL 15 ὕστερον I 16 γενομένου Ka 17 μέγιστα om. K
18 χώρας] χεῖρας IL 20. 21 δὲ ἐν] μὲν ἐν IL 21 μαθηματικὰ Ka λέγων IL
22 γὰρ αἱ ἀρχαὶ Ka 23 post ποιητικὸν add. καὶ Ka 24 ὁμοίως δὲ καὶ K
26 πρῶτον a 28 οἷδε] οἶδα I: fort. εἴωθε 30 τοῦδε] τούτου IL 31 γεγραμμένα om. K 33 ταύτην ἤτοι τὴν καρδίαν a

p. 743a3 Ἡ δὲ γένεσίς ἐστιν ἐκ τῶν ὁμοιομερῶν ὑπὸ ψύξεως καὶ 52r
θερμότητος.

Ἐντεῦθεν τοὺς τρόπους ἐκτίθεται, καθ' οὓς ἕκαστον τῶν ὁμοιομερῶν γίνεται, καὶ πρὸς τούτοις λέγει καὶ τὰ ποιητικὰ τούτων αἴτια, τίνα εἰσίν. ὑπὸ θερμότητος δὲ λέγει αὐτὰ γίνεσθαι καὶ ψύξεως· συνίσταται γὰρ καὶ πήγνυται τὰ μὲν θερμῷ, τὰ δὲ ψυχρῷ. διαπιδύουσα γάρ, φησί, τουτέστιν ὥσπερ ἱδρὼς ἐξερχομένη (τὸ γὰρ διαπιδύειν δηλωτικόν ἐστι τοῦ ἱδρῶσαι) διαπιδύουσα οὖν, φησίν, ἡ τροφή, τουτέστι τὸ λεπτότα|τον καὶ καθαρώτατον 52v αἷμα διὰ τῶν ἀπείρων σχεδὸν ἐν ἑκάστῃ φλεβὶ ἀδήλων πόρων (καθάπερ καὶ τὸ κεραμεοῦν ἀγγεῖον τὸ μὴ καλῶς ὀπτηθέν· καὶ γὰρ καὶ τοῦτο ἱδροῖ ἐμβληθέντος ἐν αὐτῷ ὕδατος) καὶ προσκρινόμενον τῇ ἐνούσῃ ἡμῖν ἐνεργείᾳ σαρκὶ γίνονται σάρκες. οὐδὲν γὰρ ἄλλο φησὶν εἶναι τὸ τῶν σαρκῶν ὑλικὸν αἴτιον ἢ τὸν τῶν φλεβῶν ἱδρῶτα, ὅστις πάλιν ἱδρὼς οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ λεπτότατον καὶ καθαρώτατον τοῦ ἐν ταῖς φλεψὶν αἵματος. καὶ πῶς ἡ διαπιδύουσα καὶ ὥσπερ ἱδρὼς ἐξερχομένη τροφὴ σάρκες γίνονται, ἐπήγαγε τὸ ὑπὸ τοῦ ψυχροῦ συνιστάμεναι. θερμότατος γὰρ ὢν ὁ πόρος τῆς φλεβός, ἐν ᾧ τυγχάνει ὂν τὸ αἷμα, ψυχρότερος δὲ ὁ ἐκτὸς ἅπας (λέγω δὲ ἐκτὸς ἅπαντα τὸ ὅλον πάχος τῆς σαρκός) ἐμπεσοῦσα εἰς τοῦτον ἡ τροφὴ ὑγρὰ καὶ θερμὴ οὖσα πήγνυται ὑπὸ τῆς φύσεως ὡς δι' ὀργάνου τοῦ ψυχροῦ καὶ γίνεται σάρξ. καὶ ἐπὶ τούτῳ τήκονται θερμῷ· ὅσα γὰρ πήγνυται ψυχρῷ, τήκεται θερμῷ, ὡς ἐν τῷ τετάρτῳ τῶν Μετεώρων μεμαθήκαμεν. ὅσα μὲν οὖν ὑγρὰ καὶ θερμὰ τῶν ἀνατελλόντων ἤτοι διεξερχομένων ὥσπερ ἱδρὼς ἀπὸ τῶν φλεβῶν, σάρκες γίνονται· ὅσα δὲ ἂν ἀνατείλῃ καὶ ἐξέλθῃ λίαν γεηρὰ καὶ πάνυ ὀλίγην ἔχοντα θερμότητα καὶ ὑγρότητα, ταῦτα ψυχόμενα ἐξατμιζομένου τοῦ ὑγροῦ μετὰ τοῦ θερμοῦ ὑπὸ τῆς ψύξεως ὄνυχες γίνονται καὶ ὁπλαὶ καὶ κέρατα. διὸ καὶ μαλάττονται τῷ πυρί· οὐ γὰρ τήκεται· πᾶν γὰρ τὸ τηκόμενον, ὡς ἐν τῷ προειρημένῳ τῶν Μετεώρων μεμαθήκαμεν, ὑγρότητα ἔχει, ὄνυχες δὲ καὶ τὰ τοιαῦτα οὐκ ἔχουσι διὰ τὸ ἐξατμισθῆναι μετὰ τοῦ θερμοῦ. οὐδὲν οὖν τῶν γεηρῶν πυρὶ τήκεται, ἀλλὰ μᾶλλον ἔνια τῶν τοιούτων μα|λάττεται τοῖς ὑγροῖς. εἰ γὰρ κέλυφος ᾠοῦ ἐμβληθὲν εἰς 53r ὕδωρ ποιήσει ἐν αὐτῷ ἡμέρας ἱκανάς, ἐκβληθὲν μαλάττεται ὥσπερ κηρὸς σχεδόν. τὰ δὲ νεῦρα, φησί, καὶ τὰ ὀστᾶ συνίσταται ὑπὸ τῆς ἐντὸς

4 τούτοις] τούτω K: τούτου a 5 αὐτοὺς K 7 διαπιδύω ILa ἱδρῶτος a
8 διαπιδοῦσα a τουτέστι] ἤτοι Ka 10 ἐπτηθὲν I ἱδροῖ καὶ τοῦτο coll. a: καὶ τοῦτο om. K 11 ἐν om. K προσκρινομένη Ka τῇ om. a
12 οὐδὲν] οὐ Ia 13 ὥς τις La 15 τροφὴ post διαπιδύουσα ponit K
16 συνιστάμεναι ex Arist. scripsi: συνιστάμενον IKL: συνιστάμενα a ὢν om. K
17 δὲ] γὰρ IL 18 post ἐμπεσοῦσα add. γὰρ a 19 καὶ—σάρξ (20) om. K post πήγνυται et 21 post τήκεται add. καὶ IL 21 ἐν τῷ τετάρτῳ τῶν Μετεώρων] Δ 6 p. 382b30 sqq. 22 θερμὰ] καθαρὰ Ka post ἤτοι add. τῶν K
23 ἐκ τῶν a ἂν om. Ka ἀνατείλειε IL ἐξέλθῃ scripsi: ἐξέλθοιε IL: ἐξέλθοι Ka 24 ὑγειότητα L 27 ὡς—μεμαθήκαμεν] Meteor. Δ 6 post μεμαθήκαμεν add. βιβλίῳ Ka

θερμότητος ξηραινομένης τῆς ὑγρότητος· ξηρὸν γὰρ καὶ τὸ νεῦρον τὴν 53r
φύσιν, ὥσπερ ὁρῶμεν τὰ τῶν τεθνηκότων βοῶν καὶ ἄλλων πολλῶν. αὕτη 10
δὲ ἡ φύσις ἡ δημιουργοῦσα πάντα τὰ μόρια ὀργάνοις χρωμένη τῷ θερμῷ
καὶ ψυχρῷ οὐ τὸ τυχὸν ὑφ' ἑκατέρου τούτων οὐδ' ἀπὸ τῆς τυχούσης ὕλης 15
5 δημιουργεῖ, ἀλλὰ τὸ πεφυκὸς καὶ ᾗ καὶ ὅτε πέφυκεν. ἡ δὲ θερμότης ἡ ἐν
τῷ σπέρματι, φησί, παραπλήσιον ἀποτελεῖ τοῖς ἔξω συνισταμένοις,
λέγων ἔξω συνιστάμενα τὰ ὑπὸ τῶν μαγείρων πυρὶ ἑψόμενα κρέη, χέδροπα, 20
ἰχθύας, τὰ ὅμοια· ὡς γὰρ ἐπὶ τούτων συμμέτρου ὄντος τοῦ πυρὸς καλῶς
ἕψεται τὸ κατασκευαζόμενον ὑπὸ τοῦ μαγείρου, εἰ δὲ πλεονάζει, φθείρεται 25
10 καὶ κατακαίεται, εἰ δὲ ἐλλείπει, μεμολυσμένον γίνεται, τοιοῦτόν τι συμβαίνει
καὶ ὑπὸ τοῦ ἐν τῷ σπέρματι θερμοῦ. τοῖς δ' αὐτομάτως, φησί, συνιστα- 30
μένοις, οἷον σκώληξι καὶ τοῖς τοιούτοις, αἰτία τῆς τούτων γενέσεώς ἐστιν
ἡ τῆς ὥρας κίνησις καὶ θερμότης. ἡ δὲ ψῦξίς ἐστι στέρησις θερμότητος,
καὶ χρῆται ἀμφοτέραις τῇ τε ψύξει καὶ τῇ θερμότητι ἡ φύσις· ἕνεκεν γάρ 35
15 τινος τὰ μὲν ποιοῦσα σκληρὰ τὰ δὲ μαλακὰ χρῆται τούτοις ὡς ὀργάνοις
πρὸς ταῦτα. λέγει δὲ τὸ δέρμα γίνεσθαι ξηραινομένης ὑπὸ τῆς ψύξεως
τῆς σαρκός, οὐ μόνον δὲ διὰ τοῦτο, ἀλλὰ καὶ διὰ τὸ τὴν διαπιδύουσαν
τροφὴν μετ' αὐτῆς συνεξάγειν γλισχρότητα· τῆς γὰρ ὑγρότητος, μεθ'
ἧς συνεξέρχεται, ἀπατμιζούσης, αὐτῆς δὲ τῆς γλισχρότητος ἐναπομενούσης 40
20 ἐν τῇ σαρκί (οὐ γὰρ δύναται ἀπατμίζειν) καὶ ξηραινομένης γίνεται δέρμα.
ἐν ὅσοις μὲν οὖν ἐστιν ἡ τοιαύτη γλισχρότης αὐχμηρὰ καὶ λίαν γεώδης,
ξηραινομένη γίνεται ὄστρακον, ὥσπερ τῶν ὀστρέων, ἐν ὅσοις δὲ λιπαρωτάτη
ὥσπερ ἐν τοῖς ἐναίμοις καὶ ὀλίγον τὸ γεῶδες ἔχουσα, δέρμα. σημεῖον δὲ
τοῦ λιπαρὰν αὐτὴν εἶναι· καὶ γὰρ ἐν τοῖς μὴ λίαν γεώδεσιν ὑποκάτω τοῦ
25 δέρματος ἀθροίζεται πιμελῶδες, ὡς οὔσης λιπαρᾶς τῆς γλισχρότητος.
ὅτι δὲ ὑπὸ τὸ δέρμα ἀθροίζεται πιμελῶδες, δῆλον ἐπὶ τῶν χοίρων. 45
καὶ ταῦτα μὲν οὕτως. ἡ δὲ καρδία γίνεται παντὸς τοῦ ζῴου πρῶτον, ὅτι
ἀρχή ἐστι τῶν αἰσθήσεων· ἐν αὐτῇ γὰρ ἡ αἰσθητικὴ ψυχή. διὰ τὸ δεῖν
δὲ καταψύχεσθαι καὶ εἰς συμμετρίαν ἄγεσθαι τὴν θερμότητα αὐτῆς, ἄνω
30 ᾗ τελευτῶσιν αἱ ἀπ' αὐτῆς βεβλαστηκυῖαι φλέβες, συνίστησιν ἡ φύσις τὸ
ψυχρόν, τουτέστι τὸν ἐγκέφαλον, αἵτινες φλέ|βες τὴν ἀπ' αὐτοῦ ψυχρότητα 53v
διακομίζουσι πρὸς τὴν καρδίαν. διὸ καὶ εὐθὺς μετὰ τὴν καρδίαν τελειοῦται
τὰ περὶ τὴν κεφαλήν, ἵνα ψύχῃ τὴν καρδίαν. ἔστι δὲ ὁ ἐγκέφαλος ἐξ
ἀρχῆς, ὅτε ἕκαστον τῶν τοῦ ζῴου μορίων διαπλάττεται καὶ τελειοῦται,
35 πολὺς καὶ ὑγρός, καὶ διὰ τοῦτο ἡ χώρα αὐτοῦ ἡ κεφαλὴ μεγάλη· ὕστερον

4 οὐδ' ὑπὸ Ka 6 ἀποτελεῖ] ποιεῖ K 7 κρέα K 9. 10 φθείρεται—κατακαίεται] τήκεται καὶ φθείρεται K 10 εἰ—ἐλλείπει] ἐλλεῖπον δὲ Ka 11 αὐτόματος a 14 ἀμφοτέροις Ka 16 ταῦτα] ταύτη a δέρμα] σπέρμα K ξηραινομένοις a τῆς om. IKa 18 μετ' αὐτοῦ K γλισχρότητι a 20 ἐν om. K ξηραινομένοις δὲ γίνεται a 22 ξηραινομένης a ὥσπερ—ὀστρέων om. K post ὥσπερ add. τὸ a 23 καὶ] κἂν IL 24 γεῶδες a 25 post ἀθροίζεται add. τὸ L² πιμελωδῶς L¹ ὡς οὔσης—πιμελῶδες (26) om. IL 26 συναθροίζεται a 30 κατ' αὐτῆς a βεβλαστηκυῖα a 33 τὰ om. L¹ 34 μορίων om. I: μερῶν K 35 καὶ post ὑγρός om. K post τοῦτο add. καὶ Ka

δὲ τελειωθέντος τοῦ ζῴου πέττεται, καὶ γίνεται αὐτός τε ὀλίγος καὶ ἡ 53v
κεφαλὴ βραχυτέρα.

p. 743b32 Ἔχει δ' ἀπορίαν τὸ περὶ τοὺς ὀφθαλμοὺς συμβαῖνον τῶν ζῴων. μέγιστοι μὲν γὰρ ἐξ ἀρχῆς φαίνονται καὶ πεζοῖς καὶ πλωτοῖς, τελευταῖοι δὲ γίνονται.

Τὸ γίνονται ἀντὶ τοῦ τὴν προσήκουσαν αὐτοῖς τελειότητα λαμβάνουσι. μεταξὺ δὲ χρόνον λέγει καθ' ὃν γίνεται τὰ ἄλλα μέρη· ἐπειδὴ γὰρ πρῶτον πάντων ἡ καρδία τελειοῦται, ὕστερον δὲ πάντων οἱ ὀφθαλμοί, ἔστιν ἄρα μεταξύ τις χρόνος καθ' ὃν ἐτελειώθησαν τὰ λοιπά. τὸ δὲ συμπίπτουσιν ἴσον ἐστὶ τῷ βραχύτεροι γίνονται. τὸ δὲ ἀπορούμενον τοιοῦτόν ἐστι, διὰ τί οἱ ὀφθαλμοὶ ἐξ ἀρχῆς, ὅτε καὶ αὐτοὶ ἀδιάρθρωτοί εἰσιν ἔτι καὶ ἀτελεῖς καὶ τὰ λοιπὰ ὁμοίως μέρη πλὴν τῆς καρδίας, μέγιστοι φαίνονται, ἐν δὲ τῷ μεταξὺ χρόνῳ κατὰ βραχὺ σμικρύνονται, τέλος δὲ τελειωθέντες ὑποπολλαπλάσιοι αὐτοὶ ἑαυτῶν γίνονται. ἀπορήσας οὖν λύει λέγων αἴτιον δὲ τοῦ συμβαίνοντος ὅτι τὸ τῶν ὀφθαλμῶν αἰσθητήριον (λέγων αἰσθητήριον τὸ κρυσταλλοειδές· ἐν αὐτῷ γὰρ ἡ ὀπτικὴ δύναμις· ὀφθαλμοὺς δὲ τοὺς περιέχοντας αὐτὸ χιτῶνας) ἔστι μὲν ἐπὶ πόρων, τουτέστι κεῖται μὲν εἰς τέλος καὶ πλήρωμα φλεβῶν· ταύτας γὰρ εἶπε πόρους· αἴτιον οὖν τοῦ συμβαίνοντος ὅτι τὸ κρυσταλλοειδές ἐστι καὶ κεῖται εἰς τέλος καὶ πλήρωμα φλεβῶν, ἐστὶ δὲ τὸ κρυσταλλοειδὲς ἴδιον καὶ ἕτερον τῶν ἄλλων αἰσθητηρίων. καὶ πῶς ἕτερόν ἐστιν ἐκείνων κατασκευάζων ἐπήγαγε καὶ οὐ προϋπάρχον ἐν τῷ τόπῳ. οὐ γὰρ ὥσπερ τὰ τῶν ἄλλων αἰσθήσεων αἰσθητήρια, οἷον οἱ πόροι ἢ αἱ σάρκες, εὐθὺς προϋπάρχουσι περιγεγραμμένα καὶ δυνάμει ὄντα τόδε τι, ὥσπερ καὶ τὸ ἐν τοῖς τοίχοις σκιαγραφηθὲν ὑπὸ τοῦ ζωγράφου δυνάμει ἐστὶ τόδε τι· οὐ δὴ ὥσπερ τὰ τῶν | ἄλλων αἰσθητήρια προϋπάρχει, 54r
οὕτω καὶ τὸ κρυσταλλοειδὲς προϋπάρχει δυνάμει, εἶθ' ὕστερον ἐνεργείᾳ γίνεται, ἀλλ' ἀπὸ τῆς τοῦ ἐγκεφάλου ὑγρότητος τελειωθέντος καὶ ἐνεργείᾳ γενομένου ἀποκρίνεται τὸ καθαρώτατον καὶ φέρεται διὰ τῶν φλεβίων εἰς τοὺς χιτῶνας. ὥστε ἐπειδὴ ὁ ἐγκέφαλος τὸ πρῶτον πολύς ἐστι καὶ ὑγρός, ἀνάγκη καὶ τὸ τοιοῦτον κρυσταλλοειδὲς πολὺ εἶναι καὶ μέγεθος ἔχειν καὶ ὄγκον, καὶ δι' αὐτὸ καὶ τοὺς χιτῶνας ἐν οἷς ἐστιν, ὕστερον δὲ συμπίπτειν καὶ βραχύτερον καὶ αὐτὸ καὶ τοὺς χιτῶνας γίνεσθαι διὰ τὸ καὶ τὸν ἐγκέφαλον ὕστερον συνίστασθαι καὶ τελειοῦσθαι. τέλειος μὲν γάρ ἐστι καὶ ὅτε τὸ ἔμβρυον ἅπαν τελειωθῇ, ἀλλὰ πάντῃ τελειοῦται, ὅταν τὸ καλούμενον βρέγμα

1 συμπέττεται Ka τε] μὲν ILa 5 post πλωτοῖς add. καὶ πτηνοῖς Arist.
6 Τὸ γίνονται om. K 7 καθ' ἣν a 8 πρῶτον τῶν ἄλλων ἡ K
ἐστὶν—ὀφθαλμοί (11) in marg. add. L 16 ὀφθαλμοὶ ILa 17 ἔστιν οὖν ἐπὶ K
18 ταύτας—φλεβῶν (20) om. IL πόρος a 19. 20 εἰς πλήρωμα καὶ πέρας φλεβῶν a 20 post δὲ add. καὶ Ka 21 προϋπάρχον ex προϋπάρχει corr. L
23 αἱ om. a 24 ἐν τῷ τοίχῳ K: ἐν τοίχῳ a 25 δυνάμει—οὕτω καὶ τὸ (26) om. K 26 ὑελοειδὲς K προϋπάρχον Ia 28 γινομένου ILa
32 καὶ αὐτὸ βραχύτερον καὶ τοὺς K 34 πάντως K ὅτε Ka

ἀποστρακωθῇ. ἡ μὲν οὖν διάνοια αὕτη, τὰ δὲ κατὰ τὰς λέξεις τοιαῦτα· 54r
τὸ μὲν τῆς ἁφῆς, φησί, καὶ γεύσεως αἰσθητήριον ἢ σῶμά ἐστιν ἤ 25
τι τοῦ σώματος, πρόσκειται δὲ τὸ ἤ τι τοῦ σώματος, ὅτι οὐ βούλεται
οὕτω τὴν σάρκα ἢ τὸ ἀνάλογον εἶναι τὸ αἰσθητήριον, ἀλλὰ τὸ ἐγκατῳ-
5 κοδομημένον ἐν πάσῃ τῇ σαρκὶ πνεῦμα. ἐν δὲ τῇ λέξει τῇ ἡ δὲ ὄσφρησις 30
καὶ ἡ ἀκοὴ πόροι λείποι ἄν, οἶμαι, τὸ εἰσὶ δὲ τὰ τούτων αἰσθητήρια, ἵνα
ᾖ τὸ πλῆρες· ἡ δὲ ὄφρησις καὶ ἡ ἀκοή, εἰσὶ δὲ τὰ τῆς ὀφρήσεως καὶ
ἀκοῆς αἰσθητήρια πόροι συνάπτοντες πρὸς τὸν ἀέρα τὸν θύραθεν'. 35
καὶ εἴη ἂν τὸ τῆς λέξεως συνεχὲς τοιοῦτον· ἡ δὲ ὄσφρησις καὶ ἡ ἀκοὴ
10 γίνονται ἀπὸ τῆς καρδίας, εἰσὶ δὲ αὐτῶν τὰ αἰσθητήρια πόροι (λέγων
πόρους τὰ ὦτα καὶ τοὺς μυκτῆρας), οἵτινες πόροι ἅπτονται μὲν τοῦ θύραθεν
ἀέρος διὰ τὸ μὴ εἶναι κενόν, πεπληρωμένοι δ' εἰσὶ συμφυοῦς πνεύματος.
ἔστι γὰρ ἐν αὐτοῖς, ὡς ἐν τοῖς Περὶ ψυχῆς εἴρηται καὶ ἐν τῷ Περὶ
αἰσθήσεως καὶ αἰσθητῶν, ἐγκατῳκοδομημένον πνεῦμα, ὅπερ σύμφυτον πνεῦμα 40
15 περαίνει πρὸς τὰ φλεβία τὰ περὶ τὸν ἐγκέφαλον· ἄχρι γὰρ τούτων ἐστὶ τὸ
πνεῦμα, περαιτέρω δ' οὐ προβαίνει. ἐν δὲ τῇ λέξει τῇ οἳ φέρονται
ἀπ' αὐτῶν πρὸς τὴν μήνιγγα τὴν περὶ τὸν ἐγκέφαλον, ἀπ' αὐτῶν
μὲν λέγει τῶν ὀφθαλμῶν, μήνιγγα δὲ τὸν ὑμένα τὸν περιέχοντα τὸν ἐγκέφαλον·
ἐν τούτῳ γὰρ [τῷ μήνιγγι] περαιοῦνται τὰ φλεβία, ἀλλ' οὐχ ὥσπερ φασί
20 τινες ἐν τῷ βάθει τοῦ ἐγκεφάλου. ἐν δὲ τῇ τούτου δὲ τεκμήριον 45
τούτου λέγει τοῦ ἀποκρίνεσθαι ἀπὸ τῆς τοῦ ἐγκεφάλου ὑγρότητος τὸ καθα-
ρώτατον. τὸ δὲ ὅτι καὶ τὴν ἐν τῇ καρδίᾳ θερμότητα καθαρωτάτην
ἀντὶ τοῦ θερμοτάτην εἴληπται, ἥτις εὐκρατοῦται ὑπὸ τοῦ ἐγκεφάλου· σημεῖον
δὲ τοῦ μᾶλλον εὐκρατοῦσθαι ἡ διάνοια. ἐν δὲ τῇ ὁμοίως δὲ καὶ τῶν |
25 μορίων ὅσα δεῖ κινεῖν μόρια λέγει χεῖρας πόδας βλέφαρα· οὐδὲ 54v
ταῦτα γὰρ δύνανται τὰ παιδία ἐξ ἀρχῆς κρατεῖν καὶ οἷ βούλονται φέρειν·
ἥπτοντο γὰρ ἂν καὶ ἐβάδιζον. οὐ κρατεῖ δέ, διότι ἡ ἀρχὴ τῆς κινήσεως,
ἥτις ἐστὶν ἡ καρδία ἢ ἡ ἐν τῇ καρδίᾳ ψυχή, ὀψὲ καὶ βραδέως κρατεῖ τῶν
ἄνωθεν, ὕστερον δὲ πάντων κρατεῖ τῶν μορίων ἐκείνων, ὅσα μὴ συνῆρται
30 πρὸς αὐτήν. τὰ γὰρ βλέφαρα ἀπηρτημένα εἰσὶν αὐτῆς καὶ σχεδὸν καθ' 5
ἑαυτά, ὁμοίως καὶ τὰ κῶλα, οἷον πόδες. ἐπεὶ οὖν οὐδὲν ποιεῖ περίεργον
ἡ φύσις, οὔτε πρὸ τοῦ δύνασθαι κινεῖν τὰ βλέφαρα τὸ ζῷον ποιεῖ τοὺς
ὀφθαλμοὺς οὔθ' ὕστερον. εἰ γὰρ ἐποίησε, τουτέστι παντελῶς ἐτελείωσε
τοὺς ὀφθαλμούς, οὐδὲν δὲ κινεῖν ἠδύνατο τὰ βλέφαρα. μάτην ἂν ἦσαν

2 φησί om. K 3 ἤ ex εἰ corr. L διότι K 4 οὗτος a 5 ἐν δὲ— ὄσφρησις] ἐν δὲ τῇ ἡ ὄσφρησις K 6 λείπει Ia οἶμαι om. K δὲ] καὶ IL τούτου K 10 λέγει I 13 ἐν τοῖς Περὶ ψυχῆς] B 8. 9 εἴρηται post αἰσθητῶν (14) ponunt Ka 13. 14 ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν] c. 5 15 περὶ] πρὸς IL 16 φέρονται] φαίνονται φέροντες Arist. 17 πρὸς τὴν] περὶ K τὸν μήνιγγα τὸν ILa 19 τῷ μήνιγγι delevi 20 post τῇ add. λέξει τῇ a 21 τούτου λέγει τοῦ] τοσούτου L¹: τοῦ τούτου corr. L: τούτου τοῦ I τῆς om. La ὑγρότητα L 22 θερμοτάτης L 26 δύναται L οἷ] ὅπου Ka 30 γὰρ] δὲ a 31 ὁμοίως δὲ καὶ K 32 τὸ ζῷον om. K 33 παντελείως a

γεγονότες. ὥστε ἡνίκα δύναται κινεῖν καὶ διαχωρίζειν τὰ ἄνω βλέφαρα 54v
ἀπὸ τῶν κάτω, τότε καὶ οἱ ὀφθαλμοὶ τελειοῦνται. δῆλον οὖν ὅτι τὰ παιδία,
ὅτε θύραζε ἐκπεσεῖται, ἀτελεῖς ἔχει τοὺς ὀφθαλμούς. τελευταῖα δὲ τὰ 10
βλέφαρα δύναται κινεῖν διὰ τὸ σφόδρα κρατούσης τῆς κινήσεως
5 εἶναι τὸ κινεῖν καὶ τὰ οὕτω πόρρω τῆς ἀρχῆς, τουτέστιν εἰ μὴ γὰρ
σφόδρα ἐπικρατὴς γένηται ἡ κινοῦσα ἀρχή, οὐ δύναται κινεῖν τὰ βλέφαρα
καὶ τὰ ἄλλα, ὅσα οὕτω πόρρω εἰσὶν αὐτῆς· ὀψὲ δὲ γίνεται ἐπικρατεστάτη
καὶ ἰσχυρά, ὀψὲ ἄρα ἀνάγκη κινεῖν καὶ τὰ κῶλα καὶ τὰ βλέφαρα. δηλοῖ
δὲ τὸ ὀψὲ κρατεῖν τῶν βλεφάρων τὸ καίτοι πάμπαν ὀλίγον ἔχοντα βάρος 15
10 καὶ ἐπὶ τούτῳ κοῦφα σχεδὸν ὄντα τὴν φύσιν μὴ δύνασθαι κινεῖν αὐτὰ ἐξ
ἀρχῆς ἀλλ' ὕστερον, ὥστε βραδέως κρατεῖν ἡ φύσις καὶ κινεῖν αὐτὰ δύναται.

p. 744b11 Τῶν δ' ἄλλων γίνεται μορίων ἕκαστον ἐκ τῆς τροφῆς.

Εἰπών, τίσιν ὀργάνοις χρωμένη ἡ φύσις καὶ τρόποις ποίοις ποιεῖ τὸ
χόριον, τὸ δέρμα, τοὺς ὀφθαλμούς, νῦν προτίθεται εἰπεῖν καὶ περὶ τῶν 20
15 ἄλλων, οἷον σαρκὸς καὶ τῶν λοιπῶν αἰσθητηρίων, ὀστῶν τε καὶ ὀδόντων
καὶ νεύρων. πρὸ δὲ τῆς τῶν λεγομένων σαφηνείας ἄξιον ὑπομνησθῆναι 25
καὶ ῥηθῆναι τὰ πολλάκις εἰρημένα, ὅτι ἡ ἐν τῷ σπέρματι ψυχὴ πρῶτον μὲν
διαγράφει, εἶθ' οὕτω τελειοῖ τὴν καρδίαν, καὶ ἐν αὐτῇ ἐγκατοικήσασα
πρῶτον μὲν διαγράφει καὶ οἱονεὶ σκιαγραφεῖ ἅπαντα ὁμοῦ τὰ μόρια ἐκ τῆς 30
20 ὕλης, ἐξ ἧς καὶ τῆς γονῆς συνέστη τὸ κύημα, εἶτ' ἐκ τῆς ὑστέρας
λαμβάνουσα τὴν τροφὴν διὰ τοῦ ὀμφαλοῦ αὔξει καὶ τελειοῖ τὰ μὲν 35
ἐπιτηδειότερα καὶ τιμιώτερα πρῶτον (ταῦτα δὲ ἦσαν τὰ ἄνωθεν τοῦ
ὑποζώματος), καὶ τούτων πάλιν τὰ μὲν πρότερον, τὰ δ' ὕστερον, ὕστερον 40
δὲ πάντων τελειοῖ τὰ ὀργανικά, οἷον πόδας, τὰ ὅμοια. τούτων οὕτως
25 ὑπομνησθέντων τὰ λεγόμενά εἰσι τοιαῦτα· ὥσπερ γάρ, φησίν, ὁ ἀγαθὸς
οἰκονόμος τοῦ ἀληλεσμένου σίτου τὸ μὲν καθαρώτερον καὶ βέλτιον, οἷον τὸ 45
σταῖς, ἀπεργάζεται ἄρτον τοῖς ἐ|λευθέροις καὶ τοῖς δεσπόταις, τὸ δὲ χεῖρον 55r
τοῖς δούλοις, τὸ δ' ἔτι χεῖρον, οἷον τὰ πίτυρα, χοίροις καὶ ἀλεκτρυόσι καὶ
τοῖς ὁμοίοις (ταῦτα γὰρ εἶπε συντρεφόμενα), οὕτω καὶ ἡ φύσις· τὰ μὲν 5
30 γὰρ τιμιώτατα καὶ μετειληφότα τῆς κυριωτάτης ἀρχῆς, οἷον σάρκες καὶ
τὰ λοιπὰ αἰσθητήρια, γίνονται ἤτοι τρέφονται καὶ τελειοῦνται ὑπὸ τῆς
φύσεως διὰ τοῦ καθαρωτάτου καὶ πεπεμμένου καὶ λόγον ἔχοντος τῆς 10
σεμιδάλεως ἧς τροφῆς καθαρωτάτης ἐκ τῆς ὑστέρας λαμβάνει· ἐκ δὲ τοῦ

1 γεγονότα L 3 ἀτελῶς IL τελευταῖον K 4 τὸ μὴ σφόδρα a
6 οὐ δύναται—κινεῖν (8) om. K 7 εἰσιν] ἐστὶ a ἐπικρατέστατα a 8 post
ἰσχυρά add. καὶ a 10 ἐπὶ τοῦτο a μὴ δύνανται IL 11 ὥστε] ὥσπερ L
15 οἷον—λοιπῶν om. K τε] γε IL 18 εἶθ' οὕτω—διαγράφει (19) om. K
post καὶ add. ἡ a 21 λαμβάνουσι a 24 post πόδας add. καὶ a 25 φησίν
om. K 25. 26 ὁ ἀγαθὸς οἰκονόμος post σίτου (26) ponit K 28 οἷον om. IL
ἀλεκτορίσι Ka 30 γὰρ om. ILa τιμιώτατα] κυριώτατα IKL, sed cf. p. 115,5. 10. 26
σάρκας a 31. 32 γίνονται — φύσεως] τρέφει τε καὶ τελειοῖ a 32 τῆς
om. K 33 post σεμιδάλεως add. τῆς τροφῆς K καθαρώτατον IKa

ἥττον πεπεμμένου καὶ περιττώματος καὶ τῇ τῶν δούλων τροφῇ ἀναλογοῦντος 55r
τὰ ὀργανικά, οἷον πόδες, ἔντερα, κοιλία, τὰ ὅμοια· ἐκ δὲ τοῦ περιττώματος
ταύτης πάλιν καὶ πιτύροις ἀναλογοῦντος τρίχες ὁπλαί, ὄνυχες κέρατα, τὰ 20
ὅμοια. ὥσπερ γὰρ τῆς πρώτης καὶ καθαρωτάτης τροφῆς, ἀφ' ἧς τρέφονται
5 τὰ τιμιώτατα, ἤν τι περίττωμα καὶ ὑπόλειμμα, ὑφ' οὗ περιττώματος λέγομεν 25
τρέφεσθαι τὰ ἀναγκαῖα μόρια, οἷον τὰ ὀργανικά, οὕτως ἐστὶ τρίτον, ὅπερ
ἐστὶν ὑπόλειμμα καὶ περίττωμα τῆς δευτέρας τροφῆς, ὑφ' οὗ τρίτου 30
τρέφονται ὄνυχες ῥύγχη κέρατα, τὰ ὅμοια. ἐπὶ τούτῳ γὰρ ἔσχατα ταῦτα
πάντων γίνεται καὶ τελειοῦται, ὅτι καὶ ἡ τοιαύτη περίττωσις ἐσχάτως
10 ἀναφαίνεται· δεῖ γὰρ τὰ τιμιώτατα πρῶτον λαβεῖν τὴν πρώτην, ἵνα ταύτης 35
ληφθείσης ἑαθῇ τὸ περίττωμα αὐτῆς, εἶτα τὰ ἀναγκαῖα λαβεῖν τὸ
καθαρώτατον τοῦ περιττώματος τούτου, καὶ οὕτως ἀναφανήσεται ἡ ἐσχάτη
ἡ πιτύροις ἀνάλογος. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια εἴρηται· τὰ δὲ
κατὰ τὴν λέξιν θεωρητέον. θύραθεν οὖν λέγει νοῦν ἢ τὸν ἀγαθὸν οἰκονόμον
15 ἢ τὸν δημιουργοῦντα τοὺς ἄρτους. ὅτι δὲ διττὸν τὸ περίττωμα, τὸ μὲν τῆς
πρώτης τροφῆς, τὸ δὲ τῆς δευτέρας, ἐδήλωσε καὶ αὐτὸς πληθυντικῶς εἰπὼν 40
ἐκ δὲ τῶν περιττωμάτων, ἀλλ' οὐχ ἑνικῶς ἐκ δὲ τοῦ περιττώματος.
ἐκ τούτου τε ἐδήλωσε τὸ διττὸν τοῦ περιττώματος καὶ ἐκ τοῦ συγκεχυμένως
εἰπεῖν ὀστᾶ καὶ νεῦρα καὶ τρίχας· καίτοι οὐκ ἐκ τῆς αὐτῆς τροφῆς
20 τρέφονται αἱ τρίχες, ἀφ' ἧς τὰ ὀστᾶ, ἀλλ' ὥσπερ ἐπὶ ταῖς οἰκονομίαις τὸ
μὲν λέγεται σεμίδαλις, τὸ δὲ περίττωμα τῆς σεμιδάλεως ἄλευρον, τὸ δὲ
περίττωμα τῶν ἀλεύρων πίτυρον, οὕτω καὶ ἐν τῇ φύσει τὸ τρίτον, ὑφ' οὗ
τρέφονται αἱ τρίχες, τὰ ῥύγχη, τὰ ὅμοια, περίττωμα λέγεται περιττώματος· 45
καὶ ὥσπερ ἐν ταῖς οἰκονομίαις ἐσχάτως ἀποκρίνεται τὸ πίτυρον, οὕτως ἐν
25 τῇ φύσει ἡ τῶν ὁπλῶν καὶ τριχῶν καὶ ὀνύχων τροφή. καὶ εἰσὶ τὰ μὲν
αἰσθητήρια καὶ πάντα τὰ τιμιώτερα ὥσπερ δεσπότης καὶ ἐλεύθερος, τὰ δ'
ὀστᾶ καὶ πάντα τὰ ὀργανικὰ δοῦλοι, τρίχες δὲ καὶ ὄνυχες καὶ τὰ τούτων
συγγενῆ συντρεφόμενα. σπερματικὴν δὲ περίττωσιν λέγει τὸ καταμήνιον,
ἐν ᾧ πρώτως ἐσκιαγράφησε καὶ διέγραφεν ἡ ἐν τῇ καρδίᾳ ψυχὴ πάν|τα 55v
30 τὰ μόρια. εἰπὼν δὲ ὅτι ἐν τῇ πρώτῃ συστάσει γίνεται (τὸ γίνεσθαι
ἐνταῦθα ἀντὶ τοῦ διαγράφεσθαι καὶ σκιαγραφεῖσθαι λαβὼν) τὰ ὀστᾶ, τρέφεται
δὲ καὶ τελειοῦται ἐξ ἧς καὶ τὰ ἀναγκαῖα μόρια, ἐπήγαγε ταύτης μέντοι
αὐτῆς τὰ ὑπολείμματα, λέγων ταύτην τὴν πρώτην τροφήν. τὸ δὲ
λεγόμενον οὕτως ἐπῆκται, ὡς εἰ ἔλεγεν 'οὐχ ἁπλῶς λέγομεν τὰ ὀστᾶ
35 τρέφεσθαι ἐκ τῆς πρώτης τροφῆς, ἀλλ' ἐκ τῶν ὑπολειμμάτων καὶ 5

---

1 ante τῇ add. τοῦ K  τροφῇ om. K  2 πόδας a  κοιλίαν a
3 τρίχας ὁπλὰς ὄνυχας a  κέρατα ὄνυχες coll. K  4 τρέφεται a  5 τι] τὸ IL  ἀφ' οὗ K  6 ante τρίτον add. τι Ka  8 ῥύγχοι I  post γὰρ add. καὶ K  9 γίνονται καὶ τελειοῦνται K  11 αὐτῆς] τοῦτο Ka
14 οὖν om. La  ἢ om. K  18 τε] γὰρ K  19 αὐτοῦ a  20 αἱ om. K  post ἧς add. καὶ K  21 ἄλευρα a  24 τῇ οἰκονομίᾳ K  25 τῶν τριχῶν καὶ ὁπλῶν coll. Ka  26 ἐλεύθεροι a  27 τούτοις Ia  29 ἐν ἡ πρώτῃ a  30 ἐν om. IL  31 ἐσκιαγραφῆσθαι K  32 μέν τι a
33 post λέγων add. ὑπολείμματα IL

περιττωμάτων τῆς πρώτης'. ὥσπερ γὰρ ἐν παντί, τουτέστιν ἐν πᾶσι τοῖς 55v
τοῦ ζῴου μέρεσι, τὸ μὲν γίνεται καὶ ἔστι πρότερον καὶ τιμιώτερον, οὕτω καὶ
ἐπὶ τῆς τροφῆς. ὅτι δὲ τὰ ῥόγχη καὶ αἱ ὁπλαὶ καὶ τὰ τοιαῦτα, ὅτε ἐξέλθῃ τὸ
ζῷον, οἷον ὕδωρ εἰσί, μᾶλλον δὲ μυξώδη, ὕστερον δὲ καὶ συνίστανται καὶ στερεὰ
5 καὶ τέλεια γίνονται, δῆλον τῇ αἰσθήσει. εἰπὼν δὲ ὅτι διὰ τοῦτο τὰ μὲν
ὀστᾶ οὐκ ἀεὶ λαμβάνει αὔξησιν καὶ εἰπὼν ὅτι διὰ τὸν ὅρον τοῦ τῶν ζῴων
μεγέθους (ὅσον γάρ ἐστι τὸ τῶν ὀστῶν μῆκος καὶ ὁ ὄγκος, τοσοῦτόν ἐστι 10
καὶ ἕκαστον τῶν ζῴων), ἐπειδὴ μὴ πᾶσαν τὴν αἰτίαν ἐπήγαγε τοῦ τίνος
χάριν οὐκ ἀεὶ αὔξεται τὰ ὀστᾶ, ἀλλὰ μέρος τι τῆς ὅλης αἰτίας, ἐπηγγείλατο
10 ὕστερον εἰπεῖν περὶ αὐτοῦ. ὑπολείπει δὲ ἡ τῶν τριχῶν τροφὴ ἐν τῷ
πάμπαν ἐσχάτῳ γήρει εὐλόγως· ἐπειδὴ γὰρ περίττωμά ἐστιν ἡ τοιαύτη
τροφὴ τῆς κατειργασμένης τροφῆς, ὅταν μὴ δύνηται τὴν πρώτην τροφὴν
ἀλλοιῶσαι καὶ κατεργάσασθαι, δῆλον ὡς οὐδὲν περίττωμα ἔσται, ἐξ οὗ αἱ
τρίχες τραφήσονται· εἰ δὲ τοῦτο, ἀνάγκη πίπτειν αὐτάς. ἐν ταῖς νόσοις 15
15 δὲ αἱ τρίχες αὔξονται, τὰ δ' ὀστᾶ μᾶλλον φθίνει, ὅτι συμφθίνει τῷ
σώματι.

p. 745a18 Περὶ δὲ ὀδόντων ἀπορήσειεν ἄν τις. εἰσὶ γὰρ τὴν φύσιν τὴν αὐτὴν ἔχοντες τοῖς ὀστοῖς.

Ὅτι μὲν οἱ ὀδόντες οὐκ εἰσιν ὀστᾶ, καὶ αὐτὸς προϊὼν ἐρεῖ· λέγει δὲ
20 τὴν αὐτὴν ἔχειν φύσιν τοῖς ὀστοῖς διὰ τὸ ἐκ τῆς αὐτῆς τροφῆς τρέφεσθαι 20
ἀφ' ἧς καὶ τὰ ὀστᾶ. ὥστε τὸ καὶ γίνονται ἐκ τῶν ὀστῶν ταὐτόν
ἐστι τῷ καὶ τρέφονται ἐκ τῆς αὐτῶν τροφῆς, τοῦτο δὲ ταὐτόν ἐστι τῷ
καὶ τρέφονται ἐκ τῆς τροφῆς, ἐξ ἧς καὶ τὰ ὀστᾶ, ὥσπερ αὖ ὄνυχες ὁπλαί 25
τε καὶ τὰ ὅμοια τρέφονται ἐξ ἧς καὶ τὸ δέρμα. σημεῖον δὲ τούτου
25 παρέθετο τὸ συμμεταβάλλειν τὰς χρόας. εἰ γάρ ἐστι τὸ δέρμα μέλαν, καὶ 30
οἱ ὄνυχες μέλανές εἰσι καὶ τὰ κέρατα· τῶν γὰρ Αἰθιόπων οἱ ὄνυχες μέλανες.
ἐπεὶ οὖν οἱ μὲν ὄνυχες συμμεταβάλλουσι τῷ δέρματι τὰς χρόας, οἱ δὲ 35
ὀδόντες οὐ συμμεταβάλλουσι (λευκοὶ γὰρ οἱ τῶν Αἰθιόπων) οὐκ ἐκ τῆς
αὐτῆς τρέφονται τροφῆς, ἐξ ἧς τὸ δέρμα, ἀλλ ἐξ ἧς τὰ ὀστᾶ. τὸ δὲ ἓν
30 γὰρ τῶν ὀστῶν ἐστιν, ὅσα ἔχει ὀδόντας καὶ ὀστᾶ, ἴσον ἐστὶ τῷ 40
οἱ γὰρ ὀδόντες ἕν τι γένος τῶν ὀστῶν εἰσι, τουτέστιν ἐκ τῆς αὐτῆς
τρέφονται ἀφ' ἧς καὶ τὰ ὀστᾶ τροφῆς, καὶ ἐπὶ τούτῳ οὐ συμμεταβάλλουσι 45
τῷ δέρματι. βρωτικὰ δὲ καὶ μεγάλους μὴ ἔχοντα ὀδόντας λέγει τὰ ἀδηφάγα

2 κἂν τιμιώτερον IL 3 ἐξέλθῃ scripsi: ἐξέλθει libri 3. 4 τὸ ζῷον om. K
4 μυξῶδες IL καὶ post δὲ om. Ka συνίσταται L 5 διὰ τούτων K
6 οὐκ ἀεὶ] οὐ K καὶ om. a 7 ἐστι prius om. K 8 τοῦ om. K
13 οὐδὲ Ka 14 τοῖς Ia 22 post ἐκ τῆς add. τροφῆς ἐξ ἧς καὶ τὰ ὀστᾶ (23)
sed rursus del. L αὐτῶν] τῶν ὀδόντων K: τῶν ὀστῶν a τροφῆς—ἐκ τῆς (23)
om. K 23 αὖ] οὖν IL 24 τε καὶ om. Ka τοῦτο IL: τούτων K
27 τὰς χρόας—δέρματι (33) om. IL 29. 30 ἓν γὰρ—ἐστιν libri et Arist. PYZ: ἐκ
γὰρ τῶν ὀστῶν εἰσίν Arist. vulg. 32 τούτου a συμμεταλαμβάνουσι K
33 μεγάλους scripsi: μεγάλα libri

τῶν | ζῴων. τούτων γὰρ καταθραύονται οἱ ὀδόντες διὰ τὴν βραχύτητα· 56r
βραχεῖς γὰρ ὄντες οὐ δύνανται στέγειν πρὸς οὕτω συνεχῆ καὶ διόλου 5
γινομένην λειτουργίαν. καὶ ἐπεὶ τοὺς μὲν πρὸς τὸ τέμνειν, τοὺς δὲ πρὸς
τὸ λεαίνειν τὴν τροφὴν πεποίηκε τῶν ὀδόντων ἡ φύσις, εὐλόγως τὴν
5 ὑπόλειψιν αὐτῶν πρὸς τῷ γήρει μεμηχάνηται· ὅταν γὰρ ἤδη μέλλῃ 10
θνήσκειν φυσικῶς τὸ ζῷον, τότε ὡς μηκέτι χρείαν ἔχουσα τῶν ὀδόντων
ἐᾷ αὐτοὺς πίπτειν, καὶ διὰ τοῦτο οἱ πλείους τῶν ἀνθρώπων ἐν γήρει ὀλίγους 15
ἔχουσι τοὺς ὀδόντας. τὸ γὰρ συνάγει γὰρ εἰς τὸ γῆρας καὶ τὴν
τελευτήν (λέγει τελευτὴν τὸν θάνατον) τὴν ὑπόλειψιν τῶν ὀδόντων
10 ἴσον ἐστὶ τῷ ἐᾷ τοὺς ὀδόντας ἡ φύσις πίπτειν καὶ ὑπολείπειν ἤδη ἐγγὺς 20
τοῦ θανάτου γινομένων ἡμῶν. τὸ δὲ καὶ γὰρ ἂν συνεχῆ τὴν αὔξησιν
εἶχον, ὅμως ἂν ἄχρηστοι λεαινόμενοι πρὸς τὴν ἐργασίαν ἦσαν 25
κατασκευαστικόν ἐστι τοῦ καὶ φύεσθαι πολλάκις. εἰ γὰρ καὶ συνεχῆ
τὴν αὔξησιν εἶχον, ἀλλ' ὅμως προστριβομένων ἀνάγκη ἦν λεαίνεσθαι αὐτοὺς
15 καὶ ἀμβλύνεσθαι καὶ ἀχρήστους γίνεσθαι πρὸς τὴν τῆς τροφῆς ἐργασίαν· 30
λεαινομένων δὲ καὶ ἀχρήστων γινομένων ἑπόμενον ἦν πίπτειν, φύεσθαι δὲ
ἄλλους ὀξεῖς καὶ μένειν ἄχρις ἂν ἀμβλυνθῶσιν, εἶτα πίπτειν καὶ πάλιν 35
ἄλλους φύεσθαι. τὸ δὲ διὸ καὶ πάλιν δύνανται φύεσθαι ἐκπεσόντες
οὕτω ἀναγνωστέον 'διὸ καὶ φύσαντες ἐκπίπτουσι'· τὸ γὰρ ἅπτεσθαι τῶν 40
20 ὀστῶν καὶ μὴ συμπεφυκέναι αὐτοῖς οὐκ ἔστιν αἴτιον τοῦ φύεσθαι ἐκπεσόντας,
ἀλλὰ τοῦ φύσαντας ἐκπίπτειν. εἰ μὲν γὰρ ἦσαν συνεχεῖς καὶ συμπεφυκότες
τοῖς ὀστοῖς, οὐκ ἂν ἐξέπιπτον· νῦν δὲ ἐπειδὴ ἅπτονται, ἐκπίπτουσι. τὴν δὲ 45
αἰτίαν τοῦ διὰ τί ἐκπεσόντες πάλιν φύουσιν ἐρεῖ ἐν τῷ τέ|λει τοῦ πέμπτου 56v
βιβλίου τῆς παρούσης πραγματείας. πάλιν δὲ τὸ διὸ τὴν αὐτὴν ἔχουσι
25 φύσιν ταὐτόν ἐστι τῷ ἐκ τῆς αὐτῆς τροφῆς ἀφ' ἧς τρέφονται τὰ ὀστᾶ, 5
τρέφονταί τε καὶ φύουσιν οἱ ὀδόντες. καὶ τότε, φησί, φύουσι καὶ ἀναβλαστά-
νουσιν οἱ ὀδόντες, ὅτε τὰ ὀστᾶ ἤδη ἔχει τὸν ἀριθμὸν τὸν αὐτῶν, λέγων
ἀριθμὸν τὴν σκληρότητα καὶ τὸ τέλος· μετὰ γὰρ τὸ πάντα τὰ ὀστᾶ τὴν 10
τελείαν σκληρότητα δέξασθαι, ἥπερ ἐστὶ τελειότης αὐτῶν (μαλακὰ γὰρ
30 ἐστι πρότερον καὶ διὰ τοῦτο καὶ ἀτελῆ), μετὰ τοῦτο δὴ φύονται οἱ ὀδόντες. 15
δύναταί τις τὸν ἀριθμὸν ἀκούειν καὶ τὸ ποσόν· ἔστι γὰρ τὸ καλούμενον
βρέγμα ἐκ τοῦ ἀριθμοῦ καὶ τῆς ποσότητος τῶν ὀστῶν, καὶ τότε λέγεται
τὸ ζῷον ὁ ἄνθρωπος ἔχειν τὸν ἅπαντα ἀριθμὸν τῶν ὀστῶν αὐτοῦ, ὅταν τὸ
βρέγμα συστῇ, καὶ ἀπολήψεται τὴν αὐτοῦ φύσιν· καθολικωτέρα δὲ ἡ πρώτη
35 ἐπιβολή. ὥστε ἐπειδὴ μετὰ τὸ συστῆναι τὸ βρέγμα καὶ πάντα τὰ ὀστᾶ
ἀπαρτισθῆναι καὶ τὴν τελείαν σύμπηξιν λαβεῖν καὶ σκληρότητα τότε οἱ
ὀδόντες φύονται, δῆλον ὅτι τὴν αὐτὴν αὐτοῖς τρέφονται τροφήν. καὶ τὰ 20

---

3 γινομένα (sic) a δὲ] γὰρ a 4 τοὺς ὀδόντας IL: om. a 5 et 9 ὑπόληψιν I
5 post ὅταν add. μὲν IL 6 χρείας L 7 ἐν τῷ γήρει Ka 9 λέγων Ka 10 ἐστὶ]
γὰρ IL 11 ἂν] εἰ Arist. vulg. 12 εὔχρηστοι K 13 φύρεσθαι IL¹ 16 γενο-
μένων Ka post φύεσθαι δὲ add. καὶ a 17 μέχρις K ἀμβλυθῶσιν IL: ἀμβλη-
θῶσι K 23. 24 ἐν τῷ τέλει—πραγματείας] E 8 25 ἐξ ἧς K 26 οἱ] οἷον I
καὶ τότε—ὀδόντες (27) om. IL 27 τὸν post ἀριθμὸν om. a αὐτὸν K
28 μετὰ om. a 30 καὶ post τοῦτο om. K 35 τὸ στῆναι L 36 τὴν om. L

μὲν ἄλλα ζῷα γεννᾶται ἔχοντα ὀδόντας, ὁ δ' ἄνθρωπος μὴ ἔχων· εἰ δὲ 56ᵛ
συμβῇ γεννηθέντα ἔχειν, παρὰ φύσιν ἔχει τοῦτο. λέγει δὲ ὅτι τὰ μὴ
ἀμφώδοντα πάντα ἔχει ἐν ταῖς ὑστέραις τὰς καλουμένας κοτυληδόνας·
εἰσὶ δὲ αἱ κοτυληδόνες σαρκία, σχῆμα ἔχουσαι ποτηρίου, ἐν αἷς ὥσπερ εἰς
5 ἀγγεῖα εἰσέρχεται τὸ αἷμα, ὃ λαμβάνει ὁ ὀμφαλός. πάντα μὲν οὖν τὰ μὴ
ἀμφώδοντα ἔχει τὰς κοτυληδόνας· τῶν δὲ ἀμφωδόντων ὅσων μὲν αἱ 25
ὑστέραι πρὸς ταῖς ἄλλαις φλεψὶ ταῖς πυκναῖς καὶ πολλαῖς ἔχουσι καὶ μίαν
τινὰ μεγάλην φλέβα διατείνουσαν, ταῦτα οὐκ ἔχουσι κοτυληδόνας διὰ τὸ
ἐκπληροῦν τὴν τῶν κοτυληδόνων χρείαν τὴν μεγάλην φλέβα· ὅσα δὲ τὰς
10 μὲν πολλὰς καὶ πυκνὰς ἔχει, μεγάλην δ' οὐκ ἔχει, ταῦτα ἔχει κοτυληδόνας.
ἕκαστον δὲ τῶν ἐχόντων αὐτὰς ἀνὰ μίαν ἔχει· οὐδὲν γὰρ ἔχει δύο
κοτυληδόνας. καὶ τὸ μὲν χόριόν ἐστιν ἐκτὸς πάντων, οἱ δὲ λοιποὶ δύο
ὑμένες ἐντὸς τοῦ χορίου. εὐλόγως δὲ καὶ αἱ κοτυληδόνες πρῶτον μέν εἰσι 30
μεγάλαι, κατὰ βραχὺ δὲ σμικρύνονται καὶ τέλος ἀφανίζονται. πρῶτον μὲν
15 γὰρ ἐλάττονος ὄντος τοῦ ἐμβρύου καὶ ὀλίγην λαμβάνοντος τροφὴν ἀνάγκη
τὴν κοτυληδόνα μεγάλην εἶναι, ἵνα δέχηται καὶ χωρῇ τὸ αἷμα, ὕστερον δὲ
αὐξομένου καὶ πολλὴν λαμβάνοντος τροφὴν μειοῦσθαι διὰ τὸ καὶ τὴν
εἰσερχομένην ἐν αὐτῇ τροφὴν ἐλάσσονα εἶναι τῆς πρότερον εἰσερχομένης.
φλεγμασίαν δὲ λέγει τὴν φλεγμονὴν καὶ τὸ οἴδημα τὸ γινόμενον ἐν τοῖς μέλεσιν
20 ἡμῶν διά τινα νόσον ἢ πρόσπταισμα. ἔστι γάρ, φησίν, ἐξάνθημα καὶ φλεγμονὴ 35
ἡ κοτυληδών· ὥσπερ γὰρ τὸ ἐξάνθημα καὶ ἡ φλεγμονὴ κατὰ βραχὺ
συνίσταται καὶ παύεται, οὕτω καὶ ἡ κοτυληδών. τὰ δὲ πολλὰ τῶν κολοβῶν
ζῴων, ὁμοίως δὲ καὶ τῶν ἀμφωδόντων κοτυληδόνα μὲν οὐκ ἔχει, ἔχει δ' ἀντ'
αὐτῆς μεγάλην φλέβα, ἐν ᾗ ἐρριζωμένος ὢν ὁ ὀμφαλὸς ἕλκει τὴν τροφὴν
25 ἀπ' αὐτῆς ὥσπερ καὶ ἀπὸ τῶν κοτυληδόνων.

p. 746ᵃ12 Ἐπεὶ δὲ τὰ μὲν μονοτόκα τὰ δὲ πολυτόκα τῶν τοιούτων ζῴων ἐστίν.

Τοιαῦτα ζῷα λέγει τὰ μὴ ἔχοντα κοτυληδόνας. ἐπεὶ οὖν, φησί, 40
τῶν ζῴων τῶν μὴ ἐχόντων κοτυληδόνας τὰ μέν ἐστι μονοτόκα τὰ δὲ
30 πολυτόκα, καὶ τὰ πλείω τῶν ἐμβρύων τὸν αὐτὸν ⟨τρόπον⟩ ἔχει τῷ
ἑνί, τουτέστιν ὥσπερ τὸ ἓν ἔμβρυον ἐρρίζωται καὶ προσπέφυκε τῷ ὀμφαλῷ (εἰ 45
γὰρ ὁ ὀμφαλὸς προσπέφυκε τῷ ἐμ|βρύῳ, δῆλον ὅτι καὶ τὸ ἔμβρυον τῷ 57ʳ
ὀμφαλῷ) ὥσπερ οὖν καὶ ἐπὶ τῶν μονοτόκων τὸ ἔμβρυον ἐρρίζωται ἐν τῷ
ὀμφαλῷ, ὁ δ' ὀμφαλὸς ἐν τῇ μεγάλῃ φλεβὶ τῇ ἀναλογούσῃ τῇ κοτυληδόνι,

---

1 post εἰ δὲ add. καὶ IK 2 γεννηθεὶς KL ἔχει om. Ka δὲ καὶ ὅτι a
2 et 5 μὴ om. IL 3 ἔχειν a 4 σχήματα K ἔχοντα Ka
5 λαμβάνη Ka 8 ἔχει a 11 αὐτὴν IL 13 ὑμένες ἐκτὸς τοῦ τοιούτου χορίου IK 15 ἔλαττον ὂν τὸ ἔμβρυον καὶ ὀλίγην λαμβάνον IKL 16 δέχεται a τὸ om. K 17 αὐξόμενον IKL πολλὴν] πάλιν a λαμβάνον IKL
18 ἐν αὐτῷ K ἔλαττον a προτέρας L 20 φησίν post φλεγμονὴ ponit K
25 ἀπ' αὐτοῦ K: ἐπ' αὐτῆς a 28 λέγων K 30 τρόπον addidi coll. p. 119,4
31 ἓν om. IKL 33 καὶ om. Ka ἐν om. IKL 34 ἐν om. IL

οὕτω καὶ ἐπὶ τῶν πολυτόκων ἕκαστον μὲν τῶν ἐμβρύων συμπέφυκε καὶ 57ʳ
ἐρρίζωται ἐν τῷ οἰκείῳ ὀμφαλῷ, ἕκαστος δὲ τῶν ὀμφαλῶν ἐφεξῆς ἀλλήλοις 5
ἐν τῇ εἰρημένῃ φλεβί. ἔστι δὲ τὸ τῆς λέξεως συνεχὲς καὶ τὰ πλείω τῶν
ἐμβρύων τὸν αὐτὸν τρόπον ἔχει τῷ ἑνί· πεφύκασι γὰρ τὰ ζῷα ἐκ τοῦ
5 ὀμφαλοῦ. τὰ δ' ἄλλα μεταξὺ εἴρηται.

p. 746ᵃ19 Οἱ δὲ λέγοντες τρέφεσθαι τὰ παιδία ἐν ταῖς ὑστέραις διὰ τοῦ σαρκίδιόν τι βάλλειν οὐκ ὀρθῶς λέγουσιν.

Ἦσαν οἱ λέγοντες τὰ ἔμβρυα μὴ τρέφεσθαι διὰ τοῦ ὀμφαλοῦ, ἀλλὰ 10
σάρκα τινὰ ὁμοίαν γλώσσῃ βάλλοντα ἐν ταῖς ὑστέραις ἕλκειν δι' αὐτῆς
10 τὴν τροφήν. λέγει οὖν μὴ καλῶς τοῦτο λέγειν αὐτούς· εἰ γὰρ ἦν τι 15
τοιοῦτον γλωσσίδιον ἐν τοῖς ἀνθρώποις, ἦν ἂν καὶ ἐν τοῖς ἄλλοις ζῴοις, οὐ
φαίνεται δ' οὐδὲν πλὴν τοῦ ὀμφαλοῦ. ἄλλως τε, φησίν, ἐπειδὴ πάντα τὰ
ἔμβρυα καὶ τὰ πλωτὰ καὶ τὰ πτηνὰ καὶ τὰ τῶν πεζῶν περιέχουσι λεπτοὶ 20
ὑμένες, χωρίζοντες αὐτὰ ἀπὸ τῆς ὑστέρας, πῶς οἷόν τε ἦν ἐξέρχεσθαι δι'
15 αὐτῶν σαρκίδιόν τι; εἰ γὰρ καὶ συγχωρήσει τις εἶναι τοιοῦτόν τι σαρκίδιον, 25
ὅμως ἀνάγκη κωλύεσθαι τοῖς ὑμέσι καὶ μὴ ἐᾶσθαι ἐξέρχεσθαι. ἀλλὰ μὴν
οὐδ' ἐν αὐτοῖς τοῖς ὑμέσιν ἔνεστι τοιοῦτον σαρκίδιον· τούτου γάρ ἐστι 30
δηλωτικὸν τὸ ἐν οἷς οὐδ' αὐτοῖς ἐστι τοιοῦτον οὐδέν. οὔτε οὖν ἐν
τοῖς ὑμέσιν ἐστὶ τοιοῦτον σαρκίον οὔτε διὰ τούτων, ἤγουν τῶν ὑμένων,
20 οὐδενὸς ἐνδέχεται ποιεῖσθαι τὴν ἀπόλαυσιν καὶ τὴν λῆψιν τῆς 35
τροφῆς. λείπεται ἄρα διὰ τοῦ ὀμφαλοῦ. τὰ δὲ ᾠοτοκούμενα, φησίν, ὅτι
ἔξω αὔξονται, φανερόν, καὶ γίνεται τὸ μὲν τοῦ ᾠοῦ νεοττός, τὸ δὲ τροφή· 40
εἰ δὲ τοῦτο, πῶς οἷόν τε ἐπὶ τούτων σαρκίδια λέγειν;

Οὐκ ἀδιάφορα δὲ τῷ εἴδει λέγει τὰ ἑτεροειδῆ· εἰ γὰρ ἀδιάφορος
25 Σωκράτης Πλάτωνος τῷ εἴδει, ἤγουν ὁμοειδής, τὰ οὐκ ἀδιάφορα δῆλον 45
ὡς ἑτεροειδῆ. ἐπαναλαμβάνει δὲ πάλιν ταῦτα, ἵνα τούτοις συνάψῃ τὰ 57ᵛ
περὶ τῶν ἡμιόνων. λέγει δὲ μίγνυσθαι ἐν τῇ Λιβύῃ καὶ τὰ μὴ ὁμοειδῆ
διὰ τὴν σπάνιν τοῦ ὕδατος· συναθροιζόμενα γὰρ πάντα εἰς τοὺς ἔχοντας 5
νάματα τόπους (ὀλίγοι δὲ πάμπαν οἱ τοιοῦτοι τόποι) μίγνυνται καὶ τὰ μὴ
30 ὁμογενῆ. καὶ τὰ γενόμενα ἐκ τῆς τῶν ἀνομοειδῶν ὁμιλίας καὶ τοῦ συνδυασμοῦ
πάλιν μίγνυνται καὶ γεννῶσι· τὰ γὰρ γεννηθέντα ἄρρενα καὶ θήλεα ἐκ 10
λύκου καὶ κυνὸς πάλιν αὐτὰ γεννῶσιν ἕτερα· μόνοι δὲ οἱ ὀρεῖς (λέγων
ὀρεῖς τὸν ἄρρενα ἡμίονον καὶ τὴν θήλειαν) ἐξ ἀνομοειδῶν γενόμενοι οὐ
γεννῶσι συνδυασθέντες, ἀλλὰ κἂν συμβαίῃ ποτὲ συλλαβέσθαι τὴν θήλειαν
35 ἡμίονον, οὐ τελειοῖ τὸ συλληφθέν, ἀλλ' ἀτελὲς καὶ νεκρὸν ἐκρίπτει αὐτό.

---

7 βάλλειν libri et Arist. PSZ: θάλλειν Arist. Y: βδάλλειν Arist. vulg. 9 τινὰ om. K 10 τούτου a τι] τὸ Ka 14 χωρίζον τε a αὐτὸ IL 15 σαρκὶ διόντι libri συγχωρήσειε K: συγχωρήσοι a 18 ἔνεστι Arist. 19 διὰ τοιούτων IL 24 ἑτερογενῆ a 26 ταῦτα πάλιν coll. K 27 λιβύϊ K μὴ om. a 28 ἅπαντα K 30 post τὰ add. μὲν Ka γεννώμενα a 31 μίγνυται καὶ γεννᾷ a 33 γενομένους I: γεγονότα K: γεγονότες a 34 συνδυασθέντα Ka συμβαίνει a 35 νεαρὸν IK αὐτό om. a

p. 746b16 Ἔστι δὲ τὸ πρόβλημα καθόλου μέν, διὰ τίνα αἰτίαν 57v
ἄγονον ἢ θῆλυ ἢ ἄρρεν ἐστίν.

Ὁ λέγει δυνάμει τοιοῦτόν ἐστι· τὸ παρὸν πρόβλημά ἐστι καὶ καθόλου καὶ ἐπὶ μέρους, ἐπὶ μὲν ἀνθρώπων καὶ προβάτων καὶ τῶν τοιούτων ἐπὶ μέρους, ἐπὶ δὲ τῶν ἡμιόνων καθόλου. καὶ αἱ μὲν αἰτίαι, δι' ἃς ἄνθρωποί τινες καὶ βόες καὶ πρόβατα ἄγονά ἐστι, πλείους εἰσί· καὶ γὰρ ἐκ γενετῆς, ἂν πηρωθῶσι τοὺς τόπους τοὺς πρὸς τὴν μῖξιν χρησίμους, οὗτοι δ' εἰσὶν ὄρχεις, ὑστέραι, αἰδοῖα. εἰ γὰρ ἔτι ἐν τῇ μήτρᾳ ὄντος τοῦ ἐμβρύου διά τινα νόσον καταμαρανθῇ ἡ ὑστέρα, εἰ θῆλυ ὂν τὸ ἔμβρυον τυγχάνει, ἢ τὸ αἰδοῖον ἢ οἱ ὄρχεις, εἰ ἄρρεν, ἀνάγκη ἄγονα διὰ τέλους εἶναι τὰ τοιαῦτα ζῷα· καὶ αἱ μὲν γυναῖκες, φησίν, ὧν ἂν αἱ ὑστέραι καταμαρανθεῖεν, οὐχ ἡβῶσι, τουτέστιν οὐ τριχοῦνται τὴν ἥβην, οἱ δὲ ἄρρενες οὐ γενειῶσιν, ἀλλ' εὐνουχίαι διατελοῦσιν, τουτέστιν ἀτρίχωτον ἔχουσι τὴν γένυν ὥσπερ οἱ εὐνοῦχοι. τὰ μὲν οὖν διὰ ταῦτα οὐ γεννῶσι, τοῖς δὲ προϊούσης τῆς ἡλικίας τὸ αὐτὸ συμβαίνει πάσχειν, λέγων τὸ αὐτὸ τὸ μὴ γεννᾶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἄλλοι δὲ ἐκ γενετῆς οὐδέν τι τοιοῦτον πάσχουσι, συμβαίνει δ' αὐτοῖς τὸ μὴ γεννᾶν προϊούσης τῆς ἡλικίας, καίτοι ὑγιέσι γεννηθεῖσι, διά τινα νόσον. ὥσπερ γὰρ οἱ γεννῶντες τόποι πηροῦνται καὶ ἐν τῇ μήτρᾳ ὄντων τῶν ἐμβρύων, οὕτω καὶ μετὰ τὸ γεννηθῆναι καὶ αὐξηθῆναι διά τινας νόσους· καὶ τὰ μὲν ἐκ γενετῆς εἰσιν ἀνίατα πάν|τα, 58r τῶν δὲ μετὰ τὴν γένεσιν τὰ μέν εἰσιν ἰατὰ καὶ ἰῶνται, τὰ δ' οὔ. ἀρρενωποὺς δὲ λέγει γυναῖκας τὰς θερμοτάτας, γίνονται δ' αὗται ἄγονοι διὰ τὸ μὴ ἔχειν περίττωμα διὰ τὴν πολλὴν θερμότητα· τὸ γὰρ περίττωμα διὰ ψυχρότητα γίνεται. θηλυκοὺς δὲ λέγει τοὺς ψυχροτάτους· λέγοι δ' ἂν ἴσως καὶ θηλυκοὺς τοὺς ἔχοντας οἷον αἰδοῖον θήλεος καὶ ἀρρενωποὺς τὰς οἷον ἄρρενος· ὤφθησαν γὰρ πολλοὶ τοιοῦτοι.

p. 747a3 Διόπερ εὐλόγως βασανίζεται ταῖς πείραις τό γε τῶν ἀνδρῶν, εἰ ἄγονον, ἐν τῷ ὕδατι.

Τῶν παλαιῶν ἐπειδάν τις ἤμελλε νυμφίον ἀγαγέσθαι εἰς τὴν ἑαυτοῦ θυγατέρα ἢ νύμφην εἰς τὸν υἱόν, εἰ μὲν ἦν γόνιμος, ἤγετο, εἰ δ' ἄγονος, οὐδαμῶς· διὰ παιδοποιίαν γὰρ τότε ἀλλ' οὐ πλούτου ἕνεκεν ἤγοντο τοὺς νυμφίους ἢ τὰς νύμφας. εὕρισκον δὲ καὶ ἐθήρων, εἴτε ἄγονός ἐστιν εἴτε μή, τρόπῳ καὶ πείρᾳ τοιᾳδί· λαβόντες τὸ σπέρμα τὸ τοῦ ἄρρενος ἐνέβαλλον

2 ἄρρεν ἢ θῆλυ Arist. vulg. 3 post ὁ add. δὲ IKL 4 μέρος L¹ 8 ὂν τὸ ἔμβρυον IKL 9 ὂν] ἦν a 10 ἢ τὸ—ὄρχεις post ὑστέρα (9) ponit a 12 οὐ post ἄρρενες om. I γεννῶσι K 13 εὐνοῦχοι L 15 συμβαίνειν a γεννῆσαι K 18 γεννηθήσοις a τόποι] πόροι IL 19 μητρὶ I 21 γέννησιν K 22 γίνεσθαι a 24 θηλυκὰς et τὰς ψυχροτάτας IL λέγει a 25 τὰς] τοὺς IL: om. K 29 ἄγεσθαι a 30 ἢ] καὶ IL 31 γὰρ καὶ οὐ K ἤγον ILa 32 εὕρισκε I 33 τρόπον a ἐνέβαλον Ia

εἰς ὕδωρ ψυχρόν, καὶ εἰ μὲν ἦν ἄγονος, εὐθὺς διελύετο καὶ ταχὺ διεχεῖτο 58r
καὶ ἔπλει ἐν τῷ ὕδατι ὥσπερ ἔλαιον ἢ ὥσπερ ἡ νεφέλη ἡ ἐν τοῖς οὔροις
τῶν νοσούντων, εἰ δὲ ἦν γόνιμος, ἐπυκνοῦτο καὶ ἐχώρει εἰς τὸν πυθμένα
τοῦ ἀγγείου, ἐν ᾧ ἦν τὸ ὕδωρ. καὶ τοὺς μὲν ἄνδρας οὕτως ἐβασάνι-
5 ζον, τὰς δὲ γυναῖκας ὡδί· σπόγγους ἢ ἔρια ἢ ἐκ λίνων ὑφάσματα
ἔβρεχον τῷ ἐκ ῥόδων γενομένῳ νάματι ἢ ἄλλῳ τινὶ εὐώδει ἢ δυσώδει
ὑγρῷ καὶ ἐνέβαλλον εἰς τὰ τῶν γυναικῶν ἄρθρα, αὐτά φημι τὰ αἰδοῖα, καὶ
εἰ μὲν ἀνῆλθε διὰ τοῦ θώρακος εἰς τὰς ῥῖνας ἡ ὀσμή (τοῦτο γὰρ ἐδήλωσε
διὰ τοῦ πρὸς τὸ πνεῦμα τὸ θύραθεν κάτωθεν ἄνω) ἀπεφαίνοντο γονίμους
10 αὐτὰς εἶναι (σημεῖον γὰρ τοῦτο τοῦ ἀνεῳγμένους εἶναι τοὺς πόρους δι' ὧν ἂν
ἐκ τῶν ἄνω πρὸς τὴν ὑστέραν κατέλθῃ τὸ γόνιμον καταμήνιον), εἰ δὲ μὴ
ἀνῆλθεν ἡ ὀσμή, ἀπέφασκον αὐτῆς τὸ γόνιμον· κεκλεισμένοι γάρ εἰσιν,
ἔλεγον, οἱ πόροι καὶ ἐπὶ τούτῳ οὐκ ἀνῆλθεν ἡ ὀσμή, κεκλεισμένων δ'
ὄντων οὐκ ἂν δυνηθείη χωρῆσαι δι' αὐτῶν ἄνωθεν κάτω πρὸς τὴν ὑστέραν
15 τὸ καταμήνιον· ἀλλὰ κἂν διέλθοι, δῆλον ὡς οὐ συνεστηκὸς καὶ γόνιμόν
ἐστιν, ἀλλ' ὑδατῶδες καὶ λεπτὸν καὶ ἄγονον καὶ πρὸς τούτοις ὀλίγον ἢ ὥστε
ἐξ αὐτοῦ δύνασθαι ζῷον συστῆναι. τούτοις τε οὖν τοῖς προσθέτοις ἐβασάνιζον
αὐτὰς καὶ τοῖς ἐγχρίστοις χρώμασιν. ἔγχριστα δὲ χρώματα λέγει ἅπερ
ἐναλείφουσιν αἱ ἑταῖραι ταῖς σφῶν βλεφαρίσι καὶ ταῖς ὀφρύσι πρὸς τὸ
20 μέλανας αὐτὰς ποιῆσαι. τούτοις οὖν τοῖς ἐγχρίστοις χρώμασιν ἐναλειφομένης
τῆς μελλούσης νυμφευθῆναι τοὺς ὀφθαλμούς, ἤτοι τὰς βλεφαρίδας καὶ τὰ
τῶν βλεφάρων ἄκρα, ἐν οἷς αὗται ἐρρίζωνται, εἰ μὲν ἐχρώννυτο καὶ μέλαν
ἐγίνετο τὸ ἐν τῷ στόματι τῆς νυμφευθησομένης πτύελον, γόνιμον εἶναι
αὐτὴν ἐπίστευον, εἰ δ' οὐκ ἐχρώννυτο, ἄγονον. σπερματικώτατος γὰρ ὢν
25 τῶν περὶ τὴν κεφαλὴν ὁ περὶ τοὺς ὀφθαλμοὺς τόπος, εἰ μὲν διήρχετο τὸ
χρῶμα καὶ ἐχρώννυ τὸ πτύελον, ἀνεῳγμένους εἶναι ἅπαντας τοὺς τοῦ
σώματος ἐνόμιζον πόρους καὶ πίστιν ἤδη εἶχον ἀναμφισβήτητον ὡς διίοι
ἂν καὶ τὸ γόνιμον καταμήνιον, εἰ δὲ μὴ διήρχετο, κεκλεισμένους εἶναι καὶ
συμμεμυκότας. ὅτι δὲ ἐν τῷ συνδυασμῷ μετασχηματίζονται ἐπιδήλως
30 οἱ ὀφθαλμοὶ καὶ οὔκ εἰσιν ὁποῖοι ἦσαν πρὸ τῆς ὁμιλίας, ἡ πεῖρα παρέσχε
τοῖς φιλοῦσι τὴν τῶν φυσικῶν πραγματείαν ἀκριβῆ κατάληψιν. |

---

1 εὐθὺς διελύετο καὶ om. Ka 2 ἡ post νεφέλη om. K 3 γόνιμον K
5 post ὑφάσματα add. ἢ ἄλλο τι τοιοῦτον Ka 6 γινομένῳ Ka 7 ἐνέβαλεν I
9 θύραζε a Arist. ἄνω] ἄνωθεν K ἀποφαίνονται IL 10 τοῦ] τὸ I
ἂν om. IL 11 κατέλθοι IKa 12 ἀπέφασκον] ἀπέφασκεν IL: μὴ εἶναι ἔφασκον a
αὐτοὶ K 14 δυνηθῇ K χωρίσαι K 15 διέλθοι] κατέλθῃ a
17 τοῦτό τε a 18 αὐτοὺς IL post χρώμασιν add. ἐναλείφοντες τῆς μελλούσης νυμφευθῆναι τοὺς ὀφθαλμούς K 20 χρώμασιν ἐναλείφοντες Ka 21 ταῖς μελλούσαις a post μελλούσης add. ὡς εἴπομεν K 23 νυμφευομένης IL
24. 25 exspectas σπερματικωτάτου γὰρ ὄντος—τοῦ—τόπου 24 γὰρ om. IL
26 ἐχρώννυτο K ἠνεωγμένους IK 27 δῖοι a 30 post ἦσαν add. οἱ IL
παρέσχε] παρέστησε a 31 τοῖς τῶν φυσικῶν πραγμάτων τὴν πεῖραν καὶ ἀκριβῆ φιλοῦσι κατάληψιν K πραγματείαν L: πραγμάτων a

p. 747a17 Αἴτιον δ' ὅτι ἡ τῆς γονῆς φύσις ὁμοία ἐστὶ τῇ τοῦ 58v
ἐγκεφάλου.

Τοῦτο οὐκ ἔστι κατασκευαστικόν, ὡς ἄν τῳ δόξειε μὴ ἐπισκοποῦντι τὸ ἐπιφερόμενον συμπέρασμα, τοῦ πῶς χρώννυται τὸ πτύελον, ἀλλὰ τοῦ πῶς ἀνερχομένης κάτωθεν ἐκ τῶν ἄρθρων ἄνω εἰς τὰς ῥῖνας τῆς τῶν προσθέτων ὀσμῆς δύναται γόνιμον εἶναι. αἴτιον οὖν, φησί, τοῦ ἀνερχομένης τῆς ὀσμῆς δύνασθαι κατιέναι πρὸς τὰ ἄρθρα τὸ γόνιμον καταμήνιον, ὅτι ἡ τῆς γονῆς φύσις (λέγων γονὴν ἐνταῦθα τὸ καταμήνιον), ὁμοία ἐστὶ τῇ τοῦ ἐγκεφάλου φύσει. ὡς γὰρ ὁ ἐγκέφαλος ὑγρὸν καὶ ψυχρόν, οὕτω καὶ τὸ καταμήνιον· ὑγρὸν γὰρ καὶ τοῦτο καὶ ψυχρὸν τὴν φύσιν· τὸ γὰρ θερμὸν ὅπερ ἔχει ἐπίκτητόν ἐστι. πρότερον γὰρ συναθροίζεται ἐν τῷ ὑποζώματι, ἐν ᾧ κεῖται ἡ καρδία (ταύτην γὰρ εἶπεν ἀρχὴν τῆς φύσεως) καὶ οὕτω κάτεισιν ἐν τῇ ὑστέρᾳ, κἀκεῖσε οὖν συναθροιζόμενον δέχεται τὴν θερμότητα ἐκ τῆς καρδίας ἐπίκτητον. αὕτη δὲ ἡ θερμότης ἐστὶν ἡ θρεπτικὴ καὶ αὐξητικὴ ψυχή· ἔχει γὰρ αὐτὴν καὶ τὸ καταμήνιον, ὥσπερ εἴρηκε πρότερον. ὥστε μόνῳ τῷ χρώματι διαφέρει ὁ ἐγκέφαλος τῆς γονῆς, ἤτοι τοῦ καταμηνίου· ὁ μὲν γὰρ λευκός, τὸ δὲ καταμήνιον ἐρυθρόν. γίνεται δέ ποτε καὶ λευκόν, ὥσπερ εἴρηται πρότερον, ταῖς νέαις καὶ ψυχροτέραις. τοῦτο οὖν τὸ λευκὸν καταμήνιον πάντῃ ἂν εἴη ὅμοιον τῷ ἐγκεφάλῳ, καὶ τῇ φύσει καὶ τῷ χρώματι. ἐπειδὴ οὖν, ὡς λέγομεν, τὸ καταμήνιον ὅμοιόν ἐστι τῇ τοῦ ἐγκεφάλου φύσει, ἀνάγκη αὐτὸ ἐκ τῶν ἄνωθεν τοῦ ὑποζώματος γεννᾶσθαι· εἰ δὲ τοῦτο, εἰ μέν εἰσιν ἀνεῳγμένοι οἱ τοῦ σώματος πόροι, δι' ὧν διέισι τὸ καταμήνιον, ἀνάγκη διιέναι τὰς κινήσεις τὰς ἐκ τῶν ὀσμῶν γινομένας πρὸς τὸν θώρακα, ἀπὸ δὲ τοῦ θώρακος γενέσθαι αἴσθησιν διὰ τῆς ἐκπνοῆς (ταύτην γὰρ εἶπεν ἀναπνοήν) ἐν ταῖς ῥισίν. ὥστε τῶν ὀσμῶν ἀνερχομένων πρὸς τὰς ῥῖνας διίοι ἂν καὶ τὸ καταμήνιον κάτωθεν.

p. 747a28 Λέγουσι γὰρ ἐπὶ πάντων ὁμοίως τὴν ἀπόδειξιν τῶν παρὰ τὴν συγγένειαν συνδυαζομένων.

Τοῦτο ἴσον ἐστὶ τῷ ἔδει οὖν τὰς ἀποδείξεις, ἃς λέγουσι περὶ τῶν γεννωμένων ἐκ τῆς τῶν ἀνομοίων μίξεως, μὴ ἐφαρμόζειν μόνοις τοῖς ἡμιόνοις, ἀλλ' ἁπλῶς πᾶσι τοῖς ἐξ ἀνομοίων τικτομένοις. ὁ μὲν οὖν Δημόκριτος, φησί, τῆς τῶν ἡμιόνων ἀτεκνίας τὰς αἰτίας πειρώμενος λέγειν, τοιαῦτα ἐξετραγῴδησεν· οἱ τῶν ἡμιόνων καὶ τῶν ἀρρένων καὶ τῶν θηλειῶν σπόροι

---

1 ὁμοία ἐστὶ scripsi coll. v. 8 et Arist. cod. P: ὁμοίαν ἔχει libri et Arist. SZ: ὁμοίως ἔχει Arist. vulg. 3 τῷ libri σκοποῦντι a 5 ἀνεξερχομένης a 6 προσθέτων] προϊεμένων L 8 τῆς] πᾶσα a 9 φύσει post τῇ ponit Ka 12 τὴν φύσιν IL 13 ἐκεῖσε Ka 14 ἡ post ἐστιν om. I 19 πάντῃ] πάντα a 20 ἐλέγομεν a 22 γενέσθαι a 26 διερχομένων K διΐη K: δῖοι a fort. κάτω 28 παρὰ] περὶ I 30 τῶν ὁμοίων K ἡμίοσιν Ia 32 τὴν αἰτίαν a ταῦτα a 33 ἐξετραγῴδει K: ἐξετραγῴδη a

(λέγων σπόρους τὰ ἀμφοτέρων σπέρματα), οἱ δὴ σπόροι, φησί, τούτων ἐν 58v
τῇ ἐξ ἀρχῆς συστάσει καὶ διαπλάσει τῶν τοιούτων ζῴων διὰ τὸ μὴ ἐκ
συγγενῶν γενέσθαι ἀλλ' ἐξ ἀνομοειδῶν τοιαύτης ἔτυχον φύσεως, ὥστε
διεφθάρθαι, τουτέστιν ὥστε τὸ μὲν τοῦ ἄρρενος ἐν ᾗ ἂν εἰσέλθῃ θηλείᾳ
5 φθείρειν τὸ καταμήνιον αὐτῆς καὶ ἄγονον ποιεῖν, ὁμοίως καὶ ἡ θήλεια οἷου 15
ἂν ἄρρενος δέξηται γονήν, φθείρειν καὶ ἄγονον ἀπεργάζεσθαι. ἐνίσταται οὖν
πρὸς ταύτην τὴν δόξαν καί φησιν 'εἰ τοῦτ' ἦν αἴτιον τῆς τῶν ἡμιόνων
ἀτεκνίας, ἔδει πάντα τὰ ἐξ ἀνομοιοειδῶν τικτόμενα ἄγονα εἶναι· νῦν δὲ
πάμπολλα ἐξ ἀνομοιοειδῶν γε|γονότα γεννῶσιν αὐτὰ ἕτερα, ὥσπερ εἴρηται 59r
10 τὰ ἐκ λύκου καὶ κυνὸς καὶ πέρδικος καὶ ἀλεκτρυόνος καὶ ἄλλα πλεῖστα'.

p. 747a34 Ἐμπεδοκλῆς δ' αἰτιᾶται τὸ μῖγμα τῶν σπερμάτων γίνεσθαι πυκνόν.

Ἐμπεδοκλῆς ἐν ἅπασι τοῖς σώμασι τοῖς ὑπὸ σελήνην, οἷον ὕδασιν,
ἐλαίοις καὶ τοῖς ἄλλοις, εἶναι ἔλεγεν, ὡς καὶ ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς 5
15 εἴρηκεν, ἀναμεμιγμένους πόρους καὶ ναστά, καὶ τοὺς μὲν πόρους ἐκάλεσε
κοῖλα, τὰ δὲ ναστὰ πυκνά. καὶ ὧν μέν εἰσι τὰ ναστὰ καὶ οἱ πόροι, του- 10
τέστι τὰ κοῖλα καὶ πυκνὰ σύμμετρα, ὥστε δι' ἀλλήλων χωρεῖν, τούτων
ἔφασκεν εἶναι μῖξιν καὶ κρᾶσιν, οἷον ὕδατος καὶ οἴνου, ὧν δὲ ἀσύμμετρα, 15
ἄμικτα ταῦτα ἔφασκεν εἶναι, ὥσπερ ἔλαιον καὶ ὕδωρ· φησὶ γὰρ ὕδωρ 'οἴνῳ
20 μᾶλλον ἐναρίθμιον, αὐτὰρ ἐλαίῳ οὐκ ἐθέλει'. ταῦτα λέγων κατὰ παντὸς 20
σώματος τὴν αἰτίαν τῆς τῶν ἡμιόνων ἀτεκνίας ἀποδίδου λέγων ὅτι τὰ κοῖλα
καὶ πυκνὰ τοῦ ἱππείου σπέρματος, ὁμοίως δὲ καὶ τοῦ καταμηνίου τῆς ὄνου
(ἔνεισι γὰρ κατ' ἐκεῖνον καὶ ἐν τῷ καταμηνίῳ πυκνὰ καὶ κοῖλα ὥσπερ ἐν
τῇ τοῦ ἵππου γονῇ) τὰ δὴ κοῖλα καὶ πυκνὰ ἀμφοτέρων τῶν σπερμάτων,
25 τῆς τε ὄνου καὶ τοῦ ἵππου, ὑγρὰ καὶ μαλακὰ ὄντα δύνανται διὰ τὴν μαλα- 25
κότητα μίγνυσθαι ἀλλήλοις καὶ εἰσιέναι τὰ μὲν τῆς γονῆς πυκνὰ εἰς τὰ
τοῦ καταμηνίου κοῖλα καὶ τὰ τοῦ καταμηνίου πυκνὰ εἰς τὰ τῆς γονῆς κοῖλα,
καὶ γίνεσθαι τὸ πᾶν μῖγμα σκληρὸν ἤτοι πυκνὸν ἤτοι ναστόν, ὡς μηδὲν
ὅλως εὑρίσκεσθαι ἐν αὐτῷ κοῖλον ἤτοι πόρον, ἀλλὰ τὸ πᾶν εἶναι ναστὸν
30 καὶ πλῆρες. τοῦτο δὲ παρὰ φύσιν· πᾶν γὰρ τὸ κατὰ φύσιν συνεστὸς καὶ
ὂν ἀνάγκη ἔχειν ἐν ἑαυτῷ κοῖλα καὶ πυκνά. ὥστε ἐπεὶ τὸ τοιοῦτον μῖγμα
παρὰ φύσιν, ἔτι μᾶλλον ἀνάγκη παρὰ φύσιν εἶναι τὸ ἐξ αὐτοῦ γεγονὸς καὶ
ἄγονον· τὸ γὰρ ἐκ τοῦ παρὰ φύσιν ὄντος γεγονὸς ἔτι μᾶλλον αὐτὸ παρὰ 30

---

1 σπόρους] πόρους Arist. PS 3 γίνεσθαι Ka ὁμοειδῶν L τοιαῦτα ἔτυχον φύσει IL 4 εἰσέλθοι Ka 5 τὴν θήλειαν a 6 ἄρρενι a 8 πάντως I 8 et 9 ἀνομοειδῶν Ka 11 μῖγμα τὸ τῶν Arist. P 11. 12 γενέσθαι IL, sed cf. v. 28 14 καὶ post ὡς om. a ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς] A S 15 εἴρηκεν ex εἰρήκαμεν corr. L 17 post ὥστε add. δύνασθαι Ka 18 ἀσύμμετρος L 19 φησὶ] fr. 91 Diels 20 ἀτὰρ IKL: αὐτὰς a 23 καὶ post ἐκεῖνον om. IL post ὥσπερ add. καὶ Ka 24 δὴ] δὲ IL 25 τῆς] τοῦ L: τῶν IK 28 πᾶν om. IL σκληρὸν ἤτοι om. Ka 30 παρὰ] περὶ a συνεστὼς IKa 31 ἐπειδὴ a

φύσιν ἔσται. ἀντιλέγει οὖν πρὸς ταύτην τὴν δόξαν σαφῶς λέγων μηδέπω 59r
θεάσασθαι ἡμᾶς ἐνόντα ἢ κοῖλα ἢ πυκνὰ τῷ ὕδατι καὶ τῷ οἴνῳ.

p. 747ᵇ10 Ἔτι ἐπεὶ συμβαίνει καὶ ἐξ ἵππων γενέσθαι ἵππον καὶ ἐξ ὄνων ὄνον καὶ ἐξ ἵππου καὶ ὄνου ἡμίονον ἀμφοτέρως.

Τὸ ἀμφοτέρως ἀντὶ τοῦ καὶ ἐξ ἵππου ἄρρενος καὶ ὄνου θηλείας γίνεται ἡμίονος καὶ ἐξ ὄνου ἄρρενος καὶ ἵππου θηλείας. ἐπεὶ οὖν, φησί, καὶ 35 τὸ ἐξ ἵππου ἄρρενος μαλακόν ἐστι καὶ ἐκ τῆς θηλείας ὁμοίως ἵππου, διὰ τίνα αἴτια οὐ γίνεται καὶ τὸ ἐκ τούτων μῖγμα πυκνὸν καὶ τὸ ἐκ τοῦ τοιούτου 40 μίγματος ἄγονον, ἀλλὰ μόνον τὸ ἐξ ἵππου καὶ ὄνου; |

p. 747ᵇ20 Εἰ μὲν γὰρ θάτερον ἐμίγνυτο μόνον, ἐνῆν ἂν λέγειν 59v
ὅτι θάτερον αἴτιον τοῦ μὴ γεννᾶν ὅμοιον τῇ τοῦ ὄνου γονῇ.

Ὄνον τὴν ὄνον λέγει καὶ γονὴν τὸ καταμήνιον αὐτῆς. πάμπαν δὲ βραχέως καὶ διὰ τοῦτο ἀσαφῶς ἀπήγγελται ἡ λέξις. εἴη δ' ἂν τὸ λεγό- 5 μενον τοιοῦτον· εἰ μὲν οὖν ἡμίονος εἴτε ἄρρην εἴτε θῆλυς ὁ ἐξ ἄρρενος ἵππου γεγονὼς ἢ γεγονυῖα καὶ ἐξ ὄνου θηλείας, εἰ μὲν οὖν τὸ ἐξ ἵππου ἄρρενος καὶ θηλείας ὄνου γεννηθὲν ἄγονον ἦν, τὸ δὲ ἐξ ὄνου ἄρρενος καὶ ἵππου θηλείας γόνιμον, ἦν ἂν καταιτιᾶσθαι τὸν ἄρρενα ἵππον καὶ λέγειν 'ὅτι τὰ κοῖλα τούτου ὁμοίως καὶ τὰ πυκνὰ μαλακὰ ὄντα, ὁμοίως δὲ καὶ τὰ τῆς ὄνου, γίνεται τὸ ἐκ τούτων ἄγονον· τὰ δὲ τοῦ ἄρρενος ὄνου εἰσὶν ὁμοίως τοῖς τοῦ ἵππου μαλακά, τῆς δὲ θηλείας ἵππου σκληρά, σκληρῶν 10 δὲ ὄντων οὔτε τοῖς τοῦ ἄρρενος ὄνου μαλακοῖς διδόασι χώραν εἰσιέναι διὰ τὴν σκληρότητα οὔτε τοῖς τοῦ ἄρρενος ἵππου. τούτου δ' οὕτως ἔχοντος καὶ ἐνόντων ἐν τῷ μίγματι τῷ ἐξ ἄρρενος ὄνου καὶ ἵππου θηλείας γεγονότι κοίλων καὶ πυκνῶν, ὁμοίως δὲ καὶ ἐν τῷ ἐξ ἄρρενος ἵππου καὶ θηλείας ἵππου, ἀνάγκη κατὰ φύσιν ἔχειν ταῦτα τὰ μίγματα, ὥστε καὶ τὰ ἐξ αὐτῶν γεγονότα κατὰ φύσιν ἔχειν καὶ γόνιμα εἶναι· καὶ ἐπὶ τούτῳ εἰσὶ γόνιμα τό τε ἐξ ἄρρενος ἵππου καὶ θηλείας ἵππου καὶ τὸ ἐξ ἄρρενος ὄνου καὶ 15 θηλείας ἵππου'. εἰ μὲν οὖν, ὡς εἴρηται, ἄγονον ἦν τὸ ἐξ ἄρρενος ἵππου καὶ θηλείας ὄνου, γόνιμον δὲ τὸ ἐξ ἄρρενος ὄνου καὶ θηλείας ἵππου, ἐνῆν ἂν καταιτιᾶσθαι τὸν ἄρρενα ἵππον, ἔχειν δ' αἰτίαν ἀποδιδόναι καὶ διὰ τί τὸ ἐκ τοῦ ἵππου καὶ τῆς ἵππου γεγονὸς γόνιμόν ἐστιν· ἐπεὶ δὲ καὶ τὸ ἐκ

1 ἔσται] ἔστι a: om. KL¹ μηδέν πω K 3 ἐπειδὴ Arist. γίνεσθαι Arist.
5 ἀντὶ τοῦ om. IL post θηλείας add. δὲ a 6 καὶ ἐξ ἵππου IL
7 post ὁμοίως add. καὶ IL 7. 8 διὰ—αἴτια] διὰ τί K 8 αἰτίαν a
οὐ γίνεται om. IL 12 τὴν ὄνον] τὴν θήλειαν Ka λέγειν L: λέγων I
13 βραχὺ K 14 post οὖν add. ὁ Ka εἴτε ὁ ἄρρην εἴτε ὁ θῆλυς K: εἴτε ἄρρεν εἴτε θῆλυ a ὁ et ἄρρενος om. K 15 γοῦν K τὸ ἐξ ἵππου—πολυγόνοις τρέπεται εἰς (p. 132,14) om. I 16 γεννηθὲν om. L 19 τῆς] τοῦ L
post εἰσὶν add. μὲν a 20 τοῖς om. L 21 οὔτε τῆς τοῦ L μαλακὴν L
23 τὸ ἐξ L 24 κοίλων καὶ πυκνῶν ex κοῖλον καὶ πυκνὸν corr. K θήλεος L
30 δ'] τὴν a

τοῦ ἵππου καὶ τῆς ὄνου ἄγονον, ὁμοίως δὲ καὶ τὸ ἐκ τοῦ ὄνου καὶ τῆς 59ᵛ
ἵππου (ἄγονον γὰρ καὶ αὐτό), δῆλον ὅτι καὶ τὰ τῆς θηλείας ἵππου κοῖλα
καὶ πυκνὰ μαλακά ἐστιν, ὁμοίως δὲ καὶ τὰ τοῦ ἄρρενος ὄνου. εἰ δὲ τοῦτο, 20
ἔδει καὶ τὸ ἐκ τοῦ ἵππου καὶ τῆς ἵππου ἄγονον εἶναι· ἔστι δὲ γόνιμον.
5 ὁμοίως δὲ καὶ τὸ ἐκ τοῦ ὄνου καὶ τῆς ὄνου· ἔστι δὲ καὶ τὸ ἐκ τούτων
γόνιμον. ἡ μὲν οὖν διάνοια τῆς λέξεως αὕτη· θεωρητέον δὲ καὶ αὐτήν. εἰ
μὲν γὰρ θάτερον ἐμίγνυτο μόνον τῇ τοῦ ὄνου γονῇ (οὕτω γάρ ἐστι τὸ
συνεχές) ἐνῆν ἂν λέγειν ὅτι θάτερον αἴτιον τοῦ μὴ γεννᾶν ὅμοιον.
ἔστι δὲ τὸ λεγόμενον 'εἰ μὲν οὖν θάτερον, ἤτοι τὸ τοῦ ἄρρενος ἵππου σπέρμα
10 ἐμίγνυτο τῇ γονῇ καὶ τῷ καταμηνίῳ τῆς θηλείας ὄνου (καὶ προσυπακου- 25
στέον τὸ τὸ δὲ τοῦ ἄρρενος ὄνου μὴ ἐμίγνυτο τῇ τῆς θηλείας ἵππου γονῇ)
καὶ διὰ τοῦτο τὸ μὲν ἐκ τούτων ἐστὶν ἄγονον, τὸ δὲ ἐκ τοῦ ὄνου καὶ τῆς
ἵππου γόνιμον, ἐνῆν ἂν λέγειν ὅτι θάτερον, ἤτοι ὁ ἵππος, αἴτιον τοῦ μὴ
γεννᾶν ὅμοιον, τουτέστι τοῦ ἄγονον εἶναι τὸ ἐξ αὐτῶν'.

15 p. 747ᵇ22 Νῦν δὲ οἷαπερ οὔσῃ ἐκείνῃ μίγνυται, τοιαύτῃ καὶ τῇ τοῦ συγγενοῦς.

Τουτέστι νῦν δὲ οἷα ἐστὶν ἡ γονὴ τῆς θηλείας ὄνου, ἐν ᾗ μίγνυται
τὸ τοῦ ἄρρενος ἵππου σπέρμα, τοιαύτη ἐστὶ καὶ ἡ τῆς θηλείας ἵππου· ὑγρὰ 30
γὰρ καὶ αὕτη. συγγενῆ δὲ εἶπε τὴν θήλειαν ἵππον καὶ τὸν ἄρρενα ἵππον,
20 δέον εἰπεῖν ὁμοειδῆ. ὅτι δὲ ὑγρὰ καὶ ἡ τῆς ἵππου γονή, δῆλον· εἰ γὰρ
ἦν σκληρά, ἔδει κατὰ τὸν Ἐμπεδοκλέα τὸ ἐξ αὐτῆς καὶ τοῦ ἄρρενος ὄνου
γεγονὸς ζῷον γόνιμον εἶναι.

p. 747ᵇ23 Ἔτι ἡ μὲν ἀπόδειξις ἐπ' ἀμφοτέρων εἴρηται ὁμοίως.

Τὸ λεγόμενον δυνάμει τοιοῦτόν ἐστιν· εἰ τάχα καὶ οὐκ ἀποδείκνυσιν 35
25 ὁ Ἐμπεδοκλῆς, ὅμως διὰ τὸ ἐπάγειν τὴν δοκοῦσαν αὐτῷ εἶναι ἀπόδειξιν
κατὰ ἀμφοτέρων τῶν γινομένων ἔκ τε τοῦ ἵππου καὶ τῆς ὄνου, καὶ τοῦ 40
ὄνου καὶ τῆς ἵππου, κατά γε δὴ τοῦτο καλῶς πεποίηκε. τὴν γὰρ τοιαύτην
ἀπόδειξιν ἔφασκεν ὁ Ἐμπεδοκλῆς κατὰ τῆς ἀμφοτέρων ἀτεκνίας ἁρμόττειν,
τοῦ τε ἐξ ἵππου καὶ τῆς ὄνου γεγονότος καὶ τοῦ ἐκ τοῦ ὄνου καὶ τῆς
30 ἵππου. ἀλλ' εἴπερ ἐν τῷ ἑβδόμῳ ἔτει τῆς ἡλικίας αὐτοῦ ὁ ἄρρην ἡμίονος
ὀχεύσας ἵππον θήλειαν ἢ ὄνον γεννᾷ, ὥς φασιν, εἴπερ οὖν διὰ τοῦτο δώσομεν
ἀληθῆ εἶναι τὴν Ἐμπεδοκλέους ἀπόδειξιν, ἐπὶ μόνης ἂν ἀληθεύοι τῆς 45
θηλείας ὄνου. |

---

3 ὄνου om. L 7. 8 τὸ συνέχον K 9 ἄρρενος om. L: ἵππου om. a
13 τοῦ] τὸ L 17 δὲ om. a 21 τὸν om. K ἐξ αὐτοῦ L
23 κατ' ἀμφοτέρων Arist. 28 τῆς τῶν ἀμφοτέρων a 29 ἵππου καὶ τοῦ
ὄνου KL 29. 30 τῆς ὄνου καὶ τοῦ ἵππου a 31 fort. legendum εἴπερ οὖν κατὰ
τούτου μὴ δώσομεν 32 post τὴν add. τοῦ a 33 ὄνου] exspectas ἡμιόνου

p. 747b27 Ἴσως δ' ἂν ἀπόδειξις εἶναι δόξειε πιθανὴ τῶν εἰρη- 60r
μένων λογική.

Τίς ἐστιν ἡ λογικὴ ἀπόδειξις, αὐτὸς σαφηνίζει λέγων λέγω δὲ λογικὴν τὴν καθόλου καὶ πλείοσιν ἐφαρμόζουσαν, τοιαύτη δ' ἐστὶν ἡ μὴ ἐκ τῶν οἰκείων ἀρχῶν οὖσα τοῦ πράγματος, ἀλλ' ἐκ κοινοτέρων, ὡς ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς δέδεικται. τὸ δὲ λεγόμενόν ἐστι τοιοῦτον· τῆς Δημοκρίτου καὶ Ἐμπεδοκλέους ἀποδείξεως πιθανωτέρα ἂν εἶναι δόξειεν ἡ ῥηθησομένη ἀπόδειξις. εἴη δ' ἂν ὁ ῥηθησόμενος λόγος καὶ πειρώμενος κατασκευάζειν, διὰ τί οἱ ἡμίονοι οὐ γεννῶσι, τοιοῦτος· ἐὰν γὰρ ἐκ λέοντος ἄρρενος καὶ θήλεος λέοντος, οἵπερ εἰσὶν ὁμοειδεῖς, ὁμοειδὲς γεννᾶται (λέων γάρ), ἐκ δὲ ἀνομοειδῶν ἀνομοειδές (τὸ γὰρ ἐξ ἄρρενος κυνὸς καὶ θηλείας κυνὸς γεγονὸς ἀνομοειδές ἐστι τῷ ἐκ λεόντων γεγονότι), εἰ δὴ τὸ ἐκ λεόντων γεγονὸς λέων ἐστί, τὸ δὲ ἐκ κυνῶν κύων, λείπεται ἄρα τὸ ἐκ λέοντος καὶ κυνὸς γεγονὸς μήτε λέοντα εἶναι μήτε κύνα. τοῦτο δὴ καὶ ἐπὶ τῶν ἵππων καὶ ὄνων· εἰ γὰρ τὸ ἐξ ἵππων γεγονὸς ἵππος ἐστί, τὸ δὲ ἐξ ὄνων ὄνος, τὸ ἐξ ἵππου καὶ ὄνου γεγονὸς οὔθ' ἵππος ἂν εἴη οὔτε ὄνος, ἀλλ' ἡμίονος. εἰ δέ, φασὶν οἱ τοῦτο κατασκευάζοντες, δοίημεν ἐκ τῆς μίξεως ἄρρενος ἡμιόνου καὶ θηλείας ἡμιόνου γεννᾶσθαί τι ζῷον, τί ἂν εἴη τὸ ἐκ τῶν ἡμιόνων γεγονός; ἡμίονος ἢ ἄλλο τι; ἕτερον μὲν οὖν καὶ ἀνομοειδὲς ἑαυτῶν ἐκ τῆς ἀλλήλων συνουσίας γεννῆσαι οὐ δύνανται· τὰ γὰρ γεννῶντα ἀνομοειδῆ ἑαυτοῖς πολὺ πρότερον ὁμοειδῆ γεννᾶν δύνανται, εἶθ' οὕτως ἀνομοειδῆ· τούτου γὰρ δηλωτικὸν τὸ ἕτερον γὰρ ⟨γένος⟩ οὐχ οἷόν τε διὰ τὸ ἐξ ἄρρενος καὶ θήλεος τῶν ὁμοειδῶν ταὐτὸ γενέσθαι τῷ εἴδει. ἔστι γὰρ τὸ ἕτερον γένος οὐχ οἷόν τε ἴσον τῷ ἀνομοειδὲς γὰρ οὐχ οἷόν τε εἶναι τοῖς ἡμιόνοις τὸ ἐξ αὐτῶν γεγονὸς διὰ τὸ ἐξ ὁμοειδῶν ἄρρενος καὶ θήλεος ταὐτὸ γίνεσθαι τῷ εἴδει, τουτέστιν ὁμοειδές. ἀνομοειδὲς οὖν τὸ ἐξ ἡμιόνων γεγονὸς οὐχ οἷόν τε εἶναι τοῖς γεννήσασιν αὐτὸ ἡμιόνοις. ἡμίονος δὲ ὅτι ἐξ ἵππου καὶ ὄνου γίνεται, τουτέστιν ἀλλὰ μὴν οὐδὲ ἡμίονος καὶ ὁμοειδὲς τοῖς ἡμιόνοις δύναται εἶναι τὸ ἐξ ἡμιόνων γεγονός· κεῖται γὰρ τὸν ἡμίονον ἐξ ἀνομοειδῶν γίνεσθαι. τοῦτο γὰρ πάλιν ἐδήλωσε διὰ τοῦ ἐκ δὲ τῶν ἑτέρων τῷ εἴδει ἕτερον ἐτέθη γίνεσθαι ζῷον· ἐκ γὰρ ἵππου καὶ ὄνου ἑτέρων ὄντων τῷ εἴδει ὁ ἡμίονος, ἕτερος ὢν ἵππου καὶ ὄνου. ἐπεὶ οὖν οὔτε ὁμοειδὲς ἑαυτοῖς οἱ ἡμίονοι οὔτε ἀνομοειδὲς δύνανται γεννᾶν, εἰκότως εἰσὶν ἄγονοι. λέγει οὖν ὁ Ἀριστοτέλης ἐγκαλῶν τῷ λόγῳ τούτῳ καθόλου τε

1 δὲ μᾶλλον ἂν Arist., cf. v. 7 δόξειεν Arist. P: δόξει L¹: δόξῃ K corr. L, Arist. SYZ
5. 6 ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς] A 2 6 δέδεικται] λέγεται a 7 δόξειεν scripsi: δόξῃ libri ῥηθησομένη] ῥηθήσεσθαι μέλλουσα a 9 τοιοῦτον L γὰρ om. Ka 10 εἰσὶν ὁμοειδῆ KL post ὁμοειδὲς add. αὐτοῖς a λέων scripsi: λέγων libri 11 ἀνομοειδοῦς KL ἀνομοειδές ex ἀνομοειδῆ corr. L²
16 εἴδη φασὶ a 17 τῆς om. K 18 θήλεος Ka 19 ἑαυτῶν] ἔστω L
20 post συνουσίας add. ἡμίονοι a πολλὰ L 21 post γὰρ add. ἐστὶ a
22 γένος addidi coll. v. 24 24 ἡμίοσι a itemque 27 et 29 27 αὐτῶ K
31 γίνεσθαι ex γενέσθαι corr. K

εἶναι καὶ μάτην εἰρημένον· εἰ γὰρ ἦν ἀληθές, | ἔδει καὶ τὸ ἐκ κυνὸς καὶ 60v
ἀλώπεκος ἄγονον εἶναι, ὁμοίως δὲ καὶ πάντα τὰ ἄλλα τὰ ἐξ ἀνομοειδῶν γεγονότα. τὸν μὲν οὖν τρόπον τοῦτον, τουτέστι τὸν καθόλου καὶ κοινὸν οὐ δεῖ ζητεῖν τὰς ἑκάστου αἰτίας, ἀλλ' ἐκ τῶν οἰκείων.

5 p. 748a16 Πρῶτον μὲν ἑκάτερον αὐτῶν ἐστι μονοτόκον ἐκ τῶν συγγενῶν ζῴων.

Συγγενῆ νῦν λέγει τὰ τετράποδα καὶ ζωοτόκα. μέλλων δὲ τὴν οἰκείαν 5
καὶ ἀληθῆ λέγειν δόξαν τῆς τῶν ἡμιόνων ἀτεκνίας πρῶτον ἐκτίθεται τὰ ὑπάρχοντα τοῖς ἵπποις καὶ ὄνοις, ἐξ ὧν εἰσιν ἡμίονοι, καὶ οὕτως ἐκ τούτων 10
10 συνάγει πάνυ ἐντρεχῶς τὸ αἴτιον τῆς τῶν ἡμιόνων ἀτεκνίας. φησὶν οὖν ὅτι πρῶτον μὲν ἐκ τῶν τετραπόδων καὶ ζωοτόκων μόνοι οἱ ἵπποι καὶ ὄνοι εἰσὶ μονοτόκοι· οὐδεὶς γὰρ ὄνος ἢ ἵππος ὤπται δύο τετοκυῖα· δεύτερον δὲ 15
ὅτι οὐκ ἀεὶ οὐδὲ κατὰ πάντα καιρὸν ὑπὸ τῶν ἀρρένων συλλαμβάνονται τὰ θήλεα, διὰ τὸ μὴ ἀεὶ φέρειν τὰ ἄρρενα γονήν, ἀλλ' αἱ μὲν ἵπποι ἐν ταῖς 20
15 ἰσημερίαις, αἱ δὲ ὄνοι περὶ τροπὰς θερινὰς ἡλίου ὄντος ἐν καρκίνῳ καὶ λέοντι. τρίτον ὅτι αἱ μὲν ἵπποι οὐ καταμηνιώδεις εἰσίν, ἀλλὰ πάμπαν 25
ὀλίγον φέρουσι τὸ καταμήνιον, αἱ δὲ ὄνοι ἀπουροῦσι τὸν ἀπὸ τοῦ ἄρρενος γόνον, διὸ μετὰ τὴν ὀχείαν ἀκολουθοῦντες μαστιγοῦσιν αὐτὰς καὶ τρέχειν ἀναγκάζουσιν, ὅπως μὴ σταθῶσι καὶ ἀπουρήσωσι τὸν γόνον· οὐδὲν γὰρ
20 θῆλυ τρέχον οὐρεῖν δύναται. τέταρτον δὲ ὅτι ψυχρότατος ὁ ὄνος, οὗ σημεῖα παρατίθησι λίαν σαφῆ. πωλία δὲ λέγει τὰ τῶν ὄνων τέκνα. τὸ 30
δὲ ἐν τῇ αὐτῇ γὰρ γίνεται ἐν ᾗ ἂν ὀχευθῇ ἴσον ἐστὶ τῷ ἐν τῇ αὐτῇ γὰρ ὥρᾳ γεννᾶται, ἐν ᾗ ἂν ὀχευθῇ. ἐπεὶ γὰρ ἐνιαυτὸν ὁλόκληρον (δώδεκα γὰρ μῆνας) φέρει κατὰ γαστρὸς τὸ ἔμβρυον καὶ ἡ ἵππος καὶ ἡ ὄνος, ἀνάγκη
25 τὴν ἵππον ἐν τῇ ἰσημερίᾳ ὀχευθεῖσαν πάλιν ἐν τῇ ἰσημερίᾳ γεννῆσαι, τὴν δὲ ὄνον ἐν τῷ θέρει· ἐν ταύτῃ γὰρ ὠχεύθη τῇ ὥρᾳ. τούτων οὕτω προειλημμένων σκεπτέον τίνος ἕνεκα εἴληπται ταῦτα, καὶ οὕτω τὴν λέξιν σαφηνιστέον. τὸ μὲν οὖν μονοτοκεῖν, μηδέποτε δὲ δίδυμα γεννᾶν πρὸς δεῖξιν 35
εἴληπται καὶ εὐφυΐας καὶ ἐπιτηδειότητος, ἣν ἔχουσι πρὸς τὸ εἶναι ἄγονα.
30 τὸ γὰρ μονοτοκεῖν πάνυ λαμπρὸν δεῖγμα τοῦ εὐφυΐαν καὶ ἐπιτηδειότητα ἔχειν πρὸς τὸ εἶναι ἄγονα· τὸ γὰρ ἐπιτηδείως ἔχον πρὸς τὸ γεννᾶν γεννᾷ ποτε καὶ δύο. ἀλλὰ καὶ τὸ ἐν μόναις ταῖς εἰρημέναις ὥραις, τῇ τε ἰσημερίᾳ καὶ τῷ θέρει, γεννᾶν καὶ ὀχεύεσθαι, καὶ τοῦτο διὰ τὸ ἐπιτήδειον εἶναι πρὸς τὸ μὴ γεννᾶν εἴληπται· τὰ γὰρ ἐπιτήδεια πρὸς τὸ γεννᾶν κατὰ

---

1 εἰρημένῳ a 2 ἀλώπεκος] ἵππου KL post ἀλώπεκος add. καὶ a
8 καὶ om. L 10 ἐντέχνως a 11 τῶν om. a καὶ οἱ ὄνοι a
12 ἵππος ἢ ὄνος coll. a 14 αἱ scripsi: οἱ libri 16 καταμηνιώδη a
18 τὴν om. L αὐτοὺς KL 19 σταθεῖσαι ἀπουρήσωσι a 20 οὗ scripsi: οὐ libri 20. 21 οὗ σημεῖα om. L in lac. VII fere litt. 21 σαφῶς a
29 εὐφυΐας καὶ ἐπιτηδειότητος scripsi: εὐφυΐαν καὶ ἐπιτηδειότητα libri 30 post γὰρ add. ἐπιτηδείως—γεννᾶν (31) sed rursus del. L μονοτοκεῖν in ras. K 31 ἔχειν post εὐφυΐαν (30) ponit a 33 post τοῦτο add. δὴ a

πᾶσαν ὥραν συλλαμβάνουσι τοῦ ἐνιαυτοῦ. ἀλλὰ καὶ τὸ πάνυ φέρειν ὀλίγον καταμήνιον τούτου δεικτικόν· αἰτία γὰρ ἀτεκνίας ἡ τῶν καταμηνίων σπάνις. ἀλλὰ καὶ ἡ ψυχρότης τούτου ἂν εἴη αἰτία. εἰ γὰρ καὶ θερμότερα καὶ τὸ καταμήνιον καὶ ἡ γονὴ τῶν ἵππων τῆς γονῆς καὶ τοῦ καταμηνίου τῶν ὄνων, ὅμως καὶ αὐτὰ τῇ ἑαυτῶν φύσει ψυχρά ἐστιν· οὐ γὰρ τὸ τινὸς θερμότερον ἤδη καὶ θερμόν ἐστιν. εἰ οὖν ταῦτα, οἵ τε ὄνοι φημὶ καὶ οἱ ἵπποι, τὰ κατὰ φύσιν γεγονότα (ἐξ ὁμοειδῶν γὰρ γεγόνασιν) οὕτω πάμπαν σύνεγγύς εἰσι τοῦ ἄγονα εἶναι (μόλις γὰρ καὶ ἓν δύνανται γεννᾶν), οἱ ἡμίονοι, οἷς πρὸς τοῖς εἰρημένοις ὑπάρχει καὶ τὸ παρὰ φύσιν, πῶς οὐκ ἂν εἶεν ἐξ ἀνάγκης ἄγονοι; |

p. 748a32 Σημεῖον δὲ τούτου. 61r

Σημεῖον δέ, φησί, τοῦ ψυχρὰν εἶναι τὴν τοῦ ὄνου γονὴν ὅτι ἂν μὲν ἵππος ἀναβῇ ἐπὶ τὴν προοχευθεῖσαν ὑπὸ ὄνου, οὐ φθείρει τὴν τοῦ προοχεύσαντος γονὴν διὰ τὸ θερμὸν εἶναι τὸ τοῦ ἵππου σπέρμα, ὁ δ' ὄνος φθείρει τὴν τοῦ προοχεύσαντος ἵππου διὰ ψυχρότητα. τάχα δὲ εἰ καὶ ψυχρά εἰσι τὰ περιττώματα ἑκατέρων τῶν ὄνων, τό τε τοῦ ἄρρενος καὶ τὸ τοῦ θήλεος, ὅμως ὅταν ἀλλήλοις μιχθῶσιν ὅ τε ἵππος καὶ ἡ ὄνος ἢ ὁ ὄνος καὶ ἡ ἵππος, σώζεται τὸ κύημα διὰ τὴν τοῦ ἵππου ἢ τῆς ἵππου θερμότητα, καὶ τούτου ἕνεκα τελειοῦνται τὰ ἐκ τούτων. τῷ δὲ ἄγονον δὲ προσέθηκε τὸ εἰς τελειογονίαν, διότι, ὡς εἴρηται, συλλαμβάνονταί τινες ἡμίονοι, οὐ τελειοῦσι δέ, ἀλλὰ προΐενται ἀτελῆ καὶ νεκρά. βόλον δὲ πρῶτον λέγει τὴν λεγομένην ὑπὸ τῶν πολλῶν πρωτοβολίαν, ἐξ οὗ καὶ πρωτοβόλον ἵππον ἢ ὄνον ἢ ἡμίονον ὀνομάζουσιν. ἂν οὖν εὐθύς, φησί, μετὰ τὸν πρῶτον βόλον μὴ ἄρξηται γεννᾶν ἢ ἡ ὄνος ἢ ὁ ὄνος, οὐκέτι γεννᾷ τὸ παράπαν· οὕτως ἐπὶ μικροῦ ἔχεται τοῦ ἄγονον εἶναι τὸ σῶμα τῶν ὄνων, τουτέστιν οὕτως εἰσὶ λίαν ἔγγιστα οἱ ὄνοι τοῦ ἄγονοι εἶναι. τὸ δὲ καὶ τοσοῦτον λείπει τοῦ ἄγονος εἶναι, ὅσον τὸ γενέσθαι τὸ ἐκ τούτου ψυχρότερον ἴσον ἐστὶ τῷ τοσοῦτόν ἐστι τοῦ ἄγονος εἶναι σύνεγγυς, ὥστε ἂν μικρόν τι ψυγῇ τὸ σπέρμα ἢ τὸ καταμήνιον, οὐδαμῶς κύει. ἀλλὰ καὶ τὸ ἐξ ἀμφοῖν, φησί, τῶν ὄνων γεγονὸς μικροῦ δεῖν ἄγονόν ἐστιν. ὥστ' ἐπεὶ μόλις ἓν δύναται γεννᾶν ὁ ἵππος μετὰ τῆς ἵππου καὶ ὁ ὄνος μετὰ τῆς ὄνου, εἰ προσγένηται αὐτοῖς τὸ παρὰ φύσιν, ἤτοι τὸ μιγῆναι ἵππον ὄνῳ (παρὰ φύσιν γὰρ τοῦτο) ἀνάγκη τὸ ἐκ τούτων ἄγονον εἶναι. ἄλλως τε ἐπεὶ

1 συλλαμβάνουσι] εἴληπται L 2 post τούτου add. ἐστὶ a δηλωτικόν a 3 post ψυχρότης add. πάνυ ἂν a ἂν εἴη om. a 5 αὐτὴ KL ἑαυτῆς L 15 καὶ om. KL 16 ἑκατέρων] ἔκ τε a τῶν om. L τό τε—θήλεος] τοῦ τε ἄρρενος καὶ τῆς θηλείας a 17 ὅτε a 18 θερμότητος a 19 τὸ δὲ Ka 20 ὅτι a 22 τῶν om. a 23 πρωτοβόλον K: προτοβο$^{\lambda}$ L 24 prius ἢ om. a ὁ ὄνος ἢ ἡ ὄνος a 25 τοῦ libri et Arist. P: τὸ Arist. vulg. σῶμα τὸ τῶν a 26 ἐστὶ KL$^1$ post εἰσὶ add. πάμπαν σύνεγγυς τοῦ ἄγονον εἶναι τὸ σῶμα τῶν ὄνων τουτέστιν οὕτως εἰσὶ K 28 τῷ om. L 29 ψυγῇ] ψυχθῇ ἢ a τὸ ante καταμήνιον om. a 31 μετὰ τοῦ utrobique L ὁ ante ὄνος om. L 33 ἄλλως τε scripsi: ἀλλ' ὥστε libri

ἐνιαύσιος ἡ κύησις τῶν τοιούτων, ἀνάγκη, εἰ συλλήψεται ἡμίονος, ἐνιαύσιον 45
εἶναι καὶ αὐτῆς τὴν κύησιν. τί οὖν ἂν ἐτρέφετο τὸ ἔμβρυον τὸν |
ὅλον ἐνιαυτὸν μὴ ὄντος καταμηνίου; ὥστε καὶ διὰ τοῦτο ἀναγκαῖον 61v
αὐτὰς ἀγόνους εἶναι. ταῖς οὖν ἡμιόνοις καταμήνιον οὐ γίνεται· ἂν δέ τι 5
5 συμβῇ γενέσθαι, ἄχρηστον ὂν συνεκκρίνεται μετὰ τοῦ περιττώματος τῆς
ὑγρᾶς τροφῆς. καὶ διὰ τοῦτο οὐ τῶν ἄρθρων οἱ ἡμίονοι ἄρρενες ὀσφραίνονται
τῶν θηλειῶν, ἀλλ' αὐτοῦ τοῦ περιττώματος τῆς ὑγρᾶς τροφῆς. ἐπεὶ γὰρ 10
αἱ θήλειαι ἵπποι καὶ ὄνοι τότε ὀργῶσι καὶ πρὸς τὴν τῶν ἀρρένων μῖξιν
οἰστρῶσιν, ὅτε τὰ καταμήνια ἐκ τῆς ὑστέρας, ἐν ᾗ εἰσι, πρὸς τὰ ἄρθρα 15
10 κατέλθωσιν φυσικῶς κινούμενα, ὀσφραίνονται οἱ ἄρρενες τῶν ἄρθρων τῶν
θηλειῶν· καὶ εἰ μὲν αἴσθονται ὀσμῆς, οἵα ἐστὶν ἡ τῶν καταμηνίων, γινώ-
σκουσι φυσικῶς ὅτι ὀρέγονται ὀχευθῆναι καὶ ὀχεύουσιν αὐτάς, εἰ δὲ μὴ 20
αἴσθονται, ὑποχωροῦσιν, ἅτε τῶν θηλειῶν μὴ οἰστρωσῶν. ἐπεὶ οὖν οὕτως
ἔχει, τὸ δὲ τῶν ἡμιόνων περίττωμα οὐ κάτεισι πρὸς τὰ σφῶν ἄρθρα,
15 ἀλλὰ συνεκκρίνεται τοῖς οὔροις, ὀσφραίνονται τῶν οὔρων, καὶ εἰ μὲν
αἴσθονται ὀσμῆς καταμηνίου, ὀχεύουσιν αὐτάς, εἰ δὲ μή, ἀφίστανται. ἀλλὰ
τὴν μὲν θήλειαν, φησίν, ἡμίονον συλλαβεῖν ποτε ἐνδέχεται, ἐκθρέψαι δέ
ποτε οὐκ ἐνδέχεται· ὁ δ' ἄρρην ἡμίονος μετὰ τῆς θηλείας ἵππου γεννή- 25
σειεν ἄν, βραχύτατον δὲ καὶ τὸν αὐτὸν ἔχον λόγον ἐν τοῖς ἵπποις καὶ
20 ἡμιόνοις ὂν τὰ ἀνθρωπάρια, ἃ καλοῦσι πυγμαίους, πρὸς ἡμᾶς. καλεῖται
δὲ τὸ ἐξ ἄρρενος ἡμιόνου γεννηθὲν γίννος, καὶ γίνονται ἀεὶ ἐξ ἄρρενος
ἡμιόνου γίννοι· ἐξ ἵππου δὲ καὶ ὄνου σπανίως καὶ τότε, ὅτε συμβῇ τὸ
κύημα νοσῆσαι ἐν τῇ ὑστέρᾳ, ὥσπερ καὶ τὰ μετάχοιρα ἐν τοῖς χοίροις· ὃ
γὰρ γίννος ἐν ἵπποις, τοῦτο μετάχοιρον ἐν τοῖς χοίροις. γίνεται δὲ τὸ
25 μετάχοιρον ἐν ᾧ ἂν τύχῃ χοίρῳ· οὐ γὰρ ἐν τῷδε ἢ ἐν τῷδε, ἀλλ' ἐν ᾧ 30
ἂν τύχῃ. |

---

2 καὶ om. a αὐτοῦ KL 3 ὅλον] ἅπαντα a 4 ἡμίοσι a, itemque 20 καταμήνια a 5 συγκρίνεται a 6 καὶ διά—ὑγρᾶς τροφῆς (7) om. KL ἡμίονες a 7 ἐπειδὴ a 9 post ὅτε add. καὶ a ἐκ τῆς—ἐν ᾗ] καὶ ἡ ὑστέρα ἐν ᾧ KL 13 οἰστρουσῶν a οὖν τοῦθ' οὕτως a 15 συνεκκρίνονται libri 17. 18 δέ ποτε] καὶ τελειῶσαι a 19 ἐν om. KL 22. 23 νοσῆσαι τὸ κύημα coll. Ka 23 ὃ scripsi: ὁ libri 24 τούτω a μετάχοιρος KL 25 τύχοι K 26 post τύχῃ add. ἐνταῦθα πεπλήρωται καὶ τὸ δεύτερον βιβλίον τῆς περὶ ζώων γενέσεως, καὶ ἡμῖν αἱ εἰς τοῦτο σχολαί a

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ ΤΗΣ ΠΕΡΙ ΖΩΩΝ ΓΕΝΕΣΕΩΣ ΠΡΑΓΜΑΤΕΙΑΣ. 62r

Ἐν τῷ παρόντι βιβλίῳ, τρίτῳ ὄντι τῆς Περὶ ζῴων γενέσεως πραγματείας τὴν τῶν γινομένων ἐξ ᾠῶν παραδίδωσι γένεσιν, καὶ πρῶτον τὴν τῶν ἐκ τελείων ᾠῶν γινομένων. τῶν γὰρ ᾠῶν τὰ μὲν τέλεια προΐεται, ὡς τὰ τῶν ἀλεκτορίδων καὶ πάντων τῶν πτηνῶν, τὰ δ' ἀτελῆ, ὥσπερ σχεδὸν τὰ τῶν ἰχθύων πάντων. καὶ φησὶ κατὰ μέν τι παραπλήσιον εἶναι τὴν τῶν ᾠοτοκουμένων πάντων γένεσιν ἑαυτοῖς τε καὶ τοῖς πεζοῖς, λέγων πεζὰ τὰ ζῳοτόκα. καίτοι εἰσὶ καὶ ᾠοτόκα πεζά, οἷον σαύρα καὶ ὄφις καὶ ἄλλα πλείω, ὅμως νῦν αὐτὸς πεζὰ εἶπε τὰ ζῳοτόκα ἀντιδιαστέλλων αὐτὰ πρὸς ἅπαντα τὰ ᾠοτόκα διὰ τοῦ πεζοῦ. κατά τι μὲν οὖν κοινωνοῦσιν ἀλλήλοις, κατά τι δὲ διαφέρουσι. κοινωνοῦσι μὲν κατὰ τὸν τρόπον τῆς γενέσεως τὰ ᾠοτόκα πάντα καὶ ἑαυτοῖς καὶ τοῖς ζῳοτόκοις, τοῖς μὲν ζῳοτόκοις, ὅτι καὶ αὐτὰ τὰ ζῳοτόκα ἀπὸ συνδυασμοῦ γίνεται προϊεμένου τοῦ ἄρρενος εἰς τὸ θῆλυ γονήν. κορώνη δὲ καὶ περιστερὰ κοινωνοῦσιν ἀλλήλαις καὶ ἀετῷ καὶ κόκκυϊ καὶ ὅλως πάντα τὰ ᾠοτόκα ἀλλήλοις κατὰ τὸ ἐκ συνδυασμοῦ γεννᾶν· διαφέρουσι δὲ καὶ πρὸς τὰ πεζὰ καὶ πρὸς ἑαυτὰ τῷ τὰ μὲν γεννᾶν τέλειον, τὰ δ' ἀτελές. μονόχρωμον δέ φησιν ᾠὸν τὸ ἔχον ἓν χρῶμα· γράφεται δὲ καὶ μονόχρων καὶ μονόχρωμον καὶ μο|νόχροον. λέγει δὲ καὶ ἔξωθεν λαμβάνειν 62v τὰ ᾠὰ τὴν αὔξησιν διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καὶ τὰ τελειούμενα ἔσω. καὶ ἡ αἰτία ἀμφοῖν πρόδηλος· ὡς γὰρ τῶν ζῳοτοκουμένων οὐδὲν οἷόν τε γεννῆσαι οἷον αὐτὸ πρὶν ἢ αὐξηθῇ καὶ εἰς τὴν ἐπιβάλλουσαν φυσικῶς ἔλθῃ ἡλικίαν, οὕτως οὐδὲ τῶν ᾠῶν οὐδὲν δύναται ζῷον γενέσθαι μὴ αὐξηθέν. ἀνάγκη δὲ ζῷον γίνεσθαι, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου ἕκαστον τῶν εἰδῶν,

1. 2 Σχόλια—πραγματείας rubro inscr. L: post γενέσεως add. ἀριστοτέλους K, qui haec cum extremis libri II verbis coniungit: Ἀριστοτέλους περὶ ζῴων γενέσεως μετὰ τῶν τοῦ Φιλοπόνου σχολίων βιβλίον ζ a  4 γένεσιν παραδίδωσι coll. a  4. 5 ἐκ τῶν coll. KL
5 γινομένην KL  8 τε om. KL  πεζὰ] παρὰ L  9 ὄφις] ἔχις Ka
10 εἴρηκε a  13 post μὲν add. οὖν a  14 post αὐτὰ add. καὶ Ka
18 μονόχροον a  19 καὶ ante ἔξωθεν om. Ka  ἔξω a Arist.  λαβεῖν a
20 ἤνπερ a  21 ὥσπερ γὰρ a  22 ἔλθῃ scripsi: ἔλθοι libri  23 post οὐδὲ add. ἐπὶ L

ὡς ἐνδέχεται, ἐπαπολαύῃ· ὥστε ἀνάγκη καὶ αὔξεσθαι. διὰ ταύτην τοίνυν 62v
τὴν αἰτίαν καὶ τὰ ἐντὸς καὶ τὰ ἐκτὸς τῶν ᾠῶν αὔξεται καὶ τελειοῦται. 15
ἐφιστάνειν δὲ ἀξιῶ ὅτι οὐ μόνον τὰ γόνιμα ᾠὰ καλεῖ κυήματα, ἀλλὰ καὶ
τὰ ὑπηνέμια. λέγει δὲ καὶ τὰ ὑπηνέμια γίνεσθαι τοῖς πολυγόνοις διὰ τὸ 20
5 ἔχειν πολὺ περίττωμα, τοῖς δὲ γαμψώνυξι μὴ γίνεσθαι διὰ τὸ ἔχειν τὸ
ζῆν ἐκ τοῦ θηρεύειν· ἐκ θήρας γὰρ ἔχοντες οἱ γαμψώνυχες τὸ ζῆν ἀνα- 25
λίσκει τὴν τοῦ περιττώματος φύσιν ἡ φύσις εἰς τὴν τῶν πτερῶν αὔξησιν,
ἵνα δύνωνται ταχέως πέτεσθαι. ἄλλως τε ἐπεὶ καὶ τὰ περιττώματα καὶ τὰ 30
ἐξ αὐτῶν ᾠά τε καὶ ζῷα ἐξ ὑγροῦ καὶ θερμοῦ γίνονται. τὸ δὲ τῶν γαμψω-
10 νύχων σῶμα ξηρὸν καὶ θερμόν, καὶ διὰ τοῦτο ἂν ἐλλείποι αὐτοῖς τὸ τοιοῦτον
περίττωμα· πάντα γὰρ ὅσα ἔχει πλέον περίττωμα, ὑγρότερά ἐστι τῶν ὀλίγον 35
τοῦτ' ἐχόντων. διὰ τὴν αὐτὴν δὲ ταύτην αἰτίαν καὶ τὰ μὲν γαμψώνυχα
οὔτε ὀχευτικά ἐστιν οὔτε πολύγονα. εἰ γὰρ τὰ ὀχευτικὰ ἔχει περίττωμα 40
πολύ, ἀνάγκη τὰ μὴ πολὺ ἔχοντα περίττωμα μὴ εἶναι ὀχευτικά. τοιαῦτα
15 δ' ὡς εἴρηταί εἰσι τὰ ξηρὰ καὶ θερμά, οἷον τὰ γαμψώνυχα. λέγει δὲ τὰ 45
γαμψώνυχα μὴ ὀχευτικά, οὐχ ὅτι οὐδ' ὅλως οὐκ ὀχεύουσιν, ἀλλ' ὅτι οὐ
πολλάκις καὶ καθ' ἑκά|στην ὥραν τοῦ ἐνιαυτοῦ ὥσπερ αἱ ἀλεκτορίδες καὶ 63r
περιστεραί. ὀγκώδη δέ φησιν εἶναι τὰ τῶν περιστερῶν σώματα διὰ τὴν
πολυσαρκίαν· οὐκ ἔχουσι γὰρ τὰς σάρκας ἀναλόγως τῷ σφῶν μεγέθει, ἀλλ' 5
20 ὑπερβαινούσας αὐτό. τὰ δὲ περιστερώδη μεταξύ εἰσι τῶν γαμψωνύχων καὶ
βαρέων. ᾗ μὲν γὰρ ἐοικότα τοῖς γαμψώνυξίν εἰσιν, ὀλιγοτοκοῦσι· πτητικὰ 10
γὰρ καὶ τὰ περιστερώδη, καὶ τρέπεται ἐν τούτοις ὡς ἐν τοῖς γαμψώνυξιν ἡ
καταμηνιώδης ὕλη εἰς τὴν τῶν πτερῶν αὔξησιν. ὅτι δὲ ὀλιγοτοκοῦσι, δῆλον· 15
δύο γὰρ ἀεὶ τίκτουσι, σπανίως δὲ τρία. ᾗ μὲν οὖν ἐοίκασι τοῖς γαμψώνυξι,
25 τίκτουσιν ὀλίγα, ᾗ δὲ ἔχει τὸ σῶμα αὐτῶν πλῆθος καὶ ὄγκον καὶ πολυσαρκίαν 20
(καὶ ταύτῃ γε ἐοίκασι τοῖς βαρέσι), τίκτουσι πολλάκις· τὰ πλεῖστα γὰρ καθ'
ἕκαστον μῆνα δὶς τίκτει. διά τε οὖν τοῦτο τίκτουσι πολλάκις καὶ διὰ τὸ
ῥᾳδίως τὰ περιστερώδη πορίζεσθαι τὴν τροφήν· ζῶσι γὰρ ἐκ τῶν ἐμποδών. 25
τὰ δὲ γαμψώνυχα χαλεπῶς· πᾶν γὰρ τὸ ἐκ θήρας ζῶν χαλεπῶς πορίζεται
30 τὴν τροφήν. λέγει δὲ καὶ τὰ μικρὰ τῶν ζῴων πολύγονα εἶναι ὡς καὶ 30
τῶν φυτῶν τὰ μικρά· καὶ γὰρ αὐτὰ πολυκαρπότερά εἰσι τῶν μεγάλων.
εἰπὼν δὲ ὅτι τὰ γαμψώνυχα ξηρὰ καὶ ἰσχνά, πίστιν τούτου παρέθετο τὸν
θυμόν. συλλογιστέον οὖν ὧδε· τὰ γαμψώνυχα θυμώδη, τὰ θυμώδη ἰσχνὰ

1 ἐπαπολαύῃ scripsi: ἐπαπολαύοι libri 3 ᾠὰ] τῶν ᾠῶν a 4 λέγων L
καὶ om. Ka 6 ἔγουσιν a γαμψώνυχοι L 8 πέττεσθαι a
ἄλλως τε scripsi: ἀλλ' ὥστε libri 9 ᾠά τε] ὥστε Ka καὶ post ὑγροῦ om. L
10 ἐλλείποι scripsi: ἐλλίπῃ L: ἐλλείπῃ K: καὶ ἐκλείποι a 11 ὑγρότερον a
13. 14 πολὺ ἔχει τὸ περίττωμα Ka 14 post ἔχοντα add. τὸ Ka 15 δὴ ὡς a
εἰσὶ om. K ξηρὰ in ras. L 16 post ὀχεύουσιν add. ὀχεύουσι γὰρ a
17 post πολλάκις add. ὡς L² post καὶ prius add. τὰ KL ὡς K 19 γὰρ
τὰς] δὲ L ἀναλόγους a 20 ὑπερβαίνουσιν a 22 post τρέπεται add.
καὶ Ka 26 ταύτῃ—ἐοίκασι] ταῦτά γε ἐοικότα ὄντα a 27 καὶ] οὐ KL¹
29 ἐκ τῆς θήρας a 30 ὥσπερ a 31 post γὰρ add. καὶ a πολυκαρπο-
φορώτερα Ka 32 ἰσχνά ἐστι καὶ ξηρὰ a 33 ὧδε—ἰσχνὰ καὶ ξηρὰ (p. 132,1)
ὧδε . ἰσχνὰ καὶ ξηρά . θυμώδη . γαμψώνυχα K post prius θυμώδη add. πάντα a

καὶ ξηρά, τὰ γαμψώνυχα ἄρα ἰσχνὰ καὶ ξηρά. ἔτι δὲ ὀχευτικοί εἰσιν οἱ 63r
βαρεῖς τῶν ὀρνίθων καὶ πολύγονοι καὶ διὰ τὸ ἔχειν λεπτὰ σκέλη. οὐ γὰρ 36
τρέπεται τὸ περίττωμα εἰς αὔξησιν τῶν σκελῶν· μὴ οὖσι γὰρ θηρευτικοῖς
οὐ χρεία τούτοις πάχους σκελῶν, ἀλλὰ μᾶλλον τοῖς γαμψώνυξι δεῖ τούτου·
5 θηρεύουσι γάρ, τοῖς δὲ θηρεύουσι δεῖ ποδῶν ἰσχυρῶν, ἵνα πλήττωσι γενναίως.
ἡ δὲ κεγχρὶς καὶ διὰ τὸ ἔχειν ὑγρὸν σῶμα καὶ διὰ τὸ πίνειν πολυτοκεῖ·
τὸ γὰρ ὑγρὸν μετὰ τῆς ὑπαρχούσης θερμότητος σπερματικόν· τὰ δ' ἄλλα 40
γαμψώνυχα οὐ πίνει, διότι τὸ εἶναι αὐτοῖς ἐν τῷ εἶναι ξηροῖς ἐστιν. ὥστε οὐ
δέονται ὅλως ὑγρότητος· φθείροι γὰρ ἂν ἀναμφιβόλως αὐτὰ ἡ ὑγρότης.
10 τίκτει δὲ καὶ ὁ κόκκυξ ἐν ἀλλοτρίαις νεοττιαῖς διὰ τὸ διώκεσθαι ὑπὸ πάντων
τῶν μεγάλων (δειλὸς γάρ ἐστι) καὶ μὴ ἐᾶσθαι οἰκείαν κατασκευάσαι νεοττιάν.
λέγει δὲ τὸν τρία καὶ δύο ἀριθμὸν μεταξὺ τοῦ ἑνὸς καὶ τῶν πολλῶν, εἰπὼν
νῦν ἀριθμὸν καὶ τὸν δύο.

p. 750a20 Ὅτι δὲ τοῖς πολυγόνοις τρέπεται εἰς τὸ σπέρμα ἡ τροφή,
15 φανερὸν ἐκ τῶν συμβαινόντων.

Εἰπὼν πολλάκις ὅτι ἐν τοῖς πολυγόνοις τρέπεται ἡ τροφὴ εἰς σπέρματος
γένεσιν (λέγων σπέρμα τήν τε γονὴν καὶ τὸ καταμήνιον) πιστοῦται τοῦτο 63v
ἐκ τῶν συμβαινόντων αὐτοῖς. τὰ γὰρ δένδρα, φησί, τὰ πολυκαρπήσαντα
μετὰ τὴν τῶν καρπῶν φορὰν ξηραίνεται, ὡς τῆς τροφῆς, ὑφ' ἧς ἔμελλε 5
20 ζῆν καὶ εἶναι, ἀναλωθείσης εἰς τὴν τῶν καρπῶν αὔξησιν. ὁμοίως δὲ καὶ
τὰ χέδροπα καὶ ὁ σῖτος ξηραίνεται. ἀσαφῶς δὲ τοῦτο ἐδήλωσε διὰ τὸ 10
εἰπεῖν σῖτον καὶ χέδροπα οὐκ αὐτὸν τὸν σῖτον καὶ τὰ χέδροπα, ἀλλὰ τὴν
καλάμην, ἥτις γίνεται ἄχυρον. ξηραίνεται οὖν καὶ αὕτη ἡ καλάμη καὶ
σχεδὸν σπιθαμιαία γίνεται, ὅταν οἱ στάχυες μέγιστοι γένωνται καὶ πολλοὺς 15
25 ἔχοντες πυρούς, διὰ τὸ τὴν τροφήν, ὑφ' ἧς ἡ καλάμη ηὐξῆσθαι ἔμελλε καὶ
εὐμήκης γενέσθαι, τραπῆναι εἰς τροφὴν τῶν πυρῶν καὶ αὔξησιν. ὁμοίως 20
δὲ τούτοις καὶ αἱ ἀλεκτορίδες πολυτοκήσασαι ἀποθνήσκουσιν. ὅταν δὲ τοῦτο
συμβῇ αὐτοῖς, τουτέστι τὸ πολυτοκῆσαι καὶ ἀποθανεῖν ἢ ξηρανθῆναι, λέ- 25
γουσιν αὐτὰ ὑπέρινα γενέσθαι. καὶ τί τὸ ὑπέρινον σαφηνίζων ἐπήγαγε
30 τοῦτο δ' ἐστὶ τὸ πάθος ὑπερβολὴ περιττώματος ἐκκρίσεως, 30
δυνάμει λέγων ὅτι ἀντὶ τοῦ εἰπεῖν πάθος λέγουσιν ὑπέρινον. ἔστιν οὖν τὸ
τοιοῦτον πάθος, ὃ καλοῦσιν ὑπέρινον, ὑπερβολὴ ἐκκρίσεως καὶ γενέσεως
περιττώματος. τὰ δ' ὑπηνέμια γίνεται διὰ τὸ ὑπάρχειν ἐν τῷ θήλει 35

1 ξηρά ἐστι, καὶ τὰ γαμψώνυχα a ξηρά ἐστιν. ἔτι a 2 λεπτὸν σκέλος KL
5 ποδῶν] σκελῶν a 6 κιχρὶς L¹ ὑγρὸν τὸ σῶμα a 8 διότι] διὰ τὸ a
ἐν τοῖς ξηροῖς ἐστιν a 8. 9 ὥστε οὐδ' ὅλως οὐ δέονται ὑγρότητος K 10 post
νεοττιαῖς add. ἐν γὰρ ταῖς τῶν μικρῶν στρουθῶν a διά τε τὸ a post διώκεσθαι
add. ὡς a 14 τὸ σπέρμα] hinc pergit I 17 γονὴν] τροφὴν K τοῦτο
om. IL 18 φησί om. IL 20 εἶναι in ras. L τὴν om. a
21 χῖδροπά K: χέδρωπα ubique a 26 τραφῆναι I εἰς τροφὴν bis scr. L
καὶ αὔξησιν τῶν πυρῶν coll. Ka 27 καὶ τούτοις coll. IL τοῦτο] τούτοις K
28 αὐτοῖς τουτέστι om. K 30 post περιττώματος add. ὅτι γίνεται μετὰ a
32 ὅπερ a 33 περιττώματα a

τὴν σπερματικὴν ὅλην. τουτέστι τὸ καταμήνιον καὶ τὴν ἐν αὐτῷ θρεπτικὴν καὶ αὐξητικὴν ψυχήν· διά τε οὖν τοῦτο αὐτοῖς γίνεται τὰ ὑπη- 40
νέμια καὶ διὰ τὸ μὴ προΐεσθαι θύραζε τὰ καταμήνια ὥσπερ τοῖς ζωοτόκοις τῶν ἐναίμων. πᾶσι γὰρ τοῖς ζωοτόκοις γίνεται θύραζε ἡ τῶν καταμηνίων 45
5 ἀπόκρισις, ἀλλὰ τοῖς μὲν μᾶλλον, τοῖς δὲ πάμπαν ὀλίγον· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ὅσον γε ἐπισημαίνειν. λέγει δὲ γίνε|σθαι ὑπηνέμια καὶ 64ʳ τοῖς ἰχθύσιν. ἡ δὲ γινομένη τοῖς ζωοτόκοις ἀπόκρισις τῶν καταμηνίων συνίσταται τοῖς ὄρνισι κατὰ τοὺς ἱκνουμένους χρόνους. 5
ἱκνουμένους λέγει τοὺς νενομισμένους καὶ προσήκοντας. τὸ δὲ λεγόμενον
10 ἴσον ἐστὶ τῷ ὥσπερ γὰρ τοῖς ζωοτόκοις οὐκ ἀεὶ καὶ συνεχῶς γίνεται ἡ τῶν καταμηνίων ἀπόκρισις, ἀλλ' ἐκ διαλείμματος καὶ κατά τινας νενομι- 10
σμένους καὶ ὡρισμένους χρόνους, οὕτω καὶ ἐν τοῖς ὄρνισι θύραζε μὲν πρόεσις οὐ γίνεται, γίνεται μέντοι καὶ τούτοις ἡ τοῦ καταμηνίου σύστασις ὡρισμένοις 15
χρόνοις. οὐ γίνεται δὲ καὶ τούτοις θύραζε τὰ καταμήνια διὰ τὸ ἄνω πρὸς
15 τὸ ὑπόζωμα ἔχειν τὴν ὑστέραν καὶ μὴ πρὸς τὰ ἄρθρα ὥσπερ τὰ προϊέμενα 20
θύραζε. τελειοῦσθαι δέ φησιν ἐν αὐτοῖς τὰ ᾠὰ τοῖς μεγέθεσιν· ἕως γὰρ αὔξεται καθ' ὅσον ἔδει αὐξηθῆναι, εἶθ' οὕτως ἕξεισιν. ἀλλὰ τῷ μὲν μεγέθει ἐντὸς τελειοῦνται τὰ τῶν ὀρνίθων ᾠὰ καὶ χωρὶς ἄρρενος, γόνιμα δὲ δίχα ἄρρενος οὐ γίνονται. τοῖς δὲ γαμψώνυξιν οὐ γίνεται ὑπηνέμια διά τε τὸ
20 ὀλίγον ἔχειν, ὡς εἴρηται, τὸ περίττωμα καὶ διὰ τὸ δεῖσθαι τοῦ ἄρρενος πρὸς τὴν ὁρμὴν τῆς τοῦ περίττωματος ἐκκρίσεως· τὸ γὰρ τοῦ ἄρρενος εἰσελθὸν ἕλκει καὶ ἐκκαλεῖται καταμήνιον ὑπὸ τῆς ἐν αὐτῷ ψυχικῆς θερ- 25
μότητος. πλείω δέ, φησί, γίνεται τὰ ὑπηνέμια τῶν γινομένων γονῶν, λέγων γονὰ τὰ ᾠὰ τὰ πρὸς γένεσιν νεοττῶν ἐπιτήδεια· εἰσὶ δὲ ἐλάττω τὰ
25 ὑπηνέμια κατὰ τὸ μέγεθος τῶν γονίμων, διότι πλείω τὸν ἀριθμόν. ἀφελοῦσα γὰρ ἡ φύσις ἀπὸ τοῦ μεγέθους προσέθηκε τῷ ἀριθμῷ καὶ πεποίηκεν αὐτὰ πολλὰ καὶ μικρά, τὰ δὲ γόνιμα ὀλίγα μέν, μεγάλα δέ. καὶ ὅτι μὲν χωρὶς ἄρρενος οὔτε τὰ τῶν ὀρνίθων οὔτε τὰ τῶν ἰχθύων γόνιμα γίνεται, ἱκανῶς ὦπται· 30
εἰ δὲ γίνεται κυήματα ἐν τοῖς ἰχθύσι [γόνιμα] χωρὶς ἄρρενος, οὐχ ἱκανῶς
30 τεθεώρηται· δοκεῖ γὰρ τοῦτο συμβαίνειν ἐπὶ τῶν ἐρυθρίνων διὰ τὸ ἅμα τῷ γεννηθῆναι ἔχειν αὐτῶν ἐνίους ᾠά.

p. 750ᵇ32 Ὅλως δὲ ἐν τοῖς ὄρνισιν οὐδὲ τὰ γινόμενα διὰ τῆς ὀχείας ᾠὰ θέλει ὡς ἐπὶ τὸ πολὺ λαμβάνειν αὔξησιν.

Εἰπὼν ὅτι μὲν οὔτε τὰ τῶν ὀρνίθων οὔτε τὰ τῶν ἰχθύων ᾠὰ τελει-
35 οῦνται πρὸς τὴν γένεσιν καὶ γόνιμα γίνεται δίχα τῶν ἀρρένων, ἱκανῶς 35

5 τοῖς μὲν πάμπαν τοῖς δὲ ὀλίγον K 8 χροῦς a 11 κατά τινας] διὰ τοὺς a
12 θύραζε] τῶν θυραζομένων a 13 σύστασις post ἡ ponit K 14 καὶ om. Ka
17 καθ' ὅσον] πᾶν ὅσον Ka 18 τελειοῦται a post χωρὶς add. τοῦ a
20 ὥσπερ a 23 γονῶν γινομένων coll. Arist. PSYZ: γόνῳ γινομένων Arist. vulg.
24 τὰ ᾠὰ] ζῶα Ka 25 μεγέθει a 28 γόνιμα—ἰχθύων (34) om. IL
29 γίνονται a γόνιμα delevi 31 ἐνίοτε a 32 γινόμενα scripsi ex Arist. coll. p. 134,3: γόνιμα K

ῶπται', πιστοῦται τοῦτο καὶ διὰ τῶν παρόντων, δυνάμει λέγων 'τοσοῦτόν ἐστι χρεία τῶν ἀρρένων πρὸς τὸ γόνιμα γίνεσθαι τὰ ᾠά, ὅτι οὐδὲ τὰ ἐξ ὀχείας γινόμενα θέλει ὡς ἐπὶ τὸ πολὺ λαμβάνειν αὔξησιν'. εἰ γάρ τις ἀλεκτρυών (ἔστω γὰρ ἐπὶ τούτων καὶ τῶν ἀλεκτορίδων ὁ λόγος) εἰ δή τις ἀλεκτρυὼν ὀχεύσῃ ἀλεκτορίδα ἅπαξ. εἰτά τις αὐτὴν ἀπαγάγῃ εἰς χωρίον, ἐν ᾧ ἀλεκτρυόνες οὐκ εἰσιν, ὡς μὴ δὶς πάντως | ὀχευθῇ, ἀπὸ μὲν τῆς 64v ἅπαξ γεγονυίας ὀχείας συνέστησαν πάμπολλα ᾠὰ σμικρὰ τὸ μέγεθος ὥσπερ εἰ κέγχρος ἢ καὶ μείζονα κέγχρου ἴσα κυάμοις, μένουσι δ' ἐν τῷ αὐτῷ ἕκαστον μεγέθει, λέγω δὴ τῷ κεγχριαίῳ ἢ κυαμιαίῳ μηδ' ὅλως ἐπιδόντα εἰς μείζονα ὄγκον καὶ μέγεθος. εἰ δ' ἐάσει αὐτὴν μετὰ τοῦ ἀλεκτρυόνος καὶ ὀχεύεται καθ' ἑκάστην, αὔξονται διὰ τὸ ὡς προείρηται δύνασθαι τὴν ἀπὸ τοῦ ἄρρενος ἔκκρισιν καὶ γονὴν εἰσελθοῦσαν ἐν τῷ θήλει ἕλκειν καὶ ἐκκαλεῖσθαι καταμήνιον, ὑφ' οὗ τρεφόμενα αὐξάνει. ὥστε, εἴπερ ὡς ἐπὶ τὸ πλεῖστον οὐδὲ αὔξησιν δύναται λαβεῖν χωρὶς τῶν ἀρρένων, πολλοῦ δεῖ γόνιμα γενέσθαι δίχα τῆς ἀπ' αὐτῶν ἀποκρίσεως. τὸ δὲ ὡς ἐπὶ τὸ πολὺ πρόσκειται. διότι αὔξονται καὶ χωρὶς τῶν ἀρρένων, εἰ τύχῃ ὂν θερμότερον καὶ ὑγρότερον τὸ τοῦ θήλεος σῶμα. τέως δ' οὖν ὀλιγάκις τοῦτο συμβαίνει, ὡς ἐπὶ τὸ πολὺ δὲ ἐκείνως φιλεῖ γίνεσθαι. εἰπὼν δὲ ὅτι ὅταν ἅπαξ ὀχευθῇ τὰ ὄρνεα, σχεδὸν πάντα αἰεὶ διατελεῖ τὰ ᾠὰ ἔχοντα, μικρὰ δὲ πάμπαν, ἐπήγαγεν ὅπερ συνεωρακότες τινὲς λέγουσιν, ὅτι τὰ ὑπηνέμια οὐκ εἰσιν ὑπηνέμια, ἀλλ' ὑπολείμματα τῆς προτέρας ὀχείας, κατὰ βραχὺ δὲ αὐξηθέντα. ὅτι δὲ γίνονται ᾠὰ καὶ χωρὶς ὀχείας, πιστοῦται ἐκ τῶν ἡμέρων περδίκων, οὓς οἱ θηρευταὶ ἄγουσιν εἰς τὰς θήρας καὶ μετὰ τούτων καί τινων τριχῶν καὶ παττάλων βραχυτάτων θηρεύουσι τοὺς ἀγρίους πέρδικας. αὗται οὖν αἱ ἥμεροι πέρδικες εἰ μὲν τύχωσιν οὖσαι ὠχευμέναι καὶ πλήρεις ᾠῶν. ἐπειδὰν ἀκούσωσι τῶν ἀγρίων ἀρρένων κακκαβιζόντων ἢ στρουθιζόντων, εὐθὺς ἅμα τῷ ἀκοῦσαι τίκτουσιν· εἰ δέ γε ἀνόχευτοι ὦσιν, εὐθὺς πληροῦνται τῶν καλουμένων ὑπηνεμίων. ὥστε ψεῦδος ὅτι οὐδὲ γίνονται ὑπηνέμια, ἀλλὰ πάντα ἐξ ὀχείας· αἱ γὰρ τοιαῦται πέρδικες ἐκ μόνης τῆς φωνῆς πληροῦνται. αἴτιον δέ, φησί, τοῦ ἀπὸ μόνης τῆς φωνῆς ἢ τοῦ ὀσφρανθῆναι τῶν ἀρρένων πληροῦσθαι ἢ τίκτειν ὅπερ καὶ ἐπὶ τῶν ἀνθρώπων καὶ ἐπὶ τῶν τετραπόδων. ὥσπερ γάρ τινες τῶν ἀνθρώπων, ἂν τύχωσιν ὀργῶντες, τουτέστιν ἔχοντες τὸ σῶμα πάμπαν δεόμενον μίξεως, ἅμα τῷ

1 post πιστοῦται add. δὲ IL 3 τὸ om. IL 3. 4 εἰ δή τις a 4. 5 εἰ γάρ τις IL 5 ὀχεύσῃ scripsi: ὀχεύσει libri ἅπαξ] τινὰ a αὐτὰ a ἀπαγάγοι a χῶραν a 6 ὡς μὴ δὶς] ἵνα μὴ διὰ a 7 ἐγγεγονυίας K συνέστησε IL μεγέθη a 8 μείζω K 9 κεγχριαίνω I ἢ τῷ κυαμιαίῳ K ἐπιδιδόντα a 12 post ἄρρενος add. τοὺς sed rursus del. L ἀπόκρισιν Ka 14 δύνασθαι a 16 εἰ] ἂν a 17 τούτου a 18 ὅτι om. I: ἐπεὶ Ka ἅπαξ om. KL 19 ὄρνεα] ἄρρενα a αἰεὶ] μὲν K τὰ ᾠὰ libri et Arist. S: τὰ om. Arist. vulg. 20 πάμπαν] πάντα K 21 πρώτης a 22 καὶ ᾠὰ coll. IL 23 ἃς a θηραταὶ K 26 κακαβιζόντων IL 28 οὐδὲν Ka 31 post ἀρρένων add. αἴτιον δὲ τοῦ ἀπὸ τούτων μόνων IL πληροῦνται ἢ τίκτουσιν a 31. 32 ἀνθρώπων καὶ τῶν Ka

ἰδεῖν γλαφυράν τινα γυναῖκα προΐενται θύραζε γονὴν ὅλως μὴ πλησιάσαντες αὐτῇ, ἀλλ' εἰ τύχῃ τῆς μὲν οὔσης ἐν | ὑψηλῷ τινι οἰκήματι καὶ ὁρώσης 65r διὰ θυρίδος, τοῦ δὲ ἰδόντος αὐτὴν ἐν τῇ ὁδῷ ἱσταμένου, τινὲς δὲ τούτων καὶ πλησιάζουσι μέν, ἅμα δὲ τῷ θίξαι τοῦ γυναικείου αἰδοίου τὸ σφῶν αἰδοῖον προΐενται, οὕτω καὶ αἱ εἰρημέναι πέρδικες, ἂν τύχωσιν ὀργῶσαι, πάσχουσι τὰ λεχθέντα. λέγει δὲ εἶναι τὰ τῶν ὀρνίθων ᾠὰ δίχροα διὰ τὸ ἄλλης μὲν εἶναι δυνάμεως τὸ λευκόν, ἄλλης δὲ τὸ ὠχρόν· εἰ μὲν γὰρ ἦσαν τῆς αὐτῆς φύσεως, ἢ ἄμφω λευκὰ ἂν ἦν ἢ ἄμφω ὠχρά, νῦν δὲ οὐκ ἔστι.

p. 751ᵇ1 Τὸ μὲν οὖν ἐστιν ἐγγύτερον αὐτοῦ τῆς μορφῆς τῶν μορίων γινομένων, τὸ θερμόν.

Εἰπὼν ὅτι ἑκάτερον αὐτῶν ἑτέρας ἐστὶ δυνάμεως, λέγει τίς ἐστιν ἡ ἑκάστου τούτων δύναμις. τὸ μὲν οὖν θερμόν, φησὶ λέγων θερμὸν τὸ λευκόν, ἐγγύτερον καὶ ἐπιτηδειότερόν ἐστι πρὸς τὸ δέξασθαι τὴν μορφὴν ἑκάστου τῶν τοῦ νεοττοῦ μορίων. τὸ δὲ γεωδέστερον, τουτέστι τὸ ὠχρόν, τὴν τοῦ σώματος παρέχεται σύστασιν καὶ τροφήν. ἐν μὲν γὰρ τῷ λευκῷ διαγράφεται τῇ φύσει τὰ τοῦ νεοττοῦ μόρια, ἐκ δὲ τοῦ ὠχροῦ τρεφόμενα αὔξεται καὶ τελειοῦται. λαμβάνει δὲ τὴν ἀρχὴν τὸ ζῷον ἐκ τοῦ λευκοῦ, ὅτι τὸ λευκὸν θερμόν ἐστιν, ὡς μετ' ὀλίγον δείξει, ἐν δὲ τῷ θερμῷ ἐστιν ἡ ψυχικὴ ἀρχή. καὶ τοῖς μὲν θερμοτέροις πλεῖον ἀεί, φησίν, ἐστὶ τὸ λευκὸν καὶ διακεκριμένον χωρίς (διακρίνει γὰρ αὐτὸ ἡ θερμότης καὶ ἐπιπολάζειν ποιεῖ), τοῖς δ' ἧττον θερμοῖς μᾶλλόν ἐστι πλέον τὸ ὠχρόν· ἀναμέμικται γὰρ αὐτῷ τὸ πλέον τοῦ λευκοῦ· τὸ γὰρ ἐνδεὲς τῆς θερμότητος αὐτῶν οὐκ ἠδυνήθη παντελῶς διακρῖναι τὸ λευκὸν ἀπὸ τῆς λεκίθου, λέγων λέκιθον τὸ ὠχρόν. ἐπεὶ οὖν, ὡς εἴρηται, ἀναμέμικται τῇ λεκίθῳ καὶ τῷ ὠχρῷ τὸ λευκόν, εἰκότως ἐστὶ λευκότερον τῆς τῶν θερμοτέρων λεκίθου καὶ ἧττον ὠχρόν. τὸ δὲ ᾠὸν τῶν ἰχθύων ἐστὶ μονόχροον διά τε μικρότητα (πάνυ γὰρ ὂν μικρὸν οὐκ ἠδυνήθη τὸ μὲν αὐτοῦ γενέσθαι ὠχρὸν τὸ δὲ λευκόν) καὶ διὰ τὸ πλῆθος τοῦ ψυχροῦ καὶ γεώδους, τουτέστι διὰ τὸ πλῆθος τοῦ ὠχροῦ. ἐν δὲ τῇ λέξει τῇ ἔχει γὰρ ἑκάτερον ἐξ οὗ ἔσται τῶν μορίων μόρια λέγει τὸ ὠχρὸν καὶ λευκόν. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν· ἔχει γὰρ ἑκάτερον τῶν | μορίων, τό τε λευκόν, ἐξ οὗ ἔσται ὁ νεοττός, καὶ 65v τὸ ὠχρόν, ἐξ οὗ πάλιν τραφήσεται. διὰ δὲ τὸ εἶναι, φησί, τὸ λευκὸν θερμὸν πρῶτον μὲν τὰ κυήματα τῶν ὀρνίθων, ὅτε εἰσὶ κεγχριαῖα, φαίνονται λευκὰ διὰ τὸ θερμὸν καὶ καθαρόν· τὸ γὰρ θερμότερον καὶ καθαρώτερον πρῶτον

2 τύχοι L: τύχει a 8 ἂν om. IL 9 οὐκ εἰσί a 10 ἐγγυτέρω IL, sed cf. v. 14 19 θερμῷ ἔνεστιν a 20 θερμοτέροις] θερμότης a 23 αὐτῷ scripsi: αὐτὴ IL: αὐτὸ Ka 24 λεκύθου et λέκυθον a, itemque infra 25 ante τῇ add. ἐν Ka τῷ om. K 27 ὠχρά IKL μονόχρωον IL: μονόχρουν K τε om. IL 27. 28 σμικρότητα et σμικρὸν K 28 αὐτῶ IL 30 ἑκάτερον ξὲ οὗ libri et Arist. S: ἐξ οὗ ἑκάτερον Arist. vulg. 31 λέγων IL

ἀποκρίνεταί τε καὶ συνίσταται ὑπὸ τοῦ συνιστῶντος· προϊόντα δὲ καὶ κυάμου 65v
μέγεθος ὡς εἰπεῖν λαβόντα φαίνεται ὠχρά, λευκοῦ μηδ' ὅλως ἐμφαινομένου
αὐτοῖς διὰ τὸ συμμίγνυσθαι αὐξομένων πλεῖον αἱματῶδες. τέλος δὲ ἀπο- 15
κρινομένου τοῦ θερμοῦ κύκλῳ περιίσταται τὸ λευκόν, τουτέστι
5 τέλος δ' ἀποκρίνεται τὸ λευκὸν ὑπὸ τοῦ θερμοῦ ὡς καθαρώτερον καὶ 20
λεπτότερον καὶ περιίσταται κύκλῳ. ὑγρὸν γὰρ ὂν ἅπαν τὸ μῖγμα τὸ ἐκ
λευκοῦ καὶ ὠχροῦ, καὶ πάντως ὁμοίως ζέσαν ὥσπερ τὸ ἐν τῷ λέβητι
ὕδωρ, καὶ ὁμοίως πάντοθεν ἀπεκρίθη τὸ λευκόν. καὶ ὥσπερ δὲ ἐν τῷ ἑνὶ
ᾠῷ ἐστι καὶ λευκὸν καὶ ὠχρόν, οὕτω ἄν τις πολλὰ ᾠὰ καταθραύσας τὰ
10 μὲν ὄστρακα ῥίψειε, τὰ δὲ λευκὰ καὶ ὠχρὰ τούτων πάντων ὁμοῦ συνεράσας,
τουτέστι μίξας καὶ ἀνακινήσας διαρκῶς, ὥστε μιχθῆναι τὰ λευκὰ τοῖς
ὠχροῖς καὶ ἕν τι κρᾶμα γενέσθαι, εἶτα λαβὼν εἰς κόστιν βοὸς ἢ προβάτου 25
ἢ εἰς χύτραν ἢ ἄλλο τι ἀγγεῖον ἕψει πυρί (ἔστω δὲ τὸ πῦρ μὴ πολύ, ὥστε
ἑψῆσαι καὶ πῆξαι τὸ κρᾶμα πρὸ τῆς τοῦ λευκοῦ ἀπὸ τοῦ ὠχροῦ διακρίσεως,
15 ἀλλὰ σύμμετρον), εἰ δὴ ἕψει αὐτὸ συμμέτρῳ πυρί, ἴδοι ἂν χωρισθὲν ἅπαν
τὸ ἐν τῷ κράματι λευκὸν καὶ κύκλῳ περιστάν, τὸ δὲ ὠχρὸν συναχθὲν ἐντός,
ὡς ἀτεχνῶς ἐοικέναι ἑνὶ ᾠῷ μεγάλῳ ἐντὸς μὲν ἔχοντι τὸ ὠχρόν, κύκλῳ
δὲ τὸ λευκόν. ὥστε δῆλον ὅτι τὸ λευκὸν θερμὸν καὶ κοῦφόν ἐστι, τὸ
δ' ὠχρὸν γεῶδες.

20 p. 752 a 10 Ἀποκρίνεται δὲ ἐν τοῖς ᾠοῖς ἡ τοῦ ἄρρενος ἀρχὴ καθ' ὃ προσπέφυκε τῇ ὑστέρᾳ τὸ ᾠόν.

Διὰ τούτων λέγει, ποῦ τῶν τοῦ ᾠοῦ μερῶν κεῖται ἡ ἐν αὐτῷ οὖσα 30
τοῦ ἄρρενος ἀπόκρισις, καὶ λέγει κεῖσθαι, καθ' ὃ προσπέφυκε τῇ ὑστέρᾳ,
τοῦτο δ' ἐστὶ τὸ ὀξύ. τρόπον γάρ τινα κωνοειδὲς ὂν τὸ ᾠόν, ἐν τῷ ὀξεῖ 35
25 μέρει αὐτοῦ κεῖται ἡ τοῦ ἄρρενος γονή, καὶ διὰ τοῦτο, φησί, γίνεται ἀνό-
μοιον, τουτέστιν οὐ σφαιροειδὲς τὸ ᾠόν, ἀλλὰ κωνοειδὲς καὶ ἐπὶ θάτερα ὀξύ, 40
διὰ τὸ δεῖν διαφέρειν τοῦ λευκοῦ ἐν ᾧ ἔχει τὴν ἀρχήν. ἐπειδὴ γὰρ τὸ
λευκὸν ὑγρόν, πᾶν δὲ ὑγρὸν σχηματίζεται τῷ τοῦ ἀγγείου ἐν ᾧ ἐστι σχή-
ματι, εἰ μὲν ἦν τὸ ὄστρακον τοῦ ᾠοῦ σφαιροειδές, ἦν ἂν καὶ τὸ ἐν αὐτῷ
30 λευκὸν σφαῖρα, τῆς δὲ σφαίρας οὐδὲν διαφέρει ἕτερον | ἑτέρου μόριον, ἀλλὰ 66r
πάντα ὅμοια. δεῖ δὲ διαφέρειν τὸν τόπον ἐν ᾧ μέλλει κεῖσθαι ἡ ἀρχή·
γέγονεν οὖν διὰ τοῦτο τὸ ὄστρακον ἐπὶ θάτερα ὀξύτερον καὶ ἀνόμοιον, ἵνα 5
τὸ ἐν αὐτῷ κείμενον λευκὸν ἀνόμοιον ᾖ καὶ διάφορον, ἵνα ἐν αὐτῷ πεσεῖται

1 δὲ om. IL 3 ante αὐτοῖς add. ἐν Ka πλείονος ILa αἱματῶδες scripsi: αἱματώδους libri 5 ὑποκρίνεται a 7 πάντη a 9 καὶ post ἐστι om. a κάν τις a 10 ὠχρὰ καὶ λευκὰ coll. Ka συνεράσας Ia Arist. vulg.: συνταράξας Arist. Z: συνταράξας L: συγκεράσας K 12 ἢ εἰς προβάτου K 13 ἑψήσει K: ἕψη a 14 ἑψῆσαι] συστῆσαι a 15 ἀλλὰ σύμμετρα a 21 καθ' ὃ Arist. et v. 23 ILa: καθ' ἃ h. l. ILa, et utrobique K 24 κωνοειδοῦς ὄντος τοῦ ᾠοῦ a 25 φησί—ἐπὶ θάτερα ὀξύ (26) om. L 27 ἔχειν IL 30 ἑτέρου om. K 31 κινεῖσθαι K 32. 33 ἵνα—διάφορον om. IL 33 πεσῆται a

ἡ ἀρχή· ἐπὶ τούτῳ γάρ ἐστι σκληρότερον καὶ ἰσχυρότερον τὸ ὀξὺ τοῦ ᾠοῦ. 66ᵛ διὰ τὸ δεῖν ἐν αὐτῷ φυλάττεσθαι ὥσπερ ἐν ἀκροπόλει τὴν ἀρχὴν καὶ διὰ τὸ πολὺ εἶναι ἐν αὐτῷ τὸ λευκὸν βοηθεῖν αὐτῷ. ἐξέρχεται δὲ τοῦ ᾠοῦ πρῶτον τὸ κάτω, εἶθ' οὕτως τὸ ὀξὺ διὰ τὸ προσπεφυκὸς εἶναι τὸ ὀξὺ ἐν ᾧ ἡ ἀρχὴ ἐν τῇ ὑστέρᾳ, καὶ ὕστερον ἀπολύεσθαι. ἀλλὰ καὶ ἐν τοῖς φυτοῖς, φησίν, ἀεὶ ἐν τῷ μέρει τοῦ καρποῦ, καθ' ὃ προσπεφύκασι τοῖς κλάδοις, ἐστὶν ἡ ἀρχή. ὁ γὰρ κύαμος ἐν τῷ μέρει αὐτοῦ, καθ' ὃ προσπέφυκε τῷ κελύφει τῷ περιέχοντι αὐτὸν χλωρῷ ὄντι ἔχει τὴν ἀναλογοῦσαν ἀρχὴν τῷ τοῦ ἄρρενος σπέρματι· προσπέφυκε δὲ τῷ κελύφει κατὰ τὸ μέλαν, ὃ καλοῦσιν ὄμμα τοῦ κυάμου (τοῦτο γὰρ εἶπε δίθυρον), ἐν ᾧ, ἐπειδὰν βραχῇ, ἡ βλάστη φύει· ἐν γὰρ τῷ καλουμένῳ ὄμματι ὁ βλαστὸς φύει, ὡς δηλονότι ἐνταῦθα οὔσης τῆς ἀρχῆς καὶ οὐκ ἐπὶ θάτερα. ὅτι δὲ καὶ κατὰ τοῦτο προσπέφυκεν ἐν τῷ κελύφει ὤν, δῆλον τῇ ὄψει· τὸ λοιπὸν γὰρ σῶμα ἀπολελυμένον ὁρᾶται. ἀλλὰ καὶ ἐν μόνῳ τῷ διθύρῳ φαίνεται ἔχων οἷον ἐντεριώνην τινά, ἥτις συνέχει τὸν κύαμον καὶ τὸ κέλυφος, καθάπερ καὶ τὸ νεῦρον τὸ καλούμενον ὑπὸ τῶν νεωτέρων ἰσχίον συνέχει τὸν γλουτὸν καὶ τὸ κοῖλον ὀστοῦν, ἐν ᾧ οὗτος συστρέφεται. ἔστι δὲ τὸ προσπέφυκε γὰρ ἡ ἀρχὴ τοῦ σπέρματος ἴσον τῷ προσπέφυκε γὰρ τὸ σπέρμα, οἷον εἰπεῖν φέρε ὁ κύαμος τῷ κελύφει, καθ ὃ μέρος ἑαυτοῦ ἐγκατῳκοδομημένην ἔχει τὴν ἀρχήν. τινὲς μὲν οὖν τῶν καρπῶν ὥσπερ τὰ χέδροπα προσπεφύκασι τοῖς κελύφεσιν, ἄλλοι δὲ τοῖς περικαρπίοις, οἷον τὰ μῆλα, ἄλλοι δ' αὐτοῖς τοῖς κλάδοις.

p. 752ᵃ24 Ἀπορήσειε δ' ἄν τις περὶ τῆς αὐξήσεως τῶν ᾠῶν.

Ὁ δ' οὖν ἀπορεῖ λεγόμενον, τοιοῦτόν ἐστιν· οἱ μὲν γὰρ σκώληκες, ἐπειδὰν γένωνται, διὰ τοῦ οἰκείου στόματος λαμβάνοντες τὴν τροφὴν τρέφονται ὑφ' αὑτῶν· τὰ ᾠὰ δὲ ἐν τῇ ὑστέρᾳ πῶς τρέφεται; εἰ γάρ τις λέγει ἔχειν καὶ τὰ ᾠὰ μέρος τι, ὑφ' οὗ τρέφονται, ὥσπερ τὰ ζῷα τὸν ὀμφαλόν, ἀλλὰ ποῖ τοῦτο τὸ μέρος τρέπεται τελειωθέντος τοῦ ᾠοῦ; οὐ γὰρ συνεξέρχεταί τι ὀμφαλῶδες τῷ ᾠῷ, ὥσπερ τοῖς ζῴοις οἱ ὀμφαλοί. λύει οὖν αὐτὴν σαφῶς, πλὴν ὅτι τούτου δὴ τοῦ ὑμένος κατ' ἀρχὰς ὀμφαλῶδές ἐστι κατὰ τὸ ὀξὺ περὶ τοῦ ὑμένος εἴρηται τοῦ ὕστερον γεγονότος ὄστρακον. αὐξηθέντος δέ, φησί, τοῦ ᾠοῦ περιτείνεται τὸ ὀμφαλῶδες καὶ

1 post γάρ add. καὶ Ka ἰσχυρότερον] ὀξύτερον K 3 ἐν αὐτῷ om. K post λευκὸν add. καὶ a 5 ἡ ἀρχὴ—καθ' ὃ (7) om. K 7 ἡ om. L 8 ὄντι] ὅτι IL ἔχειν K ἀνάλογον a 12 δὲ om. IL 13 ἐν om. IKL ἀπολελειμμένον IL 14 ἐντεριόνην IL: ἐντεριάνην K: ἐν περιόνην a 16 post συνέχει add. γὰρ K τὸν γλουτὸν] τὸ κυρτὸν IL 17 στρέφεται a 18 post ἴσον add. ἐστὶ K 21 κλάδοις] οἷον τὰ μέσπιλα supra scr. K 25 τρέφονται K γάρ] μέν K 27 ποῖ KLa Arist. vulg.: ποῦ I Arist. PZ πληρωθέντος K 27. 28 συνέρχεται a 28 τι] τὸ IL τῷ] ἐν τῷ a 29 αὐτὴν] αὐτὸ a τούτου δὴ τοῦ a Arist. PSY: post δὴ add. τι Arist. Z: τούτω δὴ τοῦ IL: δὴ τοιούτου τοῦ K 30 post ἐστι add. τι Arist. P

ἀναλίσκεται εἰς σύστασιν τοῦ πέρατος τοῦ ὀξέος. τὸ γὰρ πέρας τῆς τοῦ 66r
ᾠοῦ ὀξύτητος τὸ ὀμφαλῶδές ἐστι περιταθὲν πρῶτον καὶ ἀποπληρῶσαν
αὐτό, ὕστερον δὲ ὀστρακωθέν. ὑπὸ δὲ τὸν ὀστρακωθέντα ὑμένα ἐστὶν 45
ἕτερος ὑμὴν μεταξὺ τοῦ ὀστράκου καὶ τοῦ | λευκοῦ. καὶ τοῖς μὲν ζωοτο- 66v
5 κουμένοις, φησίν, ἐξελθοῦσι θύραζε ἐξ ἑτέρου μέρους παρὰ τὴν ὑστέραν
γίνεται ἡ τροφή· ἐκ τῶν μαστῶν γάρ· τοῖς δὲ ἐκ τῶν ᾠῶν γινομένοις 5
νεοττοῖς οὐκ ἐκ μέρους μὲν τῆς μητρὸς ἑτέρου δὲ παρὰ τὴν ὑστέραν ὄντος
γίνεται ἡ τροφή, ἀλλ' ἐξ αὐτοῦ τοῦ ᾠοῦ (εἰ γὰρ καὶ μέρος τῆς ὄρνιθος
τὸ ᾠόν, ἀλλ' οὐ συμπέφυκεν αὐτῇ ὥσπερ ὁ μαστὸς τοῖς ζωοτόκοις), καὶ 10
10 τὸ μὲν λευκὸν γίνεται νεοττός, τροφὴ δὲ τὸ ὠχρόν. Ἀλκμαίων δὲ ὁ Κρο-
τωνιάτης διὰ τὸ ὁρᾶν τὸ τοῦ ᾠοῦ λευκὸν ὅμοιον τῷ γάλακτι (λευκὸν γὰρ 15
τοῦτο κἀκεῖνο), εἶναι δὲ τὸ γάλα τροφήν, ἐνόμισεν ὡς καὶ ἐν τοῖς ᾠοῖς τὸ
μὲν λευκὸν τροφή ἐστι, τὸ δ' ὠχρὸν τὸ τῶν νεοττῶν σῶμα· οὐκ ἔστι δέ, 20
ὡς οὗτος ὁ Ἀλκμαίων οἴεται, τὸ λευκὸν τροφή, ἀλλὰ μᾶλλον τὸ ὠχρόν.
15 λέγει δὲ καὶ τὴν τῆς γῆς θερμότητα συμπέττειν τὰ ᾠά. εἰ δέ τινα τῶν
ᾠοτόκων, οἷον σαῦραι, νῦν μὲν ἐπῳάζουσι, νῦν δὲ φοιτῶσι δεῦρο κἀκεῖσε, 25
οὐ χάριν συμπέψεως τῶν ᾠῶν ἐπῳάζουσιν (ἀρκεῖ γὰρ πρὸς τοῦτο ἡ τῆς
γῆς θερμότης), ἀλλὰ χάριν τοῦ φυλάττειν αὐτά, ὅπως μὴ ὑπό τινος δια- 30
φθαρεῖεν. τὰ μὲν οὖν τῶν τετραπόδων καὶ ὑπὸ μόνης τῆς ὥρας πέττεται
20 διὰ τὴν ἐνοῦσαν αὐτοῖς ἰσχὺν καὶ ἐπιτηδειότητα, τὰ δὲ τῶν ὀρνέων ἐπι- 35
κηρότατα, τουτέστιν εὐφθαρτότατα, καὶ πρὸς τὸ οὔρια γίνεσθαι ἐπιτηδειότατα,
διὸ καὶ δεῖται τῆς τεκούσης. |

p. 753ᵃ7 Ἔοικε δ' ἡ φύσις βούλεσθαι τὴν τῶν τέκνων αἴσθησιν 67r
ἐπιμελητικὴν παρασκευάζειν.

25 Ἐπειδὴ γὰρ εἶπεν ὅτι φυλακῆς χάριν ἐπῳάζουσιν, ἀλλ' οὐ συμπέψεως,
ἐπάγει ἄλλην αἰτίαν διὰ τούτων, τοῦτο δυνάμει λέγων 'παρασκευάζει δὲ ἡ 5
φύσις αὐτὰ ἐπῳάζειν, ὅπως καθ' ἑκάστην ὁρῶντα καὶ αἴσθησιν τούτων
λαμβάνοντα ἐκ τῆς τοιαύτης συνηθείας στοργὴ γίνηται τούτοις τῶν τέκνων.
καὶ τὰ μὲν χείρονα φιλοῦσι τὰ ἔγγονα μέχρι τοῦ τεκεῖν, ἅμα δὲ τῷ τεκεῖν 10
30 μισοῦσιν αὐτὰ καὶ ἀποστρέφονται, ὥσπερ ὁ δασύπους καὶ οἱ ἰχθύες· ἄλλα
δὲ καὶ μετὰ τὸ τεκεῖν φιλοῦσι, μέχρις ἂν τελειωθῶσιν αὐτά, τινὰ δὲ ἐκτρέ-
φουσιν ἄχρι τινός, εἶτα μισοῦσιν ὥσπερ ἀλεκτορίς· οἱ δ' ἄνθρωποι καὶ
διὰ βίου ἀσπάζονται.' ἡ μὲν οὖν τῶν λεγομένων διάνοια αὕτη· ἡ δὲ λέξις 15

1 πέρατος] σπέρματος La 3 ἀποστρακωθέντα Ka 5 παρὰ] περὶ a
6 ἡ om. a 7 μερῶν a δὲ om. ILa παρὰ] πρὸς IL ὄντως I
9 τῶν ζωοτόκων K 16 ὠοτοκούντων L δεῦρο] τῆδε L 19 τῶν om. K
20. 21 ἐπικηρότατα libri et Arist. Z: ἐπικηρότερα Arist. vulg. 21 ἐπιτηδειότητα a
22 διὸ καὶ δεῖται] δι' οὗ καὶ δεῖται I: δι' οὗ καὶ διὰ τοῦτο K: δεῖται οὖν καὶ διὰ τοῦτο a
23 δὲ καὶ ἡ Arist. vulg. 24 ἐπιμελητὴν ex corr. K 25 ἐπῳάζουσιν om. L
26 post ἐπάγει add. καὶ Ka τοῦτο] τούτῳ a δυνάμει τοῦτο coll. K
28 γένηται Ka 30 ἀλλὰ libri 31 ante ἐκτρέφουσιν add. καὶ a 32 post
ὥσπερ add. ἡ a

ἐλλιπῶς ἡρμήνευται. εἴη δ' ἂν τὸ πλῆρες καὶ ἑξῆς αὐτῆς τοιοῦτον· ἔοικε 67r
δ' ἡ φύσις βούλεσθαι τὴν τῶν γεννώντων αἴσθησιν ἐπιμελητικὴν παρασκευάζειν τῶν τέκνων· παρασκευάζει γάρ, ὡς εἴρηται, τὰς μητέρας ὁρᾶν τὰ τέκνα, ἵνα ἐπιμελῆται αὐτῶν.

5 p. 753a15 Διόπερ καὶ μὴ ἐπῳάζουσαι αἱ θήλειαι, ὅταν τέκωσι, διατίθενται χεῖρον.

Ἐπειδὴ τὸ εἶναι καὶ τὸ τέλος τῆς ἑκάστου φύσεώς ἐστιν ἐν τῷ γεννᾶν 20
οἷον αὐτό, εἴ τις τὴν κισσῶσαν ὄρνιθα κωλύσει καὶ μὴ ἐάσει ἐπῳάσαι (πολλοὶ γὰρ βρέχουσιν αὐτὰς ὕδατι καὶ οὐκ ἐῶσιν ἐπῳάζειν) ἴστω βλάπτων 25
10 αὐτὴν ὡς ἀποτεμνόμενός τι τῆς φύσεως αὐτῆς. ὡς γὰρ εἴρηται, ἡ ὁλότης καὶ τὸ πλῆρες τῆς φύσεως αὐτῆς ἐστιν ἐν τῷ ποιῆσαι ἄλλο οἷον αὐτό ἐστιν. ἐν δὲ τῇ λέξει τῇ προσέχει γὰρ τὸ ἐν αὐτῇ θερμὸν τὸ προσέχει 30
ἴσον ἐστὶ τῷ συντηρεῖ καὶ φυλάττει. συντηρεῖ γὰρ τὸ ἐν τῇ γῇ θερμὸν ἡ ὄρνις ἐπῳάζουσα, καὶ οὐκ ἐᾷ διεξέρχεσθαι. οἱ δὲ οἶνοι ὀξύνονται ἐν 35
15 ταῖς ἀλεεινᾶις διὰ τὸ θερμαίνεσθαι ὑπὸ τῆς ὥρας τὴν ἐν αὐτοῖς ἰλύν· θερμαινομένη γὰρ καὶ κούφη γινομένη διὰ τὴν θερμότητα ἄνεισι καὶ ἀνα- 40
μίγνυται τῷ οἴνῳ, καὶ οὕτως διαφθείρει τὴν ἐν αὐτῷ τοιανδὶ ποιότητα οὖσαν καὶ τοιονδὶ χυμόν. | τὸ αὐτὸ δὲ καὶ ἡ λέκιθος πάσχουσα ὑπὸ τῆς τοιαύ- 67v
της ὥρας ἀναμίγνυται τῷ λευκῷ καὶ φθείρει αὐτό. γαμψώνυχα δὲ καὶ
20 τρία γεννᾶν τοὺς ἀετοὺς χρὴ νοεῖν· οἱ γὰρ ἱέρακες καὶ πέντε καὶ ἓξ γεννῶσι. 5
φθείρουσι δὲ καὶ οὗτοι τὸ μέσον διὰ τὸ λίαν ὑπερθερμαίνειν ἐν μέσῳ κείμενον τῆς κοιλίας καὶ κατακαίειν αὐτό. οὐ γίνεται δὲ ὀπτώμενον τὸ τοῦ 10
ᾠοῦ ὠχρὸν σκληρόν, καίτοι γεῶδες ὄν, διὰ τὸ μὴ εἶναι οἷον τὸ ἐν κεράμῳ γεῶδες, ἀλλ' οἷον τὸ ἐν τῷ κηρῷ. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ διὰ τὸ 15
25 εἶναι τὴν φύσιν γεῶδες οὕτως ὥσπερ κηρός· τὸ γὰρ ἐν τῷ κηρῷ γεῶδες οὐ σκληρύνεται πυρί. διὰ τοῦτο θερμαινόμενον μᾶλλον, ἐὰν ᾖ μὴ ἐξ ὑγροῦ περιττώματος, διουρεῖται. ἔστι δὲ τὸ διουρεῖται ἴσον 20
τῷ οὔριον γίνεται. τὸ δὲ λεγόμενόν ἐστιν 'εἰ μὲν ἔχει τὸ ᾠὸν πολὺ τὸ ὑγρὸν περίττωμα, θερμαινόμενον καὶ ἐξατμιζόμενον ἐξέρχεται εἰς συμμετρίαν 25
30 καὶ οὐ διουρεῖται· ἂν δὲ μὴ ᾖ ἐξ ὑγροῦ περιττώματος, τουτέστιν ἂν δὲ ᾖ ἐν αὐτῷ ὀλίγον τὸ ὑγρὸν περίττωμα, θερμαινομένη ἡ λέκιθος κουφίζεται καὶ ἄνεισι καὶ οὕτως μιγνυμένη τῷ λευκῷ διουρεῖται'. τὸ δὲ διουρεῖται 30
καὶ γίνεται οὔρια ἐκ παραλλήλου κεῖται. ἀλλὰ τὸ μὲν ὠχρόν, ὡς εἴρηται, πυρούμενον οὐ σκληρύνεται, τὸ δὲ λευκὸν πυρούμενον γίνεται σκληρὸν καὶ 35

---

5 διὸ K μὴ K Arist. vulg.: om. IL Arist. Z 8 τις om. IL 10 ὡς γὰρ—θερμὸν (12) om. K προείρηται I 11 αὐτό] αὐτὴ a 12 προσέχει (post τῇ) libri et Arist. SY: προσεγχεῖ Arist. vulg. post τὸ προσέχει add. γὰρ K 15 fort. ἀλέαις αὐτῷ ILa ἰλύν ex Arist. scripsi: ὕλην libri 21 ὑποθερμαίνειν IK μέση a 23 post καίτοι add. γε a 24 τοῦτο γὰρ—ἐστὶν (p. 140,8) iterat I τοῦ] τούτου a 25 γεώδη KLa οὕτως om. a post ὥσπερ add. ὁ K κηρόν a 26 ante διὰ add. καὶ Ka θερμαινόμενον libri et Arist. SY: θερμαινόμενα Arist. vulg. 27 διουρεῖται libri et Arist. PSY: διοροῦται Arist. vulg. 29 ἔρχεται Ka 30 ἐὰν utrobique K 31 λέκυθος ILa 32 μιγνύμενον IL: μιγνύμενος a τῷ] τὸ La 34 σκληρὸν καὶ om. Ka

στερεόν, ἤτοι παχὺ καὶ συνεστηκός. ῥητέον δὲ καὶ ὅτι τὸ λευκὸν περὶ τὴν 67ᵛ γένεσιν τῶν ζῴων πεττόμενον ἅμα τε καὶ ἐξαιματοῦται καὶ παχύνεται (πρῶτον μὲν γὰρ αἷμα παχὺ γίνεται), ἅμα δὲ τῷ γενέσθαι αἷμα παχὺ εὐθὺς δια- γράφεται εἰς τὰ τοῦ νεοττοῦ μόρια· αὔξονται δὲ καὶ τελειοῦνται ἐκ τοῦ ὠχροῦ. ἀλλὰ ταῦτα μὲν ὅπως ἔχουσιν, ἐκ τῶν περὶ τὰς ἱστορίας τὰς περὶ ζῴων γεγραμμένας δεῖ θεωρεῖν· πρὸς δὲ τὴν παροῦσαν σκέψιν ἱκανὸν φανερὸν | εἶναι τοσοῦτον, τουτέστι τοῦτο μόνον ἐστὶν ἱκανὸν ἡμῖν 68ʳ γνῶναι νῦν ὅτι τῆς καρδίας ἐστὶν ἡ πρώτη σύστασις· πρώτη γὰρ αὕτη συνίσταται, ὡς πολλάκις εἴρηται· τοῦτο οὖν ἐστιν ἡμῖν ἱκανὸν νῦν ὑπομνη- σθῆναι καὶ πρὸς τούτῳ γνῶναι ὅτι τῆς μεγάλης φλεβὸς ἀπὸ τῆς καρδίας ἀφορισθείσης καὶ βλαστησάσης δύο ὀμφαλοὶ ἀπὸ τῆς φλεβὸς τείνουσιν, ὁ μὲν εἰς τὸν ὑμένα τὸν περιέχοντα τὸ ὠχρόν, ὁ δ' ἕτερος εἰς τὸν χοροειδῆ ὑμένα, ὅς ἐστιν εὐθὺς μετὰ τὸ ὄστρακον. λέγει δὲ ὅτι τὸ ὠχρὸν θερμαινόμενον γίνεται πλέον· τὸ γὰρ ἐγκαταμιγνύμενον αὐτῷ πνεῦμα εἰς μείζονα ὄγκον αὐτὸ αἴρει. λέγει δὲ καὶ ὅτι τὴν τροφήν, ἤτοι τὸ ὠχρόν, σωματώδη καὶ γεώδη οὖσαν δεῖ πρότερον ὑγρανθῆναι· πᾶσα γὰρ τροφὴ πρότερον ὑγραίνεται, εἶθ' οὕτως τρέφει.

p. 753ᵇ30 Δεῖ γὰρ ὑπολαβεῖν τὰ ᾠοτοκούμενα τῶν ζῴων πρὸς μὲν τὸ ὠχρὸν οὕτως ἔχειν.

Τὸ δεῖ γὰρ ἀντὶ τοῦ δεῖ δέ· οὐ γάρ ἐστι κατασκευαστικὸν τῶν προσεχῶς ῥηθέντων. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν· ὃν λόγον ἔχει τὰ ἔμβρυα πρὸς τὸ ἐν τῇ ὑστέρᾳ αἷμα, ἀφ' οὗ διὰ τοῦ ὀμφαλοῦ τρέφεταί τε καὶ αὔξεται, τὸν αὐτὸν καὶ ὁ νεοττὸς πρὸς τὸ ὠχρόν· καὶ οὗτος γὰρ ἐκ τοῦ ὠχροῦ τρέφεται διὰ τοῦ ὀμφαλοειδοῦς. τὸ γὰρ ὠχρὸν μέρος ἐστὶ τῆς ὄρνιθος, ὥσπερ καὶ τὸ ἐν τῇ ὑστέρᾳ καταμήνιον· μέρος γὰρ αὐτὸ τῆς μητρός. ὃν δὲ πάλιν ἔχει τὸ ἔμβρυον πρὸς τὴν ὑστέραν, τὸν αὐτὸν καὶ ὁ νεοττὸς πρὸς τὸν ἐξωτάτω ὑμένα τὸν αἱματώδη, ὃν πρὸ ὀλίγου εἶπε χοροειδῆ. ἔστι μὲν οὖν τρόπον τινὰ τὸ μὲν ὠχρὸν ἡ μήτηρ, ὁ δὲ χοροειδὴς ὑμὴν ἡ ὑστέρα. τὸ δὲ ὄστρακον τοιοῦτον χρὴ νοεῖν, ὥσπερ ἂν εἴ τις περιεκάλυψε τὴν μητέρα μετά τινος ἔξωθεν. ἔστω γὰρ ἕνεκα λόγου ὁ μὲν νεοττὸς ὁ Ἄνυτος, τὸ δὲ ὠχρὸν ἡ μήτηρ αὐτοῦ, τὸ δὲ ὄστρακον τὸ ἱμάτιον τῆς μητρὸς αὐτοῦ ἢ ἄλλο τι περικαλύπτον αὐτὴν οὕτως, ὥστε μηδέν τι φαίνεσθαι τῶν αὐτῆς μερῶν· τούτου γάρ ἐστι δηλωτικὸν τὸ περὶ τὴν μητέρα ὅλην. ἐπεὶ γὰρ δεῖ τὸ

1 στερρὸν Ka 2 καὶ post τε om. Ka 4 νεοτήτου La 4 αὐξεται δὲ καὶ τελειοῦται K 5. 6 ἐκ τῶν — γεγράμμένας] exspectas ἐκ τῶν ἐν ταῖς περὶ τὰ ζῷα ἱστορίαις γεγραμμένων; cf. Z 2 sqq. 8 ἡ πρώτη σύστασις in lac. III litt. om. L 8. 9 πρώτη γὰρ—νῦν ὑπο in ras. L 9 νῦν om. K 10 καὶ γνῶναι καὶ πρὸς τοῦτο a post τούτῳ add. καὶ K 12 ὠχρόν] ὑγρὸν ILa 13 post δὲ add. καὶ Ka 22 τε om. IL 23 τὸ αὐτὸ IL post ὠχρόν add. οὕτως ἔχειν IL 24 τῆς] τοῦ K 25 post γὰρ add. καὶ Ka 26 τὸν νεοττὸν IL 27 ἐξώτατον L εἶπε] εἶχε K μὲν om. Ka 28 ὠχρὸν] λευκὸν IL 30 post ἔστω add. μὲν IL 32 οὕτως] οὕτω δὲ a αὐτῆς scripsi: ἑαυτῆς libri 33 ἐπειδὴ Ka

ἔμβρυον ἐν τῇ ὑστέρᾳ εἶναι καὶ πρὸς τῇ μητρί, ἐν μὲν τῷ χοροειδεῖ ἐστιν 68r
ὁ νεοττὸς ὡς ἐν τῇ ὑστέρᾳ, πρὸς δὲ τῷ ὠχρῷ ἐστιν ὡς ἐν τῇ μητρί. 41
ἀλλ' ἐν μὲν τοῖς ζωοτόκοις ἔχει τε καὶ περιέχει ἡ μήτηρ τὴν ὑστέραν, ἐν
δὲ τοῖς ᾠοτοκουμένοις ἔμπαλιν ἡ ὑστέρα τὴν μητέρα· μήτηρ γάρ ἐστι τὸ 45
5 ὠχρόν, ὑστέρα δὲ ὁ αἱματώδης καὶ χοροειδὴς | ὑμήν, ὃς περιέχει τὸ ὠχρόν, 68v
ἤτοι τὴν μητέρα. λέγει δὲ καὶ ὅτι αὐξανομένων τῶν νεοττῶν πρῶτον συμ-
πίπτει ὁ εἰς τὸ χόριον τείνων ὀμφαλὸς καὶ ἀπόλλυται· διὰ τί; διότι, φησί, 5
δεῖ πρῶτον τὸν νεοττὸν ἐξελθεῖν· ἐκεῖθεν γὰρ καὶ ἐκ τοῦ μέρους τοῦ χοροει-
δοῦς ὑμένος ἕξεισιν, ἐν ᾧ προσπέφυκεν ὁ ὀμφαλός· ἀφανισθέντος γὰρ εὐθὺς
10 ὀπὴ γίνεται ὥσπερ ἥλου τινὸς ἢ γόμφου ἀφαιρεθέντος. τὸ δὲ λοιπὸν τοῦ
ὠχροῦ καὶ ὁ ὀμφαλὸς ὁ εἰς τὸ ὠχρὸν ὕστερον· οὐ γὰρ πᾶν τὸ ὠχρὸν
ἀναλίσκεται εἰς τροφὴν τοῦ νεοττοῦ, ἀλλ' ἐγκαταλιμπάνεταί τι, ὅπερ ἐγκατά-
λειμμα συνέξεισι τῷ ὀμφαλῷ. ὁρῶνται γὰρ οἱ νεοττοὶ ἐξελθόντες ἔχοντες
ὑπὸ τὴν κοιλίαν, ἐν ᾧ μέρει αὐτῆς ἐστιν ὁ ὀμφαλός, τὶ τοῦ ὠχροῦ, ὑφ' 10
15 οὗ καὶ ἐξελθὼν θύραζε τρέφεται δύο ἢ καὶ τρεῖς ἡμέρας. ἐπεὶ γὰρ οὔτε
ἀπὸ τῆς μητρὸς θηλάζειν δύναται οὔτε δι' ἑαυτοῦ τρέφεσθαι, ἀνάγκη συνεξά-
γειν τῷ νεοττῷ τὴν φύσιν τροφήν τινα. διόπερ τρεφομένου τοῦ νεοττοῦ
εἴσεισι τὸ τοιοῦτον ὠχρὸν μετὰ τοῦ ὀμφαλοῦ ἐντός, καὶ οὕτω περιφύεται
ἡ σάρξ. ἐπὶ τούτῳ γὰρ οὐδ' ὀμφαλὸν ἔχουσιν οἱ ὄρνιθες· τῆς γὰρ τροφῆς
20 ἐν τῷ ἄκρῳ τοῦ ὀμφαλοῦ κειμένης, εἰ μέλλει τραφήσεσθαι ὁ νεοττός, ἀνάγκη
πρότερον τὸν ὀμφαλὸν εἰσελθεῖν καὶ οὕτω τὴν ἐν τῷ ἄκρῳ αὐτοῦ κει- 15
μένην τροφήν. καὶ συμπεραίνεται λοιπὸν λέγων ταῦτα μᾶλλον εἶναι διάδηλα
ἐπὶ τῶν μειζόνων, λέγων ταῦτα τὰ μόρια· ἐν γὰρ τοῖς μείζοσι ζῴοις διά-
δηλόν ἐστιν ὡς πρῶτον πάντων ἡ καρδία γίνεται, εἶθ' ὁ ὀμφαλὸς καὶ τὰ
25 λοιπὰ ὁμοίως.

p. 754a26 Αἰτία δ' ἡ τοῦ σώματος φύσις· τήν τε γὰρ κεφαλὴν πολλαπλασίαν ἔχει τοῦ λοιποῦ σώματος.

Ἐπεὶ γὰρ ἡ τοῦ βατράχου κεφαλὴ πολλαπλασία ἐστὶ τοῦ λοιποῦ σώματος, 20
εἴπερ ἐν ἑαυτῷ ἐζωοτόκει, ἀνάγκη αὐξομένων τῶν ἐμβρύων ὀγκοῦσθαι τὴν
30 γαστέρα, ὀγκουμένην δὲ προσπίπτειν ταῖς ἐν τῇ κεφαλῇ ἀκάνθαις καὶ 25
κατατιτρώσκεσθαι καὶ ἐκ τούτου ἀφορήτως ὀδυνᾶσθαι. προνοουμένη τοίνυν
τῆς τοῦ βατράχου σωτηρίας ἡ φύσις πεποίηκεν αὐτὸν θύραζε ζωοτοκεῖν.
οὔτε οὖν ἐξ ἀρχῆς ἐν ἑαυτῷ διὰ τὴν εἰρημένην αἰτίαν ζωοτοκεῖ οὔτε μὴν

---

1 τῇ prius om. Ka 4 ζωοτοκουμένοις IL 6 δὲ ὅτι καὶ coll. IL αὐξόμενος ὁ νεοττὸς K: αὐξανομένου τοῦ νεοττοῦ a 7 ὁ om. L 8 δεῖν ILa καὶ ἐκ τοῦ—γάρ (9) post γόμφου (10) ponunt IL 9 ὁ om. K ἀφανισθεὶς IK 10 γόμφου ἀφανισθέντος Ka 12 ὅπερ] ὥσπερ IL 15 καὶ post οὗ om. a ἐξελθόντες a καὶ post ἢ om. K 16 τρέφεσθαι ex τρέφεται corr. I 16. 17 συνάγειν IL 17 τρεφόμενος ὁ νεοττὸς IKL 19 ἐπὶ τούτου a 22 εἶναι ante ταῦτα ponunt Ka μᾶλλον—ὁμοίως (25) om. L sed in marg. suppl. praeter v. v. ἐπὶ—διάδηλον (23. 24): quae eadem om. I 23 ἐπὶ scripsi: ἐπεὶ Ka 26 αἰτία K Arist.: αἴτιον IL 28 Ἐπεὶ—σώματος om. K 32 αὐτῶν a

ὕστερον εἰσδέχεται τοὺς οἰκείους νεοττοὺς διωκομένους καὶ ἐπιβουλευομένους 68ᵛ
ὑπό τινων. τὰ μὲν γὰρ ἄλλα σελάχη δέχονται ἐν ἑαυτοῖς τοὺς νεοττοὺς 35
ἐπιβουλευομένους ὑπό τινων, δέχονται δὲ διὰ τοῦ πόρου δι' οὗ ἐγέννησαν
αὐτούς, ὁ δὲ βάτραχος οὐ δέχεται· εἰ γὰρ ἐδέξατο, ἀνάγκη πάλιν ὀγκωθῆναι
5 τὴν γαστέρα καὶ προσπεσεῖν ταῖς ἀκάνθαις. δι' ἣν μὲν οὖν αἰτίαν ὕστερον
εἰσελθεῖν τοὺς νεοττοὺς ἡ κεφαλὴ κωλύει, διὰ τὴν αὐτὴν ταύτην καὶ πρότερον 10
ἐντὸς τελειωθῆναι κωλύει. λέγει δὲ καὶ ὅτι ὃν τρόπον ἐντὸς γίνονται ἐκ τῶν
ᾠῶν οἱ τῶν ἄλλων σελαχῶν νεοττοί, τὸν αὐτὸν καὶ οἱ τοῦ βατράχου θόραζε.

p. 754ᵇ3 Τούτοις δὲ καὶ τοῖς τῶν ὀρνίθων τῇ μὲν ὁμοία τῇ δὲ
10 διάφορός ἐστιν.

Τούτοις λέγει πάλιν ἁπλῶς τοῖς σελάχεσι, τῷ τε βατράχῳ καὶ τοῖς
ἄλλοις ἅπασιν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἡ γένεσις τῶν σελαχῶν πάντων 45
καὶ ἡ τῶν ὀρνίθων πάντων τῇ | μέν ἐστιν ὁμοία, τῇ δὲ διάφορος· καὶ 69ʳ
λέγει τὴν διαφορὰν εὐθύς, καθ' ἣν διαφέρουσι, φάσκων πρῶτον μὲν τὰ
15 σελάχη οὐκ ἔχει τὸν ἕτερον ὀμφαλὸν τὸν εἰς τὸ χόριον τείνοντα, 5
δι' ἣν λίαν σαφῶς ἐπάγει αἰτίαν. ἔπειθ' ἡ γένεσις καὶ τούτοις καὶ τοῖς
ὄρνισιν ἐξ ἄκρου μέν ἐστι τοῦ ᾠοῦ, ἀλλὰ τοῖς μὲν ὄρνισιν ἐκ τοῦ ὀξέος, 10
καθ' ὃ ὀξὺ προσπέφυκε τῇ ὑστέρᾳ (τὸ γὰρ λοιπὸν ἅπαν τοῦ ᾠοῦ ἀπολελυ-
μένον ἐστὶ καὶ ἐν τοῖς ὄρνισι καὶ ἐν τοῖς σελάχεσι, μόνον δὲ τὸ ὀξὺ συμ-
20 πέφυκε τῇ ὑστέρᾳ ὥσπερ τις ῥίζα τῇ γῇ), τοῖς μὲν οὖν ὄρνισιν ἐκ τοῦ 15
ὀξέος ἡ γένεσις, καθ' ὃ καὶ ἔστιν ἡ πρόσφυσις, τοῖς δὲ σελάχεσιν οὐκ ἐκ
τοῦ ὀξέος, ἀλλ' ἐκ τοῦ ἑτέρου ἄκρου. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ ἀλλ' 20
οὐχ ᾗ προσπέφυκε πρὸς τὴν ὑστέραν, τουτέστιν ἐκ τοῦ ἑτέρου ἄκρου
γίνονται οἱ τῶν σελαχῶν νεοττοί, ἀλλ' οὐκ ἐκ τοῦ ὀξέος, δι' οὗ ὀξέος
25 συνέχεται καὶ προσπεφυκός ἐστι πρὸς τὴν ὑστέραν. εἰπὼν δὲ τοῦτο ἐπάγει
αἴτιον δὲ τοῦ τοὺς μὲν ὄρνιθας γίνεσθαι ἐκ τοῦ ὀξέος, τὰ δὲ σελάχη ἐκ 25
τοῦ θατέρου ἄκρου, ὅτι τὸ μὲν τῶν ὀρνίθων ᾠὸν χωρίζεται ἐκ
τῆς ὑστέρας. ἐπεὶ οὖν ἐκτὸς καὶ θόραζε ζῷον γίνεται τὸ τῶν ὀρνίθων
ᾠὸν καὶ οὐδὲν ὅλως ἐκ τῆς ὑστέρας λαμβάνει τροφὴν ὥσπερ τὰ ἐντὸς
30 ζωοτοκούμενα, ἃ πρῶτον μὲν τρέφονται ἐκ τοῦ λειφθέντος ᾠοῦ (ἐπὶ πάντων
γὰρ τῶν ᾠῶν τὸ μέν τι αὐτῶν γίγνεται νεοττός, τὸ δὲ τροφή) τὰ δὴ ἐντὸς
ζωοτοκούμενα πρῶτον μὲν τρέφονται ἐκ τοῦ ᾠοῦ, ἔπειτα ἀναλωθέντος 30
αὐτοῦ ἐκ τῆς ὑστέρας, ἐπεὶ οὖν, ὡς εἴρηται, ἐκτὸς ζωοτοκεῖται ὁ ὄρνις καὶ
οὐδὲν ἐκ τῆς ὑστέρας λαμβάνει, ἀλλ' ἐκ τοῦ ὠχροῦ τρέφεται, εἰκότως ἐκ

1 εἰ δέχεται IK ἐπιβουλομένους a 2 τὰ—ἄλλα σελάχη scripsi: οἱ—ἄλλοι σέλαχοι libri μὲν] δὲ a 3 δὲ om. I δι' om. K 4 αὐτὰ IKL 5 αἰτίαν om. IL 7 καὶ om. K 8 καὶ ἡ τοῦ IL θόραθεν Ka 11 λέγων K πάλιν] πᾶσιν IK 13 ἡ] ὁ La 14 διαφέρει a post μὲν add. γὰρ Ka 16 σαφῆ K 19 σελάχοις a 21 γέννησις I 23 οὐχ ᾗ] οὐχὶ IL¹ post ὑστέραν add. τὸ γὰρ λοιπὸν ἅπαν τοῦ ᾠοῦ (cf. v. 18) IL 26 τοὺς μὲν] τὰς K 27 ὁρίζεται IL 30 ἃ] τὰ μὲν γὰρ ἐντὸς ζωοτοκούμενα Ka τρέφεται Ka ληφθέντος K ἐπὶ—τοῦ ᾠοῦ (32) om. IL ἐπὶ] ἐπεὶ a 33 ἡ ὄρνις a

τοῦ ὀξέος γίνεται διά τε τὸ πλέον εἶναι τὸ ἐν τῷ ὀξεῖ λευκὸν τοῦ ἐν θατέρῳ 69r
μέρει ὄντος λευκοῦ καὶ διὰ τὸ μὴ δεῖσθαι τῆς ὑστέρας. αὐτὸς δὲ νῦν
τοῦτο μόνον εἰπὼν αἴτιον δ' ὅτι τὸ μὲν τῶν ὀρνίθων χωρίζεται τῆς
ὑστέρας, τῶν δὲ σελαχῶν οὐ πάντων (οὐ γὰρ πάντων χωρίζεται, ἀλλά
5 τινων ἀπολύεται μὲν τῆς ὑστέρας, ὅμως ἐν αὐτῇ ζῳοτοκεῖται ἀλλ' οὐκ 35
ἐκτός, τῶν πλείστων δὲ οὐδ' ἀπολύεται, ἕως ἂν ζῷον γένηται) ὅπερ οὖν
ἐλέγομεν, αὐτὸς νῦν τοῦτο μόνον εἰπὼν μετ' ὀλίγον σαφῶς τὰς αἰτίας τούτων
ἐπάξει, καὶ ἡμεῖς γενόμενοι ἐν τῷ τόπῳ εἴποιμεν ἂν τὰ δοκοῦντα. γινο-
μένου δὲ τοῦ σελάχους ἐπὶ τῷ ἑτέρῳ ἄκρῳ τῷ ἐξ ἐναντίας ὄντι τὸ ὀξὺ
10 τὸ καταλειφθὲν ἐκ τῆς γενέσεως τοῦ νεοττοῦ μέρος τοῦ ᾠοῦ καταναλίσκεται
εἰς τροφὴν αὐτοῦ, καὶ τέλος πρὸς τῇ ὑστέρᾳ ὁ ὀμφαλὸς προσφύεται τῶν
ἤδη τελείων. ὅταν μὲν γὰρ ἕλκῃ τὴν τροφὴν ἐκ τοῦ ᾠοῦ, προσπεφυκός 40
ἐστι τῷ ᾠῷ, καταναλωθέντος δὲ τοῦ ᾠοῦ προσφύεται τῇ ὑστέρᾳ καὶ λαμ-
βάνει ἐκεῖθεν τὴν τροφήν. οὐ μόνον δὲ τοῦτο γίνεται ἐπὶ τῶν μὴ ἀπο-
15 λυομένων ᾠῶν ἀπὸ τῆς ὑστέρας, ἀλλὰ καὶ ἐπὶ τῶν ἀπολυομένων, ἐν αὐτῇ
δὲ τελειουμένων· καὶ ἐπὶ τούτων γὰρ πρῶτον μὲν τῷ ᾠῷ προσφύεται ὁ
ὀμφαλός, ὕστερον δὲ τῇ ὑστέρᾳ. εἰπὼν δὲ ὅσων ἀπολύεται τὰ ᾠὰ τῆς
ὑστέρας ἐπήγαγεν ἐνίοις γὰρ αὐτῶν, ὅταν τέλειον γένηται τὸ ᾠόν,
ἀπολύεται, ἴσον ὂν τῷ οὐ γὰρ πάντων ἀπολύεται. τὸ δὲ ἀπορήσειεν 45
20 ἂν οὖν τις ἕως τοῦ καὶ τοῖς ἰχθύσι γραφικὸν ἔσται πταῖσμα· εἴρηκε
γὰρ ἤδη περὶ τούτων. |

p. 754ᵇ21 Αἴτιον δ' ὅτι τὰ μὲν τῶν ὀρνίθων κεχωρισμένον ἔχει 69v
τὸ ὠχρὸν καὶ τὸ λευκόν.

Εἰπὼν ὅτι οἱ μὲν τῶν ὀρνίθων νεοττοὶ γίνονται ἐκ τοῦ ὀξέος τοῦ ᾠοῦ,
25 οἱ δὲ τῶν σελαχῶν ἐκ τοῦ ἑτέρου ἄκρου τοῦ μὴ ὀξέος, καὶ εἰπὼν αἴτιον δ'
ὅτι τὸ μὲν τῶν ὀρνίθων χωρίζεται τῆς ὑστέρας, οὐδὲν δὲ διὰ τούτων 5
εἰρηκὼς σαφὲς καὶ τοῦτο συνιδών, νῦν ἐπαναλαμβάνει τὸν λόγον καὶ τίθησι
τὴν τοῦ πράγματος αἰτίαν. αἴτιον οὖν, φησί, τοῦ τὰς μὲν ὄρνιθας γίνεσθαι 10
ἐκ τοῦ ὀξέος, τὰ δὲ σελάχη ἐκ τοῦ ἑτέρου μέρους ὅτι τὰ μὲν τῶν ὀρνίθων
30 κεχωρισμένον ἔχει τὸ λευκὸν ἐκ τοῦ ὠχροῦ (ἐπιπολάζει γὰρ κύκλῳ τὸ 15
λευκόν), τὰ δὲ τῶν ἰχθύων ἀναμεμιγμένον, διὸ καὶ μονόχροιά ἐστιν· ὥστε
ἐπεὶ ἀναμεμιγμένον ἐστὶ τὸ λευκὸν ἤτοι ἡ ἀρχὴ ἀφ' ἧς ὁ νεοττὸς γίνεται. 20
οὐδὲν κωλύει γίνεσθαι τοὺς τῶν σελαχῶν νεοττοὺς καὶ ἐκ τοῦ ἀντικειμένου
μέρους τῷ ὀξεῖ. οὐ γὰρ μόνον ἐστὶ κατὰ τὴν πρόσφυσιν καὶ τὸ ὀξὺ ἐπὶ

1 πλεῖον I 2 αὐτὸς—ὑστέρας (5) om. IL 6 δὲ οὐδ' ἀπολύεται om. IL
7 νῦν om. K 8 τὰ δοκοῦντα post τόπῳ ponit K 9 ἄκρῳ] μέρη a
τῷ ὀξεῖ a 10 τὸ om. L 11 τὴν ὑστέραν ex τῇ ὑστέρᾳ corr. I 12 ἕλκοι I;
ἕλκει L 13 δὲ om. IL 14 γίνεται om. K 16 πρῶτον μὲν γὰρ coll. IL
17 ὅσον IL ἀπολέλυται Arist. 18 ὅτε et γίνεται IL 20 οὖν ἂν K: οὖν
om. a 21 τούτου IKa 23 ὠχρὸν] ὠὸν I 24 εἰπὼν om. K 25 post
δὲ add. ἐκ K 27 σαφῶς a 28 τὴν om. K 29 ἐκ θατέρου Ka
31 μονόχροα K: μονόχροον a 33 καὶ ἐκ τοῦ—νεοττοὺς (p. 144,2) om. K

τῶν σελαχῶν ἡ ἀρχή, ἀλλὰ καὶ καταντικρύ. μία μὲν οὖν αἰτία αὕτη τοῦ 69v
γίνεσθαι τοὺς τῶν σελαχῶν νεοττοὺς ἐκ τοῦ καταντικρὺ μέρους, ἄλλη δὲ
ὅτι καὶ ῥᾷον ἐκεῖθεν γινόμενος λαμβάνοι ἂν διὰ τοῦ ὀμφαλοῦ τὴν τροφὴν 30
ἐκ τῆς ὑστέρας. προσπεφυκὸς γὰρ ὂν τὸ ᾠὸν ἐν τῇ ὑστέρᾳ κατὰ τὸ ὀξύ,
5 εἰ γένηται ὁ νεοττὸς ἀπὸ ταύτης τῆς ἀρχῆς, τουτέστιν ἀπὸ τοῦ ἀντικειμένου 35
μέρους τῷ ὀξεῖ, ἀνάγκη τὸν ὀμφαλὸν ἐπὶ τὰ ἔμπροσθεν τείνεσθαι καὶ οὕτω
λαμβάνειν τὴν τροφὴν ἐκ τοῦ ἔμπροσθεν· ἔμπροσθεν γὰρ τοῦ νεοττοῦ κεῖται
τὸ ὀξύ, καθ' ὃ προσπέφυκε τὸ ᾠὸν τῇ ὑστέρᾳ. ὥστε καὶ ὁ ὀμφαλὸς ἐπι- 40
νεμόμενος τὸ ᾠὸν καὶ τέλος φθάσας ἐν τῷ ὀξεῖ καὶ δηλονότι καὶ τῇ ὑστέρᾳ
10 (ἐν γὰρ τὸ ὀξὺ καὶ ἡ ὑστέρα διὰ τὴν πρόσφυσιν καὶ τὴν συνέχειαν) πρὸς
τὸ ἔμπροσθεν τείνεται. οὐ λέγομεν δὲ τείνεσθαι αὐτὸν ἀντὶ τοῦ μείζω γίνε-
σθαι κατὰ τὸ μῆκος (τοῦτο γὰρ ἐναντίον ἂν εἴη τῷ μετ' ὀλίγον ῥηθησο-
μένῳ), ἀλλ' ὅτι ὅσον αὔξεται τὸ ζῷον καὶ παχύνεται, ἀνάγκη μᾶλλον πλη-
σιάζειν τῇ ὑστέρᾳ, ὥστε καὶ τὸν ὀμφαλόν. πρότερον μὲν γάρ, ὅτε ἦν 45
15 πάμπαν μικρὸς ὁ νεοττός, μᾶλλον ἦν ἀφεστηκὼς καὶ οὗτος καὶ ὁ ὀμφαλὸς
αὐτοῦ καὶ πορρωτέρω ὑπῆρχον τῆς ὑστέρας, ὕστερον δὲ ὅσον ηὔξε καὶ εἰς
μείζονα ὄγκον ἐπεδίδου, τοσοῦτον ἤγγιζε τῇ ὑστέρᾳ, τέλος δὲ καταναλίσκεται
καὶ οὗτος ὁ ὀμφαλὸς εἰς τὸ πᾶν σῶμα τοῦ νεοττοῦ. ἔστω γὰρ λόγου χάριν
ἡ ὑστέρα ὁ οὐρανός, νεοττὸς δὲ ἡ γῆ, καὶ ὁ ὀμφαλὸς αὐτοῦ ὁ Καύκασος 70r
20 τὸ ὄρος· καὶ τὸ μὲν ὄρος μενέτω οἷόν ἐστιν, ὥστε μὴ ἐπιδιδόναι εἰς μεί-
ζονα ὄγκον, ἡ δὲ γῆ νενοήσθω ὅτι ὀγκοῦται καὶ αὔξεται πάντοθεν ὁμοίως·
ὅσον δὴ αὔξει ἡ γῆ, τοσοῦτον ἀνάγκη πλησιάζειν καὶ τὸν Καύκασον τῷ
οὐρανῷ· τοῦτο δὲ χρὴ νοεῖν καὶ ἐπὶ τοῦ νεοττοῦ. εἰπὼν δὲ ὅτι τὴν τρο-
φὴν ῥᾴδιον λαμβάνειν ἐκ τῆς ὑστέρας, ἐπήγαγε τὸ πόροις τισὶν ἀπὸ
25 ταύτης τῆς ἀρχῆς, λέγων ἀρχὴν τὸ ἀντικείμενον μέρος τῷ ὀξεῖ. ὁ μὲν 5
γὰρ ὀμφαλὸς ἕλκει τὴν τροφὴν ἐκ τοῦ ᾠοῦ, τὸ δὲ ᾠὸν ἐκ τῆς ὑστέρας
ἀναμάττεταί τινας ὑγρότητας διά τινων πόρων. ὅτι δέ, φησίν, πόροι εἰσί
τινες, δι' ὧν ἕλκει τὴν ὑγρότητα ἐκ τῆς ὑστέρας τὸ ᾠόν, δῆλον ἐπὶ τῶν
μὴ ἀπολυομένων ᾠῶν· ἐνίοις γάρ, ὡς εἴρηται, οὐκ ἀπολύεται τῆς ὑστέρας
30 τὸ ᾠόν, ἀλλά τινα μὲν ἀπ' αὐτῆς ἀπολυθέντα μεταχωρεῖ κάτω κἀκεῖσε
ζωοῦται, τινὰ δὲ μεταχωρεῖ μὲν κάτω, οὐκ ἀπολύεται δέ, ἀλλ' ἁπτόμενα
τῆς ὑστέρας. ὥσπερ γὰρ ὁ ἐμὸς δάκτυλος καὶ ὁ σὸς ποτὲ μὲν μεταχωρεῖ 10
ἐκ τοῦ θατέρου ἄκρου τοῦ παρόντος βιβλίου εἰς θάτερον ἄκρον ἁπτόμενος

---

1 καὶ L² Arist. vulg.: om. IKL¹a Arist. Y τοῦ] τούτου L 2 τοὺς om. a
3 ῥᾷον scripsi: ῥάδιον libri γινομένη IL λαμβάνει a 4 προσπεφυκότος
γὰρ ὄντος τοῦ ᾠοῦ a 6 ὀξὺ a 8. 9 ἐπινεμόμενος] ἐπινενοημένον IL
13 ὅσον om. IL 14 γὰρ om. IL 16 αὐτοῦ] αὐτὸς K πορρώτερον a
ὑπῆρχε Ka ηὔξε scripsi: ηὔξει libri 17 μείζονος Ka post δὲ add.
καὶ K 19 ἡ prius om. Ka ὁ post καὶ om. Ka 22 post ὅσον add. οὖν I
δὴ] δὲ K 23 τοῦτο δὴ a post τὴν add. δὲ Ka 24 λαμβάνειν] ἕλκειν a
Arist. 27. 28 εἰσί τινες πόροι coll. Ka 28 ἐπὶ] ἐκ IL 29 ἐνίοις IL
Arist. Z: ἐν ἐνίοις Ka Arist. vulg. 30 ἀπ' αὐτῆς] μετ' αὐτοῦ IL 31 post
κάτω add. ἀλλ' Ka δέ om. IKa

τοῦ βιβλίου, ὁτὲ δὲ μὴ ἁπτόμενος, οὕτως καὶ ἐπὶ τῶν εἰρημένων ᾠῶν τινὰ 70r
μὲν μεταχωρεῖ κάτωθεν μὴ ἁπτόμενα τῆς ὑστέρας, ὥσπερ τὸ ὁόμενον ὕδωρ
μὴ ἁπτόμενον τοῦ οὐρανοῦ, τινὰ δὲ ἁπτόμενα αὐτῆς, ὥσπερ οἱ ἐκ τῶν
κλάδων τῶν δένδρων κατερχόμενοι καὶ ἁπτόμενοι τοῦ δένδρου. ἐπὶ τού-
5 των οὖν τῶν ᾠῶν τῶν μεταχωρούντων κάτωθεν καὶ ἁπτομένων τῆς ὑστέρας 15
δῆλον ὥς εἰσι πόροι. τελειωθὲν γὰρ τὸ ζῷον ἔχει τὸν ὀμφαλὸν ἐν τῇ
ὑστέρᾳ προσπεφυκότα ἀναλωθέντος τοῦ ᾠοῦ· ὥστε δῆλον ὡς ἐπειδὴ κατήρ-
χετο τὸ ᾠὸν ἁπτόμενον τῆς ὑστέρας, πόροι ἐτείνοντο τοῦ ᾠοῦ πρὸς αὐτήν,
καὶ ἕως μὲν εὕρισκον ἐν τῷδε τῷ μέρει τῆς ὑστέρας ὑγρότητά τινα, ἔμενεν
10 ἐνταῦθα τὸ ᾠόν, ὅταν δὲ ἐξίκμασαν τὸν τόπον τοῦτον καὶ οὐκέτι τοῦ λοιποῦ
εὕρισκον τροφήν, μετεχώρει εἰς τὸν ἐφεξῆς τόπον, καὶ οὕτω ἄχρι τοῦ
τελειωθῆναι τὸ ζῷον. ἡ μὲν οὖν διάνοια αὕτη· τὴν δὲ λέξιν τὴν φανερὸν 20
οὖν ὅτι καὶ πρότερον ἔτεινον οἱ πόροι τοῦ ᾠοῦ καὶ τὸ ἑξῆς αὐτῆς
οὕτως ἀναγνωστέον 'φανερὸν οὖν ὅτι καὶ πρότερον ἔτεινον οἱ πόροι τοῦ
15 ᾠοῦ πρὸς τὴν ὑστέραν ἔτι ὄντος περὶ ἐκεῖνο', λέγων περὶ ἐκεῖνο, ὅτι περὶ
τὸ ζῷον τὸ ἔχον τὴν ὑστέραν. τὰ δὲ περὶ τῶν πόρων ῥηθέντα λέγει συμ-
βαίνειν ἐν τοῖς γαλεοῖς τοῖς λείοις. ἐν δὲ τῇ λέξει τῇ τόν τε γὰρ
ὀμφαλὸν ἔχουσι τὸν ἕτερον ὡσαύτως τὸν ἕτερον ἴσον ἐστὶ τῷ τὸν
ἕνα· εἴρηται γὰρ ὅτι ἕνα ὀμφαλὸν ἔχουσι. καταναλωθέντος δὲ τοῦ ὀμφαλοῦ 25
20 εἰς τὸ σῶμα τοῦ νεοττοῦ προσφύεται ἡ σὰρξ ὥσπερ τινὸς τραύματος συνου-
λωθέντος.

p. 755a14 Ἡ δὲ τοῦ ᾠοῦ αὔξησις ὁμοία τοῖς σκώληξιν.

Εἰπὼν ταχυτέραν εἶναι τὴν αὔξησιν τῶν ἐκτικτομένων ἔξωθεν ᾠῶν
τῆς τῶν ἐντὸς τελειουμένων λέγει τὴν αὔξησιν τούτων τῶν ἔξωθεν αὐξο- 30
25 μένων ταχέως ᾠῶν ὁμοίαν εἶναι τῇ τῶν σκωλήκων. ὥσπερ γὰρ ὁ σκώληξ
οὐδενὶ προσπέφυκεν, ὥστε τρέφεσθαι καὶ αὔξεσθαι ἀπὸ τοῦ ἐν ᾧ προσπέ-
φυκεν, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ, ὥσπερ ἡμεῖς τε καὶ ἵπποι καὶ πάντα τὰ 35
τέλεια τῶν ζῴων, οὕτω καὶ τὰ ᾠά. καὶ σαφηνίζει τοῦτο πάνυ θαυμαστῶς
τὴν ζύμην ἄγων εἰς ὑπόδειγμα. ὥσπερ γάρ, φησίν, ἐπὶ τῆς ζύμης συμ- 40
30 βαίνει τὴν αὔξησιν γίνεσθαι τοῦ μὲν στερεωτέρου καὶ σωματωδεστέρου
ὑγραινομένου, τοῦ δὲ ὑγροῦ πνευματουμένου ὑπὸ τῆς θερμότητος τοῦ συγ-
κραθέντος χυμοῦ (λέγει δὲ χυμὸν τοὺς ἅλας), ὥσπερ οὖν ἡ τοῦ ἁλὸς 45
θερμότης τὸ μὲν ὑγραίνουσα, τὸ δὲ | πνευματοῦσα αὔξει τὴν ζύμην, οὕτω 70v
καὶ ἐπὶ τῶν σκωλήκων καὶ ᾠῶν ἡ ἐν αὐτοῖς οὖσα ψυχικὴ θερμότης τὸ

1 οὕτως δὲ καὶ I 2 et 5 κάτωθεν] fort. κάτω 4 κλάδων τοῦ δένδρου Ka
7 ὡς] ὅτι Ka 7. 8 κατέρχεται IL 8 ἔτεινον Ka αὐτήν] αὐτὰ IL
9 ὑγρότητος a 10 ἐνταῦθα] ἐν ταύτῃ L ὅταν δὲ] οὕτως IL τοῦτο a
τοῦ λοιποῦ—τελειωθῆναι (12) om. L 13 αὐτῆς] αὐτοῦ IL 15 ὅτι] ἤτοι K: ἥ τε a
16. 17 λέγει συμβαίνειν] λαμβάνειν IL 18 ἔχουσιν ὀμφαλὸν coll. Ka 20 ante ἡ
add. μὲν K 22 σκώληξίν ἐστιν K 26 προσπέφυκαν—πάντα (27) om. K
33 ὑγραίνουσι a

μὲν γεωδέστερον καὶ σωματωδέστερον αὐτῶν ὑγραίνουσα, τὸ δ' ὑγρὸν 70ᵛ πνεῦμα ποιοῦσα αὔξει ταῦτα. ἐξ ἀνάγκης μὲν οὖν διὰ ταῦτα αὔξεται τὰ ᾠά, ἐκτὸς δὲ χάριν τοῦ βελτίονος· διὰ γὰρ τὸ πολυτοκεῖν· πολλὰ γὰρ ὄντα 10 οὐ δύναται χωρεῖν αὐτὰ ἡ ὑστέρα. στενοχωρῇ δὲ εἶπε τὴν ὑστέραν διὰ τὸ εἶναι τὴν εὐθεῖαν ἡ στενοχωρής [καὶ ἡ γενικὴ τῆς στενοχωροῦς]. αὔξεται δὲ ταχέως, ὅπως μὴ χρονιζόντων κατεσθίηται ὑπό τινων. οὐδὲν 15 δέ, φησίν, ᾠὸν ἐν οἷς γένεσιν ἤτοι εἴδεσι τὸ ἄρρεν ἐστὶ καὶ τὸ θῆλυ, τέλος λαμβάνει καὶ ζῷον ἐξ αὐτοῦ γίνεται δίχα τοῦ ἄρρενος· εἰ γὰρ μὴ ἐπιρράνῃ 20 τούτοις τὸν θορὸν ὁ ἄρρην, οὐ ζωογονεῖται.

10 p. 755ᵇ7 Εἰσὶ δέ τινες οἵ φασι πάντας εἶναι τοὺς ἰχθύας θήλεις πλὴν τῶν σελαχῶν.

Τῶν γὰρ σελαχῶν τοὺς μὲν εἶναι θήλεις, τοὺς δὲ ἄρρενας ὡμολόγουν. 25 οἱ δὴ λέγοντες πάντας θήλεις, ἐπειδὴ ἑώρων τοὺς μὲν φέροντας ᾠά, τοὺς δὲ οὐδαμῶς οὐδέποτε ἑώρων, ἔλεγον ὅτι καὶ οἱ μὴ φέροντες ᾠὰ θήλεις 15 εἰσί, νομίζονται δὲ ἄρρενες μὴ ὄντες. ὥσπερ γὰρ κατὰ μεταφορὰν τὰ μὲν 30 καρποφόρα τῶν δένδρων, οἷον ἐλαίαν συκῆν τὰ ὅμοια, λέγομεν θήλεα, ἄρρενα δὲ τὰ μὴ καρποφόρα, οἷον κότινον ἐρινεόν, καίπερ μηδὲν αὐτῶν 35 ἄρρεν ὂν ἢ θῆλυ, οὕτω καὶ ἐπὶ τῶν ἰχθύων οἱ νομιζόμενοι ἄρρενες θήλεις εἰσί, λέγονται δὲ ἄρρενες διὰ τὸ μὴ γεννᾶν, ὥσπερ καὶ ὁ ἐρινεός. ἀπαντᾷ 20 οὖν πρὸς τὴν οὕτως ἄτοπον καὶ ψευδῆ δόξαν λέγων 'ὥσπερ οὖν τῶν σελαχῶν τοὺς ἔχοντας πόρους θορικοὺς ἄρρενάς φαμεν. θήλεις δὲ τοὺς ἔχοντας ὑστέρας. οὕτως ἔδει καὶ ἐν τῷ γένει τῶν ᾠοτόκων ἰχθύων, εἴπερ ἦσαν ἅπαντες θήλεις, 40 ἔχειν ἅπαντας ὑστέρας καὶ μηδένα πόρον θορικόν· νῦν δ' οἱ μὲν αὐτῶν ἔχουσι πόρους, οἱ δὲ ὑστέρας. διὰ τίνα οὖν αἰτίαν οἱ μὲν ἔχοντες πόρους 25 τῶν σελαχῶν ἄρρενες ἔσονται, τῶν δὲ ᾠοτοκούντων ἰχθύων οὐκ ἔσονται'; ἄλλως τε ἐπεὶ καθ' ἣν ὥραν οἱ ἄρρενες τῶν σελαχῶν προΐενται τὸ σπέρμα, κατὰ τὴν αὐτὴν καὶ οἱ ἄλλοι ἰχθύες, ἄρρενες ἄρα καὶ οὗτοι ἔσονται.

p. 755ᵇ16 Ἔδει δ' οὐ μόνον τοὺς ᾠοτοκοῦντας ἀλλὰ καὶ τοὺς ἄλλους ἔχειν μέν.

30 Τὸ λεγόμενον τοιοῦτόν ἐστιν· εἰ ἦσαν ἅπαντες οἱ ἰχθύες θήλεις, οὐ μόνον τοὺς ᾠοτοκοῦντας ὑστέρας ἔδει ἔχειν, ἀλλὰ καὶ τοὺς μὴ ᾠοτοκοῦντας,

---

1 post μὲν add. γὰρ IL  αὐτῶν ex αὐτοῦ corr. K  2 διὰ ταῦτα] ἐξ ἀνάγκης μὲν γὰρ iterat L  5 καὶ ἡ—στενοχωροῦς delevi: om. a  6 χρονίζοντα a  κατασθίηται I  7 τὸ post καὶ om. IKa  8 αὐτοῦ scripsi: ἑαυτοῦ libri  12 ante Τῶν add. Οἱ λέγοντες ἅπαντας εἶναι τοὺς ἰχθύας θηλείας πλὴν τῶν σελαχῶν a  θηλείας a  13 δὴ] δὲ LKa  14 ἑώρων om. Ka  ἔλεγον] ἔλυον K  16 ἐλαῖαι συκαῖ IL  λέγει a  θήλει a  17 ἑαυτῶν a  22 ζωοτόκων L¹  23 ἔχειν ἅπαντα a  θορινὸν a  24 οἱ δὲ—πόρους hic om. et post οὐκ ἔσονται (25) exhibent, deinde τῶν σελαχῶν—οὐκ ἔσονται repetunt IL  25 ὠοτόκων IKa  26 καθ' ὥραν ἣν IL  28 Ἔδει—μόνον] ἔτι δ' οὐ μόνον Arist. PSY: ἔτι δ' οὐ μὴν K  30 εἰ om. a  31 δεῖ IL

ὁ|μοίως ταῖς τῶν θηλειῶν ἡμιόνων ὑστέραις. ὡς γὰρ αἱ ἡμίονοι καίπερ 71r
ἄτοκοι οὖσαι ὅμως θήλειαι οὖσαι ὑστέρας ἔχουσιν, οὕτως ἀναγκαῖον ἦν καὶ 5
τοὺς μὴ ᾠοτοκοῦντας ἰχθῦς, εἴπερ ἦσαν θήλεις, ὑστέρας ἔχειν καὶ τὸν αὐτὸν
τρόπον σώζειν πρὸς τὰς τῶν ᾠοτοκούντων ὑστέρας, ὃν αἱ τῶν ἡμιόνων
5 ὑστέραι πρὸς τὰς τῶν θηλειῶν ἵππων ὑστέρας. ἐπεὶ δὲ οἱ μὲν αὐτῶν
πόρους ἔχουσιν, οἱ δὲ ὑστέρας, οἱ μὲν πόρους ἔχοντες ἄρρενες ἔσονται,
θήλεις δὲ οἱ ὑστέρας.

p. 755ᵇ22 Ἡ δ' ἀπορία δι' ἣν οὕτως λέγουσιν, εὔλυτος τὸ συμβαῖνον ἀκούσασιν.

10 Ὁ μὲν οὖν συλλογισμός, ὃς ἠπάτα αὐτοὺς πάντας τοὺς ἰχθῦς λέγειν 10
θήλεις, οὗτος· πᾶς ἰχθὺς πολυτοκεῖ, οὐδὲν πολυτοκοῦν ὀχεύει ἢ ὀχεύεται,
οὐδεὶς ἄρα ἰχθὺς ὀχεύει ἢ ὀχεύεται. ὥστε οὐκ ἔστιν ἐν αὐτοῖς τὸ ἄρρεν· 15
εἰ γὰρ ἦν, ἐπειδὴ οὐκ ὀχεύουσι, μάτην ἂν ἦν· τὸ γὰρ ἄρρεν διὰ τὸ ὀχεύειν.
ἢ οὕτως· οὐδὲν τῶν ὀχευομένων πολλὰ τίκτει, πᾶς δὲ ἰχθὺς πολλὰ τίκτει, 20
15 οὐδεὶς ἄρα ἰχθὺς ὀχεύεται. ὁ δὲ τὴν μίαν πρότασιν θεὶς τὴν λοιπὴν καὶ
τὸ συμπέρασμα παρείασε. λέγει οὖν ὁ Ἀριστοτέλης δυνάμει ὅτι τί κωλύει,
φησίν, ἔξω πολλὰ τίκτειν τὰ ὀχευόμενα, κἂν ἐν ἑαυτοῖς οὕτω πολλὰ τίκτειν
ἀδύνατον; εἰ ⟨δὴ⟩ οὐδὲν τῶν ὀχευομένων οὕτω πολλὰ τίκτει ὅσα ὁ ἰχθὺς 25
ἐν ἑαυτῷ, θύραζε τί τὸ κωλῦον; ἄτοπον δέ, φησί, καὶ τὸ μὴ ἐν παντὶ τῶν
20 ᾠοτόκων τὸ μὲν ἄρρεν εἶναι τὸ δὲ θῆλυ· διὰ τίνα γὰρ αἰτίαν ἐν τούτοις 30
μὲν ἔσται, ἐν τούτοις δὲ οὐκ ἔσται; λέγει δὲ καὶ αἴτιον αὐτοῖς γενέσθαι
τῆς ἀγνοίας τὸ μὴ δήλας εἶναι τὰς διαφορὰς τῆς ὀχείας. ὁρῶντες γὰρ
ἐπὶ τῶν ἀνδρῶν καὶ γυναικῶν τοιωσδὶ γινομένην τὴν ὁμιλίαν καὶ χρόνιον, 35
ἐπὶ δὲ τῶν χοίρων τοιανδί (ἐπιβαίνει γὰρ ἐπί τε τούτων καὶ τῶν προβάτων
25 καὶ τῶν βοῶν καὶ τῶν ἄλλων ὡς ἔπος εἰπεῖν τὸ ἄρρεν τὸ θῆλυ), τοῦτο
δὲ μὴ βλέποντες γινόμενον ἐπὶ τῶν ἰχθύων (οὐ γὰρ ἐπιβαίνει ὁ ἄρρην
ἰχθὺς τὴν θήλειαν) ἐνόμισαν ὅτι οὐκ ἔστιν ὅλως ἐν αὐτοῖς ὀχεία, εἰ δὲ 40
⟨μὴ⟩ αὕτη, μηδὲ ἄρρεν. τοῦτο δ' οὐκ ἀληθές· ἐστὶ γὰρ καὶ ἐν αὐτοῖς
ὀχεία, ταχεῖα μέντοι καὶ τρόπον ἄλλον.

---

1 post ὁμοίως add. δὲ ILa 2 ἄτεκνοι Ka ἔχουσιν ὑστέρας coll. K 8 λέγουσιν] ὑπολαμβάνουσιν Arist. εὔλυτον IL 10 ἠπάτησεν Ka 12 οὐδεὶς—ὀχεύεται om. IL 14 πᾶς—τίκτει (18) om. K 16 οὖν] δὲ IL τί κωλύει—εἰ (18) om. a 17 ἑαυτοῖς scripsi: ἑαυτῷ IL 18 δὴ addidi 19 post θύραζε add. δὲ Ka 20 ᾠοτοκούντων a εἶναι post θῆλυ ponit K 22 ὀχήσεως IL 23 χρόνιον] χόριον IL 25 τῶν ante βοῶν om. Ka τοῦ θήλεος Ka τούτου a 26 βλέπονται a γινόμενον post ἰχθύων ponit K 27 τὴν θῆλυν K: τοῦ θήλεος a ἐνόμισεν ILa 28 μὴ addidi ἑαυτοῖς I 29 ὀχεία post γὰρ ponit K

p. 756a5 Διὸ καὶ οἱ λέγοντες τὰς κυήσεις εἶναι ἐκ τοῦ ἀνακάμπτειν τὸ σπέρμα εἰς τοὺς θήλεις τῶν ἰχθύων.

Ἐκεῖνοι μὲν γὰρ ἄρρεν ἐν τοῖς ἰχθύσιν εἶναι οὐκ ἐβούλοντο, ἕτεροι δὲ εἶναι μὲν ἔλεγον, πέμπειν δὲ τὸ σπέρμα εἰς τὸ θῆλυ οὐ διὰ συνδυασμοῦ καὶ ὁμιλίας, ἀλλ' ἐνα|φιέναι αὐτὸ εἰς τὸ ὕδωρ, ἔπειτα καταπίνειν αὐτὸ 71v τοὺς θήλεις· τούτου γὰρ δηλωτικὸν τὸ ἀνακάμπτειν τὸ σπέρμα εἰς τοὺς θήλεις. ἀνακαμπτομένου οὖν, φησί, καὶ καταπινομένου τοῦ σπέρματος ὑπὸ τῶν θηλειῶν κυΐσκουσιν. ἀνακάμπτειν δὲ τὸ καταπίνειν εἴρηκε, διότι ὄπισθεν ἐν τῷ οὐραίῳ τῆς θηλείας ἔλεγον ἀπορραίνειν τὸν ἄρρενα τὸν θορόν, τοῦτον δὲ τὸν θορὸν ἐκ τοῦπισθεν ἀνακάμπτειν καὶ ἀπέρχεσθαι ἔμπροσθεν πρὸς τὸ στόμα αὐτῆς καὶ οὕτω καταπίνεσθαι. ταῦτα δέ, φησί, λέγουσι μὴ κατανενοηκότες πῶς λέγουσι. τοῦτο εἰπὼν ἐλέγχει τὴν δόξαν ταύτην λέγων ὑπὸ τὸν αὐτὸν γὰρ χρόνον οἵ τε ἄρρενες τὸν θορὸν καὶ αἱ θήλειαι τὰ ᾠὰ ἔχουσι. σαφὲς δ' ἂν εἴη τὸ λεγόμενον τοιαῦτά τινα προειποῦσιν· οἱ ἄρρενες, εἰ μὴ πάντῃ πλήρεις γένωνται τοῦ σπέρματος, οὐκ ἀπορραίνουσιν αὐτό, ἀλλὰ πρῶτον μέν, ἡνίκα ὀλίγον καὶ σύμμετρον ἔχουσι τὸ σπέρμα, συνδυάζονται καὶ πληροῦσι τὰς θηλείας, μετὰ δὲ τὸ πληρῶσαι αὐτάς, ὅσον αὔξει ἐν ταῖς θηλείαις τὰ ᾠά, τοσοῦτον καὶ ἐν τούτοις τὸ σπέρμα αὔξεται· τέλος δὲ ὁπηνίκα ἄρξονται αὗται ῥίπτειν τὰ ᾠὰ θύραζε, καὶ οὗτοι τὸ σπέρμα. ποιεῖ δὲ τοῦτο ἡ φύσις. λέγω δὴ τὸ σύνδρομον καὶ ἰσοχρόνιον γίνεσθαι τήν τε τῶν ᾠῶν καὶ τὴν τῆς τῶν ἀρρένων γονῆς ἀπόκρισιν, ἵνα ἔχωσιν ἐπιρραίνειν τὰ ᾠὰ ἐξερχόμενα. τὸ μὲν γὰρ εἰσελθὸν ἐν τῇ ὁμιλίᾳ σπέρμα συνέστησε τὴν τῶν ᾠῶν φύσιν, τὸ δ' ὕστερον μετὰ τὴν ἔξοδον ἐπιρραινόμενον αὔξει τε καὶ ζῷα ποιεῖ. ἐπεὶ οὖν, ὡς εἴρηται, κατὰ τὸν αὐτὸν χρόνον, καθ' ὃν αἱ θήλειαι τὰ ᾠὰ ἔχουσι, καὶ τοῖς ἄρρεσιν ὑπάρχει ὁ θορός, δῆλον ὡς προωχεύθησαν. ἐν δὲ τῇ λέξει ὥσπερ γὰρ καὶ τῶν ὀρνέων γένος ἐν ἐνίοις τὸ ἐν ἐνίοις πρόσκει|ται, ἐπειδὴ οὐ πάντα 72r φέρουσιν ὑπηνέμια· εἴρηται γὰρ τὰ γαμψώνυχα μὴ φέρειν ὑπηνέμια. καὶ τοῖς μὲν ὄρνισι διὰ τὸ τέλεια ἐξιέναι τὰ ᾠὰ ἀνάγκη τὸ ἄρρεν ἐντὸς τῶν

1 ἀνακάμπτειν libri et Arist. PSY: ἀνακάπτειν Arist. vulg. 2 εἰς τοὺς θήλεις Arist. SY et IL infra v. 6. 7: εἰς τὰς θήλεις IL: εἰς τὸ θῆλυ K: τοὺς θ. Ar. vulg. 3 γὰρ om. Ka ἄρρενας K εἶναι ante ἐν ponit K 4 post μὲν add. ἄρρεν Ka θήλει a οὐ διὰ—θήλεις (7) 6 θηλείας a 6. 7 τὰς θηλείας a 7 τοῦ σπέρματος om. K 9 τῶν θηλειῶν K 10 τοῦ ὄπισθεν Ka 11 αὐτοῦ IL 12 πῶς λέγει IL[1] 13 γὰρ om. IL χρόνον libri et Arist. Y: καιρὸν Arist. vulg. τὸν θορὸν—ἄρρενες (15) om. IL 15 πάντῃ] πάμπαν a 16 καὶ σύμμετρον—πληρῶσαι (17) post αὔξεται (18) ponunt, deinde αὐτάς—αὔξεται (17. 18) iterant IL 17 συνδυάζουσι K 18 ἐν τῷ θήλει K: ἐν τῆς θήλεσι a τοῖς σπέρμασι K 19 post τέλος δὲ add. δὴ (δεῖ L) τὸ σύνδρομον καὶ ἰσοχρόνιον γίνεσθαι (cf. 20. 21) IL θύραθεν K 20 ἰσοχρόνον (sic) a 23 συνέστηκε La 24 ἐπιρραινόμενον ante μετὰ (23) ponit K ὡς εἴρηται post καθ' ὃν (25) IL 25 χρόνον om. IL: καιρὸν a ὑπῆρχεν a 28 εἴρηται—ὑπηνέμια om. L 29 διὰ τὰ τέλεια ex corr. I ἐντὸς] ἔτι ἐντὸς ὄντων Ka

ῳῶν ἐνόντων ἐπιρραίνειν αὐτά (τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἔτι ἐντὸς 72r
ὄντων ἀνάγκη τοῦτο συμβαίνειν· εἴρηται γὰρ ὅτι εἰ μὴ ὀχεύεται καθ'
ἑκάστην, ὡς ἐπὶ τὸ πλεῖστον οὐ τελειοῦται τὰ ῳά), τοῖς δ' ἰχθύσι γίνεται 10
τὸ ἐπιρραίνεσθαι ἐκτός. τὸ δὲ διὸ καὶ συγκαταβαίνει ἅμα ἐλαττού-
5 μενος, τὸ δὴ συγκαταβαίνει ἴσον ἐστὶ τῷ συνελαττοῦται· ὅσον γὰρ ἐξερ- 15
χόμενα τὰ ῳὰ ἐλαττοῦται, τοσοῦτον καὶ ὁ θορὸς διὰ τὸ συνεξέρχεσθαι
αὐτοῖς. ἀλλὰ καὶ τὴν λέξιν τὴν τὰς δὲ ἀνακάμψεις τοῦ θοροῦ καὶ 20
τῶν ῳῶν καὶ οἱ ἁλιεῖς περὶ τῆς κυήσεως τῶν ἰχθύων τὸν εὐήθη
λέγουσι λόγον οὕτως ἀναγνωστέον ‘πρὸς τοῖς ἁλιεῦσι καὶ Ἡρόδωρος τὸν
10 εὐήθη λέγει λόγον περὶ τῆς ἀνακάμψεως τοῦ θοροῦ καὶ τῶν ῳῶν’· καὶ τίς 25
ὁ εὐήθης λόγος, σαφῶς ἐπάγει. ὁ δὲ κολοιός ἐστιν ὄρνεον ὅμοιον κοττύφῳ.
ποιοῦνται δὲ καὶ τὰ περιστερώδη τὴν ἐν τοῖς ῥύγχεσι πρὸς ἄλληλα κοινω- 30
νίαν, ἀλλὰ διὰ τὸ ὁρᾶν αὐτοὺς αὐτὰ πολλάκις τῆς ἡμέρας ὀχευόμενα οὐκ
ἠθέλησαν εἰπεῖν ὅτι κατὰ τὸ στόμα μίγνυνται· τούτου γάρ ἐστι δηλωτικὸν 35
15 τὸ διὰ τοῦτο ταύτης οὐ τετυχήκασι τῆς φήμης. διὰ τοῦτο οὖν,
φησί, ταύτης οὐ τετυχήκασι τὰ περιστερώδη τῆς φήμης ὑπὸ τῶν φυσικῶν.
ἡ δὲ ὕαινα ὄνομά ἐστι θηλυκὸν κατηγορούμενον κατὰ τῶν ἀρρένων καὶ 40
θηλειῶν ὑαινῶν· ὕαινα γὰρ λέγεται καὶ ὁ ἄρρην ὥσπερ καὶ ἡ θήλεια.
ἔστι δὲ ἡ ὕαινα ζῷον ὅμοιον λύκῳ, ὅπερ ἐν Ἐφέσῳ νῦν ὁ πολὺς ἄνθρωπος 45
20 γάννον ὀνομάζει. λέγουσι δὲ ὡς ὦπται ὕαινα ἄρρην ἔχουσα αἰδοῖον ὑαίνης
θηλείας. φησὶν οὖν οὗτος ἔχειν | μὲν τὰς ἄρρενας ὑαίνας ὑπὸ τὴν κέρκον 72v
γραμμὴν ὁμοίαν αἰδοίῳ θηλείας, οὐκ εἶναι δὲ αἰδοῖον, ἀλλὰ διὰ τὸ πολλάκις
καὶ μᾶλλον ἁλίσκεσθαι τοὺς ἄρρενας ὁρῶντες τὴν γραμμὴν νομίζουσιν αὐτὴν 5
αἰδοῖον εἶναι· εἰ δὲ ἥλω θήλεια, εἶδον ἂν αὐτὴν ἀριδήλως μόνον ἔχουσαν
25 τὸ τῶν θηλειῶν αἰδοῖον, καὶ οὐδέν τι πλεῖον. ἀλλὰ περὶ μὲν τούτων,
φησίν, ἅλις.

p. 757ᵃ14 Περὶ δὲ τῆς τῶν ἰχθύων γενέσεως ἀπορήσειεν ἄν τις.

Ἡ μὲν οὖν ἀπορία τοιαύτη, διὰ τί τῶν σελαχωδῶν οὔθ' οἱ ἄρρενες 10
προΐενται τὸν θορὸν οὔθ' αἱ θήλειαι τὰ ῳά, τῶν δὲ μὴ ζωοτοκούντων
30 ἀμφότερα τὰ γένη προΐενταί τε καὶ ἀπορραίνουσιν· αἱ μὲν γὰρ θήλειαι τὰ 15
ῳά, οἱ δ' ἄρρενες τὸν θορόν. ἡ δὲ λύσις ὧδ' ἔχει· οἱ μὲν οὖν ἄρρενες τῶν

1 ἐνόντων om. Ka αὐτὸ a 2 συμβῆναι Arist. 3 ἰχθύοις a
4 καὶ om. IL συγκαταβαίνειν a 4. 5 ἐναλλαττόμενον L: ἐναλλαττούμενον I
5 post τῷ add. συμπληροῦται IKL 6 ῳὰ om. K 8 post κυήσεως add. λέγουσι I
9 Ἡρόδωρος] immo Ἡρόδοτος; cf. Arist. p. 756ᵇ6 Herod. B 93 10 λέγει] λέγων IL: om. K post λόγον add. λέγουσι K 11 καττύφω L 14 μίγνυται K 15 διὰ τοῦτο οὖν—περιστερώδη (16) om. sed suppl. in marg. L 16 φησί om. K 17 κατηγορουμένη IL ante κατὰ add. καὶ a τῶν om. K 20 γάννον] sic libri: γλάνον (v. l. γάνον) Arist. Hist. an. Θ 5 p. 594ᵃ31 λέγουσιν οὖν Ka ante ὕαινα add. ἡ IL
αἰδοῖον K 21 οὕτως IL τοὺς IKa 23 μάλιστα K 24 ἥλωθεν a
ἂν om. IL 25 καὶ μηδὲν I: μηδὲν δὲ Ka 29 ζωοτόκων Ka 30 τε om. a 31 ἔχει ὧδε K

σελαχωδῶν οὐ προΐενται τὸν θορόν, ἐπειδὴ οὔκ εἰσι πολύσπερμοι, αἱ θή- 72r
λειαι δὲ ἄνω πρὸς τῷ ὑποζώματι ἔχουσαι τὰς ὑστέρας ὁμοίως ἀδυνατοῦσιν
ἀπορραίνειν τὰ ᾠά. ῥᾷστον μὲν γὰρ ἀπορραίνειν ταῖς ἐχούσαις τὰς ὑστέρας
κάτω πρὸς τοῖς ἄρθροις, ταῖς δ' ἄνω καὶ πρὸς τῷ ὑποζώματι οὐ ῥᾷστον.
λέγει δὲ καὶ ὁμοίως διαφέρειν τὰ ἄρρενα πρὸς τὰ ἄρρενα καὶ τὰ θήλεα
πρὸς τὰ θήλεα. ὥσπερ γὰρ οἱ ἄρρενες τῶν σελαχωδῶν ὀλιγοχούστεροί εἰσι
τῶν ἀρρένων ἰχθύων, οὕτω καὶ αἱ θήλειαι σελαχώδεις τῶν θηλειῶν ἰχθύων.
τὰ δὲ τῶν ἰχθύων ᾠὰ τρόπον τινὰ ἔοικε τοῖς σκωληκοτοκοῦσι· τὸ δὲ τρόπον
τινὰ πρόσκειται διὰ τὸ ἐπαχθὲν τὸ ἔτι γὰρ ἀτελέστερον προΐεται τὸ
κύημα· τὰ γὰρ κυήματα τῶν σκωληκοτοκούντων ἀτελέστερά εἰσι τῶν κυη-
μάτων τῶν ἰχθύων, ταῦτα δ' ἐστὶ τὰ ᾠά. ἐοίκασι δὲ πάλιν, διότι ἀμ-
φότερα, ὥσπερ εἴρηται, ὁμοίως τῇ ζύμῃ αὔξεται. καὶ τὰ μὲν τῶν ἰχθύων
ᾠὰ ἐπειδὴ οὐκ ἔχουσι κεχωρισμένον ἐκ τοῦ ὠχροῦ τὸ λευκόν, οὐδένα καιρὸν
ἔχουσιν ὡρισμένον, ἀλλ' ὅταν ἐπιρράνῃ αὐτῷ | ὁ ἄρρην τὸν θορόν, 73r
τελειοῦται· τὰ δὲ τῶν ὀρνίθων ἐπεὶ κεχωρισμένον ἔχουσι τὸ λευκόν, εἰ μὲν
πρὸ τοῦ ἄρξασθαι μεταβάλλειν εἰς λευκὸν τὸ ὑπηνέμιον ἐπιρράνῃ ὁ ἄρρην,
τελειοῦται, εἰ δὲ μετὰ τὸ χωρισθῆναι τὸ λευκὸν ἐκ τοῦ ὠχροῦ ἐπιρράνῃ, οὐ
τελειοῦται. ἔχει γὰρ ἤδη τὴν ἀπὸ τοῦ ἄρρενος ἀρχήν, τουτέστιν ὅπερ
γὰρ ἤμελλε ποιῆσαι ἡ ἀπὸ τοῦ ἄρρενος ἀρχή, γέγονε καὶ χωρὶς ἐκείνης.
ἡ γὰρ τοῦ ἄρρενος ἀρχὴ εἰσελθοῦσα ἅμα τε χωρίζει τὸ λευκὸν ἀπὸ τοῦ
ὠχροῦ καὶ ἅμα δίδωσιν αὐτῷ τοὺς λόγους τῆς αἰσθητικῆς ψυχῆς, τοιωσδὶ
συμπέττουσα αὐτὸ ἐν τῷ διακρίνειν ἀπ' ἀλλήλων τό τε λευκὸν καὶ τὸ ὠχρόν·
ὑφ' αὐτῶν δὲ χωρισθέντα οὐκέτι μετὰ τοῦτο δοῦναι δύναται· δεῖται γὰρ
τῆς τοιασδὶ συμπέψεως, ἣν ἡ τοῦ ἄρρενος ἀρχὴ ποιεῖ. τὸ δ' ὑπηνέμιον ὡς
μὲν φυτοῦ κύημα τέλειόν ἐστιν· ἔχει γὰρ τὴν θρεπτικὴν καὶ αὐξητικὴν
ψυχήν, ἣν ἔχουσι καὶ τὰ τῶν φυτῶν κυήματα, ἣν θρεπτικὴν καὶ αὐξητικὴν
ἀμφότερα διδόασι καὶ τὸ ἄρρεν καὶ τὸ θῆλυ· ὡς δὲ κύημα ζῴου ἀτελές·
δεῖται γὰρ τῆς αἰσθητικῆς, ἣν μόνον τὸ ἄρρεν δίδωσιν.

p. 757b27 Τὰ δ' ἐξ ὀχείας μὲν γενόμενα ᾠά, διακεκριμένα δ' εἰς
τὸ λευκὸν γίνεται κατὰ τὸ πρῶτον ὀχεῦσαν.

Ἀπορήσειεν ἄν τις πρὸς τὰ λεγόμενα, πῶς πρότερον λέγων ὅτι οἱ νεοττοὶ κατὰ τὸν ὕστερον ὀχεύσαντα γίνονται, νῦν φησιν ὅτι κατὰ τὸν πρότερον. ἢ αὐτὸς ἔλυσε τὴν ἀπορίαν πάνυ ἀκριβῶς θεὶς τὸ διακεκριμένον εἰς τὸ λευκόν, δυνάμει λέγων ὡς εἰ μὲν ἡ ὀχεία τοῦ ὕστερον ὀχεύσαντος

1 ἐπεὶ K πολύσπερμα L 2 ἔχουσι L 5 τὰ post διαφέρειν om. IL πρὸς τὸν ἄρρ. IL 5 et 6 θήλεια a 6 ὀλιγοχθύστεροι IL¹ 8 τρόπον τινα om. K 14 ὅτε ἂν IKL αὐτῷ om. K: αὐτῆς a 15 ἐπειδὴ a 16 ἐπιρράνειν a 17 ἐπιρράνει a 18 ὅπερ] ὥσπερ IL 19 γὰρ om. K ἀρχή] γονὴ Ka 23 χωρισθέντα] exspectas χωρισθέντων 26 ψυχήν—αὐξητικὴν om. et ante ἀμφότερα (27) inserit ἣν K 27 ζῴου add. L²: om. IKL¹a 31 ἀπορήσειε δ' ἄν K 32 γίνονται ex γίνεται corr. I ὅτι om. IL 33 post ἢ add. ὁ K πάνυ ἀκριβῶς] καλῶς πάνυ K 34 ὡς om. Ka

γένηται πρὸ τοῦ μεταβαλεῖν εἰς τὸ λευκόν, γίνεται κατὰ τὸν ὕστερον ὀχεύσαντα, εἰ δὲ μετὰ τὸ μεταβαλεῖν εἰς τὸ λευκὸν ὀχεύσει, τότ' ἀκριβῶς ἤδη γίνεται κατὰ τὸν πρότερον. ἔχει γὰρ ἤδη εἰς τὸ λευκὸν μεταβεβληκὸς ἀμφοτέρων τὰς ἀρχάς, τήν τε τοῦ θήλεος καὶ | τὴν τοῦ ἄρρενος, ὥστε 73ᵛ οὐκέτι δεῖται ἄλλου τινός. τὸ δὲ λεγόμενον ὑπὸ τῆς λέξεως τῆς τὸ γὰρ ταῦτα μὲν ἐξ ὀχείας οἴεσθαι, ἐκεῖνα δὲ μή, ἄλογον τοιοῦτον ἂν εἴη· τὸ γὰρ οἴεσθαι τὰ μὲν μαλάκια ἐξ ὀχείας τίκτειν (φαίνονται γὰρ πολλάκις συνδυαζόμενα) τοὺς δ' ἄλλους ἰχθῦς μὴ ἐξ ὀχείας ἄλογον. εἰ δὲ διέλαθεν αὐτοὺς καὶ ὁ τῶν μαλακίων συνδυασμός, σημεῖον πολλῆς ἀπειρίας καὶ ἀγνοίας περὶ τὰ πράγματα. γίνεται δὲ τούτοις τοῖς μαλακίοις ὁ συνδυασμὸς χρόνιος διὰ τὴν ἐκ φύσεως ψυχρότητα· ψυχρὰ γὰρ ὄντα τὴν φύσιν δέονται πολλῆς κινήσεως πρὸς τὸ θερμανθῆναι.

p. 758ᵃ8 Αἴτιον δ' ὅτι ἡ μορφὴ στρογγύλη τὴν ἰδέαν οὖσα καὶ σφαιροειδής.

Αἴτιον, φησί, τοῦ τὸ τῶν πολυπόδων ᾠὸν ἓν εἶναι τὸ τὴν ἰδέαν αὐτῶν σφαιροειδῆ καὶ στρογγύλην εἶναι· συσχηματίζεται γὰρ αὐτῇ τὸ ᾠὸν καὶ οὐκ ἐᾶται διάδηλον φαίνεσθαι τὴν ἐν αὐτῷ σχίσιν. λέγει δὲ καὶ τὰ καραβώδη τὰ θήλεα πρὸς ἑαυτὰ ποιεῖσθαι τὸν τόκον· οὐ γὰρ ἀπορραίνουσιν ἐν τῇ γῇ τὰ ᾠὰ ὥσπερ οἱ ἰχθύες, ἀλλὰ πλάκας ἔχοντα ἐν τοῖς ὀπτίοις πρὸς τῷ οὐραίῳ ἐκεῖσε ἐναποτίθενται καὶ ζῳογονοῦσι, καὶ οὕτως ἐκτίκτει αὐτὰ ζῷα δηλονότι καὶ οὐκ ᾠά. καὶ τοῖς μὲν θήλεσι τῶν μαλακίων ἐπιρραίνει ὁ ἄρρην, καὶ γίνεται τὰ ᾠὰ ἕν τι καὶ συνεχές, ὥσπερ ζόμη ἢ ἄλλο τι κολλῶδες, οἷον ἰξὸς ἢ ἄλλο τι. τοῖς δὲ καραβώδεσιν ἐν μὲν τῷ συνδυασμῷ ἐπιρραίνει, μετὰ δὲ τὸ ἐξελθεῖν τὰ ᾠὰ εἰς τὰς πλάκας ὑπὸ τὰ ὄπτια ὄντα οὐκ ἐπιρραίνει (ἀδύνατον γάρ), οὔτε μὴν κἂν ἐπέρραινεν, ἕν τι ἐξ αὐτῶν καὶ κολλῶδες ἐγίνετο· σκληρὰ γάρ εἰσι. λαμβάνουσι δὲ τὰ ᾠὰ τῶν καραβωδῶν τὴν αὔξησιν ἐν ταῖς πλαξίν, ὥσπερ τὰ τῶν ἄλλων ἐν τῇ ἰλύι. ὁ δὲ νεοττὸς τῆς σηπίας (τοῦτο γὰρ εἶπεν ἡ γενομένη σηπία τοῖς ᾠοῖς) ὁ δὴ νεοττὸς ὁ γεγονὼς ἐκ τοῦ ᾠοῦ προσπέφυκε κατὰ τὸ πρόσθεν. τῶν μὲν γὰρ ἄλλων κάτω πρὸς τοῖς ἄρθροις εἰσὶ σχεδὸν οἱ νεοττοὶ προσπεφυκότες, ὁ δὲ τῆς σηπίας ἔμπροσθεν πρὸς τῇ μύτιδι, διὰ τὸ τὴν φύσιν εἰς ἓν συναγαγεῖν τὰ ἔμπροσθεν καὶ τὰ ὄπισθεν καὶ ποιῆσαι οἷον κύκλον τὸ σῶμα αὐτῶν ἢ σφαῖραν.

---

2 fort. ὀχεύσῃ τὸ δ' ἀκριβῶς a: τοῦτο ἀκρ. K 3 τὸ πρότερον K μεταβεβηκὸς a 4 ἀμφοτέρας Ka τὴν post καὶ om. K 6 ἄλογον] θαυμαστὸν Arist. 11 τὴν τῆς φύσεως Ka 13 δ' ὅτι ἡ IKL Arist. S: δ' ἡ Arist. vulg. 15 αὐτοῦ IL 16 αὐτοῦ IL 17 σχέσιν IL 18 τόκον] γόνον Ka 19 τὰ ᾠὰ post ἀπορραίνουσιν (18) ponit K γῇ in lac. II vel III litt. om. IL 20 ἐκεῖσε ἐναποτίθενται] ἐκεῖ (lac. X fere litt.) IL 21 ταῖς L μαλακῶν IL 22 post ἄλλο add. δὲ IL 23 μὲν om. IL 26 καὶ om. K 27 ὡς K δὲ om. IL 28 τοῦτον Ka γενομένη KL Arist. Z: γινομένη la Arist. vulg. ὁ post νεοττὸς om. K 30 εἰσὶ om. L σχεδὸν ante κάτω ponit K σχεδόν εἰσιν coll. a 32 ἢ] καὶ I

p. 758ᵃ27 Περὶ δὲ τῶν ἐντόμων καὶ τῶν ὀστρακοδέρμων λεκτέον.

Ἐντεῦθεν περὶ τῆς τῶν ἐντόμων καὶ τῶν ὀστρακοδέρμων γενέσεως λέγει κατὰ τὴν ὑφηγημένην μέθοδον, ὑφηγημένην λέγων τὴν ἀπόδοσιν τοῦ τρόπου τῆς γενέσεως, ὃ ταὐτόν ἐστι τῷ τὸ ποιητικὸν ἀποδιδόναι, ὅ|περ 74ᵃ ἐν τῷ Περὶ ζῴων μορίων παρείασεν. εἰπὼν δὲ πρὸς τούτοις σκωληκοτοκεῖν, ἐπήγαγε σχεδὸν γὰρ ἔοικε πάντα, καὶ τὰ ὑπόποδα καὶ τὰ ἄποδα, σκωληκοτοκεῖν πρῶτον, καὶ τὴν αἰτίαν τούτου ἐπήγαγε διὰ τοῦ τὸ γὰρ ἀτελὲς κύημα τοιοῦτόν ἐστιν· ὥστε εἰ πάντων τὰ κυήματα πρῶτον ἀτελῆ ἐστι, τὸ δ' ἀτελὲς σκώληξ ἢ οἷον σκώληξ ἐστί, πάντα ἄρα σκωληκοτοκεῖ. τὸ δὲ τρόπον τινὰ πρόσκειται, διότι οὐ κυρίως σκώληξ ἐστίν, ἀλλ' ὥσπερ ὅλως ὁ σκώληξ ἐξ ἀτελοῦς εἰς ἄλλο τι ὂν μεταβάλλει τέλειον, οὕτω καὶ τὸ κύημα. ἀλλὰ καὶ ἐν τοῖς ἐντὸς ᾠοτοκοῦσι τέλειον ᾠὸν τὸ κύημα τὸ πρῶτον ἀδιόριστον ⟨ὂν⟩ λαμβάνει τὴν αὔξησιν· οὐ γὰρ ἔχον ἐν ἑαυτῷ περιγεγραμμένα καὶ ἐσκιαγραφημένα τὰ τοῦ ζῴου μόρια αὔξει, ἀλλὰ μετὰ τὸ αὐξηθῆναι καὶ τέλειον ᾠὸν γενέσθαι σκιαγραφεῖται, ὡς πολλάκις εἴρηται. τοιαύτη δὲ καὶ ἡ τοῦ σκώληκος φύσις· καὶ γὰρ καὶ ἐν τούτῳ ὕστερον μετὰ τὸ αὐξηθῆναι σκιαγραφοῦνται καὶ τὰ μόρια τοῦ γινομένου ἐξ αὐτοῦ. μετὰ δὲ τοῦτο, φησί, τουτέστι μετὰ τὸ εἰπεῖν τὰ προσεχῶς ἡμῖν ῥηθέντα, εἴπομεν ὅτι τὰ μὲν ᾠοτοκεῖ τὸ κύημα τέλειον, τὰ δ' ἀτελές. καθάπερ δέ, φησίν, ἂν ἀφέλῃ τις τὸ τῶν ᾠῶν ὄστρακον, τὸ καταλειφθὲν ὁ ἐφεξῆς τῶν ὀστράκων ὑμήν ἐστι μετὰ τοῦ λευκοῦ καὶ τοῦ ὠχροῦ, οὕτω τυγχάνει ὂν καὶ τὸ κύημα πρῶτον περιεχόμενον ὑμένι. τὰ δὲ γεννῶντα τῶν ἐντόμων ἐπειδὰν γεννήσῃ, τὰ γεννηθέντα σκωληκές εἰσι, καὶ τὰ γινόμενα μὴ δι' ὀχείας ἀλλ' αὐτομάτως, οἷον αἱ χρυσαλλίδες, ἐκ τοιαύτης σκωληκώδους γίνονται τὸ πρῶτον συστάσεως (ἐκ τῆς κάμπης γὰρ γίνονται, ἥτις σκώληξ ἐστίν), ἄλλα δὲ ἐκ τῶν ἀραχνίων· καίτοι δόξειεν ἂν τὰ ἀράχνια ᾠοῖς ἐοικέναι διὰ τὸ περιφερὲς τοῦ σχήματος· οὔκ εἰσι δὲ ᾠά. εἰ γὰρ τῷ ᾠῷ τὸ εἶναι ᾠόν ἐστιν ἐν τῷ τὸ μὲν αὐτοῦ ζῷον γίνεσθαι, τὸ δὲ τροφήν (οὐ γὰρ ἅπαν τοῦ ᾠοῦ δύναμιν ἔχει εἰς ζῷον μεταβάλλειν, ἀλλὰ τὸ λευκὸν μόνον) τῶν δ' ἀραχνίων καὶ τῶν ἄλλων ἁπάντων αἱ ὁλότητες ὅλαι δύνανται μεταβάλλειν εἰς ζῷα, οὐκ ἂν εἶεν ᾠά. οὐ δεῖ

1 post καὶ add. αὐτῶν IL 2 τῶν post καὶ om. IL 3 μέθοδον] μέγεθος K ὑφηγημένα λέγων a 5 post πρὸς add. δὲ Ka 5. 6 σκωληκοτοκεῖ Ka 8 ἀτελέστατον (v. l. ἀτελέστερον) Arist. 9 ἀτελές ἐστι IK ἢ om. a 11 ὅλως] ὅλος IK ὁ om. L ὂν] ὅλον Ka 12 ἐν om. K ἐντὸς om. IL 13 τὸ] τέλεον K ὂν addidi ἔχον ἐν] ἔχει IL 14 ἐσκιαγραφόμενα a 15 καὶ] ἢ K σκιαγραφοῦνται ILa 16. 17 ἐν τούτοις ὑστέρα L 17 καὶ om. Ka 18 post εἰπεῖν add. ἡμᾶς Ka 19 ἡμῖν om. Ka post εἴπομεν add. γὰρ IL¹ (del. L²), δὲ K 19. 20 τὰ δ' ἀτελές om. IKL¹a, add. L² 20 ἢν K ἀφέλοι IKa 21 τῶ ὀστράκω Ka 22 ὂν κατὰ τὸ κύημα Ka 24 αὐτόματα Ka 25 σκωληκώδους γίνονται] σκωλήκων εἰσὶ L 26 γίνεται I ἥτις] εἴ τις I ἀλλὰ libri ἀραχνῶν IL 28 post γὰρ add. αὐτῷ K εἶναι ᾠὸν in lac. om. L 29 τροφή ILa 29. 30 μεταβαλεῖν Ka 31 ὅλα K

οὖν, φησί, λέγειν ὡς ἐπειδὴ σχῆμα ἔχει τοιονδὶ καὶ ὑγρότητα ἢ σκληρότητα τοιανδί, ᾧόν ἐστιν ἢ σκώληξ, ἀλλὰ τῷ ὅλον μεταβάλλειν καὶ μὴ ἐκ μορίου τινὸς γίνεσθαι τὸ ζῷον προελθόν, τουτέστιν, ἀλλ' εἰ μὲν ὅλη ἡ ὁλότης αὐτοῦ δύναται μεταβαλεῖν εἰς ζῷον, τοῦτο σκώληκα ῥητέον, εἰ δὲ μόριον μέν τι αὐτοῦ δύναται μεταβάλλειν εἰς ζῷον, μόριον δέ τι μὴ δύναται, τοῦτο ᾧὸν λεκτέον. τὸ δὲ τὰ δὲ πάντα σκωληκώδη ταὐτὸν ἐστι τῷ προσεχῶς ῥηθέντι τῷ ἀλλὰ τῷ ὅλον μεταβάλλειν· ἐστὶ γὰρ τὸ λεγόμενον 'τὰ δὲ δύναμιν ἔχοντα ὅλα μεταβάλλειν, ταῦτα πάντα σκωληκώδη ῥητέον'. |

p. 758ᵇ19 Τούτου δ' αἴτιον ὅτι ἡ φύσις ὡσανεὶ πρὸ ὥρας ᾧοτοκεῖ διὰ τὴν ἀτέλειαν τὴν αὐτῆς. 74ᵛ

Τὴν αἰτίαν διὰ τούτων λέγει, τίνος ἕνεκα πρῶτον μὲν σκώληξ γεννᾶται κινούμενος καὶ ὅλως ζῷον ὑπάρχων, εἶτα αὐξηθεὶς ᾧὸν γίνεται ἀναίσθητον καὶ ἀκίνητον, εἶθ' οὕτω πάλιν ζῷον ἕτερον παρὰ τὸν σκώληκα. λέγει οὖν ὅτι ἡ τῶν ἐντόμων φύσις ἀδυνατοῦσα θρέψαι ἐν αὐτῇ καὶ τελειῶσαι τὸ κύημα διὰ τὴν οἰκείαν ἀσθένειαν, ἀτελὲς αὐτὸ γεννᾷ· ὥστ' εἴπερ πρὸς τῷ ἀτελὲς αὐτὸ γεννᾶν καὶ ἄψυχον ἐγέννα καὶ ἀναίσθητον, ἐφθείρετο ἄν· εἰ δὲ τοῦτο, τάχιον ἂν ἐκ τοῦ παντὸς ἐξέλιπε τὸ τῶν ἐντόμων γένος. διά τοι τοῦτο γεννᾷ ζῷον ἐξ ἑαυτοῦ δυνάμενον τρέφεσθαι, καὶ τρέφεται ἕως ἂν τελειωθῇ, τελειωθὲν δὲ θνήσκει· τὸ γὰρ ζῆν καὶ ἐσθίειν δέδοται αὐτῷ διὰ τὸ τέλειον γεγονέναι, ἐπειδὴ δὲ τετελείωται, οὐκέτι χρεία αὐτῷ τοῦ ἐσθίειν, ὥστε οὐδὲ τοῦ ζῆν. καὶ ἐπὶ τούτῳ θνήσκει, καὶ ἔστι τότε οἷον ᾧὸν κύκλῳ περιεχόμενον ὑπὸ τοῦ κελύφους· εἶθ' οὕτως τὸ ἐντὸς ὑπάρχον τούτου τοῦ κελύφους ὑπὸ τῆς ὥρας ὥσπερ ὑπὸ ὄρνιθος συμπεφθὲν καὶ εἰς ζῷον μεταβαλὸν ἕξεισιν. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια αὕτη. ἐν δὲ τῇ λέξει τῇ ὡς ὄντος τοῦ σκώληκος ἔτι ἐν αὐξήσει ᾧοῦ μαλακοῦ τὸ ἐν αὐξήσει ἴσον ἐστὶ τῷ ὅτε αὔξεται ὁ σκώληξ, ᾧόν ἐστι μαλακόν, τελειωθεὶς δὲ ξηραίνεται κύκλῳ ὁμοίως τῷ τῶν ὀρνίθων ᾧῷ.

p. 758ᵇ21 Τὸν αὐτὸν δὲ τρόπον συμβαίνει καὶ ἐπὶ τῶν ἄλλων τῶν μὴ ἐξ ὀχείας γινομένων ἐν ἐρίοις.

Ἔρια λέγει νῦν καὶ τὴν καλουμένην ὑπὸ τῶν πολλῶν μέταξαν· σκώ-

---

1 ὑγρότητι ἢ σκληρότητι a 2 ὅλον] ὅλῳ ILa μὴ om. ILa 3 προελθόν et 6 τὰ δὲ πάντα a Arist. PSY: προελθόντα δὲ πάντα Arist. vulg. 3 προελθόν om. K: προσελθὸν IL 4 ἡ ὁλότης ὅλη coll. Ka μεταβάλλειν K τοῦτο—ζῷον (5) om. K 5 μέν τι] μέντοι I 6 τὸ δὲ—λεγόμενον (8) om. K 7 ὅλον scripsi: ὅλῳ libri 10 ὡσπεραναὶ Arist. 11 αὐτοῦ KL 13 ὅλος a 14 λέγων I 17 ἐγέννα ἢ ἀναίσθητον Ka 18 παντὸς] περιόντος a 19 δυνάμενον ἐξ αὐτοῦ K 20 δίδοται K 22 ἐπὶ τοῦτο a 23 ὑπάρχει L 24. 25 μεταβαλὼν a 26 ἔτι τοῦ σκώληκος coll. K 26. 27 τὸ ἐν αὐξήσει om. IKL 27 τελειωθὲν a 29 τρόπον συμβαίνει libri et Arist. P: συμβαίνει post ἄλλων Arist. vulg. ante τῶν μὴ add. πάντων Arist. 30 μὴ om. IKL¹ 31 λέγων K καὶ νῦν coll. K

ληκες γάρ τινες ταύτην τὴν μέταξαν γεννῶσιν. ἴσως δὲ οὐδὲν κωλύει τῆν 74v
τούτων γένεσιν ἱστορῆσαι. ζῷά τινα πτηνὰ ὀχεύουσιν ἄλληλα, τὰ ἄρρενα
δηλαδὴ τὰ θήλεα, ἐκ δὲ τῆς τούτων ὀχείας γεννᾶται σκώληκώδη τινά, 25
ἀναίσθητα μέντοι, ἃ δὴ συλλέξασαι αἱ περὶ τὴν μέταξαν πονοῦσαι γυναῖκες
5 καὶ ὑπὸ τὸν κόλπον ἐμβιβάσασαι θερμαίνουσιν, ἕως ἂν αἴσθησιν λάβῃ καὶ
ζῷα γένηται. ζῴων δὲ γεγονότων, τίθενται αὐτὰ εἰς κόσκινα καὶ διδόασιν 30
ἐσθίειν φύλλα συκαμίνων, ἐξ ὧν φύλλων τρεφόμενα αὔξονται καὶ οὕτως
ἐργάζονται τὸ κέλυφος κύκλῳ ἕκαστον αὐτῶν, καὶ ἔστι τὸ κέλυφος ὃ ἀνα- 35
λύουσιν εἰς μέταξαν· εἶτα ἀποθνήσκει. καὶ μετὰ χρόνον τινὰ τοῦ κελύφους
10 ῥαγέντος ἐξέρχεται ζῷον πτηνὸν ὅμοιον τῷ γεννήσαντι τὸν σκώληκα, καὶ 40
τοῦτο ἀεὶ οὕτω γίνεται. πάλιν γὰρ ἐκ τοῦ πτηνοῦ τούτου γεννᾶται σκώληξ,
ἐκ δὲ τούτου ἔριον κέλυφος καὶ πτηνόν, καὶ πάλιν ἐκ τοῦ πτηνοῦ τούτου
σκώληξ, καὶ οὕτως ἀεί. καλεῖ δὲ τὰ πτηνὰ πεζά, οἶμαι, διὰ τὸ καὶ αὐτὰ 45
τὸν πλείονα χρόνον πεζεύειν. εἰπὼν δὲ | ὅτι καὶ τῶν μελιττῶν αἱ νύμφαι, 75r
15 ἐπήγαγε καὶ τοιοῦτον οὐδὲν ἔχουσιν, ὃ ταὐτόν ἐστι τῷ καὶ τροφὴν
οὐδὲν λαμβάνουσι μετὰ τὸ γενέσθαι νύμφας. ἐν τῇ λέξει τῇ ὅθεν τρε-
φομένοις ἐπιγίνεται τοιοῦτον περίττωμα τὸ τοιοῦτον περίττωμα ἀντὶ
τοῦ ἡ τροφὴ εἴρηται. ἔστι δὲ τὸ λεγόμενον 'ὅθεν ἐπιγίνεται αὐτοῖς ἡ
τροφὴ τρεφομένοις'. ζητήσειε δ' ἄν τις, οἶμαι, καὶ ἐκ τῶν νῦν καὶ ἐκ τῶν
20 μετὰ ταῦτα λεχθησομένων, πῶς εἰπὼν ὅτι ὅλος ὁ σκώληξ μεταβάλλει εἰς 5
ζῷον καὶ τούτῳ διαφέρει ᾠοῦ, τῷ τὸ ᾠὸν μὴ ὅλον δύνασθαι εἰς ζῷον
μεταβάλλειν, νῦν μὲν σκιωδῶς λέγει τὸ μέν τι αὐτοῦ ζῷον γίνεσθαι, τὸ δὲ
τροφήν (τοῦτο γὰρ δύναται τὸ οἱ μὲν ἔχουσιν ἐν ἑαυτοῖς τοιοῦτον,
ἤτοι τροφήν), ἐφεξῆς δὲ καὶ λίαν σαφῶς ἐρεῖ τοῦτο. ἢ οὐ τοῦτο λέγει ὅτι
25 ὅλος ὁ σκώληξ μεταβάλλει, ἀλλ' ὅτι καὶ τὸ γεγονὸς τροφὴ ἠδύνατο ζῷον
γεγονέναι, τοῦ δὲ ᾠοῦ τὸ γεγονὸς τροφὴ ζῷον γενέσθαι οὐ δύναται.

p. 759 a 8 Ἡ δὲ τῶν μελιττῶν γένεσις ἔχει πολλὴν ἀπορίαν.

Ἐκ τῶν φαινομένων συμβαίνειν ταῖς μελίτταις ἐοικέναι λέγει συμβαίνειν 10
αὐταῖς ὅπερ ἐνίοις τῶν ἰχθύων, οἷον χάνναις καὶ ἐρυθρίνοις, περὶ ὧν πολ-
30 λάκις εἴρηται ὅτι δοκοῦσιν ἄνευ ὀχείας γεννᾶν. καὶ τοῦτο εἰπὼν ἐκ διαι- 15
ρέσεως τίθησι τὸ πρόβλημα. ἡμᾶς δὲ καλῶς ἔχει εἰδέναι πρὸ τῆς τῶν
λεγομένων σαφηνείας τὴν Ἀριστοτέλους δόξαν. ἔστι δὲ τὸ τοὺς μὲν 20

1 ταύτην om. K 2 πτηνὰ om. K 3 γεννᾶσθαι a 4 μέν τι a
5 ἐμβιβάσασαι] ἐμβαλοῦσαι K λάβοι K: λάβωσι IL 6 ζῷα δὲ γεγονότα a
αὐτὴν a κόσκινον IL δίδωσιν ILa 7 ἐσθίειν] αὐτὰ a 8 κύκλῳ
om. IL καὶ ἔστι—ἀποθνήσκει (9)] καὶ ἀποθνήσκει, ὃ κέλυφος ἀναλύουσιν εἰς μέταξαν a
ὃ] ὃν IL 10 ζῷα πτηνὰ ὅμοια L 13 post δὲ add. καὶ Ka 14 τὸν
om. IL 15 καὶ post ἐπήγαγε om. IL 16. 17 τρεφομένης IKL[1] 17 ἐπι-
γίνεται—τρεφομένοις (19) om. IL τὸ—περίττωμα om. K 19 καὶ—νῦν om. K
20 ὅλως a 21 τοῦτο IL διαφέρειν Ka 22 μεταβαλεῖν Ka
λέγειν IL μέντοι I 23 post ἑαυτοῖς add. τὸ IL τοιούτω a
24 ἢ om. IL λέγων IL 25. 26 ζῷον γενέσθαι K 26 ζῷον scripsi:
ᾠὸν libri 28 λέγων IL 29 χάναις IL ἐριθρύοις I 31 πρόβλημα L

καλουμένους βασιλεῖς γεννᾶν καὶ ἑαυτοὺς καὶ τὰς μελίττας ἄνευ ὀχείας, 75r
ταύτας δὲ ὁμοίως ἄνευ ὀχείας τοὺς κηφῆνας, τούτους δὲ μηδέν, ἀλλ' ἀργοὺς
καὶ ἀγόνους διατελεῖν. καὶ ἔοικεν εὐλόγως τοῦτο παρηκολουθηκέναι· τῶν 25
μὲν γὰρ βασιλέων δύο ἦσαν τὰ θεῖα καὶ θαυμαστά, τὸ γεννᾶν καὶ ἑαυτοὺς
5 καὶ τὰς μελίττας ἄνευ ὀχείας, τῶν δὲ μελιττῶν ἕν, τὸ γεννᾶν μόνους τοὺς 30
κηφῆνας· λείπεται ἄρα τῶν κηφήνων μηδὲν εἶναι θαυμάσιόν τι. ἀλλὰ
ταῦτα μὲν οὕτω προλελέχθω, ἡ δὲ διαίρεσις τοιαύτη τίς ἐστιν· ἀνάγκη, 35
φησίν, εἰ γεννῶσιν ἑαυτὰς αἱ μέλιτται, καὶ μὴ οἱ βασιλεῖς, ἢ ἄλλοθεν
φέρειν τὸν γόνον (λέγουσι γάρ τινες ὅτι εὑρίσκουσιν αὐτὸν ἔν τισι φύλλοις
10 φυτῶν καὶ πέτραις, ἀφ' ὧν συλλέγουσαι διακομίζουσιν ἐν τοῖς ἀγγείοις, ἐν 40
οἷς εἰσι, καὶ ἐν αὐτοῖς συμπέττουσαι γεννῶσιν ἐξ αὐτοῦ μελίττας) ἢ οὖν
ἄλλοθεν φέρουσι τὸν γόνον, καὶ τοῦτον ἢ αὐτόματον φυόμενον ἢ ἄλλου 45
τινὸς ζῴου τίκτοντος, ἢ αὐτὰς αὐτὸν γεννᾶν, ἢ τὸν μὲν φέρειν κατὰ τὸν
ῥηθέντα | τρόπον, τὸν δὲ γεννᾶν· λέγουσι γάρ τινες ὅτι τὸν μὲν γόνον, ἐξ 75v
15 οὗ γίνονται οἱ κηφῆνες, φέρουσι, τὸν δὲ ἐξ οὗ αἱ μέλιτται, γεννῶσι. καὶ
εἰ γεννῶσιν, ἀνάγκη ἢ ὀχευομένας γεννᾶν ἢ ἀνοχεύτους, καὶ ὀχευομένας γεννᾶν 5
ἤτοι ἕκαστον γένος καθ' ἑαυτό, οἷον αἱ μέλιτται αἱ ἄρρενες ὀχεύουσι τὰς θηλείας
μελίττας, καὶ γεννῶσι μελίττας, καὶ οἱ βασιλεῖς τὰς βασιλίσσας, καὶ γεννῶσι 10
βασιλεῖς, ὁμοίως δὲ καὶ οἱ κηφῆνες κηφῆνας, ἢ ἕν τι αὐτῶν τὰ ἄλλα, οἷον
20 οἱ βασιλεῖς γεννῶσι καὶ ἑαυτοὺς καὶ τὰς μελίσσας καὶ τοὺς κηφῆνας ἢ αἱ 15
μέλιτται ἑαυτὰς καὶ τοὺς βασιλεῖς καὶ τοὺς κηφῆνας, ἢ οἱ κηφῆνες καὶ
ἑαυτοὺς καὶ τὰ ἄλλα. ταῦτα δέ, φησί, πάντα πλὴν ἑνός (οὐ γὰρ πάντα
ψευδῆ· οἱ γὰρ βασιλεῖς καὶ ἑαυτοὺς καὶ τὰ ἄλλα γεννῶσι) πλὴν οὖν ἑνὸς
τἆλλα πάντα ἀδύνατα καὶ ἐκ τῶν συμβαινόντων τοῖς ἄλλοις ζῴοις καὶ
25 αὐτοῖς. καὶ ἐροῦμεν τὴν λέξιν μετερχόμενοι, τίνα τὰ ἐκ τῶν συμβαινόντων
τοῖς ἄλλοις ζῴοις ἀδύνατα καὶ τίνα τὰ ἐκ τῶν αὐτοῖς. εὐθὺς οὖν ἀπαντᾷ
πρὸς τὸ πρῶτον λέγων 'εἰ γὰρ μὴ τίκτουσιν αἱ μέλιτται τὸν γόνον, ἀλλ' 20
ἄλλοθεν φέρουσι, διὰ τί ὁ γόνος καὶ χωρὶς τῶν μελιττῶν αὐτὸς καθ' ἑαυτὸν
οὐ μεταβάλλει ὑπὸ τῆς ὥρας εἰς μελίττας; πολλὰ γὰρ ὑπὸ τῆς ὥρας μετα-
30 βάλλουσιν εἰς ζῷα'. σαφέστατα δὲ ἀπαγγέλλει τὰ ἑξῆς. ἰστέον δὲ ὅτι τὸ
πάντα γὰρ ὅσα πραγματεύεται περὶ τὰ τέκνα ἐκ τῶν τοῖς ἄλλοις
συμβαινόντων τὴν πίστιν ἔχει. αἱ δὲ μέλιτται εἰ ἦσαν ἄρρενες, οἱ δὲ κη-
φῆνες θήλειαι, ἔδει αὐτὰς μὴ διαπονεῖσθαι περὶ τὰ τέκνα· οὐδὲν γὰρ ἄρρεν
διαπονεῖται περὶ τὰ τέκνα, ἀλλὰ κἂν διαπονῆται, ἢ ἧττον ἢ ἐπίσης τῷ

---

3 τούτω a παρακεκολουθῆναι I 4 θεῖα καὶ om. K καὶ post γεννᾶν om. K
5 ἄνευ ὀχείας om. Ka τῶν δὲ] καὶ τῶν IL: τὸ δὲ τῶν a 6 post λείπεται
add. δὲ IL 11 αὐταῖς K αὐτοῦ] αὐτῶν οὖ IL οὖν om. IL
13 γεννᾶν αὐτόν a 14 μὲν om. a 17 οἷον τὰς μελίττας τοὺς ἄρρενας ὀχευούσας
τὰς θ. μελίττας γεννᾶν μελίττας, καὶ τοὺς βασιλεῖς τὰς βασιλείσσας καὶ γεννᾶν βασιλεῖς a
19 καὶ τὸν κηφῆνα κηφῆνας a 19. 20 οἷον τοὺς β. γεννᾶν a 20. 21 ἢ τὰς
μελίττας a 21 ἢ τοὺς κηφῆνας a καὶ ante ἑαυτοὺς om. K 25 ἑαυτοῖς Ka
26 ἄλλοις om. a 27 μὴ supr. vers. K 29 γὰρ ἀπὸ τῆς IL 30 ὅτι
om. IL 32 post συμβαινόντων add. ἤρτηται ὅτι μὲν οὕτως θήλειαι (cf. p. 156,5 c.
not.) IL 33 οὐδεὶς γὰρ ἄρρην IL

θήλει· νῦν δ' οἱ κηφῆνες οὐδ' ὅλως διαπονοῦνται, ἀλλὰ τὴν πᾶσαν ἐπιμέλειαν 75ᵛ
αἱ μέλιτται ποιοῦνται. ἄρρενες μὲν οὖν διὰ τοῦτο οὐκ ἂν εἶεν αἱ μέλιτται. 26
ἀλλὰ μὴν οὐδὲ θήλειαι· εἰ γὰρ ἦσαν θήλειαι, ἔδει αὐτὰς μὴ ἔχειν ὅπλον,
νῦν δ' ἔχουσι τὰ καλούμενα κέντρα. ἰστέον ὅτι καὶ τοῦτο ἐκ τῶν τοῖς
5 ἄλλοις συμβαινόντων ἤρτηται. ὅτι μὲν οὖν οὔτε θήλειαι οὔτε ἄρρενες αἱ
μέλιτται, δῆλον. οἱ δὲ κηφῆνες εἰ μὲν ἦσαν ἄρρενες, εἶχον ἂν ὅπλον, οὐκ
ἔχουσι δέ· ἄκεντροι γάρ εἰσιν· εἰ δὲ θήλειαι, ἔδει διαπονεῖσθαι περὶ τὰ 30
τέκνα, οὐ διαπονοῦνται δέ.

p. 759ᵇ7 Ὅλως δὲ ἐπειδὴ φαίνεται ὁ μὲν τῶν κηφήνων γόνος
10 ἐγγινόμενος καὶ μηδενὸς ὄντος κηφῆνος.

Τὸ ἐγγινόμενος ἀντὶ τοῦ εὑρισκόμενος. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν·
ἐν τῷ ἀγγείῳ, ἐν ᾧ εἰσιν αἱ μέλιτται, μηδενὸς μηδ' ὅλως ὄντος κηφῆνος,
ὕστερον ὁρᾶται ἐν αὐταῖς γόνος κηφήνων, τουτέστι γόνος, ἐξ οὗ γίνονται 35
κηφῆνες· ὁ γὰρ γόνος τῶν κηφήνων ταὐτόν ἐστι τῷ ὁ γόνος ὁ μεταβάλλων
15 εἰς κηφῆνας, ὥσπερ καὶ γόνος μελιττῶν ὁ μεταβάλλων εἰς μελίττας. εἰ δὴ
μὴ ὄντος ὅλως κηφῆνος μετὰ τῶν μελιττῶν ὁρᾶται ἐν αὐταῖς γόνος κηφήνων, 40
δῆλον ὡς οὔτε ἐξ ὀχείας ἀλλήλων τῶν μελιττῶν γίνονται οἱ κηφῆνες (δέ-
δεικται γὰρ ὅτι οὔτε ἄρρεν οὔτε θῆλυ τὸ μελιττῶν γένος ἐστίν) οὔτε μὴν 45
ἐξ ὀχείας κηφήνων καὶ μελιττῶν ὁμοίως γεγόνασιν οἱ κηφῆ|νες· καὶ κη- 76ᵛ
20 φήνων γὰρ ὅλως μὴ ὄντων εὑρίσκονται κηφῆνες. ὑπομνηστέον οὖν ὅτι
τοῦτο ἐκ τῶν συμβαινόντων αὐτοῖς τὴν πίστιν ἔχει. μήποτε ἄρα λεκτέον
ὅτι φέρουσι τὸν τῶν κηφήνων γόνον· τοῦτο γὰρ λείπεται. ἢ δέδεικται καὶ
τοῦτο ἀδύνατον. ἄλλως τε ἐπεὶ καὶ οἱ βασιλεῖς καὶ αἱ ἀνθρῆναι καὶ αἱ
σφῆκες τοῦ αὐτοῦ γένους εἰσὶ τοῦ τῶν μελιττῶν (ὁμογενῆ γὰρ ταῦτα ταῖς
25 μελίτταις), ἔδει κἀκεῖνα ἐκτὸς κομίζειν γόνον· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ 5
καὶ οὐκ εὔλογον μὴ περὶ πᾶν τὸ γένος αὐτῶν ὅμοιόν τι συμ-
βαίνειν πάθος.

p. 759ᵇ20 Κοινὸν δὲ καὶ πρὸς τὴν ἐξ ἀλλήλων γένεσιν καὶ πρὸς
τὴν ἐκ τῶν κηφήνων.

30 Τὸ πρὸς τὴν ἐξ ἀλλήλων ἴσον ἐστὶ τῷ οὔτε ἐξ ἀλλήλων. ἔστι δὲ
τὸ λεγόμενον 'κοινὴ δὲ αἰτία τοῦ μήτε ἐκ τῆς ἀλλήλων τῶν μελιττῶν 10
ὀχείας γίνεσθαι τὰς μελίττας μήτε ἐξ ὀχείας μελιττῶν καὶ κηφήνων τοὺς
κηφῆνας τὸ μηδέποτε ὦφθαι μήτε μέλιτταν ὀχευομένην ὑπὸ μελίττης

1 διαπονεῖται a 3 εἰ—θήλειαι om. IL 4 κέντρα] τέκνα IL 5 οὖν οὕτως θήλειαι IL 6 ὅπλα IL 12 μηδὲν ILa 13 αὐτοῖς IL κηφήνων γόνος coll. K 15 κηφῆνας—μεταβάλλων εἰς om. a post μελιττῶν add. ὁρᾶται ἐν αὐταῖς γόνος κηφήνων (cf. v. 16) IL 16 μὴ ὅλως ὄντος coll. Ka γόνος κηφῆνος IL 19 οἱ κηφῆνες—ὅλως μὴ (20) om. sed in marg. add. L 21 τοῦτο om. K 22 τὸν om. a 23 ἐπειδὴ K καὶ ante οἱ om. K ἀνθρῆναι scripsi: ἀρθρίνα IL: ἀρθρῆνες K: ἀρθρίνες a 24 σφῆκαι I ὁμοιογενῆ a 32 τοὺς om. K 33 τὸ] τῷ IKL¹ μήτε om. K ὀχευόμενα a

μήτε κηφῆνα ὑπὸ κηφῆνος μήτε μέλιτταν ὑπὸ κηφῆνος μήτε κηφῆνα 76r
ὑπὸ μελίττης'. τὸ δὲ λείπεται δ' εἴπερ ἐξ ὀχείας γίνεται, τοὺς
βασιλεῖς γεννᾶν συνδυαζομένους οὐκ ἀρεσκόμενος τούτῳ λέγει (ἐρεῖ
γὰρ ὅτι οὐδὲ οὗτοι συνδυάζονται), ἀλλ' ὡς ἀκόλουθον τῇ διαιρέσει ἐπῆκται.

p. 760a4 Ὄντος δὲ περιττοῦ τοῦ γένους καὶ ἰδίου τῶν μελιττῶν, καὶ ἡ γένεσις αὐτῶν ἴδιος εἶναι φαίνεται.

Τὸ περιττὸν ἴσον ἐστὶ τῷ θαυμαστὸν καὶ διαφέρον πρὸς τὰ ἄλλα. θαυμαστὸν οὖν, φησί, καὶ θεῖον τὸ τῶν μελιττῶν γένος· θαυμάσιον γάρ, εἴπερ καὶ τὸ μέλι θαυμαστὸν καὶ ἡ γένεσις αὐτῶν ἴδιος καὶ θαυμαστὴ φαίνεται. τὸ μὲν γὰρ ὅλως γεννᾶν αὐτὰς οὐδὲν θαυμαστόν, τὸ δὲ γεννώσας ἄλλο τι γένος γεννᾶν | οἷον κηφῆνας, τοῦτο θαυμαστόν. τὸ δὲ οἱ γὰρ 76v
ἐρυθρῖνοι γεννῶσιν ἐρυθρίνους καὶ αἱ χάνναι χάννας ὡς αἰτία ἐπῆκται τῆς θαυμαστῆς αὐτῶν γενέσεως, οὕτω δ' ἐπῆκται, ὡς εἰ ἔλεγεν 'εἰ γὰρ καὶ ἐξ ἑαυτῶν χωρὶς τῆς τῶν ἀρρένων ὁμιλίας γεννῶσιν οἵ τε ἐρυθρῖνοι καὶ αἱ χάνναι, ὅμως ὅμοια ἑαυτοῖς γεννῶσιν, αἱ μέλιτται δὲ ἀνόμοια'. αἴτιον δὲ τοῦ μὴ γεννᾶν ὅμοια ὅτι καὶ αὐταὶ ἐξ ἀνομοίων γεγόνασιν· ἐκ τῶν βασιλέων γάρ. τὸ δὲ ἀνάγκη γάρ τι παραλλάττειν, εἰ μὴ δεῖ ἀεὶ τὸ αὐτὸ γένος ἴσον ἐστὶ τῷ ἀνάγκη γὰρ τὸ ἐκ τῶν βασιλέων γινόμενον παραλλάττειν· εἰ γὰρ μὴ παρήλλαττεν, ἦσαν ἂν κἀκεῖνα βασιλεῖς, καὶ τὰ τούτων ἔγγονα πάλιν βασιλεῖς, καὶ ἀεὶ τὰ ἀπὸ βασιλέων γινόμενα πάλιν βασιλεῖς. οὐ δεῖ δὲ τὸ αὐτὸ ἀεὶ ἐξ αὐτοῦ γίνεσθαι· φιλοτιμεῖται γὰρ ἡ φύσις ἀεί τι θαυμαστὸν ποιεῖν. ἐπειδὴ δέ τις ἤμελλε λέγειν 'καὶ πῶς ἀνομοίων ὄντων τῶν κηφήνων τοῖς βασιλεῦσιν ὁμοίους αὐτοῖς αὐτοὺς λέγεις;' ἐπήγαγε νῦν δὲ τοῦτο λείπεται τῆς ἀπορίας, τουτέστι νῦν δὲ τοῦτο ἐκτός ἐστιν ἀπορίας, ὡς εἰ ἔλεγεν 'οὐδεμίαν γὰρ ἔχει ἀπορίαν· εἰ μὲν γὰρ πρὸς τῷ ὁμοιοῦσθαι τοῖς βασιλεῦσι κατὰ τὸ μέγεθος εἶχον καὶ κέντρον, τότε εἴπερ ἐλέγομεν αὐτοὺς ὁμοίους τοῖς βασιλεῦσιν, εἶχεν ἂν χώραν ἡ ἀπορία· ἐπεὶ δὲ κέντρον οὐκ ἔχουσιν, ἐκτός ἐστι τὸ λεγόμενον ἀπορίας'. κυττάρια δὲ λέγει τὰ σίμβλα, ἐν οἷς ἀποτίθενται τὸν γόνον. οὗτος δ' ὁ γόνος διττός, εἷς μὲν ἐξ οὗ γίνονται αἱ μέλιτται, ἄλλος δὲ ἐξ οὗ οἱ βασιλεῖς. λέγει δὲ ὅτι πρῶτον μὲν ποιοῦσι τοὺς κυττάρους, ἐν οἷς μέλλουσιν ἀποθεῖναι τὸν τῶν μελιττῶν γόνον, ὕστερον δὲ καὶ ἐπὶ τέλει τοὺς οἰκείους, καὶ τούτους ὀλίγους.

---

3 τούτῳ scripsi: τοῦτο libri 4 ὅτι] ὡς K 5. 6 καὶ ἰδίου τοῦ τῶν μελιττῶν γένους coll. K 10 αὐτὸ I: αὐτοὺς K 11. 12 αἱ γὰρ ἐρυθρῖναι K 12 ἐρυθρίες a ἐρυθρίνας K: ἐρυθρίας a οἱ χάνοι χάνους IL αἴτια libri 14 ἐξ αὐτῶν Ka αἵ τε ἐρυθρῖναι K ἐρυθρίνες a 15 οἱ χάναι a 16 αὐταὶ scripsi: αὗται libri 18 ἀεὶ post γένος ponit K γενόμενον L 20 πάλιν post ἔγγονα om. K πάλιν alterum om. Ka 21 ἀεὶ τὸ αὐτὸ coll. K 22 φύσει a post πῶς add. ἂν IL 23 αὐτοὺς αὐτοῖς coll. Ka 26 εἶχε K 28 κέντρα K ἀπορίας] ἀπορίσειε a 29 ἀποτίθενται ex ἀποτίθεται corr. K 30 εἷς] ὁ K 32 καὶ om. K ἐπὶ τέλει] ἐπιτελεῖ Ka 33 καὶ] δὲ a

p. 760b2 Εὔλογον δὲ καὶ τοῦτο συμβαίνειν ἐν ταῖς εὐετηρίαις, μέλι καὶ κηφῆνας γίνεσθαι πολλούς.

Εὐετηρίας λέγει τὰς τῶν ὡρῶν εὐκρασίας, αὐτοὺς δὴ τοὺς εὐδιεινοὺς καιρούς· οἱ γὰρ λίαν ἔπομβροι οὐκ εὔκρατοι. εὔλογον οὖν, φησί, τὸ γίνεσθαι ἐν ταῖς εὐετηρίαις μέλι καὶ κηφῆνας. αἱ γὰρ μέλιτται ἐλάτ|τους 77r οὖσαι τῷ μεγέθει τῶν βασιλέων δέονται εὐετηρίας. συνίστησι γὰρ καὶ οἱονεὶ διεγείρει καὶ ἀναζωπυρεῖ τὸ τῶν μελιττῶν σῶμα βραχὺ ὂν ἡ εὐετηρία, καὶ ἐπὶ τούτῳ τότε εὐφοροῦσι· τὸ δὲ τῶν βασιλέων μέγεθος μέγα ὂν τοὐναντίον ὠφελοῦσιν αἱ ὑγρότητες. ἀλλὰ καὶ τὸ τοὺς βασιλεῖς ἔσω μένειν καὶ μὴ ἐξέρχεσθαι ὅλως πρὸς κομιδὴν τροφῆς, τὰς δὲ μελίττας διακομίζειν τὴν τροφὴν τεκμήριον ἐπάγει τοῦ ἐκ τῶν βασιλέων αὐτὰς γεννᾶσθαι· δεῖ γὰρ τὰ τέκνα τρέφειν τοὺς γονεῖς, αὐτοὺς δ' ἔσω μένειν πρὸς ἐπιτέκνωσιν, τουτέστι πρὸς τὸ ἐπὶ τοῖς προγεγονόσι τέκνοις ἕτερα τέκνα ποιεῖν. λέγει δὲ τὰς μελίττας μέσας εἶναι ἀμφοῖν τῷ μεγέθει, οὐχ ὅτι τῶν βασιλέων μὲν ἐλάττους εἰσί, τῶν δὲ κηφήνων μείζους (ἐλάττους γάρ εἰσιν ἀμφοτέρων), ἀλλὰ μέσας εἴρηκεν, ὅτι τῶν μὲν βασιλέων ἐλαττοῦνται τῷ μεγέθει, ὑπερέχουσι δὲ τῶν κηφήνων τῷ ταύτας μὲν ἔχειν κέντρον, ἐκείνους δ' ἀκέντρους εἶναι. ὁμοίως δὲ καὶ τὸ ἅμα τῷ ἐξελθεῖν τοὺς βασιλεῖς ἐπακολουθεῖν αὐτὰς αὐτοῖς, ᾗ ἂν ἀπέλθωσιν, ἐναργὲς δεῖγμα τοῦ ἐξ αὐτῶν αὐτὰς γεγονέναι. καὶ αἱ μὲν μέλιτται, φησίν, ἐλάττους οὖσαι τῷ μεγέθει ὑπερέχουσι τῷ πλήθει· αὐτῶν δ' ἐπεὶ τοῦ πλήθους ἀφείλετο, τουτέστιν αὐτῶν δὲ τῶν βασιλέων ἐπειδὴ τὸ πλῆθος ὀλίγον ἐποίησεν ἡ φύσις, μέγεθος αὐτοῖς ἀπέδωκε. ταῦτα εἰπὼν περὶ τῶν μελιττῶν πάμπαν φιλοσόφως ὁ δαιμόνιος οὗτος ἀνὴρ μετριάζει λέγων 'ἡμῖν μὲν ταῦτα περὶ τούτων ἐκ τοῦ λόγου εὕρηται, οὐ μὴν ἱκανῶς ἐξ αἰσθήσεως εἴληπται· εἰ δέ τινι τῶν μεθ' ἡμᾶς τῇ αἰσθήσει ληφθῇ τὰ συμβαίνοντα αὐτοῖς ἱκανῶς, τότ' ἐκείνῳ πιστευτέον μᾶλλον ἢ τῷ ἡμετέρῳ λόγῳ'. βαβαί σου τῆς μετριότητος, θειότατε καὶ φιλοσόφων κορυφαιότατε.

p. 760b33 Πρὸς δὲ τὸ μὴ ἐξ ὀχείας γίνεσθαι σημεῖον καὶ τὸ τὸν γόνον φαίνεσθαι μικρόν.

Εἰ οἱ ἐξ ὀχείας γινόμενοι γόνοι μεγάλοι εἰσίν (αὔξει γὰρ αὐτοὺς ἡ τοῦ ἄρρενος γονὴ ὥσπερ τὰ τῶν ὀρνίθων ᾠά, ὡς πολλάκις εἴρηται), ὁ δὲ

---

1 post ἐν add. μὲν Arist. vulg. 3. 4 αὐτοὺς—καιρούς om. K 5 αἱ μὲν γὰρ IK 6 συνίστη Ia 7 ἀναζωπυρεῖ $L^2$: ἀναζωπυροῖ $L^1$IKa 8 post βασιλέων add. τὸ I 11 γενέσθαι K 12. 13 πρὸς ἐπιτέκνωσιν] ἐπὶ τέκνωσιν (v. l. ἐπὶ τῇ τεκνώσει) Arist. 18 τὸ] τῷ IL 19 τοῦ] τὸ IL ἐξ αὐτοῦ a 21 ἀφείλετο et 22 μέγεθος libri et Arist. YZ: ἀφεῖλε τὸ μέγεθος Arist. vulg. 22 τῶν om. a ἐποιήσατο K 25 εὕρηται] εἴρηται $L^1$ 27 θειότατα a 29 καὶ] ἢ $L^2$ 31 post Εἰ add. γὰρ K 32 γονὴ in lac. III vel IV litt. om. K

τῶν | μελιττῶν γόνος, ὅτε γένηται, πάμπαν ἐστὶ σμικρός, δῆλον ὡς οὐκ 77v
ἔστιν ἐξ ὀχείας. ἐν δὲ τῇ λέξει τῇ ἀφῄρηται δὲ τὸ περιττὸν εὐλόγως
περιττὸν πάλιν τὸ θαυμάσιόν φησιν· οὔτε γὰρ ἐξ ἀνομοίων καὶ μὴ ὀχευόντων 5
ἀνθρῆναι γεννῶνται, ὥσπερ αἱ μέλιτται, οὔτε ἀνόμοια γεννῶσιν, ὥστε οὐδέν
5 τι πρόσεστιν αὐταῖς θαυμαστόν. 10

p. 761a 13 Περὶ δὲ τῶν ὀστρακοδέρμων λεκτέον.

Ἐντεῦθεν περὶ τοῦ ἐσχάτου γένους ὁ λόγος αὐτῷ. λέγει δὲ αὐτὸ
τρόπον μέν τινα ἀπὸ σπέρματος γίνεσθαι, ὥσπερ τὰ ζῷα, τρόπον δέ τινα 15
οὐκ ἀπὸ σπέρματος, ὥσπερ τὰ μὴ ζῷα. τὸ δὲ διὰ τὸ τοῖς φυτοῖς ἀν-
10 τίστροφον ἔχειν τὴν φύσιν ἴσον ἐστὶ τῷ διὰ τὸ μετὰ ἀντιθέσεως ἔχειν
ἀναλογίαν. ἀντίκεινται μὲν γάρ, ὅτι ἐν ᾧ γίνονται ὀστρακόδερμα, φυτὰ οὐ 20
γίνονται, ὅπου δὲ πάλιν φυτὰ βλαστάνει, ὀστρακόδερμα οὐ συνίσταται·
ἀναλογοῦσι δέ, ὅτι ὡς φυτὸν πρὸς γῆν, οὕτως ἔχει τὸ ὀστρακόδερμον πρὸς 25
θάλατταν. ἐν δὲ τῇ λέξει τῇ τό τε γὰρ ὑγρὸν εὐπλαστοτέραν ἔχει
15 τὴν φύσιν καὶ σωματικὴν τὸ εὐπλαστοτέραν ταὐτόν ἐστι τῷ μᾶλλον
τῆς γῆς δυναμένην εἰς ζῴου φύσιν πλάττεσθαί τε καὶ ἄγεσθαι, τὸ δὲ σω- 30
ματικὴν ἀντὶ τοῦ γεώδη εἴληπται· τὸ γὰρ ὑγρὸν αὐτὸ καθ' αὑτὸ χωρίς
τινος γεώδους φύσεως οὐδέποτε εἰς ζῴου φύσιν μεταβάλλει. εἰσὶ δὲ ταῦτα, 35
φησί, τό τε εὔπλαστον καὶ σωματῶδες οὐδὲν ἧττον, ἀλλὰ καὶ μᾶλλον ἐν
20 τῇ θαλάττῃ. ἐκβολὰς δὲ ποταμῶν λέγει τὰς εἰσβολάς. γίνονται οὖν ἐν 40
ταῖς εἰσβολαῖς ταῦτα δυεῖν ἕνεκεν αἰτιῶν, μιᾶς μὲν τοῦ εἰσάγειν αὐτόθεν
τὴν τροφὴν τοὺς | ποταμούς, ἄλλης δὲ τοῦ εἶναι θερμὸν τὸν τόπον τοῦτον 78r
διὰ τὴν τῆς θαλάσσης γειτνίασιν. κεκοινώνηκε δὲ ἡ θάλαττα τοῦ πνεύματος
διὰ τὴν ἑαυτῆς θερμότητα· ἐν ᾧ γὰρ ὑγρῷ πρόσεστι θερμόν, ἀνάγκη ἐκεῖσε 5
25 καὶ πνεῦμα εἶναι. καὶ ἐπειδὴ τῶν ζῴων τὰ μέν ἐστιν ἀέρια, τὰ δὲ γήινα,
τὰ δὲ ἔνυδρα, κεκοινώνηκε δὲ ἡ θάλαττα καὶ γῆς καὶ πνεύματος καὶ 10
ὑγρότητος, ὡς μὲν ὑγρὰ μετέχει ἰχθύων (ἔνυδροι γὰρ οἱ ἰχθύες), ὡς δὲ
ἀερώδης λάρων, αἰθυιῶν καὶ τῶν λεγομένων ἀμφιβίων, ὡς δὲ γῆ τῶν 15
ὀστρακοδέρμων· τὸ γὰρ ὄστρακον γῆς. μᾶλλον δὲ καὶ ἧττον λέγει,
30 ἐπειδὴ καὶ ἐγὼ καὶ ἡ κορώνη πεζά ἐσμεν, ἀλλὰ μᾶλλον ἐγώ. ἐπεὶ δὲ
οὐ μόνον ἐστὶ τρία τὰ στοιχεῖα, ἀλλ' ἔστι καὶ τέταρτον τὸ πῦρ, ὅπερ αἰθέρα 20
καλοῦμεν, ἤμελλε δέ τις λέγειν ὅτι διὰ τί οὐκ ἐνδιατρίβει καὶ ἐν τῷ αἰθέρι
ζῷά τινα, ἵνα μετέχῃ καὶ τούτων ἡ θάλαττα; ἐπήγαγε τὸ δὲ τέταρτον 25

---

2 δὲ ante τὸ om. K 4 οἱ ἀνθρῆνες K: αἱ ἀνθρῆνες a 5 αὐτοῖς K 10 post διὰ add. δὲ Ka post τὸ add. τὴν K 11 ἀναλογίας IL ἀντίκειται δὲ ὅτι K — post ᾧ add. μὲν K γίνεται Ka 16 δυναμένη L: δυναμένων I πλάττεσθαί τε—φύσιν (18) om. K 16. 17 σωματικὸν L 17 γεώδη scripsi: γεῶδες L et fort. I: γεώδους a 18 μεταβάλλειν K 19 φησί om. K ἄπλαστον IL[1] 21 δυοῖν IK ἕνεκα K αἰτίαιν K: αἰτίαν a μίαν IL τοῦ] τῶ IL αὐτόθι K 22 ἄλλη IKL τοῦ] τὸ IL τρόπον IL 27 ὑγρὸν a 28 αἰθυιῶν] αἰθίων IL: αἰθοίων a γῆς a 32 τις] τι IL ὅτι om. K ὅτι οὐ διὰ IL οὐκ om. IL οὐ διατρίβει a

γένος οὐκ ἐπὶ τούτων τῶν τόπων δεῖ ζητεῖν, τουτέστι τὰ δὲ ἐκ τοῦ 78ʳ
τετάρτου γένους τοῦ αἰθερίου γινόμενα ζῷα οὐ δεῖ ἐνταῦθα ζητεῖν, ἐπειδὴ 30
οὐδὲ τὸ πῦρ ἑνί τινι τούτων ἀφώρισται. ἐπὶ μὲν γὰρ τῶν ἄλλων στοι-
χείων δυνάμεθα λέγειν ὅτι ὅταν γένηται τοιονδί, ἐστὶν ἀήρ, ὅταν δὲ τοιονδί,
5 ὕδωρ, ὅταν δὲ τοιονδί, γῆ· ἐπὶ δὲ τοῦ πυρός, ἐπειδὴ τὸ εἶδος αὐτοῦ ὁρᾶται
καὶ ἐν ἄνθρακι καὶ ἐν φλογὶ καὶ ἐν σιδήρῳ καὶ ἐν καπνῷ καὶ ἐν ὕδατι
(ἔστι γὰρ ὕδωρ θερμόν), καὶ ἐν ἀέρι (ὁ γὰρ ἀὴρ εἰ καὶ θερμός, ἀλλὰ 35
μᾶλλον εἰδοποιεῖται τῷ ὑγρῷ), ἐπειδὴ οὖν τὸ εἶδος αὐτοῦ ὁρᾶται ἐν τούτοις
καὶ ἐν ἄλλοις πλείοσιν, οὐ δύναταί τις λέγειν ὅτι ὅταν γένηται ἄνθραξ,
10 ἐστὶ πῦρ· ἔστι γὰρ οὐδὲν ἧττον πῦρ καὶ ἡ φλὸξ καὶ ὁ πεπυρακτωμένος
σίδηρος καὶ τὰ ἄλλα, ὥστε οὐκ ἔχει τὸ πῦρ ἰδίαν καὶ ὡρισμένην φύσιν.
ἐπεὶ δὲ οὐκ ἔχει ὡρισμένην φύσιν ἐνταῦθα, ἀλλὰ μόνον ἐν τῷ ἄνω τόπῳ
τῷ πλησίον τῆς σεληνιακῆς σφαίρας (αὐτό φημι τὸ τοῦ αἰθέρος εὐαγὲς τὸ
ἁπτόμενον ταύτης τῆς σφαίρας καὶ τὸ συνεχὲς αὐτῇ ἄχρι τινός), τὰ γε- 40
15 γονότα καὶ γινόμενα ἐξ αὐτοῦ ζῷα ἐν τῇ σεληνιακῇ τυγχάνουσιν ὄντα σφαίρᾳ.
εἰσὶ γὰρ καὶ γίνονται μερικὰ λογικὰ αἰθέρια ζῷα μήτε ἐσθίοντα μήτε πί-
νοντα, ἀσχολούμενα δὲ περὶ μόνην τὴν ὁρατικωτέραν καὶ θεωρητικωτέραν
διατριβὴν καὶ ἔχοντα τὴν οἴκησιν ἐν αἰθέρι καὶ ἀέρι, καὶ ζῇ ἕκαστον αὐτῶν
καὶ ὑπὲρ τὰ τρισχίλια ἔτη, θνήσκει δὲ ὅμως. ἀλλὰ περὶ μὲν τούτων ἄλλος
20 ἂν εἴη λόγος· φαίνεται γὰρ οὗτος μὴ συντιθέμενος τῷ τοιούτῳ δόγματι τῷ 45
τοῦ Πλάτωνος ὄντι.

p. 761ᵇ23 Ἡ δὲ τῶν ὀστρακοδέρμων συνίσταται φύσις ἡ μὲν αὐτομάτη.

Τὰ ὀστρακόδερμα, φησί, τὰ μὲν αὐτόματα συνίσταται, τὰ δὲ ἐν τῷ |
25 προΐεσθαι δύναμίν τινα ἀπ' αὐτῶν, πολλάκις δὲ γινομένων καὶ τούτων 78ᵛ
ἀπὸ συστάσεως αὐτομάτου, τουτέστι πολλάκις δὲ καὶ ταῦτα, ἅπερ ἀπό 5
τινος προέσεως συνίσταται, συμβαίνει αὐτομάτως συνίστασθαι, ὡς τὴν αὐτὴν
καὶ μίαν φύσιν καὶ ἓν εἶδος ὁτὲ μὲν προέσει τινός, ὁτὲ δὲ αὐτομάτως
συνίστασθαι. ἐπεὶ δὲ τὴν σύστασιν ὁμοίαν ἔχουσι τοῖς φυτοῖς, δεῖ, φησίν, 10
30 λαβεῖν τὰς γενέσεις τῶν φυτῶν· ἐκ τούτων γὰρ ἔσται δῆλα καὶ τὰ τῶν
ὀστρακοδέρμων. τῶν οὖν φυτῶν τὰ μὲν γίνεται ἀπὸ σπέρματος, τὰ δὲ 15
ἀπὸ σπαραγμάτων. τουτέστιν ἀπὸ κλάδων· ὁ γὰρ ἀποτμηθεὶς ἐκ τοῦδε
τοῦ δένδρου κλάδος καὶ φυτευθεὶς γίνεται δένδρον. ἄλλα δὲ γίνεται τῷ 20

---

2 αἰθερίου] αἰθέρος Ka 3 ἑνί τινι] ἕν τινι IKa 6 καὶ ἐν ἄνθρακι om. Ia
9 ὅταν] ὅ I 11 τὸ πῦρ—ἔχει (12) om. K 12 ἐπειδὴ δὲ a ἐνταῦθα
post ἔχει ponit K μόνον] μᾶλλον K 13 σεληνιακῆς a 14 αὐτῇ scripsi:
αὐτοῦ IL: αὐτῷ K: αὐτὸ a τινός] τι K 16 ζῷα αἰθέρια μερικὰ λογικὰ coll. K
17 νοερατικωτέραν a et fort. K 18 αὐτῶν om. K 21 Πλάτωνος] cf. Phaedr.
p. 249 A sqq. 22 ἡ μὲν] τῶν μὲν Arist. 23 αὐτόματος K Arist. SYZ: αὐτομάτως
Arist. vulg. 25 ἀπ' αὐτῶν a Arist. PSY: ἐξ αὐτῶν K: ἀφ' αὐτῶν Arist. vulg.:
ἀπ' αὐτοῦ IL 26 αὐτομάτως K: αὐτομάτης Arist. 32 post τουτέστιν add.
ἀπὸ δὲ σπαραγμάτων τουτέστιν IL ὁ γὰρ] οὐ γὰρ L¹

παραβλαστάνειν· ἐν γὰρ ταῖς τῶν κρομύων ῥίζαις καὶ τῶν σκορόδων παρα- 78v
βλαστάνουσι μικρὰ κρόμυα καὶ σκόροδα. τοῦτον οὖν τὸν τῶν κρομύων
τρόπον λέγει γίνεσθαι τοὺς μύας· παραβλαστάνουσι γὰρ τοῖς μεγάλοις πολλοὶ 25
μικροὶ μύες. δῆλον δὲ τοῦτο ἡμῖν γίνεται καθ' ἑκάστην. τὰ δὲ λεγόμενα
5 κηριάζειν ἐοίκασι τοῖς ἀπὸ σπέρματος γινομένοις φυτοῖς. οἱ γὰρ κτένες ἐν 30
ταῖς πέτραις ἀφιᾶσι μυξώδεις ὑγρότητας τῷ χρώματι ὁμοίας κηρῷ, ὅπερ
ἐκάλεσε κηριάζειν διὰ τὴν πρὸς τὸν κηρὸν ὁμοιότητα. οὐκ ἔστι δὲ τοῦτο, 35
ἤτοι ἡ μυξώδης ὑγρότης, γόνος οὐδὲ γίνονται ἐξ αὐτοῦ οἱ κτένες, ἀλλ' ἡ
ἐν αὐτῷ τοιαδὶ ὀσμὴ ποιεῖ ἐπιτήδειον τὸ θαλάττιον ὕδωρ πρὸς τὸ ταχέως
10 μεταβάλλειν εἰς κτένας. τὸ δὲ διὸ καὶ γίνεταί τι πλῆθος τῶν τοι- 40
ούτων, ὅταν ἅπαξ γένηται ἴσον ἐστὶ τῷ καὶ διὰ τὸ δύνασθαι τὴν
τοιαύτην μυξώδη ὑγρότητα, μᾶλλον δὲ τὴν ἐν αὐτῇ ὀσμὴν ἐπιτήδειον ποιεῖν 45
τὸ θαλάττιον ὕδωρ εἰς κτενῶν γένεσιν, ὅταν ἅπαξ ἔν τινι τόπῳ γένωνται
κτένες ἢ αὐτομάτως ἢ καί τις | ἐναποκομισθῇ, γίνεται ἐν αὐτῷ κτενῶν 79r
15 πλῆθος διὰ τὸ τοὺς ἅπαξ ἐν τῷ τόπῳ γεγονότας προΐεσθαι τὴν εἰρημένην
ὑγρότητα. εὔλογον γὰρ περιγίνεσθαι καὶ προΐεσθαι ἐξ αὐτῶν τὴν τοιαύτην 5
περίττωσιν. τὸ δὲ ἐπεὶ δὲ παραπλησίαν ἔχει τὴν δύναμιν ἡ τροφὴ
καὶ τὸ ταύτης περίττωμα δῆλον ἔσται ἐπὶ τῶν ἐναίμων τὸν λόγον 10
ποιήσασι. τὸ μὲν αἷμά ἐστι τροφή, τὸ δὲ καταμήνιον τὸ ταύτης περίττωμα,
20 καὶ ἔστι τὸ καταμήνιον ὅμοιον τῷ αἵματι, ἤτοι τῇ τροφῇ, ὅμοιον δὲ τῇ
δυνάμει. ὡς γὰρ τὸ αἷμα ἡ τροφὴ σάρκες καὶ ὀστᾶ καὶ νεῦρα καὶ τὰ 15
λοιπὰ πάντα μέρη τοῦ ζῴου γίνεται ὑπὸ τῆς δημιουργούσης φύσεως, οὕτω
καὶ τὸ περίττωμα τὸ καταμήνιον· μεταβάλλει γάρ, ὡς πολλάκις εἴρηται, τὸ
καταμήνιον ὑπὸ τῆς ἐν τῷ σπέρματι δυνάμεως εἰς ζῷον. ἐπεὶ δὲ καὶ τὰ
25 κηριάζοντα (λέγων κηριάζοντα τὰς μυξώδεις ὑγρότητας) περίττωμά εἰσι τῆς 20
τῶν κτενῶν τροφῆς, εἰκός, μᾶλλον δ' ἀναγκαῖον ὅμοια εἶναι τῇ ἐξ ἀρχῆς
συστάσει. ὡς γὰρ ἡ Ξανθίππη (φέρε γὰρ οὕτως εἰπεῖν πρὸς σαφήνειαν) ἐκ
καταμηνίου γεγονυῖα καὶ αὐτὴ καταμήνιον προΐεται ὅμοιον τῷ καταμηνίῳ
τῆς μητρὸς αὐτῆς, οὕτω καὶ ταδὶ τὰ κηριάζοντα, τουτέστι καὶ τασδὶ τὰς
30 τήμερον γεγονυίας μυξώδεις ὑγρότητας, ἀναγκαῖον ὁμοίας εἶναι τῇ ἐξ ἀρχῆς
συστάσει, ἤτοι ταῖς ἐξ ἀρχῆς συσταθείσαις ὑγρότησιν. ἀλλὰ μὴν ἐκεῖναι 25
γενέσεως κτενῶν αἴτιαι γεγόνασι· καὶ αὗται ἄρα αἱ τήμερον γεγονυῖαι τὸ
αὐτὸ ποιήσουσι. πάντα δὲ τὰ συνιστάμενα τὸν τρόπον τοῦτον,
τουτέστιν ἐξ αὐτομάτου, καὶ ἐν γῇ διαφαίνεται γινόμενα· ἐμμιγνυμένου
35 γὰρ τῇ γῇ τοῦ ὀμβρίου ὕδατος, εἶτα ἐξατμιζομένου καὶ τοῦ ἁλμυροῦ καὶ
γεώδους καταλιμπανομένου συσσηπομένου τε καὶ συμπεττομένου ὑπὸ τῆς

---

1 καὶ] ἢ K  6 ἐναφιᾶσι Ka  7 ὁμοιότητος a  12 ἐν αὐτῷ L: ἐν αὐτοῖς ex corr. K  14 fort. κἄν τις  ἐναποκομίσας θῇ Ka  17 ἐπεὶ δὲ] ἐπειδὴ K  18 δῆλον—περίττωμα (19) om. L  22 πάντα om. L post πάντα add. τὰ K  δημιουργοῦ I  24 post εἰς add. τὸ a  26 εἶναι post ἀρχῆς ponit K  27 ὡς γὰρ—συστάσει (31) om. K  29 post ταδὶ add. καὶ IL  32 γενέσεως] γενε$^{\sigma\iota}$ L  34 διαφαίνεται IL, cf. Arist. SY: φαίνεται Ka: legendum καὶ ἐν ὕδατι φαίνεται c. Arist. vulg.  35 τοῦ (post γῇ)] τῇ L

ἡλίου θερμότητος, εἰκός ἐστι μεταβάλλειν εἰς ὀστρακόδερμα. οὕτω γὰρ καὶ 79r
ἐν τῇ θαλάττῃ συμβαίνει γίνεσθαι τὰ τοιαῦτα, τοῦ ἁλμυροῦ καὶ γεώδους 30
ὑγροῦ συσσηπομένου καὶ συμπεττομένου. ἀποκρινομένου οὖν, φησί,
τοῦ γλυκέος εἰς τὴν συνισταμένην ἀρχήν, τουτέστιν εἰς τὸν ἀέρα τὸν
5 συσταθέντα καὶ ὕδωρ γεγονότα, τὸ περιττεῦσαν τὴν τοιαύτην λαμβάνει
μορφήν. ὅτι δὲ οὐδὲν ἐκ παντὸς γίνεται, δῆλον καὶ ἐπὶ τῶν τεχναστῶν·
οὐ γὰρ ἐκ παντὸς τοῦ λίθου γίνεται ὁ Ἑρμῆς, ἀλλά τινων ἀφαιρεθέντων. καὶ
ἐπεὶ πᾶν πνεῦμα πλῆρές ἐστι ψυχικῆς θερμότητος, ὅταν τι τούτου ἐμπερι-
ληφθῇ, γίνεται ζῷον. λέγει δὲ τὴν ψυχικὴν θερμότητα ἐμπεριλαμβάνεσθαι 35
10 ἐν ἀφρώδει πομφόλυγι· γίνεται δὲ αὕτη ἡ πομφόλυξ θερμαινομένων τῶν
ὑγρῶν ὑπὸ τοῦ ἡλίου.

p. 762a35 Ζητήσειε δ' ἄν τις βουλόμενος ὀρθῶς ζητεῖν.

Περὶ τούτου εἴρηκε πρὸ ὀλίγου, λέγω δὴ περὶ τοῦ τί ποτέ ἐστι τὸ
ὑλικὸν αἴτιον τῆς τῶν ὀστρακοδέρμων γενέσεως. ὅμως πάλιν λέγει περὶ 40
15 αὐτοῦ σαφέστερον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὥσπερ ἡ ἔμφυτος θερμότης
τῶν ζῴων τὴν εἰσιοῦσαν πρώτην τροφὴν συμπέττουσα ποιεῖ τὸ καταμήνιον, 45
οὕτω καὶ ἡ τῆς ὥρας ἐν τῷ περιέχοντι θερμότης ἐκ γῆς καὶ θαλάττης
ποιεῖ τὰ ὄστρεια. | ἔστιν οὖν ὕλη μὲν αὐτῶν γῆ καὶ ὕδωρ, αὐτὸ φημι τὸ 79v
θαλάττιον ὕδωρ, ποιητικὸν δὲ ἡ τῆς ὥρας θερμότης. εἰπὼν δὲ τὸ δὲ
20 ἐναπολαμβανόμενον ἐπήγαγεν ἢ ἀποκρινόμενον πάνυ ἀσφαλῶς· ἐναπο- 5
λαμβάνεται μὲν γὰρ ἡ ψυχικὴ θερμότης ἐν τῇ πομφόλυγι, ἀποκρίνεται
δὲ ἀπὸ τῆς ὅλης ψυχικῆς θερμότητος αὕτη, ὥσπερ λέγομεν καὶ τὸ ἐν τῷ 10
κάδῳ ὕδωρ ἀποκεκρίσθαι τοῦ φρεατίου ὕδατος.

p. 762b18 Ἡ μὲν οὖν τῶν φυτῶν τῶν ἀπὸ ταὐτομάτου γινομένων
25 σύστασις ὁμοειδής ἐστιν.

Τὸ ὁμοειδὴς ἀντὶ τοῦ ὁμοία τῇ τῶν ἄλλων γενέσει· ὥσπερ γὰρ καὶ
τὰ ἐκ σπέρματος γινόμενα τὸ μέν τι τοῦ σπέρματος γέγονε βλάστη, τὸ δὲ 15
λοιπὸν τροφή, οὕτω καὶ ἐπὶ τῶν ἐξ αὐτομάτου γινομένων συνίσταταί τι
γεῶδες καὶ ἐπιτήδειον πρὸς τὸ μεταβάλλειν εἰς φυτόν· τούτου οὖν τοῦ 20
30 συσταθέντος τὸ μὲν βλάστη γίνεται, τὸ δὲ τροφή. τὰ δὲ καλούμενα γῆς
ἔντερα λέγει μεταβάλλειν εἰς ἐγχέλυς. τὸ γὰρ ἐν οἷς ἐγγίνεται ἴσον 25
ἐστὶ τῷ ἀφ' ὧν ἐντέρων συνίστανται αἱ ἐγχέλεις. εἰ δέ, φησί, καὶ ἐγένετο

---

1 εἰς om. L ὀστρακόδερμον a 2 συμβαίνει ταῦτα γίνεσθαι Ka 5 τὴν om. Ka 6 μορφήν] τροφὴν K οὐδὲ KL 7 τοῦ om. K 8 post ἐπεὶ add. καὶ a τούτω La 13 τούτω a δὲ K 17 γῆς καὶ] τῆς K 18 ὄστρεα K 22 αὕτη om. Ka ἐλέγομεν La 23 κάδῳ IKL φρεατιαίου K: φρεάτι οὐ a 24 τῶν post φυτῶν om. L ἀπὸ ταὐτομάτου Arist. vulg.: ἀπὸ αὐτομάτου IL Arist. PZ: ἐκ ταὐτομάτου K 26 Τὸ ὁμοειδὴς om. K 26. 27 καὶ τὰ ἐκ] ἐν τοῖς ἐκ τοῦ a 27 γινομένοις a 29 τούτω a 31 ἐγχέλους a ἐν αἷς a 32 ἐγχέλυς K: ἐγγέλυς a καὶ om. K

ποτε ἄνθρωπος ἢ τετράπουν ζῷον ἐκ ταὐτομάτου, ὥσπερ λέγουσίν τινες, 79v
ἀνάγκη ἐκεῖνον τὸν αὐτομάτως γεγονότα ἄνθρωπον ἢ ἐκ σκώληκος ἢ ἐξ 30
ᾠοῦ γεγονέναι. ἀνάγκη γὰρ τὸν τοιοῦτον ἄνθρωπον ἢ ἐν ἑαυτῷ ἔχειν
τὴν τροφήν (τοῦτο δὲ σκώληξ ἐστίν· εἴπομεν γὰρ πολλάκις ὅτι τὸ μὲν 35
5 γίνεται σκώληξ, τὸ δὲ τροφή, δυνάμενον καὶ τὸ εἰς τροφὴν ἀναλωθὲν εἰς
σκώληκα μεταβαλεῖν) ἀνάγκη οὖν ἢ ἐν ἑαυτῷ ἔχειν τὴν τροφὴν ἢ
λαμβάνειν ἄλλοθεν, καὶ ἢ ἐκ τῆς γεννώσης, καθάπερ τὰ θηλάζοντα, 40
ἢ ἐκ μορίου τοῦ κυήματος, καθάπερ τὰ ἐξ ᾠῶν γινόμενα, ἢ ἀπό τινος
ἄλλης συστάσεως, ὥσπερ οἱ σκώληκες. ἐπεὶ οὖν ὁ ἄνθρωπος αὐτομάτως
10 ἐγεγόνει, | ὡς ἡ ὑπόθεσις, ἐκ μὲν τῆς γῆς οὐχ οἷόν τε ἦν αὐτὸν θηλάζειν· 80r
οὔτε γὰρ γάλα οὔτε μαστὸν ἔχει ἡ γῆ· λείπεται ἄρα ἐκ τοῦ μορίου λέγειν
τοῦ κυήματος. ἀλλὰ μὴν πᾶν τὸ ἐξ αὐτομάτου γεγονὸς καὶ τὴν τροφὴν 5
λαμβάνον ἐκ τοῦ κυήματος σκώληξ ἐστίν· οὐδενὸς γὰρ ζῴου γένεσιν ὁρῶμεν
ἐξ ᾠοῦ, αὐτομάτως γεγονότος τοῦ ᾠοῦ, ἀλλὰ τὴν ἑτέραν, ἤγουν τὴν τῶν
15 σκωλήκων. ἀνάγκη ἄρα καὶ τὸν αὐτόματον ἄνθρωπον ἐκ σκώληκος
γεγονέναι. τὸ γὰρ τὴν δὲ τοιαύτην ζῴου λέγομεν εἶναι γένεσιν
ἴσον ἐστὶ τῷ σκώληκος γένεσιν. καὶ εἴη ἂν τὸ ὅλον τοιοῦτον 'τὴν γὰρ
τοιαύτην σκώληκος εἶναι λέγομεν γένεσιν'. τὸ οὐδὲ γὰρ ἐκ μορίου γίνονταί
τινος ὥσπερ τὰ ᾠοτοκούμενα ταὐτόν ἐστι τῷ οὐδὲ γὰρ ὅλως γίνονται 10
20 τὰ ὀστρακόδερμα ἐκ μορίου τινὸς κυήματος, ἀλλ' αὐτομάτως.

p. 763a9 Ποιοῦνται δὲ τὴν αὔξησιν ὁμοίως τοῖς σκώληξιν.

Ὥσπερ γάρ, φησί, τῶν σκωλήκων πρῶτον μὲν τὸ ἄνω τὸ πρὸς τῇ
καλουμένῃ κεφαλῇ αὔξεται ἐν τῇ ἐξ ἀρχῆς συστάσει, ὕστερον δὲ τὸ κάτω 15
(καὶ εἶδον ἔγωγε πολλὰ ἐν τοῖς τυροῖς σκωλήκια τὸ ἄνω μὲν ἔχοντα διηρ-
25 θρωμένον καὶ κινούμενον, τὸ κάτω δὲ ἀδιάρθρωτον παντελῶς καὶ ἀκίνητον, 20
συνεχὲς μέντοι τῷ τυρῷ) οὕτω καὶ τῶν ὀστρέων πρῶτον τὸ ἄνω αὔξεται·
ἐπὶ πάντων γὰρ τὸ ἄνω ἐκ τῶν κάτω λαμβάνει τὴν τροφήν· τούτου γάρ
ἐστι δηλωτικὸν τὸ ἐν τῷ κάτω γὰρ ἡ τροφὴ τῶν ἄνω. εὐθὺς γὰρ 25
καὶ ἐφ' ἡμῶν καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐχόντων κοιλίαν τὰ ἄνω οἷον κεφαλὴ

---

2 αὐτόματον a 3 ἐν αὐτῷ IKa 6 ἀνάγκη] ἀνάζιον IL (fort. ἀναγκαῖον) αὐτῷ IL 7 ἢ καὶ coll. IL τῆς om. a 8 μορίου Arist., cf. v. 11: μόνου libri ᾠοῦ I 10 γέγονεν K ἦν om. L αὐτὸν om. Ka 11 fort. ἔκ του 12 post κυήματος add. οὐδενὸς γὰρ ζῴου οἷον ἀνθρώπου ἢ ἵππου αὐτομάτου γεγονότος ἐξ ᾠοῦ ὁρῶμεν τὴν γένεσιν· κάλλιον γάρ ἐστιν οὕτω νοεῖν. ὑπέθετο γὰρ ἐξ ἀρχῆς ὡς εἰ γίνεται ἄνθρωπος ἢ ἄλλο ζῶον αὐτομάτως, ἢ ἐξ ᾠοῦ ἔσται ἢ ἐκ σκώληκος, οὐχὶ δὲ ἐξ ᾠοῦ αὐτομάτως γεγονότος ὥς τινές φασι K 13 λαμβάνει K 14 αὐτομάτως—ᾠοῦ om. K 15 post ἄνθρωπον add. γεγονότα ὥς τινές φασιν K 16 τὸ—γένεσιν om. sed in marg. add. L post δὲ add. τὴν IL ζῴου IL cf. Arist. SY: ἐξ ᾠοῦ recte Arist. vulg.: ζωὴν Ka 17 γένεσιν] γενέσθαι L 18 οὐδὲ KL Arist. SY: οὐδὲν I: οὐ Arist. vulg: δὲ a post γὰρ add. οὐκ a 19 τῷ om. a οὐδὲν γὰρ Ia 21 post δὲ add. καὶ Arist. 22 πρῶτα K 26 μέν τι a post καὶ add. ἐπὶ K τὰ ἄνω Ka 28 τοῖς ἄνω Arist. εὐθὺς—ἄνω (29) om. L 29 τῶν post ἄλλων om. a

καὶ τὰ λοιπὰ ἐκ τῆς κοιλίας λαμβάνει τὴν τροφήν, κάτω δὲ ἡ κοιλία· ὑπὸ γὰρ τὸ ὑπόζωμα κεῖται. αἴτιον δέ, φησί, τοῦ ἐκ τῶν κάτω λαμβάνειν τὰ ἄνω τὴν τροφὴν καὶ μὴ ἔμπαλιν τὰ κάτω ἐκ τῶν ἄνω τὸ καὶ ὕστερον τελειωθέντα κάτωθεν αὐτὴν λαμβάνειν. μόριον δὲ ὑπὸ τὸ ὑπόζωμα λέγει τὴν κοιλίαν. ἔχουσιν οὖν κατ' ἀρχὰς τὸ κάτω μέγα, ἵν' ἔχῃ ἐκεῖθεν λαμβάνειν τὰ ἄνω τὴν τροφήν, ὕστερον δὲ γίνεται σμικρὰ διὰ τὸ κατηναλῶσθαι εἰς τροφὴν τῶν ἄνω. ὅτι δὲ ἐπὶ τὸ ἄνω γίνεται ἡ αὔξησις, φανερὸν καὶ ἐπὶ τῶν ἑλικῶν· τῶν γὰρ ἐν τῷ ὀστράκῳ ἑλικῶν πρῶτον μὲν μία γίνεται, εἶτα δύο, εἶτα τρεῖς καὶ ἐφεξῆς. ὅσον γὰρ τὸ ὄστρακον αὔξεται, τοσοῦτον καὶ αἱ ἕλικες πλείους γίνονται· ἔχουσι δὲ τὸ ἄνω καὶ τὴν καλουμένην 80v κεφαλὴν πρὸς ταῖς ἕλιξιν. ὅτι δὲ οὐδὲν ἀφίησι τὰ τοιαῦτα ἀφ' αὑτῶν γεννητικόν, τεκμήριον ἐπάγει τὸ παρὰ τῶν Χίων· οὗτοι γὰρ διακομίσαντες ὄστρεια ζῶντα καὶ εἰς τόπους τῆς θαλάττης εὐρωτιώδεις ἀφέντες (λέγων εὐρωτιώδεις τοὺς ἔχοντας σῆψίν τινα, οἵα ἐστὶν ἡ γινομένη ἔν τε τοίχοις καὶ τοῖς ἄρτοις σαπεῖσιν ἐν τῷ θέρει, ἣν σῆψιν εὐρῶτα καλοῦσιν), εἰς τόπους δὴ εὐρωτιώδεις ἀφέντες, μείζω μὲν ἐγένοντο τὸν ὄγκον, πλείω δὲ τὸν ἀριθμὸν οὐδαμῶς. ὥστε εἴπερ τὸ ὑπ' αὐτῶν ἀφιέμενον γόνος ἦν, ἐγένετο ἂν πολλὰ ὄστρεια· ἀλλὰ γόνος μὲν οὐκ ἔστι, δύναμις δέ τις διατιθεῖσα καὶ ποιοῦσα τὴν θάλατταν ἐπιτηδειοτέραν εἰς τὴν τούτων γένεσιν. ἐκεῖσε δὲ παντελῶς ἀνεπιτηδείας οὔσης τῆς θαλάττης διὰ τὴν ἐκ τοῦ ἐν αὐτῇ εὐρῶτος γεγονυῖαν δυσκρασίαν, οὐκ ἴσχυσεν αὐτὴν εὖ διαθέσθαι ἡ ἀπ' αὐτῶν δύναμις. ὅτι δὲ τὰ καλούμενα ᾠὰ οὐδὲν συμβάλλονται πρὸς γένεσιν, σημεῖόν φησι τὸ ἀεὶ ἔχειν αὐτά. εἰ δὲ ἦσαν ᾠὰ καὶ δηλονότι πρὸς γένεσιν συμβαλλόμενα, οὐκ ἂν εἶχον αὐτὰ ἀεί· οὐ γὰρ ἀεὶ τὰ ᾠὰ ἔνεισιν ἐν οἷς ἐγγίνονται, ἀλλά ποτε. ἐνταῦθα μὲν οὖν πεπλήρωται καὶ τὸ τρίτον βιβλίον καὶ αἱ εἰς αὐτὸ σχολαί.

4 τελεωθεῖσα IL: τελειωθὲν a 6 τὰ ἄνω om. K 11 τὰ τοιαῦτα] ταῦτα K ἀφ' αὑτῶν Arist. vulg.: ἀπ' αὑτῶν libri 12 γεννητικὸν I: γεννητικὰ L τεκμήρια L¹ παρὰ] περὶ a 13 ὄστρεα K 13 et 16 εὐρωτιώδεις Arist. SPY: εὐρωτιῶδες Ka: ἐβρωτιώδεις IL: εὐριπώδεις Arist. vulg. 14 post τε add. τοῖς Ka 15 ἐβρῶτα IL καλοῦσι μὲν a τόπον L 18 διατεθεῖσα ILa 19 ἐπιτηδειότερον a 20 ἂν ἐπιτηδείου Ka ἐκ om. K ἐν αὐτῇ] αὐτοῦ IL ἐβρῶτος IL 21 ἴσχυσεν] ἔσχεν ἂν IL αὐτῶν] αὐτῆς L et fort. I 22 post γένεσιν lac. V fere litt. L τὸ] τοῦ L 23. 24 οὐκ ἂν—οὐ altera manus renov. I 25 οὖν om. K 26 Τέλος τοῦ τρίτου subscr. Ka

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΤΕΤΑΡΤΟΝ ΤΩΝ ΠΕΡΙ ΖΩΩΝ ΓΕΝΕΣΕΩΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Ἐν τῷ παρόντι βιβλίῳ, τετάρτῳ ὄντι τῆς Περὶ ζῴων γενέσεως πραγματείας, πρῶτον μὲν δείκνυσι πῶς ὁτὲ μὲν ἄρρενα, ὁτὲ δὲ θήλεα γίνεται τὰ ζῷα. εἶτα διὰ τί τὰ μὲν ὅμοια τῷ πατρί, τὰ δὲ τῇ μητρί, ὁτὲ δὲ οὔτε τῷ πατρὶ οὔτε τῇ μητρί, ἀλλὰ τοῖς προγόνοις οἷον πάππῳ καὶ τήθῃ (ἔστι δὲ τήθη ἡ τοῦ πάππου ὁμευνέτις), ὁτὲ δὲ οὐδὲ τούτων τινί, ἀλλ' ἁπλῶς ἀνθρώπῳ. μετὰ δὲ ταῦτα ζητεῖ καὶ περὶ τῆς τῶν τεράτων γενέσεως καὶ περὶ τῶν ἐπικυϊσκομένων, εἶτα περὶ γάλακτος καὶ ἄλλων τινῶν. ἐπεὶ δὲ Δημόκριτος καὶ Ἐμπεδοκλῆς καὶ ἄλλοι τινὲς τῶν φυσιολόγων ἐπειράθησαν εἰπεῖν περὶ τῆς τῶν ἀρρένων καὶ θηλειῶν γενέσεως, πρῶτον βασανίζει τὰς τούτων δόξας, εἶθ' οὕτως ἐκτίθεται τὴν οἰκείαν. πρότερον δὲ ὑπομιμνήσκει ἡμᾶς τῶν εἰρημένων λίαν σαφῶς. τὸ δὲ ἔτι γὰρ ἀτελῶν ὄντων ἐν τῷ γένει κατασκευαστικόν ἐστι τοῦ τίνος ἕνεκα δεῖ πρῶτον λέγειν περὶ τῆς τοῦ ἄρρενος καὶ θήλεος γενέσεως. ἐπεὶ γὰρ πρὸ τοῦ τελειωθῆναι καὶ πάντα τὰ μέρη ἀπειληφέναι, ἵνα γνῶμεν, εἴτε τέλειόν ἐστιν εἴτε τέρας, ὁμοίως δὲ εἴτε ὅμοιον εἴτε ἀνόμοιον τοῖς γεννήσασι, πρῶτον τὰ μόρια ὁρῶνται καθ' ἃ χαρακτηρίζεται τὸ ἄρρεν καὶ τὸ θῆλυ, εἰκός ἐστι πρότερον περὶ τῆς τοῦ ἄρρενος καὶ θήλεος εἰπεῖν γενέσεως, πῶς ποτὲ μὲν ἄρρεν γίνεται ποτὲ δὲ θῆλυ ἐκ τοῦ αὐτοῦ καὶ τῆς αὐτῆς πατρὸς καὶ μητρός. ἔτι οὖν, φησίν, ἀτελῶν ὄντων ἐν τῷ γένει, τουτέστιν ἐν τῷ εἴδει· καὶ γὰρ καὶ ἐν τῷ τῶν | ἀνθρώπων εἴδει καὶ τῇ φύσει ἔτι ἀτελῶν ὄντων 81r τῶν ἐμβρύων διορίζεται τὸ ἄρρεν καὶ τὸ θῆλυ, ὁμοίως καὶ ἐν τῷ τῶν ἵππων γένει καὶ ἁπλῶς ἐν ἅπασιν, ἐν ὅσοις κεχώρισται τὸ ἄρρεν ἀπὸ τοῦ

---

1. 2 Tit. Σχόλια—Ἀριστοτέλους IL: τῶν—Ἀριστοτέλους om. K: Ἀριστοτέλους περὶ ζώων γενέσεως μετὰ τοῦ Φιλοπόνου σχολίων βιβλίον, $\bar{\delta}$ a 4 ποτὲ utrobique Ka 5 ποτὲ K 7 οὐδὲ] οὐ a 9 ἐπειδὴ δὲ Ka 11 post περὶ add. τούτων εἴτ' οὖν περὶ a θήλεων a 12 δὲ om. a 14 γένει] εἴδει K 18 χαρακτηρίζονται K 19 τοῦ om. IL 20 ἐκ τοῦ αὐτοῦ—μητρός] sic IKL: ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ ἐκ τῆς αὐτῆς μητρὸς a 22 καὶ post γὰρ om. a τῶν om. IL 23 post θῆλυ iterant εἰκός ἐστι πρότερον—ποτὲ δὲ θῆλυ (v. 18—20) IL: porro ἐκ τοῦ αὐτοῦ—καὶ τὸ θῆλυ (23) repetit sed rursus delet I

θήλεος καὶ μὴ συνέζευκται ἀλλήλοις ὥσπερ ἐπὶ τῶν φυτῶν. πότερον δὲ 81v
καὶ πρὶν τὴν διαφορὰν εἶναι πρὸς τὴν αἴσθησιν ἡμῶν, τὸ μὲν
θῆλυ τὸ δ' ἄρρεν ἐστί. τὸ λεγόμενον ἴσον ἐστὶ τῷ πότερον εὐθὺς ἐν
τῷ σπέρματί εἰσι τὰ μόρια ἐξ ὧν συνίσταται καὶ χαρακτηρίζεται τὸ ἄρρεν 5
5 ἢ τὸ θῆλυ, καθάπερ ἔλεγον οἱ ἀπὸ πάντων τῶν τοῦ σώματος μερῶν πάντα
τὰ μέρη ἀπέρχεσθαι λέγοντες, οἷον ἀπὸ κεφαλῆς κεφαλὴν πάνυ σμικρὰν
καὶ πρὸς αἴσθησιν ἀναίσθητον, καὶ ἀπὸ τῶν ἄλλων πάντων τὰ ἄλλα πάντα,
ἢ ὕστερον τοῦ καταμηνίου τοιωσδὶ ἀλλοιουμένου καὶ συμπεττομένου γίνονται
ταῦτα. ἀσαφῶς δὲ ἡρμήνευται ἡ λέξις καὶ ἐλλιπῶς· εἴη δ' ἄν, οἶμαι, τὸ
10 κατάλληλον αὐτῆς τοιοῦτον. πότερον δὲ καὶ πρὶν τὴν διαφορὰν εἶναι 10
πρὸς τὴν αἴσθησιν ἡμῶν, τὸ μὲν θῆλυ, τὸ δ' ἄρρεν ἐστί, τουτέστιν
ἐν τῷ σπέρματί εἰσι τὰ μόρια, ἐξ ὧν συνίσταται τὸ θῆλυ ἢ τὸ ἄρρεν, καὶ
προσυπακουστέον τὸ 'ἢ οὐκ εἰσιν ἐν τῷ σπέρματι, ἀλλ' ὕστερον γίνονται,
ὅτε καὶ ὁρῶνται'. εἶτα πάλιν ὡς ἀπ' ἄλλης ἀρχῆς ὡσανεὶ δὶς ἐρωτήσας τὸ
15 αὐτὸ οὕτω τὸν λόγον ἐπακτέον 'καὶ πότερον ἐν τῇ μητρὶ λαβόντα τὴν
διαφορὰν ὁρῶνται τοιαῦτα, ἢ πρότερον πρὸ τοῦ εἰς τὴν μήτραν ἐλθεῖν
τοιαῦτα ἦν'. τὸ γὰρ ἢ πρότερον ἐπαχθὲν ἄλλως, οἶμαι, νοεῖν τὴν λέξιν οὐ 15
δίδωσιν. ἂν δὲ ἀντὶ τοῦ ἢ πρότερον εἴη γεγραμμένον τὸ ἢ ὕστερον,
σαφὴς ἡ λέξις, μηδὲν ἐλλιπὲς ἔχουσα. ἡ δὲ τοῦ Ἀναξαγόρου δόξα τοιαύτη
20 τις ἦν· ὅταν μὲν γὰρ ἀπὸ τῶν δεξιῶν μερῶν τοῦ ἄρρενος ἀπέλθῃ τὸ σπέρμα,
πεσεῖται δὲ καὶ εἰς τὰ δεξιὰ μέρη τῆς ὑστέρας, γίνεται ἄρρεν· εἰ δὲ ἐκ τῶν
ἀριστερῶν μερῶν τοῦ ἄρρενος καὶ εἰς τὰ ἀριστερὰ τῆς ὑστέρας, θῆλυ.
ᾐτιᾶτο οὖν Ἀναξαγόρας τῆς ἀρρενογονίας τὰ δεξιὰ μέρη τοῦ ἄρρενος καὶ
θήλεος, τῆς δὲ θηλυγονίας τὰ ἀριστερά. Ἐμπεδοκλῆς δὲ (δεῖ γὰρ τὴν 20
25 ἅπασαν αὐτοῦ δόξαν ἐκθέσθαι) ἔλεγεν ὅτι "διέσπασται μελέων φύσις, ἡ
μὲν ἐν ἀνδρός, ἡ δ' ἐν γυναικός". ἦν δὲ τὸ λεγόμενον ὑπ' αὐτοῦ τοιοῦτον·
ἐν τῇ ὁμιλίᾳ ἀπὸ μὲν τοῦ ἄρρενος ἄπεισιν ἡ ἡμίσεια καρδία πάνυ σμικρὰ
καὶ ἀναίσθητος πρὸς αἴσθησιν, ἀπὸ δὲ τοῦ θήλεος ἡ ἡμίσεια, ὁμοίως ἀπὸ
τῆς κεφαλῆς τοῦ ἄρρενος ἥμισυ κεφαλῆς, ἀπὸ δὲ τοῦ θήλεος τὸ ἥμισυ,
30 καὶ ἁπλῶς ἐπὶ πάντων τῶν μερῶν ἑκάστου τούτων τὸ μὲν ἥμισυ ἀπὸ τοῦ
ἄρρενος, τὸ δὲ ἥμισυ ἀπὸ τοῦ θήλεος. τούτων δὲ ἀπελθόντων καὶ ἐν τῇ 25
ὑστέρᾳ συναθροισθέντων, εἰ μὲν τύχῃ θερμὴ οὖσα ἡ ὑστέρα, νικᾷ ἡ ἀπὸ
τοῦ ἄρρενος ἀπελθοῦσα ἡμίσεια καρδία τὴν ἀπὸ τοῦ θήλεος καὶ μεταβάλλει
εἰς τὴν ἑαυτῆς φύσιν. παραπλησίως δὲ τοῦτο ποιεῖ καὶ ἡ κεφαλὴ καὶ τὸ
35 αἰδοῖον καὶ τὰ ἄλλα μόρια, καὶ γίνεται ἄρρεν. εἰ δὲ τοὐναντίον ψυχρὰ
τύχῃ οὖσα ἡ ὑστέρα, κρατεῖ τὰ τοῦ θήλεος καὶ μεταβάλλει εἰς ἑαυτὰ τὰ
τοῦ ἄρρενος, καὶ γίνεται θῆλυ. καὶ διὰ τοῦτό φησιν ἐπιθυμεῖν τῆς ἀλλήλων

2 πρὶν τὴν] sic libri et Arist. SZ: post πρὶν add. δήλην Arist. vulg. 5 ἔλεγον om. IL 6 φάσκοντες Ka post ἀπὸ add. τῆς K κεφαλὴν ἐξάγοντες μικρὰν L 8 ἀλυουμένου I 13 τὸ] τοῦ IL 16 πρὸ τοῦ εἰσελθεῖν εἰς τὴν μήτραν K: εἰσελθεῖν etiam a 17 ἄλλως om. IL 18 ἂν] ὧν Ka 21 δὲ prius om. a 22 post ἀριστερὰ add. μέρη a 24 Ἐμπεδοκλῆς γὰρ I 25 διέσπασται μελέων φύσις κτλ.] cf. Empedocl. fr. v. 326 30 μὲν om. K 33 καὶ om. IL 34 ἑαυτοῦ K 36. 37 τὴν τοῦ a 37 ἐπιθυμεῖν om. K

ὁμιλίας τὰ ἄρρενα καὶ τὰ θήλεα, διὰ τὸ εἶναι καὶ ἐν τῷ ἄρρενι τὰ τοῦ 81v
θήλεος καὶ ἐν τῷ θήλει τὰ τοῦ ἄρρενος· τὸ γὰρ ἥμισυ τῆς τοῦ Ἐμπε-
δοκλέους καρδίας, ὡς ἔλεγεν Ἐμπεδοκλῆς, θήλεος ἦν, ὁμοίως καὶ τὸ τῆς
κεφαλῆς αὐτοῦ ἥμισυ καὶ ἑκάστου τῶν ἄλλων, ὁμοίως δὲ καὶ πάντα τὰ
5 τοῦ θήλεος ἡμίση ἄρρενος ἡμίση εἶναι ἔλεγεν. τὰ μὲν οὖν εἰς θερμὴν
ἐλθόντα φησὶν Ἐμπεδοκλῆς ὑστέραν μόρια ἄρρενος καὶ θήλεος κρατεῖν τὰ
τοῦ ἄρρενος καὶ γίνεσθαι ἄρρενα, τὰ δ' εἰς ψυχρὰν θήλεα. τοῦ δὲ θερμὴν 35
ἢ ψυχρὰν εἶναι τὴν ὑστέραν ἠτιᾶτο τὴν τῶν καταμηνίων ῥύσιν· εἰ μὲν γάρ,
φησίν, εἰσὶ θερμὰ τὰ καταμήνια, ἐστὶ καὶ ἡ ὑστέρα θερμή, εἰ δὲ ψυχρά.
10 ὁμοίως καὶ αὕτη ψυχρά. καὶ παλαιοτέραν ἢ προσφατωτέραν, τουτέστι
καὶ εἰ μὲν γέγονε πρόσφατος καὶ νεωστὶ ἡ τῶν καταμηνίων ῥύσις, ἀνάγκη
θερμοτέραν εἶναι τὴν ὑστέραν, εἰ δὲ μὴ νεωστί, ἀλλὰ πρὸ πέντε φέρε εἰπεῖν
ἡμερῶν, ψυχροτέραν. Δημόκριτος δὲ οὐ διὰ θερμότητα καὶ ψυχρότητα
ἔλεγε γίνεσθαι ἄρρενα καὶ θήλεα, ἀλλ' ἁπλῶς κατ' ἐπικράτειαν τῶν μερῶν. 10
15 ἔλεγε δὲ οὗτος ἀπὸ πάντων τῶν μερῶν καὶ τοῦ ἄρρενος καὶ τοῦ θήλεος
πάντα ἀπέρχεσθαι, ἀλλ' οὐχ ἡμίση, ὥσπερ Ἐμπεδοκλῆς, ὁλόκληρα δέ.
κεφαλὴν τέλειον ἀπὸ τοῦ ἄρρενος καὶ κεφαλὴν τέλειον ἀπὸ τοῦ θήλεος,
ὁμοίως καρδίαν τέλειον ἀπὸ τοῦ ἄρρενος καὶ καρδίαν ἀπὸ τοῦ θήλεος, καὶ
ἐπὶ τῶν ἄλλων ὁμοίως. γίνεσθαι δὲ πρώτως τὴν μάχην ἐν τοῖς μορίοις,
20 καθ' ἃ διαφέρει τὸ ἄρρεν καὶ θῆλυ, ταῦτα δ' ἐστὶν ἥ τε ὑστέρα καὶ ὁ 15
περίνεος· πόρος δὲ οὗτος ὁ περίνεος φλεβώδης, ἐν ᾧ τε συνίσταται τὸ τοῦ
ἄρρενος σπέρμα καὶ δι' οὗ εἰς τὸ αἰδοῖον ἀποκομίζεται. γίνεσθαι οὖν φησι
τὴν μάχην πρώτως ἐν τούτοις τοῖς μορίοις, καὶ εἰ μὲν κρατήσει ἡ ὑστέρα
τοῦ περινέου, μεταβάλλει αὐτὸν εἰς τὴν ἑαυτῆς φύσιν, ἐξ οὗ δὴ καὶ αὔξεσθαι
25 αὐτὴν συμβαίνει. ἐπεὶ δὲ πάμπαν σύνεγγύς ἐστι τῇ ὑστέρᾳ τὸ τοῦ θήλεος
αἰδοῖον, διὰ τὴν τῆς ὑστέρας νίκην | νικᾷ καὶ τὸ αἰδοῖον τοῦ θήλεος τὸ 82r
τοῦ ἄρρενος αἰδοῖον καὶ μεταβάλλει εἰς ἑαυτό. πλησίον δὲ τοῦ αἰδοίου
ὄντων τῶν μηρῶν καὶ τῆς ἥβης, νικῶσι καὶ οἱ μηροὶ τοὺς μηροὺς καὶ ἡ
ἥβη τὴν ἥβην, καὶ ἡ κοιλία τὴν κοιλίαν, καὶ τὰ ἄλλα ὁμοίως, καὶ γίνεται
30 θῆλυ. εἰ δὲ νικήσῃ ὁ περίνεος καὶ δι' αὐτὸν τὸ αἰδοῖον, καὶ διὰ τὸ αἰδοῖον
μηροὶ καὶ ἥβη, καὶ διὰ τὴν ἥβην κοιλία καὶ στέρνα καὶ τὰ λοιπὰ ὁμοίως, 5
γίνεται ἄρρεν.

p. 764a10 Ἀλλ' ὁποτέρου ἂν κρατήσῃ τὸ σπέρμα τὸ ἀπὸ τοῦ μορίου ἐλθόν.

35 Σπέρμα λέγει τὰ μόρια, καὶ εἴπομεν ἐν τῷ πρώτῳ βιβλίῳ, ὅπως αὐτὰ

---

1 post θήλεα add. ὀρέγονται K 2 τὰ γὰρ ἡμίση IL 5 ἥμισυ utrobique a ἡμίση ἡμίση ἄρρενος ἔλεγεν εἶναι coll. K 6 κρατεῖ L¹ 7 τὰ δ' εἰς] εἰ δ' εἰς a 10 καὶ παλαιοτέραν — μητρός (p. 170,6) om. K 12 post νεωστί add. ἡ τῶν καταμηνίων a 13 ψυχροτέρα IL δὲ οὐ διά] οὐδὲ διὰ IL θερμότητος καὶ ψυχρότητος L¹ 14 γένεσθαι (sic) a 16 ἥμισυ a 17 et 18 τελείαν ubique a 17 καὶ om. IL 18 καρδίαν (post καὶ)] τελείαν la 19 δὲ om. IL πρώτως] πρότερον a 23 πρώτερον (sic) a κρατήσει] fort. κρατήσῃ 25 ἐπεὶ δὲ] ἐπειδὴ IL 29. 30 καὶ γίνεται θῆλυ om. IL 30 αἰδοῖον καὶ διὰ τοῦ αἰδοίου a 35 ἐν τῷ πρώτῳ βιβλίῳ] cf. p. 25,16 sqq.

σπέρματα λέγει. ἔστι δὲ τὸ λεγόμενον 'Δημόκριτος δὲ οὐκ αἰτιᾶται τὴν 82r
θερμότητα καὶ ψυχρότητα, ἀλλὰ τὴν ἐπικράτειαν τοῦ μορίου, ἐν ᾧ διαφέρουσιν
ἀλλήλων τὸ ἄρρεν καὶ τὸ θῆλυ'.

p. 764a15 Εἰ γὰρ πεπλασμένων τῶν ζῴων, τοῦ μὲν τὰ μόρια
5 ἔχοντος τὰ τοῦ θήλεος πάντα, τοῦ δὲ τὰ τοῦ ἄρρενος.

Ἀσαφῶς ἡ λέξις ἀπήγγελται, ἐστὶ δὲ ἔλεγχος τῆς Ἐμπεδοκλέους δόξης. 15
τὸ δὲ λεγόμενον, οἶμαι, τοιοῦτόν ἐστιν· ὅτε τὰ τοῦ ἄρρενος καὶ θήλεος
μόρια εἰς τὴν ὑστέραν εἰσέλθωσιν, ἂν τύχῃ ψυχρὰ οὖσα καὶ ἐπικρατήσῃ 20
τὸ τῆς ὑστέρας ἥμισυ τοῦ ἡμίσεος τοῦ περινέου καὶ μεταβάλλῃ εἰς ἑαυτὴν
10 καὶ ἀναπληρωθῇ, ὡς μηκέτι εἶναι ἡμίσεια ἀλλὰ τέλειος, εἶτα συμβῇ ἅμα
τῷ τὴν ὑστέραν τελειωθῆναι τοῦ ἐμβρύου μεταβαλεῖν τὴν τῆς μητρὸς ὑστέραν 25
φυσικῶς ἢ καὶ ἄλλως πως ἀπὸ ψυχρᾶς κράσεως εἰς θερμότητα, ἀνάγκη
τότε ὡς εἰς κάμινον ἐμβληθέντα τὴν ἀπὸ ψυχρᾶς κράσεως εἰς θερμὴν μετα-
βεβληκυῖαν ὑστέραν τὰ μόρια, ἀνάγκη οὖν διὰ τὴν θερμότητα κρατήσειν τὰ
15 λοιπὰ μόρια τοῦ ἄρρενος πλὴν τοῦ περινέου (ἐκεῖνος γὰρ ἤδη κεκράτηται,
ὅτε ψυχρὰ ἦν ἡ τῆς μητρὸς ὑστέρα), καὶ ἔσται τὸ γεγονὸς ὡς μὲν ὑστέραν 30
ἔχον θῆλυ, ὡς δὲ ὄρχεις καὶ αἰδοῖον τοιονδὶ καὶ τὰ λοιπὰ ἄρρεν, ὅπερ
ἀδύνατον. ἐκρατήθη μὲν γὰρ ὁ περίνεος ὑπὸ τῆς τοῦ ἐμβρύου ὑστέρας,
ὅτε ἦν ἡ τῆς μητρὸς ὑστέρα ψυχρά (τότε γάρ, ὡς εἴρηται, τούτων τῶν
20 μορίων ἡ μάχη γίνεται), ἐν δὲ τῷ αὐτῷ νῦν, ἐν ᾧ τετελείωται ἡ τοῦ
ἐμβρύου ὑστέρα, μετέβαλλεν ἀθρόον κατὰ τὴν ὑπόθεσιν ἡ τῆς μητρὸς
ὑστέρα ἀπὸ ψυχρᾶς κράσεως εἰς θερμήν· κρατηθήσεται οὖν τὰ τοῦ θήλεος
μόρια διὰ τὴν θερμότητα (οὔπω γὰρ αὐτὰ ἐκράτησε τὰ τοῦ ἄρρενος), καὶ 35
ἔστιν ἄρρεν ἔχον ὑστέραν. ὁμοίως δὲ κἂν θερμῆς οὔσης ἐπικρατήσῃ ὁ
25 περίνεος, εἶτα εὐθὺς μεταβάλλῃ εἰς ψυχρὰν κρᾶσιν ἡ τῆς μητρὸς ὑστέρα,
ἐπικράτεια ἔσται τῶν τοῦ θήλεος μερῶν, ἧττα δὲ τῶν τοῦ ἄρρενος, καὶ
ἔσται θῆλυ ἔχον περίνεον, τουτέστιν ἔσται ὡς μὲν ἔχον περίνεον ἄρρεν, ὡς
δὲ τοιονδὶ αἰδοῖον θῆλυ.

p. 764a23 Ἀλλὰ μὴν κἂν εἰ τῶν μορίων τῆς διαφορᾶς αἴτιον ἡ
30 θερμότης.

Ἐὰν ἡ θερμότης, φησί, ποιεῖ τὰ μόρια καθ' ἃ τὸ ἄρρεν χαρακτηρίζεται, 40
ἡ δὲ ψυχρότης καθ' ἃ τὸ θῆλυ, ἔδει τὴν ψυχρότητα καὶ τὴν θερμότητα
τῆς τῶν τοιούτων μορίων διαφορᾶς αἰτιώμενον εἰπεῖν, πῶς καὶ τίνα τρόπον 45

1 σπέρμα a 8 μόρια post ἄρρενος (7) ponit a 9 μεταβάλλῃ scripsi: μεταβάλλει libri 10 ἡμίσυα ἀλλὰ τελεία a 11 τὴν post τῷ om. L 13 ὥσπερ a 15 ἐκεῖνο a 16 ἔστι IL 19 τότε] πρότερον a 21 μετάβαλλεν L: μετάβαλεν a 22 κρατηθήσεται] κατακαυθήσεται IL 23 ἐκράτησαν a τὰ] τῶν a 24 fort. ἔσται 25 μεταβάλλῃ scripsi: μεταβάλλει libri 28 post τοιονδὶ add. καὶ a 29 εἰ IL¹ Arist. PSYZ: ἢ L² Arist. vulg. 32 post ἔδει add. τοῖς a 33 αἰτιωμένοις a

ἡ μὲν θερμότης ποιεῖ | ταδί, ἡ δὲ ψυχρότης ταδὶ τὰ μόρια. τοῦτο γάρ 82ᵛ
ἐστιν ὡς εἰπεῖν τὸ λέγειν περὶ γενέσεως ἄρρενος καὶ θήλεος,
τουτέστι τὸ λέγειν, πῶς καὶ τίνα τρόπον τὰ μὲν ποιεῖ τὸ θερμόν, τὰ δὲ τὸ
ψυχρόν, τοῦτό ἐστι τὸ λέγειν περὶ γενέσεως ἄρρενος καὶ θήλεος, ἀλλ' οὐ τὸ
5 ἁπλῶς οὕτως ἀποφαίνεσθαι ὅτι τὸ μὲν θερμὸν ποιεῖ τὸ ἄρρεν, τὸ ψυχρὸν
δὲ τὸ θῆλυ. τὸ δὲ τοῦτο γὰρ διαφέρει φανερῶς ἴσον ἐστὶ τῷ ἡ
γένεσις (τὸ γὰρ τοῦτο ἀντὶ τοῦ ἡ γένεσις εἴληπται) ἡ γένεσις οὖν, φησί,
τοῦ ἄρρενος καὶ τοῦ θήλεος φανερῶς διαφέρει, ὥστε ἡ μὲν κατ' ἄλλον
γίνεται τρόπον, ἡ δὲ καθ' ἕτερον· ἔδει οὖν τὸν Ἐμπεδοκλέα εἰπεῖν τοὺς
10 τοιούτους τρόπους. ἵνα δὲ μή τις εἴπῃ ὅτι ὡς σαφεῖς ὄντας τοὺς τρόπους,
καθ' οὓς τὸ μὲν γίνεται ἄρρεν τὸ δὲ θῆλυ, παρείασεν, ἐπήγαγε τὸ οὐ
μικρόν τε ἔργον τὸ ἀπ' ἐκείνης τῆς ἀρχῆς περὶ τῆς γενέσεως,
λέγων ἐκείνην ἀρχὴν τὸ θερμὸν καὶ ψυχρόν. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον
'καίτοι οὐ χρὴ λέγειν ὅτι ὡς σαφεῖς παρῆκεν Ἐμπεδοκλῆς τοὺς τρόπους
15 καὶ τὰς αἰτίας, καθ' ἃς γίνεται τὸ ἄρρεν καὶ τὸ θῆλυ· οὐ γάρ ἐστι μικρὸν
ἔργον οὐδὲ πρόχειρον τὸ εἰπεῖν, ὅπως ἀπὸ τῆς θερμότητος καὶ ψυχρότητος
γίνονται, ἀλλὰ καὶ λίαν δυσχερὲς καὶ δύσκολον'. ταῦτα εἰπὼν περὶ Ἐμπε-
δοκλέα ἐπάγει τὸ ἰσχυρότατον τῶν ἐπιχειρημάτων τὴν πίστιν ἔχον ἐκ τῶν
φαινομένων, λέγων ἔτι δὲ γίνεται δίδυμα ἅμα, καὶ τὸ μέν ἐστιν ἄρρεν,
20 τὸ δὲ θῆλυ· ὥστε εἰ μὲν ἦν ψυχρὰ ἡ ὑστέρα, ἔδει ἀμφότερα θήλεα εἶναι,
εἰ δὲ θερμή, ἀμφότερα ἄρρενα· νῦν δὲ τὸ μέν ἐστιν ἄρρεν, τὸ δὲ θῆλυ.
εἰ δέ τις λέγει ὅτι τὸ μὲν ἄρρεν ἐν τοῖς δεξιοῖς ἐστι, τὸ δὲ θῆλυ ἐν τοῖς
ἀριστεροῖς, οὐδ' οὕτως ὑγιῶς λέγει· ὦπται γὰρ καὶ θῆλυ ἐν τῷ δεξιῷ
μέρει τῆς ὑστέρας πάνυ πολλάκις καὶ ἄρρεν ὁμοίως ἐν τῷ ἀριστερῷ.
25 περὶ ὧν εἰ μὲν μὴ συνεωράκει μηδ' ὅλως ἀνέτεμεν Ἐμπεδοκλῆς, εἰκότως
ἡμάρτανεν· ἐκ γὰρ τῶν ἀνατομῶν ταῦτα ὁρᾶταί τε καὶ εὑρίσκεται· εἰ δ'
ἀνέτεμε καὶ εὗρεν ἐν τῇ αὐτῇ καὶ μιᾷ ὑστέρᾳ δίδυμα, ὧν τὸ μὲν ἄρρεν
τὸ δὲ θῆλυ ἦν, ἄτοπον τὸ ἔτι νομίζειν τὴν θερμότητα καὶ ψυχρότητα
αἰτίας τῆς τούτων γενέσεως.

30 p. 764ᵇ3 ⟨Λέγοντί τε τὰ μόρια διεσπάσθαι τοῦ γινομένου⟩.

Τὸ λεγόμενον οὕτως ἐπῆκται, ὡς εἰ ἔλεγεν 'ἐπειδὴ γὰρ Ἐμπεδοκλῆς
διασπᾷ τὰ μέρη τοῦ γινομένου, ὥσπερ εἴπομεν πρὸ βραχέος, λέγων ἀπὸ
μὲν τοῦ ἄρρενος ἀπιέναι τὸ ἥμισυ τῆς καρδίας, ἀπὸ δὲ τοῦ θήλεος τὸ
ἥμισυ (διὸ καὶ ἐπιθυμοῦσι τῆς ἀλλήλων ὁμιλίας), ἐπειδὴ οὖν, φησί, διασπᾷ
35 τὰ μόρια, κάλλιον ἦν Ἐμπεδοκλεῖ λέγειν ὅτι σύνοδος γίνεται ὁλοκλήρων
τῶν μορίων, ὥσπερ Δημόκριτος ἔλεγε, καὶ εἰ μὲν κρατήσει τὰ τοῦ ἄρρενος,

1 post ψυχρότης add. ποιεῖ a  τὰ om. L  3 ποιεῖ—λέγειν (4) in ras. L
τὸ post δὲ om. IL  9 ὁ δὲ a  Ἐμπεδοκλῆν IL  10 εἴποι a  11 οὐ] οὖν I
12 τε L² Arist.: τὸ IL¹a  13 post λεγόμενον add. δυνάμει a  17 περὶ] πρὸς a
18 ἔχων L¹  19 καὶ τὸ μέν — τῆς μητρός (p. 170,6) in unius fere vers. lacuna
om. IL  20 εἰ scripsi: ἡ a  30 Λέγοντί τε—γινομένου ex Arist. addidi

γίνεται | ἄρρεν, εἰ δὲ τὰ τοῦ θήλεος, θῆλυ, καὶ μὴ λέγειν ὅτι διὰ ψῦξιν 83r
καὶ θερμότητα'. τὸ δὲ ἀναγκαῖον καὶ τῶν τοιούτων διῃρῆσθαι τὸ
μέγεθος, τὸ διῃρῆσθαι ἀντὶ τοῦ διῃρημένον καὶ καθ' αὑτὸ εἶναι τὸ μέγεθος
τῆς τοῦ ἄρρενος κεφαλῆς, ἤτοι ὁλόκληρον εἶναι τὴν κεφαλήν, ἀλλὰ μὴ τὸ
ἥμισυ αὐτῆς εἶναι ἀπὸ τῆς τοῦ ἄρρενος κεφαλῆς καὶ τοῦ πατρός, τὸ δ' ἥμισυ ἀπὸ τῆς κεφαλῆς τῆς μητρός.

p. 764b20 Ὅλως δὲ τό γε τὴν τοῦ μέρους ὑπεροχὴν κρατήσασαν ποιεῖν θῆλυ βέλτιον μέν.

Διὰ τούτων προτίθησι τὴν τοῦ Δημοκρίτου δόξαν τῆς τοῦ Ἐμπεδοκλέους δόξης λέγων 'ὅλως δὲ τὸ λέγειν ὅτι κρατήσασα καὶ νικήσασα φέρε εἰπεῖν ἡ ὑστέρα τὸν περίνεον καὶ εἰς ἑαυτὴν μεταβαλοῦσα θῆλυ ποιεῖ γίνεσθαι. ἢ ἔμπαλιν τὸν περίνεον κρατήσαντα ἄρρεν, βέλτιόν ἐστι τοῦ ἀφροντίστως καὶ ἀνεξετάστως, ὥσπερ ὁ Ἐμπεδοκλῆς, λέγειν ὅτι θερμῆς οὔσης τῆς ὑστέρας ἄρρεν γίνεται, ψυχρᾶς δὲ θῆλυ'. οὕτως οὖν προθεὶς καὶ κρείττονα εἶναι φήσας τὴν Δημοκρίτειον δόξαν τῆς Ἐμπεδοκλέους δόξης ἐνίσταται καὶ πρὸς Δημόκριτον λέγων τὸ μέντοι συμβαίνειν ἅμα καὶ τὴν τοῦ αἰδοίου μορφὴν ἑτέραν δεῖται λόγου. εἴπομεν δὲ πρὸ βραχέος τὴν Δημοκρίτειον δόξαν ἐκθέμενοι λέγειν τὸν Δημόκριτον ὅτι ἐπικρατησάσης τῆς ὑστέρας, διὰ τὸ λίαν σύνεγγυς αὐτῇ εἶναι τὸ αἰδοῖον ἐπικρατεῖ καὶ τοῦτο καὶ νικᾷ τὸ τοῦ ἄρρενος αἰδοῖον καὶ εἰς ἑαυτὸ μεταβάλλει, καὶ τὰ λοιπὰ μέρη ὁμοίως. πρὸς τοῦτο οὖν ἀπαντᾷ ὁ Ἀριστοτέλης λέγων 'ἐπειδὴ τὰ τοῦ θήλεος ἅπαντα μέρη κεκράτηκε τῶν τοῦ ἄρρενος ἁπάντων μορίων καὶ εἰς ἑαυτὰ μεταβέβληκεν, ἔδει τὸ γεννηθὲν μὴ μόνον εἶναι θῆλυ, ἀλλὰ καὶ ἐοικὸς τῇ μητρί· νῦν δὲ πάνυ πολλὰ γίνεται θήλεα ἐοικότα τοῖς πατράσιν· ὁμοίως κἂν ἐπεκράτησε τὰ τοῦ ἄρρενος, ἄρρεν καὶ ἐοικὸς τῷ πατρί· πολλὰ δὲ ἄρρενα ἐοίκασι ταῖς μητράσιν'. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια αὕτη· κατὰ δὲ τὴν λέξιν τὴν εἰ γὰρ ὅτι σύνεγγυς, καὶ τῶν λοιπῶν ἔδει μορίων ἀκολουθεῖν ἕκαστον ἴσον ἐστὶ τῷ 'εἰ γὰρ διότι σύνεγγυς τῇ ὑστέρᾳ ἐστὶ τὸ αἰδοῖον καὶ τῷ αἰδοίῳ μηροὶ καὶ ἥβη, καὶ τούτοις ἕτερα κἀκείνοις ἄλλα, διὰ τὴν τοῦ ἑνὸς ἐπικράτειαν συνακολουθεῖ καὶ τἆλλα καὶ συνεπικρατεῖ τῷ πρώτως ἐπικρατήσαντι, εἰ δὴ διὰ τοῦτο οὕτως γίνονται, ἔδει θῆλύ τε εἶναι τὸ γεγονὸς καὶ μητρὶ ἐοικός'.

3 διῃρημένων a 7 ὑποσχὴν K 9 προστίθησι I τῆς] τῇ L¹ 10 δόξῃ L λέγων om. L 11 ἑαυτὸν K ποιεῖ om. Ka 12 περίναιον IL 13 λέγειν ante ὥσπερ ponit K 14 κρεῖττον a 15 δημοκρίτου K δόξης om. K 16 τὸ] τῷ L 17 δημοκρίτου a 19 αὐτοῦ L 21 ἁπαντῶν IKa λέγει Ka 23 μόνον] μέρος IL¹ 24 γίνεται] γίνεσθαι IL: γέγονεν a 26 κατὰ—τὴν] τὸ δὲ κατὰ τὴν a 27 καὶ] κατὰ I 28 τῇ ὑστέρᾳ post αἰδοῖον ponit K 30 συνακολουθεῖ scripsi: συνακολουθεῖν Ka: ἐπακολουθεῖν IL συνεπικρατεῖ] συνακολουθεῖν IL 31 διὰ τούτων K

p. 764ᵇ27 Ἔτι ἄτοπον καὶ τὸ ταῦτα οἴεσθαι δεῖν γίνεσθαι τὰ μόρια.

Καὶ τοῦτο πρὸς Δημόκριτον ἀπέρριπται. ἔστι δὲ ὃ λέγει ἄτοπον τὸ νομίζειν πρῶτον ταῦτα γίνεσθαι τὰ μόρια (λείπει γὰρ τὸ πρῶτον) ἄτοπον οὖν τὸ μόνον νομίζειν ὅτι πρῶτον ἡ ὑστέρα ἢ ὁ περίνεος γίνεται καὶ μὴ ἅμα ὅλον τὸ σῶμα, καὶ μάλιστα καὶ πρῶτον αἱ φλέβες, περὶ ἃς περίκεινται αἱ σάρκες, ὥσπερ τὰ χρώματα περὶ τὴν σκιαγραφίαν. ὑποδο|χὴ γὰρ 83ᵛ αἵματος καὶ αἱ φλέβες καὶ ἡ ὑστέρα, ἀλλὰ προτέρα ἡ τῶν φλεβῶν· ἐξ αὐτῶν γὰρ ἡ ὑστέρα τὸ αἷμα δέχεται. ὥστε ἀνάγκη πρότερον τὴν καρδίαν, εἶτα τὰς φλέβας, καὶ οὕτω τὰ λοιπὰ γενέσθαι. κινοῦσαν γὰρ ἀρχὴν ἢ τὴν καρδίαν ἢ τὴν ἐν αὐτῇ ψυχὴν εἴρηκεν, ὁμοίως δὲ καὶ γενέσεως ἀρχήν· ἀρχὴ γὰρ γενέσεως ἡ καρδία νῦν ἐν τῷ ποιά τις εἶναι. ὡς γὰρ προϊὼν ἐρεῖ, τῆς καρδίας θερμῆς οὔσης γίνονται ἄρρενα δι' οὓς ἐρεῖ τρόπους· ἤδη γὰρ ἄρρεν ἢ θῆλυ ἐν τῇ καρδίᾳ ἐστί. συμβαίνει μὲν οὖν, φησίν, ἡ διαφορὰ τῶν μερῶν τούτων πρὸς ἄλληλα τοῖς θήλεσι καὶ τοῖς ἄρρεσι, τουτέστι κατὰ τὰ μόρια ταῦτα, τὰς ὑστέρας καὶ τὰ αἰδοῖα, εἰσὶ τὰ μὲν ἄρρενα τὰ δὲ θήλεα, ἀλλ' οὐκ ἀρχὴν καὶ αἰτίαν τῶν μορίων τούτων ὑποληπτέον οὔτε τὴν θερμοτέραν ἁπλῶς ὑστέραν καὶ ψυχροτέραν, ὡς Ἐμπεδοκλῆς φησιν, οὔτε τὴν ἐπικράτειαν τῶν μερῶν, ὡς Δημόκριτος, ἀλλ' ἑτέραν τινά, εἴτε ἀποκρίνεται σπέρμα καὶ ἀπὸ τοῦ θήλεος καὶ ἀπὸ τοῦ ἄρρενος εἴτε μή. περὶ γὰρ τούτων δέδεικται ἱκανῶς ὅτι οὔτε τὸ ἄρρεν συμβάλλεταί τι σωματῶδες οὔτε τὸ θῆλυ σπέρμα.

p. 765ᵃ3 Ὁ δ' αὐτὸς λόγος καὶ πρὸς τοὺς λέγοντας τὸ μὲν ἄρρεν ἀπὸ τῶν δεξιῶν εἶναι, τὸ δὲ θῆλυ ἀπὸ τῶν ἀριστερῶν.

Αὕτη ἡ δόξα τοῦ Ἀναξαγόρου· οὗτος γὰρ ἦν ὁ λέγων ὅτι εἰ μὲν ἀπὸ τῶν δεξιῶν μερῶν ἀπέλθοι τοῦ ἄρρενος καὶ πρὸς τὰ δεξιὰ ἔλθοι τῆς ὑστέρας, ἄρρεν γίνεται, εἰ δ' ἀπὸ τῶν ἀριστερῶν καὶ πρὸς τὸ ἀριστερόν, θῆλυ. δεῖ δὲ ἡμᾶς εἰδέναι ὅτι καὶ οὗτος ἐν τῷ σπέρματι ἐνεργείᾳ ἔλεγεν εἶναι τὰ μόρια, ἀναίσθητα δὲ διὰ σμικρότητα. ἀπαντᾷ οὖν καὶ πρὸς αὐτὸν λέγων ἐπεὶ δέδεικται ὅλως μηδεμίαν ὅλην συμβάλλεσθαι τὸ ἄρρεν, τὰ δὲ μόρια ὅλη τοῦ ὅλου εἰσί, ψεῦδος τὸ λέγειν ὅτι τὰ μὲν ἀπὸ τῶν δεξιῶν ἄρρενός ἐστι γεννητικά, τὰ δ' ἀπὸ τῶν ἀριστερῶν θήλεος. εἰ δὲ δεῖ, φησί, συγχωρεῖν ὅτι καὶ τὸ ἄρρεν συμβάλλεταί τινα ὅλην, ἀπαντητέον καὶ πρὸς αὐτὸν ὥσπερ καὶ πρὸς Ἐμπεδοκλέα. [εἰπὼν δὲ τὸν Ἐμπεδοκλέα θερμότητι καὶ ψυχρότητι τῆς ὑστέρας διορίζειν τὸ ἄρρεν καὶ τὸ θῆλυ, τὸν δὲ Ἀναξαγόραν

---

1 post τὸ add. μόνον Arist.; cf. v. 4 5 καὶ post μάλιστα om. K τὰς φλέβας IK 7 πρότερον IL 7. 8 δι' αὐτῶν Ka 10 καρδίαν ἢ τὴν om. a: τὴν om. L 11 νῦν om. Ka 13 ἐν τῇ] ἡ K: ἢ a 15 τὴν ὑστέραν K: τῆς ὑστέρας a 17 τὴν θερμότητα ἁπλῶς καὶ ψυχρότητα Ka 18 φασιν I ἕτερα IL 20 ante μὴ add. καὶ a 25 ἔλθη a 27 ἐνέργειαν L¹ 28 δὲ om. IL καὶ om. a 30. 31 ἄρρενά εἰσι τὰ γεννητικὰ IL 31 θήλεα IL δεῖ om. La 33 εἰπὼν δὲ—εἰρημένον (p. 172,6) om. IL: τοῦτο τὸ σχόλιον παρενεγράφη in marg. adscr. K 33. 34 θερμότητα καὶ ψυχρότητα a

τοῖς δεξιοῖς καὶ ἀριστεροῖς, ἐπάγει πρὸς τὸν Ἀναξαγόραν ὧν διὰ τί αἴτιον, τουτέστιν ὄντινων, τοῦ τε ἄρρενος καὶ θήλεος, ὡς εἶναι τὸ πᾶν τοιοῦτον 15 ‘ἐξ ὧν, τοῦ τε ἄρρενος καὶ θήλεος, διὰ τί αἴτιον τὸ σῶμα τὸ τῆς ὑστέρας ἤτοι ἡ ὑστέρα τοῖς ἐκ τῶν ἀριστερῶν ἀπελθοῦσιν ὑπάρξει, τοῖς δ' ἐκ τῶν δεξιῶν οὐχ ὑπάρξει’; εἴη | δ' ἂν τὸ ὧν διὰ τί ἐπὶ τῶν μορίων, ἀλλὰ 84r μὴ ἐπὶ τοῦ ἄρρενος καὶ θήλεος εἰρημένον.] ἐν δὲ τῇ λέξει τῇ ὧν διὰ τίνα αἰτίαν ὑπάρξει τοῖς ἐκ τῶν ἀριστερῶν, τοῖς δ' ἐκ τῶν δεξιῶν οὐχ ὑπάρξει τὸ σῶμα τῆς ὑστέρας ἴσον ἐστὶ τῷ ‘διὰ τίνα ποτὲ λόγον καὶ αἰτίαν ἡ ὑστέρα αἰτία ἔσται τοῦ τοῖς μὲν ἀπὸ τῶν ἀριστερῶν τοῦ ἄρρενος ἀπελθοῦσι καὶ εἰς αὐτὴν ἐλθοῦσι θήλεα ἀποτελεῖν, ἄρρενα δὲ μή’; ἦν γὰρ ἡ λέγουσα τοῦτο δόξα τοιαύτη· εἰ μὲν γὰρ ἀπὸ τῶν ἀριστερῶν 5 μερῶν τοῦ ἄρρενος ἀπέλθοι τὸ ὁρώμενον σπέρμα καὶ ἐν ἑαυτῷ ἔχον ἐνεργείᾳ τὰ μόρια, ἀναίσθητα δὲ διὰ σμικρότητα, καὶ εἰς τὸ ἀριστερὸν μέρος τῆς ὑστέρας εἰσέλθοι, θῆλυ γίνεται. ὥστε λείποι ἂν ἐν τῇ λέξει τὸ ἀριστερόν· τὸ δὲ σῶμα ταὐτόν ἐστι τῷ τὸ μέρος. καὶ εἴη ἂν τὸ πᾶν τοιοῦτον ‘ὧν διὰ τί αἴτιον ὑπάρξει τοῖς ἐκ τῶν ἀριστερῶν, τοῖς δ' ἐκ τῶν δεξιῶν οὐχ ὑπάρξει τὸ ἀριστερὸν μέρος τῆς ὑστέρας;’ ἀλλὰ καὶ τὸ ἂν γὰρ ἔλθῃ μέν, μὴ ἔχῃ δὲ τοῦτο τὸ μόριον, ἔσται θῆλυ οὐκ ἔχον ὑστέραν 10 ἴσον ἐστὶ τῷ ‘ἂν γὰρ ἔλθῃ μὲν ἀπὸ τῶν δεξιῶν τοῦ ἄρρενος τὸ σπέρμα, πεσεῖται δὲ εἰς τὸ ἀριστερὸν τῆς ὑστέρας, ὡς μὲν ἀπὸ τῶν δεξιῶν τοῦ ἄρρενος ὂν ἕξει περίνεον καὶ οὐχ ὑστέραν, ὡς δὲ εἰς τὸ ἀριστερὸν πεπτωκὸς μέρος τῆς ὑστέρας ἔσται θῆλυ· ἔσται ἄρα θῆλυ μὴ ἔχον ὑστέραν, ὅπερ ἀδύνατον. εἰ δ' ἀπέλθοι μὲν ἀπὸ τῶν ἀριστερῶν τοῦ ἄρρενος, ἔλθοι δὲ πρὸς τὰ δεξιὰ τῆς ὑστέρας, ἔσται ἄρρεν ἔχον ὑστέραν, ἄρρεν μὲν ὡς πεπτωκὸς 15 ἐν τῷ δεξιῷ τῆς ὑστέρας, ὑστέραν δὲ ἔχον, ὅτι ἀπὸ τῶν ἀριστερῶν τοῦ ἄρρενος ἀπῆλθεν’. ἐν δὲ τῇ λέξει τῇ καὶ τοῦτο οὐχ ὅτι ἅπαξ, ἀλλὰ καὶ πλειονάκις ἡ τὸ ἄρρεν τὸ ἢ ἀντὶ τοῦ παρὸ εἴληπται, οὐ διαζευκτικῶς.

p. 765a21 Παραπλησίως δέ τινες πεπεισμένοι τούτοις εἰσὶ καὶ λέγουσιν ὡς τὸν δεξιὸν ὄρχιν ἀποδουμένοις.

Τὸ ἀποδουμένοις ἀντὶ τοῦ δεσμήσασιν, ἐκ τοῦ δῶ δήσω, τὸ δεσμῶ. ἔστι δὲ τὸ λεγόμενον ‘παραπλησίως τοῖς ἀπὸ τῶν δεξιῶν τὰ ἄρρενα γεννῶσι 20

---

1 τί αἴτιον Ka Arist. SY: τίν' αἰτίαν Arist. vulg. 6 ἐν—λέξει τῇ] τὸ δὲ κατὰ τὴν λέξιν τὸ a 7 τί αἴτιον IKa 8 post σῶμα add. τὸ K τῷ] τὰ ex τῷ corr. I 8. 9 διὰ τίνα ποτ' αἰτίαν K 9 τοῦ τὰ μὲν a 10 ἀπελθοῦσα IL: ἀπέλθῃ a ἐλθοῦσα L: ἔλθῃ a ἐλθοῦσι—ἀποτελεῖν om. K ἀποτελεῖ L 11 ἦν] ἦ a δόξα τοῦτο coll. IL 12 ἀπέλθῃ a 14 εἰσέλθῃ a λείπει a 17 ἔλθοι IK 18 ἔχῃ IKL Arist. S: σχῇ Arist. vulg.: ἔχειν a ἔστι θῆλυ a οὐκ] μὴ I ex corr. L 19 ἔλθοι I 21 τὰ ἀριστερὰ K 22 μέρος om. K 23 ἀπέλθῃ Ka ἔλθῃ a 24 ἔστι ἄρρεν a 25 ὅτι] ὡς Ka 26 ἀπελθόν K καὶ om. Ka 27 τοῦ] τὸ a οὐ] ἢ L: om. la 28 τούτοις om. IL 30 δῶ δήσω scripsi: δωδήσω libri τῷ δεσμῷ a 31 ἔσται K

λέγουσι καὶ οὗτοι· φασὶ γὰρ ὡς εἴ τις τὸν δεξιὸν ὄρχιν δεσμήσας προβάτου 84r
ἢ ἀνθρώπου ἢ ἄλλου τινὸς ἐν τῇ ὁμιλίᾳ, τὸν δὲ ἀριστερὸν ἐάσει ἀπολελυ- 25
μένον, τὸ γεγονὸς ἔσται θῆλυ· εἰ δ' ἀνάπαλιν τὸν ἀριστερὸν δεσμήσει,
ἐάσει δὲ τὸν δεξιόν, ἄρρεν ἔσται τὸ γεννηθέν. ἀλλὰ κἂν ἐκτέμῃς τὸν δεξιὸν
5 ὄρχιν, θηλυτοκεῖ, εἰ δὲ τὸν ἀριστερόν, ἀρρενοτοκεῖ'. ταῦτα δὲ λέγουσιν οὐ 30
πείρᾳ μαθόντες οὐδ' ἀληθῶς, ἀλλὰ μαντευόμενοι. λέγουσι γὰρ ὅτι ἐπεὶ
τὰ δεξιὰ θερμότερα, ἀνάγκη καὶ τὸ ἀπ' αὐτῶν ἀπιὸν θερμότερον εἶναι· τὸ 35
δὲ θερμὸν μᾶλλον δύναται συνιστάνειν, τὸ μᾶλλον δυνάμενον συνιστάνειν
ἄρρεν ποιεῖ· ἀνάγκη ἄρα καὶ τὸ ἀπὸ τοῦ δεξιοῦ ὄρχεως ἄρρεν εἶναι, θῆλυ 40
10 δὲ τὸ ἀπὸ τοῦ ἀριστεροῦ. ἐγκαλεῖ οὖν αὐτοῖς καί φησιν ὅτι πρὸ τοῦ δῆσαι
θάτερον τῶν ὄρχεων καὶ ἰδεῖν εἰ οὕτως συμβαίνει (τούτου γάρ ἐστι δηλωτικὸν
τὸ καὶ προλαμβάνοντες ὡς οὕτως ἔχον πρὶν γινόμενον οὕτως 45
ἰδεῖν), πρὶν οὖν δήσωσι καὶ πεῖραν λάβωσιν εἰ οὕτως γίνεται, ἔκ τινων |
εἰκότων ταῦτα μαντεύονται. ἔτι δέ, φησίν, οἱ τοὺς ὄρχεις αἰτιώμενοι τῆς 84v
15 τε ἀρρενογονίας καὶ θηλυγονίας ἠγνόησαν ὡς οὐδὲν οὗτοι πρὸς γένεσιν ὅλως
συμβάλλονται, ὡς δέδεικται ἐν τῷ πρώτῳ βιβλίῳ ταύτης τῆς πραγματείας.
σημεῖον δὲ τοῦ μὴ πρὸς γένεσιν τοὺς ὄρχεις συμβάλλεσθαι τὸ πολλὰ μὲν
εἶναι ἄρρενα καὶ θήλεα καὶ γεννᾶν καὶ ἄρρενα καὶ θήλεα, ὄρχεις δὲ μὴ
ἔχοντα, ὥσπερ οἱ ἰχθύες, ὥστε εἴπερ οἱ ὄρχεις ἦσαν αἴτιοι ἀρρενογονίας 5
20 καὶ θηλυγονίας, τὰ μὴ ἔχοντα ὄρχεις οὔτ' ἂν ἄρρενα οὔτε θήλεα ἐγέννων·
γεννῶσι δέ. λέγει δὲ τὰ αὐτὰ τῶν ζῴων εἶναι ἄρρενα καὶ θήλεα, τάς τε
χάννας καὶ τοὺς ἐρυθρίνους μελίττας τε καὶ βασιλεῖς, καὶ ἄλλα πλείω
τούτων. οὕτω δὴ ἀντειπὼν πρὸς αὐτοὺς λέγει ὅτι τὸ μὲν τῆς τῶν ἀρρένων
καὶ θηλέων γενέσεως αἰτιᾶσθαι τὸ θερμὸν καὶ ψυχρὸν καὶ τὸ δεξιὸν καὶ
25 ἀριστερὸν ἔχει μέν τινα λόγον, ἀλλὰ τὸ λέγειν οὕτως οὐκ ἔστι λέγειν τὸ
προσεχὲς καὶ κυριώτατον αἴτιον· ἐπεὶ καὶ τὸ λέγειν ὅτι ὅδε ὁ ἄρτος ἐκ 10
τῶν τεσσάρων ἐστὶ στοιχείων ἀληθὲς μέν, ἀλλὰ τὸ μάλιστα καὶ κυριώτατον
αἴτιον αὐτοῦ ἐστι τά τε ἄλευρα ὅ τε ἅλς τό τε ὕδωρ καὶ τὰ λοιπά. τὸ
δὲ δεῖ μάλιστα προσάγειν ἐκ τῶν ἐνδεχομένων ἐγγὺς τῶν πρώ-
30 των αἰτίων ἴσον ἐστὶ τῷ πολλῶν ἐνδεχομένων εἶναι τοῦ αὐτοῦ αἰτίων
καὶ τῶν μὲν ἐγγύτερον τῶν δὲ πορρώτερον, ἐκ τῶν ἐγγύτερον δεῖ ποιεῖσθαι
τὰς ἀποδόσεις. ὑποστικτέον δὲ εἰς τὸ ἐνδεχομένων, εἶτα ἐπακτέον τὸ 15
ἐγγὺς τῶν πρώτων αἰτίων.

---

1 φησὶ IL  δεσμήσας] fort. δεσμήσει  3 ἐστι a  post τὸν add. μὲν Ka
4 ἔστι a  ἐκτέμοις IK: ἐκτέμει a  8 μᾶλλον post τὸ om. L  9 ἀρρενοποιεῖ I
καὶ om. Ka  ὄρχεος a  13 δήσωσι scripsi: δήσουσι libri  15 ὅλως post οὐδὲν ponit a:
οὐδὲ ὅλως K  16 ἐν τῷ πρώτῳ βιβλίῳ] A 4  18 καὶ θήλεα ante καὶ om. IKL
19 ἔχοντα] ἔχειν a  20 μὴ] μὲν IL¹  ἂν post θήλεα ponit K  22 καὶ ante
τοὺς om. ILa  ἐρυθριβόας IL  23 τὸ μὲν τῆς] τῆς μὲν L: τῶν μὲν I
26 κυριώτερον Ka  27 post μάλιστα add. αἴτιον sed rursus del. L  28 τά τε]
τότε corr. L  τό τε ἅλας IL  29 δεῖ δ' ὅτι μάλιστα a Arist.  30 τοῦ]
τῶν L  31 μὲν ἐγγυτέρω IKa  πορρωτέρω IKa  τῶν ἐγγυτέρων IKa
32 ἀποδείξεις IL  32. 33 τὸ ἐγγὺς om. K

p. 765b8 Ἀλλ' ἐπεὶ τὸ ἄρρεν καὶ τὸ θῆλυ διώρισται δυνάμει τινὶ καὶ ἀδυναμίᾳ. 84v

Ἀντειπὼν πρὸς τοὺς λέγοντας, πῶς τὸ ἄρρεν καὶ θῆλυ γίνεται, καὶ τὴν οἰκείαν μέλλων ἐκθεῖναι δόξαν προλαμβάνει ταῦτα ὡσπερεὶ λήμματα συνεργὰ γενησόμενα αὐτῷ πρὸς τὴν τῆς ἀρρενογονίας καὶ θηλυγονίας ἀπόδοσιν. λέγει οὖν 'ἐπειδὴ τὸ ἄρρεν καὶ θῆλυ διώρισταί τινι δυνάμει καὶ ἀδυναμίᾳ, καὶ ἄρρεν μέν ἐστι τὸ δυνάμενον πέττειν καὶ συνιστάναι καὶ ἐκκρίνειν σπέρμα ἔχον ἐν ἑαυτῷ τὴν τοῦ εἴδους ἀρχήν, ἀλλ' οὐ τὴν ὑλικὴν ἀλλὰ τὴν κινοῦσαν πρώτην, τουτέστι τὴν ποιητικήν' (αὕτη δὲ ἦν μάλιστα ἡ αἰσθητική· τὴν γὰρ θρεπτικὴν καὶ τὸ θῆλυ παρέχεται, ὥσπερ εἴρηκε πρότερον), εἰπὼν οὖν ὅτι τὴν κινοῦσαν πρώτην ἐπήγαγε 'τὸ γὰρ κινοῦν καὶ ποιοῦν ἢ ἐν ἑαυτῷ ἔχει τὸ γινόμενον, ὥσπερ τὰ φυσικά (πᾶν γὰρ ὃ ἂν φυσικῶς γίνηται, ἐν ἑαυτῷ ἔχει τὴν κινοῦσαν ἀρχὴν καὶ ἄγουσαν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ), ἢ ἐν ἄλλῳ, τουτέστιν ἐκτός'. τὰ γὰρ ὑπὸ τέχνης γινόμενα οὐκ ἐν ἑαυτοῖς ἔχει τὸ κινοῦν, ἀλλ' ἐκτός· οὐ γάρ ἐστιν ἐν τῷ χαλκῷ ὁ ἀνδριαντοποιὸς ὥσπερ ἐν τῷ σίτῳ ἡ κινοῦσα αὐτὸν ἀρχὴ καὶ ποιοῦσα φύειν καὶ ἀναδιδόναι στάχυν. εἴτε οὖν τὸ γινόμενον ἐντὸς ἑαυτοῦ καὶ σύμφυτον ἔχει τὸ κινοῦν καὶ ποιοῦν, εἴτε | ἐν ἄλλῳ καὶ ἐκτὸς τοῦτο 85r δύναται ποιεῖν, τουτέστι τὸ κινεῖν καὶ ἄγειν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, τὸ οὖν δυνάμενον κινεῖν καὶ ἄγειν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἀρχὴν κινητικὴν λεκτέον, κἂν τε ἐντός ἐστι τοῦ γινομένου κἂν τε ἐκτός, ἀλλ' οὐχ ὑλικήν. τὸ δὲ ἀδυνατοῦν συνιστάνειν καὶ ἐκκρίνειν ποιητικὴν καὶ κινητικὴν ἀρχήν, δεχόμενον δὲ μᾶλλον αὐτὴν ἐν ἑαυτῷ, θῆλυ τοῦτό ἐστιν. ἔτι, φησίν, εἰ πᾶσα πέψις θερμότητι ἐργάζεται (πᾶν γὰρ τὸ πεπεμμένον θερμότητι ἐπέφθη), πέττει δὲ καὶ συνίστησι τὸ τοῦ ἄρρενος σπέρμα, ἀνάγκη τὰ ἄρρενα τῶν ζῴων θερμότερα εἶναι τῶν θηλέων. τὰ γὰρ θήλεα οὐ διὰ θερμότητα, ὥς τινές φασι, πολυαιμεῖ κατά τινας τόπους, λέγων τινὰς τόπους τὰς ὑστέρας, ἀλλὰ μᾶλλον διὰ ψυχρότητα. κατεσκεύαζον δὲ αὐτὸ οὕτως· εἰ τὸ αἷμα θερμόν, τὸ πλέον ἔχον αἷμα θερμότερον ἔσται τοῦ ἧττον ἔχοντος· ἔχει δὲ πλέον αἷμα τὸ θῆλυ, θερμότερον ἄρα τὸ θῆλυ τοῦ ἄρρενος. ἐγκαλεῖ οὖν αὐτοῖς λέγων ὅτι οὐ πᾶν ὑγρὸν καὶ ἐρυθρὸν αἷμά ἐστιν, ὥστε οὐδὲ θερμόν· ὥστε οὐ θερμότερον ἐξ οὗ τοῦτο γέγονε. περίττωμα μὲν οὖν αἵματος εἴη ἂν τὸ καταμήνιον, ἀλλ' οὐ κυρίως αἷμα. τὸ δὲ καὶ οὐκ ἔλαττον γινόμενον καὶ καθαρώτερον τοῖς εὐτροφοῦσιν εἰρωνικῶς ἀπέρριπται πρὸς αὐτούς, ὡς εἰ ἔλεγεν 'οὕτω θαυμαστῶς ἀποφαίνονται περὶ τοῦ καταμηνίου, ὡς ἀναγκαίου ὄντος αἷμα εἶναι πᾶν τὸ πλέον, ἂν δὲ ᾖ ἔλαττον καὶ καθαρόν,

6 δυνάμει τινὶ coll. Ka 10 εἴρηται Ka 12 ἔχει] τῷ ἔχειν IL 13 γίνηται ex γένηται corr. K: γένηται IL: γίνεται a 15 ἑαυτῷ K 17 ἐντὸς ex ἐκτὸς corr. L 19 εἰς ἐνέργειαν a 23 δὲ καὶ μᾶλλον IL ante ἔτι add. καὶ IL 24 θερμότητι post πέψις ex θερμότητα corr. L τὸ] καὶ IL¹ 27 ὥσπερ τινὲς IK λέγων—ὑστέρας (28) om. K 29 ἔσται om. a 31 πᾶν] πάνυ L ἐρυθρὸν καὶ ὑγρὸν coll. K 32. 33 εἴη ἂν om. Ka 34 εὐτραφοῦσιν L 36 ὡς om. IL ᾖ scripsi: ἢ libri

ὅπερ συμβαίνει γίνεσθαι ἐπὶ τοῖς εὐτροφοῦσιν καὶ καλῶς πέττουσι, τοῦτο 85r
μὴ εἶναι αἷμα. μᾶλλον γὰρ καὶ κυρίως αἷμα τὸ ἔλαττον καὶ καθαρώτερόν 20
ἐστιν, ἀλλ' οὐ τὸ πολύ· οὗτοι δὲ οἴονται τὸ πλέον μᾶλλον σημεῖον εἶναι
θερμῆς φύσεως ὥσπερ καὶ τὸ κατὰ τὴν κοιλίαν περίττωμα'. καὶ ἐπὶ μὲν
5 τῆς κοιλίας ἀληθὲς τὸ λέγειν ὅτι ὅσα τῶν ζῴων ἐπὶ τοῦ αὐτοῦ εἴδους
πλείονα περίττωσιν κατὰ φύσιν ἐκ τῆς κοιλίας ἀποκρίνουσι, θερμότερά εἰσι
τῶν ἐλάττονα ἀποκρινόντων· ἄνθρωπος γὰρ ὁ μὴ διά τινα νόσον, ἀλλὰ
κατὰ φύσιν πλείονα ἐκ τῆς κοιλίας περίττωσιν ἀφεὶς θερμότερός ἐστι τοῦ
ἐλάττονα προϊεμένου, κατὰ φύσιν δηλαδὴ καὶ τούτου. ἀνάγκη γὰρ θερμοτέρου 25
10 ὄντος καὶ τῆς πέψεως ἀθρόας γινομένης διὰ τὴν θερμότητα ἀλλὰ μὴ κατὰ
βραχύ, ἀθρόαν γίνεσθαι καὶ τὴν τοῦ περιττώματος σύστασιν, ὥστε καὶ τὴν
ἔκκρισιν. ἐν δὲ τῷ ψυχροτέρῳ κατὰ βραχὺ γινομένης τῆς πέψεως κατὰ
βραχὺ συμβαίνει καὶ τὴν σύστασιν καὶ τὴν ἔκκρισιν γίνεσθαι. ἀλλ'
ἐπὶ μὲν τοῦ περιττώματος οὕτως, ἐπὶ δὲ τοῦ αἵματος τοὐναντίον· οὐ γάρ
15 ἐστι τὸ αἷμα περίττωμα, ἀλλ' ἡ ἐσχάτη τροφή, πᾶσα δὲ ἡ τοιαύτη ἐλάττων. 30
ὥσπερ γάρ, φησί, καὶ ἐκ τῆς πρώτης τροφῆς ἐκ πολλῆς ὀλίγον
ἀποκρίνεται τὸ χρήσιμον (λέγων πρώτην τροφὴν τοὺς στάχυας τοὺς ἐν
τῇ ἅλῳ κειμένους) ὥσπερ γὰρ ἐπὶ ταύτης πολλαπλάσιον μὲν γίνεται τὸ
ἄχυρον τοῦ σίτου, καὶ πάλιν τούτου ἐν τῷ μύλῳ κατεργασθέντος καὶ διὰ
20 κοσκίνου διακριθέντος πολλαπλάσιον μὲν γίνεται τὸ ἀχρηστότερον, ὑπο-
πολλαπλάσιος δὲ ἡ σεμίδαλις, ἥτις ἐστὶ χρησιμώτατον καὶ ἔσχατον, οὕτως
ἀνάγκη καὶ τὸ κυρίως αἷμα, ἐπειδὴ χρησιμωτάτη ἐστὶ τροφὴ καὶ ἀνάλογος 35
τῇ σεμιδάλει, ὀλίγον εἶναι, τὸ δὲ καταμήνιον πολύ, ὡς ἀνάλογον πάλιν τῇ
ἀχρήστῳ τροφῇ, ἀφ' ἧς ἡ σεμίδαλις ἀπεκρίθη. ἐπεὶ δέ, ὡς εἴρηται, ἄρρεν
25 ἐστὶ τὸ δυνάμενον πέττειν, θῆλυ δὲ τὸ μὴ δυνάμενον, εἰκότως ἐκκρίνει τὸ
ἄρρεν περίττωμα καθαρόν· δεῖ γὰρ τὸ καθαρὸν ἐπὶ τοῦ περιττώματος
ἀκούειν τοῦ ἐκκρινομένου ἀπὸ τοῦ ἄρρενος. εἶπε γὰρ πολλάκις ὅτι ἐστὶ
τὸ καταμήνιον σπέρμα οὐ καθαρόν, ὥστε λείπεται σπέρμα καθαρὸν ἀκούειν
τὸ τοῦ ἄρρενος.

30 p. 765ᵇ36 Ἁπάσῃ δὲ δυνάμει ὄργανόν τί ἐστι, καὶ τῇ χεῖρον ἀποτελούσῃ τὸ αὐτό.

Καὶ ταῦτα ἔτι ὡς λήμματα προλαμβάνει. εἴη δ' ἂν τὸ λεγόμενον 40

1 εὐτραφοῦσι ILa 2 καθαρώτατον K 5 ἐπὶ] ἐστὶ IL 6 κατὰ φύσιν om. K ἐκ τῆς κοιλίας om. IL ἀποκρίνουσι] ἀφιᾶσι K θερμότεροι L ἐστι K 7 τῶν ἐλάττονα—θερμότερός ἐστι (8) om. K 8 περίττωσιν post πλείονα ponit a 9 ἐλάττονος a 10 γενομένης IL ἀλλ' οὐ κατὰ Ka 11 ὥστε] ὡς Ka 15 ἐλάττων] ἐσχάτη a 17 στάχυς IK 18 τῇ ἅλῳ a γὰρ] γοῦν K μὲν om. Ka 19 μύλωνι a 20. 21 ὑποπολλαπλάσιος] ὕστερον πολλαπλάσιος a 21 post ἐστὶ add. καὶ I χρησιμωτάτη καὶ ἐσχάτη IKa 22 post ἐπειδὴ add. ἡ Ka καὶ ἀνάλογον L² 23 ὡς ἀνάλογος a 27 εἰπὼν La πολλαπλ^α IL ἐστὶ] ἐστὶ δὲ Ia: ἔσται δὲ L: οὐδὲ K 30 τί om. IK 32 λείμματα I προσλαμβάνει ILa

δῆλον οὕτως εἰποῦσιν· ὥσπερ γὰρ τὸ αὐτὸ ἔργον ποιεῖ καὶ ὁ ἤδη ἀρξάμενος μανθάνειν τὸ τοξεύειν καὶ ὁ τοῦτον διδάσκων (ἀμφότεροι γὰρ τὸ βέλος ἀφιᾶσι διὰ τοῦ τόξου), ἀλλὰ τοῦ μὲν μανθάνοντος τὸ τόξον ἐστὶ | χεῖρον, 85v κρεῖττον δὲ τοῦ διδάσκοντος (τοῦ μὲν γὰρ ἄρτι προκύψαντος εἰς τοξείαν χαῦνον καὶ ἀμενηνὸν τὸ τόξον, θατέρου δὲ εὔτονον καὶ ἰσχυρόν), οὕτω καὶ τὸ ἄρρεν καὶ θῆλυ τὸ αὐτὸ ποιοῦσιν ἔργον (γεννῶσι γὰρ ἀμφότερα), ἀλλ' εἰ κρεῖττον τὸ τοῦ ἄρρενος ἔργον, δῆλον ὅτι καὶ τὸ ὄργανον αὐτοῦ, ὁ καλούμενος περίνεος, κρεῖττον ἔσται τῆς ὑστέρας. εἰπὼν δὲ ὅτι τὸ μὲν ἄρρεν δύναται, τὸ δὲ θῆλυ ἀδυνατεῖ, ἐπειδὴ πολλαχῶς λέγεται τὸ ἀδύνατον, ὡς ἐν τῷ τετάρτῳ τῆς Μετὰ τὰ φυσικὰ διώρισται συντάξεως (λέγεται γὰρ ἀδύνατον καὶ τὸ μὴ δυνάμενον ὅλως γενέσθαι, καθ' ὃ σημαινόμενον ἀδύνατόν φαμεν τὴν κέγχρον οὐρανὸν γενέσθαι καὶ ἀριθμὸν τὴν στιγμήν, λέγομεν δὲ ἀδύνατον καὶ τὸ μὴ καλῶς δυνάμενον γενέσθαι, ὥσπερ πάλιν ἄρρυθμόν φαμεν τὸν κακόρρυθμον), κατὰ τὸν δεύτερόν φησι τρόπον τοῦ δυνατοῦ καὶ ἀδυνάτου ἀντικεῖσθαι τὸ θῆλυ καὶ τὸ ἄρρεν. τὸ ταῖς δυνάμεσιν ἀντὶ τοῦ ἡ δύναμις εἴληπται, ὡς εἶναι τὸ πᾶν τοιοῦτον 'διὸ καὶ ἑκάστου τόπου δύναμις ἅμα ταῖς ἐκκρίσεσι τελειοῦται'. τὸ δὲ διὸ ἕκαστοι οἱ τόποι ἅμα ταῖς ἐκκρίσεσι γίνονται οὐκ ἔστι δηλωτικόν, ὡς ἂν τῷ δόξειε, τοῦ μὴ εὐθὺς ἅμα τῇ πρώτῃ συστάσει καὶ τὸν περίνεον καὶ τὴν ὑστέραν γίνεσθαι· ἅμα γὰρ τοῖς ἄλλοις ἅπασι πλὴν τῆς καρδίας καὶ ταῦτα γίνονται. εἰ γὰρ ἦν τούτου δηλωτικόν, ἐζήτει ἄν τις λέγων 'εἰ ἅμα τῷ δύνασθαι σπέρμα καὶ καταμήνιον ἐκκρίνειν ἐγίνετο ὁ περίνεος καὶ ἡ ὑστέρα, ἡ δὲ τούτων ἔκκρισις μετὰ πολλοὺς χρόνους τῆς γενέσεως γίνεται, ἀνάγκη καὶ τὴν ὑστέραν καὶ τὸν περίνεον τότε γίνεσθαι· νῦν δὲ ἔτι ἐν τῇ ὑστέρᾳ ὄντα τὰ ἔμβρυα ἐν ταῖς ἀνατομαῖς ὁρῶνται ἔχοντα τὰ μόρια ταῦτα'. οὐκ ἔστιν οὖν τούτου δηλωτικόν, ἀλλὰ τὸ γίνονται ἴσον ἐστὶ τῷ τελειοῦνται, καὶ τὸ εἶναι τὴν μὲν ὑστέραν, τὸν δὲ περίνεον τότε κυρίως λαμβάνουσιν, ὅτε καὶ ἡ ἔκκρισις τῶν περιττωμάτων γίνεται, ὥσπερ καὶ τὸ πῦρ λέγεται μὲν καὶ ἐνταῦθα, ἀλλὰ κυρίως τότε ἐστὶ πῦρ, ὅτε ἐν τῷ ἄνω τόπῳ ἐστίν. ὁμοίως δὲ τοῦτο ῥητέον καὶ ἐπὶ κοιλίας καὶ κύστεως. καὶ ἐπεὶ πᾶν μόριον ἐξ οὗ γέγονεν, ἐκ τοῦ αὐτοῦ καὶ τρέφεται, οὐδὲν δὲ τρέφεται, εἰ μὴ ἐν ἑαυτῷ ἕξει τὴν τροφήν, ὑφ' ἧς τραφήσεται, ἀνάγκη καὶ τὴν ὑστέραν καὶ τὴν κοιλίαν ἐκ τῆς τοιαύτης ὕλης τρέφεσθαι, ἧς εἰσι δεκτικαί, καὶ ἐκ τοιούτου περιττώματος. λίαν δὲ σαφῶς ἐκτίθεται τὰ λοιπά. ταῦτα προλαβὼν λέγει τε καὶ προαναφωνεῖ ὅτι τὸ τοῦ ἄρρενος σπέρμα καὶ ἡ ἐν αὐτῷ φύσις

1 τὸ om. IL 2 διδάσκων] μανθάνων L βέλος] τόξον I 5 ἀμερηνὸν IL[1] θάτερον a εὔτονον] πυκνὸν a 6 καὶ τὸ θῆλυ a 6. 7 ἀλλ' εἰ—περίνεος (8)] ἀλλὰ τὸ μὲν θῆλυ δὲ ἐπὶ τοῦ ἄρρενος, ἔργον δὲ δῆλον ὅτι καὶ τὸ ὄργανον τοῦ ἄρρενος κρεῖττον ἢ ὁ περίνεος a 10 ἐν τῷ τετάρτῳ τῆς Μετὰ τὰ φυσικὰ] Δ 12 12 et 14 φασὶ Ka 12 ἀριθμὸν ex ἄρυθμον corr. I 13 δὲ om. K 14 ἄρυθμον IKa τὸ a κακόρυθμον IKa φημὶ Ka 15 τὸ ταῖς—τελειοῦται (17) om. IL 18 post γίνονται add. καὶ ταῖς δυνάμεσιν K 21 τούτου] τοῦτο IL 25 ἐν τῇ ἀνατομῇ K 26 τῶ γίνονται L 27 τῇ μὲν ὑστέρα K τὸ δὲ Ia 29 καὶ om. La 31. 32 ἐν αὐτῶ K 32 ἀνάγκη] ἀνάγει I 33 τοιαύτης] αὐτῆς Ka

προηγουμένως ἄρρεν βούλεται ποιῆσαι, ὅταν δὲ μὴ δυνηθῇ κρατῆσαι καὶ μεταβαλεῖν τὸ καταμήνιον εἰς τὴν ἑαυτοῦ φύσιν, ἀνάγκη μεταβάλ|λειν εἰς 86ʳ τὸ ἐναντίον. ἔστι δὲ τὸ θῆλυ, ᾗ θῆλυ, ἐναντίον τῷ ἄρρενι· φθορὰ γὰρ καὶ ἀποτυχία ἄρρενος τὸ θῆλυ. ὅτι δὲ τὸ θῆλυ καὶ τὸ ἄρρεν ᾗ ἄρρεν καὶ ᾗ θῆλυ ἐναντία, εἴρηται. ἐπεὶ δέ, ὡς εἴρηται, τῶν διαφόρων δυνάμεων, τῆς τε χείρονος καὶ κρείττονος, διαφέρει τὰ ὄργανα, διάφοροι δὲ αἱ δυνάμεις τοῦ θήλεος καὶ τοῦ ἄρρενος, ἀνάγκη καὶ τὸ ὄργανον διάφορον ἔχειν, ὥστε μεταβάλλει εὐθὺς εἰς τοιοῦτον ὄργανον, λέγω δὴ εἰς ὑστέραν.

p. 766ᵃ30 Εἰ οὖν τὸ μὲν ἄρρεν ἀρχή τις καὶ αἴτιον.

Ἡ τοῦ ῥητοῦ ἀπόδοσίς ἐστιν ἐν τῷ ἀναγκαῖον ἄρα ἐν τοῖς ἐναίμοις συνίστασθαι καρδίαν, τὰ δ' ἄλλα μεταξὺ παρεμβέβληται. εἰπὼν δὲ ἔστι δὲ ἄρρεν ᾗ δύναταί τι, θῆλυ δὲ ᾗ ἀδυνατεῖ, ἐπήγαγε τῆς δυνάμεως δὲ ὅρος καὶ τῆς ἀδυναμίας, δυνάμει λέγων ὅρος δέ σοι καὶ κανὼν ἔστω τοῦ γνωρίζειν, εἴτε δύναται εἴτε ἀδυνατεῖ, τὸ δύνασθαι πέττειν καὶ μὴ πέττειν. τὸ μὲν γὰρ δυνάμενον πέψαι τὴν ὑστάτην τροφήν (λέγων ὑστάτην ἐνταῦθα τροφὴν ὑφ' ἧς τὰ μόρια τοῦ ἐμβρύου διαγράφεταί τε καὶ προσέτι τρέφεται καὶ αὔξεται) τὸ μὲν δὴ δυνάμενον καλῶς πέττειν ἄρρεν ἐστί, τὸ δὲ μὴ δυνάμενον θῆλυ. τὸ δὲ αἴτιον τοῦ δύνασθαι πέττειν καὶ μὴ πέττειν ἐν τῇ ἀρχῇ καὶ τῷ μορίῳ, τουτέστιν ἐν τῇ καρδίᾳ ἐστὶ τῇ ἐχούσῃ τὴν τῆς φυσικῆς θερμότητος ἀρχήν. ἐπεὶ δέ, ὡς πολλάκις εἴρηται, πρώτη πάντων ἡ καρδία συνίσταται, εὐθὺς αὕτη ἐστὶ τὸ ἄρρεν καὶ τὸ θῆλυ. εἰ μὲν γάρ ἐστιν ἡ ἐν αὐτῇ ψυχικὴ θερμότης ἀνάλογος τῇ τῶν ἄστρων θερμότητι δυναμένη πέττειν καὶ κρατεῖν, ἄρρεν ἤδη ἡ τοιαύτη καρδία, εἰ δὲ τοὐναντίον, θῆλυ. ζῷον δὲ θῆλυ καὶ ἄρρεν, ὅταν ἔχῃ καὶ τὰ μόρια καθ' ἃ διαφέρουσι· ταῦτα δ' ἐστὶν ὁ περίνεος καὶ ἡ ὑστέρα καὶ τὰ τούτοις ἀκολουθοῦντα αἰδοῖα. ἡ μὲν οὖν ἀρχὴ τοῦ ἄρρενος καὶ θήλεος ἡ καρδία ἐστὶ καὶ ἐν τούτῳ, τουτέστιν ἐν τῷ δύνασθαι τὸ ἐν αὐτῇ θερμὸν ἢ κρατεῖν ἢ μὴ κρατεῖν. τὸ δὲ οὐδὲν γὰρ διαφέρει ἀφ' ἑκάστου τῶν μορίων ἀπελθεῖν ἢ πρὸς ἕκαστον προσελθεῖν τοιοῦτόν ἐστι· τὸ σπέρμα τὸ τοῦ θήλεος καὶ τὸ τοῦ ἄρρενος | ἐπειδὴ καὶ περίττωμά 86ᵛ ἐστι τῆς ἐσχάτης τροφῆς, κἂν προσκριθῇ τοῖς ἀφ' ὧν ἀπῆλθε μορίοις, σάρκας καὶ ὀστᾶ καὶ νεῦρα καὶ τὰ λοιπὰ ποιήσει, κἂν μὴ προσκριθῇ ἀλλ' ἀπέλθῃ, τὰ αὐτὰ ποιήσει, ὅπερ καὶ γίνεται. τὸ δὲ ὀρθότερον δ' οὕτως ἴσον ἐστὶ τῷ ὀρθότερόν ἐστι λέγειν ὅμοιον εἶναι τὸ γεννηθὲν τῷ γεννήσαντι

1 καὶ] τοῦ a 2 αὐτοῦ IL 3 τοῖς ἄρρεσι IL 4 ἄρρενος] ἄρρεσϊ IL ὅτι—ἐναντία εἴρηται (5) fort. delenda 5 ᾗ om. K ἐναντίον K 6 διαφέρουσι K 8 δὴ] δὲ IL 11. 12 εἰπὼν δὴ K 13 δὲ δυνάμεως coll. K 17 προσέτι—καὶ om. K 18. 19 ἄρρεν—δύνασθαι πέττειν om. IL 22 ἐν om. L 23 ἀστέρων a δυνάμενος a 24 δὲ καὶ θῆλυ K 25 ἔχει a 26 ἡ ante ὑστέρα om. Ka 27 καὶ τοῦ θήλεος K 29 προελθεῖν IL 30 καὶ post ἐπειδὴ om. Ka 34 post λέγειν add. σπέρμα εἶναι τὸ πρὸς ἕκαστον πεφυκὸς εἶναι ἤπερ τὸ ἀφ' ἑκάστου τῶν μορίων ἀπελθεῖν. εἰ δ' οὐ δοκεῖ, ζητητέον τὸ ἀληθές K ὁμοίως IL post εἶναι add. φησὶ K

διὰ τὸ μηδὲν διαφέρειν ἀφ' ἑκάστων τῶν μορίων ἀπελθεῖν ἢ πρὸς ἕκαστον 86v
προσελθεῖν, καὶ μὴ ὡς οἱ λοιποὶ τῶν φυσιολόγων λέγουσιν, ὅτι ἀπὸ τῆς
κεφαλῆς κεφαλὴ ἀπέρχεται καὶ ὅλως ἀφ' ἑκάστων ἕκαστα. γίνεται οὖν, 15
φησί. θῆλυ τῇ ἀπεψίᾳ καὶ ψυχρότητι τῆς αἱματικῆς τροφῆς.
5 ὅταν γὰρ τὸ καταμήνιον οὕτως ᾖ ψυχρόν, ὥστε μὴ δύνασθαι κρατηθῆναι 20
καὶ συμπεφθῆναι ὑπὸ τῆς ἐν τῇ καρδίᾳ ὡς δι' ὀργάνου τοῦ σπέρματος
ἀποτεθείσης ψυχικῆς θερμότητος, θῆλυ γίνεται· γεγονὸς δὲ θῆλυ εὐθὺς
ἀποδίδωσιν ἡ φύσις αὐτῷ καὶ τὴν ὑστέραν τὴν δεκτικὴν τοῦ σπέρματος. 25
εἰπὼν δὲ ὅτι ἡ φύσις ἑκάστῳ τῶν περιττωμάτων ἀποδίδωσι τὸ
10 δεκτικὸν μόριον, ἐπήγαγε τὸ δὲ σπέρμα περίττωμα, τουτέστι τὸ δὲ 30
περίττωμα καὶ τὸ τοῦ ἄρρενος καὶ τὸ τοῦ θήλεος σπέρμα ἐστί. τοῦτο δὲ
τὸ σπέρμα τὸ κοινῶς λεγόμενον κατ' ἀμφοτέρων τῶν περιττωμάτων τοῦ
τε θήλεος καὶ τοῦ ἄρρενος διαφέρει. καὶ πῶς διαφέρει, ἐπήγαγε λέγων 35
τοῖς μὲν θερμοτέροις καὶ ἄρρεσι τῶν ἐναίμων, τοῖς δὴ ἄρρεσιν
15 εὔογκόν ἐστι τὸ σπέρμα καὶ συνεστηκός, καὶ οὐ πολὺ ὥσπερ τὸ τοῦ 40
θήλεος, καὶ διὰ τὸ μὴ εἶναι πολὺ πόροι εἰσὶν ἐν τοῖς ἄρρεσι δεκτικοὶ τῆς
τοιαύτης περιττώσεως· τὸ δὲ τῶν θηλέων σπέρμα ἐστὶ δι' ἀπεψίαν πλῆθος
αἱματικόν, ὥστε δεῖ ἔχειν καὶ μόριον τοῦ τοιούτου περιττώματος δεκτικὸν 45
μεῖζον τοῦ τῶν ἀρρένων καὶ ἀνόμοιον· οὐδεμίαν γὰρ ἔχει ὁμοιότητα ἡ |
20 ὑστέρα πρὸς τὸν περίνεον. ἔστιν οὖν ἡ φύσις τῆς ὑστέρας καὶ μέγεθος 87r
ἔχουσα καὶ ἀνόμοιος τῷ περινέῳ. οὕτως οὖν εἰπὼν ὅπως τὸ ἄρρεν καὶ
θῆλυ γίνεται, ἐπάγει λίαν σαφῶς καὶ τὰ συμβαίνοντα τεκμήρια, καὶ ἐκ 5
τούτων τὰ ὑπ' αὐτοῦ περὶ τούτων ῥηθέντα πιστούμενος. τὸ δὲ ὑγρότερα
καὶ γυναικικώτερα ἐκ παραλλήλου κεῖται. ἀρρενοτοκοῦσι δὲ μᾶλλον 10
25 βορείοις διὰ τὸ ψυχρότερον εἶναι τότε τὸ κατάστημα καὶ πυκνοῦσθαι τὴν
τῶν σωμάτων ἐπιφάνειαν καὶ ἐπὶ τούτῳ μὴ ἐᾶσθαι ἔξω διαπνεῖσθαι 15
τὸ ἐν ἡμῖν θερμόν· μὴ διαπνεόμενον δὲ γίνεται σφοδρότερον. ἐν δὲ τοῖς
νοτίοις ψυχρότερα καὶ σπερματικώτερα γίνεται τὰ ζῷα. λέγει δὲ τὴν
σελήνην ἐν τῷ μηνὶ ποιεῖν θέρος καὶ χειμῶνα οὐ διὰ τὰς τροπάς, ὥσπερ
30 ὁ ἥλιος (οὗτος γὰρ ἐν τῷ καρκίνῳ γεγονὼς θέρος ποιεῖ, ἐν αἰγόκερῳ δὲ
χειμῶνα), ἀλλὰ διὰ τὴν πρὸς τὸν ἥλιον ἀπόστασιν καὶ προσέλευσιν. ὁ μὲν 20
γὰρ χρόνος, καθ' ὃν ἤρξατο φωτίζεσθαι, ἄχρι τοῦ διχότομον γενέσθαι ἀνα-
λογεῖ ἔαρι, ὁ δὲ ἀπὸ τῆς διχοτομίας ἄχρι τοῦ πλησιφαῆ ἀποτελεσθῆναι
θέρει, ὁ δὲ ἀπὸ τούτου ἄχρι τῆς διχοτομίας τῆς ἄλλης μετοπώρῳ, ὁ δ'
35 ἐκ ταύτης ἄχρι τῆς συνόδου καὶ αὐτῆς χειμῶνι. ἐν δὲ τῇ λέξει τῇ ταῦτα
δὲ τῆς γενέσεως ταῦτα τὸ ψυχρὸν καὶ θερμὸν λέγει. ἐν δὲ τῇ μάλιστα

1 ἑκάστων ILa Arist. PY: ἑκάστου K Arist. vulg. 4 τὸ θῆλυ K 8 αὐτῷ ἡ φύσις coll. K σπέρματος] περιττώματος L 11 τὸ τοῦ ante θήλεος om. K 12 κοινῶν a τῶν περιττωμάτων om. L 14 ἐναίμων a Arist.: ἀρρένων K: ἐναίμων ἀρρένων IL τοῖς δὴ ἄρρεσιν] τῶν δὴ ἀρρένων I: τῶν δὲ ἀρρ. L 16 καὶ διὰ] διὰ δὲ K post πολὺ add. οὐδὲ K 21. 22 καὶ τὸ θῆλυ a 22 σαφῶς post συμβαίνοντα ponit L 24 γυναικώτερα KLa 25 ψυχρότερα L² τὸ post τότε om. a 30 αἰγοκέρατι a 32 διχότομος a 34 τῆς ἄλλης διχοτομίας Ka 35 καὶ om. a 36 θερμὸν καὶ ψυχρὸν coll. IKa

δὲ διὰ τὴν τοῦ ὕδατος τροφήν· τοῦτο γὰρ πλεῖστον εἰσφέρονται 87r
κοινότερον ὕδωρ εἶπε πᾶν τὸ πινόμενον, ὡς εἰ ἔλεγε 'μάλιστα δὲ διὰ τὴν 25
τοῦ ὑγροῦ τροφήν'. τὸ δὲ καὶ ἐν πᾶσίν ἐστι τροφὴ τοῦτο, καὶ ἐν
τοῖς ξηροῖς εἶπεν, ὅτι καὶ ἡ ξηρὰ τροφὴ εἰ μὴ γένηται ὑγρά, οὐ τρέφει.
5 ὁ γὰρ χυλός, ὃν αἱ φλέβες ἐκ τῆς κοιλίας ἕλκουσιν, ὑγρός. ὕδατα δὲ
ἀτέραμνα λέγει τὰ ὑπόπικρα καὶ γεώδη.

p. 767a36 Αἱ δὲ αὐταὶ αἰτίαι καὶ τοῦ τὰ μὲν ἐοικότα γίνεσθαι τοῖς τεκνώσασι τὰ δὲ μὴ ἐοικότα.

Τὰς αἰτίας διὰ τούτων λέγει, ὅπως τὰ μὲν ἐοικότα γίνεται τῷ πατρί, 30
10 τὰ δὲ τῇ μητρί· ἐκτίθεται δὲ τὸ πρόβλημα σαφέστατα. ἐν δὲ τῇ λέξει
τῇ παρεκβέβηκε γὰρ ἡ φύσις ἐκ τοῦ γένους ἐν τούτοις τρόπον
τινά, ὑποστικτέον ἐν τῷ ἐν τούτοις. ἔστι δὲ τὸ λεγόμενον 'ἐν τούτοις 35
τοῖς μὴ ἐοικόσι τοῖς γεννήσασι παρεκβέβηκεν ἡ φύσις ἐκ τοῦ γένους· τρόπον
γάρ τινα ἐξ ἄλλου γένους εἰς ἄλλο μετέβη'. τὸ δὲ ἀρχὴ δὲ πρώτη τὸ 40
15 θῆλυ γενέσθαι ἴσον ἐστὶ τῷ ἀρχὴ δὲ πρώτη τῆς ἐπὶ τὰ τέρατα ὁδοῦ
τὸ θῆλυ γενέσθαι. τὸ γὰρ μὴ ἐοικός τινι τῶν γεννησάντων αὐτὸ τρόπον
τινὰ τέρας ἐστὶ καὶ ὁ ἑξαδάκτυλος καὶ ὁ κεφαλὴν ὁμοίαν προβάτου ἔχων 45
καὶ ὁ δικέφαλος· παντοδαπὸν γὰρ τὸ τῶν τερατω|δῶν γένος· ὅμως πρώτη 87v
ἀρχὴ τῆς ἐπὶ ταῦτα ὁδοῦ τὸ θῆλύ ἐστιν· ἀπὸ γὰρ τοῦ θήλεος ἀρξάμενα
20 προβαίνουσιν. ἀλλ' αὕτη μὲν ἡ πρὸς τὸ θῆλυ παρέκβασις, κἂν τρόπον 5
τινὰ τερατώδης ἐστίν, ἀναγκαία ὅμως τῇ φύσει τυγχάνει· δεῖ γὰρ σώζεσθαι
τὸ γένος ἡμῶν καὶ τῶν ἄλλων ἁπάντων, ἐν ὅσοις κεχώρισται τὸ θῆλυ τοῦ
ἄρρενος. ὅταν οὖν μὴ δυνηθῇ κρατεῖν καὶ ποιῆσαι ἄρρεν, ἐξ ἀνάγκης 10
ποιεῖ θῆλυ, ἵνα χρῆται αὐτῷ πρὸς γένεσιν ἄλλου ἢ ἄλλων. ὥστε κἂν
25 τρόπον τινὰ τέρας ἐστὶ τὸ θῆλυ, ἀλλ' οὖν ἐξ ἀνάγκης καὶ ἕνεκά του ποιεῖ 15
αὐτὸ ἡ φύσις. τὰ δ' ἀληθῶς τέρατα ἐξ ἀνάγκης μὲν ποιεῖ διὰ τὴν ὕλην,
ὡς ἐρεῖ προϊών, οὐχ ἕνεκα δέ του. τὸ δὲ ἐπεὶ τήν γ' ἀρχὴν ἐντεῦθεν
δεῖ λαβεῖν ἴσον ἐστὶ τῷ τὴν δὲ κυρίως ἀρχὴν καὶ αἰτίαν, καθ' ἣν ὅμοια
καὶ ἀνόμοια γίνεται τοῖς γεννήσασιν, ἐντεῦθεν ληπτέον· εὔπεπτα μὲν γὰρ
30 ὄντα τὰ καταμήνια καθ' αὑτήν, τουτέστιν οἷα ἐστὶν αὐτὴ τὴν μορφὴν ἡ 20
τοῦ ἄρρενος κίνησις, τοιοῦτον ποιήσει καὶ τὸ ἐξ αὐτῆς γεγονός. εἰπὼν δὲ
ἡ τοῦ ἄρρενος κίνησις, ἐπήγαγε τὸ γὰρ γονὴν λέγειν ἢ κίνησιν τὴν
αὔξουσαν, ὡς εἰ ἔλεγε 'τὴν ἀπὸ τοῦ ἄρρενος ποιητικὴν αἰτίαν, εἴτε κίνησίν
τις λέγειν βούλεται εἴτε γονὴν εἴτε αὔξουσαν καὶ συνιστῶσαν, οὐδὲν διαφέρει·
35 πάντα γὰρ ταῦτα ἁρμόζει κατ' αὐτῆς λέγεσθαι'.

1 δὲ om. IL 4 γίνεται a 6 ἀτέρεμνα IL Arist. P 9 Τὰς—γίνεται] αἱ δ' αὐταὶ αἰτίαι καὶ τοῦ τὰ μὲν ἐοικότα γίνεσθαι K 11 τῇ om. IL παρεκβέβληκε IL τρόπον—γένους (13) om. IL 22 ἐν om. L 23 κρατῆσαι Ka 27 τὴν γὰρ ἀρχὴν La 28 τῷ om. L 29 ἐντεῦθεν] ἐνταῦθα IL μὲν om. K 30 καθ' αὑτήν] κατ' αὐτὰ a αὐτὴ scripsi: αὕτη libri 31 ἐξ αὐτοῦ KL 34 βούλεται λέγειν coll. K συνιστάσαν a 35 καθ' αὐτῆς L

p. 767ᵇ23 Λέγω δὲ ἑκάστην δύναμιν τόνδε τὸν τρόπον. 87ᵛ

Εἰπὼν ὅτι καθ' ὁποίαν ἂν μὴ κρατήσῃ δύναμιν τὴν ἔλλειψιν ποιήσει κατ' αὐτήν, σαφηνίζων τὸ καθ' ὁποίαν ἐπήγαγε τὸ λέγω δὲ καθ' ἑκάστην δύναμιν τόνδε τὸν τρόπον, καὶ εἴη ἂν τὸ καθ' ἑκάστην ἴσον τῷ καθ' ὁποίαν. ἔχει γὰρ δυνάμεις πολλὰς τὸ σπέρμα· ἔχει γὰρ δύναμιν τοῦ ποιῆσαι Σωκράτην, ἀλλὰ καὶ τοῦ ποιῆσαι ἄνθρωπον ἁπλῶς καὶ μὴ Σωκράτην, ἀλλὰ καὶ τοῦ ζῷον. καθ' ὁποίαν οὖν μὴ κρατήσῃ τούτων τῶν δυνάμεων· δεῖ δὴ ἄνωθεν ἀρξαμένους οὕτως εἰπεῖν, ὡς ἂν δῆλον γένηται τό τε καθ' ὁποίαν ἂν μὴ κρατήσῃ δύναμιν καὶ τὰ λοιπὰ τῆς λέξεως. εἰπὼν ὅτι τόνδε τὸν τρόπον, ἐκτίθεται τὸν τρόπον λέγων ˹τὸ γεννῶν ἐστι μὲν ἄρρεν, ἐστὶ δὲ καὶ Σωκράτης καὶ ἄνθρωπος καὶ ζῷον, ἐστὶ δὲ καὶ γείτων τουδί, ἐστὶ δὲ καὶ γραμματικός. ἀλλὰ τὸ μὲν ἄρρεν καὶ ὁ Σωκράτης καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῷον ὑπάρχουσι τῷ γεννητικῷ ᾗ γεννητικῷ καὶ καθ' αὑτά, τὸ δὲ γείτονα εἶναι τοῦδέ τινος καὶ γραμματικὸν ὑπάρχει τῷ γεννητικῷ οὐχ ᾗ 88ʳ γεννητικῷ καὶ καθ' αὑτά, ἀλλὰ κατὰ συμβεβηκός˺. ὅτι δὲ κατὰ συμβεβηκὸς ταῦτα ὑπάρχει αὐτῷ, δῆλον· οὐδέποτε γὰρ γεγέννηται γραμματικός, ἄρρεν δὲ καὶ ὅμοιον πάντῃ πάντως τῷ Σωκράτει γέγονε. τρεῖς οὖν δυνάμεις ὑπάρχουσιν αὐτῷ ὡς γεννητικῷ ἢ τέσσαρες, ἡ τοῦ ἄρρενος, ἡ τοῦ Σωκράτους, ἡ τοῦ ἀνθρώπου καὶ τοῦ ζῴου· καὶ ἔστι μάλιστα ἴδιον τῷ γεννῶντι τὸ ἄρρεν, δεύτερον δὲ ὁ Σωκράτης, τρίτον ὁ ἄνθρωπος, εἶτα τὸ ζῷον. ἰσχύει δὲ πρὸς τὴν γένεσιν μάλιστα τὸ ἴδιον, δεύτερον δὲ τὸ ἐγγύτερον τοῦ ἰδίου, τουτέστι τὸ μάλιστα ἐγγίζον καὶ πλησιάζον τῷ ἰδίῳ· τοῦτο δὲ ἦν ὁ Σωκράτης, εἶτα ὁ ἄνθρωπος, εἶτα τὸ ζῷον. εἰπὼν ταῦτα ἐπάγει γεννᾷ τὸ γεννῶν καὶ τὸ καθ' ἕκαστον οἷον Κορίσκον καὶ τὸ γένος οἷον ἄνθρωπον ἢ ζῷον, οὐ τοῦτο λέγων ὅτι τὸ καθόλου γεννᾷ, ἀλλ' ὅτι ἐπειδὴ τὸ καθόλου ἐν τοῖς μερικοῖς, ἐὰν μὲν γεννήσῃ ὅμοιον ἑαυτῷ, φαμὲν ὅτι τὸ καθ' ἕκαστον γεγέννηκεν, εἰ δ' ἁπλῶς ἄνθρωπον, τὸ καθόλου. γεννᾷ οὖν τὸ γεννῶν καὶ τὸ καθ' ἕκαστον καὶ τὸ γένος, ἀλλὰ μᾶλλον τὸ καθ' ἕκαστον· τοῦτο γὰρ ἡ οὐσία καὶ τὸ γινόμενον, τουτέστιν ἡ οὐσία πρώτως καὶ μάλιστα καὶ κυριωτάτη, ἥτις καὶ γεννᾶται, τὸ καθ' ἕκαστόν ἐστι, τὸ δὲ καθόλου ἐνορᾶται αὐτῷ. γίνεται μὲν γάρ, φησί, τὸ γινόμενον καὶ ποιόν τι, οἷον λευκὸν ἢ θερμόν, ἀλλὰ κυρίως τὸ γινόμενόν ἐστι τὸ τόδε τι καὶ ἡ οὐσία. διόπερ ἀπὸ τῶν δυνάμεων, καὶ προσυ-

---

2 ποιήσειν L² 4 τρόπον—ἄνθρωπον˺(6) om. K 7 post ὁποίαν add. ἂν K 8 post δὴ add. οὖν sed rursus del. L 9 ὅτι om.˺K 11 καὶ primum om. IL 14 ὑπάρχουσι Ka 16 ὑπάρχουσι a 17 πάντως]˺παντὶ IL˻ 19 ἄνθρωπος K καὶ prius om. K καὶ ἡ τοῦ Ka 20 τρίτος La 23 ὁ om. a post εἰπὼν add. οὖν a 26 τὰ καθόλου K ἑαυτῷ, φαμὲν] φαμὲν ἑαυτῆς IL 27 οὖν] οἷον IL 28 καὶ τὸ γένος—ἕκαστον (29) om. L 29 καὶ τὸ ILa et Arist. P: καὶ γὰρ τὸ Arist. vulg.: γὰρ τὸ K ἡ post τουτέστιν om. IL 30 πρώτη Ka καὶ πρώτως coll. IL καὶ post ἥτις om. L 31. 32 γενόμενον a 33 τὸ om. L post οὐσία add. τὸ γινόμενον γίνεται καὶ ποιόν τί οὐχὶ λευκὸν ἢ γρυπόν· ἀλλ' ἄνθρωπος ἢ ζῶον. ποιὸν γάρ τι ταῦτα. ἀλλ' οὐχ ὡς λευκὸν ἀλλ' οὐσιῶδες K τῶν δυνάμεων] τοῦ γεννῶντος IL

πακουστέον τὸ τοῦ γεννῶντος, ὡς εἶναι τὸ λεγόμενον 'ὅσαι δυνάμεις εἰσὶν 88r
ἐν τῷ γεννῶντι (ἦσαν δὲ αὗται τὸ ἄρρεν, ὁ Σωκράτης, ὁ ἄνθρωπος, τὸ
ζῷον), τοσαῦται καὶ ἐν τῷ σπέρματί εἰσι τῷ ἀπ' αὐτοῦ ἀπιόντι· εἰσὶ δὲ
ἐν αὐτῷ ἐνεργείᾳ, αἱ δὲ τῶν | προγόνων εἰσὶ μέν, ἀλλὰ δυνάμει'. καὶ 88v
διὰ τὸ εἶναι τὰς τοῦ γεννῶντος ἐνεργείᾳ, εἶπε τὸ μᾶλλον δὲ καὶ ἐγγύτερόν
εἰσιν αἱ τοῦ γεννῶντος· τοῦτο γὰρ εἶπε καθ' ἕκαστόν τι. τούτων οὕτω
προληφθέντων καὶ προσέτι ὅτι τῷ μὲν ἄρρενι ἀντίκειται τὸ θῆλυ, τῷ δὲ
Σωκράτει ὁ μὴ Σωκράτης καὶ τῷ ἀνθρώπῳ ὁμοίως ὁ μὴ ἄνθρωπος, καθ'
ὁποίαν ἂν μὴ κρατήσῃ δύναμιν, ἀναγκαῖον ἐξίστασθαι καὶ γίνεσθαι
τὸ ἀντικείμενον. ἂν μὲν γὰρ ὁ Σωκράτης κρατήσῃ καθὸ ἄρρεν, καθὸ
δὲ Σωκράτης κρατηθῇ, τῆς Ξανθίππης δηλονότι καθὸ θῆλυ κρατηθείσης,
καθὸ δὲ Ξανθίππη κρατησάσης, ἀνάγκη ἄρρεν γίνεσθαι ἐοικὸς τῇ μητρί.
ἐπειδὴ γὰρ ᾗ ἄρρεν ἐκράτησε, τὸ δ' ἄρρεν κρατῆσαν ἄρρεν ποιεῖ, ἀνάγκη
τὸ γεγονὸς ἄρρεν εἶναι, ᾗ δὲ Σωκράτης ἐκρατήθη, γεγονέναι ὅμοιον τῇ
Ξανθίππῃ· αὕτη γὰρ προσεχῶς ἀντίκειται τῷ Σωκράτει. ἂν δὲ κρατήσῃ
καὶ καθὸ ἄρρεν καὶ καθὸ Σωκράτης, ἀνάγκη ἄρρεν γίνεσθαι καὶ ὅμοιον
τῷ Σωκράτει. ἂν δὲ ᾗ μὲν Σωκράτης κρατήσῃ, ᾗ δὲ ἄρρεν κρατηθῇ, τὸ
γεγονὸς ἔσται θῆλυ καὶ ὅμοιον τῷ Σωκράτει. εἰ δὲ κατ' ἄμφω κρατηθῇ,
καὶ ὡς ἄρρεν καὶ ὡς Σωκράτης, ἔσται τὸ γεγονὸς θῆλυ καὶ ὅμοιον τῇ
Ξανθίππῃ. ὥσπερ γὰρ τῷ καθόλου πατρί (τοῦτον γὰρ εἶπεν ὅλον πατέρα)
ἀντίκειται ἡ καθόλου μήτηρ, οὕτω καὶ τῷ καθ' ἕκαστον ἡ καθ' ἕκαστον.
ἂν δὲ ὡς ἄρρεν μὲν κρατήσῃ, ὡς Σωκράτης δὲ κρατηθῇ, καὶ κρατηθῇ
οὐχ ὑπὸ τῆς Ξανθίππης, μεταβήσεται εἰς τὴν τοῦ πάππου ὁμοιότητα (ἐγγὺς
γὰρ οὗτος τῷ Σωκράτει, ἀεὶ δὲ εἰς τὸν ἐχόμενον μεταβαίνει μᾶλλον)· εἰ
δὲ μή, εἰς τὴν τοῦ προπάππου. τοῦτο δὲ ῥητέον καὶ ἐπὶ τῆς τήθης· τήθη
δέ ἐστιν ἡ τοῦ πάππου ὁμευνέτις. δυνάμεις φησὶ δημιουργούσας τὴν |
τοῦ ἄρρενος καὶ τοῦ Σωκράτους καὶ τὴν τοῦ θήλεος καὶ τῆς Ξανθίππης· 89r
ἢ μᾶλλον δημιουργούσας δυνάμεις ῥητέον τὴν τοῦ Σωκράτους καὶ τῆς
Ξανθίππης, ὡς ἐκ τῶν ἑξῆς ἔσται δῆλον. τὸ δὲ λύονται ἀντὶ τοῦ μετα-
βαίνουσιν εἴληπται. αἱ τοίνυν δημιουργοῦσαι δυνάμεις, οἷον ἡ τῆς Ξανθίππης
καὶ τοῦ Σωκράτους, εἰς τὸ ἐγγὺς μεταβαίνουσιν· εἰ γὰρ ἡ τοῦ γεννῶντος
Σωκράτους κίνησις λυθῇ, κατ' ἐλαχίστην διαφορὰν μεταβαίνει εἰς τὴν τοῦ
πατρός, δεύτερον εἰς τὴν τοῦ πάππου. ἀλλὰ καὶ ἐπὶ τῶν θηλέων ἡ τῆς

1 τὸ prius om. IL 4 μέν] μᾶλλον IL 5 διὰ τοῦ εἶναι IL τὰς om. IL μᾶλλον — καθ' ἕκαστόν τι (6)] cf. Arist. PS: μᾶλλον δὲ τοῦ ἐγγύτερον ἀεὶ τῶν καθ' ἕκαστόν τινος Arist. vulg. 8 Σωκράτει] Σωκράτη ILa itemque porro 9 post καὶ add. μὴ IL sed rursus del. L 11 τῆς iterat a 12 ξανθίππης a κρατήσασα I ἀνάγκη—ἐκρατήθη (14) om. IL 16 καθὸ] ᾗ utrobique Ka 17 ἂν δὲ—Σωκράτει (18) om. L 18 et 19 ἔστι a 19 καὶ primum om. K 21 τῷ] ἐν τῷ IL: τὸ a 22 post ἂν δὲ add. καὶ a 24 οὕτως a 25 τοῦ προπάππου] πάππου IL post ῥητέον add. μὲν Ka 26 δυνάμεις—εἰπών (p. 182,29) om. IL δυνάμεις] κινήσεις Arist.: δυνάμει a δημιουργούσας ex Arist. scripsi: δημιουργεῖ a et fort. K 28 δημιουργούσας scripsi: δημιουργῶν a: fort. δημιουργοὺς K ῥητέον] ῥητῆσα a 29 ἐστὶ a

γεννώσης δημιουργοῦσα δύναμις εἰς τὴν τῆς μητρὸς λύεται καὶ μεταβαίνει, 89r
εἶτ' ἐφεξῆς εἰς τὴν τήθης. ταῦτα εἰπὼν ἐπιφέρει μάλιστα μὲν οὖν 16
πέφυκεν ᾗ ἄρρεν καὶ ᾗ πατὴρ ἅμα κρατεῖν καὶ κρατεῖσθαι, οὐ
τοῦτο λέγων, ὡς ἄν τῳ δόξειεν ἐκ τῆς λέξεως, ὡς ἅμα πέφυκε τὸ αὐτὸ
5 ᾗ ἄρρεν καὶ ᾗ πατὴρ κρατεῖν τε καὶ κρατεῖσθαι, ἀλλ' ἔστι τὸ λεγόμενον
ἴσον τῷ πέφυκε καὶ κατὰ φύσιν μάλιστά ἐστιν, ὅταν τι καθὸ ἄρρεν κρατήσῃ,
ἅμα καὶ καθὸ πατὴρ κρατεῖν. εἰ δὲ καθὸ ἄρρεν κρατηθῇ καὶ γένηται θῆλυ.
ἅμα καὶ καθὸ Σωκράτης κρατεῖσθαι ὑπὸ τῆς Ξανθίππης· μικρὰ γὰρ ἡ 20
διαφορὰ τοῦ τε ἄρρενος καὶ Σωκράτους πατρός, καὶ τοῦ θήλεος καὶ τῆς
10 Ξανθίππης, ὥστε τὸ ὡς ἄρρεν κρατῆσαν καὶ ὡς πατὴρ ἐκράτησε, τὸ δὲ
ὡς θῆλυ καὶ ὡς Ξανθίππη. καὶ ταῦτα ὁ Ἀριστοτέλης δηλῶν ἐπιφέρει
διὸ ὡς ἐπὶ τὸ πολὺ τὰ μὲν ἄρρενα τῷ πατρὶ ἔοικε, τὰ δὲ θήλεα
τῇ μητρί. ἡ γὰρ ἔκστασις ἅμα εἰς ἄμφω ἐγένετο· τὸ γὰρ ἐκ τοῦ ἄρρενος
εἰς τὸ θῆλυ ἐκστὰν ὡς ἀντικείμενον εὐθὺς εἰς τὴν Ξανθίππην μεταβαίνει,
15 ὁμοίως καὶ τὸ εἰς τὸ ἄρρεν εὐθὺς καὶ εἰς Σωκράτην· οὐ γὰρ ἐργῶδές τι 25
καὶ δυσχερὲς τὸ ἅμα συμμεμιγμένα ἄμφω γίνεσθαι, οἷον ἄρρεν καὶ Σωκράτην
ἢ θῆλυ καὶ Ξανθίππην. καὶ ὅτι ἡ ἔκστασις εἰς ἄμφω γίνεται, οἷον εἰς
θῆλυ καὶ Ξανθίππην ἢ ἄρρεν καὶ Σωκράτην, αὐτὸς συλλογιστικῶς ἐδήλωσεν
διὰ τοῦ ἀντίκειται δὲ τῷ μὲν ἄρρενι τὸ θῆλυ, τῷ δὲ πατρὶ ἡ μήτηρ,
20 ὃ ἡ μείζων πρότασίς ἐστι τοῦ συλλογισμοῦ, καὶ διὰ τοῦ ἡ δὲ ἔκστασις
εἰς τὰ ἀντικείμενα, ὃ ἡ ἐλάττων ἐστίν· ὡς εἶναι τὸν συλλογισμὸν
τοιοῦτον 'ἡ ἔκστασις εἰς τὰ ἀντικείμενα, ἀντίκειται δὲ τῷ ἄρρενι τὸ θῆλυ, 30
τῷ δὲ πατρὶ ἡ μήτηρ, ὥστε ἡ ἔκστασις εἰς ἄρρεν καὶ πατέρα ἔσται ἢ εἰς
θῆλυ καὶ μητέρα'. δείξας οὖν ὁποῖόν τι γίνεται, εἰ αἱ δημιουργοῦσαι δυνά-
25 μεις εἰς τὰς ἐγγὺς ἢ εἰς τὰς πόρρω λυθῶσι, τεχνοῖ ἐντεῦθεν καὶ τί ἀπο-
βαίνει, ἐὰν ἡ ἀπὸ τοῦ ἄρρενος κρατήσῃ κίνησις, ἡ δὲ ἀπὸ τοῦ Σωκράτους
μὴ κρατήσῃ. ταῦτα δὲ δέδεικται ὡς ἐξ ἄλλης ἀρχῆς τοῦ ἐὰν δὲ ἡ μὲν
ἀπὸ τοῦ ἄρρενος κρατήσῃ κίνησις. ὅτι δ' ἕτερον τὸ λύονται τοῦ
κρατοῦνται, αὐτὸς μετὰ μικρὸν ἐδήλωσεν εἰπών * * τὸ οὖν λύονται δὲ 35
30 αἱ κινήσεις αἱ δημιουργοῦσαι ἴσον ἐστὶ τῷ κρατοῦνται μᾶλλον ὑπὸ τῶν
ἐγγύς. τὸ δὲ ἅμα γὰρ εἰς ἄμφω ἔκστασίς τις ἐγένετο δυνάμει
τοιοῦτόν ἐστι· δίδυμα γάρ τις τεκοῦσα τὸ μὲν ἄρρεν τὸ δὲ θῆλυ, τὸ μὲν
ἄρρεν ὅμοιον ἦν τῷ πατρί, τὸ δὲ θῆλυ τῇ μητρί· ἂν οὖν λυθῇ, ὥσπερ
εἴρηται, ἡ τοῦ Σωκράτους δύναμις ὡς Σωκράτους μὴ εἰς τὴν τῆς Ξανθίππης.
35 ἀλλ' εἰς τὴν τοῦ πατρὸς αὐτοῦ, ἔσται ἄρρεν τῷ πάππῳ ἐοικός, τέλος δὲ
συγχέονται, ὥστε μηδενὶ ἐοικέναι τῶν συγγενῶν, ἀλλ' ἁπλῶς ἀνθρώπῳ. 40

---

1 δημιουργεῖ a 8 Σωκράτης scripsi: σωκράτους Ka 12 διὸ] δὶς a
13 ἡ scripsi: ἢ Ka 15 τι] τὸ a 16 συμμιγμένα a γμένα ἄμφω γίνεσθαι
in lac. om. K 19 ἄρρεν a τὸ δὲ a 23 τὸ δὲ a ἔσται] ἐστὶ a
25 εἰς τὸ ἐγγὺς a ἢ τε πόρρω a τί] τὸ a 26 ἡ δὲ — κίνησις (28)
om. K 29 lacuna ex Arist. p. 768b7—10 κρατούμενον μὲν ἐξίσταται κτλ. explenda est
31 ἔκτασις I: στάσις K τις] libri et Arist. P: om. Arist. vulg. ἐγίνετο IL
34 ὡς Σωκράτης ILa 35 ἔσται] ἔστι a τῷ—ἐοικός] τὸ ἀπεοικός Ka
36 ὥστε] ὥσπερ a

ἐπειδὴ γὰρ ὁ καθόλου ἄνθρωπος πᾶσιν ἀκολουθεῖ τοῖς καθ' ἕκαστον, 89r
ἀνάγκη, ὅταν σύγχυσις γένηται, ἐοικέναι τῷ ἀκολουθοῦντι. ὅτι δὲ πᾶν τὸ
κινοῦν κινεῖται ἔξω τοῦ πρώτου, δῆλον· καὶ γὰρ ἡ ἀπλανὴς ἀντιφέρεται
ὑπὸ τῶν πλανωμένων ἢ κατὰ τὸν θαυμαστὸν Ἱπολεμαῖον καὶ ὑπὸ τῆς
5 ἀνάστρου, καὶ ἐπὶ τούτῳ κατὰ ἑκατὸν χρόνους ἀναποδίζουσιν οἱ ἀπλανεῖς
μοῖραν μίαν, ὡς τῷ εἰρημένῳ Ἱπολεμαίῳ δέδεικται. ἐπὶ δὲ τῶν ἀθλητῶν
εἰ μὲν ἡ ἐν τῷ δεξιῷ ποδὶ φέρε εἰπεῖν φύσις κρατεῖν δύναται καὶ συμπέττειν, 15
ἡ δ' ἐν τῷ λαιῷ μὴ δύναται, πάνυ μείζων γίνεται ὁ δεξιὸς τοῦ ἀριστεροῦ,
ὡς σχεδὸν μηδένα λόγον ἔχειν θάτερον πρὸς θάτερον. σατυρίασις δέ ἐστιν
10 ὃ λέγουσιν ἐλεφαντιᾶν. οὐ μόνον δὲ τοῦ λαιοῦ μείζων ἐστὶν ὁ δεξιὸς ποὺς
κατὰ πολὺ, ἀλλὰ καὶ ἑαυτοῦ μείζων γέγονεν ἢ πρὸ τοῦ ἄρξασθαι τρέφεσθαι,
ἐλάττων γὰρ ἦν πρὸ τοῦ τρέφεσθαι. |

p. 769a9 Ἔνιοι μὲν γάρ φασιν, ἀφ' ὁποτέρου ἂν ἔλθῃ σπέρμα 89v
πλέον, τούτῳ γίνεσθαι μᾶλλον ἐοικός.

15 Εἰπών, πῶς τὰ τέκνα ὁτὲ μὲν ὅμοια γίνεται τοῖς τεκνώσασιν, ὁτὲ δὲ
ἀνόμοια, ἐπειδή τινες τῶν φυσικῶν ἐπειράθησαν εἰπεῖν περὶ τῆς αἰτίας 5
τούτου, οὐδὲν δὲ πιθανὸν οὐδὲ ἀναγκαῖον εἶπον, ἐκτίθεται τὰς δόξας αὐτῶν
καὶ ἐλέγχει. ὧν μία ἦν ἡ λέγουσα ἀπὸ παντὸς τοῦ σώματος ἀπέρχεσθαι
σπέρμα, καὶ ἀπὸ τοῦ θήλεος καὶ ἀπὸ τοῦ ἄρρενος, καὶ εἰ μὲν εἴη πλέον 10
20 τὸ ἀπὸ τοῦ ἄρρενος, νικᾶν τὸ τοῦ θήλεος καὶ γίνεσθαι ἄρρεν καὶ ὅμοιον
τῷ πατρί, εἰ δὲ ἔλαττον μὲν τὸ τοῦ ἄρρενος, πλέον δὲ τὸ τοῦ θήλεος 15
θῆλυ καὶ ὅμοιον τῇ μητρί· ἂν δὲ ἴσον ᾖ ἑκατέρου καὶ μηδέτερον ὑπερέχῃ
μὴ δυνάμενον θάτερον θατέρου κρατεῖν διὰ τὴν ἰσότητα ἀμφοῖν, οὐδετέρῳ
γίνεται ὅμοιον, ἀλλ' ἁπλῶς ἀνθρώπῳ. θεὶς οὖν ταύτην τὴν δόξαν εὐθὺς 20
25 ἀπαντᾷ πρὸς αὐτὴν λέγων 'εἰ δέδεικται ψεῦδος ὂν τὸ λέγειν ἀπὸ παντὸς
ἀπέρχεσθαι τοῦ σώματος σπέρμα ἔχον ἐν ἑαυτῷ τὰ μόρια πάντα ἐνεργείᾳ, 25
ἀναίσθητα δὲ διὰ σμικρότητα, ψεῦδος ἂν εἴη καὶ τὸ αἰτιᾶσθαι αὐτὸ τῆς
ὁμοιότητος καὶ ἀνομοιότητος. ἔτι ἐπεὶ γίνεται καὶ θῆλυ ἐοικὸς τῷ πατρὶ 30
καὶ ἄρρεν τῇ μητρί, ἀνάγκη, ἧ μέν ἐστι θῆλυ τὸ τεχθέν, πλέον εἶναι τὸ
30 ἀπὸ τῆς μητρός, ἔλαττον δὲ τὸ ἀπὸ τοῦ πατρός, ἡ δὲ πάλιν ὅμοιον τῷ
πατρί, πλέον εἶναι τὸ ἀπὸ τοῦ πατρός, ἔλαττον δὲ τὸ ἀπὸ τῆς μητρός'. 35
ἅμα δ' ἐλθεῖν πλέον ἀπ' ἀμφοτέρων ἀδύνατον, τουτέστιν ἅμα δὲ

1 καθ' ἕκαστα libri 2 γίνεται π 4 ἢ κατὰ — Ἱπολεμαῖον] ἢ καὶ τῶν καθ' ἕκαστον κατὰ πτολεμαῖον IL 5 post ἀνάστρου add. σφαίρας K ἀναποδίζουσιν οἱ ἀπλανεῖς] ἀναποδείξει ἡ ἀπλανὴς a 6 μίαν μοῖραν coll. K 7 φύσει L 8 μείζω I: μεῖζον K 9 πρὸς ἕτερον Ka σατυρίωσις IL 11 κατὰ πολὺ post ἐστὶν (10) ponunt Ka ἢ om. Ka 12 ἀλάττων (sic) L πρὸ τοῦ ἄρξασθαι τρέφεσθαι a 13 ἔλθοι I 16 ἐπειράσθησαν a 16. 17 αἰτίας τούτων IL 18 λέγουσα] λέξις I 19 σπέρμα] σῶμα IKa 21 τὸ prius om. Ka 23 κρατῆσαι Ka οὐδετέρου IL 24 ἀνθρώπου IL 27 μικρότητα K αὐτὸ] ἀπὸ IL 29 τὸ post εἶναι om. L 31 εἶναι om. IL τὸ post δὲ om. a

τὸ αὐτὸ καὶ ἕν, οἷον τὸ τοῦ θήλεος, τοῦ αὐτοῦ καὶ ἑνός, οἷον τοῦ ἀπὸ τοῦ ἄρρενος, καὶ πλέον εἶναι καὶ ἔλαττον ἀδύνατον. ὥσπερ γὰρ ὁ πέντε ἀριθμὸς καὶ μείζων καὶ ἐλάττων τοῦ ἓξ ἀριθμοῦ εἶναι οὐ δύναται, οὕτω οὐδὲ τὸ τοῦ θήλεος πλέον καὶ ἔλαττον τοῦ ἀπὸ τοῦ ἄρρενος. ἐνστὰς οὖν πρὸς αὐτὴν ἐκτίθεται καὶ τὴν λοιπήν, βελτίονα λέγων εἶναι τῆς προτέ|ρας, 90r ὅμως μέντοι ψευδῆ· αὕτη δὲ ἦν ἡ λέγουσα τὸ σπέρμα πανσπερμίαν εἶναι πάντων τῶν μερῶν. ὥσπερ γάρ, φησίν, εἰ νοήσομεν ὡς ἔν τινι ἀγγείῳ πολλούς τις εἰσήγαγε χυμούς, οἷον οἶνον, ὕδωρ, μέλι, ἔλαιον καὶ ἄλλα τινά, εἶτα δύναμιν εἶχε χωρίζειν αὐτὰ ἀπ' ἀλλήλων, ἐν δὲ τῇ διακρίσει ταύτῃ λαμβάνειν ἐξ αὐτῶν ὡς ἔτυχε, συμβαίη ἂν ὁτὲ μὲν πλέον λαβεῖν οἴνου, ὁτὲ δὲ ἔλαττον, ὁτὲ δὲ ἴσον, ὁτὲ δὲ τοῦ μὲν οἴνου μηδ' ὅλως λαβεῖν τι, ἀλλ' εἰ τύχῃ, ὃ ἂν λάβῃ τοῦ μέλιτος εἶναι, ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ὕδατος καὶ μέλιτος καὶ τῶν ἄλλων, οὕτω καὶ ἐν τῷ σπέρματι ἐπειδὴ ἔνεισι τὰ μόρια πάντα καὶ τὰ τοῦ ἄρρενος καὶ τὰ τοῦ θήλεος, εἰ μὲν συμβῇ λαβεῖν τὴν φύσιν πλείονα ἀπὸ τῶν τοῦ ἄρρενος, ἐοικὸς γίνεται τῷ ἄρρενι, εἰ δὲ πλείονα ἀπὸ τῶν τοῦ θήλεος, τῷ θήλει. λέγει δὲ τὸν λόγον τοῦτον πλασματώδη εἶναι καὶ ἀσαφῆ· οὐ γὰρ σαφῶς εἴρηκεν, εἴτε ἐνεργείᾳ εἰσὶ τὰ μόρια ἐν τῷ σπέρματι εἴτε δυνάμει, ὥσπερ ἡ προτέρα δόξα ἔλεγεν· ἐκείνη γὰρ σαφῶς εἶπεν ἐνεργείᾳ εἶναι τὰ μόρια ἐν τῷ σπέρματι. τὸ δὲ βούλεται δὲ καὶ βέλτιον λέγειν μὴ ἐνεργείᾳ ἴσον ἐστὶ τῷ φαίνεται μὴ λέγειν τὰ μόρια ἐνεργείᾳ ἐνεῖναι ἀλλὰ δυνάμει ἐκ τοῦ λέγειν αὐτὰ πανσπερμίαν· φανερῶς δὲ οὐ λέγει. βέλτιον δὲ καὶ δυνατὸν λέγειν δυνάμει, ἐκεῖνο δὲ ἀδύνατον, τουτέστιν ἐνεργείᾳ δὲ εἶναι ἐν τῷ σπέρματι ἀδύνατον. ἡμάρτανον δέ, φησί, καὶ ὅτι δι' ἑνὸς τρόπου εἴτε τῆς πανσπερμίας εἴτε τοῦ ἀφ' ἑκατέρου ἀπέρχεσθαι, ἀφ' ἑτέρου δὲ πλέον, ἐπειρῶντο περὶ πάντων τὰς αἰτίας ἀποδιδόναι, τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος, καὶ τοῦ τὸ μὲν ἄρρεν τῷ πατρί, τὸ δὲ θῆλυ τῇ μητρὶ ἐοικέναι. αὐτὸς μὲν γὰρ εἰρήκει τὰ μὲν δυνάμει ἐν τῷ σπέρματι τὰ δὲ ἐνεργείᾳ, καὶ τὰ μὲν ἐγγύτερον τὰ δὲ πορρώτερον, καὶ ὅτι τὸ λυόμενον εἰς τὸ ἐφεξῆς λύεται, καὶ τἆλλα ὅσα εἰρήκει· ὁ δὲ ταῦτα μὲν παρορῶν, τρόπον δὲ ἕνα πάντων αἰτιώμενος εἴτε τὴν τῆς γονῆς πανσπερμίαν εἴτε τὴν ἀφ' ὁποτέρου κατὰ τὸ πλεονάζον ἔκκρισιν, εἴη ἂν λέγων ἀδύνατα καὶ ἀδιανόητα. ἡμάρτανον δὲ περὶ τούτων διὰ τὸ πειρᾶσθαι δι' ἑνὸς τρόπου ἀποδιδόναι τούτων πάντων τὰς αἰτίας· αὐτὸς γὰρ εἶπεν ὅτι συμβάλλονται πρὸς ἀρρενοτοκίαν καὶ θηλυτοκίαν, ὁμοιότητα καὶ ἀνομοιότητα καὶ αἱ τροφαὶ καὶ αἱ χῶραι ἄνεμοί τε καὶ

1. 2 τοῦ ἀπὸ τοῦ] τὸ τοῦ IL[1]: τοῦ τοῦ corr. L[2] 2 ὡς γὰρ Ka 5 τὴν προτέραν K 6 μέν τι a 9 δύναμιν εἴχε] δύναταί γε IL αὐτὰ] ταῦτα I 15 τῶν om. a 16 post πλείονα add. καὶ IL 17 πλασματίαν Ka cf. Arist. p. 769a36 ἀσαφῆ corr. ex σαφῆ K 19 εἶπεν] ἔλεγεν K 21 εἶναι a αὐτὸ Ka 23 ἐκεῖνον I δὲ ante εἶναι om. a εἶναι ἐν in ras. L ἐν om. K 24 φησί—ἡμάρτανον δὲ (32) om. IL καὶ om. a post ὅτι add. καὶ K δι' ἑνὸς] δ' ἑνὸς a πανσπέρμου a 26 τοῦ τὸ scripsi: τοῦτο Ka 28 ἐγγυτέρω a 29 πορρωτέρω a 31 ὁποτέρου scripsi: ὁποτέρα Ka 32 λέγοντες a 34 ἀρρενογονίαν IL 35 post ὁμοιότητα add. τε K δὲ a ἄναιμοι a

τἆλλα πάνθ' ὅσα εἰρήκει. λέγει δὲ καὶ τὰ γεννώμενα ὑπὸ τῶν γυναικῶν τέρατα καὶ ἔχοντα βοός, ὥς φασιν, ἢ μόσχου κεφαλὴν γίνεσθαι διὰ τὰς προειρημένας αἰτίας· ἦσαν δὲ αὗται τό τε λύεσθαι τὰς κινή|σεις τῶν 90ᵛ ποιούντων καὶ τὸ ἐπικρατεῖν τὴν ὕλην. συμβαίνει μὲν οὖν ταῦτα διὰ τὰς προειρημένας αἰτίας, ἔστι δ' οὐθὲν ὧν λέγουσι, τουτέστιν οὔτε βὲ βοῦς οὔτε δὲ πρόβατον ἐξ ἀνθρώπου γίνεται, ἀλλ' ἐοικότα μὲν βοῖ ἢ προβάτῳ, βόες δὲ καὶ πρόβατα οὔκ εἰσιν· οὐ γὰρ τὸ ἐοικός τινι ταὐτόν ἐστι τῷ ᾧ ἔοικεν. εἰσὶ γὰρ πολλοὶ τῶν κατὰ φύσιν ὄντων ἀνθρώπων καὶ μὴ πηρώματα μηδὲ τέρατα ὄντων ἐπιμήκη ἔχοντες τὰ πρόσωπα καὶ ὅμοια τοῖς τῶν βοῶν, ὅμως οὔκ εἰσι βόεια. διὸ καὶ σκώπτοντες οἱ εὐτράπελοι τοὺς μὴ καλοὺς μηδὲ εὐειδεῖς τοὺς μέν φασι βουπροσώπους, ἄλλους δὲ αἰγὶ φυσῶντι πῦρ (ἔστι γὰρ ὁ αἴξ ὥσπερ καὶ ἡ αἴξ, καὶ διὰ τοῦτο εἶπε φυσῶντι καὶ οὐ φυσώσῃ) ἄλλους δὲ εἴκαζον οἰὶ κυρίττοντι. τὶς δὲ φυσιογνώμων ἀνῆγε πάσας τὰς τῶν ἀνθρώπων ὄψεις, τουτέστι πάντα τὰ τῶν ἀνθρώπων πρόσωπα εἰς τριῶν ζῴων· οἷον γὰρ ἂν εἶδεν ἄνθρωπον, ἄνδρα ἢ γυναῖκα, ἀπείκαζε τὸ πρόσωπον αὐτοῦ ἑνί τινι τῶν τριῶν τούτων ζῴων καὶ ἔπειθε πολλάκις τοὺς ἀκούοντας. ὥσπερ οὖν οὗτοι πάντες ὁμοιότητά τινα ἔχουσι κατὰ τὰ σχήματα τῶν προσώπων πρὸς τὰ ἄλογα ζῷα, οὔκ εἰσι μέντοι οἱ αὐτοὶ ἐκείνοις, οὕτω καὶ τὰ γεννώμενα ἀπὸ τῶν ἀνθρώπων τέρατα. ὅτι δὲ ἀδύνατον ἢ ἄνθρωπον ἐκ προβάτου γενέσθαι ἢ πρόβατον ἐξ ἀνθρώπου, δηλοῦσιν οἱ χρόνοι τῆς κυήσεως· πῶς γὰρ δυνατὸν ἄνθρωπον ἐκ προβάτου γενέσθαι, τοῦ μὲν προβάτου ἐν τῷ τετάρτῳ μηνὶ γεννῶντος, τοῦ δ' ἀνθρώπου ἐν τῷ ἑβδόμῳ ὀλιγάκις, τὰ πλεῖστα δ' ἐν τῷ ἐνάτῳ, μάλιστα δὲ καὶ ἐν τῷ δεκάτῳ, ὅταν ἄρρεν τέκῃ; γεννᾷ δὲ ἐν τῷ ἑβδόμῳ οὐ μόνον τὰ τέλεια, ἀλλὰ καὶ τὰ τέρατα. ταῦτα εἰπὼν ἐπάγει τὰ μὲν οὖν τῶν τεράτων τοῦτον γίνεται τὸν τρόπον, τουτέστιν ἔχοντα κεφαλὰς καὶ πρόσωπα ὅμοια τοῖς τῶν βοῶν καὶ προβάτων, τὰ δὲ γίνεται ἐν τῷ ἔχειν τρεῖς ἢ τέτταρας ἐπὶ τῶν διπόδων πόδας ἢ ἓξ δακτύλους ἐπὶ τῶν πενταδακτύλων ἢ δύο κεφαλάς· ἐγέννησε γάρ τις γυνὴ τέρας δικέφαλον.

p. 769ᵇ30 Δημόκριτος μὲν οὖν ἔφη γίνεσθαι τὰ τέρατα διὰ τὸ δύο γονὰς πίπτειν.

Τὴν Δημοκρίτειον πρότερον περὶ τῆς τῶν τεράτων γενέσεως παρατίθεται δόξαν, εἶθ' οὕτως ἐρεῖ τὴν αὐτοῦ. ἔλεγεν οὖν ὁ Δημόκριτος ὅτι

---

4 ποιούντων] τοιούτων a κρατεῖν a post ὕλην lac. V fere litt. IL
6 πρόβατα a ἐξ ἀνθρώπου] ἐξαπίνης ut vid. K 7 τοῦ ᾧ a 10 ἀτράπελοι a 11 βοοπροσώπους ILa 12 πῦρ om. IL post γὰρ add. μὲν a ὁ ἤιξ I 13 εἰκάζομεν L οἰὶ KL²a Arist. vulg.: ὑὶ ex corr. I L¹ Arist. SYZ
15 ἄνθρωπον om. a 18 μέντοι] μέν τι a 18. 19 οἱ αὐτοὶ] οἷα τὰ a
20 ἢ πρόβατα a 23 ὀλιγάκις] πολλάκις Ka 24 ὅτε θήλην τέκη a οὐ μόνον ἐν τῶ ἑβδόμω coll. IL 25 οὖν om. a 26 γίνεται] λέγεται Arist. κεφαλὴν Ka πρόσωπον K 29 γάρ] δὲ a 30 ἔφησε Arist. vulg.: φησὶ Arist. P γίνεσθαι K Arist.: γενέσθαι IL 32. 33 περιτίθεται a 33 αὐτοῦ I

ἐν τῇ σήμερον φέρε εἰπεῖν γεγονυίᾳ ὀχείᾳ εἰσῆλθεν ἐν τῇ ὑστέρᾳ ἀπὸ τοῦ 90ᵛ
ἄρρενος γονή, εἰσέρχεται δὲ καὶ ἐν τῇ εἰς αὔριον γενησομένῃ, καὶ ὅλως
ἄλλη μὲν εἰσέρχεται ἐν τῇ προτέρᾳ ὀχείᾳ, ἄλλη δὲ ἐν τῇ ὕστερον γεγονυίᾳ. 30
ὅταν οὖν δὶς ὀχευθῇ τὸ θῆλυ, καὶ δύο εἰσέλθωσιν ἐν τῇ ὑστέρᾳ αὐτοῦ
5 γοναί, ὥσπερ ἡ πρότερον εἰσελθοῦσα πλάττει καὶ ποιεῖ χεῖρας καὶ πόδας
καὶ τὰ λοιπά, οὕτω καὶ ἡ ὕστερον εἰσελθοῦσα τὰ αὐτὰ ποιεῖ· ἀλλὰ διὰ τὸ 35
εἶναι τὸ καταμήνιον ἓν καὶ συνεχές, γίνονται καὶ τὰ ἐξ ἀμφοῖν ταῖν γοναῖν
συνεχῆ ἀλλήλοις καὶ ἐπαλλάττοντα, τουτέστι κοινωνοῦντα καὶ ὅμοια ὄντα 40
ἀλλήλοις, καὶ διὰ ταύτην τὴν αἰτίαν γίνεται εἷς ἄνθρωπος, ἔχων δύο μὲν
10 κεφαλάς, τέσσαρας δὲ πόδας. ἔλεγε δὲ ὁ Δημόκριτος καὶ τὰ ᾠὰ τῶν 45
ὀρνίθων τέρατα εἶναι· ταχείας γάρ, φησί, καὶ ἐν μιᾷ ὥρᾳ πολλάκις ἐπὶ
τούτων γινομένης τῆς ὀχείας πολλαὶ εἰσέρχονται γοναί, καὶ διὰ τοῦτο 91ʳ
τοῦ ᾠοῦ τὸ μέν ἐστι λευκόν, τὸ δὲ ὠχρόν· εἰ δὲ εἰσήρχετο μία γονή, ἢ
ὠχρὸν ἂν ἦν τὸ πᾶν ἢ λευκόν. εἰσὶν οὖν, φησί, καὶ τὰ ᾠὰ τέρατα, ἀλλὰ 5
15 διὰ τὸ ἀεὶ οὕτως γίνεσθαι τῇ ταχυτῆτι τῆς ὀχείας οὐ δοκοῦσιν εἶναι τέρατα.
ἐπαλλάττειν δὲ καὶ κοινωνεῖν λέγει τὴν τῶν ᾠῶν χρόαν, διότι παντὸς 10
ὀρνιθείου ᾠοῦ τὸ μέν ἐστι λευκὸν τὸ δ' ὠχρόν. ἡ μὲν οὖν Δημοκρίτειος
περὶ τῆς τῶν τεράτων γενέσεως δόξα αὕτη, τὴν ἀπὸ τοῦ ἄρρενος γονὴν 15
αἰτιωμένη· ὅπερ οὗτος οὐ βούλεται, ἀλλὰ μᾶλλον τὴν ἀπὸ τοῦ θήλεος
20 ὅλην. ἐγκαλεῖ δὲ τῷ Δημοκρίτῳ λέγων εἰ δὲ συμβαίνει ἐξ ἑνὸς σπέρ-
ματος πλείω γίνεσθαι καὶ μιᾶς συνουσίας, ὅπερ φαίνεται. ἔστι 20
δὲ τὸ λεγόμενον δυνάμει τοιοῦτον 'εἰ ὅλως χρὴ τὸ ἀπὸ τοῦ ἄρρενος αἰτιᾶσθαι
σπέρμα, ὡς Δημοκρίτῳ δοκεῖ, καὶ μὴ τὴν ἀπὸ τοῦ θήλεος ἀπόκρισιν, ὡς 25
ἡμῖν, τί δεῖ ἀνακυκλεῖν καὶ λέγειν ὅτι ἡ πρότερον εἰσελθοῦσα γονὴ πεποίηκε
25 τάδε, ἡ δ' ὕστερον τάδε, καὶ μὴ ἀποφαίνεσθαι ὅτι ἡ αὐτὴ καὶ μία πεποίηκε 30
τὰς τέσσαρας χεῖρας καὶ τὰς δύο κεφαλάς, καὶ τὰ λοιπὰ ὁμοίως'; ὁρῶμεν
γὰρ ὅτι ἐκ μιᾶς ὀχείας καὶ δηλονότι καὶ μιᾶς γονῆς διδυμοτοκοῦσι πολλαὶ
τῶν γυναικῶν, ὁμοίως δὲ καὶ τῶν πολυτόκων πολλὰ ἐκ μιᾶς ὀχείας γεννᾷ 35
πλείονα. εἰ οὖν ἡ μία γονὴ πολλὰ δύναται ποιεῖν ζῷα, ποιήσει ἄρα καὶ
30 ἓν πλείονα ἔχον μέρη τῶν κατὰ φύσιν ἐπιβαλλόντων αὐτῷ· τοῖς γὰρ 40
τοιούτοις, φησί, τουτέστι τοῖς πολυτόκοις, ἀναγκαῖον μάλιστα τοῦτο
συμβαίνειν, τουτέστι τὸ τέρατα γεννᾶν. ἂν γὰρ μὴ διακριθῶσι τὰ
σπέρματα (εἰ δεῖ ταῦτα αἰτιᾶσθαι κατὰ τὴν Δημοκρίτειον ἀπόφασιν) ἂν δὴ 45
μὴ διακριθῶσι καὶ τοῦτο μὲν τὸ μέρος τοῦ ὅλου σπέρματος ποιήσῃ |
35 ζῷον, ἐκεῖνο δὲ τὸ μέρος ἕτερον καὶ ἄλλο ἄλλο, ἀλλ' ἅμα ὦσι καὶ συνεχῆ 91ᵛ
ἀλλήλοις τὰ τοῦ ὅλου σπέρματος μόρια, γενήσεται ἕν τι ζῷον ἔχον, εἰ 5
τύχῃ, δύο μὲν κεφαλάς, ἓξ δὲ πόδας, τέσσαρα δὲ ὦτα. ταῦτα εἰπὼν πρὸς

2 εἰς om. Ka 3 προσέρχεται IL 4 αὐτοῦ om. IL 9 μὲν δύο coll. I: μὲν β L 10 τέτταρας] δύο K 12 γενομένης K 13 ἐστι om. IL
εἰ scripsi: ἐὰν IL: ἂν a 14 λευκὸν ἂν ἦν τὸ πᾶν ἢ ὠχρὸν coll. Ka τέρας IL
18 ἀπὸ] ἐκ a 19 οὐ om. I 20 συμβαίη La 23 Δημόκριτος I
24 πρότερον] πρώτη IL 28 πολλὰ] πολλάκις a γεννῶσι a 30 αὐτοῖς a
31 φασὶ a 32. 33 τὰ σπέρματα—διακριθῶσι (34) om. K 33 δὴ] δὲ IL
34 ποιήσει IL 35 ἄλλο ἄλλου IL 37 τύχει a δὲ post τέσσαρα om. IL

Δημόκριτον τὴν ἑαυτοῦ ἐκτίθεται δόξαν λέγων ὅλως δὲ μᾶλλον τὴν 91v
αἰτίαν τῆς τῶν τεράτων γενέσεως οἰητέον ἐν τῇ ὕλῃ, τουτέστιν ἐν τῇ
ἐκκρίσει τῇ ἀπὸ τοῦ θήλεος καὶ ἐν τῷ κυήματι τῷ ἐκ τοῦ καταμηνίου
καὶ τῆς τοῦ ἄρρενος ὄντι γονῆς. ἂν γὰρ ἐπικράτεια γένηται ἐν τῷ κυήματι
5 τῆς ὕλης, ἤττα δὲ τῆς γονῆς, τέρας ἔσται τὸ γεγονός. λέγει δὲ μάλιστα 10
γίνεσθαι ἐν ταῖς ἀλεκτορίσι τὰ τέρατα διὰ τὸ ἔχειν πολλὰ κυήματα, καὶ
πλησίον εἶναι ἀλλήλων, ὥστε ἅπτεσθαι θάτερον θατέρου. ἁπτόμενα δὲ
συμφύονται· ἐξ οὗ συμβαίνει πολλάκις περικλείεσθαι ὑπὸ ἑνὸς κελύφους
δύο ὠχρά, καὶ δὴ ὁρῶμεν πολλὰ τῶν ᾠῶν δύο ἔχον ἕκαστον αὐτῶν ὠχρά.
10 καὶ ἐπεί, ὡς πολλάκις εἴρηται, τὸ μὲν τοῦ νεοττοῦ σῶμα ἐκ τοῦ λευκοῦ
γίνεται, ὡς δὲ προϊὼν ἐρεῖ, οἱ [δὲ] πόδες καὶ ἡ τροφὴ ἐκ τοῦ ὠχροῦ·
ἐπειδὴ γὰρ οἱ πόδες τῶν ἄλλων γεωδέστεροί εἰσιν ὀστῶν (τὰ γὰρ πλήκτρα 15
καὶ οἱ ὄνυχες καὶ αἱ ἐν τοῖς σκέλεσι λεπίδες παντελῶς εἰσι γεώδεις), τοιοῦτον
δὲ καὶ τὸ ὠχρόν (γεῶδες γὰρ καὶ τοῦτο, ὡς πολλάκις εἴρηται), ἀναγκαῖον
15 ἐκ τοῦ ὠχροῦ ἴσχειν τὴν γένεσιν τὰ σκέλη· ἐπεὶ οὖν ἐκ τοῦ ὠχροῦ οἱ
πόδες, ἐν ᾧ ᾠῷ δύο εἰσὶν ὠχρά. ἀναγκαῖον τέσσαρας ἢ τρεῖς ἐξ αὐτοῦ
γίνεσθαι πόδας. συμφύονται δέ, φησί, πολλὰ κυήματα τῶν ὀρνίθων ὥσπερ
καὶ πολλὰ τῶν περικαρπίων· ὁρῶμεν γὰρ δύο κάρυα συμπεφυκότα ἀλλήλοις
καὶ ἄλλα πολλά. τούτων οὖν τῶν ὀρνιθείων ᾠῶν ὅσων αἱ λέκιθοι (λέγων 20
20 λεκίθους τὰ ὠχρά) κεχωρισμέναι εἰσὶν ἀπ' ἀλλήλων διά τινος ὑμένος,
γίνονται ἐκ τοῦ αὐτοῦ καὶ ἑνὸς ᾠοῦ δύο νεοττοὶ τέλειοι μηδὲν ἔχοντες
περιττὸν μηδὲ τερατῶδες· ὅσων δὲ συμβῇ τὰς λεκίθους μὴ διείργεσθαι ἀπ'
ἀλλήλων ὑμένι, ἀλλὰ συνεχεῖς εἶναι, γίνονται οἱ τερατώδεις νεοττοὶ μίαν
μὲν ἔχοντες κεφαλὴν καὶ ἓν σῶμα, ἐπειδὴ καὶ τὸ λευκὸν ἕν ⟨τέτταρα δὲ
25 σκέλη⟩. ὅταν γὰρ γένηται ἓν ζῷον μίαν ἔχον κεφαλὴν καὶ ἓν σῶμα,
τέτταρα δὲ σκέλη, τότε δὴ [τότε] συμβέβηκε καὶ τὰ λευκὰ τὰ δύο καὶ τὰ 25
ὠχρὰ τὰ δύο μὴ διείργεσθαι ἀπ' ἀλλήλων ὑμένι. γίνεται δὲ μία κεφαλὴ
καὶ ἓν σῶμα διὰ τὸ τὰ δύο λευκὰ ἀνακραθῆναι καὶ δι' ἀλλήλων χωρῆσαι
καὶ ἕν τι σύστημα καὶ μίαν κρᾶσιν ἐξ ἀμφοτέρων καὶ φύσιν γεγονέναι,
30 τέτταρες δὲ ἢ τρεῖς πόδες, διότι τὰ ὠχρά, εἰ καὶ συμπεφύκασιν ἀλλήλοις
κατὰ τὰς ἄκρας, ἀλλ' οὖν δύο πάλιν εἰσὶ καὶ οὐχ ἕν· οὐ γὰρ δύναται
ῥᾳδίως οὕτω τὰ ὠχρὰ ἀνακραθῆναι καὶ ἕν τι γενέσθαι διὰ τὸ δυσδιαίρετον
αὐτῶν, ὅπερ αὐτοῖς παρέχεται τὸ ἐνὸν γεῶδες. ὅτι δὲ τὰ μὲν λευκὰ ῥᾷστα 30
ἀναμίγνυται καὶ ἀνακεράννυται, τὰ δὲ ὠχρὰ τοὐναντίον, δῆλον ἐπὶ τῶν

4 ὄντος K γένηται] γέγονεν HLa 8 fort. συμφύεσθαι περικλύεσθαι a
9 πολλὰ] ἐν πολλοῖς a 11 ὡς—ἐρεῖ post ὠχροῦ ponit K δὲ post ὡς om. Ka
δὲ post οἱ delevi 12 ἐπεὶ K 15 τὴν γένεσιν ἴσχειν coll. Ka 16 ᾧ] τῷ K:
om. I post ᾠῷ add. δὲ K 18 γὰρ om. a 19 ὀρνιθίων HL
λέκυθοι L: λέκινθοι I 20 λεκύθους L: λεκίνθους I, itemque 22 κεχωρισμένα HL
22 ὅσων] οἷς HL 23 συνεχῆ HL 24 καὶ ἓν—κεφαλὴν (25) om. sed in marg.
add. L 24. 25 τέτταρα δὲ σκέλη addidi 25 ζῷον ἓν K 26 alterum
τότε delevi 29 ἐξ ἀλλήλων HLa 30 συμπεφυκότα K 31 τὰ ἄκρα Ka
πάλιν δύο coll. HL δύνανται Ka 32 ῥάδιον K καὶ ἀντιγενέσθαι I
33 post παρέχεται add. διὰ I

φαινομένων· εἰ γὰρ δύο ἢ τρία ἢ καὶ πλείονα ᾠὰ θραύσειέ τις καὶ εἰς 91v
ἀγγεῖόν τι ἐμβιβάσειεν, ὄψεται τὰ μὲν λευκὰ ἕν τι γεγονότα, τὰ δ' ὠχρὰ καθ'
αὐτὰ μένοντα ἐν τῷ οἰκείῳ ὅρῳ τε καὶ σχήματι. γίνεται οὖν μία κεφαλὴ
καὶ ἓν σῶμα, ὅτι καὶ τὸ ἐξ ἀμφοῖν λευκὸν ἕν, πλείονες δὲ τῶν δύο πόδες,
5 ὅτι καὶ τὰ ὠχρὰ δύο καὶ οὐχ ἕν. ὅταν δὲ δύο γένωνται ἐκ τοῦ ἑνὸς ᾠοῦ 35
νεοττοὶ τέλειοι, τότε συνέβη ἕκαστον λευκὸν καὶ ἕκαστον ὠχρὸν καθ' αὑτὸ
εἶναι ὑμένι τινὶ περιεχόμενον· ἐπεὶ οὖν κεχώρισται ἀπ' ἀλλήλων καὶ τὰ
λευκὰ καὶ τὰ ὠχρά, ἀναγκαῖόν ἐστι δύο γενέσθαι νεοττοὺς ὑγιεῖς μηδέν τι
τερατῶδες ἔχοντας. ἡ μὲν οὖν διάνοια τῶν εἰρημένων, οἶμαι, τοιαύτη, ἣν
10 αὐτὸς ἐλλιπῶς διὰ βραχυλογίαν ἀπήγγειλεν. ἐν δὲ τῇ λέξει τῇ διὰ τὸ
ἀδιόριστα εἶναι τὰ ὠχρὰ τὸ λεγόμενον ἴσον ἐστὶ τῷ διὰ τὸ μὴ εἶναι κεχω-
ρισμένα ὑμένι, ἀλλὰ συνεχῆ. λέγει δὲ ἐν τοῖς ὄφεσι σπάνια γίνεσθαι τὰ 40
τέρατα διὰ τὸ σχῆμα τοῦ σώματος αὐτῶν· ἐπίμηκες γὰρ καὶ ὅμοιον ῥάβδῳ
ὄν, ἀνάγκη καὶ τὴν ὑστέραν ἐπιμήκη εἶναι, ὥστε καὶ τὰ ᾠὰ στοιχηδὸν καὶ
15 ἐφεξῆς τόδε μετὰ τόδε κεῖσθαι καὶ μὴ σωρηδὸν ὡς τὰ τῶν ἀλεκτορίδων·
ἐφεξῆς δὲ κειμένων σπανίως ἐν τῷ αὐτῷ καὶ ἑνὶ ᾠῷ συμβαίνει δύο γίνε-
σθαι κυήματα. ἐν δὲ ταῖς μελίτταις οὐ γίνεται τέρατα, ὅτι τὰ κυττάρια,
ἐν οἷς ἐστιν ὁ τόκος αὐτῶν, κεχωρισμένα ἐστὶν ἀπ' ἀλλήλων, ὥστε καὶ
οἱ ἐν αὐτοῖς τόκοι. ὀλιγάκις δὲ γίνεται καὶ ἐν τοῖς ἀνθρώποις τὰ τέρατα 45
20 διὰ τὸ τέλεια γεννᾶν· ὅσα δὲ δύναται τέλεια γεννᾶν βραδέως ἀποτυγχάνει.
ὥσπερ γὰρ οἱ χαριέστατοι τῶν ζωγράφων βραδέως ἀποτυγχάνουσι περὶ τὰς
τῶν μιμουμένων ὑπ' αὐτῶν ἐμφερείας, οὕτω καὶ τὰ τελειογόνα. ἐν δὲ τῇ
λέξει τῇ τὰ γὰρ πολλὰ τίκτει τυφλὰ τούτων τὸ τούτων περὶ τῶν
πολυσχιδῶν εἴρηται· δῆλον δὲ ὅτι καὶ τυφλὰ καὶ | ἀτελῆ. προωδοποίηται 92r
25 οὖν καὶ ἐπιτήδειον καὶ εὐφυὲς πρὸς τεράτων γένεσιν γίνεται τὸ μὴ γεννᾶν
ὅμοια. ἐπειδὴ γὰρ ἡ μὲν γεννῶσα κύων ὀφθαλμοὺς ἔχει, τὰ δὲ γεννώ-
μενα οὐκ ἔχει (τυφλὰ γάρ, καὶ ἐκτὸς τελειοῦνται τὰ ὄμματα αὐτῶν), δῆλον
ὡς ἀνόμοια ἑαυτῇ γεννᾷ, ἀνόμοια δὲ κατὰ τὸ τέλειον καὶ ἀτελές. διόπερ
ἐπαλλάττει τοῦτο τὸ σύμπτωμα τοῖς τοιούτοις τὴν φύσιν. τοιού-
30 τοις λέγει τοῖς πολυτόκοις, σύμπτωμα δὲ τὸ γεννᾶν τέρατα· τῷ δὲ ἐπαλλάττειν 5
νῦν ἀντὶ τοῦ εὑρίσκεσθαι ἐχρήσατο. τὸ οὖν τέρατα, φησί, γίνεσθαι μάλιστα
ἐν τοῖς πολυτόκοις εὑρίσκεται. ἐπεὶ δὲ τῶν φύσει γινομένων τὰ μὲν ἀεὶ
οὕτως γίνεται, ὥσπερ τροπαὶ ἀνατολαί τε καὶ δύσεις, τὰ δ' ὡς ἐπὶ τὸ
πολύ, ἐν τοῖς ὡς ἐπὶ τὸ πολὺ γινομένοις ἡ τῶν τεράτων συνίσταται γένεσις·
35 ὅταν γὰρ ἀπολισθήσῃ τοῦ ὡς ἐπὶ τὸ πολύ, τέρας ἤδη τὸ ἀπολισθῆσάν ἐστι.

1 ἢ καὶ τρία IL 2 ἐμβιβάσειεν scripsi: ἐμβάλοιεν L: ἐμβάσειεν I: ἐμβιβάσειαν K: ἐμβιβάσιεν a 2. 3 μένοντα καθ' ἑαυτὰ Ka 4 τὰ ἐξ IL 6 τότε om. IL καθ' αὑτὰ IL: καθ' αὑτοῦ a 9 τῶν λεγομένων IKa 10 βραχυλόγον I διὰ τὸ om. IL 13 ἐπιμήκη γὰρ καὶ ὁμοίως a 14 ὄν om. IL 18 κεχωρισμένα εἰσὶν K 19 γίνονται L 21 περὶ τῆς a 22 τῶν μιμουμένων] μιμουμένας K τὰ τελειογόνα—τυφλὰ τούτων (23) om. K τελειγόνα IL 23 τούτων τὸ τούτων—τυφλὰ (24) om. IL 24 προωδοπεποίηται I 26 μὲν om. K 28 γεννᾶν IL 29. 30 τούτοις λέγει IL 30 τῷ] τὸ a 32 δὲ] οὖν IL 33 γίνονται a post τροπαὶ add. δὲ K 34 ἐν τοῖς] ἀντὶ τοῦ K γέννεσις (sic) a: φύσις K

p. 770ᵇ13 Ἐπεὶ καὶ τούτων ἐν ὅσοις συμβαίνει παρὰ τὴν τάξιν 92r
μὲν ταῦτα, ἀεὶ μέντοι μὴ τυχόντως.

Τὸ μὴ τυχόντως ἴσον ἐστὶ τῷ μὴ ποτὲ μὲν οὕτως, ποτὲ δὲ ἄλλως, 10
ἀλλ' ἀεὶ ὡσαύτως. ἔστι δὲ τὸ λεγόμενον καὶ ἐπὶ τῶν ὡς ἐπὶ τὸ πολὺ
γινομένων ἂν ἡ παρέκβασις ἀεὶ ἐν τῷ αὐτῷ καὶ ἑνὶ γένηται, οὐ δοκεῖ 15
τέρας εἶναι. οἷον ὡς ἐπὶ τὸ πολὺ γίνονται οἱ ἄνθρωποι κατὰ φύσιν πένταδάκτυλοι· ἂν δὴ ὁσάκις ἂν ἐγεγόνει ἐκτροπὴ καὶ ἀποτυχία τοῦ πενταδα- 20
κτύλου, εἰς τὸ τετραδάκτυλον ἐγίνετο ἡ παρέκβασις, ὡς πάντα ἄνθρωπον ἢ τετραδάκτυλον ἢ πενταδάκτυλον εἶναι, οὐκ ἂν ἐδόκει τέρας τὸ τετρα-
δάκτυλον· νῦν δ' ἐπειδὴ γίνεται καὶ εἰς ἑξαδάκτυλον καὶ τριδάκτυλον, ἐπὶ τούτῳ δοκεῖ τέρας τὸ τετραδάκτυλον'. ὅταν οὖν, φησίν, ἡ κατὰ τὸ εἶδος φύσις, τουτέστιν ἡ ἀπὸ τοῦ ἄρρενος γονή, μὴ κρατήσῃ τὴν κατὰ τὴν 30
ὅλην, ἤτοι τὴν τοῦ θήλεος ἔκκρισιν, ἀλλὰ κρατηθῇ, γίνεται τέρας. οὔτε δὴ τὰ ἀεὶ μὴ τυχόντως γινόμενα λέγουσι τέρατα οὔτε τὰ μὴ τυχόντως
γινόμενα περικάρπια. ἡ γὰρ ἄμπελος, ἣν καλοῦσι κάπνεον, ὡς ἐπὶ τὸ 35
πολὺ γεννᾷ βότρυας μεταξὺ λευκοῦ καὶ μέλανος ὄντας· ὅταν δ' ἐκ τούτου τοῦ χρώματος τραπῇ, μεταβαίνει εἰς τὸ μέλαν, οὐδέποτε δ' ἀνήνεγκε 40
λευκούς. διὸ οὐ καλοῦσι τοὺς μέλανας τέρατα, διὰ τὸ εἰς τὸ μέλαν ἀεὶ γίνεσθαι τὴν παρέκβασιν. τὰ δ' ἑξῆς σαφῶς ἀπαγγέλλεται. μεθεστῶτα δὲ 45
τοὺς τόπους λέγει τὰ τοὺς οἰκείους τόπους ἀμείψαντα· ἐν πολλοῖς γὰρ ὦπται |
τὸ μὲν ἧπαρ ἐν τοῖς ἀριστεροῖς, ὁ δὲ σπλὴν ἐν τοῖς δεξιοῖς κείμενα. λέγει 92v
δὲ μηδὲν τῶν ἐναίμων γεγονέναι χωρὶς ἥπατος· τούτου γάρ ἐστι δηλωτικὸν τὸ 5
ἧπαρ δὲ οὐκ ἔχον μὲν οὐθέν. τὸ μὲν οὖν μηδ' ὅλως ἔχειν ἧπαρ οὐδέπω γέγονε, τὸ δὲ μὴ ὅλον ἔχειν, ἀλλὰ μέρος γέγονε· πολλὰ γὰρ γέγονε τὸ ἥμιου 10
μόνον τοῦ ἥπατος ἔχοντα. τὸ δὲ ἐν δὲ τοῖς εἰρημένοις ἔχοντα πολλὴν καὶ παντοδαπὴν ταραχὴν ταὐτόν ἐστι τῷ πολλὴν ταραχὴν παρέχει καὶ θόρυβον τοῖς ζητοῦσι τὰς αἰτίας αὐτῶν, πῶς γίνονται τὰ μὲν τὸ ἥμισυ 15
ἔχοντα τοῦ ἥπατος, ἄλλα δὲ τὸν μὲν σπλῆνα ἐν τοῖς δεξιοῖς, ἐν τοῖς ἀριστεροῖς δὲ τὸ ἧπαρ, καὶ τὰ ἄλλα πάντα, ὅσα παρὰ φύσιν γίνεται. 20
κύρια δὲ τοῦ ζῆν ἐστι καρδία, ἧπαρ, ἐγκέφαλος· ὅταν δὴ ἐν τούτοις τὸ παρὰ φύσιν καὶ τερατῶδες γένηται, οὐ ζῶσιν. ἐν δὲ τῇ λέξει τῇ τούτων

2 ταῦτα] ταύτην Arist. μὴ] μὲν I 4. 5 καὶ τῶν ἐπὶ τὸ πολὺ λεγομένων IL 8 τὸ om. L: supra vers. add. I γίνεται K 9 εἶναι post τετραδάκτυλον ponit K 10 καὶ εἰς τριδάκτυλον IKa 13 τὴν om. K
14 post δὴ τὰ fort. addendum τοιαῦτα γενόμενα La 15 κάπνεον] cf. Theophr. hist. pl. II 3,2 de caus. pl. V 3,1: σκνάπεον IKL Arist. PZ: κνάπεον Arist. SY: κάπνιον a

17 τὸ om. K 20 τὰ om. IL ἀμείψαντας L: ἀμείψαν I 21 κείμενος a
22 γενέσθαι K 23 δὲ] μὲν IL μὲν prius om. IL οὐδέν πω a 25 τοῦ ἥπατος μόνον coll. K εἰρημένοις IKL Arist. PSYZ: γινομένοις a: τικτομένοις Arist. vulg.
27 τὴν αἰτίαν a 28 ἄλλα scripsi: ἀλλὰ libri 28. 29 ἐν δὲ τοῖς ἀριστεροῖς τὸ coll. K 30 ἐστὶν ἡ καρδία IL

δὲ τὰ μὲν μείζω τῶν ἄλλων τὸ τὰ μὲν περὶ τῶν μωνύχων εἴρηται, 92v
τὸ δὲ τὰ δὲ πολὺ διαφέρει κατὰ μέγεθος περὶ τῶν ἐλεφάντων καὶ καμήλων.

p. 771a31 Ἔτι δὲ τὸ γεννῆσαν σπέρμα πλεῖον μὲν τὸ τοῦ μείζονος
5 ἀναγκαῖον εἶναι.

Καὶ τοῦτο κατασκευαστικόν ἐστι τοῦ διὰ τί τὰ μεγάλα τῶν ζῴων 30
μονοτόκα ἐστί, τὰ δὲ μικρὰ πολυτόκα. εἴη δ' ἄν, οἶμαι, δῆλα τὰ λεχθησόμενα τοιαῦτα προειποῦσιν· ἡ εἰσελθοῦσα γονή, ὡς ἐρεῖ προϊών, εἰς τοσαῦτα 35
διῃρέθη, εἰς ὅσα καὶ ἔτεκε· τοσαῦτα γὰρ γεννᾷ, εἰς ὅσα ἡ γονὴ διῃρέθη.
10 καὶ ἔμπαλιν εἰς το|σαῦτα διῃρέθη, εἰς ὅσα καὶ ἐγέννησεν, οἷον εἰ πέντε 93r
τέτοκε σκύμνους ἡ λέαινα, εἰς πέντε καὶ ἡ ἀπὸ τοῦ ἄρρενος εἰσελθοῦσα γονὴ διῃρηται. οὐ μόνον δὲ ἡ γονὴ εἰς πέντε διῃρέθη, ἀλλὰ καὶ τὸ τῆς λεαίνης καταμήνιον· εἰς ὅσα γὰρ διαιρεθῇ ἡ γονή, εἰς τοσαῦτα καὶ τὸ καταμήνιον. καὶ τὸ μὲν πέμπτον τοῦ καταμηνίου μετὰ τοῦ πέμπτου τῆς 10
15 γονῆς πεποίηκεν ἓν κύημα καὶ ἓν ζῷον, τὸ δὲ τέταρτον μετὰ τοῦ τετάρτου ἄλλο, καὶ τὸ τρίτον μετὰ τοῦ τρίτου ἕτερον, καὶ ἐφεξῆς. τοῦτό τε ἡμῖν προειλήφθω καὶ προσέτι ὅπερ αὐτὸς τίθησιν, ὅτι ἡ μεῖζον ζῷον συνιστῶσα 15
γονή, ὁμοίως καὶ τὸ καταμήνιον, μείζονά εἰσι τῆς γονῆς καὶ τοῦ καταμηνίου τοῦ συνιστῶντος ἔλαττον ζῷον. καὶ ὅτι μὲν ἡ τῶν μειζόνων ὅλη 20
20 πλείων ἐστὶ τῆς τῶν ἐλαττόνων, δῆλον καὶ ἐπὶ τῶν τεχνητῶν· τῆς γὰρ μείζονος οἰκίας ἡ ὅλη μείζων ἐστὶ τῆς ἐν τῇ ἐλάττονι καταβαλλομένης· ὥστε καὶ τὴν ὅλην καὶ τὴν γονήν, ἀφ' ὧν γέγονεν ὁ ἐλέφας, ἀνάγκη μείζονας εἶναι τῶν ἀφ' ὧν γέγονεν ὁ κύων. ὥστε ἐπειδὴ ταῦθ' οὕτως ἔχει, πολλὰς μὲν μικρὰς γονὰς ἐκ τοῦ κυνὸς καὶ πολλὰ μικρὰ καταμήνια ἐκ τῆς 25
25 κυνὸς γενέσθαι δυνατόν. εἰ δὲ τοῦτο, καὶ ᾧ τοῦτο ἕπεται· ἦν δὲ τὸ πολλὰ γεννᾶν. διὰ ταῦτ' ἄρα πολυτοκεῖ τὰ μικρά. πολλὰ δὲ μεγάλα ἐκ τοῦ ἐλέφαντος καὶ τοῦ ἄρρενος καὶ τοῦ θήλεος γενέσθαι, κἂν μεγάλοι ὦσι, χαλεπόν. τοῖς δὲ μέσοις τῷ μεγέθει τὸ μέσον ἀπέδωκεν ἡ φύσις, καὶ οὔτε πολυτοκεῖ ὡς τὰ μικρὰ οὔτε μονοτοκεῖ ὡς τὰ μεγάλα. τούτου δέ,
30 φησίν, αἴτιον, τουτέστι τοῦ τὰ μώνυχα μονοτόκα εἶναι, ὅτι ὡς ἐπὶ τὸ πολὺ τὰ μεγέθη διώρισται κατὰ τὰς διαφορὰς ταύτας, τουτέστιν 30
ὡς ἐπὶ τὸ πολὺ συμβέβηκε τὰ μὲν μεγάλα μώνυχα εἶναι, τὰ δὲ διχηλὰ μέσα, τὰ δὲ πολυσχιδῆ μικρά. εἰ τάχα δέ, φησί, καὶ ἀκολουθεῖ τοῖς μωνύχοις τὸ μέγα, τῷ δὲ μεγάλῳ τὸ μονοτόκον, ὁμοίως καὶ τῷ διχηλῷ
35 τὸ μέσον καὶ τῷ μέσῳ τὸ ὀλιγοτόκον, ὁμοίως καὶ ἐπὶ τοῦ πολυσχιδοῦς,

1 μείζων a τὰ μὲν Arist.: τούτων libri 2 τὰ] τὸ IL κατὰ τὸ μέγεθος a Arist. vulg. 7 πολυτόκα] ὀλιγοτόκα IKL, sed supra vers. add. ἢ πολυτόκα K 8 προσειποῦσα I 13 διαιρεθείη K 16 ἑξῆς K τε] μὲν Ka 17 περιειλήφθω IL συνεστῶσα a 20 τῆς ante τῶν om. a 21 ἐστὶ om. K τῇ om. IL 22 ἀφ' ἧς K ἐλέφας—γέγονεν ὁ (23) om. IL 23 ἐπεὶ K 30 μονοτόκα L²: μεγάλα IKL¹a 31 μεγέθει a 33 καὶ om. I ἀκολουθῇ a 34 ὁμοίως δὲ καὶ K

ὅμως οὐ τὸ μώνυχον καὶ τὸ διχηλὸν καὶ τὸ πολυσχιδές εἰσιν αἴτια τῆς 93r
μονοτοκίας καὶ ὀλιγοτοκίας καὶ πολυτοκίας, ἀλλὰ τὸ μέγεθος καὶ ἡ σμικρότης
τῶν σωμάτων. σημεῖον δέ· καὶ γὰρ ὁ ἐλέφας μέγιστον καὶ πολυσχιδὲς καὶ
μονοτόκον, ὥστε εἴπερ αἴτιον ἦν τὸ πολυσχιδὲς τῆς πολυτοκίας, ἔδει τὸν
ἐλέφαντα πολυτόκον εἶναι.

p. 771b15 Τῆς δὲ νῦν ῥηθείσης ἀπορίας μάλιστα ἄν τις θαυμάσειεν ἐπὶ τῶν πολυτόκων.

Ἡ μὲν ἀπορία τοιαύτη, διὰ τί ὥσπερ ὁ εἷς ὀπὸς εἰς τὸ γάλα τὸ ὂν
ἐν τῷ τοιῳδὶ ἀγγείῳ εἰσιὼν οὐ πολλοὺς ποιεῖ τυροὺς ἀλλ' ἕνα, καὶ ὅσῳ
μεῖζον ἂν εἴη καὶ πλέον τὸ ὑπ' αὐτοῦ συνιστάμενον γάλα, τοσούτῳ καὶ ὁ
παγεὶς τυρός ἐστι μείζων, διὰ τί οὖν, ὥσπερ ἐπὶ τούτου, οὐχ οὕτως καὶ
ἐπὶ τῶν πολυτοκούντων ἡ μία γονὴ οὐ ποιεῖ ἐκ τοῦ ἑνὸς καταμηνίου ἓν
ζῷον ἀλλὰ πολλά; προσῆκε γάρ. | θεὶς οὖν τὴν ἀπορίαν κακίζει τοὺς 93v
πειρωμένους αὐτὴν λύειν μὴ καλῶς. ἔλεγον γὰρ οἱ μὴ καλῶς αὐτὴν
λύοντες ὅτι πολλοὺς ἐχούσης τόπους τῆς ὑστέρας καὶ πολλὰς κοτυληδόνας
ἕκαστος τῶν τόπων ἕλκει πρὸς ἑαυτὸν γονήν, καὶ διὰ τοῦτο γίνονται ἐκ
τοῦ ἑνὸς πολλά· ὅσαι γὰρ ἂν εἶεν αἱ ἑλκύσασαι τὸ σπέρμα καὶ δηλονότι
καὶ τὸ καταμήνιον κοτυληδόνες, τοσαῦτά φασι γίνεσθαι καὶ τὰ ζῷα.
ἐγκαλεῖ οὖν τοῖς οὕτω τὴν ἀπορίαν λύουσι λέγων 'τὸ λέγειν οὕτω μηδέν
ἐστι λέγειν· ἐν γὰρ τῷ αὐτῷ καὶ ἑνὶ τόπῳ καὶ τῇ μιᾷ κοτυληδόνι τῆς
ὑστέρας γίνονται δύο ζῷα πολλάκις· ἔδει δὲ ἓν γίνεσθαι ἐν ἑκάστῃ τῶν
κοτυληδόνων, εἴπερ αὗται τῆς διορίσεως καὶ τοῦ χωρισμοῦ ἦσαν αἴτιαι.
ἄλλως τε δὲ καὶ ἐν τοῖς πολυτόκοις οὐχ οὕτω φαίνεται τὰ ἔμβρυα κείμενα
κεχωρισμένα δηλαδὴ ἀπ' ἀλλήλων, ἀλλ' ἐφεξῆς καὶ ἀλλήλων ἁπτόμενα'.
ταῦτα πρὸς τοὺς οὕτω λύειν τὴν ἀπορίαν πειρωμένους ἀποσκώψας, αὐτὸς
λύει αὐτὴν λέγων ὥσπερ γὰρ καὶ τελειωθέντων τῶν ζῴων ἐστὶν
ἑκάστου μέγεθος ὡρισμένον καὶ ἐπὶ τὸ μεῖζον καὶ ἐπὶ τὸ ἔλαττον,
ἅπερ οὐ δύναται ὑπερβῆναι, ὅπερ δὴ καὶ ἐν τῷ πρώτῳ τῆς Φυσικῆς
ἀκροάσεως ἔλαβεν, ὅτε τὴν Ἀναξαγόρειον δόξαν ἤλεγχε τὴν πάντα ἐν πᾶσιν
εἶναι λέγουσαν, ὥσπερ οὖν ἐστιν ἑκάστου μέγεθος ὡρισμένον καὶ ἐπὶ τὸ
μεῖζον καὶ ἐπὶ τὸ ἔλαττον, ἅπερ οὐ δύναται ὑπερβῆναι (οὔτε γὰρ ἴσος τῷ
οὐρανῷ δύναται γενέσθαι ἄνθρωπος οὔτε πάλιν ἴσος κυάμῳ), ἀλλ' ἐπὶ μὲν
τὸ μεῖζον, ὥσπερ λέγομεν, καὶ ἔλαττον ὥρισται ἑκάστου τὸ μέγεθος, ἐν δὲ
τῷ μεταξὺ ἀορισταίνει, καὶ ἐπὶ τούτῳ ἐστὶν ἄλλο ἄλλου μεῖζον καὶ ἔλαττον,

---

6 μάλιστα libri et Arist. Y: μᾶλλον Arist. vulg. 11 ἐστι om. K 15 πολὺν ἔχουσα τόπον ἡ ὑστέρα K: πολλοὺς ἔχουσα τόπους ἡ ὑστ. a 18 κοτυληδόναι I post φασι add. συμβαίνει Ka 21 γένωνται a ἐν ἑκάστῃ ἓν γίνεσθαι coll. IL 22 αὗται τοῦ διορίσαι καὶ τοῦ χωρίσαι K αἴτιοι I 24 δηλονότι K 25 post ταῦτα add. οὖν K πειρωμένους post λύειν ponit a 26 αὐτὴν λύειν a καὶ om. a 28 ἅπερ] ὅπερ Ka ὅπερ δὴ] ὃ K 28. 29 ἐν τῷ πρώτῳ τῆς Φυσικῆς ἀκροάσεως] A 4 31 ἅπερ] ἃ K 32 οὔτε αὖ πάλιν Ka 33 τῷ μεγέθει K 34 τῷ] τὸ a ἄλλος ἄλλου IL μεῖζον καὶ ἔλαττον scripsi: μείζων καὶ ἐλάττων libri

ὥσπερ οὖν ἐπὶ τούτων, οὕτως ἔχει καὶ ἐπὶ τοῦ καταμηνίου· τοῦτο γὰρ εἶπε
ὅλην σπερματικήν· ὥρι|σται γὰρ καὶ τοῦτο καὶ οὐκ ἔστιν ἀόριστον, ὥστε 94ʳ
ἐξ οὗ ἐνδέχεται πέντε γενέσθαι ζῷα, ἓν γενέσθαι, ἢ ἐξ οὗ ἕν, πέντε. εἰ
γὰρ ἐξ οὗ ἦν δυνατὸν πέντε γενέσθαι, ἓν ἐγεγόνει, λίαν ἂν ἦν μέγα καὶ 5
ὑπερβαῖνον τὸν ἐπὶ τὸ μεῖζον ὅρον. ἀλλ' ἀδύνατον· εἴρηται γὰρ ὅτι ὥρισται
καὶ ἐπὶ τὸ μεῖζον καὶ ἐπὶ τὸ ἔλαττον ἑκάστου ζῴου μέγεθος, ἅπερ ὑπερ- 10
βῆναι οὐ δύναται. ὁμοίως δὲ κἂν εἰ ἐξ οὗ ἓν ἔμελλε γενέσθαι, πέντε
ἐγεγόνεσαν, ὑπερέβη ἂν τὸν ἐπὶ τὸ ἔλαττον φυσικὸν ὅρον. ὅσα οὖν,
φησί, τῶν ζῴων διὰ τὴν εἰρημένην αἰτίαν, τουτέστι διὰ τὸ εἶναι 15
μικρὰ τῷ μεγέθει, πλεῖον προΐεται περίττωμα παρόπερ εἰς ἑνὸς ζῴου
ἀρχήν, οὐκ ἐνδέχεται ἓν ἐξ αὐτοῦ γενέσθαι, ἀλλὰ τοσαῦτα ὅσα τοῖς 20
μεγέθεσιν ὥρισται τοῖς ἱκνουμένοις· ἔστι δὲ τὸ ἱκνουμένοις ἴσον τῷ
μέλλουσι γενέσθαι. ἔστι δὲ τὸ λεγόμενον 'ἀλλὰ τοσαῦτα γενήσονται τοῖς
μεγέθεσιν, ἤτοι τῷ πλήθει καὶ τῷ ἀριθμῷ, ὅσα δυνατὸν ἦν γενέσθαι, καὶ 25
οὔτε ὑπέρβασις γενήσεται τοῦ ἀριθμοῦ οὔτε ἔλλειψις'. τὸ δὲ ἐν διαιρου-
μένῳ τῷ σπέρματι μηνυτικόν ἐστιν οὗ πρὸ βραχέος ἡμεῖς ἐμνήσθημεν· 30
ἐλέγομεν γὰρ ὅτι εἰ πέντε γέγεννηται ζῷα, καὶ τὸ σπέρμα καὶ τὸ κατα-
μήνιον εἰς πέντε διῃρέθη. ἐπεὶ δὲ ἡ ἀπορία ἐκ παραδείγματος τοῦ ὁποῦ 35
καὶ τοῦ γάλακτος προέβαινε, λέγει μηδὲν εἶναι τὸ παράδειγμα τὸ τοιοῦτον·
οὐδεμίαν γὰρ ἔχει ὁμοιότητα, εἴπερ ὁ μὲν ὁπὸς τὸ ποσὸν μόνον συνίστησιν,
ἡ δὲ γονὴ αὐτό τε καὶ τὸ ποιόν, ἤτοι τὸ τοιονδὶ εἶδος τοῦ ζῴου. 40

p. 772ᵇ13 Τῶν δὲ πλεοναζόντων μορίων παρὰ φύσιν τὸ αὐτὸ αἴτιον καὶ τῆς διδυμοτοκίας.

Πλεονάζουσι παρὰ φύσιν τὰ μόρια, ὅταν ἑξαδάκτυλος ἄνθρωπος γένηται
ἢ τρίπους, ἢ ἄλλον τινὰ τρόπον τοιοῦτον. λέγει οὖν ὅτι τὸ αὐτὸ καὶ τού- 45
τοις καὶ τῆς διδυμοτοκίας ἐστὶν αἴτιον. ὥσπερ γάρ, φησίν, ἐκεῖ, ἂν πλείω |
ὕλην συστήσῃ ἢ εἰς ἑνὸς ζῴου συμπλήρωσιν, δίδυμα γίνεται, οὕτω καὶ 94ᵛ
ἐπὶ τούτων· ὅταν γὰρ ὕλην λάβῃ εἰς δακτύλου φέρε εἰπεῖν τοῦ μικροῦ 5
καλουμένου συμπλήρωσιν, αὕτη δὲ πλείων ἢ τῆς ἁρμοζούσης, τότε γίνεται
ἄνθρωπος ἔχων τὸν μικρὸν δάκτυλον μείζονα τῶν ἄλλων δακτύλων· τὸ
δ' αὐτὸ καὶ ἐπὶ χειρὸς καὶ ἐπὶ τῶν ἄλλων. ἂν μὲν οὖν μία μείνῃ ἡ 10
ληφθεῖσα ὕλη, γίνεται ὁ εἰρημένος δάκτυλος μέγας, ἂν δὲ σχισθῇ, δύο
ἀνθ' ἑνός, ὥστε συμβαίνει ἀντὶ πέντε ἓξ ἔχειν δακτύλους. ὁμοίως κἂν εἰ 15
πλείων τῆς προσηκούσης ἐλήφθη ὕλη εἰς σύστασιν ἀριστερᾶς φέρε εἰπεῖν
χειρός, εἰ μὲν οὖν μὴ διαιρεθῇ, γεννᾶται ἔχων τὴν ἀριστερὰν χεῖρα μείζονα

1 ὥσπερ—τούτων om. a  οὖν] γὰρ IL  2 καὶ post γὰρ om. a  4 μεγάλοι a
7 οὐκ ἐνδέχεται L  8 ἐγεγόνεισαν IL  12 post τῷ add. τοῖς IL  17 γεγένηται
I: γένηται Ka  καὶ post ζῷα om. a  24 Πλεονάζουσι—διδυμοτοκίας (26) om. IL
τὰ μόρια παρὰ φύσιν coll. a  26 τοῖς διδυμοτόκοις K  φησίν om. Ka
27 ἢ om. K  γίνονται K  29 πλεῖον a  31 ἐπὶ ante τῶν om. Ka
34 πλεῖον a  ἀριστερᾶς om. K  35 ἔχον a  μείζονα—πολὺ (193,1)] πολὺ μείζω K

κατὰ πολὺ τῆς δεξιᾶς, εἰ δὲ σχισθῇ, γίνεται τρίχειρ, δύο μὲν ἔχων ἀριστερᾶς, 94v
μίαν δὲ δεξιάν. ἂν δὲ τὸ σῶμα τοῦ κυήματος σχισθῇ, γεννᾶται τέρας,
ἔχον μίαν μὲν κεφαλήν, δύο δὲ αὐχένας καὶ πλευρὰς τέσσαρας καὶ πόδας 25
τέσσαρας. ὥσπερ γὰρ ὁ εἷς ποταμός, ὅταν ἀντικρούσῃ εἰς πέτραν, εἰς
5 δύο διαιρεῖται, ἑνὸς ὄντος τοῦ ἐπέκεινα τῆς πέτρας, οὕτω καὶ ἐπὶ τούτων 30
κεφαλὴ μὲν μία ἀνάλογος οὖσα τῷ ἐπέκεινα τῆς πέτρας μέρει τοῦ ποταμοῦ,
δύο δὲ τὰ λοιπά, ἀνάλογα πάλιν ταῖν δυοῖν ὑπὸ τῆς πέτρας γεγενημέναιν
συστασέοιν. οἱ δὲ πλεονάζοντες, φησί, δάκτυλοι προσφύονται μὲν πολλάκις 35
ἀλλήλοις, ἐνίοτε δὲ καὶ πόρρω διὰ τὴν γινομένην ἐν τῷ κυήματι κίνησιν.
10 οἷον ὡς ἐπὶ παραδείγματος τοῦ μέρους τῆς χειρός, ὃ καλεῖται καρπός, καὶ 40
τῶν δακτύλων ἕλκει ἡ δακτυλοποιητικὴ δύναμις ὕλην ἀπὸ τοῦ καρποῦ εἰς
σύστασιν τῶν δακτύλων, πλείων δὲ οὖσα τῆς τῶν πέντε συστάσεως δακτύλων 45
πεποίηκεν ἕξ· εἶτα ἡ τοῦ καρποῦ ποιητικὴ δύναμις ἔνδειαν ἔχουσα ὕλης
εἰς ἀναπλήρωσιν τοῦ καρποῦ | διὰ τὸ προαρπάσαι αὐτὴν τὴν δακτυλο- 95r
15 ποιητικὴν κινεῖ καὶ ἕλκει ἀφ' οὗ ἂν εὑρήσῃ περιττὴν ὕλην· εὑρίσκει δὲ 5
τὸν ἕκτον δάκτυλον, ὅστις ἕκτος συνέστη ἀπὸ τῆς ὕλης, ἐξ ἧς ἔμελλεν
ὁ καρπὸς συστῆναι· ὃν λαβοῦσα προσάπτει τῷ καρπῷ. αὕτη ἐστὶν ἡ αἰτία
τοῦ γενέσθαι τινὰς ἔχοντας δάκτυλον ἐν τῷ καρπῷ. ἐνίοτε οὖν, φησί, 10
γίνονται οἱ δάκτυλοι καὶ πόρρω ἀλλήλων διὰ τὸ κινεῖν τὰς δυνάμεις τῆς
20 ψυχῆς τὴν ἐν τῷ κυήματι ὕλην ὁτὲ μὲν πρὸς ἑαυτὴν τὴν δακτυλοποιητικήν,
ὁτὲ δὲ τὴν καρποποιητικήν, ὁτὲ δὲ τὴν κεφαλοποιητικήν· ὁτὲ δὲ οὐ διὰ 15
τοῦτο, ἀλλὰ διὰ τὸ τὴν τῆς ὕλης ὑπεροχήν, ὅθεν ἀφαιρεθῇ, ἐκεῖ ἀπο-
διδόναι. ἡ γὰρ ἀπὸ τοῦ καρποῦ εἰς δακτύλων σύστασιν πλείων ληφθεῖσα 20
τῆς προσηκούσης πάλιν εἰς τὸν καρπὸν ἀποδίδοται καὶ ἀντιστρέφεται· τὸ
25 δὲ εἶδος τοῦ δακτύλου ἔχει ἀπὸ τῆς δακτυλοποιητικῆς δυνάμεως, ὅπου 25
ἐπλεόνασε. τουτέστιν ὅπου πλείων τῆς προσηκούσης ἐλήφθη. ᾧ δὲ
συνέβη δύο αἰδοῖα ἔχειν, ἄρρενος καὶ θήλεος, εἰ μὲν περίνεον ἔχει, τὸ μὲν
ἄρρεν κατὰ φύσιν ὑπάρχον αὐτῷ κύριον γίνεται, τουτέστι τέλειον, τὸ δὲ 30
τοῦ θήλεος ἄκυρον καὶ ἀτελὲς διὰ τὸ καὶ τὴν τροφὴν ἀμαυρὰν λαμβάνειν
30 παρὰ φύσιν ὄν. εἰ δὲ τύχῃ ὑστέραν ἔχον, τοὐναντίον τὸ μὲν τοῦ θήλεος
κύριον γίνεται καὶ τέλειον, τὸ δὲ τοῦ ἄρρενος ἄκυρον καὶ ἀτελές. προσ-
πέφυκε δὲ αὐτοῖς, καὶ οὕτω τρέφεται τὰ παρὰ φύσιν αἰδοῖα, ὥσπερ καὶ τὰ
ἑλκώδη φύματα. ἂν μὲν οὖν πλεονάσασα ἡ ὕλη κρατηθῇ ὑπὸ τῆς γονῆς,
γίνεται ἐν τῷ ἑνὶ ζῴῳ δύο αἰδοῖα ἄρρενος (τούτου γάρ ἐστι δηλωτικὸν τὸ 35

---

3 μὲν μίαν coll. IL 4 πέτρας IL 5 ἓν ὂν τὸ K 5 et 6 ὑπέκεινα a
7 ἀνάλογα—δυοῖν] ἀναλογοῦσι ταῖς δυσὶ a ἀνάλογον K γεγενημέναις Ka
8 συστασέοιν] συστάσεοῖν I: συστάσεων L: συστάσεσι Ka 11 τῶν δ' δακτύλων a
12 δακτύλων post συστάσεως om. K 13 ἕξ] ξ K 14 ἀνάπλασιν IL
14. 15 ἡ δακτυλοποιητικὴ K 15 εὑρήσει Ka 16 ὃς συνέστη K 17 ὃν] ἣν IL
18 γεννᾶσθαι Ka δακτύλους IL 20 τὴν prius om. K ἡ δακτυλοποιητικὴ K
21 ἡ καρποποιητικὴ K ἡ κεφαλοποιητικὴ K 24 ἀντιστρέφει Ka
25 ὅπου] ὅθεν Arist. 26 πλεῖον I 27 δύο om. IL ἄρρενα καὶ θήλεα a
28 ὑπάρχει L[1] αὐτοῦ IL 29 διὰ τὸ—ἀτελές (31) om. K 30 τύχοι Ka
ὑστέραν ἔχον] ὑπερέχον Ka 32 ὡς K 34 ἄρρενα a ἐστι om. K

ὅμοια ἀλλήλοις), εἰ δὲ κρατηθῇ * * γίνονται δύο θήλεα· ἂν δὲ τῇ μὲν 95r
κρατήσῃ, τῇ δὲ κρατηθῇ, ἄρρενος καὶ θήλεος. λέγει δὲ διαφέρειν τὴν
παράφυσιν καὶ τὴν πολυτοκίαν τὸν εἰρημένον τρόπον, λέγων παράφυσιν τὴν
ἑξαδακτυλίαν καὶ τὰ ὅμοια. τὰ δὲ τέρατα πάλιν διαφέρει τῆς πολυτοκίας,
5 ὅτι τὸ μὲν τέρας ἐστὶ πολλῶν ζῴων σύμφυσις, ἡ δὲ πολυτοκία πολλῶν
ζῴων χωρισμός. τῆς δὲ παραφύσεως διαφέρει ἡ πολυτοκία καὶ τὸ τέρας,
ὅτι ἐν τῇ παραφύσει περὶ μόρια ἥμαρτεν ἡ φύσις, ἐν δὲ τοῖς τέρασι περὶ 10
τὰς ὁλότητας· ἐν δὲ τῇ πολυτοκίᾳ κατευστόχησε μᾶλλον καὶ οὐκ ἀπέτυχεν.
ὅμως αὐτὸς νῦν περὶ τῆς παραφύσεως καὶ τοῦ τέρατος λέγει. τὸ δὲ ἔνια
10 δὲ καὶ τοῦτον τὸν τρόπον ἴσον ἐστὶ τῷ ἔνια δὲ τῶν τερατωδῶν κατ'
οὐδένα γίνεται τῶν ῥηθέντων τρόπων, ἀλλὰ μᾶλλον κατὰ τὸν ῥηθησόμενον.
ἀλλὰ καὶ τὸ τὰ δὲ πλείω ἔχοντα ταὐτόν ἐστι τῷ τὰ δὲ δύο ἔχοντα
καρδίας, ὥστε ὡς μὲν συμπεφυκὸς ἓν αὐτὸ δεῖ λέγειν, ὡς δὲ δύο ἔχον
καρδίας δύο. ἀλλὰ καὶ τῶν οὐ δοκούντων ἀναπήρων εἶναι ἀλλὰ τελείων 15
15 τινὰς τῶν πόρων λέγει συμπεφυκέναι, καὶ καταλέγει πάντα σαφῶς. τισὶ 15
δὲ συνέβη ὄρχεις μὲν ἔχειν καὶ αἰδοῖον, ἔχειν δὲ τὸ αἰδοῖον κάτωθεν τῶν
ὄρχεων, ὥστε δοκεῖν ἅμα ἄρρενος ἔχειν αἰδοῖον καὶ θήλεος· τῶν γὰρ ὄρχεων
ἄνω ἀνασπασθέντων ἐμφέρεια θήλεος αἰδοίου ἀποτελεῖται. λέγει δὲ καὶ
ὅτι βοῦς θήλεια ἐ|γεγόνει ἐν Περίνθῳ συμπεφυκότα ἔχουσα τὸν πόρον, 95v
20 δι' οὗ ἕξεισιν ἡ τῆς ξηρᾶς τροφῆς περίττωσις, ἥτις ξηρᾶς τροφῆς περίττωσις
ἐξήρχετο διὰ τῆς κύστεως καὶ τοῦ αἰδοίου, δι' οὗ καὶ ἡ τῆς ὑγρᾶς τροφῆς
περίττωσις, καὶ πολλάκις ἀνατμηθέντος τοῦ ἀρχοῦ, τουτέστι τοῦ ἀπευ-
θυσμένου ἐντέρου τῆς τοιαύτης βοός, πάλιν συνεφύετο.

p. 773a32 Τῶν δὲ ζῴων τὰ μὲν ὅλως οὐκ ἐπικυΐσκεται.

25 Ἐπικυΐσκεσθαι λέγεται ζῷα, ὅσα μετὰ τὴν σύλληψιν ὀχευθέντα πάλιν 5
ἕτερα συλλαμβάνονται· καὶ τῶν ἐπικυϊσκομένων, φησί, τὰ μὲν τελειοῖ καὶ
τὰ ἐκ τῆς πρώτης ὀχείας συλληφθέντα καὶ τὰ ἐκ τῆς δευτέρας, τὰ δ' οὔ, 10
ὧν τὰς αἰτίας ἐρεῖ προϊών. εἰπὼν δὲ ὅτι τὰ μεγάλα τῶν ζῴων οὐκ ἐπι-
κυΐσκεται ὅλως, γοργῶς τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν διὰ γὰρ τὸ 15
30 μέγεθος τὸ περίττωμα ἀναλίσκεται εἰς τὸ κύημα, τουτέστι διὰ
γὰρ τὸ μέγεθος τοῦ κυήματος (τῶν γὰρ μεγάλων ζῴων καὶ τὰ κυήματα
μεγάλα) διὰ δὴ τὸ μέγεθος τοῦ κυήματος ἀναλίσκεται εἰς αὐτὸ τὸ περίττωμα, 20
καὶ ἢ οὐδ' ὅλως λείπεταί τι, ἢ κἂν λειφθῇ, ἀλλὰ πάμπαν ὀλίγον ἐστὶ

1 lacunam indicavi: addendum ἡ γονὴ ὑπὸ τῆς ὕλης γίνεται Ka 2. 3 τὴν παρὰ φύσιν libri 3 τὸν εἰρημένον τρόπον L² Arist.: τρόπον om. IL¹: τῶν εἰρημένων Ka 4 πολυτόκοις a 7 τῇ παρὰ φύσιν IL περὶ τὰ μόρια a 10 τὸν om. a 11 post οὐδένα add. τρόπον a 13 μὲν om. IL 14 ἀλλὰ post εἶναι om. IL 15 πόρων] ἀπόρων I et fort. L 16 μὲν] μὴ K ἔχει δὲ a 19 post βοῦς add. τις IKa περίνθῳ a 22 ὀρχοῦ IL 22. 23 ἀπευθυνομένου K 23 πάλιν om. IL 25 λέγει τὰ ζῷα Ka 28 μεγάλα] μὲν a 29 τούτου ante τὴν ponit K 31 τοῦ κυήματος—κυήματος (32) in ras. L 33 λειφθῇ scripsi: ληφθῇ libri

πρὸς τοιούτου κυήματος σύστασιν. τὰ δὲ πολυτόκα, φησίν, ἐπικυΐσκεται, 95v
καὶ τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν διὰ τὸ καὶ τῶν πλειόνων τοῦ
ἑνὸς εἶναι θατέρῳ θάτερον ἐπικύημα, πλείονα ἑνὸς λέγων τὰ δύο,
τὰ τρία καὶ τοὺς ἐφεξῆς ἅπαντας ἀριθμούς. ἔστι δὲ τὸ λεγόμενον 'ἐπὶ 30
5 τῶν πολυτόκων τῶν πλείονα ἑνὸς γεννώντων θάτερον θατέρου ἐπικύημά
ἐστιν· οὐ γὰρ ἅμα τελειοῦνται, ἀλλὰ πρῶτον μὲν τόδε, ὅπερ καὶ πρῶτον 35
γεννᾶται, δεύτερον δὲ τελειοῦται τὸ μετὰ τὸ πρῶτον γεννηθέν, καὶ ἔστι
τὸ δεύτερον ἐπικύημα τῷ πρώτῳ, καὶ τὸ τρίτον τῷ δευτέρῳ, καὶ ἐφεξῆς'.
ὅτι δὲ οὐχ ἅμα πάντα τελειοῦνται, δῆλον καὶ ἀπὸ τοῦ καιροῦ τῆς κυήσεως·
10 πολλάκις γὰρ γεννᾷ ἡ ὗς ἢ ἡ κύων ἢ ἄλλο τι τῶν πολυτόκων ἐν μὲν τῇ 40
πρώτῃ φέρε εἰπεῖν ὥρᾳ τῆς ἡμέρας ἓν ἢ δύο, ἐν δὲ τῇ δεκάτῃ ἄλλο,
καὶ ἐν τῇ μετ' ἐκείνην ἕτερον, ὡς δηλονότι μὴ ἅμα τελειωθέντων. ἐπεὶ
οὖν ἐπὶ τούτων ἄλλῳ ἄλλο ἐπικύημά ἐστι, καὶ εὐφυὴς ἡ τούτων φύσις
ὑπάρχει πρὸς τὸ ἐπικυΐσκεσθαι, ἡ ἀπὸ τῆς μετὰ τὴν σύλληψιν ὀχείας
15 γονὴ εἰσελθοῦσα καὶ βραχείας ὕλης λαβομένη διὰ τὸ καὶ τὰ κυήματα τῶν
τοιούτων ἐκ βραχείας συνίστασθαι ὕλης συνίστησι καὶ ποιεῖ ἐπὶ τοῖς πρώ-
τοις κυήμασιν ἕτερα κυήματα· καὶ διὰ τοῦτο γεννῶνται πρῶτον μὲν τὰ ἐκ 45
τῆς πρώτης ὀχείας καὶ συλλήψεως, ὕστερον δὲ μετὰ δέκα ἢ εἴκοσιν ἡμέρας
τὰ ἐκ τῆς δευτέρας. οὕτω γὰρ καὶ δύνανται ἐκτρέφεσθαι, ὅταν σύνεγγυς
20 καὶ πλησίον τῇ πρώτῃ συλλήψει γένηται ἡ δευτέρα· ἂν δὲ γένηται ἡ μὲν
πρώτη σήμερον, ἡ δὲ δευτέρα σύλληψις μετὰ τρεῖς ἢ μετὰ δύο μῆ|νας, 96r
ὅταν ἤδη τὸ κύημα αὐξηθῇ, ἢ οὐκ ἐπικυΐσκεται ἢ ὀλιγάκις. εἰπὼν δὲ
ἤδη γὰρ ὦπται τὸ τοιοῦτον συμβεβηκὸς ἐπήγαγεν αἴτιον δὲ τὸ
εἰρημένον, λέγων εἰρημένον τὸ διὰ τὸ καὶ τῶν πλειόνων τοῦ ἑνὸς
25 εἶναι θατέρῳ θάτερον ἐπικύημα. ἐν δὲ τῇ λέξει τῇ μέχρι τῶν
κυουμένων ταῖς γυναιξὶ κυούμενα νῦν λέγει τοὺς καιροὺς τῶν τόκων.
τὸ δὲ τῆς λέξεως συνεχὲς τοιοῦτόν ἐστι 'διὰ τὸ ὡς τὰ πολλὰ τὴν ὑστέραν 5
ταῖς γυναιξί, τουτέστι τῶν γυναικῶν, συμμύειν μέχρι τοῦ καιροῦ τῆς κυή-
σεως· τότε δὲ ἀνοίγεται, ἵνα ἐξέλθῃ τὸ ἔμβρυον'. τὸ δὲ ἂν δὲ συμβῇ
30 ποτε ταὐτόν ἐστι τῷ ἂν δὲ συμβῇ ποτε ἀνεῳγμένην εἶναι τὴν ὑστέραν
καὶ διὰ τοῦτο γενέσθαι ἐπικύησιν, γίνεται ταῦτα πάντα, ἅπερ σαφῶς κατα-
λέγει. ὥσπερ δέ, φησίν, ἐπὶ τῶν μονοτόκων διὰ τὸ μέγεθος τοῦ κυήματος
εὐθὺς ἐν τῇ πρώτῃ συστάσει ἀνήλωται πᾶσα ἡ ὕλη εἰς αὐτό, διὸ καὶ οὐ
δύναται ἕτερον συστῆναι, οὕτω καὶ ἐπὶ τῶν πολυτόκων ὅταν αὐξηθῶσι 10
35 τὰ κυήματα, ὅτε καὶ πλείονος δέονται τροφῆς, οὐκ ἐῶσι τοσαύτην περιτ-

---

2 post ἐπήγαγεν add. αὐτὸς K καὶ τῶν πλειόνων Ka Arist. PS: καὶ πλειόνων IL: τὰ πλείονα Arist. vulg. 3 πλείω K τὰ δύο om. IL post δύο add. ἢ K 4 et 8 ἑξῆς K 6 ὅπερ] ὃ K 12 ἐν om. K τῷ a 13 ἐπὶ τοσούτων a καὶ om. K post καὶ add. ἡ a 14 ὑπάρχει om. K 15 λαμβανομένη IL 15. 16 τῶν τοιούτων om. IL 16 συνίησι l τοῖς om. a 17 πρῶτα K 18 τῆς om. K ἡμέρας post δέκα ponit a 19 ἐγγὺς K 21 μετὰ post ἢ om. K 24 τὸ καὶ διὰ τὸ coll. IL 25 ante μέχρι add. καὶ IL 26 κυούμενα] κυουμένων Ka 29 τότε γὰρ a ἐξέλθοι IL ἂν καὶ συμβῇ a

τεῦσαι. ὁπόση δὴ εἰς ζῴου σύστασιν ἀρκεῖ· [ἂν δὲ σύνεγγυς γένηται ἡ 96ᵛ
ὀχεία] ἂν δὲ σύνεγγυς τῇ πρώτῃ ὀχείᾳ ἡ δευτέρα γένηται, ὅταν πάμπαν
ἐστὶ βραχέα τὰ κύήματα καὶ ὀλίγης δεόμενα τροφῆς. συνίσταται κύήματα·
περιττεύει γὰρ ἡ ὕλη τότε ἀρκοῦσα εἰς κυήματος σύστασιν.

5 p. 773ᵇ22 Ὁμοίως δὲ διὰ τὸ τὸν ἄνθρωπον φύσει πολυτόκον εἶναι, καὶ περιεῖναί τι τῷ μεγέθει τῆς ὑστέρας καὶ τοῦ περιττώματος.

Διὰ τούτων τὴν αἰτίαν τίθησι τοῦ διὰ τί μόνη ἡ γυνὴ καὶ ἡ ἵππος 15
ἀπὸ πάντων τῶν θηλέων μετὰ τὴν σύλληψιν ὀχεύονται. οὐδὲν γὰρ τῶν
10 ἄλλων μετὰ τὸ συλλαβεῖν ἀνέχεται ὀχευθῆναι πλὴν γυναικὸς καὶ τῆς
ἵππου· αὗται γὰρ καὶ μετὰ τὴν σύλληψιν ἄχρι τοῦ τόκου ὀχεύονται. πάνυ 20
δ' ἀσαφῶς καὶ μεμελανωμένως ἐπάγει τὰς αἰτίας. τέως δὲ τοῦ τὴν γυναῖκα
καὶ μετὰ τὸ πληρωθῆναι ἐπιθυμεῖν ὁμιλίας καὶ ὀχεύεσθαι αἴτιον ἐπήγαγε 25
τὸ διὰ τὸ τὸν ἄνθρωπον φύσει πολυτόκον εἶναι καὶ περιεῖναί τι
15 τῷ μεγέθει τῆς ὑστέρας καὶ τοῦ περιττώματος. εἴη δ' ἂν τὸ τῆς 30
λέξεως κατάλληλον τοιοῦτον 'μόνα ἀπὸ τῶν ἄλλων ζῴων κυοῦντα καὶ κατὰ
γαστρὸς ἔχοντα ὀχεύεται γυνὴ καὶ ἵππος. ἡ μὲν οὖν γυνὴ διὰ τὸ τὸν
ἄνθρωπον φύσει πολυτόκον εἶναι καὶ διὰ τὰ ἑξῆς τῆς λέξεως'. ἔστι δὲ τὸ 35
λεγόμενον ὡς συλλεξαμένοις εἰπεῖν τοιοῦτον· ἐπειδὴ ἡ ἄνθρωπος πολυτόκος
20 τέ ἐστιν, ἔχει δὲ καὶ τὴν ὑστέραν κάτω πρὸς τοῖς ἄρθροις, ὅταν συλλά- 40
βηται, οὐ πληροῦται ἡ ὑστέρα ὑπὸ τοῦ ἑνὸς ἐμβρύου, ὥστε μὴ δύνασθαι
καὶ ἕτερον δέξασθαι. εἰ γὰρ ἐπλήρου αὐτὴν τὸ ἕν, οὐδέποτε ἂν δύο ἢ 45
τρία ἔτεκεν· οὐ γὰρ ἂν εἶχε τούτων χώραν ἡ ὑστέρα πεφυκυῖα πληροῦσθαι
ὑφ' ἑνός. ἐπεὶ | οὖν χώραν ἔχει δέξασθαι καὶ ἄλλο ἢ ἄλλα (τούτου γάρ 96ᵛ
25 ἐστι δηλωτικὸν τὸ καὶ περιεῖναί τι τῷ μεγέθει τῆς ὑστέρας), ὅταν
περιῇ καὶ ἐναπομείνῃ καὶ τοῦ καταμηνίου τι (πάντως δ' ἐναπομένει διὰ 5
τὸ πολὺ περίττωμα ἐκκρίνειν τὴν γυναῖκα) ὅταν οὖν ἐναπομείνῃ καὶ τοῦ
καταμηνίου τι, μὴ μέντοι τοσοῦτον, ὥστε καὶ ἕτερον ἐξ αὐτοῦ συστῆναι 10
δύνασθαι ζῷον, διερεθίζεται αὐτή τε ἡ ὑστέρα ὑπὸ τοῦ καταμηνίου πρὸς
30 μῖξιν, καὶ συνδιερεθίζει καὶ τὸ αἰδοῖον διὰ τὴν γειτνίασιν, ἐν ᾧ αἰδοίῳ 15
γίνεται ἡ ἁφὴ καὶ ἡ ἡδονή. μικρᾶς γὰρ τοῦτο κινήσεως τυχὸν ἀπὸ τῆς
ὑστέρας κινεῖταί τε καὶ ἐκμαίνεται, ὁμοίως δὲ καὶ ἡ ὑστέρα ἐκβακχεύεται
διά τε τὴν τοῦ καταμηνίου διερέθισιν καὶ διὰ τὴν χώραν· βούλεται γὰρ 20
μᾶλλον εἶναι πλήρης ἢ κενή. ἐπεὶ οὖν ἡ γυνὴ καὶ μετὰ τὴν σύλληψιν
35 διὰ τὸ φύσει ὑγρὸν καὶ ψυχρὸν αὐτῆς προΐεται περίττωμα ὡς ἐπὶ τὸ πολὺ 25
πλέον μὲν ἢ ὅσον ἀρκεῖ εἰς τροφὴν τῷ κυήματι, ἔλαττον δὲ ἢ ὥστε γενέ-

1 ἂν δὲ—ὀχεία (2) delevi 2 post δὲ add. γε la 4 ἡ om. Ka κυημάτων Ka
8 τοῦ] τὴν K: οὕτως IL¹ μόνη post γυνὴ ponit K 9 ὀχεύεται Ka 14 τι
om. IL 15 καὶ—περιττώματος om. K 16 ἀπὸ om. K 19 ἐπεὶ Ka
23 παραπεφυκυῖα a 25 καὶ om. a 26 πάντως—καταμηνίου τι (28) om. IL
δ' ἐναπομένῃ a 27 πολλὴν περίττωσιν a 29 αὐτό K 31 post γίνεται
add. καὶ Ka 32 δὲ om. K 33 τοῦ om. I 35 περίττωσιν a

σθαι ἕτερον ἐξ αὐτοῦ, ἀνάγκη διερεθίζεσθαι αὐτὴν ὑπ' αὐτοῦ, ὥσπερ καὶ 96v
τὰ ἄρρενα ὑπὸ τῆς προϋπαρχούσης γονῆς. εἰπὼν δὲ ὡς ἐπὶ τὸ πολὺ
πρόεσθαι τοιοῦτον περίττωμα, διότι οὐκ ἀεὶ τὸ περιττεῦον ἔλαττόν ἐστιν ἢ
ὥστε συστῆναι ἕτερον κύημα ἐξ αὐτοῦ· εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν ἐπεκυίσκετο
γυνή· ἀλλ' ἔστιν ὡς ἐπὶ τὸ πολὺ ἔλαττον. ἡ μὲν οὖν γυνὴ διὰ ταύτας τὰς
αἰτίας ἐπιθυμεῖ ὀχείας καὶ μετὰ τὴν κύησιν, ἡ δ' ἵππος, φησί, διὰ τὴν
τοῦ σώματος στερρότητα· λέγει δὲ στερρὰ τὰ πυκνοτάτην ἔχοντα τὴν ὑστέραν,
ὥστε μὴ δύνασθαι διαπνεῖσθαι τὸ καταμήνιον. προΐεται μὲν γὰρ καὶ ἵππος
ὀλίγον περίττωμα, ὥσπερ καὶ τὰ ἄλλα ζῷα, ἀλλ' ἐκείνων εἰ καὶ συμμε-
μύκασιν αἱ ὑστέραι μετὰ τὴν σύλληψιν, ὅμως | διαπνεῖται διὰ τὴν τῆς 97r
ὑστέρας μανότητα καὶ σομφότητα καὶ οὐ μένει, ἵνα νύξῃ καὶ διερεθίσῃ
αὐτήν· ἐπὶ δὲ τῆς ἵππου διαπνευσθῆναι οὐ δύναται διὰ τὸ πυκνὴν εἶναι
καὶ στερράν, ἐνὸν δὲ ἐν αὐτῇ κινεῖ καὶ διερεθίζει πρὸς ἐπιθυμίαν μίξεως.
ὥσπερ οὖν ἐν τοῖς ἄρρεσι γίνεται τὸ ἀφροδισιάσαι, τουτέστιν ἐπιθυμία ἀφρο-
δισίου διὰ τὸ σπέρμα, οὕτω καὶ τούτοις διὰ τὸ καταμήνιον. πάσχουσι δὲ
τοῦτο αἱ γυναῖκες οὐ διὰ τὴν πύκνωσιν τῆς ὑστέρας, ἀλλὰ διὰ τὸ πλῆθος
τοῦ καταμηνίου καὶ χώραν τῆς ὑστέρας, αἱ δὲ ἵπποι διὰ πύκνωσιν. τοῦ
δὲ τὸ καταμήνιον διερεθιστικὸν εἶναι σημεῖον παρέθετο τὰς ἀκρατεῖς τῶν
γυναικῶν· αὗται γὰρ πρότερον μὲν διὰ τὸ τοῦ περιττώματος πλῆθος ἀκρα-
τεύονται, ὕστερον δὲ παύονται διὰ τὸ ἀναλωθῆναι ὑπὸ τοῦ πολλὰ τεκεῖν
τὴν ἐποξύνουσαν καὶ διεγείρουσαν αὐτὰς ὕλην. τῶν δὲ ὀρνίθων, φησί,
μᾶλλόν εἰσιν ἀφροδισιαστικὰ τὰ ἄρρενα ἤπερ τὰ θήλεα. εἴρηται γὰρ ὅτι
τῶν γυναικῶν αἱ ὑστέραι πλησίον οὖσαι τοῖς ἄρθροις, τουτέστι τοῖς αἰδοίοις,
ἀπὸ τῆς ἐν ἐκείνῃ κινήσεως συγκινούμενον αὐτῇ τὸ αἰδοῖον ὀρέγεται μίξεως.
ἐπειδὴ γὰρ καὶ ἡ ἁφὴ καὶ ἡ ἡδονὴ ἐν τῷ αἰδοίῳ γίνεται, ἡ μὲν ὑστέρα
κινηθεῖσα ὑπὸ τοῦ καταμηνίου κινεῖ τὸ αἰδοῖον, τοῦτο δὲ τὸ ζῷον. ἐν δὲ
τοῖς ὄρνισιν ἄνω πρὸς τῷ ὑποζώματι οὖσα ἡ ὑστέρα καὶ μὴ πλησίον τοῦ
πόρου, ὃς ἀναλογεῖ τῷ αἰδοίῳ, οὐ διερεθίζει πυκνὰ τὸ ζῷον. τὸ γὰρ ζῷον
κυρίως ὑπὸ τοῦ αἰδοίου κινεῖται· ἐν τούτῳ γὰρ ἔχει καὶ τὴν τῆς ἡδονῆς
αἴσθησιν. καὶ τὰ μὲν οὖν θήλεα τῶν ὀρνίθων διὰ τοῦτο μόλις καὶ ὀλιγάκις
ὀρέγεται μίξεως· τὰ δ' ἄρρενα, ὡς εἴρηται ἐν τῷ πρώτῳ βιβλίῳ περὶ τῶν
ἀνθρώπων, τότε μάλιστα ἥδεται, ὅταν ἀνασπασθῶσιν οἱ ὄρχεις ἄνω· τότε
γὰρ ἤδη καὶ ἡ γονὴ ἐξακοντισθῆναι σπεύδει· τὰ δὴ ἄρρενα ἀνεσπασμένους
ἔχοντα ἄνω τοὺς ὄρχεις τρόπον τινὰ ἐν ἡδονῇ τυγχάνουσιν ὄντα, ὥστε ἂν
τύχωσιν ὄντα σπερματικά, ἀεὶ δέονται τῆς τοιαύτης ὁμιλίας. λέγει δὲ τὸν

1 ὡς K 4 ἕτερον συστῆναι coll. K οὐκ ἂν] κἂν L: ex οὐκ ἂν corr. l
6 φησί om. a 9 post ὀλίγον add. δὲ a ὡς K 9. 10 συμβεβήκασιν lK
11 μένη a 12 αὐτά Ka 13 πρὸς ἐπιθυμίαν] προθυμίαν a 14. 15 ἀφροδισίας a:
fort. ἀφροδισίων 17 post διὰ add. τὴν Ka 18 ἀκρατοῦς a 20 πολλάκις a
21 ἐποξύνουσαν] ὑποξαίνουσαν lL 25 ἐπεὶ Ka ἡδονὴ] δὴ K 27 ὄρνεσι a
28 διερεθίζεται K πυκνὰ om. K 30 οὖν om. K ὀλιγάκις] ὀλίγης a
31 ἐν τῷ πρώτῳ βιβλίῳ] A 4. 20 τῶν om. Ka 32 ἀναρπασθῶσι a
33 ἐξακοντισθεῖσα L δὴ] δὲ Ka ἀνεσπασμένα l

δασύπουν μὴ μόνον ἐκτὸς τῶν γνάθων ἔχειν τρίχας, ἀλλὰ καὶ ἐντὸς διὰ 97ʳ τὸ περιττωματικώτατον εἶναι. διὰ τὸ πεφυκέναι δὲ τὸν δασύπουν μετὰ πολὺν χρόνον τῆς συλλήψεως ἐπικυΐσκεσθαι τὰ μὲν ἔχει ἀτελῆ τὰ ἐκ τῆς 45 δευτέρας συλλήψεως, ἕως ἂν τελειώσῃ, τὰ δ' ἐκ τῆς πρώτης τέλεια ὄντα 5 προΐεται. λέγει δὲ καὶ διὰ τί τὰ πολυτόκα τῶν πολυσχιδῶν ἀτελῆ τίκτει τὰ ἔμβρυα, ὥσπερ ἡ κύων τυφλά· ἀτελῆ γὰρ τὰ τυφλά. ἔστω δὲ ἡμῖν ὁ λόγος ἐπὶ τῆς κυνός· νέα μέν, τουτέστι πάνυ σμικρὰ ὄντα τὰ κυήματα καὶ διὰ τοῦτο ὀλίγης δεόμενα τροφῆς δύναται τρέφειν αὐτὸ τὸ ἐκ τῆς κυνὸς περίττωμα, καὶ διὰ τοῦτο ἔχει καὶ φέρει αὐτὰ | κατὰ γαστρός. ὅταν δ' 97ᵛ 10 αὐξηθῇ καὶ λάβῃ μέγεθος, οὐ δυναμένη τρέφειν αὐτὰ διὰ τὴν ὀλιγότητα τοῦ περιττώματος προΐεται ἀτελῆ· εἰ γὰρ ἠδύνατο τρέφειν, εἶχεν ἂν ἕως οὗ ἐτελείωσε. τὸ δὲ καὶ γὰρ τούτων τὸ τούτων περὶ τῶν πολυσχιδῶν καὶ πολυτόκων εἴρηκεν, ἀλλ' οὐ περὶ τῶν σκωληκοτοκούντων. λέγει δὲ τὴν ὖν ἐπαλλάττειν, τουτέστι καὶ διχηλὸν εἶναι καὶ μώνυχον, ἀλλ' εἰ καὶ 15 μώνυχές εἰσιν αἱ ὗες, φησίν. ἀλλ' οὖν οὐκ ἔχουσι μέγα μέγεθος ὥσπερ 5 τὰ κυρίως μώνυχα· τούτου γάρ ἐστι μηνυτικὸν τὸ τοῦτο γὰρ ὡς μώνυχον οὐκ ἔχει μέγεθος, τουτέστιν οὐκ ἔχει μέγα μέγεθος ὡς τὰ μώνυχα, ἀλλὰ μικρόν, καὶ διὰ τὸ μὴ ἔχειν μέγεθος πολυτοκοῦσι. τὸ δὲ ἅμα δὲ καὶ μᾶλλον ὥσπερ ἀμφισβητοῦν τῇ φύσει τῇ τῶν μωνύχων 20 διχηλόν ἐστι τοιοῦτόν ἐστι· βούλεται ἡ φύσις μώνυχον τὸ τοιοῦτον γένος ποιῆσαι, ὥσπερ δὲ ἀμφισβητοῦν τῇ φύσει καὶ ἐναντίον αὐτῇ φερόμενον ἐκ μωνύχου διχηλὸν γίνεται ἐπικρατῆσαν δηλαδή, κρατησάσης δὲ τῆς φύσεως 10 μώνυχον. τελειοῖ δὲ αὐτὰ ἐν ἑαυτῇ ἡ ὖς, καίτοι πολυτόκος οὖσα, διὰ τὴν εὐβοσίαν καὶ εὐτροφίαν καὶ λιπαρότητα τοῦ σώματος. καὶ τῶν πολυ- 25 τοκούντων ὀρνίθων οἱ ἐκ τῶν ᾠῶν νεοττοὶ τυφλοὶ ἐξέρχονται· διὰ γὰρ τὴν πολυτοκίαν οὐ γίνεται τὰ κυήματα τοιαῦτα ὥστε τὰ ἐξ αὐτῶν τέλεια γίνεσθαι. λέγει δὲ καὶ ὅτι ἄν τις τῶν χελιδόνων πάνυ νέων οὐσῶν ἐκκεντήσῃ τὰ ὄμματα, πάλιν ὑγιάζονται. διὰ τί; διότι ἔτι γίνονται, ἀλλ' οὐ γεγόνασι· τὸ γὰρ γινόμενον κἂν ἐκκοπῇ ἢ ἐκκεντηθῇ, πάλιν φύει διὰ τὴν ὁρμὴν 15 30 καὶ τὴν κίνησιν, ἣν ἔχει ἔτι εἰς τόδε ἀπὸ τοῦδε.

p. 774ᵇ34 Ὅλως δὲ προτερεῖ μὲν τῆς τελειογονίας διὰ τὴν ἀδυναμίαν τοῦ ἐκτρέφειν.

Ὅλως δέ, φησί, προτερεῖ μὲν ἡ κύησις καὶ προγίνεται τῆς τῶν ἐμβρύων τελειώσεως διὰ τὸ μὴ δύνασθαι τὴν μητέρα θρέψαι καὶ τελειῶσαι δι' ἔνδειαν 20

1 τῶν om. a 4 τελειώσει a 6 ὡς K 7 σμικρὰ πάνυ coll. IL
8 αὐτὸ scripsi: αὐτὰ libri 11 τοῦ] τὰ L² περιττώματος] κυήματος IL
13 σκληροτοκούντων IL 14 καὶ post τουτέστι om. K 15 αἱ om. Ka
υἷες I οὖν om. K 16 γάρ prius om. a 17 οὐκ ἐστὶ μέγεθος IL¹
21 ἐναντίως K αὐτῷ IL 23 ἐν αὐτῇ a 24 εὐβοσίαν ex corr. L²:
εὐοδίαν K: εὐωδίαν, ut vid., I: εὐπάθειαν a 27 ὄντων Ka 28 ὅτι K
διότι ἐπιγίνονται IL 29 κεντηθῇ K 30 ἔτι om. K ἀπὸ τοῦδε εἰς τόδε
coll. Ka 33 καὶ προγίνεται om. L

τροφῆς, καὶ ἔμπαλιν ἀτελῆ γίνεται καὶ τίκτεται διὰ τὸ προτερεῖν τὴν 97v
κύησιν. λέγει δὲ καὶ ἐν τοῖς ἀνθρώποις μᾶλλον γίνεσθαι ἀνάπηρα τὰ
ἄρρενα ἤπερ τὰ θήλεα διὰ τὸ μᾶλλον τῶν θηλειῶν κινεῖσθαι ἐν τῇ μήτρᾳ
ὄντα· μᾶλλον δὲ κινοῦνται, διότι καὶ μᾶλλον θερμότερα.

p. 775 a 9 Διὰ τὴν αὐτὴν δὲ ταύτην αἰτίαν καὶ τελειοῦνται τὰ θήλεα τοῖς ἄρρεσιν οὐχ ὁμοίως ἐν ταῖς γυναιξίν.

Τὸ ἐν ταῖς γυναιξὶν ἴσον ἐστὶ τῷ ἐν ταῖς ὑστέραις ὄντα τῶν γυναικῶν. τὸ δὲ λεγόμενόν ἐστι λύσις ἀπορίας τινός· ἠπορεῖτο γάρ, διὰ τί ἐν τῇ μήτρᾳ ὄντα τὰ θήλεα καὶ τὰ ἄρρενα οὐχ ὁμοίως τελειοῦνται, ἀλλὰ τὰ μὲν ἄρρενα ἐν τῷ ἑβδόμῳ ἢ ἐνάτῳ μηνί, τὰ δὲ θήλεα ἐν τῷ ὀγδόῳ ἢ δεκάτῳ· ταχύτερον ἄρα τὰ ἄρρενα ἐν τῇ ὑστέρᾳ τελειοῦνται, τὰ δὲ θήλεα βραδύτερον. ὥστε οὐχ ὁμοία ἡ τελείωσις ἀμφοῖν, ἀλλ' ἀνομοία, εἴπερ ἀνόμοιον τὸ τα|χὺ τῷ βραδεῖ, ἀλλ' ἐν μὲν τῇ μήτρᾳ τὸ θῆλυ ἐπὶ 98r
τῶν ἀνθρώπων βραδύτερον τελειοῦται, τὸ δ' ἄρρεν ταχύτερον. θύραζε δ' ἐξελθόντα ἀνάπαλιν· ταχύτερον γὰρ εἰς τὴν ἀκμὴν ἡ γυνὴ ἔρχεται καὶ τὴν τοῦ σώματος τελείωσιν ἤπερ ὁ ἀνήρ. ἡ μὲν γὰρ γυνὴ σχεδὸν ἐν τῷ πεντεκαιδεκάτῳ, ὁ δ' ἀνὴρ ἐν τῷ τριακοστῷ ἔτει. λύει δὲ ταύτην τὴν ἀπορίαν λέγων διὰ τὴν αὐτὴν αἰτίαν ταῦτα συμβαίνειν, δι' ἣν καὶ τὰ ἄρρενα μᾶλλον ἀνάπηρα γίνεται ἤπερ τὰ θήλεα· ψυχρότερα γὰρ ὄντα τὰ θήλεα πλείονος δεῖται χρόνου εἰς τὸ πεφθῆναι καὶ τελειωθῆναι, τὰ δ' ἄρρενα διὰ τὴν θερμότητα ταχύτερον· τὸ γὰρ θερμότερον εὐπεπτότερον. ἐντὸς μὲν οὖν διὰ τοῦτο τὰ ἄρρενα ταχύτερον τελειοῦνται, βραδύτερον δὲ τὰ θήλεα, ἐκτὸς δὲ ἀνάπαλιν· ἀσθενέστερα γὰρ ὄντα τὰ θήλεα διὰ τὴν ψυχρότητα ταχὺ συνάπτει πρὸς τὸ γῆρας καὶ τὴν φθοράν. τὰ γὰρ ἀσθενέστερα ταχύτερον γηράσκει καὶ φθίνει, ὥστε διὰ τοῦτο καὶ πρὸς τὴν ἀκμὴν ταχὺ φθάνει· τὸ γὰρ πρότερον γηράσκον καὶ πρότερον ἀκμάζει. ἄλλως τε, φησίν, ὥσπερ ἡ τέχνη καὶ ὁ εἷς τεχνίτης ἐν ὀλίγῳ μὲν χρόνῳ τὸ δεκαμεδιμναῖον φέρε εἰπεῖν τελειοῖ ἀκάτιον, ἐν πλείονι δὲ τὸ ἑκατονταμεδιμναῖον, οὕτω καὶ ἡ φύσις τὰ θήλεα ὡς ἐλάττω ταχὺ τελειοῖ καὶ ἄγει εἰς τὴν ἀκμήν, καὶ διὰ τοῦτο καὶ εἰς τὸ γῆρας, τὰ δ' ἄρρενα βραδέως ὡς μείζονα. καὶ ἐπεί, ὡς εἴρηται, ἐν ἀνίσοις χρόνοις τελειοῦται τὸ ἄρρεν καὶ τὸ θῆλυ, εἰκότως ὅταν ἡ γυνὴ δίδυμα τέκῃ, καὶ τὸ μέν ἐστιν αὐτῶν ἄρρεν τὸ δὲ θῆλυ, ἧττον σώζονται, ἀλλὰ μᾶλλον σώζονται, ὅταν ἢ ἄρρενα ἀμφότερα ἢ (ἴσοι γὰρ ἀλλήλων οἱ τῶν ἀρρένων χρόνοι) ἢ ἀμφότερα θήλεα· ἴσοι γὰρ πάλιν καὶ τούτων οἱ χρόνοι. τὸ δὲ ἀλλὰ ἀνάγκη ἢ τὸ ἄρρεν ὑστερεῖν ἢ τὸ θῆλυ προτερεῖν τοιοῦτόν ἐστιν· εἰ μὲν ἦν τῶν διδύμων τὸ μὲν ἄρρεν

5 τελειοῦται Arist. 7 ἐν τῇ ὑστέρᾳ K 9 τῇ om. K 12 ὁμοίως K 15 ἐξελθόντων K ἡ γυνὴ ante εἰς ponit K 16 γὰρ] οὖν IL 17 πέντε καὶ δεκάτη a: ε (sic) K λύει] λέγει IL 18 συμβαίνει Ka 19 ἤπερ] ἢ K 21 εὐπρεπτότερον I 25 post ταχύτερον add. καὶ Ka 26 ante γηράσκον add. καὶ Ka 28. 29 ἡ φύσις καὶ coll. IL 33 ἢ ὅταν coll. K 33 et 34 ἄμφω K 34 θήλει a

τὸ δὲ θῆλυ, καὶ ἐτελειώθη τὸ ἄρρεν ἐν τῷ ἐνάτῳ μηνί, οὐκ ἐξήγαγε δὲ 98r
αὐτὸ ἡ φύσις αὐτίκα, ἀλλὰ κατέσχεν, ἕως ἂν τετελείωκε καὶ τὸ θῆλυ
(τετελείωκε δὲ ἐν τῷ δεκάτῳ), εἶτα ἐξήγαγεν αὐτὰ θύραζε ἐν τῇ αὐτῇ 30
καὶ μιᾷ ὥρᾳ, ὑστέρησε τὸ ἄρρεν· οὐ γὰρ καθ' ὃν ἔδει χρόνον ἐξελθεῖν
5 ἐξῆλθεν· εἰ δὲ ἐν τῷ ἐνάτῳ μηνὶ ἐξελθὸν συνεξῆλθεν αὐτῷ καὶ τὸ θῆλυ,
ἐπροτέρησε τὸ θῆλυ· οὐ γὰρ ἐν τῷ δεκάτῳ μηνὶ ἐξῆλθεν, ἀλλ' ἐν τῷ
ἐνάτῳ. ὥστε εἰ μὲν ὑστερήσῃ τὸ ἄρρεν, φθαρήσεται τοῦτο διὰ τὸ τρόπον
τινὰ καταξηρανθῆναι καὶ ὑπερκαῆναι χρονοτριβῆσαν ἐντὸς μετὰ τὴν τελείωσιν·
εἰ δὲ τοῦτο μὲν ἐξέλθῃ καθ' ὃν δεῖ χρόνον, τὸ δὲ θῆλυ προτερήσῃ, φθαρή- 35
10 σεται τὸ θῆλυ διὰ τὸ μὴ τέλειον ἀλλ' ἀτελὲς ἐξελθεῖν· ἢ καὶ ἀμφότερα
φθαρήσεται διὰ τὸ συμφθείρεσθαι θάτερον ὑπὸ θατέρου. ἐν μὲν οὖν
τοῖς ἀνθρώποις διὰ τὴν τοιαύτην αἰτίαν τὸ θῆλυ ἐν τῇ ὑστέρᾳ βραδύτερον
τελειοῦται τοῦ ἄρρενος, ἔξω δὲ θᾶττον· ἐν δὲ τοῖς ἄλλοις ζῴοις διὰ τὸ ἐν
ἴσῳ χρόνῳ τελειοῦσθαι τὰ ἄρρενα καὶ θήλεα οὐ συμβαίνει παρὰ φύσιν ἡ
15 θύραζε τῶν ἐμβρύων ἔξοδος.

p. 775a27 Συμβαίνει δὲ καὶ διαφορὰ περὶ τὰς κυήσεις ἐπί τε τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων.

Ἡ διαφορὰ τῶν γυναικῶν πρὸς τὰ ἄλλα ζῷα περὶ τὰς κυήσεις
τοιαύτη ἐστί· τὰ μὲν γὰρ ἄλλα ζῷα περὶ τὴν κύησιν, τουτέστι τὸν πλείονα
20 χρόνον τῆς κυήσεως, εὐθηνοῦσι καὶ λιπώδη καὶ εὐτραφῆ τὰ σώματα ἔχουσιν, 45
οἷον εἰ τέτταρας μῆνας κύει, τοὺς τρεῖς εὐθηνεῖ, τὸν δὲ τέταρτον, καθ'
ὃν ἤγγι|κεν εἰς τὸν καιρὸν τοῦ τόκου, λειπόκρεα καὶ κάτισχνα γίνεται. 98v
αἱ δὲ γυναῖκες αἱ πλεῖσται ἀνάπαλιν· ἀπ' ἀρχῆς μὲν γὰρ τῆς συλλήψεως,
μέχρις ἂν σχεδὸν πλησιάσωσι τῷ καιρῷ τοῦ τόκου, ὠχριῶσι καὶ δυσφο- 5
25 ροῦσιν, ἀσιτοῦσί τε καὶ κάτισχνοι γίνονται, περὶ δὲ τὸν καιρὸν τοῦ τόκου,
ἤγουν περὶ ὅλον τὸν ἕνατον μῆνα, μᾶλλον εὐθηνοῦσι. λύει οὖν αὐτὰ σαφῶς 10
πλὴν τοῦ ἥ τε ὠδὶς ἐπίπονός ἐστιν· ὁ δὲ πόνος γυμνάζει τὸ
πνεῦμα. ἔστι δὲ τὸ γυμνάζει τὸ πνεῦμα ἴσον τῷ ἰσχυρότερον καὶ βια-
στικώτερον ποιεῖ, καὶ πρὸς τούτῳ δυνάμενον κατέχεσθαι. τὸ δὲ λεγόμενον 15
30 σαφὲς ἔσται, εἰ τῶν ἐν τῇ πραγματείᾳ ταύτῃ πρότερον ῥηθέντων ὑπομνη-
σθῶμεν. ἐλέγετο ⟨γὰρ⟩ ὅτι τὸ πνεῦμα κατεχόμενον ἰσχυροτέρους ἡμᾶς 20
ἀπεργάζεται· διὰ τοῦτο, κἂν βάρος ἆραι ἀπὸ τῆς γῆς βουληθείημεν, οὐκ
ἐκπνέομεν, ἀλλὰ κατέχομεν ἐντὸς τὸ πνεῦμα, κἂν ἡ τῆς ὑγρᾶς ἢ τῆς ξηρᾶς 25

2 καὶ om. L 3 αὐτὸ IL 4 οὐδὲ γὰρ K 6 ἐπροτέρασε a ἐπροτέρησε—θῆλυ om. L 7 ὑστερήσει K τρόπον] χρόνον K 8 τινὰ καὶ ξηρανθῆναι IL 9 ἐξέλθοι L: ἐξέλθει a προτερήσῃ scripsi: προτερήσει Ka: inc. IL 11 φθαρήσονται Ka ἐν] ἐπὶ K 12 διὰ ταύτην τὴν αἰτίαν Ka 16 παρὰ IL, sed cf. v. 18 18 post γυναικῶν add. περὶ τὰς κυήσεις, sed rursus del. L 19 τοιαῦτα K 20 εὐθυνοῦσι a 22 λιπόκρεα IL 25 ἀσιτοῦνται IL 26 ἤγουν] οἷον IKa 27 ἥ τε] ἤ τε ἡ l: ὅτε ἡ a ἐπίπονά (lac. II litt.) L 30 πρότερον] cf. B 4 p. 737b36 31 γὰρ addidi 33 ἐμπνέομεν IL[1] τὸ om. K ξηρᾶς ἢ τῆς ὑγρᾶς coll. Ka

τροφῆς περίττωσις μὴ ῥᾳδίως ἐξέρχηται, καὶ τότε κατέχομεν τὸ πνεῦμα. 98ᵛ
τούτων ὑπομνησθέντων τὸ λεγόμενόν ἐστι τοιοῦτον· ταῖς πονούσαις γυναιξὶν ὁ πόνος ποιεῖ τὸ πνεῦμα ἰσχυρότερον καὶ βιαστικώτερον· ὃν δὲ τοιοῦτον καὶ συσχεθὲν ἐντὸς ἐν τῷ καιρῷ τοῦ τόκου καὶ τῆς ὠδῖνος, ἀκοντίζει ταχέως τὸ ἔμβρυον, δύναμιν ἔχον τοῦτο ποιεῖν καὶ προσέτι ἐπιτηδειότητα τοῦ κατέχεσθαι· ἀκοντίζει γοῦν αὐτὸ ῥᾳδίως καὶ θύραζε ῥίπτει, ταῖς δ' ἀγυμνάστοις καὶ μὴ πονούσαις βραδέως διὰ τὴν τοῦ πνεύματος ἀσθένειαν. ἔστι δὲ τοῦ ἀκοντίζειν αἴτιον ἥ τε ἰσχὺς τοῦ πνεύματος καὶ τὸ δύνασθαι κατέχεσθαι τὸ πνεῦμα, τῆς δὲ ἰσχύος καὶ τοῦ κατέχεσθαι τὸ πνεῦμα πάλιν εἰσὶν αἴτια τὰ γυμνάσια καὶ οἱ πόνοι. ἔστι μὲν οὖν, φησί, καὶ ταῦτα, τουτέστι τὸ γυμνάζεσθαι καὶ μὴ γυμνάζεσθαι, συμβαλλόμενα πρὸς τὴν διαφορὰν τοῦ πάθους, τουτέστι τοῦ ῥᾳδίως ἢ μὴ ῥᾳδίως τίκτειν. μάλιστα δέ, φησί, τὸ αἴτιον τοῦ τὰς γυναῖκας ὕστερον εὐθηνεῖν, τὰ δὲ λοιπὰ τῶν ζῴων πρότερον, τὸ δὴ αἴτιον τούτου ἐστὶ τόδε· ἐπειδὴ γὰρ τῶν ζῴων τοῖς μὲν γίνεται κάθαρσις, ἀλλ' ὀλίγη, ἄλλοις δὲ οὕτως ὀλίγη, ὡς μηδὲ εἶναι ἐπίδηλον, ταῖς δὲ γυναιξὶ πάνυ πολλή, ἐπεὶ οὖν ταῦθ' οὕτως ἔχει, ταῖς μὲν γυναιξὶ πρῶτον γίνεται τὸ δυσφορεῖν διὰ τὸ εἶναι μικρὸν τὸ ἔμβρυον καὶ ὀλίγῃ χρῆσθαι τροφῇ· μι|κρὸν γὰρ ὂν καὶ ὀλιγότροφον τὸ 99ᵛ
μὲν καταμήνιον κωλύει θύραζε ἐξέρχεσθαι ἐπικείμενον ἐν τῷ στόματι καὶ τῷ τραχήλῳ τῆς ὑστέρας, ὀλίγον δὲ ὂν τὸ ὑπ' αὐτοῦ ἐσθιόμενον ἀνάγκη τὸ περιττεῦον εἶναι πολὺ καὶ ἐμποιεῖν πόνους καὶ ταραχὰς διὰ τὸ ὡς εἴρηται μήτε καταναλίσκεσθαι ὑπὸ τοῦ ἐμβρύου μήτε ἐᾶσθαι ἐξιέναι· ὕστερον δὲ μέγα γεγονὸς τὸ ἔμβρυον καὶ πολλῇ χρώμενον τῇ τροφῇ ἢ οὐδέν τι καταλείπεται τοῦ ἐκκρινομένου καταμηνίου ἢ πάμπαν βραχὺ καὶ μηδεμίαν δυνάμενον ποιεῖν αἴσθησιν ἢ πόνον. τούτου δ' οὕτως ἔχοντος, λέγω δὴ τοῦ ἐμβρύου, καὶ πολλῇ χρωμένου τροφῇ κουφίζει τῶν ὀδυνῶν τὴν μήτραν. διὰ ταύτην δὴ τὴν αἰτίαν αἱ γυναῖκες πρότερον μὲν δυσφοροῦσιν, ὕστερον δὲ εὐθηνοῦσιν. ἐν δὲ τοῖς ἄλλοις ζῴοις πρότερον μὲν σύμμετρον ὂν τὸ καταμήνιον τῇ τοῦ ἐμβρύου τροφῇ εὐθηνοῦσιν, ὕστερον δὲ αὐξηθὲν καὶ πλείονος δεόμενον τροφῆς ἢ ὅσην ἀποκρίνει τὸ θῆλυ ἐσθίει τὴν μέλλουσαν ἀποκρίνεσθαι εἰς τροφὴν τῶν τοῦ θήλεος μερῶν. ἀνάγκη δὲ στερισκόμενον τὸ θῆλυ τῆς οἰκείας τροφῆς ἰσχνοῦσθαι καὶ συμπίπτειν καὶ ὅλως τοὐναντίον πάσχειν τοῖς προτέροις. τοῦτο δὲ ᾐνίξατο διὰ τοῦ αἴτιον τὸ τὴν αὔξησιν τοῦ κυήματος δεῖσθαι πλείονος ἢ τῆς περιττωματικῆς τροφῆς.

3 ἰσχυρότατον καὶ βιαστικώτατον Ka 4 ἐντὸς om. IL 6 οὖν Ka 8 τοῦ post ἰσχὺς om. a 9 τὸ πνεῦμα ante πάλιν om. I 10 εἰσὶν αἴτια] αἴτιον K 11 γυμνάζεσθαι post μὴ om. Ka 12 τουτέστι] ἤγουν Ka 13 τὸ αἴτιον om. K εὐθηνεῖν om. K 14 ἐπεὶ K 15 ἀλλ^οι K 16 πολὺ a ἐπειδὴ I 19 θύραζε] ἔξωθεν IL 22 εἴρηται μή I ἐξιέναι ἐᾶσθαι coll. K 23 τῇ om. Ka 25 δὴ] δεῖ a 26 ὠδινῶν I μήτραν] μητέρα Ka 27 δὴ om. IL 28 πρῶτον Ka 30 δεομένου La 31 προκρίνεσθαι Ia: προσκρίνεσθαι K 33 πρότερον a 34 ἢ τῆς libri et Arist. PZ: τῆς Arist. vulg.

p. 775b25 Περὶ δὲ τῆς καλουμένης μύλης ῥητέον, ἣ γίνεται μὲν 99r
ὀλιγάκις ταῖς γυναιξίν.

Τῆς λέξεως ἡ ἀπόδοσίς ἐστιν ἐν τῷ περὶ μὲν οὖν τοῦ πάθους τῆς αἰτίας εἴρηται ἐν τοῖς προβλήμασι· τὰ δ' ἄλλα λίαν σαφῶς μεταξὺ προεντέθειται. εἰ τάχα δὲ εἰρῆσθαι αὐτῷ λέγει περὶ τῆς μύλης ἐν τοῖς προβλήμασιν, ὅμως καὶ ἐνταῦθα σαφέστατα λέγει, ὅπως γίνεται. γίνεται δὲ σκληρὰ δι' ἀσθένειαν θερμοῦ ὥσπερ καὶ τὰ μεμολυσμένα τῶν κρεῶν (σκληρὰ γὰρ καὶ αὐτὰ δι' ἔνδειαν τοῦ ἕψοντος πυρός), περὶ ὧν μεμολυσμένων εἴρηται ἐν τῷ τετάρτῳ τῶν Μετεώρων. ταῦτα εἰπὼν τὴν αἰτίαν τοῦ τίνος χάριν ἢ ἄχρι τοῦ τῆς ζωῆς τέλους ἐν τῇ γαστρὶ φέρει τὴν μύλην ἡ γυνὴ ἢ ἄχρι πολλοῦ λέγει· ἔοικε γὰρ ἡ φύσις δυσθανατεῖν, λέγων φύσιν τὴν ἐν τῇ γονῇ τοῦ ἄρρενος ψυχικὴν θερμότητα. σπεύδουσα γὰρ πέψαι τὸ καταμήνιον καὶ συστῆσαι τελειῶσαί τε καὶ πέρας ἐπιθεῖναι τῇ γενέσει, μὴ δυναμένη δὲ διὰ τὴν ὑπερβολὴν τῆς τοῦ καταμηνίου ψυχρότητος καὶ ὑγρότητος (τότε γὰρ συμβαίνει συνίστασθαι τὴν μύλην, ὅταν ὑπερβάλῃ ἡ ψυχρότης καὶ ἡ ὑγρότης τοῦ καταμηνίου καὶ σφοδραὶ γένωνται) μὴ δυναμένη οὖν συμπέψαι μήτε μὴν βουλομένη ἡττηθῆναι καὶ οἱονεὶ ἀποθανεῖν ἀντιμάχεται πρὸς τὸ καταμήνιον, καὶ τρόπον τινὰ πόλεμον ἔχει μετ' αὐτοῦ | συνεχῆ ἢ ἄχρι τέλους τῆς ζωῆς τῆς γυναικὸς ἢ ἄχρι 99v
πολλοῦ. οὔτε γὰρ τετελείωκεν, ἵνα θύραζε προΐηται, οὔτε μὴν ἀλλότριόν ἐστι (σχέσις γάρ ἐστί τις τῇ τε γονῇ καὶ τῷ καταμηνίῳ) οὔτε οὖν ἀλλότριόν ἐστιν, ἵν' ἐάσῃ ἐξελθεῖν, ἀλλὰ κατέχει καὶ πειρᾶται τελειῶσαι. λέγει δὲ τὴν γυναῖκα ὑστερικήν· ἔστι δὲ τὸ ὑστερικὸν ἴσον τῷ πάθη τῆς ὑστέρας ὑφίσταται· οὐδενὸς γὰρ ἄλλου ζῴου ὑστέρα τοσαῦτα καὶ τοιαῦτα ὑφίσταται πάθη, ὅσα ἡ τῆς γυναικός. τὸ οὖν ποικίλον τῶν παθῶν αἴτιον γίνεται τοῦ μόναις ἢ μάλιστα ταῖς γυναιξὶ τοῦτο συμβαίνειν τὸ πάθος.

Τὸ δὲ λεγόμενον περὶ τοῦ γάλακτος τὸ ὥστε ἐλλείπειν αὐτὸ ἐν τῷ χρόνῳ τούτῳ οὐδὲν ἴσον ἐστὶ τῷ οὔτε προγίνεται τοῦ καιροῦ τῆς κυήσεως οὔθ' ὑστερεῖ, ἀλλ' ἰσοδρομεῖ. κἂν γὰρ ὁρῶνται πολλὰ τῶν ζῴων καὶ τῶν γυναικῶν αἱ πλείους ἔχουσαί τι γαλακτῶδες, ὅμως οὐκ ἔστι τοῦτο γάλα· ἁλμυρὸν γάρ ἐστι καὶ οὐκ ἐδώδιμον· γάλα δ' ἐστίν, ἡνίκα τέκῃ. καὶ τοῖς μὲν ἄλλοις τῶν ζῴων κατὰ τὸν καιρὸν τοῦ τόκου γίνεται τὸ γάλα,

3 post Τῆς add. δὲ IL  οὖν om. K  4 ἐν τοῖς προβλήμασι] cf. Bonitz, Ind. Ar. p. 103b17 sqq.  5 προεντέθηται I: παρεντέθειται K: παρεντέθηνται a  6 σαφέστερον IL  7 σκληρὸν a  ὡς K: ὥστε a  μεμολισμένα (ο ex υ corr.) L  8 post ἕψοντος add. αὐτὰ sed del. L  9 μεμυλισμένων L  ἐν τῷ τετάρτῳ τῶν Μετεώρων] Δ 3 p. 381a12  10 post αἰτίαν add. ἐπήγαγε a  11 λέγει scripsi: λέγων libri  11. 12 δυσθανατεῖν libri et Arist. Z: ἀδυνατεῖν Arist. vulg.  12 λέγων] λέγει IL  γονῇ] γαστρὶ Ka  ψυχικὴν] φυλακὴν IL¹  12. 13 ψεύδουσα K  13 πέψαι—συστῆσαι] συστῆσαι τὸ καταμήνιον Ka  16 ὑπερβάλλῃ Ka  17 γίνωνται IL  20 πρόηται K: πρόϊεται (sic) a  23 γυναῖκα ὑστερικὸν Ka  ἔστι—ὑστερικὸν iterat a  πάθος L  27 ὥστε IKL¹a Arist. P: ὥστε οὔτ' L² Arist. vulg.  ἐλλείπει K  28 οὐδὲν] οὔτ' IL  30 ἔχωσι K

ταῖς δὲ γυναιξὶν ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ διὰ τὸ τίκτειν αὐτὰς καὶ ἐν αὐτῷ· 99r
τὸ δὲ πρότερον, οἷον τὸ ἐμφαινόμενον ἐν τῷ ἕκτῳ μηνὶ ἄχρηστόν ἐστι
διὰ τὸ μὴ εἶναι γάλα, ἀλλά τι γαλακτῶδες. ἀποδίδωσι δὲ λόγον, δι' ὃν 35
πρὸ μὲν τοῦ καιροῦ τῆς κυήσεως ἄχρηστόν ἐστι τὸ γάλα καὶ ἄπεπτον,
5 τότε δ' ἐν τῷ καιρῷ τοῦ τόκου πεπεμμένον, καὶ ἐκ τῆς ὕλης, ἣν ἀνάγκην
καλεῖν ἔθος αὐτῷ, καὶ ἐκ τῆς ἕνεκά του αἰτίας. καὶ τὴν μὲν ἕνεκά του
ἐπήγαγε σαφῶς, τὴν δ' ἐκ τῆς ὕλης οὕτως ἐπάγει λέγων εὐλόγως δὲ 40
συμβαίνει καὶ διὰ τὴν ἐξ ἀνάγκης καὶ ὁλικὴν αἰτίαν πεπεμμένον
ἤδη εἶναι εἰς τοὺς τελευταίους ἤγουν τοὺς τῆς κυήσεως χρόνους.
10 τὸ μὲν γὰρ πρῶτον, φησίν, (οὐχ ὅτε δηλονότι πάμπαν ἐστὶ σμικρόν,
ἀλλ' ἐν τῷ μεταξὺ μεγέθει τῆς τε τοιαύτης μικρότητος καὶ τῆς τελειότητος,
ἣν ἀπολαβὸν εὐθὺς ἕξεισι θύραζε) τὸ μὲν οὖν πρῶτον ἕλκει τὸ ἔμβρυον
τῆς τοιαύτης περιττώσεως, ἐξ ἧς τὸ γάλα συνίσταται, τὸ γλυκύτατον εἰς
οἰκείαν τροφήν (πάντων γὰρ τροφὴ τὸ πεπεμμένον καὶ γλυκύτατον), 45
15 ὥστ' ἀνάγκη τὸ λειπόμενον ἁλμυρὸν εἶναι καὶ δύσχυμον· τοιοῦτον γὰρ
πάσης τροφῆς περίττωμα. διὰ ταύτην δὴ τὴν αἰτίαν ἐστὶν ἄχρηστον τὸ
πρὸ τοῦ χρόνου τῆς κυήσεως γάλα. τελειουμένων δὲ τῶν κυημάτων καὶ
ἤδη ὄντων πρὸς τῷ θύραζε ἐξελθεῖν πλέον ἐστὶ τὸ περίττωμα καὶ δηλονότι
καὶ τὸ γλυκύ· τελειωθὲν γὰρ πάμπαν ἐστὶ τὸ ἑλκόμενον ὀλίγον καὶ ἀναλι-
20 σκόμενον· δι' ἣν δὲ αἰτίαν, ἐρεῖ μετ' ὀλίγον. πολὺ δὴ ὂν καὶ γλυκὺ διὰ 100r
τὸ μὴ ὁμοίως ὥσπερ καὶ πρότερον ἕλκεσθαι τὸ γλυκύ, ἀνάγκη καὶ τὸ ἐκ
τούτου τότε γινόμενον γάλα γλυκὺ εἶναι. εἰ γὰρ καὶ ἐμμέμικται ἐν αὐτῷ
ἁλμυρόν τι, ἀλλὰ διὰ τὸ πλεονάζειν τὸ πεπεμμένον γλυκὺ οὐδεμία γίνεται
αἴσθησις τοῦ ἁλμυροῦ, ὥσπερ οὐδὲ ἐν τοῖς ποταμοῖς τῆς ξηρᾶς καὶ γεώδους
25 καὶ ἁλμυρᾶς ἀναθυμιάσεως, καίτοι ἐνούσης ἐν τῷ ποτίμῳ ὕδατι. πρότερον 5
μὲν οὖν ἕλκον τὸ ἔμβρυον ἅπαν τὸ γλυκύ, τὸ λειπόμενόν ἐστιν ἁλμυρόν,
ὥστε καὶ τὸ ἐκ τούτου γινόμενον γαλακτῶδες, ὕστερον δὲ ὀλίγον ἕλκον,
ἀναγκαῖον εἶναι γλυκύ, ὥστε καὶ τὸ ἐκ τούτου γάλα, καὶ μάλιστα εἶναι
γλυκύ, ὅταν θύραζε ἐξελθὸν οὐδ' ὅλως ἕλκεταί τι τοῦ γλυκέος, ἀλλ' † ἅπαντος
30 ἀνερχομένου εἰς τοὺς μαστούς. τὰ μὲν οὖν λεγόμενα τοιαῦτα. τὰ δὲ κατὰ
τὰς λέξεις τὸ μὲν ἔστι γάρ τις καὶ κυήματος τελείωσις κατασκευα-
στικόν ἐστι τοῦ διά τί τελειωθὲν τὸ ἔμβρυον πάμπαν ὀλίγην ἕλκει τροφήν. 10
τὸ δὲ λεγόμενόν ἐστι δυνάμει τοιοῦτον 'ὥσπερ γάρ ἐστι τελείωσις καὶ ἡμῖν
καὶ πᾶσι τοῖς ζῴοις, εἰς ἣν φθάσαντες οὐκέτι αὐξόμεθα ἢ ἀκμάζομεν, ἀλλὰ

2 ἕκτῳ om. K 3 διὰ τὸ—ἄχρηστόν ἐστι (4) om. IL δὲ τὸν λόγον a
6 αἰτίου a 11 μικρότητος] θερμότητος IL 12 ἣν εὐθὺς ἀπολαβὸν εὐθὺς Ka
16 post πάσης add. τῆς IL δὴ ταύτην coll. K ἐστὶν om. Ka 18 πρὸς
τὸ a 19 τελειωθὲν] legendum videtur τελειωθέντων 20 ἣν δι' αἰτίαν a
22 καὶ om. L 23 post πεπεμμένον add. καὶ Ka 24 οὐδ' ἐν τῷ ποταμῷ K
25 ποτίμῳ] ποταμίῳ IKa πότερον IL 26 ἕλκοντος τοῦ ἐμβρύου a, idque
sane exspectas; sed cf. v. 27. 29 ἅπαν—ἁλμυρὸν om. IL 29 ἐξέλθει a
29. 30 ἅπαντος ἀνερχομένου] ἅπαντα ἀνερχομένου IL: ἅπαν ἀνέρχεται a, fort. recte
31 καὶ om. IL 32 ὀλίγον a τροφὴν ἕλκει coll. Ka 34 ἣν] ἣν a
φθάσαντα L

πᾶν τοὐναντίον πάσχομεν, οὕτως ἐστὶ καὶ τοῖς ἐμβρύοις ὡς ἐμβρύοις τέλος, 100r
ἐν ᾧ γενόμενα οὐκέτι λαμβάνειν ἐθέλει ἐκ τῆς ὑστέρας τὴν τροφήν (ἀλλο-
τρία γὰρ αὐτοῖς αὕτη· οἰκεία μὲν γὰρ πρὸ τοῦ τελειωθῆναι, ἀλλοτρία δὲ
μετὰ τὴν τελείωσιν), ὥσπερ καὶ ἡμεῖς θύραζε τελειωθέντες οὐκέτι θηλάζειν 15
5 τὰς μητέρας βουλόμεθα, ὡς ἀλλοτρίας ἡμῖν ταύτης ἤδη οὔσης τῆς τροφῆς,
καίτοι πρότερον οἰκείας οὔσης· ἐν ᾧ οὖν γινόμενα τὰ ἔμβρυα τέλει καὶ
μήτ' ἐκ τῆς ὑστέρας τὴν τροφὴν λαμβάνειν ἐθέλοντα μήτε ἐν αὐτῇ μένειν
ἐξέρχεται θύραζε καὶ μεταβάλλει τὴν γένεσιν, ἤτοι ἐξ ἄλλου τόπου
εἰς ἄλλον γίνεται· ἤδη γὰρ ἔχει πάντα τὰ ἑαυτοῦ μέρη, καὶ οὐδέν τι ἐλλείπει
10 αὐτῷ, οὐδὲ βούλεται λαμβάνειν τὸ μὴ αὑτοῦ. εἴρηται γὰρ ὅτι ἀλλοτρία 20
αὐτῷ αὕτη ἡ τροφὴ καὶ οὐκ οἰκεία. τὰ μὲν οὖν κατὰ τὴν λέξιν τοιαῦτα.
ἡ δὲ τῆς λέξεως ἀπόδοσις τοιαύτη· τελειουμένων δὲ τῶν κυημάτων,
καὶ ἐφεξῆς τἆλλα πάντα, καὶ ὑποστικτέον εἰς τὸ καὶ οὐκέτι λαμβάνει
τὸ μὴ αὑτοῦ· εἶτα ἐπακτέον ὡς ἀπόδοσιν τοῦ λόγου τὸ ἐν ᾧ καιρῷ
15 γίνεται τὸ γάλα χρήσιμον, ἴσον ὂν τῷ διὰ τοῦτο ἐν τῷ καιρῷ τοῦ
τόκου γίνεται τὸ γάλα χρήσιμον.

p. 776ᵇ3 Εἰς δὲ τὸν ἄνω τόπον καὶ τοὺς μαστοὺς συλλέγεται διὰ τὴν ἐξ ἀρχῆς τάξιν τῆς συστάσεως.

Διὰ τούτων τὴν αἰτίαν προτίθεται εἰπεῖν τοῦ διὰ τί συλλέγεται εἰς 25
20 τοὺς μαστοὺς τὸ καταμήνιον, ἐξ οὗ καταμηνίου καὶ ἐν οἷς μαστοῖς γίνεται
τὸ γάλα· ὅπερ ταὐτόν ἐστι τῷ διὰ τί κάτωθεν ἄνω. ἀλλὰ καὶ πρὸ τούτου 30
λέγει τε καὶ κατασκευάζει ὅτι κατὰ τὸν καιρόν, καθ' ὃν τὸ γάλα μέλλει
γίνεσθαι, κενοὶ γίνονται καὶ σομφοὶ οἱ μαστοί (συνεργήσει γὰρ τοῦτο αὐτῷ
πρὸς τὸ ἀποδοῦναι τὸ διὰ τί κάτωθεν ἄνω προχωρεῖ) καὶ τότε μετὰ τοῦτο 35
25 ἀποδίδωσι τὴν τοῦ προβλήματος αἰτίαν. συλλέγεται οὖν, φησίν, εἰς τὸν
ἄνω τόπον διὰ τὴν ἐξ ἀρχῆς τάξιν τῆς συστάσεως τῶν ζῴων. ἡ γὰρ 40
τάξις τῆς συστάσεως αὐτῶν τοιαύτη· πρῶτον μὲν γὰρ γίνεται τὰ ἄνω (τὸ
γὰρ κύριον τοῦ ζῴου καὶ ἐν ᾧ τὸ εἶναι αὐτῷ ἐστι, τὸ ἄνω ἐστὶ τοῦ ὑπο- 45
ζώματος, ὥστε ἀναγκαῖον τοῦτο πρῶτον γίνεσθαι), δεύτερον δὲ τὸ κάτω·
30 χάριν γὰρ τῆς τροφῆς καὶ | τοῦ περιττώματος αὐτῆς ἐστιν, ὅπως τὰ 100v
πορευτικὰ τῶν ζῴων μετὰ τὸ φαγεῖν ἐν ἑαυτοῖς, τουτέστιν ἐν τῇ κοιλίᾳ
αὐτῶν, ἔχοντά τε καὶ περιφέροντα ὥσπερ ἐν φάτνῃ τὴν ἤδη ληφθεῖσαν 5
τροφὴν μεταβάλλῃ τοὺς τόπους. εἰ γὰρ μὴ εἶχε τὴν κοιλίαν, ἵνα ἐν
αὐτῇ ἀθρόον ἀποτιθέμενα τὴν τροφὴν συνεχῶς καὶ ἄχρι πολλοῦ τρέφηται, 10

---

1 τέλος om. IL 2 γινόμενα a θέλει K 2. 3 ἀλλότριος Ka
3 αὐτοῖς scripsi: αὐτῆς L: αὐτῷ Ka: inc. I 4 ὡς K θύραθεν Ka
5 ὡς] ἀλλ' ὡς a 6 τέλει] τέλεια L 10 et 14 μὴ αὑτοῦ libri 15 ἴσον ὂν τῷ om. et post χρήσιμον (16) add., deinde διὰ τοῦτο—γάλα χρήσιμον iterant IL
21 καὶ om. Ka πρὸς τούτῳ a 22 post καιρὸν add. τοῦτον Ka
24 ἄνωθεν κάτω K 28 αὐτοῦ ex corr. L 30 αὐτοῦ L 32 περιφερόμενα K 33 μεταβάλλῃ Arist.: μεταβάλλει IL: μεταβάλλοι a: μεταβα$^{\lambda}$ K

ἐπειδὴ καὶ ἡ πέψις αὐτῆς καὶ ἡ ἀνάδοσις καὶ ἡ πρόσκρισις συνεχὴς καὶ 100v
ἄχρι πολλοῦ, μόνιμα ἂν ἦν καὶ συμπεφυκότα πρὸς τὸ ἐξ οὗ τὴν τροφὴν
ἤμελλε λαμβάνειν, ὥσπερ καὶ τὰ φυτά. νῦν δ' ἐναποτίθησιν ἐν αὐτῇ καὶ
ἄλλης οὐ δεῖται, ἕως ἂν ἅπασα σχεδὸν ἀναδοθῇ καὶ προσκριθῇ· ταύτης 15
5 δὲ ἀναλωθείσης πάλιν πεινᾷ καὶ λαμβάνει καὶ ἀποτίθησι, καὶ οὕτως ἐφεξῆς.
ἐπεὶ οὖν, ὡς εἴρηται, τὸ κύριον τοῦ ζῴου καὶ ὅλως τὸ ζῷον τὸ ἄνωθεν
τοῦ ὑποζώματός ἐστιν. εἰσὶ δὲ καὶ τῆς γενέσεως καὶ συστάσεως αἴτια καὶ
κύρια τῶν ζῴων τό τε καταμήνιον καὶ ἡ γονή, ἀνάγκη καὶ τὸ καταμήνιον
καὶ τὴν γονὴν ἐντεῦθεν, ἤτοι ἐκ τῶν ἄνω, ἀποκρίνεσθαι· εὔλογον γάρ, ἵνα
10 μὴ λέγωμεν ἀναγκαῖον, ἐκ τῶν κυρίων τὰ κύρια ἀποκρίνεσθαι. ταῦτα δὲ
ἐδήλωσε διὰ τοῦ ἐντεῦθεν δὲ καὶ ἡ σπερματικὴ περίττωσις ἀπο- 20
κρίνεται διὰ τὴν εἰρημένην αἰτίαν, τουτέστι διὰ τὸ εἶναι τὸ ζῷον τὸ
ἄνωθεν τοῦ ὑποζώματος, ἢ καὶ διὰ τὸ κοιλαίνεσθαι τοὺς ὀφθαλμοὺς τῶν
χρωμένων συχνῶς τοῖς ἀφροδισίοις· ἀπὸ τῶν ἄνω γὰρ ἀπερχομένης τῆς
15 γονῆς, καὶ μάλιστα ἀπὸ τῶν ὀφθαλμῶν, ἀνάγκη κοιλαίνεσθαι. ὅτι δὲ
κοιλαίνονται, δῆλον ἡμῖν καθ' ἑκάστην γίνεται ἐπὶ τῶν κάπρων. ἐπεὶ οὖν,
ὡς εἴρηται, τὸ ἄνω κύριον, ἀνάγκη καὶ τὰ κύρια ἐξ ὧν τὸ ζῷον (ταῦτα
δ' ἐστὶ γονὴ καὶ καταμήνιον) ἐκ τῶν ἄνω εἶναι, ἐν ᾧ ἄνω ἐστὶν ἡ καρδία. 25
οὔσης δὲ ἐκ τῶν ἄνω τῆς τοιαύτης σπερματικῆς περιττώσεως ἀναγκαῖον
20 τὴν μεταβολὴν αὐτῆς ἐνταῦθα πρῶτον γίνεσθαι ἐπίδηλον, λέγων μετα-
βολὴν τὴν ἀρχὴν τῆς γενέσεως αὐτῆς. ἡ ἀρχὴ γὰρ ἡ χρονικὴ τῆς γενέ-
σεως καταμηνίου καὶ γονῆς ἐκ τῶν ἄνω τόπων γίνεται ἡμῖν ἐπίδηλος·
ἡνίκα γὰρ ἄρξηται γίνεσθαι, εὐθὺς αἴρονταί τε οἱ μαστοὶ ἄνωθεν ὄντες τοῦ
ὑποζώματος, καὶ ἡ φωνὴ μεταβάλλει ἐπὶ τὸ τραχύτερον, καὶ ἡ τῶν ἀρρένων
25 καὶ ἡ τῶν θηλειῶν. καὶ γὰρ ἡ τῶν φωνῶν ἀρχὴ ἐκ τῆς καρδίας ἐστίν, 30
ὡς ἐρεῖ ἐν τῷ ἐφεξῆς βιβλίῳ, ὅτε λέγει τίνος ἕνεκα αἱ τῶν ἐκτεμνομένων
φωναὶ ἅμα τῷ ἐκτμηθῆναι ἐπὶ τὰς τῶν θηλειῶν μεταβάλλουσιν. ἀλλὰ πῶς
μὲν αὗται ἐπὶ τὰς τῶν θηλειῶν μεταβάλλουσιν, ἐκεῖσε γενόμενοι πιέσομεν·
ἡμῖν δὲ συλλογιστικῶς συνακτέον τὸν λόγον ὧδέ πῃ· ἐκ τῶν ἄνω καὶ ἐν
30 τοῖς ἄνω οἱ μαστοὶ καὶ αἱ φωναί, ἐκ τῶν μαστῶν καὶ φωνῶν ἡμῖν γίνεται
ἐπίδηλος ἡ γένεσις τῆς τοιαύτης περιττώσεως, ἐκ τῶν ἄνω ἄρα ἡμῖν γίνεται
ἐπίδηλος ἡ γένεσις αὐτῆς· εἰ δὲ ἐκ τῶν ἄνω, δῆλον ὅτι καὶ ἐξ αὐτῶν ἀπο- 35
κρίνεται. μεταβάλλει δὲ ἡ φωνὴ ἐπὶ τὸ τραχύτερον, ἡνίκα ἄρξωνται ἀφρο-
δισιάζειν, διότι καὶ τὸ κινοῦν τὸν ἀέρα ἢ τὸ πνεῦμα, ἐξ οὗ ἡ φωνὴ γίνεται,

1 ἐπεὶ Ka αὐτοῦ ex αὐτῆς corr. K 3 ἐναποτιθεμένη a 4 post ἕως add. τε a 5 ἀναδοθείσης IL 7 καὶ τῆς [συστάσεως K 13 διὰ τοῦ κοιλαίνεσθαι a τοὺς ὀφθαλμοὺς—κοιλαίνεσθαι (15) om. IL post τῶν add. συνεχῶς K 14 συχνῶς om. K 16 γίνονται L 19 δὲ] οὖν Ka ἀνάγκη a 20 ἐνταῦθα προγίνεσθαι a 22 ἐπίδηλον Ka 23 ἄρξεται IKL αἴρονταί τε οἱ] οἵ τε a οἱ om. IL 24. 25 τραχύτερον τῶν ἀρρένων καὶ τῶν K 25 post γὰρ add. καὶ Ka 26 ἐν τῷ ἐφεξῆς βιβλίῳ] E 7 27 ἀλλὰ πῶς μεταβάλλουσιν (28) om. IL 28 πιέσομεν L: πειράσομεν K 30 οἱ om. a καὶ τῶν φωνῶν K 32 ἐξ αὐτοῦ L 33 βραχύτερον I post ἡνίκα add. ἂν K ἄρξονται IL

ἀλλοῖον τότε γίνεται. ἔστι δὲ τὸ κινοῦν τὸ πνεῦμα ἡ καρδία· αὕτη γὰρ 100ᵛ
τὸν πνεύμονα κινεῖ. πῶς δὲ τότε ἀλλοία ἡ καρδία γίνεται, ἐρεῖ πάντως
ἐν τῷ τέλει τοῦ πέμπτου βιβλίου. οἱ δὲ μαστοὶ αἴρονται τότε, διότι,
φησίν, ἐκ τῶν ἄνω ἀποκρίνεται τὸ σπέρμα, ἐκεῖθεν δ' ἀποκρινομένου
5 ἀναγκαῖον τοὺς μαστοὺς γίνεσθαι κενούς. ἐπεὶ δὲ δέδεικται ἐν τοῖς περὶ 40
φύσεως μηδὲν εἶναι κενόν, ἀνάγκη πληροῦσθαι αὐτοὺς πνεύματος καὶ εἶναι
μὲν κενοὺς σπερματικοῦ περιττεύματος, πλήρεις δὲ πνεύματος, ὅπερ λεπτυνό-
μενον διὰ τὴν θερμότητα καὶ εἰς μείζονα ὄγκον ἐπιδιδὸν αἴρει τοὺς μαστούς,
ὥσπερ καὶ τοὺς πεφυσημένους ἀσκοὺς τὸ ἐν αὐτοῖς πνεῦμα. αἴρονται μὲν
10 οὖν καὶ διὰ ταύτην τὴν αἰτίαν, ἀλλὰ καὶ διὰ τὴν ἕνεκά του· ἕνεκα γὰρ
τοῦ ἀποθεῖναι τὴν φύσιν ἐν αὐτοῖς τὴν τοῦ θηλάσοντος τροφήν· ἐν ἄλλῳ 45
γὰρ τόπῳ παρὰ τοὺς μαστοὺς ἀπελθεῖν οὐκ ἐνδέχεται, ὡς ἐρεῖ προϊών.
λέγει δὲ μεταβάλλειν καὶ ἐν τοῖς ἄλλοις ζῴοις τὰς φωνὰς καὶ τὰ περὶ τοὺς
μαστοὺς κατὰ τὸν καιρὸν τοῦτον, οὐ γίνεσθαι δὲ πᾶσιν ἐπιδήλους καὶ
15 φανεράς, ἀλλὰ μόνοις τοῖς ἐμπείροις ἀνθρώποις, οἷον τῷ μὲν ἐμπείρῳ περὶ
τὰ πρόβατα δῆλη γίνεται ἥ τε τῆς τῶν προβάτων φω|νῆς ἐναλλαγὴ ἥ 101ʳ
τε τῶν μαστῶν ἄρσις, τῷ δὲ ἐμπείρῳ περὶ τὰς βοῦς τὰ τῶν βοῶν, καὶ
ἐπὶ τῶν ἄλλων ὁμοίως. διαφέρει δέ, φησίν, ἐπὶ τῶν ἀνθρώπων καὶ μάλιστα
διάδηλος γίνεται ἐν τούτοις ἡ τῶν μαστῶν ἄρσις διὰ τὸ πλείστην εἶναι τὴν
20 περίττωσιν καὶ τοῖς ἀνδράσι καὶ ταῖς γυναιξίν· ὅσῳ γὰρ ἂν πλείων αὕτη 5
γίνηται, τοσοῦτον ἀνάγκη καὶ τοὺς μαστοὺς κενοῦσθαι μὲν αὐτῆς, πληροῦσθαι
δὲ πνεύματος.

p. 776ᵇ28 Ὅταν οὖν μὴ λαμβάνῃ μὲν τὸ ἔμβρυον τὴν τοιαύτην ἀπόκρισιν.

25 Πιστωσάμενος καὶ ἐκ τοῦ λόγου καὶ ἐκ τῶν συμβαινόντων ὅτι ἐκ τῶν
ἄνω τόπων ἀποκρίνεται τὸ περίττωμα, τὴν αἰτίαν διὰ τούτων ἐπάγει, δι' 10
ἣν εἰς τοὺς μαστοὺς ἡ τοῦ γάλακτος γίνεται συνάθροισις. ὅταν οὖν,
φησί, μὴ λαμβάνῃ τὸ ἔμβρυον τὴν τοιαύτην ἀπόκρισιν (ἀλλοτρία
γάρ, ὡς εἴρηται, καὶ οὐκ οἰκεία) κωλύῃ δὲ θύραζε βαδίζειν (κεῖται γὰρ 15
30 ἐν τῷ τῆς ὑστέρας στόματι), ἀναγκαῖον ἀθροίζεσθαι εἰς τοὺς ὄντας ἐπὶ
τῶν αὐτῶν πόρων, καὶ προσυπακουστέον τοῦ τῶν ὑστερῶν. ἐπειδὴ γὰρ
ἐν τῇ ὑστέρᾳ τὸ καταμήνιον, δῆλον ὡς εἰς ἐκείνους τοὺς τόπους καὶ τὰ

1 τὸ κινοῦν om. K 3 ἐν τῷ τέλει κτλ.] E 7 διότι] διάτι I: διατὶ ὅτι Ka
5. 6 ἐν τοῖς περὶ φύσεως] cf. Phys. Δ 6—9 5 τοῖς] τῷ K 6 αὐτοὺς ex αὐτὰ
corr. L: αὐτὰ I 7 σπερματικῆς περιττώσεως Ka post ὅπερ add. ἔτι K
8 ἐπιδιδόμενον a 11 αὐτῷ IL θηλάσσοντος a: θη^λ IL 14. 15 καὶ φανεράς om. K
16 τὰ om. Ka 18 τὸν ἄνθρωπον I 19 διάδηλος φαίνεται καὶ γίνεται a
ἥ τε τῶν a 20 αὕτη] αὐτοῖς a 21 γένηται a τοσούτω Ka
αὐτῆς] αὐτοὺς IL 25 Πιστωσάμενος—ἀπόκρισιν (28) om. IK τοῦ λόγου]
τούτου a 28 ἀλλότριος Ka 29 κωλύει IKL¹a 30 post εἰς ex Arist.
addendum τοὺς κενοὺς τόπους 31 τοῦ] τὸ a τῶν ὑστερῶν] fort. τῇ ὑστέρᾳ,
cf. p. 207,1. 5 sqq. ἐπεὶ Ka

κενὰ ῥευσεῖται καὶ ἀθροισθήσεται τὰ τοὺς αὐτοὺς ἔχοντα πόρους τῇ ὑστέρᾳ. 101r
ἂν γὰρ ὦσι κενά, μὴ ἔχῃ δὲ τοὺς πόρους εἰς τὴν ὑστέραν εἰσβάλλοντας, 25
δῆλον ὡς εἰς ἐκεῖνα οὐκ ἂν εἰσβάλλοι οὐδ' ἀθροισθήσεται (ἀδύνατον γάρ),
ἀλλ' εἰς ἐκείνους ἀθροισθήσεται καὶ τὸ ῥεῦμα καὶ τὴν ὁρμὴν ποιήσεται,
5 ὅσοιπερ ἂν ὦσιν ἐπὶ τῶν αὐτῶν πόρων τῇ ὑστέρᾳ. ἔστι δὲ τὸ ὅσοιπερ 30
ἂν ὦσιν ἐπὶ τῶν αὐτῶν πόρων τῇ ὑστέρᾳ ἴσον τῷ ὅσων οἱ πόροι
εἰς τὴν ὑστέραν εἰσβάλλουσιν. εἰπὼν δὲ ὅτι ὅσοιπερ ἂν ὦσιν ἐπὶ τῶν
αὐτῶν πόρων, ἐπήγαγεν ἔστι δὲ ἑκάστοις τοιοῦτος ὁ τῶν μαστῶν
τόπος, τουτέστιν ἐν ἑκάστῳ δὲ τῶν ζῴων ὁ τῶν μαστῶν τόπος ἐστὶν ὁ
10 τοὺς αὐτοὺς ἔχων πόρους τῇ ὑστέρᾳ· τοῦτο δὲ ταὐτόν ἐστι τῷ ἐν παντὶ
ζῴῳ τοὺς αὐτοὺς ἔχουσι πόρους τῇ ὑστέρᾳ οἱ μαστοὶ δι' ἀμφοτέρας τὰς
αἰτίας, τὴν ἐξ ἀνάγκης (αὕτη δὲ ἦν τὸ τοὺς αὐτοὺς ἔχειν πόρους τῇ
ὑστέρᾳ) καὶ τὴν ἕνεκά του· βέλτιον γὰρ ἐνταῦθα συναθροίζεσθαι, ὅπου 35
ἐστὶν ἡ ἀρχή, τουτέστιν ἡ καρδία, ἵνα πέττηται ὑπ' αὐτῆς. εἰπὼν οὖν
15 διὰ τί ἡ περίττωσις, ἐξ ἧς τὸ γάλα γίνεται, εἰς τοὺς μαστοὺς συλλέγεται,
εἰπὼν δὲ καὶ ὅτι ἀλλοῖον ἤγουν λευκὸν γίνεται διὰ τὸ καὶ τὴν ἐν τῇ καρδίᾳ
ψυχὴν ἀλλοίαν καὶ ἰσχυροτέραν γίνεσθαι τὴν συμπέττουσαν αὐτήν (ὅτι δὲ
ἀλλοία γίνεται κατὰ τοῦτον τὸν καιρὸν ἡ ψυχὴ καὶ πῶς ἀλλοία, ἐρεῖ ἐν
τῷ ἐφεξῆς βιβλίῳ, ὅτε λέγει περὶ φωνῆς ὀξύτητος καὶ βαρύτητος), εἰπὼν
20 οὖν διὰ τί ἡ περίττωσις αὕτη εἰς τοὺς μαστοὺς συλλέγεται, ἐπάγει τῆς δὲ 40
πέψεως καὶ τοῦ γλυκὺ γίνεσθαι περὶ τὸν καιρὸν τοῦ τόκου πρότερον
ἁλμυρὸν καὶ ἄχρηστον ὑπάρχον ἔστι μὲν λαβεῖν τὴν εἰρημένην
αἰτίαν· ἦν δὲ αὕτη τὸ ὀλίγην λαμβάνειν τροφὴν τὸ ἔμβρυον τελειωθέν,
καὶ διὰ τοῦτο εἶναι τὸ λειπόμενον πολὺ καὶ γλυκύ. δυνάμεθα οὖν, φησί,
25 τῆς πέψεως καὶ γλυκύτητος τοῦ γάλακτος λέγειν αἰτίαν τὴν ὅτι ὀλίγην
λαμβάνει τότε τροφήν, καὶ ἐπὶ τούτῳ ἐστὶ γλυκύ, ὥσπερ εἴρηται πρότερον.
δυνάμεθα δὲ λέγειν καὶ τοὐναντίον ὅτι διὰ τὸ λαμβάνειν πολλήν (πολλὴν 45
γὰρ λαμβάνον μέγα γεγονός) ἀνάγκη τὸ περιλειφθὲν ὀλίγον εἶναι, τὸ δ'
ὀλίγον θᾶττον πέττεται· ὂν δὲ μικρὸν καὶ ὀλίγον λαμβάνον πάντως τὸ
30 λειπόμενον ἔσται πολύ, πέττεται δὲ τὸ πολὺ βραδέως, καὶ ἔστι πρότερον μὲν
ἄχρηστον ὡς ἄπεπτον, ὕστερον δὲ χρήσιμον ὡς πεφθέν. |

p. 777ᵃ8 Ἐμπεδοκλῆς δ' οὐκ ὀρθῶς ὑπελάμβανεν ἢ οὐκ εὖ μετήνεγκε ποιήσας.

Εἰπὼν ὅτι τὸ γάλα αἷμά ἐστι πεπεμμένον, ἐγκαλεῖ τῷ Ἐμπεδοκλεῖ 101v

1 τὰ τοὺς—ἀθροισθήσεται (3) om. IL ἔχοντος a 2 ἔχει a εἰς om. a
3 εἰσβάλλειεν a 5 πόρων] τόπων K ἔστι δὲ—ὑστέρᾳ (6) om. ILa
6 πόρων scripsi: τόπων K itemque v. 8 ὅσον IL 10 ἔχει La 13 συναθροίζεσθαι ex συναθροίζεται corr. K ὅπου] ὅπερ K 14 τουτέστιν] ἤτοι Ka
16 ὅτι καὶ coll. IL 18. 19 ἐρεῖ ἐν τῷ ἐφεξῆς βιβλίῳ] E 7 19 ἑξῆς K
ὀξυτάτης καὶ βαρυτάτης K εἶπεν a 21 καὶ τὸ γλυκὺ IL 22 ὑπάρχει a
25 γάλακτος] μέλιτος I 27 λαμβάνει a 28 περιλειφθὲν scripsi: περιληφθὲν libri
29 ὄν] ὄντα a λαμβάνοντα a 32 δ' οὐκ libri et Arist. SY: δ' ἢ οὐκ Arist. vulg. ὀρθῶς] εἰωθῶς I 34 Εἰπὼν—πεπεμμένον om. a

πόον εἰπόντι αὐτό, καί φησιν, εἰ μὲν ἀληθῶς πόον ἐνόμιζεν αὐτό, οὐκ ὀρθῶς 101v
ὑπελάμβανεν, εἰ δ' ὡς ποιητὴς μετήνεγκε, τουτέστι τροπῇ ἐχρήσατο, οὐ 5
καλῶς μετήνεγκεν· αἱ γὰρ τροπαὶ οὐκ ὀφείλουσιν ἐναντιοῦσθαι τοῖς ἀφ' ὧν
μετηνέχθησαν, ἡ δὲ τροπὴ αὕτη τοῦ Ἐμπεδοκλέους ἐναντιοῦται. εἰ γὰρ τὸ 10
πόον σαπρότης, τὸ δὲ γάλα πέψις, ἐναντίον δὲ σαπρότης καὶ πέψις, ἐναντίον
ἄρα καὶ γάλα καὶ πόον· ὥστε οὐ καλῶς μετήνεγκεν εἰπὼν τὸ γάλα πόον.
ὅμοιον γάρ τι πεποίηκεν, ὡς εἴ τις τὸ μὲν λευκὸν λέγει μέλαν ἢ σύγκρισιν 15
ὄψεως, τὸ δὲ μέλαν λευκὸν ἢ διάκρισιν ὁμοίως ὄψεως. ἡ δὲ τοῦ Ἐμπε-
δοκλείου στίχου διάνοια τοῦ "μηνὸς ἐν ὀγδοάτου δεκάτῃ πόον ἔπλετο 20
λευκόν" αὕτη ἐστίν· ἐν τῇ δεκάτῃ ἡμέρᾳ τοῦ ὀγδόου μηνὸς γέγονε τὸ γάλα
πόον λευκόν· τὸ γὰρ ὀγδοάτου ἀντὶ τοῦ ὀγδόου εἴληπται. λέγει δὲ καὶ 25
ὅτι, ἂν συλλάβηται ἡ γυνὴ ὅτε θηλάζει, ἀποσβέννυται καὶ ἀπόλλυται τὸ
γάλα· οὐ γὰρ δύναται ἡ φύσις καὶ εἰς ἐμβρύου καὶ εἰς γάλακτος γένεσιν
ἅμα χορηγεῖν ὅλην. τὸ δὲ καλῶς δὲ διώρισται τοῖς χρόνοις καὶ ἡ 30
γένεσις τῶν ζῴων ἴσον ἐστὶ τῷ καλῶς δὲ συμβαίνει, ἐν ᾧ χρόνῳ ἀπο-
λύεται ὁ ὀμφαλὸς ἀπὸ τῆς ὑστέρας, ἐν τούτῳ ἐξέρχεσθαι τὰ ζῷα θύραζε.
καὶ διὰ τί καλῶς, ἐπάγει· ὅταν γὰρ διὰ τὸ μέγεθος τοῦ ἐμβρύου οὐκ ἔστιν 35
ἱκανὴ ἡ τροφὴ ἢ ὡς ἀλλοτρία ἢ ὡς προσεχῶς εἴρηται ὡς ὀλίγη, καὶ οὐκ
εἰσέρχεται ἐν αὐτῷ διὰ τοῦ ὀμφαλοῦ, εὐθὺς συμπίπτει, ἤτοι ἀνασπᾶται ἐκ
τῆς ὑστέρας. ἕως γὰρ ἂν ἕλκῃ τροφὴν ἐκ τῆς ὑστέρας, συμφύεται, ὅταν δὲ
μηκέτι τοῦτο ποιῇ, ἀνασπᾶται καὶ ἀπολύεται, διὰ τὸ μηδὲν μάτην τὴν
φύσιν ποιεῖν, ἀνασπασθεὶς δὲ καὶ ἀπολυθεὶς εὐθὺς ἐξέρχεται τὸ ζῷον·
οὗτος γὰρ ἦν ὁ συνέχων αὐτό. διὰ τί δὲ ἐπὶ κεφαλὴν ἐξέρχεται, σαφῶς λέγει.

p. 777a31 Τῆς δὲ κυήσεως ἑκάστῳ τῶν ζῴων ὡρισμένοι τυγχάνουσι.

Τὸ λεγόμενον δυνάμει τοιοῦτόν ἐστι· τὸ μὲν οὖν τὰ μὲν τέσσαρας 40
μῆνας κύειν καὶ εὐθὺς μετὰ τὸν τέταρτον γεννᾶν, ἄλλα δὲ μῆνας ἐννέα καὶ
ἕτερα ἐνιαυτόν, καὶ ἄλλα χρόνους δύο, ὥσπερ οἱ ἐλέφαντες, ὑπολάβοι ἄν 45
τις συμβαίνειν κατὰ τοὺς βίους καὶ τὰς χρονικὰς αὐτῶν παρα|τάσεις, οἷον 102r
ὅτι τὰ μὲν ὀλιγοχρόνια ὀλίγους κύει χρόνους, οἷον τέσσαρας μῆνας, τὰ δ'
ἔτι μακροβιώτερα ἐννέα, καὶ τὰ τούτων πάλιν μακροβιώτερα ἐνιαυτόν, καὶ 5
ἐφεξῆς. λέγει δὴ ὅτι συμβαίνει μὲν οὖν ὡς ἐπὶ τὸ πολὺ τὰ χρονιώτερα
καὶ πλείονα κυΐσκεσθαι χρόνον, ὅμως οὐκ ἔστι τῆς χρονιωτέρας κυήσεως

1 εἰπόντι αὐτῷ K ἐνόμιζεν] ἔλεγεν a 2 ὑπέλαβεν K 2. 3 οὐ καλῶς] οὐδαμῶς K, sed in marg. corr. K² 3 ὀφείλονται a 5. 6 ἐναντία ἄρα K 7 εἰ μὲν τὸ λευκὸν IL 9. 10 μηνὸς—λευκόν] Empedocl. v. 336 Mullach 11 καὶ om. Ka 12 συλλάβει a 13 εἰς ante γάλακτος om. a 18 ἱκανὴ] ἡ κανὴ ILa 22 ἀνασπασθὲν καὶ ἀπολυθὲν K: ἀνασπασθέντος καὶ ἀπολυθέντος a εὐθὺς post ζῷον ponit K 23 ἐπὶ τὴν κεφαλὴν a 24 Τῆς δὲ libri et Arist. SY: οἱ δὲ χρόνοι τῆς Arist. vulg. 25 post Τὸ add. δὲ L τὸ μὲν om. IL τὰ μὲν οὖν coll. IL 27 καὶ ἄλλα—ἐνιαυτὸν (30) om. IL ὡς K οἱ om. K 29. 30 δ' ἔτι] fort. δέ τι 30. 31 καὶ ἐφεξῆς om. K 31 δὴ] δὲ a 32 πλείω K (itemque porro): πλέον a πολυχρονιωτέρας K

αἴτιον τὸ μακρόβιον, τῆς δὲ ὀλιγοχρονίας τὸ ὀλιγοχρόνιον. τὰ μὲν οὖν 102r
μείζω καὶ τελειότερα τῶν ἐναίμων ζῴων καὶ πλείονα χρόνον κυΐσκεται,
διότι ἐν πλείονι χρόνῳ τελειοῦται, ὥσπερ καὶ τὸ μεῖζον πλοῖον· ἐν πλείονι 15
γὰρ χρόνῳ καὶ τοῦτο τελειοῦται, ὡς εἴρηται. καὶ πλείονα οὖν χρόνον
5 κυΐσκεται, καὶ πλείονα ζῇ, οὐ μέντοι τὰ μείζω πάντα μακροβιώτερα. εἰ γὰρ
ἦν τὸ μακρόβιον αἴτιον τοῦ πολὺν κύειν χρόνον, ἔδει τὸν ἄνθρωπον, μακρο- 20
βιώτατον ὄντα, τοῦ τῶν λοφούρων γένους πλείονα χρόνον κύειν, οὐ κύει δὲ
πλείονα· ὁ μὲν γὰρ ἄνθρωπος ἑπτὰ ἢ ἐννέα κύει μῆνας, ἅπτεται δὲ καὶ
τοῦ δεκάτου, οἱ δὲ λόφουροι ἐνιαυτόν. ὥστε οὐκ ἔστιν ἡ μακροβιότης
10 αἰτία τῆς χρονιωτέρας κυήσεως· εἰ γὰρ ἦν, ἔδει τὰ [μείζονα] πλείονα
χρόνον κυϊσκόμενα μακροβιώτερα εἶναι, οὐκ εἰσὶ δέ. εἰ γὰρ αἴτιον τὸ
μακρόβιον τῆς χρονίου κυήσεως, ὅπου ἂν ἦν καὶ ἐν οἷς τὸ αἴτιον, ἀνάγκη 25
ἕπεσθαι καὶ τὸ αἰτιατόν, τοῦτο δ' ἐστὶ τὸ πολὺν κυΐσκεσθαι χρόνον· οὐχ
ἕπεται δέ. λέγει δὲ τῆς μακροβιότητος μετὰ ταῦτα εἰπεῖν τὰς αἰτίας, καὶ
15 ἐρεῖ ἐν τῷ Περὶ μακροβιότητος καὶ βραχυβιότητος.

p. 777b16 Εὐλόγως δὲ πάντων οἱ χρόνοι καὶ τῶν κυήσεων καὶ γενέσεων καὶ τῶν βίων μετρεῖσθαι βούλονται κατὰ φύσιν.

Καὶ τοῦτο δυνάμει τοιοῦτόν ἐστιν· ὁ μὲν γὰρ ἥλιος καὶ ἡ σελήνη
βούλονται πάντων τῶν ἀνθρώπων τὸν αἰῶνα καὶ τὴν χρονικὴν παράτασιν 30
20 ἴσον εἶναι καὶ μὴ τὸν μὲν Πλάτωνα πλείονα ζῆν χρόνον, ἐμὲ δὲ ἐλάττονα,
ἀλλὰ πάντας τὸν αὐτὸν καὶ ἕνα, οἷον φέρε εἰπεῖν τὸν ἐνενήκοντα, καὶ μήθ' 35
ὑπερβαίνειν τινὰ τῶν ἀνθρώπων τοῦτον τὸν χρόνον μήτε ἐντὸς θνήσκειν.
πάντων οὖν τῶν ἀνθρώπων ἴσον ἀφώρισαν τὸν χρόνον καὶ πάντων τῶν 40
ἵππων ὁμοίως ἴσον, εἴτε τριακοστός ἐστιν οὗτος εἴτε ἄλλος τις, ὁμοίως δὲ
25 καὶ τῶν ἄλλων ἁπάντων· οὐκ ἀκριβῆ δὲ οὐδὲ τὸν αὐτὸν ζῶσιν ἅπαντες οἱ
ἄνθρωποι χρόνον, ὁμοίως δὲ καὶ ἵπποι καὶ βόες καὶ τὰ λοιπά, ἀλλ' ὁ μὲν 45
πλείονα ὁ δὲ ἐλάττονα διὰ τὸ εἶναι τῆς γενέ|σεως τούτων καὶ ἄλλας τινὰς 102v
ἀρχάς, αἳ τοὺς κατὰ φύσιν καὶ ὡρισμένους ἑκάστῳ γένει χρόνους ἐμπο-
δίζουσιν· αὗται δ' εἰσὶν ἡ ὕλη καὶ ὁ πατὴρ καὶ ἄλλα πλείονα. τοιῶσδε 5
30 μὲν γὰρ ἔχοντος τοῦ πατρὸς καὶ τῆς μητρὸς ἐν τῇ ὁμιλίᾳ συμβαίνει
πολυχρόνιον γίνεσθαι τὸ συλληφθέν, τοιωσδὶ δὲ ὀλιγοχρόνιον. ἀλλὰ τὰς
μὲν αἰτίας τούτων ἐρεῖ, ὡς εἴπομεν, ἐν τῇ Περὶ μακροβιότητος καὶ βρα- 10
χυβιότητος· αἰτιάσεται γὰρ ἐκεῖσε τούτων τὸ θερμὸν καὶ ὑγρόν. καὶ ἡ

3 πλοῖον a corr. K: πλεῖον IL 4 χρόνον] χρόνῳ a 6. 7 μακροβιώτερον a
9 δεκάτου] γάλακτος K a 10 μείζονα delevi 11 μακροβιώτατα IL
14 ταύτας a 15 ἐν τῇ I βραχυβιότητι ex βραχυβιότητος corr. L²
16. 17 καὶ γενέσεων IL Arist. Z: καὶ τῶν γ. K Arist. vulg. 17 καὶ τῶν βίων—φύσιν
om. K μετρᾶσθαι I 19 βούλεται K τὸν] τῶν I 20 ἴσον εἶναι]
ἰσάζειν a τὸν] τ̄ L 21 fort. ἐνενηκοστὸν 22 post χρόνον add. καὶ
πάντων τῶν ἵππων ὁμοίως (cf. v. 23. 24) IL 25 καὶ om. IL ἀκριβοῖ K:
ἀκριβεῖ a 26 καὶ οἱ ἵπποι a 27 τούτου K 28 χρόνους om. IL: post
ὡρισμένους ponit a 29 γάρ εἰσιν IL 32 ἐν τῷ K 33 ἐκεῖσε] c. 5 τοῦτον I

μὲν τῶν λεγομένων διάνοια σύμπασα ἄχρι τοῦ τέλους τοῦ παρόντος τετάρτου 102v
βιβλίου αὕτη. τὰ δὲ κατὰ τὰς λέξεις ὧδέ πως ἔχει· τὸ οὖν μετρεῖσθαι
βούλονται περιόδοις ἴσον ἐστὶ τῷ ἴσας περιόδους ἡλίου καὶ σελήνης οἱ 20
ἄνθρωποι πάντες ἐτάχθησαν ζῆν, ὁμοίως δὲ καὶ οἱ ἵπποι ἴσας, οὐκ ἴσας δὲ
5 ταῖς τῶν ἀνθρώπων, ἀλλ' ἴσας πρὸς αὐτούς. ἡ δὲ σελήνη, φησίν, ἐστὶν
ἀρχὴ τοῦ μηνός· διελθοῦσα γὰρ τὸν ἥλιον μετὰ τὴν σύνοδον ἀρχὴν ὁ μὴν
λαμβάνει. ἐν δὲ τῇ λέξει τῇ τούτων δ' ἔχουσι τὸ πέρας καὶ τῆς
ἀρχῆς καὶ τῆς τελευτῆς τὸ τούτων περὶ τῆς θερμότητος καὶ ψυχρό- 25
τητος εἴρηται. ἀρχὴ μὲν γὰρ καὶ γένεσίς ἐστι θερμότητος ἥ τε τῆς
10 σελήνης αὔξησις καὶ ἡ τοῦ ἡλίου πρὸς τὰ βόρεια ζῴδια προσέλευσις,
ψύξεως δ' ἐκείνης μὲν ἡ μείωσις, τοῦ δὲ ἡλίου ἡ πρὸς τὰ νότια ἀνα-
χώρησις. καὶ ὥσπερ ἡ θάλασσα μεταβάλλει κατὰ τὴν τῶν πνευμάτων
κίνησιν, τὰ δὲ πνεύματα γίνεται, ὡς ἐν τοῖς Μετεώροις εἴρηται, κατὰ τὴν
τοῦ ἡλίου καὶ τῆς σελήνης περίοδον, οὕτως καὶ τὰ ἐκ τῶν ὑγρῶν καὶ τῶν
15 ἄλλων γινόμενα καὶ ἐν αὐτοῖς ὄντα ἀκολουθεῖν ἀναγκαῖον τῇ τῶν ἀστέρων 30
τούτων κινήσει. εὐθηνοῦσι μὲν γὰρ ἰχθύες, ὄστρεια, μαλακόστρακα ἐν
τῇ αὐξήσει, πάσχει δὲ τοὐναντίον ἐν τῇ μειώσει τῆς σελήνης· καὶ
βλαστάνει γῆ καὶ φυτὰ ἀνθεῖ, ζῷα δὲ ἡβᾷ καὶ γεννᾷ τῇ τοῦ ἡλίου προσε-
λεύσει, φθίνει δὲ τῇ τούτου ἀποχωρήσει, καὶ τἆλλα πάντα γίνεται ταῖς
20 τούτων περιόδοις, περὶ ὧν νῦν λέγειν οὐ καιρός. ἀκυρότερα δὲ λέγει 35
πνεύματα, γῆν, θάλασσαν, κυριώτερα δὲ ἥλιον, σελήνην καὶ τοὺς λοιποὺς
ἀστέρας. ὧδε μὲν οὖν ἐχέτωσαν πέρας καὶ αἱ εἰς τὸ τέταρτον τῶν Περὶ
ζῴων γενέσεως βιβλίων σχολαί. |

---

1 ξύμπασα K 2 πως] πη K τὸ μὲν οὖν K 3 περιόδῳ IL ἴσους ILa
5 ταῖς scripsi: τοῖς libri ἐστὶν om. L 6 μὴν] μὲν IL¹ 7 τὸ] τι a 8. 9 καὶ
ψυχρότητος om. IL 9 γὰρ om. ILa post ἐστι add. καὶ I 11 τοῦ δὲ]
τῆς δὲ τοῦ K ἡ post ἡλίου om. IL 12 κατὰ om. IL¹ 13 ἐν τοῖς
Μετεώροις] cf. B 4. 5 15 ἐν ἑαυτοῖς Ka ἄστρων a 16 post γὰρ add.
οἱ K 19 ὑποχωρήσει L 20 ἀκυρότερα] ἀκυριώτερα IL 21 post γῆν
et ἥλιον add. καὶ K 22 πέρας] τέλος K 23 βιβλίον I Τέλος τοῦ
τετάρτου subscr. Ia

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΠΕΜΠΤΟΝ ΤΩΝ ΠΕΡΙ ΖΩΩΝ ΓΕΝΕΣΕΩΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΒΙΒΛΙΩΝ. 103r

Ὅσα μὲν ἐν τῷ παρόντι βιβλίῳ πέμπτῳ ὄντι καὶ τελευταίῳ τῆς Περὶ ζῴων γενέσεως πραγματείας ἔδει ζητῆσαι, αὐτὸς σαφῶς καταλέγει, πλὴν ὅτι τὸ καὶ χρώματος ἢ σώματος καὶ τριχῶν ἢ πτερῶν διαφορὰ ταὐτόν ἐστι τῷ χρώματος [δὲ] διαφορά, χρώματος δὲ ἢ σώματος ἢ τριχῶν ἢ πτερῶν· διαφέρει γὰρ θρὶξ τριχὸς καὶ πτερὸν πτεροῦ καὶ σῶμα σώματος χρώματι τῷ τὰ μὲν εἶναι λευκὰ τὰ δὲ μέλανα, ἢ καὶ κατ' ἄλλην χρωμάτων διαφοράν. τῶν δὲ εἰρημένων παθημάτων ἔνια μὲν ὅλοις ὑπάρχει τοῖς γένεσιν, οἷον γλαυκότης πάσῃ τῇ λεγομένῃ γλαύκῃ ὄρνιθι, ἀνθρώποις δ' οὐ πᾶσιν. ἀκολουθεῖ δὲ εὐθὺς γενομένοις ὄνυχες φωναί, ὀξύτης δὲ φωνῆς ἢ βαρύτης καὶ τρίχωσις γενείου καὶ ἥβης καὶ πολιὰ οὐκ εὐθύς, ἀλλ' ὕστερον.

p. 778a29 Περὶ δὲ τούτων καὶ τῶν τοιούτων πάντων οὐκέτι τὸν αὐτὸν τρόπον δεῖ νομίζειν εἶναι τῆς αἰτίας.

Τρόπον αἰτίας τὴν ἕνεκά του λέγει αἰτίαν· αὕτη δ' ἐστὶ τὸ τελικὸν αἴτιον. τὸ δὲ λεγόμενόν ἐστιν ὅτι ἐν τῇ τῶν αἰτίων ἀποδόσει τοῦ τὰ μὲν γίνεσθαι γλαυκόμματα τὰ δὲ μελανόμματα, καὶ τὰ μὲν βαρύφωνα τὰ δὲ ὀξύφωνα, καὶ ἐπὶ τῶν ὁμοίων τὸ μὲν ὑλικὸν καὶ ποιητικὸν αἴτιον ζητητέον καὶ ἀποδοτέον, τὸ δὲ ἕνεκά του οὐ ζητητέον. οὐ γὰρ γέγονεν ἡ γλαυκότης ἕνεκά του ὥσπερ ὀφθαλμός (οὗτος γὰρ ἕνεκα τοῦ ὁρᾶν ἡμᾶς

---

1. 2 Tit. Σχόλια—βιβλίων IKL: Ἀριστοτέλους περὶ ζώων γενέσεως μετὰ τῶν τοῦ Φιλοπόνου σχολίων βιβλίον ε' a 3 ἐν om. IL 4 ζητεῖν a 5 et 6 διαφορὰν I: διάφορον a 6 δὲ prius delevi 8 τῷ] τῶν a 9 παθήματα K 9. 10 τὴν γένεσιν I: τοῖς γένεσις a 10 ὄρνιθι om. a 11 δὲ (ante εὐθὺς) om. a γενομένης ὡς ὄνυχες a post ὄνυχες add. οὕτω (sic) καὶ a 12 ἢ] καὶ a 15 τὰς αἰτίας IL[1] 16 αἰτίας om. IL 17 τοῦ πῶς τὰ μὲν Ka 18 γίνεται IKa γλαυκόφθαλμα Ka μελανόφθαλμα Ka 19 ποιητικὸν L ζητήται a 20 οὐ ζητητέον om. a: ζητητέον om. K 21 ὡς Ka ὁ ὀφθαλμός a ἕνεκα τοῦ scripsi: ἕνεκά του libri

γέγονεν) ἀλλ' ἐπισυμβέβηκεν ἡ γλαυκότης τῷ ἕνεκά του· ἕνεκα γὰρ τοῦ ποιῆσαι ὀφθαλμὸν λαβοῦσα ἡ φύσις ὑγρόν, λαβοῦσα δὲ πλέον τοῦ δέοντος | συνέβη γεγονέναι μέλανα τὸν ὀφθαλμόν, ὡς μαθησόμεθα μετ' ὀλίγον, ὅτε 103v αὐτὸς περὶ τούτων λέγει, ἔλαττον δὲ λαβοῦσα γίνεται γλαυκός. ἐν οἷς οὖν, ὡς εἴρηται, οὐκ ἔχει σκοπὸν ἡ φύσις ποιῆσαι αὐτά, ἀλλὰ συμβαίνει τοῖς ἕνεκά του, ἐν τούτοις οὐκ ἀποδοτέον τὴν ἕνεκά του αἰτίαν, ἀλλὰ τὴν ὕλην καὶ τὸ ποιητικόν, οἷον ὅτι ἐκ τῆς τοιασδὶ ὕλης καὶ τοῦ τοιουδὶ ποιητικοῦ τὸ μὲν γέγονε γλαυκόμματον τὸ δὲ μελανόμματον, καὶ τὸ μὲν αἰγωπόμματον τὸ δὲ χαροπόφθαλμον. περὶ πάντων, φησί, τῶν εἰρημένων παθημάτων οὐ νομιστέον ὅτι πρὸς τῇ ὕλῃ καὶ τῷ ποιητικῷ δεῖ καὶ τὴν ἕνεκά του αἰτίαν ἀποδιδόναι, ἀλλ' ὅσα μέν ἐστι κοινὰ ἔργα τῆς φύσεως ἢ ἴδια γένους ἤτοι εἴδους τινός (εἰσὶ δὲ κοινὰ μὲν πάντων τῶν ζῴων οἱ πόροι, δι' οὗ τε τὴν τροφὴν δέχονται, ὅπερ καλεῖται στόμα, καὶ ᾧ τὸ περίττωμα ἀφιᾶσιν, οἵ τε σπερματικοὶ πόροι καὶ αἱ ὑστέραι καὶ ἄλλα τινά, ἴδια δὲ γένους τινὸς χεῖρες· μόνοις γὰρ τοῖς ἀνθρώποις ὑπάρχουσιν· καὶ ἄλλα ἄλλοις), ὅσα μὲν οὖν εἰσι κοινὰ ἢ ἴδια εἴδει τινί, ταῦτα πάντα ἕνεκά του γίνεται· ἐν τούτοις οὖν ἀποδοτέον τὴν ἕνεκά του αἰτίαν· ὅσα δὲ μὴ κοινὰ μηδὲ ἴδια εἴδει τινί, τούτων οὐδὲν οὔτε ἔστιν ἕνεκά του οὔτε γίνεται. διὸ οὐδ' ἀποδοτέον ἐν τούτοις ταύτην τὴν αἰτίαν, πλὴν ἂν ἴδιον ᾖ τοῦ γένους τοῦτο τὸ πάθος, ὥσπερ τῆς ὄρνιθος τῆς καλουμένης γλαύκης ἡ γλαυκότης. ἴδιον γὰρ αὐτῆς τοῦτο ὡς ἀνθρώπου τὸ γελαστικόν, ἴδιον δ' οὐχ ὡς τὰ ἀντιστρέφοντα, ἀλλ' ὡς εὑρισκόμενον ἐν πάσῃ γλαύκῃ. καὶ συντείνει ἡ γλαυκότης πρὸς τὸν ὁρισμὸν τῆς οὐσίας οὐ τῆς γλαύκης, ἀλλὰ τοῦ γλαύκης ὀφθαλμοῦ· ὁ γὰρ ὁριζόμενος τὸν τῆς γλαύκης ὀφθαλμὸν συλλήψεται εἰς τὴν ἀπόδοσιν καὶ τὴν γλαυκότητα. ἢ οὐ μόνον εἰς τὸν τοῦ ὀφθαλμοῦ ὁρισμὸν ληφθήσεται ἡ γλαυκότης, ἀλλὰ καὶ εἰς τὸν τῆς γλαύκης· εἰ γάρ τις ὁρίσασθαι μέλλει τὴν γλαύκην μὴ ᾗ ὄρνιθα, ἀλλ' ᾗ γλαύκην, ἀνάγκη τὴν γλαυκότητα λαβεῖν εἰς τὸν ὁρισμὸν αὐτῆς.

p. 778a35 Ἀλλ' ὡς ἐξ ἀνάγκης γινομένων εἰς τὴν ὕλην καὶ τὴν κινήσασαν ἀρχὴν ἀνακτέον τὰς αἰτίας.

Κινήσασαν ἀρχὴν τὴν ποιητικὴν αἰτίαν φησίν. εἴη δ' ἂν ἡ λέξις αὕτη συνεχὴς τῇ περὶ δὲ τούτων καὶ τῶν τοιούτων πάντων, καὶ ἔστι τὸ τῆς λέξεως συνεχὲς τοιοῦτον ‘περὶ δὲ τούτων καὶ τῶν τοιούτων πάντων

---

1 τῷ] τῶν a 2 ὑγρὸν in ras. L 3 ὅτι a 4 λευκός IL 5 συμβαίνουσι Ka 6 ἀποδότη a 7 τοιουδὶ] τοιαδὶ IL 8 αἰγοπόμματον IKa 9 χαροπόφθαλμα a 11 εἰσι I ἴδια scripsi: ἰδίᾳ IKL: εἰ διὰ a ἤτοι] ἢ Ka 12 τε om. IL 13 ὅπερ] ὅ Ka 16 post εἰσι add. μὴ L² κοινὰ μηδὲ ἴδια IL γένει Ka ταῦτα—εἴδει τινὶ (17. 18) om. IL 17 et 18 ἀποδότη a 19 ἴδιον post γένους ponunt Ka 21 post prius ὡς add. καὶ IL 22 εὑρισκόμενα a πάσῃ] ἅπασι I 23 τοῦ γλαύκης] τοῦ γλαυκοῦ IKL¹a 26 ὁρίσαι a 27 ὄρνιθας a ᾗ γλαύκην] ἡ γλαύκη I: ἢ γλαῦκα K 30 κινοῦσαν K post ἀρχὴν add. τὴν ποιητικήν φησιν αἰτίαν IL 31 Κινοῦσαν γὰρ ἀρχὴν a

οὐκέτι τὸν αὐτὸν τρόπον δεῖ νομίζειν εἶναι τῆς αἰτίας, ἀλλ' ὡς ἐξ ἀνάγκης 103v
γινομένων, τουτέστιν ἀλλ' ὡς ἐκ τῆς τοιασδὶ ὕλης γινομένων, εἰς τὴν
ὕλην καὶ τὸ ποιῆσαν ἀνακτέον τὰς αἰτίας τῆς γενέσεως αὐτῶν'. τοῦτο 30
δὲ ταὐτόν ἐστι τῷ ἐκ τῆς ὕλης καὶ τοῦ ποιητικοῦ ἀποδοτέον τὴν γένεσιν
5 αὐτῶν. ὡς γὰρ πολλάκις εἴρηται, ὅσα ἔργα τῆς φύσεως τεταγμένως καὶ 35
ὡρισμένως καὶ γίνεται καὶ ἔστιν, οὐ διὰ τὸ κινεῖσθαι τὴν ὕλην, ἀφ' ἧς
γεγόνασι τοιωσδί, τοιαῦτά εἰσι ταῦτα, ἀλλὰ μᾶλλον διὰ τὸ εἶναι αὐτὰ 40
τοιαῦτα κινεῖται ἡ ὕλη τοιωσδί· διὰ γὰρ τὸ τὸν ἄνθρωπον εἶναι τοιονδὶ
κινεῖται ὑπὸ τῆς γονῆς τὸ καταμήνιον τοιωσδί, ἀλλ' οὐ διὰ τὸ κινεῖσθαι
10 αὐτὸ τοιωσδὶ ὁ ἄνθρωπος γίνεται τοιοῦτος. τῇ γὰρ οὐσίᾳ οἷον τῷ ἀνθρώπῳ 45
ἀκολουθεῖ ἡ γένεσις, καὶ διὰ τὸ εἶναι τοιοῦτόν ἐστιν αὕτη τοιάδε, οὐ μὴν
διὰ τὸ εἶναι αὐτὴν τοιαύτην ὁ ἄνθρωπός ἐστι τοιοῦτος, ὥσπερ ᾠήθησαν οἱ 104r
ἀρχαῖοι τῶν φυσιολόγων διὰ τὸ μὴ συνεωρακέναι τὴν ἕνεκά του αἰτίαν.
ἔστι μὲν οὖν ἕκαστον τῶν γινομένων ἕνεκά του, ἕκαστον δὲ τῶν εἰς τὸν
15 λόγον καὶ ὁρισμὸν παραλαμβανομένων ἑκάστου τοῦ ἤδη γεγονότος καὶ ὄντος
διὰ ταύτην τὴν ἕνεκά του ἐστὶν αἰτίαν καὶ τὰς λοιπάς. ἀσαφῶς δὲ 5
ἀπαγγελθεῖσα ἡ λέξις καὶ ἀκαταλλήλως ἡ ἔστι μὲν οὖν ἕκαστον
ἕνεκά του, γίνεται δ' ἤδη διὰ ταύτην τὴν αἰτίαν. εἴη ἂν τὸ
κατάλληλον αὐτῆς τοιοῦτον 'ἔστι μὲν οὖν ἕκαστον, ὅσαπερ ἐν τῷ λόγῳ
20 ἐνυπάρχει τῷ ἑκάστου, ἕνεκά του, τουτέστιν ἕκαστον τῶν εἰς τὸν λόγον
καὶ ὁρισμὸν παραλαμβανομένων ἑκάστου πράγματος ἕνεκα τοῦ ὁριστοῦ ἐστιν.
εἶτα ἀπ' ἄλλης ἀρχῆς ῥητέον τὸ γίνεται δὲ ἤδη διὰ ταύτην τὴν
αἰτίαν καὶ τὰς λοιπάς. τὰ μὲν γὰρ γένη καὶ αἱ διαφοραί εἰσιν ἕνεκα
τῶν εἰδῶν, τὰ δὲ σύνθετα καὶ καθ' ἕκαστα γίνονται διά τε τὴν τελικὴν
25 αἰτίαν καὶ τὰς λοιπάς, τήν τε ὕλην καὶ τὸ ποιοῦν, διὰ μὲν τὴν ὕλην ὡς 10
συνοῦσαν τῷ γεγονότι, καὶ ἧς ἄνευ μὴ δυνάμενον ὅλως εἶναι, ὁμοίως δὲ καὶ
διὰ τὸ ποιητικόν· τὰ γὰρ γινόμενα ἄνευ ποιητικοῦ γενέσθαι οὐ δύνανται,
ἐπεὶ καὶ τὰ ἐξ αὐτομάτου γεγονέναι δοκοῦντα ἐκ ποιητικῆς τινος αἰτίας
γίνεται, ὥρας φημὶ ἢ θερμότητος ἢ ἄλλου τινός'. ἐπεὶ δέ τις ἤμελλε λέγειν
30 'ἀλλὰ μὴν καρδία, χείρ, ἐγκέφαλος οὔκ εἰσιν ἐν τῷ λόγῳ τῷ τοῦ ἀνθρώπου,
ὥστε οὐδὲ ἕνεκά του ἔσονται', ἐπήγαγε τὸ ἢ ἔστιν ἕνεκά του ἢ οὐ
ἕνεκα, δυνάμει λέγων 'οὐ μόνον τὰ εἰς τὸν ὁριστικὸν λόγον παραλαμβανόμενα 15
ἕνεκά του εἰσίν, ἀλλὰ καὶ τὰ λοιπὰ πάντα ἢ ἕνεκά του ἔσονται ἢ οὐ
ἕνεκα. ἕνεκα μὲν γάρ τινός εἰσιν ἐγκέφαλος πνεύμων καὶ τὰ λοιπά (ἕνεκα
35 γὰρ τῆς καρδίας), οὗ δὲ ἕνεκα ἡ καρδία· ἕνεκα γὰρ αὐτῆς τἆλλα πάντα

1 δεῖ post οὐκέτι ponunt Ka τὰς αἰτίας IL 2 τῆς om. Ka 3 τὸ ποιητικὸν a
4 ἀποδότοι (sic) a 5 αὐτῆς a πολλὰ a post ὅσα add. γὰρ Ka
τεταμμένως a 9 κινεῖται] κινεῖ τὸ a τοιονδὶ IL¹ 10 τοιωσδὶ] οὕτως Ka
11 γένεσις in ras. L 12 ὡς Ka οἱ] ἡ a 15 et 21 περιλαμβανο-
μένων a 15 τῷ ἤδη γεγονότι a 18 εἴη] εἰ a 19 αὐτοῖς I ὅσα Ka
21 καὶ ὁρισμὸν om. Ka ὁριστικοῦ Ka 23 τὸ et γένος a εἰσὶν om. Ka
24 γίνεται Ka 26 δυνάμενον scripsi: δυναμένω IKL: δυναμένη a ὅλως]
ἄλλως L 28 αἰτίας om. IL 29 φησὶν K 30 τῷ post λόγῳ om. I
32 περιλαμβανόμενα a 34 εἰσὶν om Ka πνεῦμα a

μέρη ἐστί. τῶν δὲ ἄλλων, φησίν, ὅσων ἐστὶ γένεσις, μὴ ὄντων δὲ τοιούτων, 104r
τουτέστιν ἢ ἕνεκά του ἢ οὗ ἕνεκα (ἐστὶ μὲν γὰρ τῆς γλαυκότητος γένεσις, ἀλλ'
οὐκ ἔστιν ἡ γλαυκότης οὔτε ἕνεκά τινος οὔτε οὗ ἕνεκα· οὐδὲν γὰρ ἕνεκεν αὐτῆς
γίνεται) ὅσων οὖν ἐστι γένεσις μὴ ὄντων δὲ τοιούτων, τούτων τὸ αἴτιον 20
5 ἐν τῇ κινήσει δεῖ καὶ τῇ γενέσει ζητεῖν, λέγων κίνησιν μὲν τὸ
ποιητικὸν αἴτιον, γένεσιν δὲ τὸ ὑλικὸν διὰ τὸ τὸ μὲν κινεῖν, τὴν δὲ γίνεσθαι.
τὰς δὲ διαφορὰς τὰς τοιαύτας, ἤγουν τὴν γλαυκότητα καὶ τὰς λοιπάς, λαμβά-
νουσιν οἱ ὀφθαλμοὶ ἐν τῇ συστάσει, τουτέστιν ὅτε τὸ ζῷον συνίσταται.

p. 778ᵇ20 Πρῶτον μὲν οὖν ὅταν γεννῶνται τὰ παιδία, πάντων
10 μάλιστα τῶν ἀτελῶν καθεύδειν εἴωθε.

Τὸ ὅταν γεννῶνται νῦν εἴληπται ἀντὶ τοῦ ὅταν ἐξέλθωσι θύραζε, 25
τὸ δὲ μάλιστα ἴσον ἐστὶ τῷ πλέον· ὑποστικτέον δὲ εἰς τὸ τὰ παιδία, εἶτα
ἐπακτέον τὸ πάντων μάλιστα τῶν ἀτελῶν. ἔστι δὲ τὸ λεγόμενον 'τὰ
παιδία ἐξελθόντα ἐκ τῆς μήτρας θύραζε καθεύδει καὶ κοιμᾶται πλέον τῶν 30
15 ἀτελῶν πάντων· οὔτε γὰρ σκύμνος οὔτε δελφάκιον οὔτε ἄλλο οὐδὲν μικρὰ
ὄντα ἐξελθόντα θύραζε κοιμᾶται τοσοῦτον ὅσον τὰ παιδία, ἐπεὶ καὶ ἐν τῇ 35
μήτρᾳ ὄντα τὰ παιδία, ἡνίκα λάβῃ αἴσθησιν, καθεύδοντα διατελεῖ· ὀλιγάκις
γὰρ κινεῖται παρ' ὅλον τὸν τῆς κυήσεως καιρόν, τὸν δ' ἄλλον ἅπαντα 40
κοιμᾶται'. εἰπὼν δὲ ὅτι καὶ ἐν τῇ μήτρᾳ κοιμᾶται, ἐπάγει 'ἀπορήσειεν ἄν
20 τις πρῶτον, ὁπηνίκα τὴν αἴσθησιν λαβὸν ἤρξατο κοιμᾶσθαι, ἆρα ἐγρηγόρει
πρὸ τῆς αἰσθήσεως καὶ τοῦ εὐθὺς ὃν ἤρξατο μετ' αὐτὴν κοιμᾶσθαι ὕπνου, 45
ἆρ' οὖν πρῶτον ἐγρηγόρει, εἶτα ἔλαβε τὴν αἴσθησιν καὶ εὐθὺς ὕ|πνωσεν, 104v
εἶτα πάλιν ἐγρήγορεν, ἢ ὕπνωττε καὶ πρὸ τοῦ αἴσθησιν δέξασθαι καὶ ὅτε
ἐδέχετο αὐτήν, ὕστερον δὲ ἐγρηγόρησεν, ὡς μηδὲν ὅλως προηγήσασθαι τὴν 5
25 ἐγρήγορσιν τοῦ ὕπνου'. ἀποδέχεται δὲ τὸ προηγήσασθαι τὸν ὕπνον καὶ ἐξ
αὐτοῦ εἰς ἐγρήγορσιν μεταβῆναι ἢ ἔμπαλιν ἐξ ἐγρηγόρσεως εἰς ὕπνον. ἔτι
δὲ ἐπεί, φησί, πᾶσα μετάβασις διὰ τοῦ μεταξὺ γίνεται, ἄγεται δὲ ἐκ τοῦ 10
μὴ ὄντος εἰς τὸ ὄν, οὐ τοῦ ἁπλῶς μὴ ὄντος ἀλλὰ τοῦ πῇ, ἀνάγκη διὰ
τοῦ μεταξὺ εἰς τὸ ὂν καὶ εἰς τὴν ζωὴν ἐλθεῖν· δοκεῖ δὲ ὕπνος εἶναι
30 τοιοῦτον, τουτέστιν μεταξὺ ὄντος καὶ μὴ ὄντος. ἔστι μὲν γὰρ μὴ ὂν ὁ 15
τεθνηκὼς καὶ ὅλως ὁ θάνατος, ὂν δὲ ὁ ζῶν καὶ ὅλως ἡ μετ' αἰσθήσεως
μάλιστα ζωή, ὁ δ' ὕπνος ἐστὶ μεταξὺ ζῶντος καὶ τεθνεῶτος· ἡ γὰρ ζωή,
φησί, μάλιστα ἐν τῷ ἐγρηγορέναι ἐστίν, ὅτι καὶ τότε αἰσθανόμεθα, ὅτε καὶ
γρηγοροῦμεν. ὑπνοῖ μὲν οὖν ἀληθῶς ἐν τῇ μήτρᾳ ὂν μετὰ τὸ τὴν αἴσθησιν

1 ἐστὶν ἡ γένεσις a 3 τινος ἢ οὗ ἕνεκα IL οὐδεὶς L 6 τὸ τὸν μὲν IL
7 ἤγουν] ἤτοι Ka 8 τουτέστιν] ἤγουν Ka 9 γεὶῶνται IL: γένωνται Arist.
11 Τὸ om. IKa 12 τὸ post εἰς om. I 18 καιρόν] χρόνον Ka 19. 20 ἀπορίαν
ἄν τις K: ἀπορίαν τις a 20 λαβὼν τὴν αἴσθησιν Ka 23 post τοῦ add. τὴν Ka
24 μηδόλως Ka 25 τὸ om. IL 27 φησὶν ἐπεὶ coll. Ka 28 οὐ τοῦ—τὸ ὂν
(29) om. K διὰ om. IL 29 εἰς post καὶ om. Ka 30 τοιοῦτος Ka
τουτέστιν] ἤτοι Ka μὲν om. Ka 30. 31 ὁ τεθνηκὼς] ὅτε τεθνήσκει a
32 μεταξύ ἐστι coll. Ka 34 γρηγορῶμεν I

δέξασθαι, πρὸ δὲ τοῦ τὴν αἴσθησιν δέξασθαι ὑπνοῖ μὲν οὐδαμῶς, ἔχει δὲ 104v
διάθεσιν ὁμοίαν ὕπνου ὥσπερ καὶ τὰ φυτά· οὐδὲ γὰρ αὐτὰ ὑπνώττει.
οὐδεὶς γὰρ ὕπνος ἀνέγερτος, τουτέστιν οὐδὲν ὑπνῶττον οὐ μεταβάλλει 20
εἰς ἐγρήγορσιν, ὥστε ἂν ὕπνωττε καὶ τὰ φυτά, ἐγρηγόρησεν ἄν ποτε.
καθεύδει μὲν οὖν τὰ ζῷα ἐν τῇ μήτρᾳ ὄντα τὸν πλεῖστον χρόνον διὰ τὸ
τὴν αὔξησιν καὶ τὸ βάρος ἐπικεῖσθαι τοῖς ἄνω τόποις (πρῶτον γὰρ τὰ ἄνω
αὔξεται, ὡς πρότερον εἴρηται)· ἐπικείμενον γὰρ τὸ βάρος ἄνωθεν ἐμποδίζει
τὴν αἴσθησιν. περὶ ὧν τοῦ ὕπνου καὶ ἐγρηγόρσεως τὰς αἰτίας πρότερον
ἐν τῷ Περὶ ὕπνου εἴρηκεν· ἐκεῖνο γὰρ ἠνίξατο εἰπὼν εἰρήκαμεν δὲ τὴν
αἰτίαν τοῦ καθεύδειν τοιαύτην οὖσαν ἐν ἑτέροις. ἔστι δὲ τοῦτο 25
ἴσον τῷ καὶ ἐν ἄλλοις τὸ γινόμενον βάρος ἄνωθεν καὶ μάλιστα περὶ τὴν
καρδίαν αἴτιον ἀποδεδώκαμεν τοῦ γίνεσθαι ὕπνον. ὅτι δὲ ἐγείρονται καὶ
καθεύδουσιν ἐν τῇ μήτρᾳ, δῆλον καὶ ἐκ τῶν ἀνατομῶν καὶ ἐν τοῖς
ᾠοτοκοῦσι· πολλοὶ γὰρ τῶν νεοττῶν ἐντὸς τῶν ᾠῶν ὄντες φωνοῦσι
δηλονότι ὅταν ἐγρηγορήσωσιν, εἶτα πάλιν σιγῶσιν ἐπὶ πολὺ ὡς δηλονότι
ὑπνώττοντες.

p. 779a 11 Καὶ ἐγρηγορότα μὲν οὐ γελᾷ τὰ παιδία, καθεύδοντα δὲ καὶ δακρύει καὶ γελᾷ.

Ἐλλιπῶς ἡρμήνευται ἡ λέξις, εἴη δ' ἂν τὸ πλῆρες τοιοῦτον· δακρύει 30
τὰ παιδία καὶ ἐγρηγορότα καὶ καθεύδοντα, γελᾷ δὲ μόνον καθεύδοντα. τοῦ
δὲ γελᾶν αὐτὰ καθεύδοντα αἰτιᾶται τὸ τριττὸν τῆς αἰσθήσεως· ἡ μὲν γὰρ 35
ἐστιν ἥτις γίνεται ἡμῖν ἐγρηγορόσιν, αὐτήν φημι τὴν κατ' ἐνέργειαν αἴσθησιν,
ἑτέρα δὲ ἥτις ἐν τῷ ὁρᾶν ὀνείρατά ἐστιν (αἴσθησις γάρ τις καὶ ἡ τῶν
ὀνειράτων φαντασία· εἴρηται δὲ περὶ τούτων ἐν τῷ Περὶ τῆς καθ' ὕπνον 40
μαντικῆς), τρίτη δὲ ἣν πάσχουσι πολλοὶ τῶν ἀνθρώπων· καθεύδοντες γὰρ
ἐγείρονται ἀνεῳγότας ἔχοντες τοὺς ὀφθαλμοὺς καὶ πράττοντές τινας πράξεις 45
μὴ εἰδότες ὅ τι καὶ πράττουσιν· πῶς γάρ, ἐπειδὴ κοιμῶνται; | ὅτι δὲ 105r
κοιμῶνται ἐν ταῖς τοιαύταις πράξεσι, δῆλον· ὕστερον γὰρ ἐπειδὰν ἐγρηγο-
ρήσωσιν, ἐρωτώμενοι λέγουσι μηδὲν εἰδέναι, εἰ ὅλως ἠγέρθησαν ἢ ἔπραξάν τι, 5
οἷόν τι συμπέπτωκε καὶ ἐμῷ φίλῳ. ἦν γὰρ ἐμὸς συνήθης τις τὴν τέχνην ἰατρός,
καὶ ἐμοῦ ἀναγινώσκοντος, ἐκείνου δὲ κοιμωμένου (ἦν δὲ ὥρα ἑβδόμη τῆς 10
ἡμέρας) ἐγερθεὶς καὶ ἀπελθὼν ἐν τῷ οἰκήματι, ἐν ᾧ εἴχομεν ἀποκεκλεισμένας
τὰς ἀλεκτορίδας, ἤνοιξε τὴν θύραν μηδέν τι πλέον πράξας καὶ στραφεὶς πάλιν
ἀνέπεσε καὶ ἐκοιμᾶτο· μετὰ δὲ ταῦτα ἐγερθεὶς καὶ ὑπ' ἐμοῦ ἐρωτηθεὶς 'τίς ἡ 15

2 ὕπνω Ka ὡς K: ὦ a 3 τουτέστιν] ἤγουν Ka 4 ὑπνώτη (sic) a
5 τὸν om. L 6 πρώτων a 7 πρότερον om. L 9 ἐν τῷ Περὶ ὕπνου] c. 3 10 τοιαύτη a 14 πολλὰ a 19 Ἐλλειπῶς a 21 τρίτον a
22 ἐγρηγορῶσιν Ia φησι Ka 23 ἐστιν om. IL 24 τούτου a
25 τρίτω a 27 πῶς—ἐπειδὴ] ἐπεὶ Ka 28 ἐπὰν Ka 29 εἰδέναι] εἶναι IL[1] post ὅλως add. ἢ I ἢ] εἰ a 30 ἐμὸς] μοι IK ἰητρὸς IL: ἰατρικὴν a 32 ἀπελθὸν Ka ἀποκεκλεισμένα L 33 τὰ IL
34 ὑπ' ἐμοῦ om. IL

ἀναγκῃ καὶ ἡ αἰτία δι' ἣν ἐγερθεὶς ἤνοιξας τὴν θύραν, εἶτα πάλιν κατέδαρθες;' 105r
ἐκεῖνος ἀπεκρίνατο μηδὲν εἰδέναι· 'οὔτε γὰρ εἰ ὅλως ἠγέρθην σύνοιδα οὔτε
πολλῷ μᾶλλον, εἰ τὴν θύραν ἀνέῳξα'. ἔστιν οὖν καὶ αὕτη αἴσθησίς τις
μετὰ φαντασίας τινός, οὐ μετὰ μνήμης δέ· διὸ καὶ ἀγνοοῦμεν, ὅταν τι
5 τοιοῦτον πάθωμεν, εἰ ὅλως πεπόνθαμέν τι τοιοῦτον, ὅπερ συμβαίνει καὶ
ἐπὶ τῶν ὀνειράτων· πολλὰ γὰρ τῶν φαινομένων ἡμῖν ἐν τοῖς ὕπνοις οὐ
μεμνήμεθα ἐγρηγορότες. ἔστιν οὖν καὶ αὕτη αἴσθησίς τις καθ' ἣν καὶ τὰ
παιδία γελᾷ, καὶ ἔοικεν ὁ γέλως τῶν παιδίων τῇ τῶν καθευδόντων πράξει,
ἣν πράττουσιν ἐγερθέντες μέν, μὴ εἰδότες δέ. εἰπὼν οὖν τὴν αἰτίαν δι'
10 ἣν γελᾷ καθεύδοντα, ἐπήγαγε τὰ δὲ παιδία ἐοίκασιν ὥσπερ ἀνεπι-
στήμονα, καὶ τὰ ἑξῆς. ἔστι δὲ τὸ συνεχὲς τῆς λέξεως τοιοῦτον· τὰ δὲ
παιδία ἐοίκασιν ἐν τῷ καθεύδειν ἐπαισθάνεσθαι καὶ ζῆν ὥσπερ ἀνεπιστήμονα
τοῦ αἰσθάνεσθαι διὰ συνήθειαν. ἔστι δὲ τὸ λεγόμενον 'τὰ δὲ παιδία ἐν τῷ
καθεύδειν ἐοίκασι τοῖς αἰσθανομένοις (αἰσθάνεται γὰρ ὅτε ὑπνώττει) κατὰ
15 τὴν αἴσθησιν τῶν ἀνισταμένων, ὅτε καθεύδουσι, καὶ πολλὰ πραττόντων
ἄνευ τοῦ ἐνυπνιάζειν'. αἰσθάνεται δὲ κατὰ ταύτην τὴν αἴσθησιν ἐν τῷ
καθεύδειν, φησί, διὰ τὸ μὴ ἔχειν ἐπιστήμην καὶ μάθησιν τοῦ ἐγρηγορέναι.
συνεθισθὲν γὰρ ἐν τῇ μήτρᾳ ὂν ὑπνώττειν, μηδὲν δ' ὅλως μεμαθηκὸς
ἐγρηγορέναι οὐκ ἐγρηγορεῖ (οὐ γὰρ μεμάθηκεν ἐγρηγορεῖν), ἀλλ' ὑπνώττει·
20 τοῦτο γὰρ μᾶλλον μεμάθηκε καὶ εἴθισεν. ἐπειδὰν δ' αὐξηθῶσι καὶ ἑνὸς
ἐνιαυτοῦ ἢ καὶ ὀλίγον ἐλάττονος ἢ πλείονος χρόνου γένωνται, τοὐναντίον
πάσχουσι· τὸν γὰρ πλείονα ἐγρηγοροῦσιν, ὥστε καὶ τὰς μαίας πολλὰ
μηχανᾶσθαι, ἵνα ποιήσωσιν αὐτὰ ὑπνῶσαι. λέγει δὲ τὰ παιδία μᾶλλον τῶν
ἄλλων ζῴων ἐν ὕπνῳ τὸ πρῶτον διατελεῖν. τοῦ δὲ εὐθὺς γενομένων τῶν
25 παιδίων γλαυκότερα εἶναι τὰ ὄμματα αὐτῶν, τῶν δὲ ἄλλων ζῴων μή,
αἴτιον εἶναί φησι τὸ μονόχρωμα εἶναι τὰ ὄμματα τῶν ἄλλων ζῴων. ἐπειδὴ
γὰρ οἱ | μὲν τῶν ἀνθρώπων εἰσὶ γλαυκοὶ οἱ δὲ μελανόφθαλμοι, ἔοικε τὰ 105v
παιδία τρόπον τινὰ δυσίν· εὐθὺς μὲν οὖν γενόμενα ἔοικε τῷ γλαυκοφθάλμῳ,
ὕστερον δὲ τῷ μελανομμάτῳ· τὰ δ' ἄλλα ἐπειδὴ μονόχρωμά εἰσιν, ὥσπερ
30 οὐ διαφέρουσι τοῦ βοὸς τούτου τὰ ὄμματα πρὸς τὰ τοῦ ἄλλου βοός, οὕτως
οὐδὲ τοῦ αὐτοῦ καὶ ἑνὸς βοὸς οἱ ὀφθαλμοὶ διαφέρουσιν αὐτοὶ ἑαυτῶν ποτε.
ἐπὶ δὲ τῶν ἀνθρώπων, ἐπειδὴ οἱ τούτου τοῦ ἀνθρώπου ὀφθαλμοὶ διαφέρουσι
πρὸς τοὺς ἐκείνου τοῦ ἀνθρώπου, δύνανται διαφέρειν καὶ αὐτοὶ ἑαυτῶν, καὶ

1 ἤνοιξε Ka τὴν θύραν ex τὰς θύρας corr. L κατέδαρθε Ka 2 ἠγέρθει a
οἶδα Ka 3 πολλοῦ Ka τις om. a 5 εἰ] ἢ I ὥσπερ Ka
συμβήσεται a 6 τοῖς om. Ka 7 ἐγρηγορήσαντες a 8 τοῦ καθεύδοντος a
12 αἰσθάνεσθαι Ka ὡς Ka ἂν ἐπιστήμονα libri 13 συνήθει a
14 ὑπνώττη a 16 ταῦτα a 18 et 19 ὑπνώττη a 18 οὐδὲν δὲ Ka
19 οὐ γρηγορεῖ K: οὐ γρηγορεῖν a 20 ἤθισεν I ἐπὰν Ka αὐξήσωσι IL
21 καὶ om. L 22 πλείω γρηγοροῦσι Ka 24 τὰ πρῶτα K διατελεῖ a
25 παίδων Ia δὲ del. L: om. a μὴ om. L: μὴ δὲ a 26 τὸ] τοῦ IL
ἐπεὶ Ka 27 εἰσὶ om. Ka 27. 28 τὸ παιδίον Ka 28 γενόμενον IKa
29 ἐπεὶ Ka 31 οὐδὲ] δὲ I οἱ om. IKa διαφέρουσιν—ὀφθαλμοὶ (32)
om. sed in marg. adscr. L 32 ἐπὶ] ἐπεὶ a 33 πρὸς—διαφέρειν καὶ om. L
τοῦ ἀνθρώπου om. Ka

ἐπὶ τούτῳ μεταβάλλουσιν ἀπὸ γλαυκότητος εἰς μελάνωσιν. ἑτερογλαύκους 105v
δὲ λέγει τοὺς ἔχοντας τὸν ἕνα ὀφθαλμὸν γλαυκόν, τὸν δὲ ἕτερον ἢ μέλανα ἢ
αἰγωπὸν ἢ ὅλως μὴ γλαυκόν. ταύτην οὖν, φησίν, ἱκανὴν οἰητέον αἰτίαν εἶναι τοῦ
τὰ παιδία γλαυκὰ ὄντα εὐθὺς γενόμενα ὕστερον μεταβάλλειν, τὸ πολύχρωμα
5 εἶναι τὰ ὄμματα αὐτῶν. ἐπεὶ δέ τις ἤμελλε λέγειν ὅτι 'τοῦτο μὲν οὕτως
ἔστω, διὰ τί δὲ ὅλως ἐξ ἀρχῆς οὐ γίνεται τὰ ὄμματα αὐτῶν αἰγωπὰ ἢ 10
χαροπὰ ἢ ἄλλο τι χρῶμα ἔχοντα, εἶθ' οὕτως μεταβάλλει πρὸς τὴν ὑπάρχειν
μέλλουσαν φύσιν, ἀλλὰ πάντοτε γλαυκὰ γίνονται ἐξ ἀρχῆς;' ἐπήγαγε τοῦ
δὲ γλαυκότερα καὶ μὴ χρόαν ἄλλην ἴσχειν καὶ τὰ λοιπὰ λίαν σαφῶς.

10 p. 779 b 15 Τὸ μὲν οὖν ὑπολαμβάνειν τὰ μὲν γλαυκὰ πυρώδη, καθάπερ Ἐμπεδοκλῆς φησι, τὰ δὲ μελανόμματα πλεῖον ὕδωρ ἔχειν.

Ἐμπεδοκλῆς τὸ μὲν αἰσθητήριον τῆς ὄψεως, ὡς ἐν τῷ Περὶ αἰσθήσεως
καὶ αἰσθητῶν εἴρηται, ποιῶν ἐκ τῶν τεσσάρων στοιχείων, τὴν δὲ ὄψιν 15
15 (αὐτήν φημι τὴν τῆς ψυχῆς δύναμιν, καθ' ἣν ὁρῶμεν, ἥτις καὶ ἔστιν εἶδος
τοῦ ὀφθαλμοῦ) ταύτην δὴ τὴν ὄψιν πῦρ λέγων, ἔλεγεν ὅτι ἐν οἷς ὄμμασιν 20
(ἐπειδὴ ἐκ τῶν τεσσάρων εἰσὶ στοιχείων) πλεονάζει μὲν τὸ πῦρ, ἐλλείπει
δὲ τὸ ὕδωρ, ταῦτα τὰ ὄμματά εἰσι γλαυκά (τὸ γὰρ πῦρ λευκόν, καὶ ὁ
γλαυκὸς ὀφθαλμὸς τοιοῦτος· λευκὸς γὰρ καὶ αὐτός), ἐν οἷς δὲ τὸ μὲν πῦρ 25
20 ἐλλείπει, πλεονάζει δὲ τὸ ὕδωρ, μελανόμματα. καὶ διὰ τοῦτό φησιν Ἐμπε-
δοκλῆς τὰ γλαυκὰ ἡμέρας μὴ ὁρᾶν δι' ἔνδειαν ὕδατος· δεῖ γὰρ ὡς 30
μέλλοντα ὁρᾶν ὕδατος. τὰ μὲν οὖν γλαυκὰ ἔλεγε μὴ ὁρᾶν τῆς ἡμέρας διὰ
ταῦτα, τὰ δὲ μελανόμματα πάλιν τῆς νυκτὸς μὴ ὁρᾶν δι' ἔνδειαν πυρός· 35
διὰ γὰρ τὸ μὴ ἔχειν πῦρ πολύ, διὰ τοῦτο, φησίν, οὐχ ὁρῶσι τὰ μελα-
25 νόμματα τῆς νυκτός. ἐγκαλεῖ οὖν αὐτῷ ὁ Ἀριστοτέλης λέγων 'εἰ δέδεικται
μὴ εἶναι πυρὸς τὸ αἰσθητήριον (αὐτό φημι τὸ κρυσταλλοειδές) εἰ δὴ δέδεικται 40
μὴ ὂν πυρός, ἀλλ' ὕδατος, οὐ καλῶς περὶ τούτων ἀποφαίνεται Ἐμπεδοκλῆς.
ἔτι δὲ ἐνδέχεται καὶ κατ' ἄλλον τρόπον οἷον ἀπὸ ὕδατος μόνου ἀποδοῦναι τὰς
αἰτίας τῆς γλαυκότητος καὶ μελανώσεως καὶ τῶν λοιπῶν χρωμάτων. πλέον
30 δὲ ὑγρὸν καὶ ἔλαττον λέγει τῆς συμμέτρου κινήσεως, διότι κινεῖται
ἡ ὄψις ὑπὸ τῶν ὁρατῶν· ἄγεται γὰρ ἐκ τοῦ δυνάμει εἰς ἐνέργειαν. τὰ μὲν 45
οὖν ἔχοντα, φησί, τὸ ὑγρὸν πολὺ μέλανα τὰ τοιαῦτα ὄμματά εἰσι διὰ τὸ

---

1 μελανίαν Ka 2 λέγουσι K 3. 4 τὰ τοῦ παιδία I 5 ἔμελλε Ka
οὕτως] οὔτε a 6 οὐ om. K γίνονται a 7 ἔχοντα om. IL
μεταβάλλει scripsi: μεταβάλλειν IL: μεταβάλλουσι Ka 8 πάντα Ka 9 γλαυκό-
τερον a 11 φησι—ἔχειν (12) om. K μελανόμματα IL Arist. PS: μέλανα
Arist. vulg. 13 post μὲν add. οὖν I ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν] c. 2
ἐν τῇ a 14 αἰσθητικοῦ a 15 φησι Ka 16 δὴ] δὲ IL ὄμματα a
17 ἐπεὶ Ka 20 ἐκλείπει K 21 γλαυκὴ a ὡς] τῷ Ka 22 μέλλοντι Ka
23 πάλιν post νυκτὸς ponit K 25 τῆς om. Ka 26 πῦρ IL φησὶ Ka
δὴ] δὲ IL 27 οὐ καλῶς] οὐκ ἂν a 29 αἰτίαν τε γλαυκότητος a
μελανίας Ka 31 ὁρατῶν] ὀνειράτων IL¹ ἐνεργεία a 32 πολὺ τὸ ὑγρὸν
coll. Ka μέλανα post τοιαῦτα ponit K

μὴ εὐδίοπτα εἶναι· λέγει δὲ μὴ εὐδίοπτα, ὧν τὸ βάθος καὶ τὸν πυθμένα οὐ δύναται ἡ ὄψις ἰδεῖν. διὰ τοῦτο καὶ τὴν θάλασσαν τὴν πολὺ ἔχουσαν βάθος οὐκ εὐδίοπτόν φα|μεν διὰ τὸ μὴ δύνασθαι τὴν ὄψιν διελθεῖν κάτω 106r
εἰς τὸ βάθος, τὴν δὲ μὴ πολὺ ἔχουσαν βάθος ἀλλ' ὀλίγον εὐδίοπτον.
5 ἧττον δὲ εὐδίοπτον λέγει τῆς θαλάσσης τὸ βαθύτερον τοῦ εὐδιόπτου, ὅπερ καὶ ὑδατῶδες καλεῖ· τὸ γὰρ ἐν τοιούτῳ κοιλώματι γῆς ὂν ὕδωρ οὔτε μέλαν ὁρᾶται οὔτε γλαυκόν, ἀλλ' ἁπλῶς ὕδωρ.

p. 779b34 Τὴν δ' αὐτὴν αἰτίαν οἰητέον καὶ τοῦ τὰ μὲν γλαυκὰ μὴ εἶναι ὀξυωπά.

10 Ὅτι μὲν οὖν οὐκ ὀξυωπὰ τὴν ἡμέραν τὰ γλαυκά, τὰ δὲ μελανόμματα τὴν νύκτα οὐκ ὀξυωπά (τὰ μὲν γὰρ μελανόμματα τὴν ἡμέραν ὀξυωπά, τὴν δὲ νύκτα οὐκ ὀξυωπά, τὰ δὲ γλαυκὰ τὴν ἡμέραν οὐκ ὀξυωπά, τὴν δὲ νύκτα ὀξυωπά) ὅτι μὲν οὖν ταῦθ' οὕτως ἔχει, δῆλον· λέγει δὲ τὴν αἰτίαν ἑκατέρου τούτων. ὀλίγον γάρ, φησίν, ἔχοντα τὸ ὑγρὸν τὰ γλαυκὰ ὄμματα κινεῖται 10
15 ὑπὸ τοῦ φωτὸς οὐ μόνον ᾗ διαφανές ἐστιν, ἀλλὰ καὶ ᾗ ὑγρόν. ἂν μὲν γὰρ κινηθῇ τὸ κρυσταλλοειδὲς τοῦ ὄμματος ᾗ διαφανές, ᾗ δὲ ὑγρὸν ἠρεμῇ, καλῶς ὁρᾷ ἡ ὄψις διὰ τὸ ἠρεμεῖν ᾗ ὑγρόν, ἂν δὲ κινηθῇ καὶ ᾗ διαφανὲς καὶ ᾗ 15 ὑγρόν, οὐχ ὁρᾷ· κινουμένου γὰρ τοῦ ὑγροῦ ᾗ ὑγρὸν ὑπὸ τοῦ πολλοῦ φωτός, καὶ ταραττομένου ὂν τρόπον ὑπὸ τῶν ἀνέμων ἡ θάλασσα, ἐμποδίζει τὴν ὄψιν 20
20 καὶ οὐκ ἐᾷ καλῶς ὁρᾶν. ὅρασις γάρ ἐστι κίνησις τοῦ κρυσταλλοειδοῦς ᾗ διαφανές, οὐ μὴν καὶ ᾗ ὑγρόν. ἐν δὲ τῇ νυκτὶ ὀλίγον ὂν τὸ φῶς (ἀμυδρὸν 25 γὰρ τὸ εἰς ἡμᾶς φθάνον ἐκ τῶν ἀπλανῶν καὶ πλανωμένων ἀστέρων φῶς πλὴν τοῦ ἀπὸ τῆς σελήνης· τοῦτο γὰρ πλεῖον μὲν τοῦ ἀπὸ τῶν ἄλλων ἀστέρων φωτός, ἔλαττον δὲ πάνυ τοῦ ἀπὸ τοῦ ἡλίου) ὂν οὖν τὸ ἐν τῇ
25 νυκτὶ φῶς ὀλίγον, ὂν δὲ καὶ τοῦ γλαυκοῦ ὄμματος ὀλίγον ὑγρόν, ᾗ μὲν διαφανὲς κινεῖται (πέφυκε γὰρ τὸ διαφανὲς ὑπὸ παντὸς φωτὸς κινεῖσθαι, μᾶλλον μὲν ὑπὸ τοῦ πλείονος, ἧττον δὲ ὑπὸ τοῦ ἐλάττονος) ᾗ δὲ ὑγρὸν 30 οὐ κινεῖται· ὀλίγον γὰρ τὸ ἐν νυκτὶ φῶς ἢ ὥστε δύνασθαι κινεῖν αὐτὸ καὶ ᾗ ὑγρόν. διὰ ταύτην οὖν τὴν αἰτίαν τῆς μὲν ἡμέρας οὐχ ὁρᾷ ὁ γλαυκὸς
30 ὀφθαλμὸς καλῶς, τῆς δὲ νυκτὸς μᾶλλον. ὁ δὲ μέλας τῆς ἡμέρας ὁρᾷ καλῶς, ὅτι ᾗ μὲν διαφανὲς τὸ ἐν αὐτῷ κρυσταλλοειδὲς κινεῖται, ᾗ δὲ ὑγρὸν διὰ πλῆθος οὐ κινεῖται· τῆς δὲ νυκτὸς οὐχ ὁρᾷ, ὅτι εἰ καὶ κινεῖται ᾗ διαφανὲς ἐν τῇ νυκτί, ἀλλὰ λίαν πάμπαν ἀμυδρῶς καὶ σχεδὸν οὕτως ἀμυδρῶς, 35

1 βάρος I 2 πολὺν a 3 post βάθος add. ἀλλ' οὐκ ὀλίγον IL 5 βαθύτατον L ὅπερ] ὃ Ka 6 ἐν τούτῳ κοίλωμα τῆς γῆς IL 10 τὰ ante γλαυκὰ om. I μελανόφθαλμα Ka 11 τὰ μὲν γὰρ—οὕτως ἔχει (13) om. Ka 12 νύκταν bis I δὲ ante γλαυκὰ scripsi: γὰρ IL 13 ἑκατέρων a 14 τὰ γλαυκόμματα IL 16 ἠρεμεῖ IL 17 ἠρεμῇ a 18 ᾗ ὑγροῦ Ka 21 ἀνυδρὸν a 24 ἄστρων IL ἔλαττον—τοῦ] ἔλαβε δὲ τοῦτο a πάνυ om. K τῇ om. Ka 25 post καὶ add. τὸ Ka 26 τὸ διαφανὲς] τὸ διὰ φύσιν a 27 μὲν] δὲ IL 28 ἐν τῇ νυκτὶ Ka 29. 30 ὁ ὀφθαλμὸς ὁ γλαυκὸς Ka 30 μέλαν a 30. 31 ὁρᾷ καλῶς] μᾶλλον ὁρᾷ Ka

ὥστε φήσαι ἄν τις μηδὲ κινεῖσθαι. τὸ δὲ ἅμα γὰρ καὶ δυσκίνητον ἐν 106r
τῇ ὅλως νυκτὶ γίνεται τὸ ὑγρὸν οὕτως ἀναγνωστέον 'ἅμα γὰρ καὶ
ὅλως τὸ ὑγρὸν ἐν τῇ νυκτὶ δυσκίνητον γίνεται'. ὥστε εἰ μέλλει καλῶς ἐν
τῇ ἡμέρᾳ ὁρᾶν, δεῖ καὶ κινεῖσθαι τὸ ὑγρὸν καὶ μὴ κινεῖσθαι, κινεῖσθαι μὲν
5 ᾗ διαφανές, μὴ κινεῖσθαι δὲ ᾗ ὑγρόν. οὐχ ὁρῶσι δὲ ἐκ τοῦ ἡλίου εἰς τὸ
σκότος ἰόντες διὰ τὸ κινεῖσθαι ἀτενίζουσιν εἰς τὸν ἥλιον τὸ ὑγρὸν ᾗ ὑγρόν·
δεῖ οὖν αὐτῷ χρόνου, ἵνα παυθῇ τῆς κινήσεως. ὡς γὰρ τὰ κύματα τῆς 10
θαλάσσης οὐκ εὐθὺς παυομένων τῶν ἀνέμων παύονται, οὕτω οὐδὲ τὸ κρυ-
σταλλοειδὲς εὐθὺς τῷ εἰσελθεῖν ἡμᾶς ἐκ τοῦ ἡλίου εἰς τὸ σκότος,
10 λέγων νῦν σκότος τὸν ἐσκιασμένον τόπον.

p. 780a14 Δηλοῖ δὲ τὸ ἀρρώστημα τῆς ὄψεως ἑκατέρας.

Ὅτι ἡ μὲν γλαυκότης ὀλιγότης ἐστὶν ὑγρότητος ἢ ὑγροῦ, ἡ δὲ μελανία
πλῆθος, δῆλόν φησι καὶ ἐκ τῶν συμβαινόντων ἀρρωστημάτων ἑκατέρῳ 15
τούτων. τὸ μὲν γὰρ γλαύκω|μα γίνεται μᾶλλον τοῖς γλαυκοῖς (τὸ γὰρ 106v
15 γλαύκωμα ξηρότης ἐστὶν ὀμμάτων· ξηραίνεται δὲ μάλιστα καὶ μᾶλλον τὸ
ὀλίγον ὑγρόν), ὁ δὲ καλούμενος νυκταλώπηξ τοῖς μελανομμάτοις· γίνεται 5
γὰρ διὰ πλῆθος ὑγροῦ, τοιοῦτος δὲ ὁ μέλας ὀφθαλμός. ὥσπερ δὲ αἱ
ἀλεκτορίδες οὐχ ὁρῶσι τῇ νυκτί, οὕτως οὐδ' οἱ τὸν νυκταλώπεκα νοσήσαντες. 10
δεῖ δέ, φησί, ὁμαλὸν εἶναι τὸ δέρμα, ὅπως μὴ ἐπισκιάζῃ ῥυτιδούμενον· ἡ
20 γὰρ ῥυτὶς σκιὰν ἐμποιεῖ. διὰ γὰρ τοῦτο καὶ τὰ τῶν λαμπτήρων δέρματα
τείνουσιν ἱκανῶς, ἵνα μὴ ῥυτιδούμενα ἐκ τοῦ μὴ καλῶς τετάσθαι ἐμπο- 15
δίζοι τὸ φῶς. λέγει δὲ πάντα τὰ παιδία ἐξ ἀρχῆς εἶναι γλαυκὰ δι' ἔνδειαν
ὑγρότητος· πρῶτον μὲν γὰρ ἐν τῇ γενέσει καὶ συστάσει τῶν ὀμμάτων 20
πάμπολυ τὸ ἐν αὐτοῖς ὑγρόν, ὕστερον δὲ τελειωθεῖσιν ὀλίγον, ἐξ ὅσου
25 δηλονότι συστῆναι δύναται γλαυκότης, καὶ μετὰ ταῦτα πάλιν πλεῖον τοῦ ἐν 25
τῇ δευτέρᾳ μεταβολῇ. τὸ δὲ τὸ γὰρ λίαν λεπτὸν ἢ λίαν παχὺ τὴν
αὐτὴν ἔχει δύναμιν ἴσον ἐστὶ τῷ ὥσπερ γὰρ τὸ λίαν παχὺ βραδέως
πέττεται καὶ συνίσταται, οὕτω καὶ τὸ λίαν λεπτόν· διὰ τοῦτο γὰρ τὸ ὕδωρ 30
οὐ πέττεται οὐδὲ συνίσταται. εἶεν ἂν οὖν τὰ τῶν παίδων ὄμματα γλαυκὰ
30 καὶ δι' ὀλιγότητα ὑγροῦ καὶ διὰ τὸ μὴ δύνασθαι πεφθῆναι διὰ λεπτότητα. 35
εἰ δὴ ταῦθ' οὕτως ἔχει, ὅταν μὲν ἡ φύσις ἀδυνατήσῃ ἀμφοτέρων τῶν
ὀφθαλμῶν πέψαι καὶ συστῆσαι τὸ ὑγρόν, ἀμφότεροι γίνονται γλαυκοί, εἰ 40
δὲ τοῦ μὲν πέψει, τοῦ δὲ μή, ἑτερόγλαυκος γίνεται ὁ ἄνθρωπος.

1 φήσαιεν I: φήσειεν K: φάσειεν a 2 ὅλως νυκτὶ] sic etiam Arist. SY: νυκτὶ ὅλως Arist. vulg. ὅλων a 4 μὴ κινεῖσθαι μὲν a 7 χρόνου] χρώματος a 8 παύεται K 9 εὐθὺς τῷ om. IL 10 τρόπον K 11 τὸ ἀρρώστημα IKL Arist. S: τὰ ἀρρωστήματα Arist. vulg. 14 τὸ γὰρ] τὸ δὲ Ka 15 ξηρότητα a μάλιστα καὶ μᾶλλον dubito num sana sint 16 νυκταλώπηξ IKL Arist. PS: νυκτάλωψ recte Arist. vulg. μελανόμμασι a 18 τὴν νύκτα a 20 ῥυτὸν a ποιεῖ Ka γὰρ καὶ τοῦτο IL 21 ἱκανεῖ a 21. 22 ἐμποδίζει a 24 πάμπολον Ka 25 τοῦ] τῆς IL 27 βραχὺ IL 28 λεπτὸν] παχὺ supra scr. L² 30 λεπτότητα] ὀλιγότητα IL 31 φύσιν a ἀδυνατήσει ILa ἀμφότερα a 32 συστῆναι a ἄμφω Ka

p. 780b12 Περὶ δὲ τοῦ τὰ μὲν ὀξυωπὰ εἶναι τῶν ζῴων τὰ δὲ μή, δύο τρόποι τῆς αἰτίας εἰσίν.

Εἰσί τινες τῶν ἀνθρώπων, οἱ πόρρωθεν κειμένων τῶν βιβλίων ἀναγινώσκουσι τὰ ἐν αὐτοῖς γεγραμμένα καλῶς, ἐγγὺς δὲ τεθέντων ἢ ὅλως οὐκ ἀναγινώσκουσιν ἢ οὐ καλῶς. πάλιν δὲ συμβαίνει δύο τινῶν ἀνθρώπων ἐν τῷ αὐτῷ τόπῳ ἱσταμένων καὶ πλησίον αὐτοῖς διαφόρων κειμένων χρωμάτων, πόρρωθεν δέ τινων ζῴων βαδιζόντων, τὸν μὲν ἕνα ὁρᾶν τὰ πόρρωθεν αὐτῶν βαδίζοντα, τὸν δὲ ἕτερον μηδ' ὅλως ὁρᾶν αὐτά. ἔμπαλιν δὲ ἐπὶ τῶν ἐγγὺς κειμένων χρωμάτων τὸν μὲν μὴ ὁρῶντα τὰ πόρρωθεν βαδίζοντα ὁρᾶν καὶ κρίνειν καλῶς τὰς διαφορὰς τῶν χρωμάτων, οἷον ὅτι τόδε μέν ἐστι λευκόν, τόδε δὲ πράσινον καὶ τόδε ἀλουργόν, τὸν δὲ τὰ πόρρωθεν βαδίζοντα ὁρῶντα ἢ μηδ' ὅλως ὁρᾶν τὰ τοιαῦτα χρώματα, ἢ κἂν ὁρῴη, ἀλλὰ τάς γε διαφορὰς αὐτῶν μήθ' ὁρᾶν μήτε δύνασθαι κρίνειν, ἀλλ' ἕν τι πάντα φαίνεσθαι αὐτῷ τὴν φύσιν· ἢ γὰρ πάντα λευκὰ ἢ πάντα πράσινα. ταῦτα δέ, τουτέστι τό τε τὰ πόρρωθεν δύνασθαι ὁρᾶν καὶ τὰς διαφορὰς ὅτι μάλιστα διαισθάνεσθαι, οὐ συμβαίνει τῷ αὐτῷ· οὐ συμβαίνει γὰρ τὸν δυνάμενον ὁρᾶν τὰ πόρρωθεν τὸν αὐτὸν τοῦτον διαισθάνεσθαι δύνασθαι καὶ τὰς διαφορὰς τῶν ὁρωμένων, ἀλλ' εἴπερ ἄρα τὰ πόρρωθεν ὄψεται, τὰς διαφορὰς οὐ διαισθήσεται, εἰ δὲ τὰς διαφορὰς διαισθάνοιτο, τὰ πόρρωθεν οὐκ ὄψεται. ὁ γὰρ ἐπηλυγασάμενος, τουτέστιν ὁ τὴν χεῖρα θεὶς ἐν ταῖς ὀφρύσιν, ὃ πολλάκις ποιεῖν εἰώθαμεν βουλόμενοι τὰ πόρρω ἰδεῖν, ὁ δὴ ἐπηλυγασάμενος ἢ δι' αὐλοῦ βλέπων τὰ μὲν πόρρωθεν ὄψεται διὰ τοῦ αὐλοῦ ἢ διὰ τῆς χειρός, τὰς δὲ διαφορὰς τῶν ὁρωμένων διὰ τοῦ αὐλοῦ ἢ διὰ τῆς χειρός, δι' ὧν τὰ πόρρωθεν ἑώρα, οὐκ ἂν διακρίναι. οἱ δὲ ἐκ τῶν φρεατίων τῆς ἡμέρας ὁρῶντες τοὺς ἀστέρας ἐοίκασι τοῖς ἐπηλυγασαμένοις ἢ δι' αὐλοῦ ὁρῶσι. λαβὼν οὖν ὅτι διττὸν τὸ ὀξύ, τὸ μὲν τὸ τὰ πόρρωθεν ὁρᾶν, τὸ δὲ τὸ τὰς διαφορὰς τῶν ὁρωμένων κρίνειν, νῦν λέγει, ποῖον τῶν ζῴων ⟨καὶ⟩ πῶς ἔχον περὶ τὰ ὄμματα τὰ πόρρωθεν ὄψε|ται, ποῖον δὲ τὰ χρώματα ἀκριβώσει· καί φησιν, εἴ τι τῶν ζῴων ἔχει μὲν προβολὴν τοῦ ὄμματος (εἰσὶ γάρ τινες ἄνθρωποι ἔσω μὲν εἰς βάθος ἔχοντες τὰ ὄμματα, τὰ ὀστᾶ δὲ καὶ τὰς σάρκας, ἐν αἷς αἱ ὀφρύες, ἐπανεστηκότα καὶ ἐπικρεμάμενα ἔξω) οἱ δὴ οὕτως ἔχοντες ἐοίκασι τοῖς ἐπηλυγασαμένοις· ὃ γὰρ τεχνητῶς

4 αὐτῆς ILa 5 δὲ om. Ka ἀνθρώπων om. Ka 7 πόρρωθεν δέ— κειμένων χρωμάτων (9) iterant IKL 8. 9 ἐπὶ τῶν — χρωμάτων post ἕτερος (8) ponit a 13 ἀλλὰ κατὰ γὲ διαφορὰν a 16 αἰσθάνεσθαι Ka 19 οὐκ αἰσθήσεται Ka 20 et 22 ἐπηλυγισάμενος KLa 21 ὅπερ I πόρρωθεν a 22 τοὺς μὲν IL πόρρω a 23 primum διὰ om. Ka τοῦ αὐτοῦ αὐλοῦ Ka 24 διακρίναι scripsi: διακρίνη libri 25 ἐπηλυγισαμένοις L²Ka 26 τὸ ante τὰ ex τῷ corr. L: τῷ I 26. 27 τῷ τὰς I 27 ποῖον ζῶον Ka καὶ addidi 28. 29 ἀκριβῶσαι a 29 τοῦ om. K 30 post μὲν add. καὶ Ka τὰ ante ὀστᾶ om. K 31 τὴν σάρκα Ka οἷς ILa 32 ἔξωθεν K δὴ] δὴ οὖν K: δὲ οὖν a ἐπηλυγισαμένοις LKa

οἱ ἐπηλυγασάμενοι ποιοῦσι, τοῦτο ἐκείνοις ἡ φύσις πεποίηκεν. ἀλλὰ καί τινα 107v
τῶν ὀξυωπῶν ζῴων οἷον ἱέρακες ἀετοὶ οὐ μόνον ἐπικρεμαμένας ἔχουσι τὰς
ὀφρῦς, ἀλλὰ καὶ λεπτὰ πτερὰ δασέα καὶ προέχοντα εἰς μῆκος κύκλῳ τῶν
ὀφθαλμῶν πλησίον τῶν βλεφάρων ἔχουσι τρόπον τινὰ ὡς αὐλὸν ἢ χεῖρα
5 ἀνατείλαντα περὶ αὐτὰ κύκλῳ, καὶ ἁπλῶς ἅπαν ὅπερ ἂν τὰ πόρρωθεν ὁρᾶν
δύνηται, ἔχει περὶ τὰ ὄμματά τινα προβολήν. εἴ τι οὖν, φησί, τῶν ζῴων 15
προβολὴν μὲν ἔχει τοῦ ὄμματος πολλήν, τὸ δ' ἐν τῇ κόρῃ ὑγρὸν
μὴ καθαρὸν μηδὲ σύμμετρον τῇ κινήσει τῇ γινομένῃ ἐν αὐτῇ
θύραθεν ἀπό τε τοῦ φωτὸς ἀπό τε τῶν ὁρατῶν, πρὸς δὲ τούτοις ἂν οὐδὲ
10 τὸ ἐπιπολῆς δέρμα ἔχῃ λεπτόν, τοῦτο τὰ μὲν πόρρωθεν ὄψεται διὰ τὸ
ἔχειν προβολὴν καὶ ἐοικέναι τοῖς ἐπηλυγασαμένοις ἢ δι' αὐλοῦ ὁρῶσι, τὰς
δὲ διαφορὰς οὐκ ἀκριβώσει, διὰ τὸ μὴ ἔχειν τὸ ἐν τῇ κόρῃ ὑγρὸν καθαρὸν
μηδὲ σύμμετρον τῇ θύραθεν κινήσει, μήτε λεπτὸν τὸ ἐπιπολῆς δέρμα, 20
λέγων ἐπιπολῆς δέρμα τὸν χιτῶνα τοῦ ὀφθαλμοῦ, οὗ ἅπτεται τὸ βλέφαρον
15 ἐν τῷ μύειν. τὸ γὰρ ἀκριβῶσον τὰς διαφορὰς ἀναγκαῖον καθαρόν τε ἔχειν
τὸ ὑγρὸν καὶ σύμμετρον τῇ θύραθεν κινήσει, καὶ ἔτι τὸ ἐπιπολῆς δέρμα
λεπτόν. ὥστε εἴ τι ζῷον πρὸς τῷ ἔχειν προβολὴν τοῦ ὄμματος πολλὴν [ἂν]
καὶ τὸ ὑγρὸν καθαρὸν καὶ σύμμετρον ἕξει καὶ τὸ ἐπιπολῆς δέρμα λεπτόν, τοῦτο
καὶ τὰ πόρρω ὄψεται καὶ τὰς διαφορὰς τῶν χρωμάτων ἀκριβώσει. ἢ οὐ
20 συμβαίνουσι ταῦτα πάντα τῷ ἑνὶ διὰ τὸ μὴ δύνασθαι τὴν φύσιν πολλῶν 25
κατευστοχεῖν. εἰπὼν δὲ ὅτι τὰς διαφορὰς τῶν χρωμάτων οὐκ ἀκρι-
βώσει, πόρρωθεν δὲ ἔσται ὁρατικόν, ἐπήγαγε τὸ ὥσπερ εἰ καὶ
ἐγγύθεν, μᾶλλον τῶν τὸ μὲν ὑγρὸν καθαρὸν ἐχόντων καὶ τὸ ἐπι-
σκέπασμα αὐτοῦ, λέγων ἐπισκέπασμα τὸ ἐπιπολῆς δέρμα. ὃ δὲ λέγει
25 τοιοῦτόν ἐστι 'τὸ ἔχον προβολὴν μᾶλλον καὶ κάλλιον ὄψεται τὰ πόρρωθεν
τῶν ἐπισκύνιον τουτέστι προβολὴν μὲν μὴ ἐχόντων πρὸ τῶν ὀμμάτων,
ἐχόντων δὲ τὸ ὑγρὸν καὶ τὸ ἐπιπολῆς δέρμα καθαρόν. τὰ γὰρ ἔχοντα 30
ἐπισκύνιον καὶ προβολὴν μᾶλλον ὁρῶσι τὰ πόρρωθεν τῶν τὸ δέρμα καὶ τὸ
ὑγρὸν καθαρὸν ἐχόντων. ἐπισκύνιον δὲ μὴ ἐχόντων.' τὸ δὲ ὥσπερ εἰ καὶ
30 ἐγγύθεν ἴσον ἐστὶ τῷ † κἂν ἐγγύθεν καὶ τὰ πόρρωθεν ὁρῶντα τὸ ἔχον ἐπι-
σκύνιον καὶ τὸ μὴ ἔχον, μᾶλλον καὶ κάλλιον ὄψεται τὸ ἔχον καὶ ἐγγύθεν, κἂν ἀπὸ

---

1 ἐπηλυγισάμενοι KLa 2 ἱέρακα ἀετὸν Ka ἐπικεκρεμαμένας I 4 αὐλὸν ἢ χεῖρα scripsi: αὐλὸς ἢ χεὶρ libri 5 περὶ αὐτὸν Ka 6 δύνηται scripsi: δύναται libri τινα post ἔχει ponunt Ka προβολήν] προβλήματα Ka 8 ἐν αὐτῇ] αὐτῷ Ka 9 θύραζε K 10 ἔχει La διὰ τὸ] τῷ Ka 11 ἐπηλυγισαμένοις Ka 11. 12 τὰ δὲ διάφορα a 12 ἀκριβῶς a 13 ἐπιπολῆ a, itemque 14 et 16 15 ἀκριβῶς I: ἀκριβῶσι a 17 ὥστε—λεπτόν (18) om. IL τι om. K ζῴων a τῷ scripsi: τὸ Ka ἂν delevi 18 ἐπιπολὺ a et sic porro 20 πολλῶν] πολλῇ a 22 δέ ἐστιν Ka τὸ om. Ka 23 τῶν] τοῖς a 23. 24 σκέπασμα Arist. 26 ἐπισκύνιον Arist.: ἐπισκήνιον IL: ἐπισκηνίων Ka μὴ ἐχόντων προβολὴν μὲν coll. IL 28 ὁρῶμεν a τὸ post τῶν om. IL 29 ἔχοντος bis a ὥσπερ εἴ τε καὶ IL 30 κἂν ἐγγύθεν—ὁρῶσι (222,1)] locus depravatus: exspectas tale quid κἂν πόρρωθεν ὁρῶσι τὸ ἔχον ἐπισκύνιον καὶ τὸ μὴ ἔχον, μᾶλλον καὶ κάλλιον ὄψεται τὸ ἔχον, κἂν ἐγγύθεν δὲ ὁρῶσι, πάλιν τὸ ἔχον κτλ. κἂν ἐγγύθεν ὁρῶσι καὶ πόρρωθεν ὄντα τὸ δὲ ἔχον Ka

ἐγγύθεν δὲ ὁρῶσι, πάλιν τὸ ἔχον ἐπισκύνιον μᾶλλον ὄψεται τοῦ μὴ ἔχοντος, 107ᵛ
ἀλλὰ τὸ πρᾶγμα, οὐ μὴν καὶ τὰς τῶν χρωμάτων διαφοράς. τὸ μὲν οὖν
οὕτως ὀξύ, φησίν, ὁρᾶν ὥστε τὰς διαφορὰς διαισθάνεσθαι τῶν χρωμάτων
ἐν αὐτῷ ἐστι τῷ ὄμματι, τουτέστιν ἐν τῇ φύσει τοῦ ὄμματός ἐστιν· ἂν 25
5 γὰρ ᾖ τὸ ἐν τῇ κόρῃ ὑγρὸν καθαρὸν καὶ σύμμετρον τῇ θύραθεν κινήσει καὶ
τὸ ἐπιπολῆς δέρμα λεπτόν, ἀκριβώσει τὰς διαφοράς. ὡς γὰρ ἐν ἱματίῳ
καθαρῷ καὶ αἱ μικραὶ κηλῖδες ἐκδηλοι γίνονται, οὕτω καὶ διὰ τοῦ καθαροῦ
ὄμματος καὶ αἱ μικραὶ κινήσεις δῆλαι γίνονται τῇ ὄψει· δύναται γὰρ τὸ
βραχύτατον ὁρατὸν κινῆσαι τὴν ἐν καθαρωτάτῳ ὄμματι ὄψιν, καὶ γίνεσθαι
10 αἴσθησις αὐτοῦ ἐν αὐτῷ. τὸ μὲν οὖν τὰς διαφορὰς διαισθάνεσθαι ἐν αὐτῷ 40
τῷ ὄμματί ἐστι, τοῦ δὲ τὰ πόρρωθεν ὁρᾶν αἰτία ἡ θέσις τοῦ ὄμματος·
ἂν γὰρ ἐντὸς κεῖται, ᾧ ἕπεται τὸ ἐπισκύνιον ἔχειν, ὄψεται τὰ πόρρωθεν.
ἐπειδὴ δὲ καὶ οὗτος καὶ ἡ ἀλήθεια βούλονται μὴ ὁρᾶν ἡμᾶς ἐκπέμποντας
ὄψιν, ὡς οἱ μαθηματικοί φασιν, ἀλλ' εἰσδεχομένους τὰ εἴδη τῶν ὁρατῶν
15 διὰ τοῦ ἐν τῷ ἀέρι διαφανοῦς, λέγει μηδὲν διαφέρειν· ἂν γὰρ ᾖ ἐξόφθαλμον
καὶ οὐκ ἔχον ἐπισκύνιον, ἀνάγκη προσπίπτοντα τῷ ὄμματι σκεδάννυσθαι εἰς
ἀχανές· ἂν δ' ἔχῃ ἐπισκύνιον, συνέξει τοῦτο τὰ τῶν ὁρατῶν εἴδη, καὶ οὐκ 45
ἐάσει σκεδασθῆναι, ἀλλὰ ποδηγήσει πρὸς τὴν ἐντὸς εὐθυπορίαν. ὥσπερ γὰρ
κἂν ἐξερχομένη ἡ ὄψις δι' ἐπισκυνίου μᾶλλον ἑώρα τὰ πόρρωθεν, οὕτως
20 ἂν αὐτὰ μάλιστα ὄψεται καὶ δεχομένη διὰ τοῦ διαφανοῦς καὶ κινουμένη
ὑπ' αὐτῶν. τοῦτο γὰρ ἐμήνυσε διὰ τοῦ ἀνάγκη καὶ τὴν ὄψιν τῇ
κινήσει ὁρᾶν. τὸ δὲ μάλιστα μὲν ἂν ἑωρᾶτο τὰ πόρρωθεν, εἰ
ἀπὸ τῆς ὄψεως εὐθὺς | συνεχὴς ἦν, καὶ τὰ ἑξῆς ἴσον ἐστὶ τῷ εἰ 108ʳ
ἦν αὐλός τις συνεχὴς καὶ συμπεφυκὼς τοῖς ὄμμασι, μάλιστα ἂν ἑωρᾶτο τὰ
25 πόρρωθεν. εἰ γὰρ αὐλὸν ὑμενώδη ἢ ἄλλον τινὰ ἡ φύσις συνῆψε τοῖς
ὄμμασιν ἡμῶν, ὥστε δι' ἐκείνου ὁρᾶν, μᾶλλον ἂν ἑωρῶμεν· τούτου
δὲ μὴ ὄντος ἀνάγκη, ὅσῳπερ ἂν ἀπέχῃ καὶ ἐπικρέμηται τὸ ἐπισκύνιον,
τοσούτῳ μᾶλλον ἡμᾶς ὁρᾶν τὰ πόρρωθεν ἀκριβέστερον.

p. 781ᵃ23 Ἡ μὲν οὖν τῆς ἀκοῆς, ἐπεὶ τὸ αἰσθητήριον ἀέρος. 5

30 Λείπει τὸ αἴσθησις, ἵν' ᾖ τὸ ὅλον τοιοῦτον 'ἡ μὲν οὖν τῆς ἀκοῆς
αἴσθησις'. ἔστι δὲ τὸ τῆς λέξεως συνεχὲς 'ἐπεί ἐστι τὸ αἰσθητήριον ἀέρος,

2 τὸ μέν] τοῦ μὲν Ka οὖν om. IL 3 οὕτως] οὔτε Ka αἰσθάνεσθαι IL
5 θύραθεν] πόρρωθεν IL 6 ἵματι a 7 ἔνδηλοι K: δῆλαι a 8 κινήσεις]
κηλῖδες Ka post γὰρ add. καὶ Ka 9 ὁρατὸν] καθαρὸν IKL κινεῖν Ka
ἐν καθαρότητι ὄμματος IL 10 αἴσθησιν libri τὸ scripsi coll. v. 2: τοῦ libri
11 θέσις post ὄμματος ponunt Ka 12 ἐκτὸς K ἐπισκήνιον IL 15 διαφανῆ a
ἐξόφθαλμον] ἔξω ὀφθαλμὸς a 17 δὲ ἔχει La συνάξει KLa 19 post μᾶλλον
add. ἂν IKa 20 ἀφανοῦς IL¹ 21. 22 τῇ κινήσει] δύο κινήσεις IL¹ 23 συνεχῆ
εἶναι a τὸ ἑξῆς IL 25 συνῆψεν ἡ φύσει a 27 ἀπέχῃ] ἔχῃ IL¹: ἀπέχει a
ἐπικρέμαται libri 28 τοσούτων a 29 Ἡ μὲν οὖν—λέξεως συνεχὲς (31) superioribus
vv. continuant IKLa Ἡ μὲν libri et Arist. PSZ: ὁ μὲν Arist. vulg. ἐπεί ἐστι τὸ
Arist. 30 τὸ ὅλον om. Ka 31 δὲ om. IL post συνεχὲς add. τοιοῦτον.
Λείπει τὸ αἰσθητήριον, ἵν' ᾖ τοιοῦτον a

ταύτῃ περαίνει ᾗ τὸ πνεῦμα τὸ σύμφυτον ποιεῖται ἐνίοις μὲν τὴν σφύξιν, 108r
ἐνίοις δὲ τὴν ἀναπνοὴν καὶ ἐκπνοήν. σφύξιν δὲ λέγει τὴν τῶν ἀρτηριῶν
κίνησιν, ἣν κινοῦνται καὶ νοσοῦσι καὶ ὑγιαίνουσιν ἡμῖν. ἀλλὰ καὶ τὸ ἀνα- 15
πνεῖν διὰ τῆς καρδίας καὶ ἐκ τῆς καρδίας ἐστίν· αὕτη γάρ ἐστιν ἡ τὸν
5 πνεύμονα κινοῦσα, εὐρύνουσά τε καὶ συστέλλουσα. πῶς δὲ αὐτὸν κινεῖ καὶ 20
ἐξ αὐτῆς εὐρύνεταί τε καὶ συστέλλεται, ἐροῦμεν, ὅτε λέγει καὶ αὐτός, διὰ
τί τῶν ζῴων τὰ μέν ἐστι βαρύφωνα, τὰ δὲ ὀξύφωνα. εἴη δὴ ἂν τὸ
λεγόμενον ὑπὸ τῆς λέξεως τοιοῦτον· ἡ τῆς ἀκοῆς αἴσθησις, τουτέστιν ἡ 25
ἐγγινομένη ἡμῖν ὑπὸ τῶν ἀκουστῶν αἴσθησις, ταύτῃ περαίνει. ὅπου τὸ
10 πνεῦμα τὸ σύμφυτον τοῖς μὲν σφύξιν καὶ σφυγμὸν ἔχουσι ποιεῖται τὴν 30
σφύξιν, τοῖς δὲ μὴ σφυγμὸν ἔχουσι ποιεῖται τὴν ἀναπνοήν. ὅπου οὖν ἐστι
τὸ σύμφυτον πνεῦμα, μᾶλλον δὲ ὅπου ἐστὶν ἡ ἀρχὴ τοῦ συμφύτου πνεύ-
ματος (ἔστι δὲ ἐν τῇ καρδίᾳ) ἐκεῖσε περαίνει καὶ ἡ τῆς ἀκοῆς αἴσθησις. 35
πᾶσαι γὰρ αἱ αἰσθήσεις ἄχρι τῆς καρδίας τὴν ἐκ τῶν αἰσθητῶν ἐγγινομένην
15 ἐν αὐταῖς κίνησιν διαπορθμεύουσι, διὰ τὸ καὶ τὴν αἰσθητικὴν ψυχὴν ἐν 40
αὐτῇ ἱδρῦσθαι· ὅτι δὲ καὶ ἡ λογικὴ ἐν τῇ καρδίᾳ ἵδρυται, δέδεικται ἐν
ἄλλοις. τοῖς μὲν οὖν ἔχουσι καὶ πνεύμονα καὶ σφύξιν καὶ τὸ ἀναπνεῖν 45
καὶ τὸ σφύζειν ἐκ τῆς καρδίας γίνεται, τοῖς δὲ μὴ σφύζουσι μόνον τὸ
ἀναπνεῖν. | ἡ δὲ μάθησις, φησί, γίνεται διὰ τὸ περαίνειν τὴν ἄκουσιν 108v
20 ἐν τῇ καρδίᾳ. ἔστι δέ τις λόγος ὁ κατασκευάζων ἄχρι τῆς καρδίας κατιέναι
τὴν τῆς ἀκοῆς αἴσθησιν τοιοῦτος· ὅθεν ὁ λόγος καὶ ἡ ἀπόκρισις ἐξέρχεται 5
τοῦ ἀκουσθέντος, ἀνάγκη καὶ τὸν ἀκουσθέντα ἐκεῖσε κατέρχεσθαι. ἀλλὰ
μὴν ἡ ἀπόκρισις ἐκ τῆς καρδίας ἐξέρχεται· ἀνάγκη ἄρα τὸν ἀκουσθέντα 10
ἐκεῖσε κατέρχεσθαι. ὅτι δὲ ἡ ἀπόκρισις ἐκ τῆς καρδίας, κατεσκεύασεν
25 οὕτως· ἡ ἀπόκρισις λόγος, ὁ λόγος φωνή, ἡ φωνὴ ψόφος τις, ὁ ψόφος ἐκ
τοῦ πνεύμονος καὶ τῆς καρδίας (ὡς γὰρ εἴρηται, ἐκ τῆς καρδίας τῷ
πνεύμονι τὸ εὐρύνεσθαι καὶ συστέλλεσθαι)· ἡ ἀπόκρισις ἄρα ἐκ τῆς καρδίας. 15
ὥστε εἰ ἡ ἀπόκρισις ἐκ τῆς καρδίας, εἰς αὐτὴν ἄρα καὶ ἡ ἀκοὴ κάτεισιν.
ὥστε οὐδὲν ἄλλο ἀντιφθέγγεται ἢ ὅπερ ἤκουσε· πᾶν γὰρ ὃ ἄν τις λέγῃ, 20
30 ἤκουσε τοῦτο, εἰ μὴ νῦν, ἀλλὰ χθές, εἰ μὴ χθές, ἀλλὰ τὴν πρὸ ἐκείνης.
καὶ ἁπλῶς εἰπεῖν πᾶν ὅ τις ἂν λέγῃ, τοῦτο ἤκουσέ ποτε. οἱ γὰρ ἐνεοὶ
καὶ ἄλαλοι διὰ τοῦτο βωβοί, διὰ τὸ μὴ ἀκούειν· ἐκ γενετῆς γὰρ κωφοὶ 25
ὄντες καὶ μὴ ἀκούοντες οὐ μεμαθήκασι λέγειν, περὶ ὧν εἴρηται ἐν τῷ Περὶ
αἰσθήσεως καὶ αἰσθητῶν. χαρακτῆρα δὲ λέγει τὴν ἐν τῷ κηρῷ ἀπὸ τῆς 30

---

1 ταῦτα a ποιεῖται post μὲν ponunt Ka 2 δὲ post ἐνίοις om. a 4 τὸν] τῶν a
6 ἐξ αὐτῆς post συστέλλεται ponunt Ka ἐροῦμεν] c. 7 ὅτε] ὅτι IL¹ 6. 7 διὰ τί[] διὰ I: ex εἴτι corr. L 7 δὴ scripsi: δὲ libri 8 τουτέστιν] ἤτοι Ka
9 αἰσθήσεων La 11 post ἀναπνοήν add. καὶ ἐκπνοήν Ka 12 δὴ a
14 ἐκ om. I 16 ἱδρύεσθαι K 16. 17 δέδεικται ἐν ἄλλοις] quorsum haec pertineant nescio, sed cf. Anal. post. B 19 p. 99b35 sqq. 19 γίνεταί φησι coll. Ka
22. 23 ἀλλὰ μὴν—κατέρχεσθαι (24) om. Ka 25 ἀπόκρισις λόγου I 28 ὥστε—καρδίας om. Ka 29 et 31 λέγει KLa 31 εἰπεῖν om. Ka 32 βοβοὶ Ka
33. 34 ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν] 1 p. 437a11 sqq. 34 αἰσθητοῦ a
post λέγει add. νῦν K

δακτυλίου σφραγῖδος ἐκτύπωσιν. ὥσπερ οὖν σφραγίς τις ἐν τῇ καρδίᾳ 108v
κατελθὸν τὸ ἀκουσθὲν πάλιν τοιοῦτον ἄνεισιν, οἷον κατῆλθε. καὶ πνευμα-
τικὸν δὲ μόριον τὴν καρδίαν λέγει, τελευτὴν δὲ αἰσθητηρίου τῆς ἀκοῆς 35
τὸ τέλος λέγει τοῦ πόρου, δι' οὗ ἡ ἀκοὴ ἄχρι τῆς καρδίας κάτεισι. καὶ
5 διὰ τὸ τελευτᾶν τὸν τοιοῦτον πόρον ἐν τῇ καρδίᾳ ἐν ᾗ τὸ πνεῦμα, οὐκ 40
ἀκούομεν χασμώμενοι ἢ ἐκπνέοντες· ἀνιόντος γὰρ πνεύματος παχέος ἐκ τῆς
καρδίας διὰ τοῦ τοιούτου πόρου, ὅτε χασμώμεθα, καὶ προσπίπτοντος τῷ 45
ὠτίῳ (τοῦτο γὰρ εἶπεν ὄργανον) σείεται τὸ ἐν αὐτῷ ἐγκατῳκοδομημένον
πνεῦμα, ἐξ οὗ συμβαίνει μὴ ἀκούειν ἡμᾶς. ὥσπερ γὰρ ἐπὶ | τοῦ ὁρᾶν 109r
10 εἰ μὲν κινηθῇ τὸ κρυσταλλοειδὲς ᾗ διαφανές, ὁρῶμεν, ἂν δὲ ᾗ ὑγρόν, οὐχ
ὁρῶμεν, οὕτω καὶ ἐπὶ τοῦ ἀκούειν εἰ μὲν κινεῖται τὸ ἐν τοῖς ὠσὶ πνεῦμα 5
ᾗ διηχές, ἀκούομεν, εἰ δὲ ᾗ πνεῦμα, οὐκ ἀκούομεν· δεῖ γὰρ ὡς πνεῦμα
ἠρεμεῖν, εἰ μέλλει ἀκούσεσθαι. τοῦτο δὲ γίνεται καὶ ἐν τῷ ἐκπνεῖν· ἅμα
γὰρ πνεῦμα ἐν τῷ ἐκπνεῖν ἔκ τε τῆς καρδίας πρὸς τὸ οὖς ἄνεισι καὶ πρὸς 10
15 τοὺς μυκτῆρας ἐκ τοῦ πνεύμονος ἐκ τῆς καρδίας τὴν ἀρχὴν ἔχοντος. τὸ
δὲ κινεῖται γὰρ κινοῦν τὸ ὄργανον ἀσφαλῶς πρόσκειται· κινεῖται γὰρ
ὑπὸ τοῦ ἀνελθόντος ἐκ τῆς καρδίας πνεύματος, κινεῖ δὲ αὐτὸ τὸ ἐν αὐτῷ
ἐγκατῳκοδομημένον πνεῦμα. ἀλλὰ καὶ ἐν ταῖς ὑγραῖς ὥραις παχέος
πνεύματος πληρουμένη ἡ καρδία διὰ τὴν τῆς ὥρας ὑγρότητα, καὶ τὰ ὦτα
20 τοιούτου πληροῦται διὰ τὸ γειτνιᾶν, ὡς εἴρηται, τοὺς πόρους τῆς ἀκοῆς τῇ
καρδίᾳ· τὴν καρδίαν γὰρ εἶπε πάλιν ἀρχὴν πνευματικοῦ τόπου. ἔστι δὲ 15
τὸ διὰ τὸ γειτνιᾶν τῇ ἀρχῇ τοῦ πνευματικοῦ τόπου ἴσον τῷ διὰ
τὸ γειτνιᾶν τῇ ἀρχῇ τοῦ πνεύματος. τὸ δὲ γειτνιᾶν νῦν ἀντὶ τοῦ εἶναι
εἴληπται· ἐν γὰρ τῇ καρδίᾳ τελευτᾷ καὶ τὸ τῆς ἀκοῆς αἰσθητήριον. τὸ
25 μὲν οὖν τὰς διαφορὰς αἰσθάνεσθαι τῶν ψόφων καὶ ὀσμῶν ἐστιν ἐν τῷ τὸ
αἰσθητήριον καὶ τὸν ἐν αὐτῷ ὑμένα εἶναι καθαρά, καθάπερ καὶ ἐπὶ τῆς
ὄψεως εἴρηται, τοῦ δὲ πόρρωθεν αἰσθάνεσθαι αἴτιον τὸ προβολὴν ἔχειν καὶ
ὀχετοὺς καὶ οἷον αὐλούς ἐστι, καθάπερ καὶ ἐπὶ τῆς ὄψεως. εἰσὶ δὲ τὰ 20
ὦτα οἷον αὐλοὶ καὶ ὀχετοὶ καὶ σωλῆνες ἵππων, ὄνων, ἡμιόνων, ἐλάφων καὶ
30 ἄλλων πολλῶν. τοῦτο δὲ καὶ ἐπὶ τῶν μυκτήρων συμβαίνει· ὅσων γὰρ οἱ
μυκτῆρες μακροί, πόρρωθεν ταῦτα τῶν ὀσμῶν αἰσθάνονται. ἄνω γὰρ ὄντος
τοῦ αἰσθητηρίου καὶ πόρρωθεν τῆς τῶν μυκτήρων ἀρχῆς (λέγω δὴ ἀρχὴν
μυκτήρων τὸ χονδρῶδες αὐτῶν, ἐν ᾧ πρώτως προσβαλοῦσαι αἱ ὀσμαὶ
ἀνέρχονται ἄνω πρὸς τὴν μήνιγγα, ἐν ᾗ τὸ αἰσθητήριον ὂν λαμβάνει καὶ 25

1 δακτυλίου] ἐν τῷ δακτυλίῳ a: ἐν τῷ δακτύλῳ IL 3 τελευτὴν] sic libri et Arist. SY: ἀρχὴν Arist. vulg. 4 λέγει τὸ τέλος coll. Ka 5 εἰς τὴν καρδίαν Ka, sed cf. v. 24 10 μὲν ex μὴν corr. L 11 καὶ] τὸ a τοῖς] αὐτοῖς IL
12 ἂν δὲ Ka 13 μέλλοι L ἀκούσεται a ἐν] ἐκ I 14 τε om. Ka
16 γὰρ prius om. K τὸ κινοῦν coll. Ka ἀσαφῶς a 19 ὑγρότητος a
21. 22 ἀρχὴν πνευματικὴν τόπον . ἐστὶ δὲ διὰ a 22 τόπου om. IL 23 νῦν om. a
24 τὸ ante μὲν scripsi: τοῦ libri 25 ἐστιν om. IL τὸ om. Ka
27 εἴρηται—ὄψεως (28) om. sed in marg. adscr. L αἰτία Ka 28 ὀχετὸν Ka
29 ὄνων om. K 30 δὲ] δεῖ a 31 αἰσθάνεται Ka ἄνωθεν Ka
32 δὴ] δὲ Ka 33 προσβαλλοῦσαι (sic) L: προσβάλλουσαι Ka αἱ om. L
34 καὶ om. IL

διαπορθμεύει πρὸς τὴν καρδίαν) ἄνω δὴ ὄντος τοῦ αἰσθητηρίου οὐκ ἐῶσιν 109r
οἱ τῶν μυκτήρων πόροι τὰς τῶν ὀσμῶν διασπᾶσθαι κινήσεις. ἀπογεγεισ-
σωμένα δὲ ὦτα λέγει τὰ μικρὰ καὶ προβολὰς ἔχοντα οἷον γεισσώματά
τινα. ἐπεὶ δὲ τὰ ὦτα διὰ τὸ σώζειν τὴν τοῦ ἀέρος πόρρωθεν κίνησιν
5 πρόσκεινται τοῖς πόροις, ἡ δὲ φώκη ἔνυδρον, ἐν δὲ τῷ ὕδατι ἀὴρ οὐκ ἔστιν,
εὐλόγως οὐκ ἔχει ὦτα. καίτοι ἔδει ἔχειν ὡς τετράπουν καὶ ζωοτόκον·
πᾶν γὰρ τετράπουν καὶ ζωοτόκον ἔχει ὦτα. οὐ μόνον δὲ οὐκ εἰσιν αὐτῇ 30
χρήσιμα ἐνύδρῳ οὔσῃ πρὸς τὸ ἀκούειν, ἀλλὰ καὶ τοὐναντίον ἐκώλυον ἂν
αὐτὴν ὅλως ἀκούειν πληρούμενα ὕδατος. τὰ δὲ περὶ τριχῶν σαφῆ, πλὴν
10 ἐν τῇ λέξει τῇ καὶ γὰρ τὰ ἀκανθώδεις ἔχοντα τῶν τοιούτων ὑπο-
στικτέον εἰς τὸ τοιούτων, εἶτ' ἐπακτέον τὸ τριχῶν εἶδός τι ὑποληπτέον.
λέγει δὲ τῶν τοιούτων τῶν ἐντὸς αὐτῶν ζωοτοκούντων. ὅτι δὲ καὶ ὁ
ἄνθρωπος δασύνεται μᾶλλον τὴν κεφαλὴν πρεσβύτερος γεγονώς, δῆλον ἔκ
τε τῶν ὀφρύων (δασυτάτας γὰρ ἔχουσι τὰς ὀφρῦς) καὶ ἐκ τῶν στέρνων· 35
15 δασύτερα γὰρ αὐτὰ αὐτοῖς τότε μᾶλλον ἢ νέοις οὖσιν. ἐν δὲ τῷ φαλα-
κροῦται δὲ οὐθεὶς οὔτε τούτους τὸ τούτους περὶ τῶν κροτάφων εἴρηται·
οὐδεὶς γὰρ τοὺς κροτάφους φαλακροῦται.

p. 782a24 Παχύτητος μὲν οὖν καὶ λεπτότητος αἴτιον μάλιστα τὸ δέρμα.

20 Τοῦ μὲν οὖν παχείας καὶ λεπτὰς εἶναι τὰς τρίχας, ἐπιμήκεις τε καὶ
βραχείας αἴτιον τὸ δέρμα, συναίτιον δὲ ἡ τῆς ὑγρότητος ἀφ' ἧς τρέφονται 40
διαφορά. ἂν μὲν γὰρ ᾖ τὸ δέρμα παχὺ καὶ μανὸν καὶ ἡ ἀναθυμιωμένη
ἀτμὶς λιπαρά, ἐξ ἧς ἀτμίδος λιπαρᾶς καὶ τοῦ ἐν αὐτῇ γεώδους τρέφονται 45
αἱ τρίχες, γίνονται παχεῖαι καὶ ἐπιμήκεις, παχεῖαι μὲν διά τε τὴν εὐρύτητα
25 τῶν | πόρων (τὸ γὰρ πλῆθος δηλωτικόν ἐστι τῆς εὐρύτητος· μεγάλοι γὰρ 109v
καὶ εὐρεῖς οἱ πόροι τῶν μανῶν), παχεῖαι μὲν οὖν διά τε τὸ πλῆθος τῶν 5
πόρων καὶ διὰ τὸ πάχος τοῦ δέρματος· πολὺ γὰρ ἐν τῷ παχεῖ δέρματι
τὸ γεῶδες, ὑφ' οὗ τε καὶ τῆς ἀναγούσης αὐτὸ ἀτμίδος τρέφονται αὗται.
τὸ γὰρ γεῶδες χωρὶς ἀτμίδος οὐδέποτε ἄνεισιν, ὡς ἐν τῷ πρώτῳ τῶν 10
30 Μετεώρων εἴρηται, ἀλλὰ μεμιγμένον μετ' αὐτῆς. διὰ μὲν οὖν τοὺς πόρους
καὶ τὸ πάχος τοῦ δέρματος παχεῖαι γίνονται· διὰ δὲ τὸ λιπαρὸν λαμβάνουσι 15
μέγεθος. τὸ γὰρ λιπαρὸν οὐκ εὐξήραντον· οὐ γὰρ ἀναξηραίνεται τάχιον
οὔτε ὑπὸ τοῦ περιέχοντος ἀέρος οὔτε ὑπὸ τῆς ἐμφύτου τῶν τριχῶν
θερμότητος (πᾶν γὰρ τὸ τρεφόμενον ἔχει ἔμφυτον θερμότητα, τὸ μὲν
35 μᾶλλον, τὸ δ' ἧττον), μὴ ἀναξηραινομένου δὲ τοῦ λιπαροῦ αὔξονται. ἂν

2. 3 ἀπογεγεισωμένα Arist.: ἀπογεισσώμενα IKa: ἀπογεισσόμενα L 3 ὦτα] ὄντα K
προβολὴν a 6 εὔλογος a 11 ἐπακτέον] ὑπολήπτέον IL 16 τὸ τούτων I
20 Τοῦ] τὸ IL 22 διαφορὰν a 24 ἐπὶ μήκη a 25 πλῆθος] πάχος Ka:
μέγεθος Arist. ἐστι om. Ka 26 οὖν om. K 27 διὰ om. Ka
29 τὸ γὰρ — εἴρηται (30) om. sed in marg. adscr. L 29. 30 ἐν τῷ πρώτῳ τῶν
Μετεώρων] cf. A 3. 4 30 μεμιγμένην a οὖν om. L 32 μέγεθος]
μέσον a

δὲ ᾖ τὸ δέρμα λεπτὸν καὶ ἡ ἀναθυμίασις ὑδατώδης, γίνονται λεπταὶ καὶ 109v
βραχεῖαι, λεπταὶ μὲν διὰ τὴν πυκνότητα τῶν πόρων (συμπεπιλημέναι γὰρ
ἐξέρχονται) καὶ διὰ τὴν ὀλιγότητα τοῦ γεώδους. δι' οὗ μάλιστα τρέφονται 20
(τρέφει γὰρ αὐτὰς καὶ τὸ ὑγρόν, ἀλλὰ μᾶλλον τὸ γεῶδες), βραχεῖαι δὲ
5 διὰ τὸ τάχιον ἀναξηραίνεσθαι τὸ ὑγρόν. ὥσπερ γὰρ ἐπὶ τῶν ὑφ' ἡμῶν
ὁρωμένων ἂν τὸ κατερχόμενον ὕδωρ ἐκ τῶν κεράμων ἐν ταῖς βροχαῖς
ὕδωρ μένῃ, ἄχρι τῆς γῆς κάτεισιν, ἂν δὲ παγὲν καὶ ἀναξηρανθὲν κρύσταλλος
γένηται, οὐκ ἄχρι τῆς γῆς κάτεισιν. ἀλλ' ἄχρι τινός, καὶ ἵσταται. οὕτω
καὶ ἐπὶ τῶν τριχῶν ἂν μὲν ᾖ τὸ ὑγρὸν ὑφ' οὗ τρέφονται λιπαρόν, ἔοικε
10 τῷ ῥέοντι ὕδατι καὶ διὰ τοῦτο αὔξονται ἐπὶ πολύ. ἂν δὲ ὑδατῶδες. τῷ 25
ἀναξηρανθέντι καὶ κρυστάλλῳ γεγονότι. ἂν δ' ᾖ τὸ δέρμα παχὺ καὶ πυκνὸν
καὶ τὸ ὑγρὸν λιπαρόν, γενήσονται ἐπιμήκεις μὲν διὰ τὸ λιπαρόν, λεπτότεραι
δὲ τῶν φυομένων ἐκ τοῦ παχέος καὶ μανοῦ, παχύτεραι δὲ τῶν φυομένων
ἐκ τοῦ λεπτοῦ καὶ πυκνοῦ, λεπτότεραι μὲν ἐκείνων διὰ τὴν πυκνότητα
15 τῶν πόρων, παχύτεραι δὲ τούτων διὰ τὴν παχύτητα τοῦ δέρματος. ἂν δὲ
ᾖ τὸ δέρμα πυκνὸν καὶ λεπτόν, καὶ τὸ ὑγρὸν λιπαρόν, γενήσονται λεπτόταται
καὶ ἐπιμήκη, διὰ μὲν τὴν λεπτότητα καὶ πυκνότητα τοῦ δέρματος λεπταί, 30
διὰ δὲ τὴν λιπαρότητα ἐπιμήκεις· καὶ ἐπὶ τῶν ἄλλων ἀντιθέσεων οὕτως. ἡ
μὲν οὖν τῶν λεγομένων, οἶμαι, διάνοια αὕτη· τὰ δὲ κατὰ τὰς λέξεις ὧδέ
20 πως ἔχει. ὅλως μὲν οὖν, φησί, τὸ δέρμα γεῶδές ἐστιν· ἐπιπολῆς γὰρ ὂν
ἐκτὸς τῶν σαρκῶν ὥσπερ τις ἐπιφάνεια κεῖται· ἐπιπολῆς οὖν ὑπάρχον
ἐξατμίζοντος τοῦ ὑγροῦ στερεὸν γίνεται. εἴρηκε γὰρ καὶ ὅτε περὶ γενέ-
σεως αὐτοῦ ἔλεγεν ἐν τῷ δευτέρῳ βιβλίῳ, ὅτι ἐξατμιζομένου τοῦ ἀνάγοντος 35
τὸ γεῶδες ὑγροῦ, καταλιμπανομένου τοῦ γεώδους οὐ παντός, ἀλλ' ὅσον ἔχει
25 γλισχρότητα, καὶ ψυχομένου πήγνυται καὶ γίνεται δέρμα. αἱ δὲ τρίχες
γίνονται ἐκ τοῦ δέρματος· ἐξατμίζοντος γὰρ τοῦ ἐν αὐτῷ ὑγροῦ ἐν τῇ
ἐξατμίσει συνίσταται ὑπὸ τῆς φύσεως ἀρχή τις τριχῶν, οἷον ὥσπερ τινὲς
βραχύταται ῥίζαι, καὶ οὕτω κατ' ὀλίγον αὔξονται ἐκ τοῦ καθ' ἑκάστην
ἐξατμιζομένου ὑγροῦ καὶ τοῦ ἐν αὐτῷ γεώδους.

30 p. 782 b 5 Διὸ ὅλως μὲν τὰ παχυδερμότερα παχυτριχώτερα τῶν ζῴων.

Τὸ ἑξῆς καὶ κατάλληλον τῆς λέξεως τοιοῦτον ἂν εἴη· διὸ ὅλως μὲν 40
τὰ παχυτριχώτερα τῶν ζῴων παχυδερμότερα, οὐ μὴν καὶ πάντα τὰ παχυ-
δερμότερα παχυτριχώτερα τῶν λεπτοδέρμων· ὁ γὰρ βοῦς παχυδερμότερος 45
35 μὲν χοίρου, λεπτοτριχώτερος δέ. ἔστι μὲν οὖν τὸ λεγόμενον δυνά|μει 110r

2 γὰρ] δὲ IL 3 καὶ om. IL 5 ὡς Ka ἐπὶ scripsi: ὑπὸ libri
ἀφ' ἡμῶν Ka 6 βροχαῖς] βραχείαις IL 7 μένει a ἀναξηραθὲν IL
9 ἀφ' οὗ a 11 ἀναξηραθέντι I πυκνὸν] λεπτὸν IL 13 μανοῦ] πυκνοῦ IL
18 ἐπιμήκη a ἀντιθέσεσι a 19 οἶμαι om. K 21 post ἐκτὸς add. γὰρ Ka
22 ἐξατμίζοντα a 23 ἐν τῷ δευτέρῳ βιβλίῳ] B 6 24 τὸ om. IL
ὑγρὸν Ka post καταλιμπανομένου add. δὲ Ka οὗ] τοῦ IL ὅσον]
ὃς IL 33 τὰ post πάντα om. a 35 οὖν om. Ka

'καθόλου μὲν οὖν εἰπεῖν, εἴ τι παχύτριχον, τοῦτο παχύδερμον, οὐ μὴν εἴ 110r
τι παχύδερμον, καὶ παχύτριχον'. τὸ δὲ οὐ μέντοι τὰ μάλιστα μᾶλλον 5
ἴσον ἐστὶ τῷ οὐ μέντοι τὰ μάλιστα παχύδερμα μᾶλλον παχύτριχα. διὰ
τοῦτο γὰρ καὶ αἱ ἐν τῇ κεφαλῇ ἡμῶν τρίχες παχύτεραι τῶν ἐν ταῖς χερσὶ
5 καὶ ποσὶ καὶ στέρνοις ἀναφυομένων τριχῶν, ὅτι καὶ τὸ τῆς κεφαλῆς δέρμα 10
παχύτερον καὶ μανότερον τοῦ λοιποῦ δέρματος. ὅτι δὲ καὶ ὑγρότερον,
δῆλον· ὁ γὰρ ἐγκέφαλος ὑγρότατος. ἀναμεμιγμένου δὲ ὄντος τοῦ θερμοῦ
μετὰ τοῦ γεώδους καὶ τοῦ μὲν γεώδους φερομένου ὡς γεώδους κάτω, τοῦ
δὲ θερμοῦ ἄνω, οὖλαι αἱ τρίχες γίνονται· εὐθεῖαι δὲ γίνονται διὰ τὸ ῥεῖν
10 ἐν αὐταῖς τὸ ὑγρόν, ἀλλ' οὐ στάζειν· τὸ γὰρ στάζον βραχέως φέρεται δι' 20
ὀλιγότητα.

p. 783a6 Ἔτι δ' ἔνια τῶν ζῴων μαλακὴν μὲν ἔχει τὴν τρίχα, ἧττον δὲ λεπτήν.

Τοῦτο λίαν πανάληθες· αἱ γὰρ τῶν λαγωῶν τοιαῦται· παχεῖαι γὰρ
15 καὶ μαλακαί, κἂν ἐμφαίνωνταί τινες μεταξὺ τῶν παχειῶν καὶ μαλακῶν 25
πάνυ λεπτόταται, αἵτινες λεπτόταται οὐδὲ κυρίως | εἰσὶ τρίχες· αἱ δὲ 110v
πλεῖσται κυρίως οὖσαι τρίχες παχεῖαι καὶ μαλακαί. εἰσὶ μὲν οὖν μαλακαί,
διότι οὔκ εἰσιν ἄχρι τῆς σαρκὸς ἐρριζωμέναι, ἀλλ' ἐπιπολῆς τοῦ δέρματος· 5
ἐν αὐτῷ γὰρ τῷ δερματί εἰσιν ἐρριζωμέναι, ἀλλ' οὐκ εἰς βάθος, ὥστε
20 ἅπτεσθαι καὶ τῶν σαρκῶν ὥσπερ αἱ τῶν ἄλλων ζῴων. καὶ διὰ τοῦτο
ταχέως ἐκπίπτουσι· τὸ γὰρ τάχιον καὶ ῥᾷστα πίπτειν σημεῖον τοῦ μὴ εἰς 10
βάθος αὐτὰς ἐρριζῶσθαι. ἐπιπολῆς οὖν οὖσαι καὶ διὰ τοῦτο ὀλίγον
λαμβάνουσαι τὸ γεῶδες, πλεῖον δὲ τὸ ὑγρὸν μαλακαί εἰσι, παχεῖαι δέ, ὅτι 15
ἀφελοῦσα ἡ φύσις ἐκ τοῦ μήκους προσέθηκε τῷ πάχει· οὐ γὰρ ἀρκεῖ ἡ
25 ἀναγομένη ὕλη καὶ εἰς πάχος καὶ εἰς μῆκος. τὸ δὲ ἐπιπολῆς ἡ πέριξ
ἐκ παραλλήλου κεῖται. ἀπὸ λίνων δὲ ξύσματα λέγει ἅπερ οἱ ἰατροὶ 20
ἐπιτιθέασι τοῖς τραύμασι. λαβόντες γὰρ λίνειον ὕφασμα ἢ ἱμάτιον ξύουσι
μαχαίρᾳ· ξυομένου δὲ ἐξέρχονται λεπτότατά τινα καὶ βραχύτατα ἐοικότα 25
ταῖς ἐμφαινομέναις ἐν τοῖς λαγωοῖς λεπτοτάταις θριξί. ταῦτα οὖν τὰ ἐξερ-
30 χόμενα ἐκ τοῦ λινείου ἱματίου τιθέασιν ἐν τοῖς τραύμασιν· ἅπερ οὐδὲ
πλέκεσθαι δύνανται πάνυ ὄντα οὐκ ἐπιμήκη, ἀλλὰ βραχύτατα. λέγει δὲ 30
καὶ τοὺς Σκύθας εἶναι μαλακότριχας, τὰ δὲ πρόβατα τοὐναντίον σκληρό-

1 οὖν om. a 2 δὲ scripsi: γὰρ libri τὸ μάλιστα IL 3 τῷ] τὰ a μέν τι I μᾶλλον] πάλιν I 4 ταῖς om. Ka 5 στέρνων K: στέρνου a ἀναφυομένων τριχῶν om. Ka 9 οὖλαι] οὕτως L: οὔτε I εὐθὺς a 10 βραδέως Ka 12 Ἔτι IKL¹: ἔστι Arist. corr. L² ζῴων ἃ μαλακὴν Arist. τὴν K Arist.: om. IL 14 λαγῶν I: λαγοῶν a 16 αἵτινες λεπτόταται om. a αἱ K 17 post πλεῖσται add. καὶ a οὖσαι om. a 20 καὶ prius om. a ὡς Ka 21 πίπτει a 22 ἐπιπολὺ a οὖν] μὲν K 24 πάχη a 25 ἢ πέριξ libri et Arist. PY: ἡ πέριξ Arist. S corr. Z: ἡ θρὶξ Arist. vulg. 26 ξυόμενα Arist. ἃ Ka 27 λίνιον IL 28 μαχαίρους L: ταχέως a λεπτά τινα IL: λεπτότητες τινὲς a βραχύτητες a ἐοικότες a 29 ἐν om. a 30 ἅπερ] ἃ δὴ Ka 31 δύναται a

τριχα. καὶ οἱ μὲν Σκύθαι τοιοῦτοι διὰ τὴν προειρημένην αἰτίαν· ὑγροὶ γὰρ 110v
καὶ αὐτοὶ καὶ ὁ περιέχων αὐτοὺς ἀήρ, μάλιστα δὲ † διὰ τὸ εἶναι ὑγρότατος·
τὰ δὲ πρόβατα δι' ἃς λέγει σαφῶς αἰτίας. ποντίους δ' ἐχίνους λέγει τοὺς 40
θαλαττίους. στραγγουρία δὲ λέγεται ἣν οἱ πολλοὶ δυσουρίαν λέγουσι· τού-
5 τοις δὴ τοῖς στραγγουριῶσι τοὺς ποντίους ἐχίνους λεαίνοντες οἱ ἰατροὶ καὶ 45
ὑγρῷ μιγνύντες διδόασι πίνειν. ἐπεὶ δὲ ὡς εἴρηται ἡ ψυχρότης σκληρύνει,
εἰκότως καὶ τὰ ἄλλα τὰ φυόμενα (λέγων φυόμενα τὰ | δένδρα) τὰ 111r
ἐν τοῖς προσβόρροις σκληρότερά ἐστι τῶν πρὸς νότον· τὰ γὰρ βόρεια
μέρη ψυχρότερα τῶν νοτίων. ἐξατμίζεται δὲ τὸ ὑγρὸν ὑπὸ μὲν τοῦ θερμοῦ 5
10 καθ' αὑτό (ἐξερχομένου γὰρ τοῦ θερμοῦ συνεξέρχεται αὐτῷ καὶ τὸ ὑγρόν),
ὑπὸ δὲ τοῦ ψυχροῦ κατὰ συμβεβηκός· καθ' αὑτὸ μὲν γὰρ τὸ ψυχρὸν τὸ
θερμὸν ἐξάγει, συμβαίνει δὲ τοῦ θερμοῦ ἐξαγομένου συνεξάγεσθαι τὸ ὑγρόν.
καὶ τὰ μὲν ὑπὸ ψυχροῦ παγέντα ἐστὶ σκληρὰ καὶ πυκνά (τὸ γὰρ ψυχρὸν
σκληρύνει καὶ πυκνοῖ), τὰ δ' ὑπὸ θερμοῦ σκληρὰ καὶ μανά· τὸ γὰρ θερμὸν
15 σκληρύνει μέν, οὐ πυκνοῖ δέ.

p. 783b8 Φαλακροῦνται δ' ἐπιδήλως οἱ ἄνθρωποι μάλιστα τῶν ζῴων.

Τὴν αἰτίαν διὰ τούτων λέγει, πῶς φαλακροῦνται οἱ ἄνθρωποι. φωλεύοντας 10
δὲ ὄρνιθας λέγει τοὺς ἐπῳάζοντας. τὸ δὲ κατὰ μέρος μὲν ἀπορρεῖ
20 καὶ τὰ φύλλα τοῖς φυτοῖς πᾶσι δυνάμει τοιοῦτόν ἐστι· πάντων τῶν 15
φυτῶν καὶ τῶν ἀειφύλλων καὶ τῶν φυλλοβολούντων κατὰ μέρος ἀπορρεῖ
τὰ φύλλα καὶ οὐχ ἅμα πάντα, ἀλλὰ τῶν μὲν ἀειφύλλων ἅμα τῷ ἀπορρεῦσαι 20
φύλλον εὐθὺς βλαστάνει ἕτερον, καὶ διὰ τοῦτό εἰσιν ἀείφυλλα, ἐπὶ δὲ τῶν
φυλλοβολούντων τοῦτο οὐ συμβαίνει. καὶ ἐπὶ τῶν κομητῶν ὁμοίως κατὰ
25 μέρος πίπτουσιν αἱ τρίχες αὐτῶν, ἀλλὰ πάλιν φύουσιν ἕτεραι. ἐπὶ δὲ τῶν
φαλακρῶν πίπτουσι μὲν ὁμοίως κατὰ μέρος, ἀλλὰ διὰ τὸ μὴ φύειν ἄλλας
γίνονται φαλακροί. αἴτιον δὲ τοῦ φαλακροῦσθαι ἡ ἔνδεια τῆς θερμῆς 30
ὑγρότητος. ἐπεὶ γὰρ ὁ θάνατος ψυχρὸν καὶ ξηρόν, δῆλον ὡς ἡ ζωὴ ὑγρὸν
καὶ θερμόν· ὅταν οὖν ἔνδεια γένηται θερμῆς ὑγρότητος ἐν τῷ ἐγκεφάλῳ
30 (ἔχει γάρ τινα ὁ ἐγκέφαλος θερμότητα, ὡς εἶπεν ἐν τῷ Περὶ ζῴων μορίων,
ἐκ τοῦ νωτιαίου μυελοῦ καὶ μετ' ὀλίγον ἐρεῖ) ὅταν οὖν γένηται ἔνδεια
ὑγρότητος θερμῆς, τοιαύτης δὲ ὑγρότητος θερμῆς, ἐξ ἧς πεφύκασιν αἱ
τρίχες τρέφεσθαι, τρόπον τινὰ ἀποθνήσκουσι καὶ πίπτουσι. θερμὸν δέ,

2 fort. μάλιστα δ' αἴτιος ὁ ἀὴρ διὰ τὸ κτλ. 5 δὴ] δὲ IL ante τοὺς add. δυσουριοῦσι IL 8 προσβόροις libri et Arist. PSZ: πρὸς βορρᾶν Arist. vulg. ἐστι om. Ka νότων a 10 καθ' αὑτὸν a αὐτῷ] αὐτὸ I 11 κατὰ συγκαταβεβηκὸς K 12 συμβαίνει γὰρ τοῦ a 13 post ὑπὸ add. τοῦ a ἐστὶ om. a ψυχρὸν] σκληρὸν IL 19 ἀπορρεῖ Arist.: ὑπορρεῖ libri, sed cf. v. 21. 22 21 et 24 φυλλαβολούντων L: φυλλορροούντων Ka 23 φύλλα a ὕστερον I ἐπεὶ a 25 πίπτουσιν post ὁμοίως (24) ponunt IKa 27. 28 θερμότητος καὶ ὑγρότητος a 29 post ὅταν add. μὲν Ka 30 post τινα add. καὶ Ka ἐν τῷ Περὶ ζῴων μορίων] B 7 p. 652a30 sqq. 31 νωτιαίου IL ὅταν οὖν—τρέφεσθαι (33) om. Ka

φησί, καὶ ὑγρόν ἐστι τὸ λιπαρόν· τὸ γὰρ λιπαρόν, ὡς πολλάκις εἴρηται, 111r εὐπεψία τίς ἐστιν, ἡ δὲ εὐπεψία ὑπὸ θερμότητος· ὥστε τὸ λέγειν ἔνδειαν ὑγρότητος θερμῆς ταὐτόν ἐστι τῷ λέγειν ἔνδειαν ὑγρότητος λιπαρᾶς.

p. 783b22 Γίνεται δὲ τοῖς φυτοῖς ἐν τῷ χειμῶνι τὸ πάθος· αὕτη γὰρ ἡ μεταβολὴ κυριωτέρα τῆς ἡλικίας.

Ἡλικίαν λέγει τὸ γῆρας, μεταβολὴν δὲ τὸν χειμῶνα. ἔστι δὲ τὸ λεγόμενον 'τὸ φυλλορροεῖν καὶ οἱονεὶ φαλακροῦσθαι γίνεται τοῖς φυτοῖς ἐν τῷ χειμῶνι· κυριώτερος γὰρ ὁ χειμὼν καὶ μᾶλλον δύναται ποιεῖν τὰ φυτὰ φυλλορροεῖν ἤπερ τὸ γῆρας τοὺς ἀνθρώπους φαλακροῦσθαι'. οὐκ ἔστι γὰρ τοσοῦτον τὸ γῆρας αἴτιον τοῦ φαλακροῦσθαι τοὺς ἀνθρώπους, ὅσον ὁ χειμὼν τοῦ τὰ δένδρα φυλλορροεῖν. ἐν | δὲ τῇ λέξει τῇ καὶ τοῖς φωλεύουσι 111v δὲ τῶν ζῴων οὐ τοῦτο λέγει, ὡς ἄν τῳ δόξειεν, ὅτι ὁ χειμών ἐστιν αὐτοῖς αἴτιος τοῦ πτερορρυεῖν, ἀλλ' ὅτι καὶ τούτοις τοῦ πτερορρυεῖν αἴτιον ἡ ἔνδεια τῆς ὑγρότητος τῆς θερμῆς. [τότε δὲ τοῖς τοιούτοις τὴν φύσιν μᾶλλον.]

p. 783b28 Φύσει γάρ ἐστιν ὁ ἐγκέφαλος ψυχρότατος.

Τὴν αἰτίαν διὰ τούτων λέγει τοῦ διὰ τί οὐδεὶς φαλακροῦται πρὸ τοῦ καιροῦ τῶν ἀφροδισίων. οὐδεὶς γὰρ ἐν τῷ δωδεκάτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας φαλακροῦσθαι ἀπάρχεται, ἀλλὰ μετὰ τὸν καιρόν, εἶθ' ὁ τεσσαρεσκαιδέκατός ἐστιν εἶθ' ὁ ἐφεξῆς τούτῳ, ἐν ᾧ φυσικῶς ἄρχεται ἀφροδισιάζειν, μετὰ τοῦτον δὴ καὶ ἡ τοῦ φαλακροῦσθαι τέως ἀρχὴ γίνεται. πληροῦται δὲ καὶ τὸ τέλος λαμβάνει προϊόντος τοῦ χρόνου. διὰ τί οὖν μετὰ τὸν καιρὸν τῶν ἀφροδισίων ἡ φαλάκρα ἄρχεται γίνεσθαι, ῥητέον ὧδε· ἐπειδὴ ἡ γονὴ περίττωμα δέδεικται τῆς ἐσχάτης τροφῆς. ἡ δὲ ἐσχάτη τροφὴ ὑγρὰ καὶ θερμή, δῆλον ὅτι οἱ ἀφροδισιάζοντες ἐν ἐνδείᾳ εἰσὶ τῆς θερμῆς ὑγρότητος διὰ τὴν τῆς γονῆς ἀπόκρισιν. εὔλογον δήπου τὸν ἐγκέφαλον φύσει ψυχρότατον ὄντα πρώτως τῶν ἄλλων μορίων αἰσθάνεσθαι τοῦ πάθους τούτου· τὰ γὰρ ἀσθενῆ τῶν μορίων καὶ φαύλως ἔχοντα μικρᾶς αἰτίας καὶ ῥοπῆς γεγονυίας εὐθὺς τρέπεται εἰς ὃ πέφυκεν. ὁ δὲ ἐγκέφαλος εἰ καὶ φύσει ψυχρός ἐστιν, ὅμως ἔχει τινὰ θερμότητα ὑπὸ τῶν περιεχόντων

2 ἀπεψία τις IL¹ 3 θερμοῦ Ka 4 τοῖς μὲν φυτοῖς Arist. 7 post γίνεται add. δὲ IL ἐν om. KLa 11 τοῦ om. a 13 αὐτοῖς αἴτιον a ἀλλ' ὅτι—πτερορρυεῖν om. IL αἴτιος Ka 14 ἡ—θερμῆς] ἡ ἔνδεια τῆς ὑγρᾶς θερμότητος Ka 14. 15 τότε—μᾶλλον cum proximo lemmate coniungenda sunt 16 φύσις I ψυχρότατος libri et Arist. SY: ψυχρότατον Arist. vulg. 17 τούτου K: τούτῳ a 18 δεκάτῳ Ka 18. 19 ἡλικίας αὐτοῦ Ka 19 ἄρχεται Ka 20 ἑξῆς Ka τούτων IL ἐν ᾧ om. a 21 τοῦτο IL ἡ τοῦ] ἐν τῷ IL 22 τὸ om. Ka παριόντος IL 23 φαλάκροσις (sic) a 24 ἐπεὶ Ka δέδεικται] δέχεται Ka ἡ (ante δὲ)] τῷ L¹: τῇ I 25 θερμὰ I 27 post ἐγκέφαλον add. δέ που I φύσει om. IK: φησὶ a 28 μερῶν Ka 30 εἰ om. I φύσις a

αὐτὸν μικρῶν φλεβίων· ὥστε ἡνίκα γένηται μικρά τις αἰτία, ἐξίσταται τῆς 111v
τοιαύτης θερμότητος καὶ τρέπεται εἰς ὃ πέφυκεν. ὥστε ἄν τις ἀναλογίσηται
ὅτι αὐτός τε ὁ ἐγκέφαλος ὀλιγόθερμός ἐστιν (ὀλίγη γὰρ ἡ χορηγουμένη
αὐτῷ θερμότης ὑπὸ τῶν προσεχῶς ῥηθέντων φλεβίων), καὶ ἔτι μᾶλλον
5 ὀλιγοθερμότερον τὸ τῆς κεφαλῆς δέρμα διά τε τὴν ἀπὸ τοῦ ἐγκεφάλου
ἐγγινομένην αὐτῷ ψυχρότητα καὶ τὸν περιέχοντα ἡμᾶς ἀέρα, καὶ ἔτι μᾶλλον
ὀλιγοθερμοτέραν τὴν τῶν τριχῶν φύσιν τῆς τοῦ δέρματος φύσεως, εἰ δὴ ὁ
μὲν ἐγκέφαλος ψυχρὸς ὢν τότε μᾶλλόν ἐστι ψυχρός, καὶ τούτου τὸ δέρμα 40
ψυχρότερον, καὶ τοῦ δέρματος μᾶλλον ψυχροτέρα ἡ τῶν τριχῶν φύσις, ὅσον
10 ἀφέστηκε τῆς ἀρχῆς πλέον τῶν ἄλλων (ἀρχὴ δ' ὡς πολλάκις εἴρηται ἡ
καρδία), εὐλόγως ἂν δόξειε τοῖς σπερματικοῖς, τουτέστι τοῖς πλείστην
ἀφιεῖσι γονήν, περὶ ταύτην τὴν ἡλικίαν ⟨συμβαίνειν⟩ φαλακροῦ-
σθαι. ἔστιν οὖν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη· τοῖς σπερματικοῖς περὶ
ταύτην τὴν ἡλικίαν ψυχρότατος γίνεται ὁ ἐγκέφαλος διὰ τὸ εἶναι τὴν ἐξερ-
15 χομένην γονὴν ὑγρὰν καὶ θερμήν· τούτου δὲ ψυχροῦ γεγονότος, ἔτι μᾶλλον 45
τὸ δέρμα ψυχρότερον γίνεται, καὶ ἔτι μᾶλλον τούτου ἡ τῶν τριχῶν φύσις,
τοῦτο δὲ ταὐτόν ἐστι τῷ ἐν ἐνδείᾳ αὐτὰς εἶναι τότε ὑγρᾶς καὶ θερμῆς
τροφῆς. ὥστε ἀνάγκη πίπτειν· τὸ γὰρ ζῆν καὶ εἶναι αὐταῖς ἐστιν ἐν τῷ
τοιαύτην τρέφεσθαι τροφήν, ὑγράν φημι καὶ θερ|μήν. εἰπὼν δὲ δι' ἣν 112r
20 αἰτίαν οὐ γίνονται φαλακροὶ πρὸ τῶν ἀφροδισίων, ἀλλ' ὅτε ἀφροδισιά-
ζουσιν, ἐπάγει διὰ τὴν αὐτὴν δ' αἰτίαν καὶ τῆς κεφαλῆς τὸ πρό-
σθιον μόνον γίνονται φαλακροί, καὶ τῶν ζῴων οἱ ἄνθρωποι μόνοι.
φαλακροῦνται μὲν οὖν τὸ πρόσθιον, ὅτι ἐνταῦθα ὁ ἐγκέφαλος, ὁ αἴτιος τοῦ
γίνεσθαι τὰς φαλάκρας, μόνος δὲ ὁ ἄνθρωπος, ὅτι πολὺ πλεῖστον οὗτος
25 ὑγρότερόν τε καὶ ψυχρότερον τῶν ἄλλων ζῴων ἔχει τὸν ἐγκέφαλον. αἱ 5
δὲ γυναῖκες οὐ φαλακροῦνται δι' ἣν αἰτίαν οὐδ' οἱ παῖδες· οὔτε γὰρ ὁ
παῖς προΐεται γόνιμον σπέρμα οὔτε τὸ θῆλυ. τὸ γὰρ καταμήνιον ἄγονον
ἄνευ τῆς ἀπὸ τοῦ ἄρρενος ἐκκρίσεως, ἡ δὲ φαλάκρα γίνεται διὰ πρόεσιν
γονίμου σπέρματος. ὑστερογενεῖς δὲ τρίχας λέγει τὰς ἐν τῇ γένυϊ,
30 τὰς ἐν τῇ ἥβῃ, τὰς ἐν τοῖς στέρνοις, τὰς παραπλησίους, μάλιστα δὲ τὰς
ἐν τῇ γένυϊ. πήρωσιν δὲ λέγει τὴν τῶν ὄρχεων ἐκτομήν· πήρωσις γάρ
τις καὶ ἡ τούτων ἐκτομή.

p. 784a 11 Τοῦ δὲ τὰ μὲν φωλεύοντα πάλιν δασύνεσθαι καὶ τὰ φυλλοβολήσαντα πάλιν φύειν φύλλα.

35 Ἐπειδὴ γάρ, ὡς εἴρηκε πρότερον, καὶ ἡ φυλλοβόλησις καὶ ἡ πτερορ- 10

11 εὐλογότερον (sic) a πλείστην] πλ (lac. IV litt.) IL 12 ἀφιᾶσι libri
συμβαίνειν ex Arist. addidi 15 ὑγρὰν post εἶναι (14) ponunt IL ἔτι] ἐπεὶ I
17 ταὐτόν] ταύτη a 19 τοιαύτας a 20. 21 ἀφροδισιάσουσιν a 21. 22 et 23
πρόσθεν a 22 post πρόσθιον add. οὐ I γίνεται φαλακρὸν Ka 23 φαλακροῦται Ka
ὅτε a 25 τε] τϊ I: om. a 26 post γυναῖκες add. δὲ IL 28 διὰ προέσεως K
29 ὑστεροῦν a τὰς τρίχας a λέγει τρίχας coll. K 29 et 31 γένη a
33 καὶ τὰ—φύλλα (34) om. K 35 Ἐπεὶ Ka

ρύησις φαλάκραι εἰσίν, ἡ μὲν ὀρνίθων, ἡ δὲ δένδρων, ὁρῶμεν δὲ ὅτι καὶ 112r
αἱ πτερορρυήσασαι ὄρνιθες πάλιν δασύνονται καὶ τὰ φυλλοβολήσαντα 15
πάλιν φύει φύλλα, φαλακρὸς δ' οὐδεὶς οὐδέποτε κομήτης γέγονε, τὴν αἰτίαν
ἑκατέρου τούτων διὰ τούτων ἐκτίθεται. αἴτιον οὖν, φησίν, ὅτι τοῖς μὲν 20
5 φυτοῖς καὶ ὄρνισιν αἱ ὧραί εἰσι τροπαί (λέγων ὥρας ἔαρ, μετόπωρον,
χειμῶνα καὶ θέρος), ὥστ' ἐπεὶ αἱ ὧραι μεταβάλλουσιν, ἀνάγκη ταύταις
συμμεταβάλλειν καὶ αὐτά, καὶ ἐπὶ τούτῳ πάλιν καὶ τὰ δένδρα φύει καὶ 25
αἱ ὄρνιθες δασύνονται, τοῖς δ' ἀνθρώποις οὐκ εἰσιν αἱ ὧραι τροπαὶ τοῦ
σώματος, ἀλλ' αἱ τοιαῦται ἡλικίαι· ὃν γὰρ λόγον ἔχει τὸ ἔαρ ἐν δένδροις 30
10 καὶ ὄρνισι, τοῦτον ἡ ἀκμὴ ἐν ἀνθρώποις. ἐπειδὴ οὖν οὐκ εἰσιν αὐτοῖς
αἱ ὧραι τροπαὶ τοῦ σώματος, ἀλλ' αἱ ἡλικίαι, αὗται δ' οὐ μεταβάλλουσιν
(οὐ γὰρ μεταβάλλει γῆρας εἰς νεότητα ὥσπερ θέρος εἰς μετόπωρον) εἰκότως 35
οὐδὲ τὰ διὰ τὰς ἡλικίας πάθη μεταβάλλει. ζητήσειε δ' ἄν τις, πῶς τὸ
γῆρας ἀναλογεῖ χειμῶνι· ὁ μὲν γὰρ χειμὼν ψυχρὸς καὶ ὑγρός, τὸ δὲ γῆρας 40
15 ψυχρὸν καὶ ξηρόν. ἢ ὁ μὲν χειμὼν κατὰ συμβεβηκός ἐστιν ὑγρός (συμ-
βαίνει γὰρ ψύξεως οὔσης συνίστασθαι τὸν ἀέρα εἰς ὕδωρ), ἐπεὶ ὁ χειμὼν 45
φύσει ἐστὶ ψυχρὸς καὶ ξηρός. ἀλλὰ καὶ τὸ γῆρας κατὰ συμβεβηκός ἐστιν
ὑγρόν· ξηρὸν μὲν γὰρ | γίνεται τὸ γῆρας διὰ τὸ ἔχειν ἡμᾶς ἐν τῇ τοιαύτῃ 112v
ἡλικίᾳ ἔνδειαν τῆς συμφύτου θερμότητος, ἐπεὶ ὅτι γε πλήρεις ἐσμὲν τότε
20 τῆς ἐκ τῶν περιττωμάτων ὑγρότητος, παντί που δῆλον· φλεγματικώτατοι γὰρ 5
καὶ περιττωματικώτατοι οἱ γηραιοί. * * * τοῖς δ' ἀνθρώποις οὐδὲν πλὴν
τῶν πολιῶν, οὐ τῶν διὰ γῆρας, ἀλλὰ τῶν διὰ νόσον· πολλῶν γὰρ γεγό- 10
νασιν αἱ τρίχες λευκαὶ οὐ διὰ τὸ γῆρας, ἀλλὰ διὰ τὸ νοσῆσαι νόσον ἣν καλοῦσι
λεύκην. γίνεται γὰρ ἐν ταύτῃ τῇ νόσῳ καὶ τὸ τῆς κεφαλῆς δέρμα λευκόν, 15
25 ὕστερον δὲ ὑγιανάντων πάλιν γεγόνασι μέλαιναι. λέγει οὖν ὅτι τοῖς μὲν
ἄλλοις ζῴοις τοῦ μονοχρόους ἔχειν τὰς τρίχας ἢ ποικίλας αἴτιον τὸ δέρμα,
τοῖς δ' ἀνθρώποις τοῦ μὲν λευκὰς γίνεσθαι ἐν τῇ καλουμένῃ νόσῳ λεύκῃ 20
αἴτιον καὶ τούτοις τὸ δέρμα, τῶν δὲ γινομένων ἐν τῷ γήρᾳ πολιῶν οὐκ
αἴτιον τὸ δέρμα, ἀλλ' ἕτερόν τι, ὅπερ ἤδη ῥηθήσεται. τοῖς οὖν ἀνθρώποις, 25
30 φησί, τῶν μὲν διὰ νόσον γενομένων πολιῶν αἴτιον τὸ δέρμα, τῶν δὲ διὰ
γῆρας οὐκ αἴτιον. καὶ ἂν μὲν ᾖ τὸ δέρμα λευκόν, ὥσπερ ἐν τῇ λεύκῃ
νόσῳ, ἕπεται καὶ τὸ τὰς τρίχας λευκὰς εἶναι· ἐὰν δὲ αὗται ὦσι λευκαί, 30
οὐκ ἀκολουθεῖ τὸ καὶ τὸ δέρμα λευκὸν εἶναι· τῶν γὰρ γηραιῶν αἱ μὲν
τρίχες λευκαί, τὸ δὲ δέρμα οὐ λευκόν. αἴτιον δὲ τοῦ ἐν τῇ εἰρημένῃ 35

1 φαλάκρα a 4 ἑκατέρων a 5 ὄρνεσιν I 6 χειμών a καὶ om. Ka
6. 7 ταύτη συμμεταβάλλει a 7 τούτῳ scripsi: τούτου libri 8 οἱ ὄρνιθες Ka
9 τοιαίδε Ka 10 αὐταῖς K 12 ὡς Ka 16 τὸν ἀέρα] τὸ ἔαρ IL
18 ὑγρόν] immo ξηρόν, cf. 20 γίνεται] λέγεται Ka 19 ἐμφύτου Ka
21 lacuna ex Arist. p. 784 a 23. 24 explenda est τοῖς δὲ τότε ἀνθρώποις I
22 διὰ τὸ γῆρας I νόσων a πολλοῖς a γὰρ om. IL 23 διὰ
post ἀλλὰ om. Ka 25 ὑγιάναντες Ka ὅτι] ὅταν a: om. IL 26 μονο-
χρόας libri τρίχας] χροὰς a 27 γενέσθαι Ka 28 καὶ τούτου Ka
γήρει IK 29 ἀλλ' ἄλλο τι Ka 30 γινομένων Ka πολιῶν om. Ka
32 νόσῳ om. Ka 33 γὰρ] δὲ IK

νόσῳ λευκαίνεσθαι τὰς τρίχας ὅτι ἐκ τοῦ δέρματος φύονται· λευκοῦ γὰρ 112r
τότε τοῦ δέρματος ὄντος ἀνάγκη συμμεταβαλεῖν αὐτῷ καὶ τὰς τρίχας.
λέγει δὲ τὴν λευκότητα τῶν ἐν τῷ γήρᾳ γινομένων πολιῶν γίνεσθαι δι' 40
ἔνδειαν τῆς τῶν τριχῶν θερμότητος, ὥσπερ καὶ ἡ φαλάκρα. διαφέρει δὲ
5 ὅτι ἡ μὲν φαλάκρα ἐγίνετο κυρίως καὶ πρώτως δι' ἔνδειαν ὑγρότητος θερμῆς, 45
ἡ δὲ πολιὰ δι' ἔνδειαν μόνης θερμότητος. καὶ ἐπεὶ τὴν εἰς ἕκαστον
μόριον ἀφικνουμένην τροφὴν | πέττει ἡ κατὰ φύσιν ἐν αὐτῷ οὖσα θερ- 113r
μότης, ἡ δὲ ἐν ταῖς θριξὶν οὖσα φυσικὴ θερμότης ἀσθενής ἐστι τότε καὶ
πάμπαν ἀδρανής, ὥστε μηδὲ δύνασθαι πέττειν τὴν εἰσιοῦσαν ὑγρότητα, 5
10 σήπεται αὕτη ἡ ὑγρότης ὑπὸ τῆς τοῦ περιέχοντος θερμότητος καὶ γίνεται
οἷον εὐρώς τις. ἡ γὰρ σῆψις, ὡς ἐν τῷ τετάρτῳ τῶν Μετεώρων εἴρηται, 10
ὑπὸ ἀλλοτρίας γίνεται θερμότητος. εἰπὼν δὲ ὅτι ἡ θερμότης πέττει τὴν
τροφὴν ἐπαγγέλλεται περὶ τοῦ πῶς τοῦτο γίνεται καὶ ὅλως πῶς τρεφόμεθα
εἰπεῖν ἐν τῷ Περὶ αὐξήσεως καὶ τροφῆς. ἐπειδὴ δὲ σήπεται καὶ ὁ ἀὴρ 15
15 καὶ τὸ ὕδωρ, ἀνάγκη σήπεσθαι καὶ τὴν γεώδη ἀτμίδα, ὑφ' ἧς αἱ τρίχες
τρέφονται. καλεῖται δὲ ἡ τῆς γεώδους ἀτμίδος σῆψις, μᾶλλον δὲ ἡ 20
σαπεῖσα γεώδης ἀτμὶς εὐρώς· τοιοῦτον δέ ἐστιν ὁ εὐρώς, οἷόν ἐστιν ὁ
σαπεὶς ἄρτος ἐν τῷ θέρει, ὃν καλοῦσιν οἱ πολλοὶ μόχλην. γίνεται δὲ ἡ
τῶν τριχῶν σαπεῖσα τροφὴ λευκή, ὅτι καὶ ὁ εὐρὼς λευκός. γίνεται δὲ 25
20 εὐρὼς καὶ ἐν γῇ καὶ ἐν τοίχοις. γεώδη δὲ λέγει ἀτμίδα, διότι οὐδέποτε
ἡ ἀτμὶς χωρὶς γεώδους τινὸς ἄνεισι. λέγει δὲ τὸν εὐρῶτα ἀντεστραμμένως 30
καὶ ἐναντίως ἔχειν τῇ πάχνῃ· ἂν μὲν γὰρ παγῇ ἡ ἀτμὶς γίνεται πάχνη,
εἰ δὲ σαπῇ, εὐρώς, διὸ καὶ ὁ εὐρὼς καὶ ἡ πάχνη οὐκ ἐν τῷ βάθει γίνονται
τῆς γῆς, ἀλλ' ἐπιπολῆς καὶ ἐν τῇ ἐπιφανείᾳ, διὰ τὸ καὶ τὴν ἀτμίδα, ἐξ
25 ἧς ὁ εὐρὼς καὶ ἡ πάχνη, ἐπιπολῆς εἶναι. ἐν δὲ τῷ τῶν κωμικῶν ἐπα-
χθέντι τῷ γήρως εὐρῶτα ⟨καὶ⟩ πάχνην τὸ πάχνην καθ' αὑτὸ κεῖται, 35
οὕτως δ' ἐπήγαγεν αὐτὸ ὡς εἰ ἔλεγεν ὅτι ποτὲ μὲν τὴν πολιὰν καλοῦσιν
εὐρῶτα γήρως, ὁτὲ δὲ πάχνην γήρως. ἔστι γὰρ ἡ πολιὰ τῇ μὲν πάχνῃ
ταὐτὸν τῷ γένει (λέγων γένος τὴν ὅλην καὶ τὸ ὑποκείμενον), τῷ δὲ εὐρῶτι
30 ταὐτὸν τῷ εἴδει. ἡ μὲν γὰρ πάχνη τῷ γένει, τουτέστιν ἡ μὲν πολιὰ
καὶ ἡ πάχνη ταὐτὸν τῷ γένει (ἀμφότερα γὰρ ἐκ τῆς ἀτμίδος), ὁ δὲ εὐρὼς
τῷ εἴδει, τουτέστιν ὁ δὲ εὐρὼς καὶ ἡ πολιὰ ταὐτὸν τῷ εἴδει· σῆψις γὰρ
ἀτμίδος καὶ ὁ εὐρὼς καὶ ἡ πολιά. σημεῖον δ' ὅτι ἡ πολιὰ σῆψίς ἐστιν

1 γὰρ scripsi: δὲ libri 2 συμμεταβάλλει a αὐτῶν a 5 πρῶτον a ὑγρᾶς θερμότητος K: τῆς τῶν τριχῶν θερμότητος a 7 ἐν om. Ka 8 ἀσθενής—ἀδρανὴς (9)] ἀδρανὴς ἐστὶ τότε πάντη Ka 9 ὑγρότητα] θερμότητα IK 11 ἑβρώς IL et sic porro, sed infra corr. L² ἐν τῷ τετάρτῳ τῶν Μετεώρων] Δ 1 p. 379a16 sqq. 12 πέττειν a 13 ὅλως περιτρεφόμεθα I 14 ἐν τοῖς I 17 σαπεῖσαι a τοιοῦτον—εὐρώς om. a οἷος Ka 18 μόχνην a 19 post δὲ add. ὁ Ka 20 ἐν τῇ γῇ Ka γεῶδες a 21 ἀπεστραμμένως I 22 ἔχειν om. a 23 γίνεται Ka 25 ἐπιπολὺ a 25. 26 ἐπαχθέντα a 26 τῷ scripsi: τὸ libri γῆρας IKL καὶ ex Arist. addidi τὸ πάχνη I 27 αὐτὸ ὡς] αὐτὸς Ka 28 εὐρῶτα γῆρας I πολιὰ] πολὺ a 29 τὸ δὲ K εὐρῶτα Ka 30 ταὐτὰ Ka 31 ἄμφω Ka 33 ἐστιν om. Ka

ὑγρότητος, ὅτι καὶ πολλοῖς ἐν νόσοις ἐλευκάνθησαν αἱ τρίχες οὐ μόνον 113r
διὰ τὸ εἶναι σεσημμένον ὑπὸ τῆς νόσου τὸ ἀναδιδόμενον εἰς αὐτὰς ἐκ τοῦ 40
σώματος ὑγρόν (πολὺ γὰρ ἐν τοῖς σώμασι καὶ ἑκάστῳ τῶν μορίων ἐν ταῖς
νόσοις ἐστὶ τὸ τοιοῦτον περίττωμα), ἀλλὰ καὶ διὰ τὸ συννοσεῖν καὶ αὐτὰς
5 τῷ λοιπῷ σώματι καὶ μὴ δύνασθαι πέττειν. σαφῶς δὲ διά τί πρῶτον
οἱ κρόταφοι λευκαίνονται, ἀπαγγέλλει. τὸ δὲ μέσος γὰρ ὢν ὁ τόπος
ἀμφοτέρων ἐκτὸς ἀμφοτέρων τῶν παθημάτων ἐστὶν ἴσον ἐστὶ τῷ
οὔτε γὰρ δύνανται πέττειν ὡς τὰ ὄπισθεν οὔτε μὴ ῥᾴδιον σήπεσθαι ὡς τὰ
ἔμπροσθεν, ἀλλὰ ῥᾳδίως μὲν σήπεται, οὐ πέττεται δέ. τὸ δὲ λεγόμενον ὑπὸ 45
10 τοῦ Ὁμήρου στίχου τοιοῦτόν ἐστι 'μάλιστα δὲ καίριός ἐστιν ἡ πληγὴ ἐν
τῷ κρανίῳ τῶν ἵππων, ἵνα τρίχες ἐμπεφύκασι'. τῶν δὲ γεράνων πρότερόν
εἰσι τὰ πτερὰ λευκὰ διὰ τὸ ἔχειν πολὺν ἀέρα· ὁ γὰρ ἀὴρ διαφαινόμενος
λευκότητα ποιεῖ, ὥσπερ ἐν τῷ ἀφρῷ· ὕστερον δὲ γηράσκουσι τοῦ μὲν
θερμοῦ τοῦ ποιοῦντος τὴν λευκότητα ἐκλείποντος διὰ τὸ γῆρας, τοῦ δὲ
15 ὑγροῦ πλεονάζοντος διὰ τὸ μὴ καλῶς πέττειν ἐν τῷ γήρει ἀναφαίνεται
μέλανα. διὰ πλῆθος γὰρ ὑγροῦ ἐλέγομεν | καὶ τοὺς ὀφθαλμοὺς φαίνε- 113v
σθαι μέλανας, γλαυκοὺς δὲ δι' ὀλιγότητα. ἐπεὶ δέ τις ἤμελλε λέγειν ὡς
εἰ δι' ἔνδειαν θερμοῦ φαίνονται μέλανα τὰ πτερά, εἴρηται δὲ ὅτι, ἐπὰν
ἐκλείψῃ τὸ θερμόν, σήπεται τὸ ἐν ταῖς θριξὶν ὑγρὸν καὶ γίνεται ὁ εὐρώς,
20 ὃς ποιεῖ τὰς τρίχας λευκάς, ἔδει μάλιστα μὴ μέλανα φαίνεσθαι τὰ πτερά,
ἀλλὰ λευκά, ἐπήγαγε τὸ πλέον τε γηρασκόντων εἶναι τὸ ὑγρὸν ἐν
τοῖς πτεροῖς ἢ ὥστε εὐσηπτότερον εἶναι, ὡς εἰ ἔλεγεν εἰκὸς ἦν 5
σήπεσθαι καὶ τὸ ἐν τοῖς πτεροῖς ὑγρὸν ἐκλείποντος τοῦ θερμοῦ, ὥσπερ
καὶ τὸ τῶν τριχῶν, καὶ φαίνεσθαι λευκὰ τὰ πτερά, οὐ σήπεται δὲ διὰ τὸ
25 πλῆθος· τὸ γὰρ πολὺ οὐκ εὔσηπτον'.

p. 785a25 Ὅτι δὲ γίνεται ἡ πολιὰ σήψει τινί, καὶ οὐκ ἔστιν, ὥσπερ οἴονταί τινες, αὔανσις, σημεῖον τοῦ προτέρου ῥηθέντος.

Δύο ἦσαν αἱ λεγόμεναι δόξαι περὶ τῆς γενέσεως τῶν πολιῶν, μία μὲν 10
ἡ λέγουσα ὅτι σήψει τινὶ τοῦ ἐν αὐταῖς ὑγροῦ γίνεται, ἥτις ἐστὶν Ἀριστοτέλους,
30 ἄλλη δὲ ὅτι αὔανσίς ἐστι. καὶ πιστοῦται τὴν οἰκείαν ὁ δαιμόνιος οὗτος δόξαν
ἐκ τῶν συμβαινόντων ταῖς θριξίν. εἰπὼν δὲ ὅτι σήψει τινὶ γίνεται ἡ πολιὰ 15
καὶ οὐκ ἔστιν αὔανσις, ἐπήγαγε σημεῖον δὲ καὶ πίστις τοῦ πρότερον
ῥηθέντος, τουτέστι τοῦ ὅτι σήψει τινὶ γίνεται ἡ πολιά, τὸ τὰς σκεπαζομένας 20

3 πολὺ] πολιὰ a καὶ ἐν ἑκάστῳ Ka 4 διὰ om. Ka καὶ ante αὐτὰς om. Ka 5 ante πρῶτον add. τὸ a 7 παθημάτων libri et Arist. SY: παθῶν Arist. vulg. 8 οὔτε μὴν ῥαδίως Ka τὰ ante ἔμπροσθεν (9) om. Ka 9 ῥᾳδίως scripsi: ῥάδιον libri τὸ δὲ λεγόμενον—ἐμπεφύκασι (11) om. Ka 9. 10 ὑπὸ τοῦ Ὁμήρου στίχου] Il. Θ 83. 84 12 πολὺ a 13 μὲν om. Ka 14 τοῦ post θερμοῦ om. L¹ 16. 17 φαίνεται a 18 ἐπειδὴ IL 19 ἐκλείψει l 20 ὃς] ὡς a μὴ] μὲν a 23 ὑγρὸν] θερμὸν K ἐλλείποντος K: ἐλλείπει a 24 τὸ ante τῶν scripsi: τοῦ Ka: om. IL 28 δόξαι] δόσεις a 30 ἄλλοι K 33 ἡ πολιά om. Ka σκεπομένας Ka

τρίχας θᾶττον πολιοῦσθαι. ἐπειδὴ γὰρ ἡ σῆψις, ὡς ἐν τοῖς Μετεώροις 113ᵛ
εἴρηται, ὑπὸ ἀλλοτρίας γίνεται θερμότητος, εὐλόγως αἱ σκεπαζόμεναι σήπονται·
ἡ γὰρ σκέπη τοῦ πίλου θερμότητα ποιεῖ. ἓν μὲν οὖν σημεῖον τοῦ σήψει 25
γίνεσθαι τοῦτο, ἄλλο δὲ τὸ μιγνυμένου τοῦ ἐλαίου μετὰ τοῦ ὕδατος, εἶτα
5 ἐναλειφομένων ὑπὸ τοῦ μίγματος τούτου τῶν σκεπαζομένων τριχῶν, μὴ 30
πολιοῦσθαι ταχέως. ἐπειδὴ γάρ, ὡς ἐλέγομεν, ὑπὸ ἀλλοτρίας θερμότητος
ἡ σῆψις γίνεται, τὸ δὲ ὕδωρ ψυχρόν, ἐκκρούει τὴν ἀπὸ τῶν πίλων καὶ
καλυμμάτων θερμότητα καὶ οὐκ ἐᾷ σῆψαι τὸ ἐν ταῖς θριξὶν ὑγρόν. τὸ δὲ 35
ἔλαιον ἐμμιγνύουσιν, ἵνα κατέχῃ τῇ οἰκείᾳ γλισχρότητι τὸ ὕδωρ καὶ μὴ ἐᾷ
10 ξηραίνεσθαι, τουτέστι διαπνεῖσθαι ἢ ἐξαεροῦσθαι. δείξας οὖν οὕτω ὅτι 40
σήψει τινὶ γίνονται αἱ πολιαί, δείκνυσι λίαν σαφῶς ὅτι οὐκ ἔστιν αὔανσις.
ὅτι δὲ αἱ πόαι καὶ βοτάναι ἀπαυαινόμεναι λευκαίνονται, δῆλον· χλωραὶ γὰρ 45
οὖσαι πράσινοί εἰσι, ξηρανθεῖσαι δὲ λευκαὶ μὲν οὐχ ἁπλῶς, ὅμως λευκότεραι.
λέγει δὲ ὅτι τὸ τῶν ἀνθρώπων δέρμα ὑπὸ ἡλίου καὶ πνεύματος γίνεται
15 μέλαν, οὐ συμμεταβάλλουσι δὲ αὐτῷ αἱ τρίχες. ἐπὶ | δὲ τῶν ἄλλων ζῴων 114ʳ
αἱ μὲν τρίχες συμμεταβάλλουσι τῷ δέρματι, τὸ δέρμα δὲ ὑπὸ ἡλίου καὶ
πνευμάτων οὐ μεταβάλλει διὰ παχύτητα.

p. 785ᵇ16 Τῶν δὲ ζῴων τὰ μέν ἐστι μονόχροα.

Εἰς τρία διαιρεῖ τὰ ζῷα, πρῶτον μὲν εἰς τὸ μονόχροον, δεύτερον εἰς
20 τὸ πολύχροον μέν, ὁλόχροον δέ, καὶ τρίτον εἰς τὸ ποικίλον. καὶ λέγει 5
μονόχροα εἶναι ὧν τὸ γένος ὅλον ἓν χρῶμα ἔχει. πᾶν γὰρ τὸ γένος τῶν
κοράκων καὶ πᾶς κόραξ μέλας· οὐ γάρ εἰσιν οἱ μὲν τῶν κοράκων μέλανες
οἱ δὲ πυρροὶ καὶ ἄλλοι λευκοί, ἀλλὰ πάντες, ὡς εἴρηται, μέλανες. ἔστιν
οὖν γένος, τουτέστιν εἶδος, μονόχροον, οὗτινος τὰ ἄτομα πάντα, εἰς ἃ 10
25 διαιρεῖται, ἓν ἔχει χρῶμα· οὐδὲν γὰρ τῶν ἀτόμων τῶν ὡς εἰς εἶδος τὸν
λέοντα ἀναγομένων ἐστὶ λευκὸν ἢ μέλαν, ἀλλὰ πάντα πυρρά. ὡς γὰρ οἱ 15
αὐτοὶ τῷ εἴδει πάντες οἱ λέοντες, οὕτω καὶ τὰ τούτων χρώματα ταὐτά ἐστι
τῷ εἴδει· πᾶν γὰρ πυρρὸν χρῶμα παντὶ πυρρῷ χρώματι ταὐτὸν τῷ εἴδει. 20
πολύχροα δὲ καὶ ὁλόχροα λέγει εἶναι ὧν τὸ μὲν γένος ἤτοι τὸ εἶδος μή
30 ἐστι μονόχροον, τῶν δ' ὑπ' αὐτὸ ἀτόμων ἕκαστον ὁλόχροον, διαφόροις δὲ
χρώμασι, οἷον ὅδε ὁ βοῦς ἐστιν ὅλος μέλας καὶ ὅδε ὅλος λευκός. καὶ 25
λέγεται ὁ μέλας ὁλόχρως, ὅτι ἑνὶ χρώματι ὅλον αὐτοῦ τὸ σῶμα κέχρωσται·
οὐ γὰρ τὸν μὲν ἕνα μηρὸν ἔχει μέλανα, τὸν δ' ἄλλον λευκόν (οὕτως γὰρ 30

---

1 et 6 ἐπεὶ Ka 1 ἐν τοῖς Μετεώροις] Δ 1 p. 379ᵃ16 2 οἱ IL σκεπαζόμενοι IL: σκεπόμεναι Ka 5 ἀλειφομένων Ka τῶν om. IL 6 πολιοῦσθαι] ξηραίνεσθαι Ka 8 σῆψαι] σαπῆναι Ka 9 ἐμμίγνυσιν IL 12 καὶ αἱ βοτάναι K βοτάναι—λευκαίνονται] αἱ τρίχες σιπόμεναι λευκαίνεται a ἀπαυαινόμεναι] οὐκ αὐαινόμεναι L: οὐ παυανόμεναι I 14 πνεύματος] πληρώματος K 19 διαιρεῖται ILa πρῶτον μὲν om. IL 19. 20 εἴς τε τὸ IL 20 ὀλιγόχροον δὲ IK καὶ post δὲ om. Ka 22 καὶ πᾶς—εἴρηται (23) om. a 23 μέλαν a 24 μονόχρωμον Ka 25 οὐδὲν γὰρ—χρῶμα (28) om. IL εἰς om. K εἴδει a 29 μή] μόνον a 30 ὁλόχροον] μονόχροον Ka διαφορὰν a 31 ὅλως ἐστὶ μέλας a ὅλως λευκὸς a 33 οὕτος I

ἂν ποικίλος ἦν), ἀλλ' ἅπας ἐστὶ μέλας· ὁμοίως δὲ καὶ ὁ λευκός. εἰσὶ δὴ 114r
τὰ μὲν ἄτομα ὁλόχροα (οὐ πάντα δὲ ἀλλά τινα), τὸ δὲ εἶδος τῶν βοῶν
πολύχρων· τὰ γὰρ ἐν αὐτῷ ἄτομα διαφόροις χρώμασι κέχρωσται. τὰ δέ 35
εἰσι, φησί, ποικίλα. διελὼν οὖν εἰς ταῦτα τὰ ζῷα ἐπήγαγε μεταβάλλει
5 δὲ τὰ ὁλόχροα πολλῷ μᾶλλον τῶν μονοχρόων. ἔστι δὲ τὸ λεγόμενον 40
ἴσον τῷ τὰ μὲν ὁλόχροα μεταβάλλουσιν εἰς ἄλληλα (καὶ γὰρ μελαίνονται
οἱ λευκοὶ βόες καὶ οἱ μέλανες λευκαίνονται), τὰ δὲ μονόχροα οὐ μεταβάλλονται,
εἰ μὴ διὰ πάθος· οὐδεὶς γὰρ λέων ἀπὸ πυρροῦ μετέβαλέ ποτε εἰς μέλαν 45
ἢ εἰς ἄλλο τι χρῶμα ἕτερον ὂν πα|ρὰ τὸ πυρρόν, ἀλλὰ κἂν μεταβάλλῃ, 114v
10 διὰ πάθος, ὡς εἴρηται. οὐ μόνον δὲ τὰ ὁλόχροα μεταβάλλει εἰς ἄλληλα,
ἀλλὰ καὶ τὰ ποικίλα· ταῦτα γὰρ εἶπε μεμιγμένα ἐξ ἀμφοτέρων· ἐκ 5
γὰρ λευκοῦ καὶ μέλανος τὰ πλεῖστα τῶν ποικίλων. εἰπὼν δὲ ὅτι μεταβάλλει
τὰ ὁλόχροα πολλῷ μᾶλλον τῶν μονοχρόων, τὴν αἰτίαν τοῦ μεταβάλλειν 10
ἐπήγαγεν εἰπὼν διὰ τὸ ὅλῳ γένει ὑπάρχειν ἐν τῇ φύσει τὸ ⟨μὴ⟩ μίαν
15 ἔχειν χρόαν. ἐπειδὴ γὰρ ἐν τῇ φύσει τοῦ τῶν βοῶν εἴδους ὑπάρχει
τὸ μὴ μονόχροον εἶναι, οὐδὲν κωλύει μεταβάλλειν τὰς χρόας. τὰ δὲ 15
μονόχροα τοὐναντίον οὐ μεταβάλλει· οὐ γάρ ἐστιν ἐν τῇ φύσει αὐτῶν τὸ
πολλῶν χρωμάτων εἶναι δεκτικήν. λέγει δὲ ὦφθαι πέρδικα λευκήν· τοῦτο 20
δὲ λέγοι ἂν περὶ τῶν ἀγρίων· ἥμεραι γὰρ πολλαί εἰσι λευκαί, ἐξ ἐπι-
20 τεχνήσεως δέ, οἶμαι, τῶν περὶ αὐτὰς σπουδαζόντων. λέγει δὲ τὴν μεταβολὴν
τῶν μονοχρόων ἐν τῇ γενέσει γίνεσθαι· εὐθὺς γὰρ γινομένων καὶ ὄντων ἢ 25
ἐν τῇ ὑστέρᾳ ἢ ἐν τῷ ᾠῷ, μικροῦ τινος γεγονότος πάθους εὐθὺς δια-
στρέφεται καὶ μεταβάλλει. ὥσπερ γὰρ τοδὶ τὸ μικρὸν καὶ βραχύτατον 30
ξύλον εὐφθαρτότερόν ἐστι πολὺ τοῦ μεγάλου, οὕτω καὶ ἐπὶ τῶν ζῴων τὸ
25 μικρὸν εὔφθαρτον καὶ εὐκίνητον· τὸ δὲ γινόμενον μικρόν. ἔστιν οὖν ὁ
συλλογισμὸς τοιοῦτος 'τὸ γινόμενον μικρόν, πᾶν μικρὸν εὔφθαρτον, τὸ
γινόμενον ἄρα εὔφθαρτον'. τὸ δὲ ἐν μικρῷ γὰρ ἡ ἀρχὴ τοῖς γινο-
μένοις ἴσον ἐστὶ τῷ πᾶν τὸ γινόμενον ἐν τῇ ἀρχῇ καὶ τῷ χρόνῳ, καθ' 35
ὃν γίνεται, μικρόν ἐστιν, ὕστερον δὲ αὔξει καὶ εἰς ἐπίδοσιν ἔρχεται. ὥσπερ
30 δὲ τὸ φύσει λευκὸν δέρμα διαφέρει τοῦ διὰ νόσον (εἴρηται γὰρ πρότερον
ὅτι ἐν τῇ καλουμένῃ λεύκῃ νόσῳ τὸ μὴ λευκὸν δέρμα λευκὸν γίνεται, διὰ 40
δὲ τὸ δέρμα καὶ αἱ τρίχες), οὕτω καὶ ἐν ταῖς θριξὶ διαφέρει ἥ τε λευκὴ
διὰ νόσον θρὶξ καὶ ἡ διὰ φύσιν. λευκὴ μὲν οὖν ἐστι διὰ φύσιν ἡ τῶν 45
βοῶν, τῶν κύκνων καὶ αἱ λοιπαί, διὰ νόσον δὲ ἥ τε πολιά (διὰ σῆψιν

---

1 ἀλλὰ πᾶς Ka  δὴ scripsi: δὲ libri  3 πολύχροον Ka  4 φησί] φύσιν a
5 πολλῇ a  6 ὁλόχρωα I  μελαίνον a  8 πάθους a  λέων ex λέγων
corr. I: λέγει a  post ἀπὸ add. τοῦ Ka  9 εἰς om. Ka  ὂν om. Ka
μεταβάλλει a  12 et 14 εἶπε a  14 ὅλως IL  μὴ ex Arist. addidi
μίαν in ras. L  15 εἴδη a  16 οὐδὲ IL  18 δεκτικά K: δεικτικά a
19 ἥμεροι I  20 αὐτὰ L  23 τοδὶ] τὸ δὴ a  μικρὸν ex μακρὸν corr. I
24 εὔφθαρτον K: εὔθαρτον a  ἐστι om. K  ante πολὺ add. κατὰ I
25 καὶ εὐκίνητον—εὔφθαρτον (27) om. a  26 post πᾶν add. τὸ K  28 ἐστὶ τὸ
πᾶν a  28. 29 καθ' ὃ a  29 καὶ—ἔρχεται om. Ka  30 εἴπομεν Ka
πρότερον om. Ka  33 ἥ τε τῶν IL  34 κύκνων] κυνῶν a

γάρ) καὶ ἡ διὰ τὴν καλουμένην λεύκην νόσον. καὶ τὰς μὲν φύσει λευκὰς 115r
ποιεῖ ἡ φυσικὴ θερμότης, τὰς δὲ διὰ νόσον ἡ ἀλλοτρία σήπουσα τὸ ἐν
αὐταῖς ὑγρόν. ἐγκατακλειόμενος γὰρ ἐν ταῖς θριξὶ καὶ ἐν πᾶσιν ἐν ὅσοις
ἐγκατακλείεται ὁ ἀτμιδώδης ἀὴρ λευκὸς ὢν καὶ θερμὸς φύσει παρέχεται
5 φύσει αὐταῖς τὸ λευκόν. διὸ καὶ ὅσα μὴ μονόχροά ἐστι τὰς ὑπὸ τὴν
γαστέρα τρίχας λευκοτέρας ἔχει τῶν ἐν τῷ λοιπῷ σώματι τριχῶν· θερ-
μότερος γὰρ οὗτος ὁ τόπος διὰ τὸ ἐν αὐτῷ κεῖσθαι τὴν κοιλίαν θερμὴν 5
οὖσαν. λέγει δὲ καὶ τὴν γλῶτταν τῶν ποικίλων ποικίλην εἶναι εὐλόγως·
ἐπειδὴ γὰρ τὸ ὅλον δέρμα ποικίλον ἐστίν, εὔλογον καὶ τὸ τῆς γλώττης
10 δέρμα ποικίλον εἶναι. οὐ γάρ ἐστιν ἡ γλῶττα, εἰ καὶ σκεπάζεται τῷ
στόματι, τὶ τῶν ἐντός, οἷά εἰσιν πνεύμων, τὸ ἧπαρ καὶ ἁπλῶς πάντα τὰ
ἐντός (οὐδὲν γὰρ τῶν τοιούτων ἔχει δέρμα), ἀλλὰ δεῖ ὑπολαμβάνειν αὐτὴν
ὥσπερ ἓν μόριον τῶν ἐξωτερικῶν· εἰσὶ δ' ἐξωτερικὰ μόρια χεῖρες,
πόδες, ὦμοι, τὰ ὅμοια. τὸ γὰρ σκεπάζεσθαι αὐτὴν ὑπὸ τοῦ στόματος οὐδὲν
15 κωλύει μὴ εἶναί τι τῶν ἐντός· οὐ γὰρ πᾶν τὸ σκεπόμενον τῶν ἐντός ἐστιν, 10
ἀλλ' ἔστι τινὰ σκεπόμενα τῶν ἐκτός. τὸ δὲ μείζων γὰρ διαφορὰ αὕτη
τῆς κατὰ τὴν ἡλικίαν τροπῆς ταὐτόν ἐστι τῷ πρότερον ῥηθέντι. ἔλεγε
γὰρ ὅτι μᾶλλον αἱ ὧραι δύνανται τοῦ γήρως εἰς χρωμάτων μεταβολάς.
μονόχροοι δέ εἰσιν αἱ μέλιτται, ὅτι οὐ ποικίλη αὐτῶν ἡ τροφὴ ἀλλὰ
20 μονοειδής· μόνον γὰρ τὸ μέλι ἐσθίουσιν, αἱ δ' ἀνθρῆναι καὶ τοῦτο καὶ ἄλλα
τινά. ὅτι δὲ εὔτονα λέγει τὰ μεταξὺ ὀξυφώνων καὶ βαρυφώνων (εἰσὶ γὰρ
ἃ οὔτε ὀξύφωνά εἰσιν οὔτε βαρύφωνα), ἐδήλωσε διὰ τοῦ καὶ πρὸς 15
ἀμφοτέρας ἔχοντα τὰς ὑπερβολὰς συμμέτρως, λέγων ὑπερβολὰς τὸ
ὀξὺ καὶ τὸ βαρύ, πρὸς ἃ συμμέτρως ἔχει τὸ εὔτονον. εὔτονον γάρ ἐστιν
25 οὗ εὐτόνως τείνεται ἡ φωνὴ καὶ μήτε ὀξέως μήτε βαρέως. ὅτι δὲ ἡ
μεγάλη φωνὴ ἑτέρα ἐστὶ τῆς βαρείας καὶ ἡ μικρὰ τῆς ὀξείας, ἐρεῖ προϊών.

p. 786ᵇ12 Περὶ μὲν οὖν ὀξύτητος καὶ βαρύτητος τὴν αὐτὴν αἰτίαν οἰητέον εἶναι ἥνπερ ἐπὶ τῆς μεταβολῆς.

Τὸ λεγόμενον ἴσον ἐστὶ τῷ ἐκ τῆς ἀποδοθείσης αἰτίας τοῦ διὰ τί τὰ 20
30 πρότερον ὄντα ὀξύφωνα ὕστερον βαρύφωνα γίνεται (νέα μὲν γὰρ ὄντα
ὀξύτερον φθέγγεται, γεραιότερα δὲ βαρύτερον) ἐκ δὴ ταύτης δῆλον ἔσται 25
καὶ διὰ τί τὰ μὲν ὀξύφωνά ἐστι καὶ οὐδέποτε μεταβάλλει, τὰ δ' ἀεὶ βαρύ-
φωνα. ἐπὶ μὲν οὖν τῶν ἄλλων ζῴων τὰ νέα ὀξύτερον φθέγγεται τῶν μὴ

1 φύσεις I: φύσις a 2 post σήπουσα add. γὰρ K 3 ἐν post γὰρ om. Ka
4 καταλείεται Ka ἀτμιδώδους a 5 αὐτοῖς I ὅσον K μονόχροον a
6 γαστέραν I 9 ἐστίν, εὔλογον—ποικίλον εἶναι (10) om. a: ἐστίν et εἶναι om. K
11 καὶ—ἐντός (12)] τἆλλα Ka 13 ἓν] τι Ka εἰσὶ—μόρια] οἷα εἰσὶ a
15 μὴ—ἐντός (ante οὐ)] αὐτὴν μόριον τὶ εἶναι τῶν ἐκτὸς Ka τὶ τῶν ἐκτὸς I
οὐ] καὶ Ka 17 τοῖς et τρόποις a ταῦτα ἐστὶ τῶν προτέρων ῥηθέντα a
18 χρώματος μεταβολὴν a 19 μονόχροαι I 21 post γὰρ add. τινὰ Ka
24 τὸ post καὶ om. I πρὸς ἃς IL 25 τείνεται] γίνεται a post δὲ add.
καὶ Ka 28 εἶναι—μεταβολῆς om. K 31 et 33 ὀξύτερα a 31 γηρατώ-
τερα L: γερατώτερα I βαρύτερα a post δὴ add. τῆς αἰτίας Ka

νέων, ἐπὶ δὲ τῶν βοῶν ἔμπαλιν τὰ νέα οἱ καλούμενοι μόσχοι βαρυ- 115r
φωνότερά ἐστι τῶν πρεσβυτέρων βοῶν. τὸ δ' αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν
θηλειῶν συμβέβηκεν· ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσι τὰ θήλεα ὀξύτερον
φθέγγεται τῶν ἀρρένων, ἐπὶ δὲ τῶν βοῶν τοὐναντίον· αἱ γὰρ θήλειαι τῶν
ἀρρένων (ἅπερ ἄρρενα ταύρους εἴρηκε) αἱ δὴ θήλειαι βαρύτερον φθέγγονται.
ὅτι δὲ ἐν τοῖς ἄλλοις γένεσι τὰ θήλεα ὀξύτερον φθέγγονται τῶν ἀρρένων,
μάλιστα, φησίν, ἐπίδηλον ἐπὶ τῶν ἀνθρώπων· μάλιστα γὰρ τούτοις
ταύτην τὴν δύναμιν, τουτέστι τὸ ὀξὺ καὶ τὸ βαρύ, ἀποδέδωκεν ἡ
φύσις. καὶ διὰ τί τούτοις μάλιστα, ἐδήλωσεν εἰπὼν διὰ τὸ λόγῳ
χρῆσθαι μόνους τῶν ζῴων· τὰ γὰρ δηλοῦντα διὰ λόγου τὰ βουλήματα
αὐτῶν ἀλλήλοις μᾶλλον χρῆται τῷ φθέγγεσθαι, τὸ ⟨δὲ⟩ μᾶλλον χρώμενον τῷ
φθέγγεσθαι μᾶλλον χρῆται τῷ ὀξεῖ καὶ βαρεῖ. ἐπὶ δὲ τοῦ μᾶλλον χρω-
μένου τῷ ὀξεῖ καὶ βαρεῖ μᾶλλον δῆλόν ἐστι ποῖα ποίων ὀξυφωνότερα. ὅτι
δὲ μᾶλλον οἱ ἄνθρωποι τῶν ἄλλων ζῴων χρῶνται τῷ φθέγγεσθαι, δῆλον·
ἐκεῖνα γὰρ ἢ διὰ λύπην ἢ δι' ἡδονὴν φθέγγονται, οἱ δ' ἄνθρωποι καὶ διὰ
ταῦτα καὶ δι' ἄλλα πολλά. |

p. 786b 25 Ἐπεὶ δὲ βαρὺ μέν ἐστιν ἐν τῷ βραδεῖαν εἶναι τὴν 115v
κίνησιν, ὀξὺ δὲ ἐν τῷ ταχεῖαν, τοῦ δὲ βραδέως καὶ ταχέως
πότερον τὸ κινοῦν αἴτιον.

Ἐν τῷ τοῦ δὲ βραδέως ὁ δέ σύνδεσμος διὰ τὸ παρέλκειν ἀναπόδοτον
ποιεῖ φαίνεσθαι τὴν λέξιν· εἴη δ' ἂν καταλληλότερον, εἰ ὑποστίξομεν εἰς
τὸ ἐν τῷ ταχεῖαν, εἶθ' ὡς ἀποδοτικὸν τοῦ ἐπεὶ δὲ ἐπάξομεν χωρὶς τοῦ
δέ συνδέσμου τὸ τοῦ βραδέως καὶ ταχέως πότερον τὸ κινοῦν αἴτιον,
ἵνα ᾖ τὸ πᾶν τοιοῦτον 'ἐπεὶ δὲ βαρὺ μέν ἐστιν ἐν τῷ βραδεῖαν εἶναι τὴν
κίνησιν, ὀξὺ δὲ ἐν τῷ ταχεῖαν, πότερόν ἐστιν αἴτιον τοῦ ὀξέος καὶ τοῦ
βαρέος τὸ κινοῦν ἢ τὸ κινούμενον'; τοῦτο γὰρ ἀπορεῖται. οἷον φθέγγεται
ἡ χορδὴ ἥδε βαρὺ βραδέως κινοῦσα τὸν ὑπ' αὐτῆς πληττόμενον ἀέρα, ὀξὺ
δέ, ὅταν ταχέως κινήσῃ· πότερον οὖν τούτων αἴτιον, ἆρ' ὁ κινηθεὶς καὶ
πληγεὶς ἀὴρ ἢ ἡ κινήσασα καὶ πλήξασα χορδή; καὶ ἐπὶ τῶν ζῴων ὁμοίως
ἆρα ἡ κινήσασα καρδία ἢ ὁ κινηθεὶς ὑπ' αὐτῆς ἀήρ; αὕτη γὰρ εὐρυνομένη
συνευρύνει ⟨τὸν πνεύμονα⟩ διὰ τῶν ἀπ' αὐτῆς εἰς τὸν πνεύμονα ἐρριζωμένων
νεύρων καὶ ἕλκει εἰς ἑαυτὴν τὸν θύραθεν ἀέρα διὰ τῆς μεταξὺ τραχείας
ἀρτηρίας καὶ τοῦ πνεύμονος· συστελλομένῃ δὲ συστέλλεται αὐτῇ καὶ ὁ

1. 2 βαρυφωνότεροι a 5 αἱ δὴ θήλειαι om. Ka 8 τουτέστι—βαρύ om. L ἀπέδωκεν Ka 8. 9 ἡ φύσις—μάλιστα om. L 10 δηλοῦντα om. a 11 post ἀλλήλοις add. δηλοῦνται a δὲ addidi 12 et 13 καὶ τῷ βαρεῖ IK: καὶ τὸ βαρεῖ a 12 ἐπὶ] ὑπὸ IL 12. 13 χρώμενον a 13 ἐστι om. Ka 15 post ἄνθρωποι add. οἱ a 16 ταύτας Ka 18 δὲ post τοῦ om. IL βραδέος καὶ ταχέος I 19 πότερον—αἴτιον om. K πρότερον I 20. 21 Ἐν τῷ—ὑποστίξομεν] ὑποστικτέον Ka 22 ἐν τῷ om. K παχεῖαν a ἐπάξωμεν a: ἐπαύξομεν I χωρὶς] χώραν a 26 βαρέος] βραδέος IL: βραδέως K τοῦτο—ἀπορεῖται] τοῦ γὰρ ἀπολυτικοῦ a 28 ὅτι a κινῆται a τούτου K: τούτω a 31 τὸν πνεύμονα addidi coll. v. 33. p. 238,1 sqq. 32 μεταξὺ τῆς coll. libri 33 συστελλομένῃ—πνεῦμα (238,1) om. K

πνεύμων, καὶ ἀκοντίζει ἐκτὸς τὸ εἰσελθὸν πνεῦμα, ἀκοντίζει δὲ αὐτὸ διὰ 115ᵛ
τοῦ πνεύμονος καὶ τῆς ἀρτηρίας· δι' ὧν γὰρ εἰσήγαγεν αὐτό, διὰ τῶν
αὐτῶν τοῦτο πάλιν ἀκοντίζει. εὑρόνεται μὲν οὖν καὶ ἡ καρδία καὶ ὁ 15
πνεύμων ἐν τῇ ἀναπνοῇ, συστέλλονται δὲ ἐν τῇ ἐκπνοῇ. πότερον οὖν ὁ
5 ἀκοντιζόμενος καὶ πληττόμενος καὶ κινούμενος ἀήρ ἐστιν αἴτιος τοῦ βαρέως
ἢ ὀξέως φθέγγεσθαι τὰ ζῷα, ἢ ἡ ἀκοντίζουσα καὶ κινοῦσα καρδία; ὅτι δὲ
τέως τὸ βαρὺ γίνεται ἐν τῷ βραδεῖαν εἶναι τὴν κίνησιν, τὸ δ' ὀξὺ ἐν τῷ
ταχεῖαν, σχεδὸν πᾶσι δῆλον.

p. 786ᵇ28 Φασὶ γάρ τινες τὸ μὲν πολὺ βραδέως κινεῖσθαι, τὸ δ'
10 ὀλίγον ταχέως.

Ἦσάν τινες οἱ αἰτιώμενοι τῆς βαρυφωνίας καὶ ὀξυφωνίας τὸ κινούμενον 20
μόνον, οἷον τὸν ἀέρα, ὅπερ οὗτος οὐ βούλεται. οὗτος γὰρ δι' ἀμφότερα
συμβαίνειν ταῦτά φησιν, τό τε κινοῦν καὶ τὸ κινούμενον, ἐκεῖνοι δὲ διὰ 25
μόνον τὸ κινούμενον. εἰσὶν οὖν, φησίν, οἳ λέγουσι τὸ μὲν πολὺ βραδέως
15 κινεῖσθαι, τὸ δ' ὀλίγον ταχέως, καὶ ταύτην εἶναι αἰτίαν τοῦ τὰ
μὲν βαρύφωνα εἶναι, τὰ δὲ ὀξύφωνα. ἔλεγον γὰρ ἐκεῖνοι ὡς εἰ μέν 30
ἐστιν ὁ κινούμενος ἀὴρ πολύς, ἀνάγκη βαρέως φθέγγεσθαι διὰ τὸ τὸν πολὺν
ἀέρα βραδέως κινεῖσθαι, εἰ δ' ὀλίγος, ὀξέως διὰ τὸ πάλιν τὸν ὀλίγον
ταχέως κινεῖσθαι. αἰτιᾶται οὖν αὐτοὺς λέγων μέχρι τινὸς λέγειν καλῶς,
20 ὅλως δὲ οὐ καλῶς. καὶ πῶς μέχρι τινὸς καλῶς λέγουσιν, ἐπήγαγεν 35
εἰπὼν τῷ μὲν γὰρ γένει ἔοικεν ὀρθῶς λέγεσθαι, λέγων γένος τὸ
ὑποκείμενον καὶ τὴν ὕλην, αὐτόν φημι τὸν ἀέρα. ἔστι δὲ ὃ λέγει 'κατὰ
μὲν γὰρ τὸ γένος καὶ τὸ ὑλικὸν αἴτιον ὀρθῶς λέγουσιν· ἔστι γὰρ τὸ βαρὺ
ἐν μεγέθει τοῦ κινουμένου· ἀνάγκη γὰρ μέγεθος ἔχειν καὶ πολὺν εἶναι τὸν
25 ἀέρα, εἰ μέλλει βαρὺ φθέγγεσθαι, ἀλλ' οὐχ ἁπλῶς οὕτως, ἀλλὰ πρὸς τὴν
κινοῦσαν ἰσχύν'. ἐνδέχεται γὰρ τὸν κινούμενον ἀέρα αὐτὸν καθ' ἑαυτὸν
εἶναι πολύν, ἀλλὰ πρὸς τὴν κινοῦσαν ἰσχὺν ὀλίγον, ἐπεὶ καὶ ὁ δεκαμεδιμναῖος 40
σῖτος αὐτὸς καθ' ἑαυτὸν πολύς ἐστιν, ἀλλὰ πρὸς τὴν τῶν πεντήκοντα
ἡμιόνων ἰσχὺν πάμπαν ὀλίγος. ὥστε κἂν εἴη ὁ κινούμενος ἀὴρ πολύς, ὅμως
30 εἰ ἡ κινοῦσα αὐτὸν δύναμις μείζων εἴη, ὀξὺ φθέγγεται καὶ οὐ βαρύ. οὐ δεῖ οὖν
ὁρᾶν, εἰ ἁπλῶς πολὺς ὁ κινούμενος ἀήρ, ἀλλ' ἐὰν πλείων ᾖ τῆς κινούσης
αὐτὸν δυνάμεως, οὕτω δὲ πλείων, ὥστε μὴ δύνασθαι ταχέως κινηθῆναι ὑπ'

2 αὐτὸν Ka 3 τοῦτο om. Ka καὶ post οὖν om. K 4 ἐκπνοῇ ex ἀναπνοῇ corr. L: ἀναπνοῇ I 6 ἡ om. a 8 σχεδὸν πνεῦμα δηλεῖ (sic) a 11 τῆς βαρέας φωνῆς a 12 οἷον—κινούμενον (13) bis scr. I ὅπερ] ὃ Ka 13 ταῦτά φησιν] ταύτην φωνὴν a φασὶ K 15 τὸ δ' ὀλίγον—βραδέως κινεῖσθαι (18) om. IL 17 βραδέως a φθέγγεσθαι scripsi: φέρεσθαι libri τὸν πολὺ a 18 ὀλίγος scripsi: ὀλίγον libri πάλιν om. Ka τὸν] τὸ IL 19 αὐτὸς IL 23 γὰρ post μὲν om. Ka 24 ἐκ μεγέθ L πολὺν] πολὺ Ka: βαρὺν I 25 φθέγξασθαι Ka 26 ἐνδέχεται—ἰσχὺν (27) om. IL 26 et 28 κατ' αὐτὸν a 27 πολύν scripsi: πολὺ Ka ὀλίγον] ὁ λόγος IL 28 ἐστιν om. Ka 28. 29 τῶν ζ ἡμιόνων a 29 ὥστε] ὅμως Ka πολὺ a 30 εἰ ἡ] εἰ om. IL: εἴη a 32 δύναμις K οὕτω δὲ πλείων om. Ka

αὐτῆς, ἀλλὰ βραδέως. εἰπὼν δὲ πῶς μέχρι τινὸς καλῶς λέγουσι, ἐνίσταται 115ᵛ
πρὸς αὐτοὺς λέγων εἰ γάρ τοῦτο, καὶ μικρὸν καὶ βαρὺ φθέγγεσθαι 45
οὐ ῥᾴδιον, τουτέστιν εἰ γάρ ἐστι τοῦτο ἀληθές, ἤτοι τὸ λέγειν ὅτι μόνον
τὸ κινούμενόν ἐστιν αἴτιον τοῦ βαρέως καὶ ὀξέως φθέγγεσθαι, οὐκ ἔσται
5 ῥᾴδιόν τινι ἅμα φθέγξασθαι βαρὺ καὶ μικρόν· νῦν δὲ ὥσπερ ἅμα φθέγγονταί
τινα μέγα καὶ βαρύ, οὕτω φθέγγονται ἅμα βαρὺ καὶ μικρόν. συμβαίνει δὲ
ἐκ τοῦ λέγειν ὅτι μόνος ὁ κινούμενος ἀήρ ἐστιν αἴτιος τῆς βαρυφωνίας
καὶ ὀξυφωνίας τὸ μηδενὶ εἶναι δυνατὸν φθέγγεσθαι ἅμα βαρὺ καὶ μικρόν.
εἰ δ' ἐστὶ ψεῦδος καὶ ἀδύ|νατον τὸ λέγειν ὅτι ἀδύνατόν ἐστί τι ἅμα 116ʳ
10 φθέγγεσθαι βαρὺ καὶ μικρόν, ψεῦδος καὶ ἀδύνατον καὶ ᾧ τοῦτο ἕπεται·
ἦν δὲ τοῦτο τὸ λέγειν ὅτι μόνος ὁ ἀήρ ἐστιν αἴτιος τῆς βαρυφωνίας καὶ
ὀξυφωνίας. πῶς δὲ εἰ τὸ κινούμενον μόνον ἐστὶν αἴτιον τῆς ὀξυφωνίας καὶ
βαρυφωνίας, οὐκ ἔσται ῥᾴδιον φθέγξασθαι μικρὸν καὶ βαρύ, δῆλον ἔσται ὧδε.
ἐπειδὴ γὰρ ὁ μικρὸς φθόγγος καὶ ἡ μικρὰ φωνὴ γίνεται ἐν κινήσει ὀλίγου 5
15 ἀέρος, ὡς δοκεῖ ἡμῖν τε καὶ ἐκείνοις, πλὴν ἡμῖν δι' ἀσθένειαν τοῦ κινοῦντος
(εἰ γὰρ εἴη καὶ τὸ κινοῦν ἀσθενὲς καὶ τὸ κινούμενον ὀλίγον, τότε γίνεται
μικρὰ ἡ φωνή) ἐπεὶ οὖν, ὡς εἴρηται, ἡ μικρὰ φωνὴ γίνεται ἐν κινήσει
ὀλίγου ἀέρος, ἡ δὲ βαρεῖα ἐν κινήσει πολλοῦ, ἀδύνατον ἅμα φθέγξασθαι
βαρὺ καὶ μικρόν· εἰ γὰρ φθέγγεται μικρὸν καὶ βαρύ, ὡς μὲν μικρόν, ὀλίγον
20 ἀνάγκη εἶναι τὸν ἀέρα, ὡς δὲ βαρύ, πολύ· πῶς δ' ἂν ὁ αὐτὸς εἴη καὶ
μείζων καὶ ἐλάττων ἑαυτοῦ; τὸ δὲ ὁμοίως δὲ καὶ βαρὺ καὶ ὀξὺ ἴσον 10
ἐστὶ τῷ ὥσπερ οὐδὲ βαρὺ καὶ ὀξύ· ὥσπερ γὰρ οὐ δύναται ἡ αὐτὴ φωνὴ
ἅμα ὀξεῖα εἶναι καὶ βαρεῖα, οὕτως οὐδὲ τὸ αὐτὸ μικρὸν καὶ βαρύ, εἰ τὸ
κινούμενον μόνον αἴτιον εἴη τοῦ ὀξέος καὶ βαρέος. διά τε οὖν τοῦτο οὐκ
25 ἔσται ῥᾴδιον βαρὺ καὶ μικρὸν φθέγξασθαι καὶ διὰ τὸ δοκεῖν αὐτοῖς τὸ βαρύ-
φωνον γενναιοτέρας εἶναι φύσεως· οὐδὲν δὲ γενναῖον μικρὸν φθέγγεται. ἐπεὶ
οὖν πᾶν βαρὺ γενναιοτέρας ἐστὶ φύσεως, οὐδὲν δὲ γενναῖον μικρὸν φθέγγεται,
οὐδὲν ἄρα βαρὺ μικρόν ἔσται. καὶ διὰ τοῦτο καὶ ἐν τοῖς μέλεσι τὸ βαρὺ
βέλτιον εἶναι ἔλεγον τῶν συντόνων, ὅτι τὰ ἀπὸ γενναιοτέρας φύσεως βελτίονα. 15
30 σύντονα δὲ μέλη ὅτι τὰ μεταξὺ ὀξέων καὶ βαρέων εἴρηκεν, εἴπομεν. συλ-
λογίζεται δὲ καὶ ἄλλως ὅτι τὸ βαρὺ τῶν συντόνων βέλτιον, λέγων ἡ βαρύτης
ὑπεροχή τις· πᾶσα δὲ ὑπεροχὴ τέλειος, πᾶν δὲ τέλειον βέλτιον, ἡ βαρύτης
ἄρα βελτίων τῶν συντόνων.

---

1 αὐτοῦ Ka πῶς om. Ka 3 οὐ om. IL ἤτοι om. Ka λέγων a
4 ἐστιν om. Ka τὸ βαρέως La οὐκ ἔστι a 5 νῦν δὲ ὥσπερ] καὶ καθάπερ a
ἅμα om. a 6 τινες Ka βαρὺ καὶ μέγα coll. Ka συμβαίνει—μικρόν (8)
om. Ka 9 ὅτι om. Ka 12 μόνον om. IL ἐστὶν om. Ka
13 οὐκ ἔστι Ka βαρὺ καὶ μικρόν coll. Ka ἔσται om. Ka 14 ἐπεὶ Ka
15 ὡς δοκεῖ—ὀλίγου ἀέρος (18) om. IL 18 ἐν om. K 19 εἰ γὰρ—καὶ βαρύ
om. Ka post μὲν add. γὰρ Ka 20 πῶς δ' ἂν] ἐπειδ' ἂν a
21 ὁμοίως οὐδὲ βαρὺ Arist. δὲ post ὁμοίως om. a 24 μόνον om. IL
ὀξέως καὶ βαρέως a 26 ἐπεὶ—φθέγγεται (27) om. IL 28 ἐστὶ a
30 εἴρηται Ka 32 δὲ ἡ ὑπεροχὴ K 33 βέλτιον a

p. 787a2 Ἀλλ' ἐπειδή ἐστιν ἕτερον τὸ βαρὺ καὶ ὀξὺ ἐν φωνῇ 116r
μεγαλοφωνίας καὶ μικροφωνίας.

Τὸ ἄτοπον διὰ τούτων ἐπαγαγεῖν βούλεται, λέγω δὴ τὸ μὴ δύνασθαι ἅμα βαρὺ καὶ μικρὸν φθέγξασθαι, εἰ τὸ κινούμενόν ἐστι μόνον αἴτιον τοῦ πάθους τούτου. πρότερον δὲ δείκνυσιν ὅτι τὸ βαρὺ καὶ ὀξὺ ἐν φωνῇ ἕτερόν ἐστι τῆς μεγαλοφωνίας καὶ μικροφωνίας δι' ἔνστασιν δυναμένην φέρεσθαι τοιαύτην. εἶπε γὰρ ἄν τις ὅτι ἐπειδὴ τὸ βαρὺ καὶ μέγα ἐν φωνῇ ταὐτόν ἐστιν, εἰκότως οὐ δύναται ἅμα βαρὺ καὶ μικρὸν φθέγξασθαι. λέγει οὖν ὅτι οὐκ ἔστι ταὐτὸν τὸ βαρὺ τῇ μεγαλοφωνίᾳ οὐδὲ τὸ ὀξὺ τῇ μικροφωνίᾳ, ἀλλ' ἕτερον (εἰσὶ γὰρ καὶ ὀξύφωνα μέγα φθεγγόμενα καὶ βαρύφωνα μικρὸν φωνοῦντα), ὁμοίως καὶ κατὰ τὸν μέσον τόνον, τουτέστι κατὰ τὴν συντονίαν· εἰσὶ γὰρ σύντονα καὶ μεγαλόφωνα καὶ μικρόφωνα, περὶ ὧν τίνι ἄν τις διορίσειεν (τουτέστι περὶ τῆς μεγαλοφωνίας καὶ μικροφωνίας) ἢ πάντως ὀλιγότητι καὶ πλήθει τοῦ ἀέρος, ὥστε λέγειν μεγαλόφωνα μὲν ἐν οἷς πολύς ἐστιν ὁ κινούμενος ἀήρ, μικρόφωνα δὲ ἐν οἷς ὀλίγος; εἰ δὲ τοῦτο καὶ τὸ βαρὺ καὶ τὸ ὀξύ ἐστι κατὰ τὸν εἰρημένον διορισμόν, τουτέστι κατὰ τὸν αἰτιώμενον λόγον μόνον τὸν κινούμενον ἀέρα, συμβήσεται μηδὲν εἶναι βαρύφωνον μικρόφωνον μηδ' ὀξύφωνον μεγαλόφωνον δι' ἣν εἴπομεν αἰτίαν, ἀλλ' ἔσται τὸ αὐτὸ βαρύφωνον καὶ μεγαλόφωνον ἢ ὀξύφωνον καὶ μικρόφωνον.

p. 787a11 Αἴτιον δ' ὅτι τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον τὰ μὲν ἁπλῶς λέγεται, τὰ δὲ πρὸς ἄλληλα.

Αἴτιον, φησί, τοῦ μηδέποτε εἶναι βαρύφωνον μικρόφωνον, ἀλλὰ πᾶν εἴ τι βαρύφωνον, καὶ μεγαλόφωνον, εἴπερ τὸ κινούμενόν ἐστι μόνον αἴτιον, ὅτι τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον τὰ μὲν ἁπλῶς λέγεται, τὰ δὲ πρὸς ἄλληλα, καὶ μεγαλόφωνά ἐστιν ἐν τῷ ἁπλῶς εἶναι μέγα τὸ κινούμενον, μι|κρόφωνα δὲ ἐν τῷ εἶναι ὀλίγον, βαρύφωνα δὲ καὶ 116v ὀξύφωνα ἐν τῷ πρὸς ἄλληλα. ἂν γὰρ καὶ ὀλίγον εἴη τὸ κινούμενον, ὅμως δ' ὑπερέχον τοῦ κινοῦντος, ἀνάγκη φέρεσθαι βραδέως, εἰ δὲ τοῦτο, καὶ βαρὺ φθέγγεσθαι. οὐ γὰρ μόνον δεῖ σκοπεῖν ἁπλῶς εἰ ὀλίγον τὸ κινούμενον, ἀλλ' εἰ ὀλίγον καὶ πρὸς τὴν κινοῦσαν δύναμιν καὶ ἰσχύν.

p. 787a18 Τὸ δ' ἰσχῦον πρὸς τὴν ἰσχὺν ὁτὲ μὲν πολὺ κινοῦν βραδεῖαν ποιήσεται τὴν κίνησιν, ὁτὲ δὲ διὰ τὸ κρατεῖν ταχεῖαν.

Τὸ λεγόμενον ἔσται δῆλον οὕτως εἰποῦσιν. ἔστω λόγου χάριν ὅτι τὸ

4 κινούμενον scripsi: κινοῦν libri 5 τὸ om. IL 6 μικροφωνίας Arist.: ὀξυφωνίας libri 8 δύνανται a 9 οὐδὲ—μικροφωνίᾳ om. Ka 10 ἕτερα Ka 13 τις διορίσειεν libri et Arist. S: post τις add. ἄλλῳ Arist. vulg. 14 ὀλιγότης καὶ πλῆθος a μὲν om. IL 16 τὸ ante ὀξύ om. Ka 17 μόνον τὸ a 24 τὸ ante μικρὸν om. a καὶ ὀλίγον K τὸ μὲν et τὸ δὲ (25) IL 26 καὶ om. K 27 ἢ a 28 δ' om. IKa βαρέως K: βαρέου a 31 πρὸς] διὰ Arist. 33 post Τὸ add. δὲ IL εἰπεῖν a

μεῖζον, ὃ δύναται κινῆσαι ὁ Αἴας, εἴκοσίν ἐστι μεδίμνων σίτου. οὗτος 116v
τούτους μὲν βραδέως κινήσει (ἐν τούτοις γὰρ περιώρισται τὸ μέγιστον τῆς 10
αὐτοῦ ἰσχύος), τοὺς δὲ δέκα ταχέως καὶ ἔτι τοὺς πέντε μᾶλλον. ἔστι δὲ
Αἴαντος ἀσθενέστερος ὁ Θερσίτης· κείσθω οὖν ὅτι καὶ ὧν δύναται κινεῖν 15
5 τὸ μέγιστόν εἰσι τέτταρες μέδιμνοι. οὗτος οὖν κινήσει καὶ τοὺς δύο, ἀλλὰ
τούτους μὲν ἀνάλογον τῷ Αἴαντι τάχιον, τοὺς δὲ τέσσαρας βραδέως. τὸ γὰρ
τὰ μὲν πλείω κινοῦντα τῆς δυνάμεως βραδεῖαν ποιεῖ τὴν κίνησιν 20
οὐκ ἔστι δηλωτικόν, ὡς ἄν τῳ δόξειεν, ὅτι πλείω ἢ ὁ Αἴας τῶν εἴκοσιν ἢ
ὁ Θερσίτης τῶν τεσσάρων κινήσει (κεῖται γὰρ ταῦτα τὰ μείζονα εἶναι ὧν
10 δύνανται κινεῖν) ἀλλ᾽ ἔστι τὸ λεγόμενον ταὐτὸν τῷ τὰ πλείω κινοῦντα τῶν
ὧν δύνανται ῥᾷστα κινεῖν· ὥρισται γὰρ καὶ τοῦτο. κινήσει μὲν οὖν καὶ
τοὺς πέντε ῥᾷστα ὁ Αἴας μεδίμνους καὶ τοὺς ὀκτώ, ἀλλ᾽ οὐ καὶ τοὺς δέκα 25
καὶ ὀκτὼ ἴσως ῥᾷστα. ὡς οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν φθεγγομένων
πάντῃ ὁμοίως ῥητέον· τὰ μὲν οὖν πλείω κινοῦντα ἀέρα τοῦ ῥᾷστον κινη-
15 θησομένου βραδεῖαν ποιοῦντα τὴν κίνησιν βαρὺ φθέγγεται, τὰ δὲ δι᾽
ἀσθένειαν ὀλίγον κινοῦντα, τουτέστι τὰ δι᾽ ἀσθένειαν ἧττον κινοῦντα
τῆς σφῶν δυνάμεως, ταχέως. εἰ γὰρ καὶ ἀσθενὴς ἡ κινοῦσα δύναμις, ἀλλά
γε διὰ τὸ ὑπερέχειν τοῦ κινουμένου ταχέως αὐτὸ κινήσει. θεὶς δὲ ταῦτα
λέγει ὅτι τοῦ τινὰ μὲν τῶν νέων ὀξύφωνα εἶναι, τινὰ δὲ βαρύφωνα (τούτου
20 γάρ ἐστι δηλωτικὸν τὸ μήτε ἄρα πάντα τὰ νέα ὀξύφωνα μήτε βαρύ- 30
φωνα), ὁμοίως καὶ τοῦ τινὰ τῶν πρεσβυτέρων βαρύφωνα, τινὰ δὲ ὀξύφωνα,
καὶ ἔτι τινὰ μὲν τῶν θηλειῶν τοιαῦτα, τινὰ δὲ ὀξύφωνα, τούτων οὖν
πάντων καὶ τῶν σαφῶς καταλεγομένων αἰτία ἡ ἐναντιότης τοῦ κινοῦντος
καὶ κινουμένου.

25 p. 787 a 28 Τὰ μὲν οὖν πλεῖστα νέα ὄντα καὶ θήλεα δι᾽ ἀδυναμίαν ὀλίγον κινοῦντα ἀέρα ὀξύφωνά ἐστιν.

Θεὶς τὰς αἰτίας, καθ᾽ ἃς τὸ ὀξὺ καὶ βαρὺ φθέγγεσθαι συμβαίνει, λέγει 35
διὰ τί τὰ μὲν τῶν νέων ὀξύφωνά ἐστι, τὰ δὲ βαρύφωνα, καί φησι τὰ μὲν
οὖν πλεῖστα τῶν νέων διὰ ἀδυναμίαν ὀλίγον κινοῦντα ἀέρα (οὐδὲ γὰρ
30 δύναται πλῆθος κινῆσαι ἀέρος· στενὴ γὰρ ἡ τραχεῖα ἀρτηρία καὶ διὰ τοῦτο 40
χωρῆσαι πολὺν ἀέρα οὐ δύναται, καὶ ἔτι ἀσθενὴς ἡ καρδία ἡ εἰσάγουσα
καὶ ἐξάγουσα ἐν ταῖς εἰσπνοαῖς καὶ ἐκπνοαῖς τὸ πνεῦμα) κινοῦντα οὖν ὀλίγον 45

---

1 μείζων a ὃ] ὧν Ka κινεῖν a εἴκοσιν] εἰκότως Ka σῖτος K 2 τούτοις] τοῖς I 4 κείσθω] κινείτω I: κινεῖ L καὶ om. Ka 5 τέσσαρας μεδίμνους IL 7 τὰ—κινοῦντα] πλεῖον κινοῦν IL ποιεῖν K 9 τέτταρα IL 10 κινοῦντα scripsi: κινοῦντι libri 11 δύναται IL 12 ἀλλ᾽ οὐ] ἀλλὰ Ka 13 ἴσως τε καὶ ῥᾶστα IL 13 et 14 οὖν om. IL 14 πάντων a 15 ποιοῦντες Ka βαρὺ] βραδὺ IL 16 ὀλίγον—ἀσθένειαν om. K τὰ δὲ δι᾽ a ἥττονα Ka 19 ὅτι om. IL 20 τὰ om. a 22 καὶ ἔτι—ὀξύφωνα om. IL 25 νεώτερα Arist. 27 καὶ τὸ βαρὺ a 31 πολλὴν a 32 κινούντων a

ἀέρα καὶ ἥττονα τῆς | οἰκείας δυνάμεως ὀξὺ φθέγγεται. εἰ γὰρ καὶ 117r
ἀσθενής ἐστιν ἡ τῶν νέων ζῴων καρδία, ἀλλ' οὖν πρὸς τὸν κινηθέντα ἀέρα
ἰσχυρά ἐστιν. οἱ δὲ μόσχοι καὶ αἱ θήλειαι βόες βαρὺ φθέγγονται διὰ τὸ
ἀσθενὲς ἔχειν τὸ μόριον, ἤτοι τὴν καρδίαν, ᾧ κινοῦσι τὸν ἀέρα. ἀσθενῆ
5 οὖν ἔχοντα τὴν καρδίαν καὶ πολὺν κινοῦντα ἀέρα διὰ τὴν εὐρυχωρίαν τῆς
τραχείας ἀρτηρίας (ταύτην γὰρ εἶπεν ἀγγεῖον δι' οὗ πρῶτον φέρεται 5
τὸ πνεῦμα) βραδέως κινοῦσιν αὐτὸν καί εἰσι διὰ τοῦτο βαρύφθογγα.
ἔχουσι δὲ ἀσθενῆ τὴν καρδίαν οἱ μὲν μόσχοι διὰ τὴν ἡλικίαν (ἀσθενέστατα
γὰρ τὰ νέα), αἱ δὲ βόες διὰ τὴν θηλύτητα· ἀσθενὲς γὰρ καὶ τὸ θῆλυ. οἱ
10 δὲ ταῦροι καὶ εὐρυτάτην ἔχουσι τὴν ἀρτηρίαν καὶ πολὺν ἀέρα κινοῦσι, καὶ
εἰκότως εἰσὶν ὀξύφωνοι· ἔχουσι γὰρ ἰσχυρὸν τὸ κινητικὸν μόριον, αὐτὴν
λέγω τὴν καρδίαν, ἥτις διὰ τὴν ἰσχὺν ταχέως αὐτὸν κινεῖ. εἰπὼν δ' ὅτι
τὰ δὲ ὀλίγον διὰ τὸ ἀγγεῖον, δι' οὗ πρῶτον φέρεται τὸ πνεῦμα, ἐπήγαγε 10
τὸ τοῖς μὲν διάστημα ἔχειν μέγα, λέγων διάστημα τὴν εὐρύτητα. τοῖς
15 μὲν οὖν μόσχοις, φησί, καὶ τοῖς βουσὶ συμβαίνει πολὺ κινεῖν ἀέρα διὰ τὸ
ἔχειν διάστημα καὶ εὐρύτητα τὴν ἀρτηρίαν αὐτῶν· σπεύδει δὲ ἡ φύσις
τοσοῦτον ἀέρα κινῆσαι, ὅσος τις δύναται πληροῦν αὐτήν, διὰ τὸ μηδὲν
εἶναι κενόν.

p. 787ᵇ5 Τοῖς δ' ἄλλοις εὐταμίευτον.

20 Τουτέστι τοῖς δ' ἄλλοις ἔνεστιν ἡ ἀρτηρία εὐταμίευτος, ἤγουν εὖ καὶ 15
δι' ὀλίγου ἀέρος πληρουμένη. πρότερον μὲν οὖν διὰ ταύτας τὰς αἰτίας εἰσὶν
οἱ μὲν μόσχοι καὶ αἱ βόες βαρύφωνα, τὰ δὲ λοιπὰ τῶν νέων ὀξύφωνα· 20
προϊούσης δὲ τῆς ἡλικίας καὶ τῶν μόσχων ταύρων γενομένων γίνονται ἐκ
βαρυφώνων ὀξύφωνα διὰ τὸ ἰσχύειν τὴν καρδίαν. τὰ δ' ἄλλα τοὐναντίον
25 ἐξ ὀξυφώνων γίνεται αὐτὰ ἑαυτῶν βαρυφωνότερα, διὰ τὸ πλείονα ἀέρα κινεῖν
τῆς οἰκείας δυνάμεως, τοῦτο δὲ ταὐτόν ἐστι τῷ διὰ τὸ πλείονα ἀέρα κινεῖν 25
ἢ ὅσον δύναται ταχέως κινῆσαι. γίνονται δὲ διὰ τὰ αὐτὰ καὶ αἱ γυναῖκες
αὐταὶ ἑαυτῶν βαρυφωνότεραι, τῶν δὲ ἀρρένων οὐδαμῶς, ὅτι δι' ἀσθένειαν
ὀλίγον κινοῦσι· πῶς δὲ δι' ἀσθένειαν ὀλίγον κινοῦσαι ὀξύφωνοί εἰσιν, εἴρηται,
30 ὅτι καίπερ τὴν καρδίαν ἀσθενῆ ἔχουσαι, ἀλλὰ ἰσχυρά ἐστι πρὸς τὸν ὑπ' αὐτῆς
κινούμενον ἀέρα. δι' ἣν δ' αἰτίαν αἱ γυναῖκες ὀξύφωνοί εἰσι, διὰ τὴν αὐτὴν
ταύτην καὶ οἱ νοσοῦντες· ὀξὺ γὰρ καὶ οὗτοι φθέγγονται. οἱ δὲ γέροντες 30
ὀξύφωνοι γίνονται διὰ τὸ ἤδη ἀνίεσθαι τὰ ἐκ τῆς καρδίας κινητικὰ νεῦρα.

---

1 φθέγγεσθαι IL 3 ἰσχυρόν Ka 4 κινεῖ La 6 παχείας K
7 αὐτὸ I 11 ὀξύφωνα IL κινητὸν KLa 14 τὸ om. IL τούτοις
μὲν Arist. 18 post εἶναι add. πη Ka 19 ἀταμίευτον IL 20 ἤγουν]
τουτέστιν Ka 21 κινουμένη IL 22 αἱ] οἱ I βαρύφωνες a νέων]
ἀρρένων a 25 γίνονται I ante διὰ add. καὶ Ka 26 οἰκείας om. Ka
27 δι' αὐτὰ IL: διὰ ταῦτα a 28 post βαρυφωνότεραι add. καὶ διὰ τὰς αὐτὰς αἰτίας,
ἀλλ' ἑαυτῶν μὲν γίνονται αἱ γυναῖκες βαρυφωνότεραι Ka 29 κινοῦσαι] κινοῦσιν a
ὀλίγον δι' ἀσθένειαν coll. Ka 30 ἔχουσιν IL 33 τὸ om. a τὰ] τὸ a

p. 787b10 Ἔστι μὲν οὖν πᾶσιν ἡ ἰσχὺς ἐν τοῖς νεύροις. 117r

Ὅτι μὲν γὰρ ἡ ἰσχὺς ἐν τοῖς νεύροις πᾶσίν ἐστι καὶ διὰ τῶν νεύρων ἡ κίνησις πάντων τῶν μορίων τοῖς ἐναίμοις ζῴοις γίνεται, καὶ ὅτι τῶν νεύρων πάντων ὥσπερ καὶ τῶν φλεβῶν ἡ καρδία ἐστὶν ἀρχή, πολλάκις ἤδη εἴρηται. ταῦτα δὲ προείληπται αὐτῷ ὑπὲρ τοῦ ἀποδοῦναι τὴν αἰτίαν καθ' ἣν τὰ ἐκτεμνόμενα ὀξὺ φθέγγεται. ἔστι μὲν δή, ὥσπερ εἴρηται, πᾶσιν ἡ ἰσχὺς ἐν τοῖς νεύροις, καὶ διὰ τοῦτο ἀκμάζοντα ἰσχύει μᾶλλον, ὅτι καὶ τὰ νεῦρα ἐν τῇ ἀκμῇ ἰσχυρότερά εἰσιν. ἄναρθρα δὲ τὰ νέα καὶ ἄνευρα εὐλόγως· ἐπειδὴ γὰρ τὰ ἄρθρα νεύροις συνέχονται, ὅταν ἀσθενῇ ταῦτα, ἀνάγκη καὶ τὸ ζῷον τὸ ἐν τούτοις ἔχον τὸ ἰσχύειν ἄναρθρον εἶναι. τοῖς μὲν οὖν νέοις, φησίν, οὔπω ἐπιτέταται ἡ καρδία οὐδὲ ἰσχύει καὶ τόνον ἔχει· τί δὲ τοῦτό ἐστι, μετ' ὀλίγον εἰσόμεθα. τῶν δὲ γηραιῶν ἤδη ἀνίεται ὁ τόνος. |

p. 787b15 Διόπερ σύντονον ἔχουσι τοῦτο τὸ μόριον ᾧ κινοῦσι τὸ πνεῦμα, ὥσπερ χορδὴν τεταμένην νευρίνην. 117v

Πάλιν μόριον ᾧ κινοῦσι τὸ πνεῦμα τὴν καρδίαν φησίν. ὅτι δὲ καὶ τὸ ἰσχυρῶς τεταμένον μᾶλλον δύναται πλήττειν, δηλοῦσιν αἵ τε χορδαὶ αἱ ἰσχυρῶς ταθεῖσαι ὀξύτατα φθεγγόμεναι καὶ τὰ τόξα πορρώτερον κατὰ πολὺ τοὺς οἰστοὺς πέμποντα τῶν μὴ ἰσχυρῶς ταθέντων. ἰσχὺν δὲ νευρώδη λέγει τὰς φλέβας, αἳ νεῦρα μὲν οὔκ εἰσι, νευρώδεις δὲ καὶ ἐγγὺς τὴν φύσιν νεύροις. τούτων ῥηθέντων ῥητέον σύμπασαν τὴν Ἀριστοτέλους διάνοιαν, καθ' ἣν οἰόμεθα τοὺς μόσχους καὶ τὰς θηλείας βοῦς βαρὺ φθέγγεσθαι, τὰ δ' ἄλλα νέα ὄντα ὀξυφωνεῖν, ὕστερον δὲ γίνεσθαι αὐτὰ ἑαυτῶν βαρυφωνότερα καὶ πάλιν γηράσκοντα ὀξυφωνότερα· καὶ προσέτι διὰ τί τὰ ἐκτεμνόμενα πρὸς τὴν τοῦ θήλεος μεταβάλλει φωνήν. οἱ ὄρχεις καὶ αἱ ὑστέραι προσήρτηνται πρὸς τοὺς σπερματικοὺς πόρους, οἱ δὲ σπερματικοὶ πόροι ἐκ τῆς φλεβός, ἧς φλεβὸς ἡ ἀρχὴ ἐκ τῆς καρδίας. ἔχει δὲ αὕτη τὴν ἀρχὴν ἐν τῷ μέρει τῆς καρδίας τῷ κινοῦντι τὴν φωνήν· τοῦτο δ' ἐστὶν ἡ δεξιὰ αὐτῆς κοιλία. ἔχει οὖν τὴν ἀρχὴν ἡ τοιαύτη φλὲψ ἐκ τῆς δεξιᾶς κοιλίας τῆς καρδίας, ἐν ᾗ κοιλίᾳ καὶ τὸ νεῦρόν ἐστι, δι' οὗ ἡ ψυχὴ τὴν καρδίαν εὐρύνει τε καὶ συστέλλει, καὶ σὺν αὐτῇ τὸν πνεύμονα, ὑφ' οὗ ἡ φωνή. ὥστε ἐπεὶ ἐν τούτῳ τῷ μέρει ἐστὶ τὸ νεῦρον τὸ κινοῦν τὸν ποι-

---

1 πᾶσιν] πᾶσα libri, sed cf. v. 6 ἡ ἰσχὺς K et v. 6. 7 IL: ἡ hic om. IL 2 γὰρ] οὖν Ka ἡ om. a post ἰσχὺς add. πᾶσα Ka πᾶσιν om. Ka τῶν om. Ka 3 μερῶν Ka τοῖς—ζῴοις] ἐναίμων ζώων Ka 4 ἤδη om. et (4. 5) εἴρηται πολλάκις coll. Ka 5 ὑπέρ που L 8 ἐστιν Ka 10 ἀναγκαῖον Ka 10. 11 ἔτι μὲν οὖν τοῖς a 12 γνωσόμεθα IL, sed cf. p. 245,10 14. 15 Διόπερ—πνεῦμα om. K 16 Πάλιν—κινοῦσι] Πᾶν μόριον τὸ κινοῦν a 20 λέγουσι Ka νευρώδη δὲ Ka 21 τούτου προρρηθέντος Ka τὴν] τοῦ L: τὴν τοῦ a 22 τὰς] τοὺς a 25 τῆς θηλείας L 27 φλεβὸς ἡ om. a

ητικὸν τῆς φωνῆς πνεύμονα, ἐν αὐτῷ δὲ ἔχει καὶ ἡ φλὲψ τὴν ἀρχήν, 117v
καλῶς εἴρηται ὅτι ἧς ἡ ἀρχὴ ἐκ τοῦ μέρους τῆς καρδίας ἐστὶ τοῦ 40
κινοῦντος καὶ ποιοῦντος τὴν φωνὴν ἐν τῷ κινεῖν τήν τε καρδίαν καὶ σὺν αὐτῇ
τὸν πνεύμονα. νευρώδους δὲ οὔσης τῆς καρδίας καὶ ἀρχῆς τῶν νεύρων, 45
5 οὐδὲν διαφέρει λέγειν αὐτὴν κινεῖν τὰ νεῦρα ἢ τὰ νεῦρα κινητικὰ εἶναι
αὐτῆς. προσήρτηνται οὖν οἱ ὄρχεις ἐν τοῖς σπερματικοῖς πόροις ὥσπερ ὁ
λίθος ὁ τείνων τὴν χορδὴν καὶ αἱ λαιαί, λέγων λαιὰς ἢ τὰς χεῖρας τῶν
γυναικῶν, ἃς προσά|πτουσιν εἰς τοὺς στήμονας διὰ τὸ τεῖναι αὐτούς, ἢ 118r
τοὺς λίθους· ἀπαιωροῦσι γὰρ λίθους τινὰς ἐν τοῖς στήμοσιν αἱ ὑφαίνουσαι,
10 ἵνα τείνωσιν αὐτούς. ἐπεὶ οὖν οἱ ὄρχεις καὶ αἱ ὑστέραι προσήρτηνται ἐν
τοῖς πόροις, οὗτοι δ' ἐν τῇ φλεβὶ καὶ αὕτη ἐν τῇ καρδίᾳ, οἱ μὲν ὄρχεις
